SANCTI PATRIS NOSTRI,

IOANNIS CHRYSOSTOMI

ARCHIEPISCOPI CONSTANTINOPOLITANI

COMMENTARIA

IN

NOVUM TESTAMENTUM,

Tomus Tertius.

SYLLABUS COMMENTARIORUM
DIVI JOANNIS CHRYSOSTOMI
quæ in hoc Tertio Volumine continentur.

Tomo Tertio.

In Acta Apostolorum, Homiliæ *LI.*

Digitized by Google

Digitized by Google

Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν,

ΙΩΑΝΝΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ,

ὑπόμνημα εἰς τὰς πράξεις τῶν Ἀποστόλων.

SANCTI PATRIS NOSTRI

JOANNIS CHRYSOSTOMI ARCHIEPISCOPI CONSTANTINOPOLITANI, COMMENTARIUM IN ACTA APOSTOLORUM.

Desid. Erasmo Roterodamo interprete.

ΟΜΙΛΙΑ α΄.

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη.

Πολλοῖς τουτὶ τὸ βιβλίον οὐδ᾽ ὅτι ἔστι γνώριμόν ἐστιν, οὔτε αὐτό, οὔτε ὁ γράψας αὐτὸ καὶ συνθείς. Διὸ καὶ ἀναγκαίως εἰς ταύτην ἐμαυτὸν ἔκρινα θεῖναι τὴν πραγματείαν, ὥστε καὶ τοὺς ἀγνοοῦντας διδάξαι, καὶ μὴ ἀφεῖναι τοσοῦτον λανθάνειν καὶ ἀποκρύπτεσθαι θησαυρόν. οὐδὲ γὰρ ἔλαττον αὐτὸ τῶν Εὐαγγελίων ὠφελῆσαι ἡμᾶς δυνήσεται· τοιαύτης ἐμπέπλησται φιλοσοφίας καὶ δογμάτων ὀρθότητος, [καὶ θαυμάτων ἐπιδείξεως,] καὶ μάλιστα τῶν παρὰ τοῦ πνεύματος εἰργασμένων. [μὴ δὴ λοιπὸν παρατρέχωμεν αὐτό· ἀλλὰ μετ᾽ ἀκριβείας ἐξετάζωμεν.] καὶ γὰρ τὰς προῤῥήσεις, ἃς ἐν τοῖς Εὐαγγελίοις ὁ Χριστὸς προαναφωνεῖ, ταύτας εἰς ἔργον ἐξελθούσας ἐνταῦθά ἐστιν ἰδεῖν, καὶ ἀπ᾽ αὐτῶν τῶν πραγμάτων διαλάμπουσαν τὴν ἀλήθειαν, καὶ πολλὴν τὴν τῶν μαθητῶν τὴν ἐπὶ τὸ βέλτιον μεταβολὴν τὴν ἀπὸ τοῦ πνεύματος αὐτοῖς ἐγγενομένην. καὶ γὰρ ἅπερ ἤκουσαν τοῦ Χριστοῦ λέγοντος, ὅτι πᾶς ὁ πιστεύων εἰς ἐμὲ, τὰ σημεῖα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει· καὶ [προλέγοντος τοῖς μαθηταῖς,] ὅτι ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσονται, καὶ [ὅτι] ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν αὐτοὺς, καὶ τὰ ἀνήκεστα πείσονται, καὶ ὅτι περιέσονται πάντων, καὶ ὅτι τὸ Εὐαγγέλιον κηρυχθήσεται ἐν ὅλῳ τῷ κόσμῳ, ταῦτα πάντα μετ᾽ ἀκριβείας ἁπάσης ἐκβεβηκότα ἐν τῷ βιβλίῳ τούτῳ ἐστὶν ἰδεῖν, καὶ πλείονα τούτων ἕτερα ἅπερ εἴρηκεν αὐτοῖς συνών. ὄψει δὲ καὶ αὐτοὺς τοὺς Ἀποστόλους ἐνταῦθα καθάπερ πτηνοὺς διατρέχοντας γῆν καὶ θάλατταν, καὶ τοὺς δειλοὺς ἐκείνους, καὶ ἀσυνέτους ἀθρόον ἄλλους ἀντ᾽ ἄλλων γινομένους, καὶ χρημάτων ὑπερόπτας, καὶ δόξης, καὶ θυμοῦ, καὶ ἐπιθυμίας, καὶ πάντων ἁπλῶς ἀνωτέρους γεγονότας, καὶ πολλὴν τὴν ὁμόνοιαν ἔχοντας· καὶ οὐδαμοῦ οὐδεμίαν βασκανίαν ὡς ἔμπροσθεν, οὐδὲ τὸν περὶ πρωτείων ἔρωτα· ἀλλὰ πᾶσαν ἀπηκριβωμένην ἐν αὐτοῖς τὴν ἀρετὴν, καὶ τὴν ἀγάπην μεθ᾽ ὑπερβολῆς διαλάμπουσαν. ὑπὲρ ἧς καὶ πολλὰ παρήγγελλεν αὐτοῖς λέγων· ὅτι ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί ἐστε, ἐὰν ἀγαπᾶτε ἀλλήλους. ἔστι δὲ καὶ δόγματα ἐνταῦθα εὑρεῖν, ἅπερ, εἰ μὴ τοῦτο ἦν τὸ βιβλίον, οὐδενὶ σαφῶς οὕτω γνώριμα ἐγένοντο· ἀλλὰ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν ἀπεκρύπτετο, καὶ ἄδηλον ἦν, καὶ βίου καὶ δογμάτων ἕνεκεν. τὸ δὲ πλέον τῶν ἐνταῦθα ἐγκειμένων, Παύλου πράξεις εἰσὶ, τοῦ περισσοτέρως πάντων κοπιάσαντος· καὶ τὸ αἴτιον, ὅτι αὐτοῦ φοιτητὴς ἦν ὁ τὸ βιβλίον τοῦτο συνθεὶς Λουκᾶς ὁ μακάριος. οὗ τὴν ἀρετὴν, πολλαχόθεν μὲν καὶ ἄλλοθέν ἐστιν ἰδεῖν· μάλιστα δὲ ἐκ τοῦ πρὸς τὸν διδάσκαλον ἀδιασπάστως ἔχειν, καὶ διαπαντὸς αὐτῷ παρηκολουθεῖν. ὅτε γοῦν Δημᾶς καὶ Ἑρμογένης αὐτὸν ἐγκατέλιπον, ὁ μὲν εἰς Γαλατίαν, ὁ δὲ εἰς Δαλματίαν ἀπελθὼν, ἄκουσον τί φησι περὶ τούτου· Λουκᾶς ἐστι μόνος μετ᾽ ἐμοῦ. καὶ Κορινθίοις [δὲ] ἐπιστέλλων περὶ αὐτοῦ φησιν· οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ διὰ πασῶν τῶν ἐκκλησιῶν. καὶ ὅταν λέγῃ, ὅτι ὤφθη Κηφᾷ, εἶτα τοῖς δώδεκα·

A

HOMILIA I.

Primum quidem sermonem feci de omnibus, ô Theophile, quæ cœpit Jesus, tum facere, tum docere usque ad eum diem, quo præcipiens Apostolis per Spiritum Sanctum quos elegerat, receptus est.

Complures sunt quibus hic liber adeo ignotus est, ut non solùm ambigant de authore, à quo conscriptus sit, verum ne id quidem cognitum habeant, an omnino extet hæc rerum ab Apostolis gestarum historia. Atque hac potissi-
B mum de causa coactus sum negotium hoc suscipere, ut ignorantes allicerem, neque finerem tam insignem thesaurum in tenebris abditum latere. Siquidem hinc non minor nobis contingere poterit utilitas, quam ex ipsis Evangeliis: tanta scatet philosophia, tanta abundat cum omnium dogmatum rectitudine, tum præcipuè eorum quæ de Spiritu Sancto prodita sunt. Proinde cavendum est ne negligenter prætercurramus hunc librum, sed exactissima cura scrutemur, excutiamusque. Etenim promissa quæ
C Christus in Evangeliis antè verbis pollicitus erat, ea hic re præstita & exhibita videre licet ipsamque veritatem ipsis factis relucentem intueri. Simulq; videre est Discipulos mirificè ad meliora transmutatos, nimirùm Sancto Spiritu vim suam in illis exerente. Audierant enim Christum dicentem: *Quisquis crediderit in me, signa quæ ego facio, & ipse faciet, & his majora faciet.* Audierant & illa prædicentem Discipulis suis, quod *ad Præsides & Reges essent ducendi, quodque in Synagogis suis Judæi essent ipsos*
D *flagellaturi*, quod essent atrocissima quædam passuri, sed his omnibus evasuri superiores: ad hæc quod Evangelium prædicandum esset toto terrarum orbe: quæ quidem omnia sic evenisse, ut nulla in parte promissoris fides desiderari possit, videre licet in hoc libro. Neque verò hæc tantùm quæ modo commemoravimus, verum etiam alia plura, quæ dixerat Dominus cum ageret cum Discipulis. Conspicies autem hic & illa, nimirùm Apostolos ipsos ceu volucres, terram mariaque percurrentes, ac timi-
E dos illos quondam rudesque, subito in alios homines esse versos, fastûque divitiarum, gloria, ira, concupiscentia, breviter rebus omnibus superiores esse factos. Videbis summam inter ipsos concordiam, nec quicquam omninò prioris illius livoris aut invidentiæ residere, nec jam loci principis ambitum inter ipsos servare, sed omnem virtutem in eis absolutam perspicies, tum summam eximiamque charitatem in illis relucentem. Nam de hac quoq; multa illis præceperat, dicens: *Per hoc cognoscent om-*
A *nes, vos esse meos Discipulos, si dilexeritis invicem.* Quin & dogmata quædam hic reperire licebit, quæ, nisi liber fuisset proditus, haud quaquam fuissent ulli tam dilucidè cognita, quin potius quod est caput salutis nostræ, fuisset occultum, & in obscuro latuisset: tam de his loquor quæ ad benè vivendum, quàm quæ ad fidei nostræ dogmata pertinent. Porrò eorum quæ hic tractantur, major pars, sunt acta Pauli, qui *plus omnibus laboravit.* Ejus rei causa est, quod is qui librum hunc conscripsit, Di-
B scipulus & cultor Pauli fuit: nimirum beatus Lucas, cujus virtutem cum ex aliis multis argumentis, tum hoc præcipuè licet perspicere, quod præceptori suo indivulsus adhæserit, quódque per omne tempus illum fuerit assectatus. Itaq; cum Demas & Hermogenes illum in periculo deseruissent, alter in Galatiam profectus, alter in Dalmatiam, audi quid de hoc dicat? *Lucas*, inquit, *adhuc solus mecum est.* Quin & Corinthiis scribens de eodem: *Cujus*, inquit, *laus est in Evangelio per omnes Eccle-*
C *sias.* Rursus cum dicit: *Conspectus est Cephæ, deinde duodecim.*

Joh. 14, 12. Matth. 10, 18. Joh. 13, 35. 1. Cor. 15, 10. 1. Tim. 4. 11. 2. Cor. 8. 18. 1 Cor. 15. 5.

Item cum ait, juxta *Evangelium quod accepistis*; de Lucæ Evangelio sentit: ut jam non aberrarit à vero, qui voluminis hujus descriptionem ad hunc authorem retulerit. Cæterùm cum dico hunc ipsum, Christum dico. Quod si quis dixerit, quid tandem fuit in causa, quo minus omnem historiam ad finem usque persecutus sit, cùm illi semper adsuerit: huic sic respondere poterimus: Primùm quod hæc quoque sufficiebant his qui vellent animum advertere: deinde quod Evangelistæ semper incubuerunt in ea quæ magis urgebant, nec illis curæ fuit historias conscribere. Siquidem non parum multa & absque scripto tradiderunt. Itaque cum omnia sint admiratu digna, quæcunque hoc libro continentur, tamen illud potissimum admirandum in Apostolis, quomodo sese ad infirmorum ac rudium captum demiserint, atque hoc ipsum eis Spiritus sanctus suggessit, in hoc illos præparans, ut in dispensando verbo Dei versarentur. Unde factum est, ut cum tam multa de Christo disseruerint, pauca dixerint de ejus divina natura, plurima verò de natura ejus humana, de morte, de Resurrectione & Ascensu. Etenim quod id temporis quærebatur, illud erat, ut homines audirent, eum excitatum à mortuis ascendisse in cœlum. Quemadmodum igitur ipse Christus illud in primis agebat, ut perspicuum faceret, quod venisset à Patre: itidem hic præcipuè studet hoc persuadere, quod revixit, quodque in cœlum receptus est, quodque ad eundem reversus est à quo profectus fuerat. Nam nisi hæc prius credita fuissent, præsertim cùm accessisset assertio de Resurrectione, deque in cœlum reditu, nimirùm universum dogma Judæis visum fuisset vanum & incredibile. Quapropter sensim ac paulatim illos ad sublimiora provehit. Quin etiam apud Athenienses Paulus eum simpliciter hominem appellat, nihil attribuens amplius: Idque justa de causa. Etenim si Christum ipsum de æqualitate quam habet cum Patre, disserentem frequenter aggressi sunt lapidibus obruere, eaque de causa blasphemum appellarunt, haudquaquam eum sermonem à piscatoribus accepissent, præsertim cum crux præcessisset. Quid autem de Judæis loquor, cum ipsi tum temporis Discipuli, quoties audiebant sublimiora dogmata, crebrò turbati fuerint & offensi? Unde & dicebat Dominus: *Multa habeo quæ vobis dicam, sed in præsentia non potestis ea ferre.* Quòd si illi ferre non poterant, qui tantùm temporis cum ipso consuetudinem habuerant, & quibus tam multa arcana communicarat, quique tot miracula viderant, quomodo homines qui recens ab aris, simulachris, & sacrificiis, à felibus & crocodilis venerant: (nam hujusmodi tum erant Gentium numina) quique & ab aliis malis tum primum fuerant avulsi, repente sublimes illos de dogmatibus sermones recepissent? Imò quomodo ipsi quoq; Judæi qui quotidie discebant & instituebantur, à lege frequenter illud audientes: *Audi Israel, Dominus Deus tuus unus est*; cùm vidissent eum affixum in ligno Crucis, atque adeo cum ipsi crucifixissent illum ac sepelissent, nec eum vidissent resuscitatum, si audissent, hic ipse Deus est, ac Patri æqualis: nonne maximè omnium ab his verbis abhorruissent, ac resilissent, & oblatrassent? Proinde paulatim ac sensim illos instituunt, seseque miro studio ad captum imbecillium in dispensatione dogmatum demittunt. Cæterum quo magis se demittunt Apostoli, hoc uberior contingit illis è divini Spiritus liberalitate gratia: dum in ejus nomine majora faciunt quàm ipse fecerat, nimirum, ut utroque modo proficiat Evangelium, dum sese demittentes, auditores humiles & humi jacentes erigunt, & sermonem de resurrectione miraculis probabilem reddunt. Siquidem quod maximè agit hic liber, est resurrectionis declaratio: Quæ si credita fuerit, & cæteris aperta est via. Argumentum igitur & scopus hujus libri, si quis rei summam crassiore sermone velit complecti, hic potissimum est. Superest ut præfationes audiamus. *Primum quidem sermonem feci de omnibus, ô Theophile, quæ cœpit Jesus tum facere, tum docere.* Statim hic quæret aliquis: Quam ob rem Theophilo renovat mentionem Evangelii? Ut suam declararet exactam diligentiam: Nam in illius operis præfatione dicit: *Visum est & mihi ab initio assectato omnia diligenter ordine tibi scribere.* Nec suo unius testimonio contentus est, sed omnia potius refert ad Apostolos, dicens: *Quemadmodum tradiderunt nobis, qui ab initio spectatores ac ministri sermonis fuerunt.* Quare quum illic verbis suis fidem conciliarit, nihil hic opus erat alia confirmatione, quum ibi semel habita sit à Theophilo fides ipsius sermoni, ac per illum certissimam veritatem eum edocuerit. Etenim cui fides est habita scribenti quæ audierat, huic multò magis habenda fides, ea conscribentis quæ nequaquam ab aliis accepit, sed quæ vidit ipse simul & audivit. Etenim si ea quæ Christus gessit recepisti, multò magis recipies res ab Apostolis gestas.

Traditiones. Infr. 17, 31. Joh. 8, 58. Joh. 16, 12. Dan. 6, 4. Luca. 1, 3.

A καί, κατὰ τὸ Εὐαγγέλιον ὃ παρελάβετε, τὸ τούτου λέγει. ὥστε οὐκ ἄν τις ἁμάρτοι τῆς πραγματείας ταύτην αὐτῷ ἀναθείς. ὅταν δὲ εἴπω, τούτῳ, τῷ Χριστῷ λέγω. εἰ δέ τις λέγοι· καὶ τί δήποτε οὐχὶ πάντα συνέγραψε, μέχρι τέλους ὢν μετ' αὐτοῦ; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ ταῦτα ἀρκοῦντα ἦν τοῖς βουλομένοις προσέχειν, καὶ ὅτι πρὸς τὰ κατεπείγοντα ἀεὶ ἵσταντο, καὶ [ὅτι] οὐκ ἐν τῷ λογογραφεῖν ἦν αὐτοῖς ἡ σπουδή. πολλὰ γὰρ καὶ ἀγράφως παραδεδώκασι. [καὶ] πάντα
B μὲν οὖν ἄξια θαύματος τὰ ἐν τῷ βιβλίῳ τούτῳ κείμενα· μάλιστα δὲ, ἡ τῶν Ἀποστόλων ἡ συγκατάβασις, ἣν καὶ τὸ πνεῦμα αὐτοῖς ὑπέβαλλε, παρασκευάζον αὐτοὺς τῷ τῆς οἰκονομίας ἐνδιατρίβειν λόγῳ. διὰ δὴ τοῦτο τοσαῦτα περὶ Χριστοῦ διαλεχθέντες, ὀλίγα [μὲν] περὶ τῆς θεότητος αὐτοῦ εἰρήκασι· τὰ δὲ πλείονα περὶ τῆς ἀνθρωπότητος διελέγοντο, καὶ τοῦ πάθους, καὶ τῆς ἀναστάσεως, καὶ τῆς ἀναβάσεως. τὸ γὰρ ζητούμενον τέως τοῦτο ἦν, τὸ πιστευθῆναι, ὅτι ἀνέστη, καὶ
C ἀνέβη εἰς οὐρανούς. ὥσπερ οὖν, [καὶ] αὐτὸς ὁ Χριστὸς μάλιστα πάντων ἐσπούδαζε δεῖξαι, ὅτι παρὰ τοῦ πατρὸς ἥκει· οὕτω καὶ οὗτος, ὅτι ἀνέστη καὶ ἀνελήφθη, καὶ πρὸς αὐτὸν ἀπῆλθε, καὶ παρ' αὐτοῦ ἀφῖκτο. εἰ γὰρ μὴ τοῦτο ἐπιστεύθη πρότερον, πολλῷ μᾶλλον τῆς προσθήκης γενομένης τῆς κατὰ τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, ἄπιστον ἅπαν τὸ δόγμα τοῖς Ἰουδαίοις ἔδοξεν ἂν; διὸ ἠρέμα, καὶ κατὰ μικρὸν αὐτοὺς ἐπὶ τὰ ὑψηλότερα ἐνάγει. ἐν δὲ Ἀθήναις, καὶ ἄνθρωπον αὐτὸν ἁπλῶς κα-
D λεῖ ὁ Παῦλος οὐδὲν πλέον εἰπών· εἰκότως. εἰ γὰρ αὐτὸν τὸν Χριστὸν διαλεγόμενον περὶ τῆς εἰς τὸν πατέρα ἰσότητος λιθάσαι πολλάκις ἐπεχείρησαν, καὶ βλάσφημον διὰ τοῦτο ἐκάλουν, σχολῇ γ' ἂν παρὰ τῶν ἁλιέων τοῦτον τὸν λόγον ἐδέξαντο, καὶ ταῦτα τοῦ σταυροῦ προχωρήσαντος. καὶ τί δεῖ λέγειν τοὺς Ἰουδαίους; ὅπου γε αὐτοὶ [τότε] πολλάκις οἱ μαθηταὶ τῶν ὑψηλοτέρων ἀκούοντες δογμάτων, ἐθορυ-
E βοῦντο καὶ ἐσκανδαλίζοντο. διὰ τοῦτο καὶ ἔλεγε· πολλὰ ἔχω λέγειν " ὑμῖν, ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. εἰ δὲ ἐκεῖνοι οὐκ ἐδύναντο, οἱ συγγενόμενοι χρόνον τοσοῦτον αὐτῷ, καὶ τοσούτων κοινωνήσαντες ἀπορρήτων, καὶ τοσαῦτα θεασάμενοι θαύματα, πῶς ἄνθρωποι ἀπὸ βωμῶν [καὶ] εἰδώλων καὶ θυσιῶν, καὶ αἰλούρων, καὶ κροκοδείλων· τοιαῦτα γὰρ ἦν τῶν Ἑλλήνων τὰ σεβάσματα· καὶ τῶν ἄλλων τῶν κακῶν τότε πρῶτον ἀποσπασθέντες, ἀθρόον τοὺς ὑψηλοὺς τῶν δογμάτων ἐδέξαντο λό-
A γους; πῶς δὲ ἂν [καὶ] Ἰουδαῖοι [οἱ] καθ' ἑκάστην [καίπερ] ἡμέραν μανθάνοντες, [καὶ] ἐνηχούμενοι [ὑπὸ τοῦ νόμου· ἄκουε Ἰσραήλ,] " Κύριος ὁ Θεός σου Κύριος εἷς ἐστιν, [καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν ἄλ- " λος,] ἐπὶ ξύλου σταυροῦ ἰδόντες προσηλωμένον αὐτόν· μᾶλλον δὲ καὶ σταυρώσαντες, καὶ θάψαντες, καὶ οὐδὲ ἀναστάντα θεασάμενοι· ἀκούοντες ὅτι Θεός ἐστιν αὐτὸς οὗτος, καὶ τῷ πατρὶ ἴσος, οὐκ ἂν μάλιστα πάντων ἀπεπήδησάν τε καὶ ἀπεῤῥάγησαν; διά-
B τοι τοῦτο ἠρέμα καὶ κατὰ μικρὸν αὐτοὺς προσβιβάζουσι, καὶ πολλῇ μὲν κέχρηνται τῇ τῆς συγκαταβάσεως οἰκονομίᾳ· δαψιλεστέρας δὲ ἀπολαύουσι τῆς τοῦ πνεύματος χάριτος, καὶ μείζονα ὧν αὐτὸς πεποίηκεν ἐργάζονται τῷ αὐτοῦ ὀνόματι, ἵνα ἑκατέρωθεν αὐτοὺς χαμαὶ κειμένους ἀναστήσωσι, καὶ τὸν περὶ τῆς ἀναστάσεως πιστώσωνται λόγον. καὶ γὰρ τοῦτο μάλιστά ἐστι [τουτὶ] τὸ βιβλίον, ἀπόδειξις ἀναστάσεως. τούτου δὲ πιστευθέντος, ὁδῷ
C καὶ τὰ ἄλλα προσέβαινεν. ἡ μὲν οὖν ὑπόθεσις, καὶ ὁ τοῦ βιβλίου σκοπὸς [ἅπας] ὡς ἄν τις [παχυμερῶς] συλλαβὼν εἴποι, οὗτος [μάλιστά ἐστιν.] ἀκούσωμεν δὲ λοιπὸν αὐτῶν τῶν προοιμίων. τὸν μὲν πρῶτον λόγον ἐ- " ποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰη- " σοῦς ποιεῖν τε καὶ διδάσκειν. τίνος ἕνεκεν αὐτὸν ἀναμιμνήσκει
D τοῦ Εὐαγγελίου; ὥστε τὴν οἰκείαν ἀκρίβειαν ἐνδείξασθαι· καὶ γὰρ ἀρχόμενος τῆς πραγματείας ἐκείνης, φησίν· ἔ- " δοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς καθ- " εξῆς σοι γράψαι· καὶ οὔτε τῇ οἰκείᾳ ἀρκεῖται μαρ- " τυρίᾳ μόνον, ἀλλὰ καὶ ἀνάγει ἐπὶ τοὺς Ἀποστόλους τὸ πᾶν, λέγων· καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπαρχῆς " αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου. διὸ τὸν "
E λόγον ἀξιόπιστον ἐκεῖ ποιήσας, οὐδὲ δεῖται ἐνταῦθα ἑτέρας βεβαιώσεως, ἅπαξ αὐτοῦ πιστευθέντος, καὶ δι' ἐκείνου τὸ ἀκριβὲς αὐτὸν τῆς ἀληθείας κατηχήσας. ὁ γὰρ ἅπερ ἤκουσεν ἀξιόπιστος γενόμενος γράψαι καὶ πιστωθείς, πολλῷ μᾶλλον ὁ ταῦτα συνθεὶς ἃ μὴ παρ' ἑτέρων παρείληφεν, ἀλλ' ἃ εἶδε καὶ ἤκουσε πιστευθῆναι δίκαιος ἂν ἦν; [εἰ γὰρ τὰ τοῦ Χριστοῦ ἐδέξω, φησὶ, πολλῷ μᾶλλον τὰ τῶν Ἀποστόλων;]

τί

τί οὖν [ἐκεῖ;] ἱστορία μόνον τὸ πρᾶγμά ἐστι, καὶ πνεύματος ἄμοιρος ὁ λόγος; οὐδαμῶς. πῶς; ὅτι ἅπερ οἱ ἀπ' ἀρχῆς αὐτόπται καὶ ὑπηρέται γενόμενοι τοῦ λόγου αὐτῷ παρέδοσαν, τοῦ πνεύματος ἦσαν. καὶ διατί μὴ εἶπεν [ὅτι] καθὼς παρέδοσαν ἡμῖν οἱ πνεύματος ἁγίου καταξιωθέντες· ἀλλ' οἱ [ἀπ' ἀρχῆς] αὐτόπται γενόμενοι; ὅτι τοῦτο μάλιστα εἰς πίστιν ἐστὶν ἀξιόπιστον, τὸ παρὰ αὐτοπτῶν μαθεῖν· ἐκεῖνο δὲ καὶ ἀλαζονεία, καὶ τῦφος ἂν ἔδοξε τοῖς ἀνοήτοις. διὸ καὶ Ἰωάννης » οὕτως ἔλεγεν· ἐγὼ ἑώρακα καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. καὶ ὁ Χριστὸς δὲ οὕτω διαλέγεται τῷ Νικοδήμῳ παχυτέρῳ ὄντι· ὃ » οἴδαμεν λαλοῦμεν, καὶ ὃ ἑωράκαμεν μαρτυροῦμεν, καὶ τὴν μαρτυρίαν ἡμῶν οὐδεὶς λαμβάνει. καὶ πάλιν δεικνὺς ὅτι πολλὰ, καὶ ἀπὸ » ὄψεως μαρτυρεῖν ἐστι, τοῖς μαθηταῖς ἔλεγε· καὶ ὑμεῖς μαρτυρεῖτε » περὶ ἐμοῦ, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε· καὶ αὐτοὶ οἱ Ἀπόστολοι πολ» λαχοῦ οὕτω φασί· μάρτυρες ἡμεῖς καὶ τὸ πνεῦμα τὸ ἅγιον, ὃ ἔ» δωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. καὶ μετὰ ταῦτα δὲ πιστούμενος » τὴν ἀνάστασιν ὁ Πέτρος ἔλεγεν· οἵτινες συνεφάγομεν καὶ συνε» πίομεν αὐτῷ. τάχιον γὰρ τὴν παρὰ τῶν συγγινομένων ἀνθρώπων μαρτυρίαν ἐδέχοντο, διὰ τὸ τὴν περὶ τοῦ πνεύματος ἐννοίας σφόδρα τέως ἀπεῖναι. διὰ τοῦτο καὶ Ἰωάννης ἐν τῇ τοῦ Εὐαγγελίου συγγραφῇ ἔλεγεν, ὅτι αὐτὸς εἶδε, περὶ τοῦ αἵματος καὶ τοῦ ὕδατος διαλεγόμενος, τὴν ὄψιν αὐτοῖς ἀντὶ μαρτυρίας τιθεὶς μεγίστης· καίτοι τῆς ὄψεως ἀκριβέστερα τὰ παρὰ τοῦ πνεύματος, ἀλλ' οὐ παρὰ τοῖς ἀπίστοις. ἐπεὶ ὅτι πνεύματος μετεῖχεν ὁ ἀνὴρ, πολλαχόθεν δῆλον, ἀπό τε τῶν σημείων τῶν νῦν γινομένων, ἀπό τε [τοῦ] καὶ τοὺς τυχόντας τότε μετα» λαμβάνειν πνεύματος, ἀπό τε τῆς Παύλου μαρτυρίας. οὗ γάρ, φη» σὶν, ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ· ἀπό τε τῆς κατὰ τὴν χειροτονίαν » ψήφου. εἰπὼν γὰρ τοῦτο, ἐπάγει, ἀλλὰ καὶ χειροτονηθεὶς ὑπὸ τῶν ἐκ» κλησιῶν, συνέκδημος ἡμῶν ἐν τῇ χάριτι ταύτῃ τῇ διακονουμέ» νῃ ὑφ' ἡμῶν. καὶ ὅρα αὐτοῦ τὸ ἄτυφον. οὐ [γὰρ] λέγει, τὸ μὲν πρῶτον Εὐαγγέλιον ὃ εὐηγγελισάμην· ἀλλὰ τὸν μὲν πρῶτον λόγον ἐποιησάμην, μείζονα ἑαυτοῦ εἶναι νομίζων τοῦ Εὐαγγελίου τὴν προσηγορίαν. καίτοι γε ὁ Ἀπόστολος ἐντεῦθεν αὐτὸν κοσμεῖ λέγων· οὗ ὁ ἔπαινος ἐν τῷ Εὐαγγελίῳ· ἀλλ' αὐτὸς μετριάζει καί φησι· τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν. οὐχ ἁπλῶς περὶ πάντων· ἀλλ' ἀπ' ἀρχῆς μέχρι τέλους. ἄχρι γὰρ τῆς ἡμέρας, φησὶν, ἧς ἀνελήφθη· καίτοι μὴν Ἰωάννης δείκνυσιν, ὅτι οὐκ ἦν δυνατὸν πάντα γράψαι. θέλων γὰρ » τοῦτο δηλῶσαι εἰπὼν, ἅτινα ἐὰν γράφηται καθ' ἓν, οὐδὲ αὐτὸν τὸν κό» σμον οἶμαι χωρῆσαι, προσέθηκε, τὰ γραφόμενα βιβλία· πῶς οὖν, φησὶ, περὶ πάντων οὗτος [λέγει;] ἀλλ' οὐκ εἶπεν πάντα, ἀλλὰ περὶ πάντων; ὡς ἂν εἴποι τις ἁδρομερῶς καὶ παχυμερῶς· ἢ περὶ πάντων λέγει, τῶν συνεχόντων καὶ κατεπειγόντων. [τουτέστι.] [εἶτα δείκνυσι καὶ] ποίων πάντων, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, τὰ θαύματα καὶ τὰς διδασκαλίας αἰνιττόμενος· οὐ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι καὶ ποιῶν ἐδίδασκεν. ὅρα δὲ αὐτοῦ καὶ τὴν φιλάνθρωπον καὶ Ἀποστολικὴν γνώμην· εἰ καὶ ἑνὸς ἕνεκεν, τοσαύτην ἐ» ποιεῖτο ἀκρίβειαν, ὡς ὁλόκληρον Εὐαγγέλιον γράψαι. ἵνα γὰρ ἔ» χῃς, φησὶ, περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. καὶ γὰρ ἤκουσε » τοῦ Χριστοῦ λέγοντος· οὐκ ἔστι θέλημα τοῦ πατρός μου, ἵνα ἀπό» ληται εἷς τῶν μικρῶν τούτων. καὶ τίνος ἕνεκεν οὐχ ἓν βιβλίον ἐποίησεν [ἑνὶ] τῷ Θεοφίλῳ ἐπιστέλλων, ἀλλ' εἰς δύο διεῖλεν ὑποθέσεις; σαφηνείας ἕνεκεν καὶ τοῦ διαναπαῦσαι τὸν ἀκροατήν. ἄλλως δὲ, καὶ τῇ ὑποθέσει διῃρημέναι εἰσὶν [εἰς δύο] αἱ πραγματεῖαι. σκόπει δὲ ὅπως ἑαυτοῦ τοὺς λόγους ὁ Χριστὸς διὰ τῶν ἔργων ἀξιοπίστους ἐποίει. περὶ πραότητος παρῄνει, καὶ ἔλεγε· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ· ἐδίδασκεν ἀκτήμονας εἶναι, καὶ τοῦτο ἐδείκνυτο διὰ τῶν ἔργων· ὁ γὰρ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ, φησί. πάλιν ἐκέλευσε τοὺς ἐχθροὺς ἀγαπᾶν. ἐδίδαξε τοῦτο ἐπὶ τοῦ σταυροῦ εὐχόμενος ὑπὲρ τῶν σταυρούντων. ἔλεγε, τῷ θέλοντί σοι κριθῆναι, καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· ὁ δὲ, οὐχὶ τὰ ἱμάτια μόνον, ἀλλὰ καὶ τὸ αἷμα ἔδωκεν. οὕτω καὶ τοῖς μαθηταῖς ἐκέλευσε ποιεῖν. διὸ καὶ ὁ Παῦλος ἔλεγε· καθὼς ἔχετε τύπον ἡμᾶς. οὐδὲν γὰρ διδασκάλου ψυχρότερον, ἐν λόγοις φιλοσοφοῦντος μόνον, τοῦτο γὰρ οὐ διδασκάλου, ἀλλ' ὑποκριτοῦ. διὰ τοῦτο οἱ Ἀπόστολοι πρότερον ἀπὸ τοῦ βίου ἐδίδασκον, καὶ τότε ἀπὸ ῥημάτων· μᾶλλον δὲ οὐδὲ ἔδει ῥημάτων αὐτοῖς, τῶν ἔργων βοώντων. οὐκ ἂν δέ τις ἁμάρτοι, καὶ τὸ πάθος αὐτοῦ πρᾶξιν καλέσας. ἐν τῷ γὰρ παθεῖν, ἐποίησε τὸ μέγα καὶ θαυμαστὸν ἔργον ἐκεῖνο,

A Quid igitur? nihil hîc aliud est, quàm historia, & narratio spiritus expers: Nequaquam. Qui sic? Quoniam & illa quæ ab initio ipsi, qui spectatores fuerunt ac ministri sermonis, Lucæ tradiderunt, spiritus erant. Et quare non dixit, quemadmodum nobis tradiderunt, qui Spiritus sancti donum promeruerunt, sed *quorum ipsi spectatores fuerunt?* Quoniam hoc maximè fidem conciliat, si quis didicerit ex his qui quæ narrant, oculis suis viderunt. Illud autem, si spiritus authoritatem præ B se tulissent, fastui & arrogantiæ tribuissent imperiti. Unde & Joannes sic loquitur: *Ego vidi & testimonium perhibui, quod hic est filius Dei.* (Joh. 1, 34.) Christus autem sic loquitur, Nicodemo videlicet crassiori: *Quod scimus loquimur, & quod vidimus testificamur, & testimonium nostrum nemo recipit.* (Ib. 3, 11.) Rursus declarans, multa testimonia proficisci ab oculis, dicebat discipulis: *Et vos testificamini de me, quoniam ab initio mecum estis.* (Ib. 15, 27.) Quin & ipsi Apostoli frequenter hunc in modum loquuntur: *Testes nos, & Spi-* C *ritus sanctus, quem dedit Deus fidentibus sibi.* (Infr. 5, 32.) Posteà Petrus comprobans resurrectionem, dicebat: *Qui simul edimus & bibimus cum illo.* (Infr. 10, 41.) Facilius enim testimonium auditores recipiebant ab his qui vixerant cum illo, quod id temporis adhuc multi abessent ab intellectu spiritu. Unde & Joannes in suo Evangelio, quod scripsit, ait *se vidisse* quod narrat de fluxu sanguinis & aquæ, hoc ipsum gravissimi testimonii loco ponens, (Joh. 19, 35.) quod vidisset, etiamsi quæ spiritus suggerit certiora sunt iis quæ D videmus, sed non apud incredulos. Porrò quod Lucas non fuerit expers spiritus, pluribus ex argumentis perspicuum est, vel è miraculis, quæ nunc per illum fiunt, vel quod tum quilibet participes fiebant Spiritus sancti, non solùm eximii qualis erat Lucas, vel ex ipsius Pauli de illo testimonio. Ait enim, *cujus laus est in Evangelio*; (2. Cor. 8, 18) vel ex hoc quod Ecclesiarum suffragiis delectus fuit. Siquidem suprà dictis & illud adjicit: *Quin etiam electus est ab Ecclesiis, ut nobis peregrinationis sit comes, in hac gra-* E *tia, qua administratur à nobis.* Jam mihi vide quam hic Evangelistæ sermo absit ab omni fastu. Non enim dicit, prius Evangelium quod evangelizavi: sed *priorem quidem sermonem feci*, nimirum Evangelii prædicationem magnificentius quiddam esse ducens, quàm pro ipsius dignitate aut viribus: Et tamen Apostolus hoc titulo ornat illum dicens: *Cujus laus est in Evangelio.* Ipse contrà modestè loquitur, dicens: *Priorem quidem sermonem feci de omnibus, ô Theophile, qua cœpit Jesus tum facere* A *tum docere*, non simpliciter de omnibus, sed ab initio ad finem usque, ait enim: *ad eum diem quo receptus est in cælum.* Atqui Joannes declarat *impossibile perscribere omnia.* (Joh. 21, 25.) Siquidem hoc ut ostenderet, ubi dixerat: *Quæ si scribantur singulatim, nec ipse ut arbitror caperet mundus*; addidit, *qui scribendi forent libri.* Quomodo igitur, inquiet aliquis, hic Lucas loquitur *de omnibus*? Atqui non dixit omnia, sed *de omnibus*, perinde ac si quis dicat summatim & in genere: aut de omnibus loquitur, quæ B necessaria sunt urgentque. Ac mox indicat, quæ sint illa omnia, *qua cœpit Jesus tum facere tum docere:* intelligi volens miracula ac doctrinam. Nec id verò solum indicavit, verumetiam quod Jesus faciendo docuerit. Vide porrò humanitatem ejus ac mentem Apostolo dignam, etiam si unius hominis causa tam diligentem solicitudinem suscepisset, ut totum Evangelium conscriberet; ut, inquit, *habeas eorum sermonum quos audisti certitudinem.* Audierat enim Christum dicentem: *Non* C *est voluntas Patris mei, ut vel unus pereat ex his pusillis.* (Matt. 18, 14) Et quam ob causam non unicum fecit librum, quem uni mitteret Theophilo, sed in duo partitus est argumenta? Nimirùm quo res distinctione voluminum esset dilucidior, simulque ut intermissione respiraret ac refocillaretur auditor. Quanquam & alioqui distinctæ sunt res quæ in his libris tractantur. Quin & illud considera, quo pacto Christus dictis suis per opera fidem conciliarit. Ad mansuetudinem hortatus est, dicens: *Discite à me, quod mitis sum & humilis corde.* (Ib. 11, 28.) Docuit nos paupertatem, & utrumque factis demonstratur. Siquidem *filius hominis*, in- D quit, *non habet ubi caput suum reclinet.* (Ib. 8, 20.) Rursum præcepit, ut diligeremus inimicos. Exhibuit hoc in Cruce, deprecans pro crucifigentibus. Dixit: *Volenti trahere in jus ut tunicam eripiat, permitte ut & pallium auferat.* (Ib. 5, 40.) Ipse verò non vestimenta tantùm, verùm sanguinem quoque suum dedit. Idem ut facerent & discipulis præcepit; unde & Paulus, dixit: *Quemadmodum habetis formam ex nobis.* (Phil. 3, 17.) Nihil enim doctore frigidius, qui verbis duntaxat philosophatur. Neque enim E hoc doctoris est, sed histrionis & hypocritæ. Eóque Apostoli prius vitæ exemplis docebant, deinde verbis. Quin potius ne verbis quidem erat opus, cum clamarent opera. Nec aberrarit à vero, qui passionem ejus actionem dixerit. Nam patiendo fecit ingens illud & admirandum opus,

quo mortem dejecit, reliquaque omnia peregit. *Ad eum usque diem, quo præcipiens Apostolis per Spiritum Sanctum, quos elegerat, in cœlum receptus est.* Per Spiritum præcipiens, hoc est, spiritualia ad illos verba loquutus, nihil autem humanum. Vide igitur, num hic sensus placeat, an magis placet accipere, quod per spiritum eis præceperit. Vides ut adhuc Lucas modicè de Christo loquitur, quemadmodum & ipse Dominus de se ipso loquebatur: *Quod in spiritu ejicio dæmonia*; Etenim Spiritus ille sanctus operabatur in eo Templo. Quid tandem præcepit? *Profecti, docete omnes Gentes, baptizantes eos, In nomine Patris, & Filii, & Spiritus Sancti; docentes illos servare omnia quæcunque præcepi vobis.* Magna laus Apostolorum, quum talia fuerint aggressi, nimirum totius orbis salutem, quum horum verba Spiritus essent plena. Quod ipsum sanè innuit, quum dicit, *per Spiritum Sanctum*; hoc est, etiam verba quæ locutus sum vobis, spiritus sunt. Cæterùm quod dicit, hoc est: primùm auditorem rapit ad cupiditatem, deinceps discendi cognoscendique præcepta, tum Apostolis fidem conciliat, quandoquidem Spiritus verba dicturi sunt, & Christi præcepta. Itaque *quum præcepisset*: inquit, *receptus est*: Non dixit, ascendit: Nam adhuc tanquam de homine loquitur. Videlicet & post Resurrectionem docuit Discipulos, cæterùm hujus temporis historiam nemo nobis explicuit exactè totam. Verùm immoratur quidem huic rei Joannes magis quàm cæteri, quemadmodum & hic: sed nullus omnia evidenter disseruit, propterea quod ad alia festinarent. Discimus igitur hæc per Apostolos, qui quæ audierant retulerunt, *quibus & seipsum præbuit vivum*. Prius autem de assumptione locutus, dicit & de Resurrectione. Posteaquam enim dixit eum assumptum, ne putares illum ab aliis assumptum esse, adjecit, quibus & exhibuit seipsum vivum. Etenim si semetipsum exhibuit in re majore, multò magis in minore. Vides quomodo clanculum aspergit magna hæc dogmata? *Per dies quadraginta visus est ab illis.* Neque enim ita tunc perpetuò, quemadmodum ante Resurrectionem fecerat, versatur cum illis. Illud vide, non dixit, quadraginta diebus, sed *per quadraginta dies*. Advolabat enim, ac devolabat rursus. Cur ita tandem? Subducebat animos illorum ad altiora, nec patiebatur illos similiter erga ipsum sic affectos esse, quemadmodum prius fuerant. Neque verò hoc simpliciter faciebat, sed ad utrumque diligenter præparabat, & ut crederetur resurrectio, & ut deinceps major humana conditione haberetur. Atque hæc erant inter sese contraria. Ut enim persuaderetur resurrectio, oportebat multa esse facta, quæ erant humanæ naturæ. Ut autem crederetur id quod est mirabilius, videlicet divina natura, contrà. Et tamen utrumque factum est opportuno tempore. Cæterum qua de causa non apparuit omnibus sed discipulis tantùm? Quoniam multis illorum visum fuisset spectrum, videlicet iis qui non noverant arcanum mysterii. Etenim si ipsi discipuli diffidebant initiò ac turbabantur, & opus erat ut manibus contrectarent, opus erat mensa communi: quomodo verisimile est affectos futuros fuisse vulgares istos? Proinde ex miraculis certam & indubitatam facit resurrectionis fidem, ut non solùm evidens esset ejus ætatis hominibus, verum etiam omnibus sequuturis. Quod enim in illis effecerunt conspecta prodigia, hoc in omnibus posteris erat effectura fides. Quapropter & incredulos per fidem colligimus. Etenim si non resurrexit, manet adhuc mortuus: quomodo in nomine ejus Apostoli edidere miracula? At non edidere miracula, dixerit aliquis: Quomodo igitur nostra natio collecta est? Nec enim hoc saltem sic habere negabunt, neque repugnabunt iis quæ videntur. Itaque quum ajunt non esse facta miracula, tum magis etiam seipsos pudefaciunt. Nam hoc ipsum maximum est miraculum, absque miraculis orbem terrarum accurrere, à duodecim pauperibus & illiteratis hominibus attractum. Neque enim opulentia divitiarum, neque sapientia dicendi, nec alia re simili vicerunt piscatores, ut jam vel inviti fateantur homines in illis divinam esse virtutem. Nam erat impossibile, ut unquam res tanta viribus hominum conficeretur. Atque hac de causa & ipse *diebus quadraginta* commoratus est post resurrectionem, longo temporis spatio certis argumentis declarans & comprobans conspectum sui ipsius, ne spectrum & inane phantasma crederent quod videbatur. Ac ne his quidem contentus fuit, sed mensam etiam addidit. Nimirum hoc est, quod deinceps dicit: *Et convescens simul cum illis.* Sic hoc argumento ipsi quoque Apostoli semper astruxerunt resurrectionis fidem, ut quum ajunt, *qui quidem cibum simul sumpsimus, & bibimus cum illo.* Sed quid apparens faciebat? Per quæ illos ad fidem adduxerit ostendit, dicens: *Apparens illis, & loquens de regno Dei.*

Matt. 12. Ib. 28, 19. Joh. 6, 63. Act. 10, 41.

τὸν θάνατον καταλύσας, καὶ τὰ ἄλλα πάντα ἐργασάμενος. ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ πνεύματος ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Διὰ πνεύματος ἐντειλάμενος· τουτέστι, πνευματικὰ πρὸς αὐτοὺς εἰπὼν ῥήματα, οὐδὲν ἀνθρώπινον. ἢ οὕτως οὖν ἐστιν εἰπεῖν· ἢ ὅτι διὰ πνεύματος αὐτοῖς ἐνετείλατο. ὁρᾷς πῶς ταπεινῶς ἔτι διαλέγεται περὶ αὐτοῦ, ὡς καὶ αὐτὸς περὶ ἑαυτοῦ λέγων; εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια. καὶ γὰρ [καὶ] τὸ πνεῦμα τὸ ἅγιον ἐνήργει ἐν ἐκείνῳ τῷ ναῷ. τί δαὶ ἐνετείλατο; πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. μέγα τῶν Ἀποστόλων τὸ ἐγκώμιον, ὅταν τοιαῦτα ὦσιν ἐγκεχειρισμένοι· τῆς οἰκουμένης λέγω τὴν σωτηρίαν· ὅταν ῥήματα [τοῦ] πνεύματος γέμοντα. ὃ δὴ πρὸς καὶ αἰνιττόμενος εἶπε, τὸ διὰ πνεύματος ἁγίου· τουτέστι, καὶ τὰ ῥήματα ἃ ἐλάλησα ὑμῖν, πνεῦμά ἐστι. τοῦτο δέ, φησι, τὸν ἀκροατὴν εἰς ἐπιθυμίαν [λοιπὸν] ἄγων τοῦ μαθεῖν τὰς ἐντολὰς, [καὶ ἀξιοπίστους τοὺς Ἀποστόλους ποιῶν, εἴγε τὰ τοῦ πνεύματος μέλλουσι λέγειν, καὶ τὰς τοῦ Χριστοῦ ἐντολάς.] ἐντειλάμενος οὖν, φησιν, ἀνελήφθη. οὐκ εἶπεν, ἀνέβη, [ἀλλ'] ἔτι ὡς περὶ ἀνθρώπου διαλέγεται. ἄρα καὶ μετὰ τὴν ἀνάστασιν ἐδίδασκε τοὺς μαθητάς. ἀλλὰ τὸν χρόνον οὐδεὶς εἶπεν ἡμῖν μετ' ἀκριβείας ἅπαντα· ἀλλ' ἐγχρονίζει μὲν αὐτῷ [ὁ] Ἰωάννης τῶν ἄλλων μᾶλλον, καὶ οὗτος· πάντα δὲ σαφῶς οὐδεὶς ἀπήγγειλε. πρὸς γὰρ ἕτερον ἠπείγοντο. ἐμάθομεν δὲ ταῦτα διὰ τῶν Ἀποστόλων. ἃ γὰρ ἤκουσαν [καὶ] εἶπον· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. εἰπὼν περὶ τῆς ἀναλήψεως πρότερον, λέγει [καὶ] περὶ τῆς ἀναστάσεως. ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀνελήφθη, ἵνα μὴ νομίσῃς ὑφ' ἑτέρων αὐτὸν ἀνειλῆφθαι, ἐπήγαγεν· οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα. εἰ γὰρ ἐν τῷ μείζονι ἑαυτὸν παρέστησε, πολλῷ μᾶλλον ἐν τῷ ἐλάττονι; εἶδες πῶς λανθανόντως παρασπείρει τὰ μεγάλα ταυτὶ δόγματα; δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς. οὐ γὰρ ὥσπερ πρὸ τῆς ἀναστάσεως, ἀεὶ μετ' αὐτῶν ἦν, οὕτω καὶ τότε. ὅρα [γὰρ] οὐκ εἶπε τεσσαράκοντα ἡμέρας, ἀλλὰ δι' ἡμερῶν τεσσαράκοντα. ἐφίστατο γὰρ καὶ ἀφίπτατο πάλιν. τί δήποτε; ἀνάγων αὐτῶν τὰς διανοίας, καὶ οὐκ ἔτι συγχωρῶν ὁμοίως [καὶ] πρὸς αὐτὸν διακεῖσθαι ὥσπερ καὶ ἔμπροσθεν. οὐχ ἁπλῶς δὲ τοῦτο ἐποίει, ἀλλ' ἑκάτερα μετ' ἀκριβείας κατασκευάζων, καὶ τὸ πιστευθῆναι τὴν ἀνάστασιν, καὶ τὸ μείζονα αὐτὸν νομισθῆναι λοιπὸν ἢ κατ' ἄνθρωπον, καί τι γε ταῦτα ἐναντία ἦν. ὑπὲρ μὲν γὰρ τοῦ πιστευθῆναι τὴν ἀνάστασιν, πολλὰ ἀνθρώπινα ἔδει γενέσθαι· ὑπὲρ δὲ θατέρου, τοὐναντίον. ἀλλ' ὅμως ἀμφότερα γέγονε μετὰ τοῦ προσήκοντος καιροῦ. [τίνος δὲ ἕνεκεν] οὐχὶ πᾶσιν, ἀλλὰ τοῖς Ἀποστόλοις ἐφάνη; ὅτι φάντασμα ἂν ἔδοξεν εἶναι τοῖς πολλοῖς, οὐκ εἰδόσι τὸ ἀπόρρητον τοῦ μυστηρίου. εἰ γὰρ καὶ αὐτοὶ οἱ μαθηταὶ ἠπίστουν τὴν ἀρχὴν καὶ ἐθορυβοῦντο, καὶ ἀφῆς ἐδεήθησαν τῆς διὰ χειρὸς, καὶ τραπέζης, τί τοὺς πολλοὺς εἰκὸς παθεῖν ἦν; διά τοι τοῦτο ἐκ τῶν σημείων ἀναμφίβολον ποιεῖ τῆς ἀναστάσεως τὴν ἀπόδειξιν· ὥστε μὴ τοῖς τότε μόνον, ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα φανερὰν γενέσθαι τὴν ἀνάστασιν. ὅπερ γὰρ ἐκείνοις ἐκ τῆς ὄψεως τῶν σημείων, τοῦτο ἐκ τῆς πίστεως πᾶσιν ὕστερον [ἔμελλεν] ἔσεσθαι. διά τοι τοῦτο καὶ τοὺς ἀπίστους ἐντεῦθεν συλλογιζόμεθα. εἰ γὰρ οὐκ ἀνέστη, ἀλλὰ μένει νεκρὸς, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ οἱ Ἀπόστολοι σημεῖα ἐποίησαν; ἀλλ' οὐκ ἐποίησαν σημεῖα; πῶς οὖν συνέστη τὸ ἔθνος τὸ ἡμέτερον; οὐ γὰρ δὴ [καὶ] πρὸς τοῦτο ἀντιστήσονται, οὐδὲ τοῖς ὁρωμένοις μαχήσονται. ὥστε ὅταν λέγωσι μὴ γενέσθαι σημεῖα, μειζόνως ἑαυτοὺς καταισχύνουσι. τοῦτο γὰρ μέγιστον σημεῖον, τὸ χωρὶς σημείων τὴν οἰκουμένην προσδραμεῖν ἅπασαν, ὑπὸ δώδεκα πτωχῶν καὶ ἀγραμμάτων ἀνθρώπων ἁλιευθεῖσαν. [οὐδὲ γὰρ πλούτῳ χρημάτων, οὐ σοφίᾳ λόγων, οὐκ ἄλλῳ τινὶ τοιούτῳ περιεγένοντο οἱ ἁλιεῖς.] ὥστε καὶ ἄκοντες ὁμολογήσουσι θείαν εἶναι ἐν αὐτοῖς δύναμιν. ἀμήχανον γὰρ ἀνθρωπίνην ἰσχὺν δυνηθῆναι τοσαῦτά ποτε. διά τοι τοῦτο καὶ αὐτὸς τεσσαράκοντα ἡμέρας ἔμεινε μετὰ τὴν ἀνάστασιν, ἔλεγχον διδοὺς ἐν τῷ μακρῷ χρόνῳ τῆς ὄψεως τῆς οἰκείας, ἵνα μὴ φάντασμα εἶναι νομίσωσι τὸ ὁρώμενον. καὶ οὐδὲ τούτῳ ἠρκέσθη, ἀλλὰ καὶ τράπεζαν προσετίθει. ὅπερ οὖν καὶ προϊὼν λέγει· καὶ συναλιζόμενος αὐτοῖς. τοῦτο δὲ ἀεὶ καὶ αὐτοὶ οἱ Ἀπόστολοι τεκμήριον ἐποιοῦντο τῆς ἀναστάσεως λέγοντες· οἵτινες συνεφάγομεν, καὶ συνεπίομεν αὐτῷ. τί δὲ καὶ φαινόμενος ἐποίει, δι' ὧν ἐπήγαγε δείκνυσι λέγων· ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

Digitized by Google

ἐπεὶ δὲ καὶ πεπονηκότες ἦσαν καὶ τεταραγμένοι τοῖς ἤδη γεγενημένοις, καὶ πρὸς μεγάλους ἔμελλον [λοιπὸν] ἐξιέναι ἀγῶνας, τοῖς περὶ τῶν μελλόντων αὐτοὺς ἀνακτᾶται λόγοις, παρήγγειλεν ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρός. πρῶτον αὐτοὺς εἰς τὴν Γαλιλαίαν ἐξήγαγε, δεδοικότας ἔτι [καὶ τρέμοντας,] ἵνα μετ' ἀδείας ἀκούσωσι τῶν λεγομένων· εἶτα, ἐπειδὴ ἤκουσαν, καὶ τεσσαράκοντα συνδιέτριψαν ἡμέρας, παρήγγειλε μὴ ἀπὸ Ἱεροσολύμων χωρίζεσθαι. τί δήποτε; καθάπερ τινὰς στρατιώτας μέλλοντας εἰς πλῆθος ἐμπίπτειν, οὐδεὶς ἀφίησιν ἐξελθεῖν, ἕως ἂν ὁπλίσωνται· οὐδὲ ἵππους προπηδᾷν τῆς βαλβῖδος, ἕως ἂν τὸν ἡνίοχον λάβωσιν· οὕτω δὴ καὶ αὐτοὺς πρὸ τῆς τοῦ πνεύματος καθόδου φανῆναι ἐπὶ τῆς παρατάξεως οὐκ ἠφίει, ὥστε μὴ γενέσθαι εὐχειρώτους καὶ ἁλωσίμους τοῖς πολλοῖς. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ ἐπειδὴ πολλοὶ ἦσαν οἱ μέλλοντες πιστεύειν αὐτόθι· καὶ πρὸς τούτοις πάλιν, ἵνα μὴ λέγωσί τινες, ὅτι τοὺς γνωρίμους ἀφέντες παρὰ τοῖς ξένοις ἦλθον κομπάσαι, τούτου χάριν παρ' αὐτοῖς τοῖς πεφονευκόσι παρέχουσι τὰ τεκμήρια [τῆς ἀναστάσεως, παρ' αὐτοῖς τοῖς ἐσταυρωκόσι, τοῖς θάψασιν, ἐν αὐτῇ τῇ πόλει ἐν ᾗ τὸ πρᾶγμα τὸ παράνομον ἐτολμήθη,] ὥστε καὶ τοὺς ἔξωθεν ἐπιστομισθῆναι ἅπαντας. ὅταν γὰρ οἱ ἐσταυρωκότες αὐτὸν φαίνωνται καὶ πεπιστευκότες, εὔδηλον ἦν [καὶ ὁ σταυρὸς] καὶ τοῦ τολμήματος ἐδείκνυτο ἡ παρανομία, καὶ τῆς ἀναστάσεως πολλὴ ἡ ἀπόδειξις. ἔτι ἵνα μὴ λέγωσι, πῶς ἂν δυνησόμεθα μεταξὺ ἀνθρώπων μιαρῶν καὶ φονώντων, [καὶ τοσούτων ὄντων] ὀλίγοι καὶ εὐτελεῖς ὄντες μένειν, ὅρα πῶς λύει τὴν ἀγωνίαν, εἰπών· ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου. καὶ πότε ἤκουσαν, φησίν; ὅτε ἔλεγε· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρὸς ὑμᾶς. καὶ πάλιν· ἐρωτήσω τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, ἵνα μένῃ μεθ' ὑμῶν. καὶ τίνος ἕνεκεν οὐχὶ παρόντος αὐτοῦ οὐδὲ ἀπελθόντος εὐθέως παραγίνεται· ἀλλ' αὐτὸς μὲν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ἀνῆλθε· τὸ δὲ πνεῦμα παραγίνεται ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς; καὶ πῶς, εἰ μηδέπω παραγεγόνει, ἔλεγε, λάβετε πνεῦμα ἅγιον; ἵνα δεκτικοὺς αὐτοὺς ποιήσῃ, καὶ δεχομένους πρὸς τὴν ὑποδοχήν. εἰ γὰρ ἄγγελον μέλλων ὁρᾷν ὁ Δανιὴλ παρεῖτο, πολλῷ μᾶλλον οὗτοι μέλλοντες τοσαύτην δέξασθαι χάριν; ἢ τοῦτο μὲν ἔστιν εἰπεῖν· ἢ ὅτι τὸ μέλλον ἔσεσθαι ὡς ἤδη γεγενημένον εἴρηκεν. ὥσπερ ὅταν λέγῃ, πατεῖτε ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. τίνος δὲ ἕνεκεν οὐκ εὐθέως τότε παραγεγόνει; ἐν ἐπιθυμίᾳ αὐτοὺς ἔδει γενέσθαι τοῦ πράγματος, καὶ οὕτω δέξασθαι τὴν χάριν. διὰ τοῦτο [ὅτε] αὐτὸς ἀπέστη, τότε ἐκεῖνο [ἦλθεν.] εἰ δὲ ἦλθε παρόντος αὐτοῦ, οὐκ ἂν ἐν τοσαύτῃ ἐγένοντο προσδοκίᾳ. διὰ τοῦτο οὐδὲ εὐθέως ἀνελθόντος αὐτοῦ παραγίνεται, ἀλλὰ μετ' ὀκτὼ ἢ ἐννέα ἡμέρας, οὕτω καὶ ἡμεῖς πρὸς τὸν Θεὸν τότε μάλιστα διεγειρόμεθα, ὅταν ἐν χρείᾳ καθεστῶμεν. διὰ τοῦτο καὶ Ἰωάννης τότε μάλιστα πέμπει τοὺς μαθητὰς πρὸς τὸν Χριστόν, ὅτε μάλιστα ἔμελλον ἐν χρείᾳ εἶναι τοῦ Ἰησοῦ, τὸ δεσμωτήριον οἰκοῦντος ἐκείνου. ἄλλως δὲ ἔδει ἐν οὐρανῷ φανῆναι τὴν ἡμετέραν φύσιν, καὶ τὰς καταλλαγὰς γενέσθαι ἀπηρτισμένας, καὶ τότε ἐλθεῖν τὸ πνεῦμα, καὶ καθαρὰν γενέσθαι τὴν ἡδονήν. εἰ γὰρ παρόντος αὐτοῦ, ὁ μὲν ἀπῆλθεν, ὁ δὲ ἔμεινεν, οὐκ ἂν ἦν τοσαύτη ἡ παραμυθία. καὶ γὰρ σφόδρα αὐτοῦ δυσαποσπάστως εἶχον. διὸ καὶ ἔλεγε παραμυθούμενος αὐτούς· Συμφέρει ὑμῖν ἵνα ἐγὼ ἀπέλθω. διὰ τοῦτο καὶ ἡμέρας ἀναμένει τὰς μεταξύ· ἵνα μικρὸν ἀθυμήσαντες, καὶ ἐν χρείᾳ ὥσπερ ὄντες καταστάντες, ὁλόκληρον καὶ καθαρὰν καρπώσωνται τὴν ἡδονήν. εἰ δὲ ἔλαττον ἦν τὸ πνεῦμα, οὐκ ἦν ἀρκοῦσα ἡ παραμυθία. πῶς δὲ καὶ ἔλεγε, Συμφέρει ὑμῖν; διὰ τοῦτο τὰ μείζονα αὐτῷ τετήρηται τῆς διδασκαλίας, ἵνα μὴ ἔλαττον αὐτὸ νομίσωσι. σκόπει δὲ ἡλίκην αὐτοῖς ἀνάγκην ἐπέθηκεν ἐν Ἱεροσολύμοις εἶναι, τῷ ὑποσχέσθαι ἐκεῖ τὸ πνεῦμα παρέχεσθαι. ἵνα γὰρ μὴ πάλιν μετὰ τὴν ἀνάληψιν [αὐτοῦ] φύγωσι, τῇ προσδοκίᾳ ταύτῃ, καθάπερ τινὶ δεσμῷ, κατέχει πάντας αὐτοὺς ἐκεῖσε. εἰπὼν δὲ περιμένειν τὴν ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου, ἐπήγαγεν· ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. δείκνυσι λοιπὸν τὸ μέσον αὐτοῦ καὶ Ἰωάννου φανερῶς· οὐκ ἔτι ὡς πρὸ τούτου συνεσκιασμένως· καὶ γὰρ σφόδρα συνεσκίασε τὸν λόγον ὅτε ἔλεγεν· ὁ δὲ μικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστιν· ἀλλὰ νῦν φανερώτερον· Ἰωάννης φησὶν ἐβάπτισεν ὕδατι· ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν πνεύματι ἁγίῳ, οὐκ ἔτι χρῆται τῇ μαρτυρίᾳ.

A Quoniam autem dejectis erant animis, & his quæ facta fuerant conturbati, ac restabat, ut magna aggrederentur certamina, recreat & erigit illos: prædicens quid esset illis eventurum, ac *præcipiens ne discederent ab Hierosolymis, sed expectarent promissa Patris.* Primum evocarat illos in Galilæam, metuentes etiamnum ac trementes, quò vacui pavore, possent audire quæ dicerentur. Deinde quum audissent, & in his quadraginta dies essent versati, *præcepit ab Hierosolymis ne discederent.* Cur B ita tandem? Quemadmodum milites in multitudinem erupturos, nemo patitur exire priusquam armentur: neque equos sinit à carcere prosilire, priusquam aurigam nacti sint; nec Christus Discipulos suos passus est in acie conspici, priusquam descenderet Spiritus, ne facilè caperentur, & abducerentur à multitudine. Verùm non hæc sola causa est. Sed posteaquàm complures erant illic credituri, & rursum cum his alii, ne qui dicere possent, quod prætermissis notis, ad peregrinos abiissent C ostentandi sui gratia: hac de causa, apud ipsos qui Jesum occiderant, exhibent argumenta Resurrectionis: apud ipsos, inquam, qui eum crucifixerunt, qui sepelierant, in ipsa civitate in qua facinus illud impium erat patratum, ut advenis etiam omnibus os occluderetur. Etenim quum ipsos etiam qui Dominum crucifixerunt, palàm esset credidisse: satis constat, quod verè crucifixus fuerat Dominus, & evidens erat ejus facinoris impietas, denique Resurrectionis fides apertè comprobatur. D Post hæc ne dicerent, quomodo ergo poterimus inter homines impios & homicidas, ad hæc tam multos, durare, quum simus pauci contemptique? Vide quomodo desperationem hanc dissolvat dicens, *sed expectare promissionem Patris, quam audistis ex me.* Et quando audierunt, dixerit aliquis? Quum diceret: *Expedit vobis ut ego discedam: nisi enim ego discessero, consolator ille non veniet ad vos.* Joh.16,6o. Ac rursum: *Rogabo Patrem, & alium* Ib.14,16. *consolatorem mittet vobis, ut maneat vobiscum.* Et quare is non E advenit quum adhuc adesset Dominus, aut mox ab illius discessu, sed ipse quidem abiit die quadragesimo, Spiritus autem advenit quum compleretur dies quinquagesimus? Ac si nondum advenerat, qui consistit quod dixerat: *Accipite Spiritum Sanctum*; Ib.20,22. Nimirum ut eos capaces redderet, & idoneos accipiendo Spiritui. Dan.8,17. Etenim si Daniel Angelum visurus semotus est, multo magis hos decebat secedere, tantum Dei donum accepturos. Utrum igitur licet hoc pacto quæstionem propositam A solvere, an sic potius accipiendum est, quod de eo quod erat futurum, perinde quasi jam factum esset sit loquutus: Velut quum dicit: *Calcate serpentes & scorpios, & omnem virtutem inimici*? Luc.10,19. Quam igitur ob causam non tum protinus advenit Spiritus? Oportebat illos desiderio promissi teneri, atque ita donum accipere. Ideoque quum ipse digressus esset, tum advenit Spiritus. Qui si venisset eo præsente, non habuisset illos tam ardens expectatio. Et ideo non protinus ab Ascensio- B ne Domini venit Spiritus, sed post octo aut novem dies. Itidem & nos tum maximè excitamur in Deum, quoties in necessitate constituti sumus. Sic & Joannes tum maximè mittit Ib.7,20. Discipulos ad Christum, quum maximè futurum erat, ut opus esset Jesu, quando ille jam habitabat in carcere. Sed aliter exponi potest: Oportebat in cœlo comparere naturam nostram, & perfectam reconciliationem fieri, ac tum venire Spiritum, quo purum merumque gaudium fieret. Nam si Spiritu præ- C sente Dominus quidem abiisset, ille verò remansisset, non fuisset perinde magna consolatio: Siquidem sic erant affecti, ut admodum ægrè ab illo divellerentur; unde & consolans illos, dicit: *Expedit vobis, ut ego discedam.* Joh.16,6o. Itaque diebus aliquot interjectis differt missionem Spiritus, ut paulisper afflicti, & in necessitate, quemadmodum dictum est, constituti, mox solido puróque gaudio fruerentur. Porrò si Spiritus esset minor aut inferior filio, non erat suffi- D ciens consolatio. Sed quomodo dictum est illud: *Expedit vobis*? Ideò Spiritui servata est major doctrinæ portio, ne putarent illum minorem. Jam illud considera, quantam eis imposuerit necessitatem manendi Hierosolymis, ex eo quod pollicetur sese illic exhibituram Spiritum: Nam ne rursum post Ascensionem ipsius fugerent, hoc promisso ceu vinculo quodam eos illic astringit. Cæterum quum dixisset: *Expectate promissionem Patris, quam* E *audistis ex me*, subjecit: *Quoniam Joannes quidem baptizavit aqua, vos autem baptizabimini Spiritu Sancto post non multos hos dies.* Demonstrat in sequentibus, quid intersit inter Joannem & ipsum, non jam adumbratè, quemadmodum prius: vehementer enim adumbrarat sermonem quum diceret: *Qui autem minor est in regno cœlorum, major est eo;* sed nunc Mat.11,11. manifestius: *Joannes*, inquit, *baptizavit aqua; vos autem baptizabimini Spiritu Sancto.* Non jam utitur testimonio,

sed personæ tantùm meminit, quo memoriam illis refricet eorum quæ prius dixerat, simulque declarat eos jam majores factos Joanne, quandoquidem & ipsi baptizaturi erant spiritu.
Ibid. 3. Neque dixit, ego vos baptizo *in Spiritu Sancto*, sed *baptizabimini*; nos interim docens, ut modestè de nobis sentiamus. Nam hoc jam ex Joannis testimonio dilucidum erat, quod ipse esset qui baptizaret, quum diceret: *Ipse vos baptizabit Spiritu Sancto & igne.* Atque hac de causa, hujus unius facit mentionem. Igitur Evangelia quidem eorum quæ Christus gessit ac dixit, narrationem & historiam quandam continent. Cæterùm Actorum liber refert ea quæ alter ille Paracletus dixit ac fecit. Nam & tum quidem multa ipse faciebat. Quemadmodum & nunc Christus agit occulta vi, sicuti & tunc quoque temporis agebat. Sed tum quidem per ipsum templum, nunc autem per Apostolos. Ac tum quidem in virgineum venit uterum, templumque construxit: nunc verò in animos Apostolicos: Rursum tum venit in specie columbæ, nunc in specie ignis. Cur ita? Videlicet illic præ se ferebat mansuetudinem, hic verò etiam vindictæ severitatem. Tempestivè sanè commonefecit judicii: quum enim jam oportebat peccata concedere atque abire plurima opus erat mansuetudine. Rursum posteaquam adepti sumus donum, jam instat judicii & examinationis tempus. Sed quomodo dicit, *baptizabimini*, quum aqua non esset in cœnaculo? Quoniam in baptismo præcipua pars est spiritus, per quem & aqua fit efficax. Itaq; quemadmodum ipse dicitur unctus quum nequaquam unctus esset oleo, sed accepisset Spiritum Sanctum: sic & baptizati dicuntur Discipuli. Est & alia interpretatio. Comperire licet illos aqua fuisse tinctos. Idq; diversis temporib9. In nobis enim utrumque fit pariter, tunc vero disjunctim. Siquidem initio à Joanne baptizati sunt. Id ne cui mirum videatur. Etenim si *meretrices ac publicani ad baptismum illū venerunt*, multo magis venerunt hi qui pòst erant baptisandi spiritu. Post hæc ne dicerent totū hoc nihil
Luc. 3, aliud esse quam pollicitationes: jam enim multa de hoc baptismo dixerat, nève putarent, hanc spiritus vim talem ut nusquam appareret, revocans illos ab hujusmodi suspicione, dicit: *Post non multos hos dies.* Nec expressit, quando, quò semper vigilarent, tantùm dixit brevi futurum, ne dejicerentur animis: quando verò id esset futurum, nondum addidit, ut semper essent vigilantes. Nec hac re solum illos inducit ad credendum, videlicet brevitate temporis, verum etiam quum dicit *promissionem quam audistis ex me.* Porrò quod dicit hoc est: Non nunc, inquit, tantùm dixi vobis, sed & jampridem promisi, quæ sine dubio facturus sum. Quid igitur miraris, si non exprimit diem, quo hæc erant perficienda: quandoquidem hunc instantem ac vicinum noluit esse manifestum, idque justissima sanè de causa: nimirum ut vigilantes solicitius promissum expectarent. Non enim datur, non datur, inquam, gratia nisi vigilanti. An non
4 Reg. 2, 10 Iof. 8. 9. vides quid dicat Helias discipulo? *Si videris me quum abripiar, sic erit tibi*; hoc est, continget tibi quod postulas. Quin & Christus undique ad ipsum confluentibus, dicebat: *Credis?* Etenim nisi addicti fuerimus ei quod datur, ne sentiemus quidem magnopere beneficium. Sic & Paulo non statim data est gratia, sed triduum intercessit, quo fuit cæcus, atque interim metu purgatur ac præparatur. Etenim quemadmodum qui purpuram tingunt, prius aliis quibusdam coloribus præparant id quod tincturam accipiet, ne flos dilutus & evanidus fiat: itidem & hic prius animi solicitudinem Deus præparat, ac deinde infundit gratiam. Eandem ob causam nec spiritum illico misit, sed in die quinquagesimo. Quod si quis dixerit, quare non & nos eodem tempore baptizamus? Illud sanè respondere possumus, quod gratia quidem tum esset eadem quæ nunc est, cæterùm animus nunc fit sublimior & excelsior, dum jejunio præparatur. Quanquam & Pentecostes tempus habet aliquam rationem haudquaquam absurdam. Quam tandem dicis? Existimarunt patres satis idoneum malæ cupiditatis frænum, magnamque doctrinam esse baptismum ad hoc, ut etiam tempore deliciarum sobrietatem tuerentur. Itaque perinde quasi simul cum Christo cibum capiamus, communisque cum illo mensæ participes simus, ne quid temerè faciamus, sed in jejuniis, in precibus, multaque sobrietate degamus. Etenim si quis aditurus annonæ præfecturam, sibi parat quicquid ad vitæ usum pertinet, atque ut sibi nonnihil dignitatis assequatur, & pecunias consumit, & tempus impendit, & innumerabiles suffert labores: quo malo nos digni fuerimus, si cum tanta socordia regnum cœlorum adierimus, neque ulla cura nosmetipsos ad hoc præparaverimus, priusquam accipiamus? quin & postquam acceperimus, socorditer egerimus? Ideo namque posteaquam accepimus socordes sumus, quod priusquam acciperemus non vigilaverimus.

A ἀλλὰ ἀναμιμνήσκει τοῦ προσώπου μόνον, εἰς μνήμην τῶν παρ' αὐτοῦ εἰρημένων ἐνάγων, καὶ δεικνύσιν αὐτοὺς [ἤδη] μείζους [λοιπὸν] γεγενημένους Ἰωάννου, εἴγε ἐν πνεύματι ἔμελλον καὶ αὐτοὶ βαπτίζειν. καὶ οὐκ εἶπεν, ὑμᾶς δὲ ἐγὼ βαπτίζω ἐν πνεύματι ἁγίῳ, ἀλλὰ βαπτισθήσεσθε· διδάσκων ἡμᾶς ταπεινοφρονεῖν. τοῦτο γὰρ ἀπὸ τῆς μαρτυρίας Ἰωάννου δῆλον λοιπὸν ἦν, ὅτι αὐτὸς ἦν ὁ βαπτίζων [εἰπόντος,] [ὅτι] αὐτὸς ὑμᾶς βαπτίσει ἐν πνεύματι
B ἁγίῳ καὶ πυρί. διὸ καὶ μόνου αὐτοῦ ἐμνημόνευσε. τὰ μὲν οὖν Εὐαγγέλια, ὧν ὁ Χριστὸς ἐποίησε, καὶ εἶπεν, ἱστορία τίς ἐστιν· αἱ δὲ πράξεις, ὧν ὁ ἕτερος παράκλητος εἶπε, καὶ ἐποίησε. καὶ τότε μὲν γὰρ πολλὰ καὶ αὐτὸς ἐποίει, ὥσπερ οὖν καὶ νῦν ὁ Χριστὸς ἐνεργεῖ, καθάπερ καὶ τότε· ἀλλὰ τότε [μὲν] διὰ τοῦ ναοῦ, νῦν δὲ διὰ τῶν Ἀποστόλων. καὶ τότε μὲν εἰς παρθενικὴν ἦλθε μήτραν, καὶ ναὸν διέπλασε· νῦν δὲ εἰς ψυχὰς ἀποστολικάς. καὶ τότε μὲν ἐν εἴδει [πε-
C ριστερᾶς· νῦν δὲ ἐν εἴδει] πυρός. τί δήποτε; ἐκεῖ μὲν τὸ πρᾶον δηλῶν· ἐνταῦθα δὲ καὶ τὸ τιμωρητικόν. καὶ τῆς κρίσεως δὲ εὐκαίρως ἀναμιμνήσκει. ὅτε μὲν γὰρ ἁμαρτήματα συγχωρῆσαι ἔδει, πολλῆς ἔδει τῆς πρᾳότητος· ἐπειδὴ δὲ ἐτύχομεν [τῆς] δωρεᾶς, [λοιπὸν] καὶ κρίσεως καὶ ἐξετάσεως καιρός. πῶς δὲ βαπτισθήσεσθε λέγει, ὕδατος οὐκ ὄντος ἐν τῷ ὑπερῴῳ; ὅτι τὸ κυριώτερον τὸ πνεῦμά ἐστι, δι' οὗ καὶ τὸ ὕδωρ ἐνεργεῖ· ὥσπερ οὖν
D καὶ αὐτὸς κεχρῖσθαι λέγεται, οὐδαμοῦ χρισάμενος ἐλαίῳ, ἀλλὰ πνεῦμα δεξάμενος. ἄλλως δὲ, καὶ ὕδατι βαπτιζομένους αὐτούς ἐστιν εὑρεῖν, καὶ ἐν διαφόροις καιροῖς. ἐφ' ἡμῶν μὲν γὰρ, ἀμφότερα γίνεται ὑφ' ἕν· τοτὲ δὲ διεσπασμένως. παρὰ γὰρ τὴν ἀρχὴν, ὑπὸ Ἰωάννου ἐβαπτίσθησαν. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ πόρναι καὶ τελῶναι ἐπὶ τὸ βάπτισμα ἦσαν ἐκεῖνο· πολλῷ μᾶλλον οἱ μετὰ ταῦτα βαπτίζεσθαι μέλλοντες ὑπὸ τοῦ πνεύματος; εἶτα
E ἵνα μὴ λέγωσιν ἐν ἐπαγγελίαις ἀεὶ τὸ πρᾶγμα· καὶ γὰρ καὶ ἤδη πολλὰ περὶ αὐτοῦ διελέχθη· μηδὲ νομίσωσιν αὐτὸ ἐνέργειαν εἶναι ἀνυπόστατον, ἀπάγων αὐτοὺς τῆς τοιαύτης ὑπονοίας, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας, φησί. καὶ οὐκ ἐδήλωσε πότε, ἵνα ἀεὶ γρηγορῶσιν· [ἀλλ' ὅτι μὲν ἐγγὺς ἦσαν εἶπεν, ἵνα μὴ ἐκλυθῶσι· πότε δὲ, οὐκ ἔτι προσέθηκεν, ἵνα ἀεὶ νήφωσιν.] οὐ τούτῳ δὲ μόνον αὐτοὺς πιστοῦται, τῇ ταχυτῆτι λέγω τοῦ καιροῦ· ἀλλὰ καὶ τῷ λέγειν
A τῆς ἐπαγγελίας ἣν ἠκούσατέ μου. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ νῦν ὑμῖν εἶπον, φησὶ, μόνον· ἀλλὰ καὶ ἤδη ἐπηγγειλάμην ἃ ποιήσω πάντως. τί τοίνυν θαυμάζεις εἰ τὴν ἡμέραν τῆς συντελείας μὴ λέγει· ὅπου γε ταύτην τὴν οὕτως ἐγγὺς οὖσαν οὐκ ἠθέλησε ποιῆσαι κατάδηλον; καὶ μάλα εἰκότως, ἵν' ἀεὶ ἐγρηγορότες ὦσι καὶ ἐν προσδοκίᾳ, καὶ μερίμνῃ. οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι μὴ νήφοντα. ἢ οὐχ ὁρᾷς τί φησι καὶ Ἠλίας πρὸς τὸν μαθητήν; ἐὰν ἴδῃς "
B με ἀναλαμβανόμενον, ἔσται σοι οὕτω· [τουτέστι,] γενήσεταί σοι " ὅπερ αἰτεῖς. καὶ ὁ Χριστὸς δὲ πανταχοῦ τοῖς προσιοῦσιν ἔλεγε· πιστεύεις; ἐὰν γὰρ μὴ οἰκειωθῶμεν πρὸς τὸ διδόμενον, οὐδὲ τὴν εὐεργεσίαν σφόδρα αἰσθανόμεθα. οὕτω καὶ ἐπὶ Παύλου· οὐκ εὐθέως ἡ χάρις ἦλθεν· ἀλλὰ τρεῖς ἡμέραι ἐγένοντο μεταξὺ ἐν αἷς ἦν τυφλὸς, ὑπὸ τοῦ φόβου τηκόμενος καὶ προπαρασκευαζόμενος. καθάπερ γὰρ οἱ τὴν ἁλουργίδα βάπτοντες, πρότερον ἑτέροις ἐκεῖ τὸ
C δεχόμενον τὴν βαφὴν προπαρασκευάζουσιν, ἵνα μὴ ἐξίτηλον γένηται τὸ ἄνθος· οὕτω δὴ καὶ ἐνταῦθα, πρότερον μεμεριμνημένην κατασκευάζει τὴν ψυχὴν ὁ Θεὸς, καὶ τότε τὴν χάριν ἐκχεῖ. διὰ τοῦτο [καὶ] οὐδὲ εὐθέως τὸ πνεῦμα ἔπεμψεν, ἀλλ' ἐν τῇ Πεντηκοστῇ. εἰ δὲ λέγοι τις, τίνος ἕνεκεν καὶ ἡμεῖς οὐκ ἐν τῷ καιρῷ τούτῳ βαπτιζόμεθα; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι ἡ μὲν χάρις ἡ αὐτὴ καὶ τότε καὶ
D νῦν· ἡ δὲ διάνοια ὑψηλοτέρα γίνεται νῦν, νηστείᾳ προπαρασκευαζομένη. καὶ ὁ τῆς Πεντηκοστῆς δὲ καιρὸς ἔχει τινὰ λόγον οὐκ ἀπεοικότα. ποῖον δὴ τοῦτον; ἀρκοῦντα ἐνόμισαν οἱ πατέρες εἶναι χαλινὸν ἐπιθυμίας πονηρᾶς καὶ μεγάλην διδασκαλίαν τὸ βάπτισμα, εἰς τὸ καὶ ἐν καιρῷ τρυφῆς σωφρονεῖν. καθάπερ οὖν αὐτῷ συναλιζόμενοι τῷ Χριστῷ, καὶ τραπέζης κοινωνοῦντες, μηδὲν ἁπλῶς πράττωμεν, ἀλλ' ἐν νηστείαις καὶ εὐχαῖς, καὶ σωφρο-
E σύνῃ πολλῇ διάγωμεν. εἰ γὰρ ἐπὶ ἀρχὴν μέλλων ἰέναι τις βιωτικὴν, προπαρασκευάζει ἑαυτῷ ἅπαντα τὸν βίον, καὶ ἵνα τύχῃ τινὸς ἀξιώματος, καὶ χρήματα ἀναλίσκει, καὶ χρόνον δαπανᾷ, καὶ μυρίους ὑπομένει πόνους· τίνος ἂν εἴημεν ἡμεῖς ἄξιοι μετὰ τοσαύτης ῥᾳθυμίας τῇ βασιλείᾳ τῶν οὐρανῶν προσιόντες, καὶ οὔτε πρὶν ἢ λαβεῖν σπουδάζοντες, καὶ μετὰ τὸ λαβεῖν ῥᾳθυμοῦντες; διὰ γὰρ τοῦτο μετὰ τὸ λαβεῖν ῥᾳθυμοῦμεν, ἐπειδὴ πρὶν ἢ λαβεῖν οὐκ ἐγρηγόρειμεν· διὰ τοῦτο πολλοὶ μετὰ τὸ λαβεῖν

εὐθέως

Digitized by Google

εὐθέως ἐπὶ τὸν πρότερον ἐπανῆλθον ἔμετον, καὶ χείρους ἐγένοντο, καὶ χαλεπωτέραν ἐπεσπάσαντο κόλασιν, τῶν μὲν προτέρων ἀπαλλαγέντες ἁμαρτημάτων, ταύτῃ δὲ μειζόνως τὸν κριτὴν παροξύναντες, ὅτι τοσαύτης ἀπαλλαγέντες ἀῤῥωστίας οὐδὲ οὕτως ἐσωφρονίσθησαν, ἀλλ' ἔπαθον ὅπερ ἠπείλησε τῷ παραλυτικῷ ὁ Χριστὸς, λέγων· Ἴδε ὑγιὴς γέγονας, μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται· καὶ ὃ περὶ τῶν Ἰουδαίων [δὲ] προὔλεγε δεικνὺς ὅτι τὰ ἀνήκεστα πείσονται ἀγνωμονοῦντες· Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς [φησὶν] ἁμαρτίαν οὐκ εἶχον. ὥστε διπλᾶ καὶ τετραπλᾶ τὰ μετὰ ταῦτα ἁμαρτήματα γίνεται. πῶς; ὅτι μετὰ τὴν τιμὴν ἀγνώμονες γινόμεθα καὶ πονηροί. [καὶ] διὰ τοῦτο οὐδὲν ἡμῖν βοηθεῖ λοιπὸν τὸ λουτρὸν εἰς τὸ πρᾳοτέρας τυχεῖν τιμωρίας. σκόπει δέ· ἔχει τις ἁμαρτήματα χαλεπὰ, ἢ φονεύσας, ἢ μοιχεύσας, ἢ ἕτερόν τι [χαλεπώτερον] ἐργασάμενος· ἀφέθη διὰ τοῦ λουτροῦ ταῦτα· οὐ γάρ ἐστιν [οὐκ ἔστιν] οὐδὲν ἁμάρτημα, καὶ ἀσέβημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ δωρεᾷ. θεία γάρ ἐστιν ἡ χάρις. πάλιν ἐμοίχευσέ τις καὶ ἐφόνευσεν· ἡ μὲν προτέρα μοιχεία λέλυται, καὶ ὁ φόνος ἐκεῖνος συγκεχώρηται, καὶ οὐκ ἀνακαλεῖται· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα, καὶ ἡ κλῆσις τοῦ Θεοῦ· ὑπὲρ δὲ τῶν μετὰ τὸ βάπτισμα τοσαύτην δίδομεν δίκην, ὅσην ἂν εἰ καὶ ἐκεῖνα ἀνεκλήθη, καὶ πολλῷ χείρονα. οὐκέτι γὰρ ἁπλοῦν ἐστι τὸ ἁμάρτημα, ἀλλὰ διπλοῦν, καὶ τριπλοῦν. ὅτι δὲ μείζων τούτων τῶν ἁμαρτημάτων ἡ δίκη, ἄκουσον τί φησιν ὁ Παῦλος· Ἀθετήσας τις νόμον Μωϋσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν, ἀποθνήσκει· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; τάχα πολλοὺς ἀπετρέψαμεν νῦν λαβεῖν τὸ βάπτισμα. ἀλλ' οὐ διὰ τοῦτο ταῦτα εἰρήκαμεν. ἀλλ' ἵνα λαβόντες μένωσιν ἐν σωφροσύνῃ, καὶ ἐπιεικείᾳ πολλῇ. ἀλλὰ δέδοικα, φησίν. εἰ ἐδεδοίκεις, ἔλαβες ἂν καὶ ἐφύλαξας, ἀλλὰ δι' αὐτὸ μὲν [οὖν] τοῦτο οὐ λαμβάνω, φησὶ, διὰ τὸ φοβεῖσθαι. τὸ δὲ οὕτως ἀπελθεῖν οὐ δέδοικας; φιλάνθρωπός ἐστι, φησὶν, ὁ Θεός. οὐκοῦν λάβε τὸ βάπτισμα· φιλάνθρωπος γάρ ἐστι καὶ βοηθεῖ. σὺ δὲ ἔνθα μὲν ἂν δέῃ σπουδάσαι, οὐ προβάλλῃ τὴν φιλανθρωπίαν ταύτην· ἔνθα δ' ἂν θέλῃς ἀναβαλέσθαι, τότε αὐτῆς μέμνησαι· καίτοι τότε καιρὸν ἂν ἔχοι ἡ φιλανθρωπία αὕτη, καὶ μᾶλλον αὐτῆς ἐπιτευξόμεθα, ὅτ' ἂν καὶ τὰ παρ' ἑαυτῶν εἰσενέγκωμεν. ὁ μὲν γὰρ τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψας, καὶ μετὰ τὸ βάπτισμα ἁμαρτάνων, οἷα εἰκὸς ἄνθρωπον ὄντα, μετανοῶν τεύξεται φιλανθρωπίας· ὁ δὲ ὥσπερ σοφιζόμενος τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἀπελθὼν ἄμοιρος τῆς χάριτος, ἀπαραίτητον ἕξει τὴν τιμωρίαν. τί δὲ τοιαῦτα κατὰ τῆς σεαυτοῦ σωτηρίας προβάλλῃ; ἀμήχανον γὰρ, ἀμήχανον, ὡς ἔγωγε οἶμαι, τὸν τοιαύταις ἐλπίσιν ἀναβαλλόμενον ἐργάσασθαί τι γενναῖον καὶ ἀγαθόν· σὺ δὲ ἀνθ' ὅτου τοσοῦτον φόβον ἀναδέχῃ, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος [προβάλλῃ,] διατί μὴ μεταβάλλεις τὸν φόβον τοῦτον εἰς πόνον καὶ σπουδὴν, καὶ ἔσῃ μέγας, καὶ θαυμαστός; τί βέλτιον; φοβεῖσθαι, ἢ πονεῖν; εἴ τις σε ἐκάθισεν ἐν οἴκῳ σεσηπότι ἀργοῦντα, εἰπὼν ὅτι προσδόκα ἐπὶ τὴν σὴν κεφαλὴν πεσεῖσθαι τὴν ὀροφὴν σαθρὰν οὖσαν· ἴσως μὲν γὰρ πεσεῖται, ἴσως δὲ οὐ πεσεῖται· εἰ δὲ μὴ τοῦτο θέλεις, ἐργάζου, καὶ τὸν ἀσφαλέστατον οἴκει θάλαμον· τί ἂν εἵλου μᾶλλον; τὴν ἀργίαν ἐκείνην μετὰ τοῦ φόβου, ἢ τὴν ἐργασίαν ταύτην μετὰ τοῦ θαῤῥεῖν; οὐκοῦν οὕτω καὶ νῦν ποίει. τὸ μὲν γὰρ ἄδηλον τοῦ μέλλοντος, καθάπερ οἶκός τίς ἐστι σαθρὸς ἀεὶ πᾶσιν ἀπειλῶν· ἡ δὲ ἐργασία αὕτη [ἡ] πόνον ἔχουσα, τὸ ἀσφαλὲς ἐγγυᾶται. μὴ γένοιτο μὲν οὖν ἡμᾶς ἐμπεσεῖν εἰς ἀνάγκην τοσαύτην, ὥστε ἁμαρτάνειν μετὰ τὸ λουτρόν· πλὴν εἰ καὶ γένοιτό τι τοιοῦτον, μηδὲ οὕτως ἀπογνῶμεν. φιλάνθρωπός ἐστιν ὁ Θεὸς, καὶ πολλὰς ἡμῖν δέδωκεν ὁδοὺς ἀφέσεως καὶ μετὰ ταῦτα. πλὴν, ὥσπερ οἱ μετὰ τὸ λουτρὸν ἁμαρτάνοντες, τῶν κατηχουμένων κατὰ τοῦτο μᾶλλον κολάζονται· οὕτως οἱ εἰδότες ὅτι μετανοίας ἐστὶ φάρμακα, καὶ μὴ θέλοντες αὐτοῖς κεχρῆσθαι, χαλεπώτερα ὑποστήσονται· ὅσῳ γὰρ ἂν ἐπιτείνηται ἡ φιλανθρωπία τοῦ Θεοῦ, τοσούτῳ [καὶ] ἡ κόλασις αὔξεται [μᾶλλον] ἐὰν μὴ εἰς δέον τῇ φιλανθρωπίᾳ χρησώμεθα. τί λέγεις, ἄνθρωπε; μεστὸς ὢν κακῶν τοσούτων, καὶ ἀπεγνωσμένος, ἀθρόον ἐγένου φίλος, καὶ πρὸς τὴν ἀνωτάτω τιμὴν ἀνηνέχθης· οὐκ ἐξ οἰκείων πόνων, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δωρεᾶς, [καὶ] πάλιν ἐπὶ τὴν προτέραν ἐπανῆλθες ἀσχημοσύνην, [καὶ] δέον κολασθῆναι χαλεπῶς· ὁ δὲ οὐδὲ οὕτως ἀπεστράφη, ἀλλ' ἔδωκε μυρίας ἀφορμὰς σωτηρίας, δι' ὧν ἔσῃ φίλος. καὶ ὁ μὲν Θεὸς ταῦτα· σὺ δὲ οὐδὲ οὕτως ἐθέλεις πονεῖν. καὶ ποίας ἄξιος ἔσῃ συγγνώμης λοιπόν;

Ideò complures postea quàm acceperunt, protinus redierunt ad priorem vomitum, ac redditi deteriores, gravius supplicium sibi accersierunt, eò quod à prioribus peccatis liberati, hoc pacto gravius etiam judicis iram in se provocarunt, dum tanto liberati morbo, ne sic quidem ad sanitatem mentis converti potuerint, quin illud potius illis usu venit, quod paralytico comminabatur Dominus, dicens: *Ecce sanus factus es, noli posthac peccare, ne quid tibi deterius eveniat.* Jo. 5, 14. Item quod de Judæis prædicabat, ostendens quod illos ob ingratitudinem immedicabilia manerent mala. *Si non venissem & loquutus eis fuissem,* Ib. 15, 22. *peccatum non haberent.* Itaque posthac dupla & quadrupla peccata fiunt. Quî sic? Quoniam post exhibitam nobis dignationem ingrati sumus & improbi. Quapropter nihil nobis proficit lavacrum ad hoc, ut mitius puniamur. Illud verò considera: Habuit aliquis commissa gravia, vel homicidio, vel adulterio, vel alio quopiam facinore patrato, hæc per lavacrum remissa sunt. Non enim est, non est, inquam, ullum jam peccatum, ullàve impietas, quod non cedat, locúmque det dono Dei. Nam divina res est gratia. Denuò mœchatus est aliquis, aut homicidium perpetravit, priùs quidem adulterium condonatum est, & homicidium illud simul cum adulterio concessit, ac nequaquam revocatur: *Nesciunt enim pœnitentiam* Rom. 11, *dona & vocatio Dei.* Cæterùm, pro his, quæ post baptismum 29. commissa sunt, tantam damus pœnam, quasi & illa revocata sint, ac multò etiam graviorem. Jam enim non simplex peccatum est, sed duplex aut triplex. Quòd autem his gravior pœna debeatur, audi quid dicat Paulus: *Qui spernit legem Mosi, sub duobus aut tribus testibus, absque misericordia morte luit pœnas.* Heb. 10, 28. *Quantò putatis graviore vindicta dignus censebitur, qui filium Dei conculcarit, ac sanguinem testamenti immundum duxerit, ac spiritui gratiæ contumeliam fecerit?* Fortasse multos avertimus, ne nunc accipiant baptisma. Verùm non propterea diximus hæc, sed ut qui jam acceperunt, perseverent in multa sobrietate multáque modestia. Aut dicit aliquis, metuo: Si metueres, accepisses servassésque. Verùm ob hoc ipsum, inquiet, non accipio, quod metuam. At non metuis sic ex hac vita decedere? Humanus, inquit, est Deus. Igitur accipe baptismum. Humanus enim est, & opitulatur. Tu verò ubi vigilandum erat, non occupas istam humanitatem Dei: ubi verò tibi visum fuerit differre, tum venit in mentem illius humanitas. Atqui tunc erat tempus utendi hac humanitate, quum tum magis assequemur, quum eam nostra sponte amplectemur. Etenim qui posteaquam curam universam conjecit in Deum, post baptisma redierit in peccatum, nimirum homo si pœnituerit, Dei benignitatem experietur. At qui veluti deludens Dei bonitatem, excesserit expers gratiæ, nullo pacto valebit effugere vindictam. Cur autem istiusmodi caussificationes adversus tuam ipsius salutem usurpas? Impossibile est, impossibile est, inquam, eum qui tali spe differt baptismum agere quicquam egregium aut honestum. Tu verò cujus tandem rei gratia tantum periculi recipis, & incertum futuri amplecteris? Quin potius istum timorem mutas in laborem, ac studium, ut magnus sis ac suspiciendus. Utrum melius est metuere an laborare? Si quis te collocasset otiosum in domo ruinosa dicens, Expecta donec in caput tuum deciderit testudo jam putris, fortassis enim cadet, fortassis non cadet: quod si id nō placet, operare ac tutissimum inhabita thalamum: utrum magis eligeres? otium ne illud cum timore, an laborem cum securitate? Sic igitur & nunc facito. Siquidem incertus eventus futuri ceu domus quædam est putris, semper ruinam minitans. At industria illa, quanquam laborem habet, tamen spondet securitatem. Absit igitur ut in tantam necessitatem incidamus, ut post baptisma recidamus in peccatum. Attamen si quid acciderit istiusmodi, ne sic quidem abjiciamus spem. Benignus est erga genus mortale Deus, multasque vias nobis dedit abolendorum criminum etiam post baptisma commissorum. Cæterum, quemadmodum hi qui post baptismum delinquunt, ob id gravius puniuntur quàm catechumeni: ita qui sciunt esse pœnitentiæ remedium, nec eo volunt uti, graviora luent supplicia. Etenim quò major est Dei benignitas erga nos, hoc major erit ultio, nisi illius benignitate sicut oportet utamur. Quid ais, homo, qui tantis malis plenus es ac deploratus? Semel factus es amicus, semel ultioni supremæ subductus es, haudquaquam ex propriis laboribus, sed ex Dei dono. Rursus ad pristinam turpitudinem revolutus es, dignus qui graviter puniaris. At Deus ne sic quidem aversus est abs te, sed dedit innumeras reparandæ salutis occasiones, per quas redeas in gratiam. Et hæc quidem facit Deus. Tu verò ne tanta quidem lenitate provocatus vis laborare. Et qua tandem veniâ posthac dignus habeberis? An non

An non optimo jure gentes te ridebunt, ceu fucum quempiam sterilem, frustráque viventem? Si potens & efficax est, inquit, philosophia quam profitemini, ostendite quid sibi velit tanta nondum initiatorum multitudo. Præclara verò & expetenda mysteria. At nullus animam agens, capit lotionem. Non enim illud est tempus mysteriorum, sed testamentorum. Mysteriorum tempus est, sanitas mentium, & puritas animarum. Etenim dic mihi, si quis ad istum affectus modum nolit scribere testamentum, si verò scripserit etiam dat in posterum ansam rescindendi testamenti (siquidem propterea solent his verbis præfari: Vivus, sanæque & integræ mentis ordinavi de bonis meis) qui fiet, ut qui jam sui compos esse desiit, possit ad plenum initiari mysteriis? Etenim si de rebus ad hanc vitam corporalem pertinentibus statuere volenti, non permitterent reges civiles ordinare quoties testari volens non admodum constat animo, præsertim quum de suis ipsius facultatibus præscripturus sit: quomodo qui de regno cœlorum docetur, déque bonis illis ineffabilibus, poterit ad plenum omnia percipere, frequenter & à morbo factus attonitus? Quando vero futurum est, ut illa verba dicas Christo, consepultus cum illo, quum jam sis mox abiturus? Nam factis & verbis oportet declarare benevolentiam. Tu verò perinde facis, ac si quis tum postulet asscribi militiæ, quum jam bellum est solvendum: aut si athleta tum vestes exuat, quum jam surgere cœperint spectatores è theatro discessuri. Siquidem in hoc arma sumis, non ut protinus aufugias, sed ut acceptis illis ex adversario tropæum referas. Ne quis arbitretur intempestivum esse hisce de rebus sermonem, eo quod nunc non est dies
Infr. 8, 27. quadragesimus. Nam hoc ipsum est quod urit animum meum, in hujusmodi rebus observari tempus. Atqui *Eunuchus ille*, quum esset barbarus & iter faceret, essétque in via publica, non
Ibid. 16, 29. exquisivit opportunitatem, sed ne *carcerarius* quidem ille quum esset inter vinctos, conspiceretque doctorem cæsum ac vinctum, præsertim quum id temporis crederet illum in carcere mansurum. Hic autem plerique qui nec in carcere habitant, nec in itinere sunt, proferunt salutis suæ negotium, idque usque ad extremum vitæ halitum. Quòd si adhuc ambigis num Christus sit Deus, stato foris, ne divinos sermones audias, néve teipsum inter catechumenos numeraris. Quòd si fidis, & hoc certò cognoscis, quid contaris? quid refugis? quid detrectas? Vereor, inquit, ne peccem. Verùm illud quod periculosius est non vereris, ne cum tantis sarcinis abeas illuc? Nec enim idem est, gratiam in medio positam non assequi: & quum jam aggressus sis ad honesta tendere, frustrari. Agè, dic mihi, si quis sic tecum expostulet, quam ob causam non accessisti? quam ob causam non pertendisti quò cœperas? Quid dices? Nam illic fortassis habebis quod causeris, onus præceptorum, ac difficultatem virtutis: at hic nihil istiusmodi. Hic enim gratia est gratis largiens libertatem. Sed vereris ne pecces. Istuc dicito post baptismum, tunc istum habeto metum, quo serves libertatem quam accepisti, non, ut non accipias tantum donum gratis oblatum. Nunc verò contrà, ante baptisma cautus es ac circumspectus, post baptismum socors & incogitans. Sed tempus opportunum expectas quadragesimæ. Qua gratia? Nunquid enim amplius habet illud tempus? Ipsi Apostoli non in Pascha donati sunt hac gratia, sed alio tempore. Præterea quum baptizaren-
Infr. 2, 41. tur *tria millia & quinque millia*, non erat Paschæ tempus. Simi-
Infr. 10, 48. liter quum baptizaretur *Cornelius*, & *Eunuchus*, aliique complures. Proinde ne tempus expectemus, ne quando fiat, ut dum contamur & procrastinamus, discedamus hinc inanes, vacuique tantis bonis. Quomodo creditis me discruciari animo, quoties aliquis nondum initiatus ex hac vita sublatus fuerit, mecum reputantem intolerabiles illos cruciatus, & supplicium inevitabile? Rursus quos æstus pectoris sentio, quoties alios video sub extremum halitum festinantes ad initiationem, nec hinc fieri puriores? Eóque sanè multa fiunt indigna tanto Dei dono. Oportet enim epulari, choros ducere, gaudere & coronari, quoties alius initiatur. Ast ubi uxor ægrotantis audierit hoc ordinatum esse à medico, veluti magnum aliquod malum acciderit, ita consternatur ac plorat, singultus & ejulatus totam undique domum implent, non aliter quam complorantur judicum sententia condemnati, quum ad capitis supplicium abducuntur. Ille verò multò magis etiam plorat, & si contingat à morbo convalescere, gravius etiam dolet, velut affectus contumelia. Quoniam enim nondum præparatus est ad virtutem, contatur ac detrectat deinceps futura certamina. Vides quas artes excogitet diabolus, quod probrum, quantū ludibrium. Itaq; subducamus nos à tali ludibrio, vivamus quemadmodū præcepit Christus. In hoc dedit baptismum, non ut eo accepto mox decedamus, sed ut semper viventes baptismi fructus proferamus. Quomodo dices hinc abeunti, fructifica, quomodo dices idem jam ex arbore exectо?

πῶς δὲ οὐκ εἰκότως Ἕλληνές [σου] γελάσονται, καθάπερ κηφῆνά τινα [ζῶντος εἰκῆ, καὶ μάτην;] εἰ [γὰρ] δυνατή, φησιν, ἡ παρ' ὑμῖν φιλοσοφία, δείξατε τί βούλεται τῶν ἀμυήτων τὸ πλῆθος; καλὰ τὰ μυστήρια, καὶ ποθεινά· ἀλλ' οὐδεὶς ψυχορραγῶν λουτρὸν λαμβάνει. οὐ γὰρ ἐκεῖνος τῶν μυστηρίων ὁ καιρός, ἀλλὰ τῶν διαθηκῶν· μυστηρίων [δὲ] καιρός, ὑγεία φρενῶν, καὶ σωφρονοῦσα ψυχή. εἰπὲ γάρ μοι· εἰ διαθήκας οὐκ ἄν τις ἕλοιτο οὕτω διακείμενος γράψαι· κἂν γράψῃ δέ, δίδωσι τοῖς μετὰ ταῦτα λαβήν· διὰ γάρ τοι τοῦτο, καὶ προστιθέασι ταυτὶ τὰ ῥήματα λέγοντες· ὅτι ζῶν, καὶ φρονῶν, καὶ ὑγιαίνων ἐπισκήπτω περὶ τῶν ἐμαυτοῦ· πῶς ἄν τις ἐξεστηκὼς δυνηθείη μετὰ ἀκριβείας μυσταγωγεῖσθαι; εἰ γὰρ περὶ βιωτικῶν πραγμάτων βουλομένῳ οὐκ ἂν ἐπιτρέψειαν οἱ τῶν ἔξωθεν νόμοι, τῷ μὴ σφόδρα ὑγιαίνοντι διατίθεσθαι, καὶ ταῦτα ἐν τοῖς αὐτοῦ μέλλοντι νομοθετεῖν· πῶς περὶ βασιλείας οὐρανῶν μανθάνων, καὶ τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν δυνήσῃ σαφῶς πάντα μαθεῖν, πολλάκις καὶ παραπλὴξ ὑπὸ τῆς ἀρρωστίας γινόμενος; πότε δὲ τὰ ῥήματα ἐκεῖνα πρὸς τὸν Χριστὸν ἐρεῖς, συνθαπτόμενος αὐτῷ, μέλλων ἀποπηδᾶν; καὶ γὰρ [καὶ] διὰ τῶν ἔργων, καὶ διὰ τῶν ῥημάτων ἐπιδείκνυσθαι χρὴ τὴν εὔνοιαν. σὺ δὲ ταὐτὸν ποιεῖς, οἷον ἂν εἴ τις ἀπογράφεσθαι βούλοιτο στρατιώτης, τοῦ πολέμου λύεσθαι μέλλοντος· ἢ ἀθλητὴς ἀποδύεσθαι τοῦ θεάτρου λοιπὸν ἀνισταμένου. καὶ γὰρ ὅπλα διὰ τοῦτο λαμβάνεις, οὐχ ἵνα εὐθέως ἀποπηδήσῃς, ἀλλ' ἵνα λαβὼν κατὰ τοῦ ἐναντίου τρόπαιον στήσῃς. μηδεὶς νομιζέτω ἄκαιρον εἶναι τὸν περὶ τούτων λόγον, εἰ μὴ ἔστι τεσσαρακοστὴ νῦν. διὰ γὰρ τοῦτο δάκνομαι, ὅτι καιρὸν παρατηρεῖτε ἐν τοῖς τοιούτοις. καί τοι γε ὁ εὐνοῦχος ἐκεῖνος, καὶ βάρβαρος ὢν καὶ ὁδοιπορῶν, καὶ ἐν μέσῃ λεωφόρῳ ὢν καιρὸν οὐκ ἐζήτησεν· ἀλλ' οὐδὲ ὁ δεσμοφύλαξ, καὶ ταῦτα μεταξὺ δεσμωτῶν ὤν, καὶ τὸν διδάσκαλον μεμαστιγωμένον, καὶ δεδεμένον ὁρῶν, καὶ τέως αὐτὸν μέλλων ἔνδον ἔχειν· ἐνταῦθα δὲ οὐ δεσμωτήριον οἰκοῦντες, οὐδὲ ἐν ὁδοῖς ὄντες, ἀναβάλλονται [οἱ] πολλοί, καὶ ταῦτα ὄντες πρὸς ἐσχάτας ἀναπνοάς. εἰ μὲν οὖν ἔτι ἀμφιβάλλεις ὅτι ὁ Θεός ἐστιν ὁ Χριστός, ἔξω στῆθι, καὶ μηδὲ θείων ἄκουε λόγων· μηδὲ ἐν τοῖς κατηχουμένοις ἀρίθμει σαυτόν. εἰ δὲ θαρρεῖς, καὶ οἶδας τοῦτο σαφῶς, τί μέλλεις; τί [δὲ] ἀναδύῃ καὶ ὀκνεῖς; δέδοικα μὴ ἁμάρτω, φησί. τὸ δὲ χαλεπώτερον οὐ δέδοικας, μὴ μετὰ φορτίων τοσούτων ἀπέλθῃς ἐκεῖ; οὐδὲ γάρ ἐστιν ἴσον χάριτος προκειμένης μὴ τυχεῖν, καὶ κατορθοῦν ἐπιχειροῦντα ἀποτυχεῖν. εἰπὲ δή μοι, ἄν τις ἐγκαλῇ, τίνος ἕνεκεν οὐ προσῆλθες; τίνος ἕνεκεν οὐ κατώρθωσας; τί ἐρεῖς; ἐκεῖ μὲν γὰρ τάχα τὸ φορτικὸν ἔχεις εἰπεῖν καὶ τῶν προσταγμάτων καὶ τῆς ἀρετῆς· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. χάρις γάρ ἐστι δωρεὰν παρεχομένη τὴν ἐλευθερίαν. ἀλλὰ δέδοικας μὴ ἁμάρτῃς; ταῦτα μετὰ τὸ βάπτισμα λέγε. τότε ἔχε τὸν φόβον, ὥστε φυλάξαι τὴν παρρησίαν ἣν ἔλαβες, οὐχ ὥστε μὴ λαβεῖν δωρεὰν τοιαύτην. νῦν δὲ πρὸ μὲν τοῦ βαπτίσματος εὐλαβὴς σύ· μετὰ δὲ τὸ βάπτισμα, ῥᾴθυμος. ἀλλὰ τὸν καιρὸν ἀναμένεις τῆς τεσσαρακοστῆς; τίνος ἕνεκεν; μὴ γὰρ ἔχει [τι] πλέον ἐκεῖνος ὁ καιρός; οἱ γοῦν Ἀπόστολοι οὐκ ἐν τῷ Πάσχα κατηξιώθησαν τῆς χάριτος, ἀλλ' ἐν ἑτέρῳ καιρῷ· καὶ οἱ τρισχίλιοι, καὶ οἱ πεντακισχίλιοι [ὅτε] ἐβαπτίσθησαν, [Πάσχα] οὐκ ἦν καιρός· καὶ ὁ Κορνήλιος, καὶ ὁ εὐνοῦχος, καὶ ἕτεροι πλείους. μὴ τοίνυν καιρὸν ἀναμένωμεν, μήποτε μέλλοντες καὶ ἀναβαλλόμενοι ἀπέλθωμεν κενοὶ καὶ ἔρημοι τοσούτων ἀγαθῶν. πῶς, οἴεσθε, ὀδυνῶμαι, ὅταν ἀκούσω ὅτι ἀμύητός τις ἀπηνέχθη ἐντεῦθεν, τὰς ἀφορήτους ἐννοῶν κολάσεις ἐκείνας, τὴν ἀπαραίτητον τιμωρίαν; πῶς δάκνομαι πάλιν, ὅταν ἑτέρους ἴδω πρὸς τὰς ἐσχάτας φθάνοντας ἀναπνοάς, καὶ μηδὲ ἐντεῦθεν σωφρονιζομένους; διά τοι τοῦτο πολλὰ τῆς δωρεᾶς ταύτης ἀνάξια γίνεται. δέον γὰρ εὐφραίνεσθαι, καὶ χαίρειν, καὶ στεφανοῦσθαι, ἑτέρου μυσταγωγουμένου, ὅταν ἀκούσῃ τοῦ κάμνοντος ἡ γυνὴ ὅτι τοῦτο ἐπέσκηψεν ὁ ἰατρός, ὡς ἐπὶ κακῷ τινι κατακόπτεται καὶ θρηνεῖ, καὶ κωκυτοί, καὶ οἰμωγαὶ πανταχοῦ τῆς οἰκίας ὡς ἐπὶ καταδίκων τὴν ἐσχάτην ἀπαγομένων ὁδόν. καὶ ἐκεῖνος δὲ πάλιν ὀδυνᾶται πλέον, κἂν ἀνενέγκῃ ἀπὸ τῆς ἀρρωστίας, χαλεπώτερον ἀλγεῖ ὡς ἐπηρεασθείς. ἐπειδὴ γὰρ οὐ παρεσκεύαστο πρὸς ἀρετήν, ὀκνεῖ λοιπόν, καὶ ἀναδύεται πρὸς τοὺς ἀγῶνας τοὺς μετὰ ταῦτα. ὁρᾷς οἷα ὁ διάβολος κατασκευάζει μηχανήματα; ὅσην τὴν αἰσχύνην; ὅσον τὸν γέλωτα; ἀπαλλαγῶμεν τοίνυν τούτου τοῦ γέλωτος· ζήσωμεν ὡς ὁ Χριστὸς ἐκέλευσε. διὰ τοῦτο ἔδωκε τὸ βάπτισμα, οὐχ ἵνα λαβόντες ἀπέλθωμεν, ἀλλ' ἵνα ἐπιζήσαντες καρποὺς ἐπιδειξώμεθα. πῶς ἐρεῖς, καρποφόρει, τῷ ἀπιόντι, τῷ ἐκκοπέντι; οὐκ ἤκουσας,

ὅτι

ὅτι ὁ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη; πῶς οὖν τὰ ἐναντία γίνεται; καὶ γὰρ ἡ γυνὴ παρέστηκε πενθοῦσα ὅτε χαίρειν ἔδει· τὰ τέκνα ὀδυρόμενα, ὅτε συνήδεσθαι ἐχρῆν· αὐτὸς ὁ κείμενος ἐσκοτωμένος, θορύβου γέμων καὶ ταραχῆς, ὅτε πανηγυρίζειν ἔδει· ἀθυμίας πεπληρωμένος πολλῆς, διὰ τὴν ὀρφανίαν τῶν τέκνων, διὰ τὴν χηρείαν τῆς γυναικὸς, διὰ τὴν ἐρημίαν τῆς οἰκίας. οὕτω τίς προσέρχεται μυστηρίοις, εἰπέ μοι; οὕτως ἅπτεται τραπέζης ἱερᾶς; ταῦτα ἀνεκτά; κἂν μὲν βασιλεὺς πέμψῃ γράμματα, τοὺς ἐν δεσμωτηρίῳ λύων, εὐφροσύνη καὶ χαρά· ὁ δὲ Θεὸς καταπέμπει τὸ πνεῦμα ἐξ οὐρανῶν, οὐχὶ ἐλλείμματα χρημάτων, ἀλλ' ὁλόκληρα ἁμαρτήματα συγχωρῶν· καὶ πάντες θρηνεῖτε καὶ ὀδύρεσθε; τίς ἡ ἀνωμαλία αὕτη; οὔπω [γὰρ] λέγω, ὅτι καὶ νεκροῖς ἐπεχύθη ὕδωρ, καὶ τὰ ἅγια ἐρρίφη εἰς γῆν· ἀλλ' οὐχ ἡμεῖς τούτων αἴτιοι, ἀλλ' οἱ ἀγνώμονες. διὸ παρακαλῶ πάντα ἀφέντας συστρέψαι ἑαυτοὺς καὶ προσιέναι τῷ βαπτίσματι μετὰ προθυμίας ἁπάσης, ἵνα καὶ ἐν τῷ παρόντι πολλὴν ἐπιδειξάμενοι σπουδὴν, τῆς μελλούσης τύχωμεν παρρησίας. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα [καὶ τὸ κράτος] εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ β'.

Οἱ μὲν οὖν συνελθόντες ἐπηρώτων αὐτὸν [λέγοντες:] Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ;

ΟΤΑΝ τι μέλλωσιν ἐρωτᾶν οἱ μαθηταὶ, ὁμοῦ προσέρχονται. τοῦτο δὲ ποιοῦσιν, ἵνα τῷ πλήθει δυσωπήσωσιν. ᾔδεσαν γὰρ ὅτι τὸ πρώην παρ' αὐτοῦ εἰρημένον, ὅτι οὐδεὶς οἶδε τὴν ἡμέραν, διακρουομένου ἦν, οὐκ ἀγνοοῦντος. ἀλλ' ἀναβαλλομένου τὴν ἀπόκρισιν. ὅθεν πάλιν προσέρχονται καὶ ἐρωτῶσιν. οὐκ ἂν δὲ ἠρώτησαν, εἴγε ὄντως ἦσαν πεπεισμένοι. ἐπειδὴ γὰρ ἤκουσαν ὅτι πνεῦμα μέλλουσι λαμβάνειν, ὡς ἄξιοι λοιπὸν ὄντες ἤθελον μαθεῖν, καὶ πρὸς ἀπαλλαγὴν ἦσαν ἕτοιμοι. οὐ γὰρ ἐβούλοντο καθεῖναι ἑαυτοὺς εἰς κινδύνους, ἀλλὰ ἀναπνεῦσαι· διότι οὐ μικρὰ ἦν τὰ συμβεβηκότα αὐτοῖς, ἀλλὰ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος ἐπεκρεμάσθη. οὐδὲν οὖν περὶ τοῦ πνεύματος εἰπόντες, ἐρωτῶσι λέγοντες· Κύριε, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; καὶ οὐκ εἶπον, πότε· ἀλλὰ, εἰ νῦν, φασίν. οὕτως ἐπεθύμουν τὴν ἡμέραν μαθεῖν· διὸ καὶ μετὰ πλείονος προσίασι τῆς τιμῆς. ἐμοὶ δὲ δοκεῖ, οὐδὲ τετρανῶσθαί [πως] αὐτοῖς, τίς ποτε ἦν ἡ βασιλεία. οὔπω γὰρ ἦν τὸ πνεῦμα διδάξαν αὐτούς. καὶ οὐκ εἶπον, πότε ταῦτα ἔσται· ἀλλὰ [τί;] εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν [τῷ Ἰσραήλ·] ὡς ἤδη ἐκπεπτωκυῖαν. ταῦτα οὕτω πυνθάνονται, ὅτι περὶ τὰ αἰσθητὰ ἔτι διέκειντο, εἰ καὶ μὴ ὁμοίως ὡς πρότερον. οὐδέπω γὰρ ἐγεγόνεισαν βελτίους· οὕτω λοιπὸν [ἔτι] μείζονα περὶ αὐτοῦ ἐφαντάζοντο. ἐπεὶ οὖν ἀνήχθησαν, καὶ αὐτὸς ἀνηγμένως αὐτοῖς διαλέγεται. οὐκέτι γὰρ λέγει πρὸς αὐτοὺς, ὅτι οὐδὲ ὁ υἱὸς οἶδε τὴν ἡμέραν· ἀλλὰ τί; οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. μείζονα αἰτεῖτε, φησί· καὶ μὴν ἤδη ἔμαθον καὶ ἃ πολλῷ μείζονα ἦν. καὶ ἵνα μάθῃς τοῦτο ἀκριβῶς, ὅρα πόσα ἀπαριθμοῦμαι. τί μεῖζον, εἰπέ μοι, τοῦ μαθεῖν αὐτοὺς ἅπερ ἔμαθον; ἔμαθον ὅτι υἱὸς τοῦ Θεοῦ ἐστι, καὶ υἱὸν ἔχει ὁ Θεὸς ὁμότιμον· ἔμαθον ὅτι ἀνάστασις ἔσται· ἔμαθον ὅτι ἀνελθὼν ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρός· τὸ τούτου φρικωδέστερον [ἔμαθον·] ὅτι σὰρξ ἄνω κάθηται, καὶ προσκυνεῖται ὑπὸ Ἀγγέλων· [ἔμαθον] ὅτι ἥξει πάλιν κρῖναι πάντα τὸν κόσμον· ἔμαθον, ὅτι μέλλουσι καθεδεῖσθαι, καὶ αὐτοὶ τότε κρῖναι τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ· ἔμαθον ὅτι Ἰουδαῖοι ἐκβάλλονται, οἱ δὲ ἐξ ἐθνῶν ἀντεισέρχονται. [τὸ] ταῦτα εἰδέναι ὅτι ἔσται, μέγα· τὸ δὲ μαθεῖν, ὅτι βασιλεύσει τις ἢ [τὸ] πότε, οὐδὲν μέγα. ἔμαθε Παῦλος, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι· τὰ πρὸ τοῦ κόσμου ἅπαντα ἔμαθε. τί μαθεῖν δυσκολώτερον· τὴν ἀρχὴν, ἢ τὸ τέλος; εὔδηλον ὅτι τὸ πρῶτον. οὐκοῦν τοῦτο Μωϋσῆς ἔμαθε, καὶ πότε, καὶ πρὸ πόσων χρόνων, δεικνύσι δι' ὧν ἀριθμεῖ τὰ ἔτη. τοῦτο καὶ Σολομῶν, διὸ καὶ ἔλεγε· μνημονεύσω τὰ ἀπ' αἰῶνος.] ὅτι [τότε] ἐγγύς ἐστιν, ἴσασι [μετὰ ταῦτα καὶ οὗτοι·] ὥσπερ καὶ [ὁ] Παῦλος, λέγων· ὁ Κύριος ἐγγὺς, μηδὲν μεριμνᾶτε. ἀλλὰ τότε οὐκ ἐγνώσαν, καίτοι λαβόντες τεκμήρια. ὁ δὲ Χριστὸς ὥσπερ εἶπεν,

A Non audisti quod *fructus spiritus est charitas, gaudium, pax?* Gal.5.22. Quomodo igitur his diversa proveniunt? Siquidem uxor adstat lugens, quum oportuerit gaudere: adstant liberi flentes, quum oporteret gratulari parenti: ipse decumbens in tenebris, tumultu ac perturbatione plenus est: quum oporteat diem festum agere, toto consternatus est animo, quod filios orbos relinquat, quod uxorem viduam, quod domum desolatam. Dic mihi quis ad istum modum adit mysteria? Quis sic accedit ad sacram B mensam? Hæccine ferenda videntur? Si rex missis literis jubeat vinctos è carcere dimitti, gaudium est ac lætitia. Deus autem mittit spiritum è cœlis, non reliquias pecuniæ debitæ, sed universa peccata condonans: & omnes fletis ac ejulatis? Quæ tandem est hæc inæqualitas? Nondum commemoro, quod etiam mortuis infusa est aqua, & quod sancta projecta sint in terram. Non enim vestra culpa fiunt ista, sed ingratorum. Proinde exhortor, ut omnibus rebus omissis, convertamus nos-C metipsos, ac baptismum omni cum animi promptitudine adeamus, ut posteaquam in hac quoque vita declaraverimus non vulgare studium animi nostri, futuram consequamur libertatem, quam nobis omnibus contingat assequi, gratia & benignitate Domini nostri Jesu Christi, cui gloria & imperium in sæcula sæculorum, Amen.

HOMILIA II.

D *Illi quidem igitur congregati interrogaverunt eum dicentes: Domine, num in tempore hoc restituis regnum Israeli?*

QUum discipuli Dominum parant interrogare, simul adeunt: hoc autem faciunt, quo pudore reverentiáque multitudinis, quod scire desiderant extorqueant. Noverunt enim quod prius dixerat, *nemini cognitum esse diem illum*, repellentis fuisse sermonem, non ignorantis, sed differentis responsionem. Un- Matt.24.36. E de rursus aggressi eadem percontantur. Nequaquam autem interrogassent, si verè persuasum habuissent. Nam quoniam audierant quod spiritum essent accepturi, tanquam digni jam cupiunt discere, & ad libertatis spem habebant erectos animos. Non enim volebant sese conjicere in pericula, sed respirare potius ac refocillari, eo quod non exigua forent, quæ illis contigerant, sed de extremis imminebat periculum. Nihil igitur de spiritu loquuti, interrogant dicentes: *Domine, num in tempo-* A *re hoc restituis regnum Israeli?* Et non dixerunt, quando restitues, sed *an nunc*, inquiunt. Adeò desiderabant diem cognoscere, eóque multo cum honore adeunt. Equidem arbitror, ne illud quidem aliquo pacto cognitum illis fuisse, quod tandem esset illud regnum. *Nondum enim erat spiritus*, qui posteà docuit eos. Nec dicunt, quando hæc erunt, sed quid dicunt? Joh.7.39. *Num in tempore hoc restituis regnum*, tanquam quod jam sublatum erat. Hæc ad hunc modum sciscitantur: quod rebus sen-B sibilibus adhuc afficerentur, quanquam non æquè ac priùs. Nondum enim tum facti fuerant meliores. Sic in posterum majora de eo imaginabantur. Itaque posteaquam ad altiora provecti fuerant discipuli, & ipse sublimius cum illis disserit. Non enim jam sic illis loquitur: *Ne filius quidem hominis novit illum diem.* Quid igitur? *Non est vestrum nosse tempora vel momenta, quæ pater posuit in sua potestate.* Majora, inquit, quam quæ vobis conveniunt postulatis. Atqui jam didicerant his etiam C multo majora. Id quò magis ac plenius intelligas, vide quam multa recenseam. Age, dic mihi quid est majus quàm didicisse quæ jam didicerant? Didicerant enim, Christum esse filium Dei: didicerant, quod Deus filium haberet æqualem honore: didicerant resurrectionem futuram: didicerant futurum, quod nunc factum est, videlicet, quod consedit ad dexteram patris: Insuper & quod est his magis stupendum, didicerant quod caro sedet in cœlis, & adoratur ab Angelis: di-D dicerant, quod & venturus esset rursus ut judicet mundum universum: didicerant, quod & ipsi essent consessuri judices duodecim tribuum Israël: didicerant, quod Judæi essent ejiciendi, ac pro his ingressuræ gentes. Hæc scire futura magnum est. Cæterùm discere, quod aliquis sit regnaturus, & quando, nihil magni est. Didicerat Paulus, *quæ fas non erat homines loqui:* 2.Cor.12.4. Didicerat omnia quæ mundum hunc præcesserant. Utrùm cognitu difficilius, principium, an finis? Liquet prius illud esse E magis arduum. Igitur & Moses hæc didicit: Et quando & ante quantum temporis, conditus esset mundus: id declarat per hoc quod numerat annos. Hoc & Salomon didicerat: proinde dicebat: *Commemorabo ea quæ fuerant à seculo.* Eccl.1. Itaque quod post hæc Dominus brevi venturus esset, noverunt & hi, quemadmodum & Paulus dicens: *Dominus propè est, ne quid soliciti sitis.* Phil.4.5. At tum quidem non noverunt, tametsi signa tradiderat illis dominus. Christus autem quemadmodum antè dixit:

Post non multos hos dies : volens eos vigilare, nec evidenter aperuit tempus, ita & hic facit. Quanquam & alioqui hic isti non de fine mundi, sed de regno Israelitico percontantur, eóque dicebant : *Num in tempore hoc restitues regnum Israeli* : Ille verò ne id quidem illis aperuit. De fine verò mundi & priùs interrogaverant, sed non quemadmodum illic severiùs respondit, avocans animos illorum ne putarent liberationem esse vicinam, conjiciens eos in pericula : itidem & hic facit, sed mansuetius dat responsum: Etenim ne sibi viderentur illudi, néve existimarent ista quæ dicebantur, prætextus esse : audi quomodo pollicetur sese protinus eis daturum, quo gauderent. Subjecit igitur : *Sed accipietis virtutem Sancti Spiritus supervenientis in vos, eritisque mihi testes, tum Hierosolymæ, tum in tota Judæa & Samaria, & usque ad extrema terræ.* Deinde ne rursus ipsum interrogarent, protinus assumptus est. Quemadmodum igitur illic metu illis offudit tenebras, negans se scire : sic & hic idem facit, post sermonem statim receptus in cœlum : vehementer enim id scire desiderabant, nec destitissent percontari, quum esset vehementer necessarium, ne scirent, quod scire volebant. Agè, dic mihi, utrum minus credunt gentes, futurámne mundi consummationem, an Deum hominem esse factum & è virginis utero prodisse, & ab hominibus in carne conspectum esse ? An hoc nequaquam dices, sed respondebis : omninò tuum fuerit & hoc dicere. Atqui pudet me perpetuò hac de re loqui, veluti de negotio quopiam ancipiti vel indifferenti. Rursus ne dicant, quare suspendis causam ? *Quæ pater*, inquit, *posuit in sua potestate*. Atqui eadem est

Joh 5,21. potestas patris & illius, veluti quum dicit : *Sicuti enim pater suscitat mortuos, & vivificat : sic & filius quos vult vivificat.* An quum est operandum, eadem cum patre potestate operatur : ubi verò scire quippiam oportet, non cum eadem scit potestate ? Attamen longè majus est excitare mortuos quàm scire diem. Quod si cum potestate facit id quod majus est, multò magis faciet & alterum. Verùm ut intelligatis rem, adhibità similitudine reddam dilucidiorem. Quemadmodum quum videmus infantem plorantem, sempérque cupientem aliquid à nobis accipere, quo nihil illi est opus, tum occultato potius quod concupiscit, ostendimus illi manus vacuas, dicentes : Ecce non habemus : Itidem & ille fecit Apostolis. Sed quemadmodum puer ille, si posteà nihil ostendamus instat plorando, videns se esse delusum, deinde eo relicto discedimus, dicentes, vocat me talis, & aliud quiddam ejus loco quod concupiscebat damus, volentes illum avocare ab eo quod maluisset accipere, extollentésque illud quod in alterius locum damus, eo dato repentè subducimus nos : Itidem fecit & Christus. Illi quærebant accipere, hic negavit se habere. Attamen primum deterrebat. Cæterum ubi rursus quærerent, iterum negavit se habere, nisi quod nunc non terrirat: verùm posteaquam ostenderat, quod fecerat, dicit etiam probabilem causam : *Pater*, inquit, *posuit in sua potestate.* Quid igitur : Nescis ea quæ sunt patris ? An ipsum quidem nosti, cæterùm quæ facit ignoras ? Ipse dixisti,

Luc 10,22. *nemo novit patrem nisi filius* : Et *spiritus quidem omnia scru-*

1.Cor.2,10. *tatur, etiam profunda Dei* : tu verò ne hoc quidem scis ? Abiit : Non, ut hoc suspicemur, ad istum loquutus est modum. Sed ita se gerit quasi nesciat, quò illos revocet ab intempestiva inquisitione. Timuerunt igitur iterum interrogare, ne audirent : Et vos sine intellectu estis ? Longè magis enim illum nunc metuunt, quam anteà. *Sed accipietis virtutem Spiritus Sancti supervenientis in vos.* Quemadmodum illic non respondet ad ea quæ percontabantur ; nam hoc doctoris est, docere non quæ vult discipulus, sed quæ discere expedit : sic & hic quæ concessit illis scire, ideò prædicit, ne turbarentur, nimirum adhuc etiam imbecilles. Ut autem illos confirmaret, erexit illorum animos, simúlque texit quæ erant auditu gravia. Nam quum esset illos paulò pòst relicturus, hæc colloquens cum illis, nihil dicit molestum simpliciter, sed cum admixta laude mitigat per hæc quæ nunc facit, illud propemodum dicens : Ne formidetis, *capietis enim virtutem supervenientis in vos spiritus, & eritis mihi testes, & Hie-*

Matt.10,5 *rosolymis, & in tota Judæa ac Samaria.* Quandoquidem antè dixerat : *In viam gentium ne abieritis, & in civitates Samaritanorum ne ingrediamini.* Nunc autem vult eos per omnem Judæam ac Samariam prædicare. Et quod tum reticuerat hic addit : *Et usque ad extremum terræ* : Eloquutus quod erat omnium maximè formidabile. Deinde ne rursus ipsum interrogarent : *Videntibus illis sublevatus est, & nubes suscepit eum ab oculis eorum.*

A οὐ μετὰ πολλὰς ταύτας ἡμέρας, ἀγρυπνεῖν αὐτοὺς βουλόμενος, καὶ οὐκ ἐδήλωσε φανερῶς· οὕτω καὶ νῦν ποιεῖ. ἄλλως δέ· καὶ ἐκεῖνα ἐνταῦθα οὐ περὶ συντελείας, ἀλλὰ περὶ βασιλείας ἐρωτῶσι. διὸ καὶ, εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραὴλ, ἔλεγον· ὁ δὲ, οὐδὲ τοῦτο αὐτοῖς ἐξεκάλυψε. [περὶ δὲ τῆς συντελείας] καὶ πρὸ τούτου ἠρώτων· ἀλλ' οὐχ ὥσπερ ἐκεῖ ἀπεκρίνατο σφοδρότερον, ἀπάγων αὐτοὺς τοῦ νομίζειν τὴν ἀπαλλαγὴν εἶναι πλη-
B σίον, καὶ ἐμβάλλων εἰς τοὺς κινδύνους· οὕτω καὶ ἐνταῦθα, ἀλλ' ἡμερώτερον. ἵνα γὰρ μὴ δοκῶσιν ὑβρίζεσθαι μηδὲ πρόφασις εἶναι ταῦτα, ἄκουσον καὶ πῶς εὐθέως αὐτοῖς δώσειν ἐπαγγέλλεται ἐφ' ᾧ ἐχάρησαν. ἐπήγαγε γοῦν· ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς. εἶτα, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσιν, εὐθέως
C ἀνελήφθη, καθάπερ οὖν ἐκεῖ τῷ φόβῳ αὐτοὺς ἐσκότωσε, καὶ τῷ εἰπεῖν, οὐκ οἶδα· οὕτω καὶ ἐνταῦθα, τῷ ἀναληφθῆναι. καὶ γὰρ πολλὴν τοῦ πράγματος εἶχον τὴν ἐπιθυμίαν, καὶ οὐκ ἂν ἀπέστησαν, καὶ σφόδρα ἀναγκαῖον ἦν αὐτοὺς μὴ μαθεῖν. εἰπὲ γάρ μοι· τί μᾶλλον ἀπιστοῦσιν Ἕλληνες; ὅτι συντέλεια ἔσται, ἢ ὅτι ὁ Θεὸς γέγονεν ἄνθρωπος, καὶ ἐκ παρθένου προῆλθε μήτρας, καὶ μετὰ σαρκὸς ὤφθη ἀνθρώποις.] ἆρ' οὐχὶ τοῦτο; πάν-
D τως καὶ σὺ ἐρεῖς. ἀλλὰ γὰρ αἰσχύνομαι συνεχῶς ὑπὲρ τούτου λέγων, ὡς περὶ πράγματος ὄντος ἀδιαφόρου. εἶτα πάλιν ἵνα μὴ εἴπωσι, διατί ἐπαίρεις τὸ πρᾶγμα; ὃς ὁ πατήρ, φησιν, ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. καὶ μὴν μία πατρὸς καὶ αὐτοῦ ἐξουσία, ὡς ὅταν λέγῃ· ὥσπερ γὰρ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ. εἰ ἔνθα ἐργάσασθαι δεῖ, μετὰ τῆς αὐτῆς αὐτῷ πράττει ἐξουσίας· ἔνθα εἰδέναι χρὴ, οὐχὶ μετὰ τῆς αὐτοῦ
E οἶδεν ἐξουσίας; καὶ μὴν τοῦ μαθεῖν τὴν ἡμέραν πολλῷ μεῖζον τὸ νεκροὺς ἐγείρειν. εἰ τὸ μεῖζον μετ' ἐξουσίας ποιεῖ, οὐ πολλῷ μᾶλλον τὸ ἕτερον; ἀλλ' ἵνα μάθητε, διὰ ὑποδείγματος ποιήσω τοῦτο φανερὸν, ὥσπερ ὅταν ἴδωμεν παιδίον ἀποκλαιόμενον καὶ συνεχῶς βουλόμενόν τι λαβεῖν παρ' ἡμῶν οὐκ ἀναγκαῖον αὐτῷ, μᾶλλον ἀποκρύψαντες γυμνὰς δεικνύομεν τὰς χεῖρας, λέγοντες, ἰδοὺ οὐκ ἔχομεν· οὕτω καὶ αὐτὸς τοὺς Ἀποστόλους πεποίηκεν. ἀλλ' ὥσπερ
A τὸ παιδίον ἐκεῖνο, καὶ μὴ δεικνύντων ἡμῶν ἐπίκειται κλαῖον, εἰδὸς ὅτι ἐξηπάτηται· εἶτα ἀφέντες ἄπιμεν λέγοντες· καλεῖ με ὁ δεῖνα, καὶ ἕτερόν τι ἀντ' αὐτοῦ δίδομεν, βουλόμενοι αὐτὸ ἀπαγαγεῖν τῆς προαιρέσεως, καὶ θαυμάζοντες ἐκεῖνο ἀντὶ τούτου, καὶ δόντες ἀποπηδῶμεν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. ἐζήτουν ἐκεῖνοι λαβεῖν. ἔφη οὐκ μὴ ἔχειν· ὅμως καὶ πρῶτον ἐφόβησεν. ἐπεὶ δὲ πάλιν ἐζήτουν, ἔφη πάλιν μὴ ἔχειν. πλὴν οὐ φοβεῖ νῦν· ἀλλὰ
B μετὰ τὸ δεῖξαι τοῦτο ὃ πεποίηκε, λέγει καὶ εὐπρόσωπον ἀφορμήν· ὅτι ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. τί οὖν; σὺ οὐκ οἶδας τὰ τοῦ πατρός; ἀλλ' αὐτὸν μὲν γινώσκεις· τὰ δὲ αὐτοῦ οὐκ οἶδας; αὐτὸς εἶπας· οὐδεὶς γινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱός. καὶ τὸ μὲν πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ Θεοῦ· σὺ δὲ οὐδὲ τοῦτο οἶδας; ἄπαγε. οὐχ ἵνα τοῦτο ὑποπτεύσωμεν τοῦτο εἴρηκεν· ἀλλ' ἄγνοιαν προσποιεῖται, τῆς ἀκαίρου ζητήσεως ἀπάγων αὐτούς. ἐφοβή-
C θησαν οὖν ἐρωτῆσαι πάλιν, ἵνα μὴ ἀκούσωσι· καὶ ὑμεῖς ἀσύνετοί ἐστε; πολλῷ γὰρ μᾶλλον αὐτὸν ἐφοβοῦντο νῦν, ἢ τὸ πρότερον. ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς. ὥσπερ γὰρ ἐκεῖ, οὐ πρὸς ἃ ἠρώτησαν ἀπεκρίνατο· διδασκάλου γὰρ τοῦτό ἐστι, μὴ ἃ βούλεται ὁ μαθητὴς, ἀλλ' ἃ συμφέρει μαθεῖν, διδάσκειν· οὕτω καὶ νῦν, ἃ ἔδει μαθεῖν διὰ τοῦτο προλέγει, ἵνα μὴ ταραχθῶσιν. ἄρτι γὰρ ὄντες ἀσθενεῖς ἦσαν. ὥστε δὲ
D παῤῥησιάζεσθαι, ἐπῆρεν αὐτῶν τὰς ψυχὰς, καὶ τὰ φορτικὰ συνεκάλυψεν. ἐπειδὴ γὰρ ἔμελλεν αὐτοὺς μικρὸν ὕστερον λοιπὸν καταλιμπάνειν, ταῦτα διαλεγόμενος οὐδὲν λέγει λυπηρὸν [ἁπλῶς·] ἀλλὰ [τί;] μετ' ἐγκωμίου τὰ λυπηρά φησι, μονονουχὶ λέγων, μὴ φοβηθῆτε. λήψεσθε γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς· καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλὴμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμα-
E ρείᾳ. ἐπειδὴ γὰρ εἶπεν· εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· νῦν [δὲ] βούλεται ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ κηρύσσειν αὐτούς. καὶ ὃ τότε οὐκ εἶπεν, ἐνταῦθα προστέθεικε, καὶ ἕως ἐσχάτου τῆς γῆς λέγων. καὶ τὸ πάντων φοβερώτερον εἰπὼν, ἵνα μὴ πάλιν αὐτὸν ἐρωτῶσι, βλεπόντων αὐτῶν ἐπήρθη. καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

ὁρᾷς

ὁρᾷς ὅτι αὐτοὶ ἐκήρυξαν καὶ ἐπλήρωσαν τὸ εὐαγγέλιον; οὕτως μέγα αὐτοῖς ἐχαρίσατο. ὅπου δεδοίκατε, φησὶν, ἐν Ἱεροσολύμοις, ἐκεῖ κηρύξατε πρῶτον, καὶ ὕστερον ἕως ἐσχάτου τῆς γῆς. εἶτα πάλιν τῶν λεχθέντων ἡ πίστις. βλεπόντων αὐτῶν ἐπήρθη, φησί. βλεπόντων [μὲν] γὰρ οὐκ ἀνέστη· [βλεπόντων δὲ ἐπήρθη·] ἐπειδὴ ἐνταῦθα ἡ ὄψις τὸ πᾶν ἴσχυσε. καὶ γὰρ τῆς μὲν ἀναστάσεως, τὸ μὲν τέλος εἶδον, τὴν δὲ ἀρχὴν οὐκέτι· καὶ τῆς ἀναλήψεως τὴν μὲν ἀρχὴν εἶδον, τὸ δὲ τέλος οὐκέτι. παρέλκει γὰρ ἐκεῖνο τὴν ἀρχὴν ἰδεῖν, αὐτοῦ τοῦ ταῦτα φθεγγομένου παρόντος, καὶ τοῦ μνήματος δηλοῦντος, ὅτι οὐκ ἔστιν ἐκεῖ. ἀλλὰ τὸ μετὰ τοῦτο λόγῳ ἔδει μαθεῖν. ἐπειδὴ γὰρ οὐκ ἀρκοῦσιν οἱ ὀφθαλμοὶ δεῖξαι τὸ ὕψος, οὐδὲ παιδεῦσαι πότερον εἰς τὸν οὐρανὸν ἀπῆλθεν, ἢ ὡς εἰς τὸν οὐρανὸν, ὅρα τί γίνεται. ὥστε μὲν αὐτὸς ἐστιν ὁ Ἰησοῦς, ᾔδεισαν ἐξ ὧν διελέγετο πρὸς αὐτούς· πόρρωθεν γὰρ οὐκ ἐδύναντο ἰδόντες γνῶναι· ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀνελήφθη, αὐτοὶ λοιπὸν ἐδίδασκον οἱ Ἄγγελοι. ὅρα, πῶς οὐ πάντα πνεύματι, ἀλλὰ καὶ ὄψει γίνεσθαι οἰκονομεῖται. διατί δὲ νεφέλη ὑπέλαβεν αὐτόν; [ὅτι] καὶ τοῦτο τεκμήριον, ὅτι εἰς τὸν οὐρανὸν ἀνῆλθεν. οὐ πῦρ, ὡς ἐπὶ Ἠλίου, οὐδὲ ἅρμα πύρινον· ἀλλὰ νεφέλη αὐτὸν ὑπέλαβεν. ὃ τοῦ οὐρανοῦ σύμβολον ἦν, καθὼς ὁ προφήτης „ φησίν· ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, εἰ καὶ περὶ τοῦ πατρὸς εἴρηται τοῦτο. διὰ τοῦτο λέγει, ὅτι ἐπὶ νεφέλης, δεικνὺς ὅτι ἐν τῷ συμβόλῳ τῆς θείας δυνάμεως. οὐδαμοῦ γὰρ ἄλλη τις δύναμις ἐπὶ νεφέλης φαίνεται. ἄκουε πάλιν τί φησιν ὁ προφήτης· ὁ Θεὸς „ κάθηται ἐπὶ νεφέλης κούφης· περὶ ἀναγκαίας γὰρ τῆς ἐρωτήσεως οὔσης, καὶ προσεχόντων αὐτῶν σφόδρα τοῖς λεγομένοις, καὶ διεγηγερμένων [καὶ οὐ νυσταζόντων] τοῦτο γέγονε. καὶ ἐν τῷ ὄρει δὲ νεφέλη δι' αὐτὸν, ὅτε Μωϋσῆς εἰσῆλθεν εἰς τὸν γνόφον. ἀλλ' οὐ δι' ἐκεῖνον ἦν ἡ νεφέλη· [αὐτὸς δὲ] οὐκ εἶπεν ὅτι πορεύομαι μόνον, ἵνα μὴ πάλιν ἀλγήσωσιν· ἀλλ' εἶπεν, ὅτι τὸ πνεῦμα πέμπω. [ὅτι δὲ εἰς τὸν οὐρανὸν ἀπῄει, διὰ τῶν ὀφθαλμῶν ἐμάνθανον. „ βαβαὶ οἵου θεάματος κατηξιώθησαν;] καὶ ὡς ἀτενίζοντες, [ἦσαν] φησὶν εἰς τὸν οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄν„ δρες δύο παρειστήκεισαν αὐτοῖς ἐν ἐσθῆτι λευκῇ, οἳ καὶ εἶπον· „ ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; δεικτι„ κῶς ἐχρήσαντο τῇ λέξει, οὗτος, εἰπόντες, ὁ ἀναληφθεὶς ἀφ' ὑ„ μῶν εἰς τὸν οὐρανὸν, οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν „ πορευόμενον εἰς τὸν οὐρανόν. πάλιν τὸ σχῆμα φαιδρόν. Ἄγγελοι γάρ τινες εἰς τύπον ἀνθρώπων σχηματισθέντες ἐπέστησαν, καί φασιν· ἄνδρες Γαλιλαῖοι. ἀξιόπιστοι λοιπὸν ἐδόκουν ἐκείνοις ἐκ τοῦ εἰπεῖν, ἄνδρες Γαλιλαῖοι. τί γὰρ ἔδει τούτους τὴν πατρίδα μαθεῖν εἰ μὴ τοῦτο ἦν; καὶ τῷ σχήματι δὲ ἐπέστρεψαν, καὶ ἐδήλουν ὅτι ἀπὸ τοῦ οὐρανοῦ εἰσι. διατί μὴ ταῦτα αὐτὸς αὐτοῖς λέγει, ἀλλ' Ἄγγελοι; διελέχθη αὐτοῖς προλαβὼν αὐτὸς πάντα, ὥστε ἀναμιμνήσκοντος ἦν αὐτοὺς διὰ τῶν Ἀγγέλων ἅπερ ἤκουσαν. καὶ οὐκ εἶπον, ὃν ἐθεάσασθε ἀναληφθέντα, ἀλλὰ πορευόμενον εἰς τὸν οὐρανόν· δηλῶν, ὅτι ἀνάβασις ἦν ἡ ἀνάληψις. σαρκὸς δὲ τὸ ἀναληφθῆναί ἐστι. διὰ τοῦτό φησιν, ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, οὕτως ἐλεύσεται. οὐ πεμφθήσεται, ἀλλ' ἐλεύσεται. ποῦ οὖν τὸ ἔλαττον; νεφέλη ὑπέλαβεν αὐτόν· καλῶς. αὐτὸς γὰρ ἐπέβη τῆς νεφέλης. „ διότι ὁ ἀναβὰς, αὐτός ἐστι καὶ ὁ καταβάς. ὅρα τὰ μὲν κατὰ τὴν ἐκείνων διάνοιαν φθέγγεται· τὰ δὲ ἀξίως τοῦ Θεοῦ. ἐπήρθη λοιπὸν ἡ διάνοια τῶν ὁρώντων. ἐχαρίσατο αὐτοῖς τῆς δευτέρας παρουσίας οὐ μικρὸν γνώρισμα. τὸ γὰρ, οὕτως ἐλεύσεται, τοῦτο δηλοῦντός ἐστι, μετὰ τοῦ σώματος [φησιν] ὃ ἐπόθουν ἀκοῦσαι· καὶ ὅτι πάλιν εἰς κρίσιν ἥξει οὕτως ἐπὶ νεφέλης. καὶ ἰδοὺ, φησὶν, ἄνδρες δύο παρειστήκεισαν. διατί εἶπον, ἄνδρες; ἀκριβῶς γὰρ ἑαυτοὺς διετύπωσαν εἰς ἄνδρας, ὡς μὴ πτοηθῆναι. οἳ καὶ εἶπον· τί ἑστήκατε ἐμβλέποντες εἰς τὸν οὐρανόν; ἅμα κολακευόντων ἦν τὰ ῥήματα, καὶ οὐκ ἐώντων προσδοκᾶν αὐτὸν αὐτοὺς πάλιν εὐθέως. οὗτοι τὸ μὲν μεῖζον λέγουσι, τὸ δὲ ἔλαττον σιγῶσι. ὅτι μὲν γὰρ οὕτως ἐλεύσεται, καὶ ὡς ἐξ οὐρανοῦ αὐτὸν χρὴ προσδέξασθαι, φασί· τὸ δὲ πότε, σιγῶσι λοιπόν. ἀπὸ τῆς θέας ἐκείνης ἐπέστρεψαν αὐτοὺς πρὸς τὸν αὐτῶν λόγον· ἵνα μὴ διὰ τὸ μὴ δύνασθαι θεωρεῖν, νομίσωσιν αὐτὸν μὴ ἀνεληλυθέναι, [ἀλλ' ἐν ᾧ διαλέγονται φθάσῃ.] εἰ γὰρ πρὸ τούτου ἔλεγον, ποῦ ὑπάγεις; πολλῷ μᾶλλον καὶ νῦν ἂν εἶπον. εἰ ἐν τῷ χρόνῳ τούτῳ, φησὶν, ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; οὕτως ᾐδέσθησαν αὐτοῦ τὸ ἥμερον, ὅτι καὶ μετὰ τὸ παθεῖν ἐρωτῶσιν αὐτόν·

A Vides eos prædicasse & implevisse Evangelium? Verè rem magnam illis donavit. Cæterùm ubi, inquit, timuistis Hierosolymis, illic primùm prædicate, pòst usque ad extremum terræ. Denique rursus astruitur fides his quæ dixerat: *Videntibus illis levatus est*, inquit. Non resurrexit quidem illis videntibus, sed *videntibus illis elevatus est*. Quoniam nec hic aspectus potuit omnia. Et resurrectionis finem quidem viderant, principium verò non item. Rursus assumptionis initium quidem vi-
B derunt, finem verò non item. Siquidem illud abstulit, videlicet uti resurrectionis principium viderent, quum ipsum monumentum declaret ipsum illic non esse. Cæterùm quod restabat, sermone discendum erat. Quoniam oculi non poterant assequi celsitudinem ut viderent utrum in cœlum ascenderet, an velut in cœlum, vide quid fiat. Quòd item Jesus esset, sciebant ex his quæ loquutus fuerat ad ipsos: quod autem susceptus esset in cœlum, ipsi deinde docuerunt Angeli. Eminus enim non po-
C tuissent agnoscere. Vides sic rerum ordinem esse dispensatum, ut non gererentur omnia per spiritum, verumetiam nonnulla visu. Quamobrem *nubes suscepit eum?* Et hoc signum erat illum
in cœlum ascendere. Non ignis, neque currus igneus, quem- 4.Reg 2,11
admodum factum est in Helia, sed *nubes eum suscepit*, quod erat cœli symbolum: quemadmodum dicit propheta: *Qui posuit in
nube ascensum suum*. Quanquam hoc & de spiritu dictum est: Ps. 103,4.
ideóque dicit, *in nube*: declarans, quod in ipso signo divinæ
D potentiæ ascenderet. Nec enim alia virtus ulla videtur in nube.
Audi rursus quid dicat alius propheta; *Deus sedet super nubem Esa. 19,1.
levem*. Mihi sanè videtur hæc, quum adhuc interrogarent, illis vehementer attendentibus iis quæ dicebantur, vigilantibus minimèque dormitantibus esse facta. Quanquam etiam in
monte nubes cinxit illum, quum Moses ingrederetur in cali- Exo. 33,9.
ginem: verùm non illius causa adhibita est nubes. Ipse verò non dixit simpliciter *vado*, ne rursus mœrore afficerentur: sed
E addidit, *mitto spiritum*. Nam quod abiret in cœlum, oculis ipsis didicerunt. Papæ quo spectaculo dignatus est illos Dominus: *Erant*, inquit, *intendentes oculos in cœlum, eunte illo. Et ecce viri duo astiterunt illis in veste candida, qui & dixerunt: Viri Galilæi, quid statis aspicientes in cœlum?* Hic demonstrantis est sermo, quo usi sunt, quum ajunt: *Hic qui assumptus est à vobis in cœlum, sic veniet, quemadmodum vidistis illum euntem in cœlum*. Iterum læta rerum facies ostenditur. Siqui-
A dem angeli quidam simul conjuncti humanam speciem præ se ferentes, assistunt & ajunt: *Viri Galilæi*. Superest ut digni videantur, quibus fides habeatur in his de quibus loquuntur. Itaque veluti dignitate præminentes, è loci vocabulo compellant illos. Quid enim alioqui opus erat, eos audire cujus essent patriæ, quum id nequaquam ignorarent? Quin & ipsa specie reddiderunt illos in se intentos, videlicet hoc quoque modo declarantes, quod essent è cœlo profecti. Quam ob causam, non ipse potius
B Dominus hæc discipulis loquitur, quam angeli? Imo prævenerat Dominus, atq; hæc omnia prædixerat suis. Proinde per Angelos commonefacit illos eorum quæ audierant. Nec dictu est, *quem vidistis* assumptum, sed, *euntem in cœlum*: nimirum ut intelligas hanc assumptionem esse reditum sive ascensum. Carnis autem est assumi, eóque dicunt, *qui assumptus est à vobis, sic veniet*. Non
mittetur, sed veniet. Ubi sunt igitur, qui dicunt filium patre Eph. 4.10.
minorem? *Nubes suscepit eum*. Rectè dictum est, *eum*. Ipse
C enim conscendit nubem. Proinde *qui ascendit, ipse est qui descendit*. Hic verò mihi considera, quomodo partim quidem juxta discipulorum intelligentiam loquantur Angeli, partim verò juxta divinæ naturæ dignitatem, tum quo pacto deinceps cogitatio videntium tollatur in altum, eo quod illis secundi adventus non mediocris cognitio data sit. Siquidem hæc verba: *Sic veniet*: perinde valent, ac si dicerent, cum ipso corpore veniet. Nam hoc audire cupiebant: deinde declarant, quod
D similiter nubi insidens iterum venturus esset ad judicium. *Et ecce*, inquit, *viri duo astiterunt*. Cur ait, *viri?* Nam tota specie viros repræsentabant, ne pavore consternarentur. Qui & dixerunt: *Quid statis intuentes in cœlum?* Protinus addunt castigantium verba, quæque non finerent illos protinus expectare reditum illius. Angeli quod minus est dicunt, quod majus est tacent. Quòd enim sic esset venturus, quódque idem è cœlo foret expectandus, eloquun-
E tur. Cæterum quando id esset futurum, silent. Deinceps igitur illos ab eo spectaculo sevocatos, reddunt attentos ad ea quæ dicebantur, ne quoniam non poterant jam videre dominum, crederent illum non ascendisse. Verùm hanc cogitationem suis
verbis occupant ac præveniunt. Etenim si prius dicebant, *quo Joh. 13.36.
vadis?* multò magis & nunc dixissent, *num in tempore hoc restitues regnum Israel?* Usque adeo delectabantur illius mansuetudine, ut etiam post crucem ac mortem percontarentur illum?

BIBLIOTECA NAZ. ROMA

Marc. 13,7. *Num restitues?* Atqui prius illis dixerat: *Audietis bella & ru-*
mores de bellis, sed nondum finis: neque Hierosolyma capietur.
Nam tum de regno percontabantur, non de consummatione
mundi. Quanquam & aliàs, posteaquam resurrexerat Do-
minus, non miscet cum suis prolixos sermones. Igitur sanè
velut ipsi quoque futuri in pretio si id eveniret, percontantur.
Ipse verò non aperuit, quando restitueret regnum. Quid enim
opus erat illos hoc scire? Hoc ergo veriti, non rursum ita lo-
Matt. 24,3. quuntur, *quod signum adventus tui, & consummationis seculi:*
sed hunc in modum interrogant: *Num restitues regnum Israel?*
Existimabant enim jam illud adesse. Ipse parabolis docuerat
illos: quod non esset in propinquo. Itaque hoc percontanti-
bus non respondit ad percontationem, verùm alium sermonem
injecit: *sed accipietis*, inquiens, *virtutem sancti spiritus super-*
venientis in vos. Hic illud considera, quod dixit: *superveni-*
entis, non missi: nimirum quo declararet honoris æqualitatem.
Ubi es igitur ô tu qui bellans adversus spiritum, creaturam il-
lum facis? *Eritis mihi testes.* Innuit assumptionem, quin po-
tius eorum quæ prius audierant memoriam illis renovat, ut pa-
làm faceret quod in cœlum ascendisset. Animadverte verò,
Ps. 96, 2. quod quemadmodum dixit David: *Nubes & caligo in circuitu*
ejus, ita nunc ad id alludit, dicens: *Nubes suscepit eum*: his
verbis declarans illum esse regem cœlorum. Quemadmodum
currus regalis declarat ipsum regem, sic & ad illum missum est
regale vehiculum, ne quid triste loquerentur, nec idem illis
4.Reg.2,12. accideret, quod accidit Helisæo, qui magistro assumpto in cœ-
lum, dilaceravit tunicam suam. Quid autem dicunt Angeli:
Deut.17,6. *Hic Jesus qui assumptus est à vobis in cœlum, sic veniet.* *Et ecce*
viri duo astiterunt illis. Congruenter. Siquidem *in ore duorum*
Matt. 28. *testium stabit omne verbum*, præsertim quum eadem loquantur.
Et in veste, inquit, *candida* Quemadmodum antè jam Angelus
ad monumentum visus est in vestimentis fulgurantibus, qui &
prædixit illis quid in animo versarent, sic & assumptionis præco
exhibetur Angelus. Quod si prophetæ nusquam prædixerunt,
ne mireris. Supervacaneum enim erat, separatim ejus rei
mentionem facere, cujus intellectus cum resurrectionis intelli-
gentia conjunctus est. Cæterum ubique apparent Angeli, ve-
lut in nativitate, rursus apud Mariam. Iterum in resurrectio-
ne. Iidem apparuerunt & in assumptione. Magis autem &
in secundo adventu apparebunt Angeli præcursores. Quum
verò sic essent loquuti: *Hic Jesus assumptus est à vobis*: ne con-
sternarent illorum animos, subjecerunt: *Sic veniet.* Respira-
runt aliquantulum quum audissent eum denuò rediturum: præ-
tereà *sic rediturum*, ut intelligerent illum sic rediturum, ut
adiri possit. Rursus hæc particula: *A vobis*, non simpliciter
addita est, sed commendat Domini charitatem erga illos, quos
è mundo selegerat, docétque eum nunquam deserturum, quos
elegerat. Itaque suæ quidem resurrectionis ipse fuit testis,
quod id esset omnium maximè mirandum quæ acciderant post
virginis partum, immò omnium quæ contigerunt ante virgi-
nis partum: videlicet quod ipse suscitaret seipsum. Ait enim: *Sol-*
Joh.2,19. *vite templum hoc, & ego excitabo illud.* Cæterùm posterioris ad-
ventûs Angeli fuêre testes, dicentes: *Sic veniet.* Proinde si quis
desiderat videre Christum, si quis dolet quod illum non vide-
rit, hoc Angelorum audito sermone: *Sic veniet*: vitam admiran-
dis virtutibus componat, & omninò visurus est quem desiderat,
nec frustrabitur suo voto. Nam majore cum gloria veniet, sic ta-
men veniet cum nube: sic veniet cum corpore: sed multò magis
admirandum est videre eum è cœlo descendentem, quàm è ter-
ris in cœlum ascendentem. Venturum igitur dixerunt, in quo
verò venturus sit, nondum addiderunt. Hic sermo confirmat
resurrectionis fidem. Etenim si in corpore assumptus est, multò
magis cum corpore resurrexit. Ubi sunt qui pertinaciter ne-
gant resurrectionem? Qui sunt, dic mihi: Ethnici, an Chri-
stiani? Non enim satis agnosco. Quin potius optimè novi, ni-
mirum Ethnici sunt qui nec mundum à Deo conditum credunt.
Nam eorundem est, non concedere Deo potestatem aliquid è
nihilo creandi, & negare illum posse suscitare quæ sepulta sunt.
Mox erubescentes quod non cognoscant virtutem Dei, ne vo-
centur in hoc crimen, tergiversantur, dicentes: Non eò hæc
dicimus, sed quod corpore non sit opus. Aptum profectò
Esa. 32,6. congruúmque responsum. *Fatuus* enim, ut dicit Esaias, *fatua*
loquitur. An non pudet detrahere Deo potestatem ex nihilo
creandi quæ vult? Quòd si tantum ex his quæ sunt, quare dif-
fert ab hominibus? Sed unde, inquit, mala? At tu quia non
intelligis unde, non ideò debes aliud inducere malum in cogni-
tione malorum. Hic enim gemina committitur absurditas, alte-
ra quidem quòd sic audes loqui. Etenim si negas Deum ex his
quæ non sunt creare quæ sunt, multo magis ignorabis unde sint
mala. Altera verò, quod dum ista dicis, inducas malitiã increatam.

A εἰ ἀποκαθιστάνεις; καὶ μὴν ἀνωτέρω εἶπεν αὐτοῖς· [ὅτι] μελ-
λήσετε ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων· ἀλλ' οὔπω τὸ τέλος.
[ἀλλ'] οὐδὲ τὰ Ἱεροσόλυμα ἁλώσεται). νῦν δὲ περὶ βασιλείας
ἐρωτῶσιν οὐ περὶ συντελείας. ἄλλως δὲ, οὐδὲ μακρὸν [λοιπὸν]
πρὸς αὐτοὺς ἀποτείνει λόγον μετὰ τὴν ἀνάστασιν. ὡς δὴ οὖν καὶ
αὐτοὶ εὐδοκιμήσοντες εἰ τοῦτο γένοιτο ἐρωτῶσιν. ὅτι μὲν γὰρ οὐκ ἀ-
ποκαθιστάνει, οὐκ ἐδήλωσε. τί γὰρ ἦν τοῦτο ἀναγκαῖον αὐτοὺς μα-
B θεῖν; διὰ γὰρ τοῦτο δεδοικότες οὐκ ὅτι εἶπον· τί τὸ σημεῖον τῆς
σῆς παρουσίας, καὶ τῆς συντελείας τοῦ αἰῶνος; ἀλλ', εἰ τὴν βασι-
λείαν τῷ Ἰσραὴλ ἀποκαθιστάνεις; ἐνόμιζον γὰρ [αὐτὴν] ἤδη
παρεῖναι. αὐτὸς δὲ καὶ ἐν παραβολαῖς ἔδειξεν ὅτι οὐκ ἐγγύς· καὶ
ἐνθάδε ἐρωτήσασι, καὶ πρὸς αὐτὸ ἀπεκρίνατο, λήψεσθε. λέγων,
δύναμιν ἐπελθόντος τοῦ ἁγίου πνεύματος ἐφ' ὑμᾶς, ὅρα, ἐπελθόν-
τος, οὐ πεμφθέντος, εἶπεν· ἵνα τὸ ἰσότιμον δείξῃ. ποῦ οὖν, ὦ πνευ-
C ματομάχε, κτίσμα [τολμᾷς εἰπεῖν;] καὶ ἔσεσθέ μοι μάρτυρες.
ᾐνίξατο τὴν ἀνάληψιν. [μᾶλλον δὲ] ἃ καὶ ἤδη προήκουσαν, καὶ
νῦν πάλιν αὐτοὺς ἀναμιμνήσκει. ἤδη ἐδείχθη ὅτι εἰς τὸν οὐρανὸν
ἀνῆλθε, νεφέλη καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ, φησί. τοῦτο
γὰρ δηλοῖ τὸ, νεφέλη ὑπέλαβεν αὐτόν· τὸν τοῦ οὐρανοῦ [λέγων]
δεσπότην. καθάπερ γὰρ βασιλέα δείκνυσιν ὄχημα βασιλικόν·
οὕτω καὶ ἐπ' αὐτοῦ ἐπέμφθη τὸ ὄχημα τὸ βασιλικόν. ἵνα μη-
D δὲν φθέγξωνται λυπηρὸν, μηδὲ τὸ αὐτὸ πάθωσιν, ὅπερ ὁ Ἐλισ-
σαῖος, τοῦ διδασκάλου ἀναληφθέντος διαρρήξας τὸν χιτωνίσκον·
καὶ τί φασιν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν
οὐρανὸν, οὕτως ἐλεύσεται· καὶ, ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν
αὐτοῖς. εἰκότως· ἐπὶ στόματος γὰρ δύο μαρτύρων σταθή-
σεται πᾶν ῥῆμα. καὶ ταῦτα αὐτὰ φθέγγονται. καὶ ἐν
ἐσθῆτι, φησὶ, λευκῇ· ὥσπερ ἤδη Ἄγγελον εἶδον ἐπὶ τοῦ μνή-
E ματος ἐν ἐσθήσεσιν ἀστραπτούσαις, καὶ προεῖπον αὐτῶν τὴν
διάνοιαν· οὕτω καὶ τῆς ἀναλήψεως αὐτοῦ κῆρυξ Ἄγγελος
ἐστί. εἰ καὶ οἱ προφῆται πολλαχοῦ προεῖπον, ὥσπερ καὶ
περὶ τῆς ἀναστάσεως. πανταχοῦ Ἄγγελοι γίνονται κήρυκες· ὡς
ἐπὶ τῆς γεννήσεως· ὡς πρὸς τὴν Μαρίαν πάλιν· ὡς ἐπὶ τῆς
ἀναστάσεως· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναλήψεως· μᾶλλον δὲ καὶ
ἐπὶ τῆς δευτέρας παρουσίας Ἄγγελοι φανοῦνται προτρέχοντες.
A εἰπόντες δέ· οὗτος ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν, ἵνα μὴ
αὐτοὺς ἐξαπορήσωσιν, ἐπήγαγον· οὕτως ἐλεύσεται. ἀνέπνευ-
σαν μικρὸν ἀκούσαντες ὅτι πάλιν ἐλεύσεται, καὶ ὅτι οὕτως, καὶ οὐκ
ἔσται ἀπρόσιτος· καὶ τὸ, ἀφ' ὑμῶν, δὲ, [οὐχ ἁπλῶς προσκεῖ-
ται, ἀλλὰ] τῆς ἀγάπης ἐστὶ παραστατικὸν [τῆς εἰς αὐτοὺς,]
καὶ τῆς ἐκλογῆς, καὶ ὅτι οὐκ ἀφήσει οὓς ἐξελέξατο. τῆς μὲν οὖν
ἀναστάσεως αὐτὸς γέγονε μάρτυς. πάντων γὰρ τοῦτο θαυμασιώτε-
B ρον ἦν μετὰ τὸν τόκον· μᾶλλον δὲ καὶ πρὸ τοῦ τόκου, τὸ ἑαυτὸν ἀναστῆ-
σαι. λύσατε γάρ, φησι, τὸν ναὸν τοῦτον, καὶ [ἐν τρισὶν ἡμέ-
ραις] ἐγὼ ἐγερῶ αὐτόν. τῆς δὲ μελλούσης παρουσίας οἱ Ἄγ-
γελοι, οὕτως ἐλεύσεται, λέγοντες. εἴ τις τοίνυν ἐπιθυμεῖ τὸν
Χριστὸν ἰδεῖν· εἴ τις ἀλγεῖ ὅτι οὐκ εἶδεν αὐτὸν, τοῦτο ἀκούσας βίον
θαυμαστὸν ἐπιδεικνύσθω, καὶ πάντως ὄψεται, καὶ οὐκ ἀποτεύ-
ξεται. μετὰ γὰρ πλείονος ἥξει δόξης. πλὴν οὕτω μετὰ νεφέ-
C λης· οὕτω μετὰ σώματος. καὶ πολλῷ θαυμασιώτερον ἰδεῖν
αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ καταβαίνοντα, [ἢ ἀπὸ γῆς ἀναβαίνοντα.
ὅτι μὲν οὖν ἥξει, εἶπον·] ἐπὶ τίνι δὲ, οὐκέτι προσέθηκαν. τοῦτο
τὴν ἀνάστασιν βεβαιοῖ. εἰ γὰρ μετὰ σώματος ἀνελήφθη, πολ-
λῷ μᾶλλον μετὰ σώματος ἀνέστη. ποῦ εἰσιν οἱ διαπιστοῦντες τῇ
ἀναστάσει; τίνες εἰσὶν, εἰπέ μοι; Ἕλληνες, ἢ Χριστιανοί; ἀγνοῶ
γάρ· μᾶλλον δὲ οἶδα ἀκριβῶς. Ἕλληνες γάρ εἰσιν, οἱ καὶ τῇ
D δημιουργίᾳ τῆς κτίσεως διαπιστοῦντες. τῶν γὰρ αὐτῶν ἐστι μὴ
συγχωρεῖν ἐξ οὐκ ὄντων ποιεῖν τι τῷ Θεῷ, καὶ τὰ κάμψαντα μὴ λέ-
γειν αὐτὸν ἀναστῆσαι. εἶτα αἰσχυνόμενοι ὅτι οὐκ ἴσασι τὴν δύναμιν
τοῦ Θεοῦ, ἵνα μὴ τοῦτο ἐγκαλῶνται, φασίν· οὐ διὰ τοῦτο ταῦτα
λέγομεν· ἀλλ' ὅτι οὐ χρεία σώματος. εὔκαιρον ἀληθῶς
εἰπεῖν· ὁ γὰρ μωρὸς μωρὰ λαλήσει. οὐκ αἰσχύνεσθε ἐξ
οὐκ ὄντων οὐδὲν διδόντες ποιεῖν τὸν Θεόν; εἰ δὲ ἐξ ὄντων
E ποιεῖ, τί διαφέρει τῶν ἀνθρώπων; ἀλλὰ πόθεν, φη-
σὶ, τὰ κακά; μὴ γὰρ ἐπειδὴ οὐκ οἶδας πόθεν, ἕτε-
ρον ὀφείλεις ἐπεισαγαγεῖν κακὸν ἐν τῇ γνώσει τῶν κακῶν;
δύο γὰρ γίνεται ἄτοπα· ἓν μὲν οὖν, ὅτι τοῦτο λέγειν τολ-
μᾷς· εἰ γὰρ μὴ λέγεις ἐξ οὐκ ὄντων τὰ ὄντα ποιεῖν τὸν Θεόν·
πολλῷ μᾶλλον οὐκ εἴσῃ πόθεν τὰ κακά; ἕτερον δὲ
ὅτι ἀγέννητον τὴν κακίαν τοῦτο λέγων εἰσάγεις.
μονότερ

Digitized by Google

ἐννόησον ὅσον ἐστὶ χαλεπὸν βουλόμενον εὑρεῖν τὴν πηγὴν τῶν κακῶν, ταύτην τε ἀγνοῆσαι, καὶ ἑτέραν προσθεῖναι αὐτῇ. ζήτει πόθεν τὰ κακὰ, καὶ μὴ βλασφήμει τὸν Θεόν. καὶ πῶς βλασφημῶ, φησί; τί λέγεις; οὐ βλασφημεῖς ὅταν ἀγέννητον εἰσάγῃς τὸ κακόν; ὅταν ἴσον δύνασθαι τῷ Θεῷ συγχωρῇς; ὅταν ἰσόθεον δύναμιν εἰσάγῃς τῶν κακῶν; ὅταν ἀγέννητον; ὅρα [γὰρ] τί φησιν ὁ Παῦλος· Τὰ γὰρ ἀόρατα αὐτοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται. ὁ μέν τοι διάβολος ἀμφότερα ἔφησεν εἶναι τῆς ὕλης, ἵνα μηδαμόθεν λοιπὸν τὸν Θεὸν ἐπιγνῶμεν. τί [γὰρ] δυσκολώτερον, εἰπέ μοι; τὸ φύσει κακὸν ποιῆσαι· εἴγε τί ἐστι· καθ' ὑμᾶς γὰρ λέγω· φύσει γὰρ οὐδέν ἐστι ποιῆσαι κακὸν καλοῦ συνεργόν· ἢ τὸ ἐξ οὐκ ὄντων; τί εὐκολώτερον· ὡς ἐπὶ ποιότητος λέγω· τὴν οὐκ οὖσαν ποιότητα εἰσαγαγεῖν, ἢ τὴν οὖσαν μεταβαλεῖν εἰς τὸ ἐναντίον; τί εὐκολώτερον, τὴν οὐκ οὖσαν οἰκίαν ποιῆσαι, ἢ τὴν ἔρημον οὖσαν ἄνωθεν ἐργάσασθαι; εὔδηλον ὅτι ἐκεῖνο. οὐκοῦν τοῦτο ἀδύνατον. ὥσπερ οὖν τοῦτο ἀμήχανον, οὕτω καὶ ἐκεῖνο ἀδύνατον, εἰς τὸ ἐναντίον λέγω τὸ ἐνεργεῖν. εἰπέ μοι, τί δυσκολώτερον: μύρον κατασκευάσαι ἢ τὸν βόρβορον βιάσασθαι τὰ τοῦ μύρου ἐργάσασθαι; τί εὐκολώτερον [εἰπέ μοι τούτων·] ἐπειδὴ τοῖς ἡμετέροις λογισμοῖς τὸν Θεὸν ὑποβάλλομεν, ἀλλ' οὐχ ἡμεῖς· μὴ γένοιτο· ἀλλ' ὑμεῖς· ὀφθαλμοὺς πλάσαι, ἢ τυφλὸν ποιῆσαι βλέπειν [μένοντα τυφλὸν, καὶ] ὀξυωπέστερον τοῦ βλέποντος, καὶ τῇ τυφλότητι ἀποχρήσασθαι εἰς βλέψιν, καὶ τῇ κωφότητι εἰς ἀκοήν; ἐμοὶ δοκεῖ ἐκεῖνο. τὸ δυσκολώτερον οὖν δίδως τῷ Θεῷ, [εἰπέ μοι,] καὶ τὸ εὐκολώτερον οὐχί; τί λέγω τοῦτο, [ἀλλὰ] καὶ τὰς ψυχὰς ἐκ τῆς οὐσίας αὐτοῦ εἶναί φασιν. ἀλλ' ὅρα πόσα τὰ ἀσεβῆ καὶ ἀνόητα. πρῶτον, βουλόμενοι δεῖξαι ὅτι ἐκ τοῦ Θεοῦ τὰ κακὰ, ἕτερον τούτου ἀσεβέστερον ἐπεισάγουσιν. ὁμόχρονα γὰρ αὐτά, καὶ οὐδὲν αὐτοῦ πρεσβύτερον τὸν Θεὸν λέγουσι, τὸ γῆρας τὸ μέγα, [καὶ] αὐτοῖς διδόναι τολμῶντες. δεύτερον, καὶ ἀνώλεθρον τὴν κακίαν φασίν. οὐ γὰρ τὸ ἀγέννητον ἀναιρεῖται. ὁρᾶτε τὴν βλασφημίαν; ὥστε ἀνάγκη, ἢ μηδὲν τοῦ Θεοῦ εἶναι· ἢ εἰ μὴ ταῦτα, καὶ Θεὸν μὴ εἶναι. τρίτον ὅπερ ἔφην, ταύτῃ πολεμοῦσιν αὐτοὶ ἑαυτοῖς, καὶ προσαγανακτεῖν τὸν Θεὸν μᾶλλον παρασκευάζουσιν. τέταρτον, τὴν ἄστατον ὕλην τοσαύτην ἐπιτηδειότητα ἔχειν δεδώκασι. πέμπτον, τῆς ἀγαθότητος τοῦ Θεοῦ τὴν πονηρίαν αἰτίαν φασὶ γεγενῆσθαι, καὶ ὅτι χωρὶς ταύτης ὁ ἀγαθὸς οὐκ ἦν ἀγαθός. ἕκτον, τὰς ὁδοὺς ἡμῖν ἀποκλείουσι τῆς θεογνωσίας. ἕβδομον, τὸν Θεὸν εἰς ἀνθρώπους κατάγουσι καὶ φυτὰ, καὶ ξύλα. εἰ γὰρ ἡ μὲν ἡμετέρα ψυχὴ τῆς τοῦ Θεοῦ οὐσίας ἐστίν· ἡ δὲ μετενσωμάτωσις, καὶ εἰς σικύας, καὶ πέπονας ἐκβαίνει, καὶ κρόμμυα· ἄρα τοῦ Θεοῦ ἡ οὐσία εἰς σικύας ἐστί. κἂν μὲν εἴπωμεν, ὅτι πνεῦμα ἅγιον τὸν ναὸν ἔπλασεν ἐν τῇ παρθένῳ, καταγελῶσιν· ἂν ὅτι ἐνῴκησεν ἐν τῷ πνευματικῷ ναῷ, πάλιν γελῶσιν. αὐτοὶ δὲ καὶ εἰς σικύας, καὶ πέπονας, καὶ μύας, καὶ κάμπας, καὶ ὄνους τοῦ Θεοῦ τὴν οὐσίαν κατάγοντες οὐκ αἰσχύνονται, καινόν τινα εἰδωλολατρείας ἐξευρίσκοντες τρόπον. ἀλλ' οὐ τὸ κρόμμυον ἐν τῷ Θεῷ· ἀλλ' ὁ Θεὸς ἐν τῷ κρομμύῳ ἐστί. [μὴ γὰρ τὸ κρόμμυον ἔσω Θεός.] τί φεύγεις τὴν μετενσωμάτωσιν τοῦ Θεοῦ; αἰσχρόν ἐστι, φησίν. οὐκοῦν πολλῷ μᾶλλον τοῦτο αἰσχρόν. ἀλλ' οὐκ αἰσχρὸν, πῶς; ὅπερ γὰρ ἂν εἰς ἡμᾶς γένηται, οὕτως αἰσχρόν. εἴδετε συρφετὸν ἀσεβείας; ἀλλὰ διατί οὐ βούλονται ἀνίστασθαι σῶμα; τί δὲ καὶ ἐροῦσιν; ὅτι τὸ σῶμα πονηρόν. πόθεν οὖν οἶδας εἰπέ μοι τὸν Θεόν; πόθεν ἔχεις τὴν τῶν ὄντων τὴν γνῶσιν; ὁ δὲ φιλόσοφος, πόθεν φιλόσοφος, εἰ μηδὲν συντελεῖ τὸ σῶμα; πήρωσον τὰς αἰσθήσεις, καὶ μάθε τι τῶν δεόντων. τί δὲ μωρότερον ψυχῆς γένοιτ' ἄν, εἰ ἐξ ἀρχῆς τὰς αἰσθήσεις εἴη πεπηρωμένη; εἰ γὰρ ἑνὸς μέρους μόνον πήρωσις, τοῦ ἐγκεφάλου λέγω, τὸ πᾶν αὐτῆς βλάβη γίνεται· εἰ μέλλοι καὶ τὰ ἄλλα πεπηρῶσθαι, ποῦ χρήσιμος ἔσται; δεῖξόν μοι χωρὶς σώματος ψυχήν. ἢ οὐκ ἀκούεις ἰατρῶν λεγόντων νόσος γὰρ παροῦσα δεινῶς ψυχὴν ἀμαυροῖ; μέχρι τίνος οὐκ ἀπαλζεσθε; τὸ σῶμα τῆς ὕλης ἐστὶν εἰπέ μοι; καλῶς. οὐκοῦν ἔδει μισεῖν αὐτό. τί τοίνυν αὐτὸ τρέφεις; τί θάλπεις; [οὐκοῦν ἔδει ἀναιρεῖν σαυτόν.] οὐκοῦν ἔδει ἀπαλλάττεσθαι τοῦ δεσμωτηρίου. ἄλλως δέ· ὁ Θεὸς οὐ δύναται περιγενέσθαι τῆς ὕλης ἂν μὴ συμπλακῇ· ἐπιτάξαι γὰρ οὐ δύναται ἕως ἂν συγχυθῇ αὐτῇ, καὶ δι' ὅλης στῇ. ὢ τῆς ἀσθενείας! καὶ βασιλεὺς μὲν ἐπιτάττων πάντα ποιεῖ· ὁ δὲ Θεὸς πονηροῖς οὐκ ἐπιτάττων; ὅλως δὲ εἰ ἀγαθοῦ τινος ἄμοιρος ἦν, οὐκ ἂν ἔστη [ἡ ὕλη.] οὐ γὰρ ἔχει φύσιν ἡ πονηρία συνίστασθαι, ἂν μή τινος ἐπιλάβηται τῶν τῆς ἀρετῆς. ὥστε εἰ πρὸ τούτου ἀμιγὴς ἦν ἀρετῆς, πάλαι ἂν διεφθάρη. καὶ γὰρ οὗτον ἔχει τὸν τρόπον τὰ κακά.

Cogita quam sit absurdum, dum studes invenire fontem malorum,& hunc ignorare, & alterum huic addere. Quære fontem malorum, & ne blasphemias inferas Deo. Quomodo, inquit, blasphemias infero Deo? Quid ais? An non blasphemus es, dum malum inducis increatum? dum illi tribuis potestatem Deo parem? Dum vim malorum inducis, æqualis cum Deo potentiæ, dum malum facis increatum: Vide quid dicat Paulus: *Invisibilia enim illius, ex creatione mũdi per ea quæ facta sunt, intellecta conspiciuntur.* (Rom. 1, 20.) Cæterùm ille diabolus utraq; dixit esse hyles, h. e. primæ materiæ, ne deinceps ulla ex re Deum cognoscamus. Agè dic mihi, utrum difficilius, create quòd natura sit malum, si tamē ullum est. (Loquor enim juxta vestram sententiam. Non enim potest creari naturâ malum, quod bono sit adjumento) an creare ex non extantibus: Utrum facilius: Verbi causa de qualitate loquor, eam quæ non sit inducere, an quæ sit in diversum vertere? Utrum difficilius? domum quæ non sit extruere, an desertam instaurare? Perspicuum est illud esse difficilius. Non hoc igitur impossibile? Quemadmodum autem hoc impossibile, ita & illud impossibile. Sic enim loquor, ut in contrarium colligam disputandi gratia. Quin potius si hoc non est impossibile, nec alterum erit impossibile. Agè dic mihi, utrum facilius, unguentum conficere, an efficere ut cœnum habeat eandem vim, quam habet unguentum? Utrum facilius? quandoquidem Deum nostris rationibus effingimus, non nos, absit hoc, sed vos potius. Ipsos oculos ut fint creare, an efficere, ut cæcus videat acutius vidente? & ipsa cæcitate abuti ad acuendum visum, & surditate abuti ad facultatem audiendi? Mihi videtur prius illud difficilius, Quod ergo difficilius est quum tribuas Deo, quod facilius est eidem non tribuis? Sed quid hæc commemoro? Etiam animas ajunt ex Dei substantia profectas esse. At vide quantum hoc impietatis, quantumque dementiæ: dum enim probare nituntur Deum esse malorum authorem, aliud magis etiam impium inducunt: primum enim fingunt mala juxta temporis spatium æqualia Deo, prædicantes hunc nihilo vetustiorem quolibet illorum. Nec verentur his senectutem ac longævitatem immensam dare. Deinde malitiam asseverant immortalem, neque enim interit quod non nascitur. Videtis blasphemiam? ita necesse est, ut aut nihil sit à Deo: aut si hæc non sunt, ne Deum quidem esse. Quòd tertio loco proposueram, in hoc ipsi secum pugnant, ac majorem æterni numinis indignationem in se provocant. Quartum est, quod materiæ quæ non subsistit, tantam vim tribuunt. Quintum, quod ajunt malitiam fuisse causam divinæ bonitatis, quodque absque hac Deus qui bonus est, non fuerit futurus bonus. Sextum, quod viam nobis præcludunt perveniendi ad cognitionem Dei. Septimum, quod Deum ad homines deducunt, imò ad plantas & ligna. Etenim si nostra anima pars est substantiæ divinæ, anima verò demigrat etiam in corpora cucurbitarum, peponum & ceparum, consequitur ut substantia Dei sit in cucurbitis. Jam si dicamus, quod Spiritus Sanctus in virgine construxerit templum Dei, derident. Si dixerimus quod Deus habitarit in spirituali templo, rursus irrident. Ipsos verò non pudet Dei substantiam in cucurbitas, pepones, muscas, bruchos, & asinos detrudere, nova idololatriæ specie reperta. At non cepe, inquit, in Deo est, sed Deus est in cepe. Cur fugis ne videaris Deo tribuere demigrationem in corpora? Turpe est, inquis. An non igitur istud multo turpius? An non hoc turpe est? Quomodo non turpe sit in Deum, quod si nobis contingat, revera turpe futurum sit? Viderisne fecem impietatis? Sed quamobrem tandem nolunt corpora resurgere? Quid hic adferunt? An quod corpus sit malum? unde igitur nosti Deum? unde habes rerum cognitionem? Tum Philosophus quo pacto philosophus est, si nihil efficit corpus? Destrue sensus, & disce aliquid eorum quæ scire est opus. Quid autem insipientius esset anima, si ab initio sensus habuisset corruptos? Etenim si una corporis parte corrupta, nimirum cerebro, læditur universa vis animæ: quid futurum censes, si cæteræ quoque corporis partes corrumpantur? Ubi fuerit utilis anima? Ostende mihi animam sine corpore. An non audisti medicos aliquando dicentes: Morbus quum adest, vehementer obscurat animæ vires: Quousque persistetis? Dic mihi, num corpus est materia? Pulchrè. Igitur habendum erat odio? Cur igitur illud alis: quare foves? Quin potius liberanda erat anima ab hoc carcere. Nam alioqui Deus non potest vincere materiam, nisi illi commisceatur. Non enim potest illi præcipere, donec illi mixtus fuerit, ac per universam materiam consiterit. O imbecillitatem! Rex quidem imperando peragit omnia, Deus autem malis non imperat? Imò in totum nisi malitia boni cujuspiam fuisset particeps, ne subsisteret quidem: talis est enim natura mali, ut non consistat, nisi virtuti cuipiam admisceatur. Proinde nisi prius fuisset malitia admixta virtuti, jam olim perierat. Nam hunc in modum sese habent mala,

Sit aliquis lascivus, quique sese prorsus non temperet; num vixerit decem dies? Sit rursus latro quispiam, quem à nullo facinore retrahat conscientia, sit etiam talis erga latrocinii socios, num vixerit omnino? Sit aliquis fur impudens, qui non vereatur etiam palàm furari, num vivet istiusmodi? Mala non habent naturam, ut ex sese possint subsistere, nisi paulum aliquid à virtutibus ceperint: Sic ista Deus comparavit, ut alteris altera sint admixta. Sit civitas virorum improborum, an stabit unquam? sed fac stare malos, utrum stabunt juncti bonis, an inter sese? At fieri non potest ut soli stent. *Verè stulti facti sunt, quum se dicant esse sapientes.* Si corpus malum est, omnia simpliciter mala sint oportet, & frustra sunt quæ conspiciuntur, aqua, terra, sol & aër. Siquidem & aër corpus est, quamquam invisibile. Tempestivum igitur existimarunt iniqui loqui nugalia. Verum ista ne toleremus, quin potius adversus illos obturemus aures. Est enim, est inquam corporis resurrectio. Hoc declarat sepulchrum quod est Hierosolymis: hoc declarat lignum, cui fuit alligatus quum flagellis cæderetur. *Comedimus enim*, inquit, *& bibimus cum illo.* Credamus itaque resurrectionem, & hac digna operemur, quo simul & futura bona consequamur in Christo Jesu Domino nostro, cui cum Patre & Spiritu Sancto, gloria, imperium, honor nunc & semper & in secula seculorum, Amen.

Rom.1,22.

Act.10,41.

HOMILIA III.

Tunc reversi sunt Hierosolymam à monte qui dicitur Oliveti, qui abest ab Hierosolymis iter Sabbati.

TUnc, inquit, *reversi sunt. Tunc* Quando? postquàm audierant. Alioqui non sustinuissent, nisi aliter adventus ipsis promissus fuisset. Mihi verò videntur hæc in Sabbato gesta fuisse, alioqui non ad istum modum indicasset intervallum loci, dicens: *A monte qui dicitur Oliveti, qui abest ab Hierosolymis iter Sabbati.* Etenim certa viæ longitudo præscripta fuerat, quam peragere fas esset die Sabbati. *Et quum essent ingressi, ascenderant in Cœnaculum, ubi erant permanentes.* Ita posthac Hierosolymis manebant post Domini Resurrectionem, Petrus, Jacobus, & Joannes. Non hic jam solus cum fratre recensetur, sed & Andreas cum Petro. *Philippus & Thomas, Bartholomæus & Matthæus, Jacobus Alphæi, & Simon Zelotes, ac Judas Jacobi.* Rectè mentionem fecit discipulorum. Postquam enim unus prodidit, alter diffisus est, declarat quod uno excepto reliqui essent incolumes. *Hi omnes erant unanimiter perseverantes in deprecatione cum mulieribus.* Pulchrè: magna siquidem armatura in tentationibus est deprecatio, & hoc abundè didicerant prius ab ipso magistro. Quanquam & alioqui præsens tentatio ad orandum illos adegit. Atque hac gratia conscendunt etiam cœnaculum. Vehementer enim metuebant Judæos. *Cum mulieribus.* De his loquitur de quibus narrant Evangelia, quod Dominum sint sequutæ. *Et Maria matre Jesu, & fratribus ejus.* Quomodo igitur dictum est, quod peculiariter in sua receperit eam ille discipulus? Sed rursus ubi congregasset illos, ita demum & illa simul aderat. *Et cum fratribus ejus:* De his loquitur, qui prius diffisi fuerant. *Et in diebus illis surgens Petrus in medio discipulorum, dixit:* Quàm est fervidus? Quàm agnoscit creditum à Christo gregem? Quàm in hoc choro princeps est? & ubique primus omnium incipit loqui. *Erat autem turba hominum*, inquit, *simul ferè centum viginti. Viri fratres oportebat impleri scripturam hanc, quam prædixit Spiritus Sanctus.* Cur non solus à Christo postulavit, ut ipsi daret aliquem substituendum in locum Judæ? Deinde cur non potius per seipsos perficiunt electionem? Jam Petrus erat seipso factus melior. Hoc ad priorem quæstionem responsum esto. Alterius verò, quamobrem non simpliciter, aut vulgari more, sed ex revelatione postularint suppleri ministerium, duas causas adferemus: unam quidem, quod aliis rebus essent occupati: alteram, quod hoc esset certissimum argumentum, Christum adhuc illis adesse. Quemadmodum enim quum præsens esset, elegerat; ita & absens elegit. Ea res non mediocre momentum habebat ad consolandos discipulorum animos. Jam & illud considera quàm Petrus agit omnia ex communi Discipulorum sententia, nihil authoritate sua, nihil cum imperio. Neque simpliciter dixit, hunc in locum Judæ sufficiemus sed consolans illos super eo quod acciderat, vide quo pacto dicendi sumit exordium. Neque enim Judæ factum mediocriter consternaverat illorum animos. Nec id tibi mirum videri debet. Etenim si nunc vulgus hoc factum traducit, quid illos tum dixisse consentaneum est? *Viri*, inquit, *fratres.* Si Dominus suos Discipulos fratres appellavit, multò magis convenit ut Petrus suos condiscipulos appellaret, quapropter & omnibus præsentibus sic loquutus est. Ecce dignitas Ecclesiæ, & status Angelicus.

A ἔστω τις ἀσελγὴς, καὶ μηδὲ ὅλως ἑαυτοῦ κατεχέτω, εἰ ζήσεται δέκα ἡμέρας; ἔστω τις λῃστὴς καὶ πρὸς πάντας ἀσυνείδητος· ἔστω καὶ πρὸς τοὺς συλλῃστεύοντας· εἰ ζήσεται ὅλως; ἔστω τις κλέπτης [καὶ] ἀναίσχυντος, καὶ μὴ ἐρυθριάτω. ἀλλὰ δημοσίᾳ κλεπτέτω, εἰ βιώσεται. ὁ τοιοῦτος; οὐκ ἔχει φύσιν τὰ κακὰ συνίστασθαι, ἂν μὴ καὶ μικρόν τι παρὰ τῶν ἀγαθῶν λάβῃ, ὥστε κατ' αὐτοὺς ὁ Θεὸς αὐτὰ συνέστησεν. ἔστω πόλις ἀνδρῶν πονηρῶν, εἰ στήσεταί ποτε; πονηροὶ B δὲ ἔστωσαν, μὴ πρὸς τοὺς ἀγαθοὺς, ἀλλὰ καὶ πρὸς ἑαυτούς. ἀλλ' οὐ δυνατὸν εἶναι. οὕτως ἐμωράνθησαν φάσκοντες εἶναι σοφοί. εἰ τὸ σῶμα κακὸν, πάντα ἁπλῶς καὶ εἰκῇ τὰ ὁρώμενα, καὶ ὕδωρ, καὶ γῆ, καὶ ἥλιος, καὶ ἀήρ. καὶ γὰρ καὶ ὁ ἀὴρ σῶμα, εἰ καὶ μὴ [παχὺ καὶ] ναστόν. εὔκαιρον οὖν εἰπεῖν· διηγήσαντό μοι παράνομοι ἀδολεσχίας. ἀλλὰ μὴ ἀνεχώμεθα, ἀλλ' ἀποτειχίσωμεν αὐτοῖς τὰς ἀκοάς. ἔστι γὰρ, ἔστι σωμάτων ἀνάστασις. τοῦτο ὁ τάφος δηλοῖ ὁ ἐν C Ἱεροσολύμοις· τοῦτο τὸ ξύλον ἔνθα προσεδέθη καὶ ἐμαστιγώθη. συνεφάγομεν γὰρ αὐτῷ, φησὶ, καὶ συνεπίομεν. πιστεύωμεν τοίνυν τῇ ἀναστάσει, καὶ πράττωμεν ἄξια ταύτης, ἵνα καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ γ'.

D Τότε ὑπέστρεψαν οἱ Ἀπόστολοι εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν.

ΤΟΤΕ, φησὶν, ὑπέστρεψαν. [τότε. πότε; ὅτε ἤκουσαν. οὐ γὰρ ἂν [ἄλλως] ὑπέσχοντο, εἰ μὴ ἑτέραν αὐτοῖς παρουσίαν ὑπέσχετο. δοκεῖ δέ μοι καὶ ἐν σαββάτῳ γεγονέναι ταῦτα. οὐ γὰρ ἂν οὕτω καὶ τὸ διάστημα ἐδήλωσεν εἰπὼν, ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδὸν, εἰ μὴ ὡρισμένον τι μῆκος ὁδοιπορίας ἐβάδιζον ἐν τῇ ἡμέρᾳ τοῦ σαββάτου. καὶ E ὅτε εἰσῆλθον εἰς τὸ ὑπερῷον, ἀνέβησαν οὗ ἦσαν καταμένοντες. ἄρα λοιπὸν ἐν Ἱεροσολύμοις ἔμενον μετὰ τὴν ἀνάστασιν. ὅ τε Πέτρος, [φησὶ,] καὶ Ἰάκωβος, καὶ Ἰωάννης. οὐκ ἔτι μετὰ τοῦ ἀδελφοῦ μόνος οὗτος ἀριθμεῖται· ἀλλὰ καὶ Ἀνδρέας μετὰ Πέτρου, Φίλιππος καὶ Θωμᾶς, Βαρθολομαῖος, καὶ Ματθαῖος, Ἰάκωβος [ὁ] Ἀλφαίου, καὶ Σίμων ὁ ζηλωτὴς, καὶ Ἰούδας [ὁ] A Ἰακώβου. καλῶς ἐμνημόνευσε τῶν μαθητῶν. ἐπειδὴ γὰρ ὁ μὲν προδέδωκεν, [ὁ δὲ ἠρνήσατο,] ὁ δὲ ἠπίστησε, δείκνυσιν ὅτι πλὴν ἐκείνου πάντες ἦσαν σῶοι. οὗτοι πάντες ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ. [καὶ τῇ δεήσει] σὺν ταῖς γυναιξί. καλῶς. μέγα γὰρ τοῦτο ὅπλον ἐν τοῖς πειρασμοῖς, καὶ τοῦτο ἦσαν προπαιδευθέντες ἱκανῶς ἀπ' αὐτοῦ τοῦ διδασκάλου. ἄλλως δέ· καὶ ὁ παρὼν πειρασμὸς, αὐτοὺς εἰς τοῦτο ἦγε. διὰ τοῦτο ἀναB βαίνουσι καὶ εἰς τὸ ὑπερῷον. σφόδρα γὰρ ἐδεδοίκεσαν τοὺς Ἰουδαίους. σὺν γυναιξί, φησιν. εἶπε γὰρ, ὅτι ἠκολούθησαν αὐτῷ. καὶ Μαρίᾳ τῇ μητρὶ τοῦ Ἰησοῦ, καὶ [σὺν] τοῖς ἀδελφοῖς αὐτοῦ. πῶς οὖν λέγει, ὅτι εἰς τὰ ἴδια αὐτὴν ἔλαβε τότε ὁ μαθητής; ἀλλὰ συναγαγὼν πάλιν αὐτοὺς [ὁ Χριστὸς,] οὕτω λοιπὸν [πάλιν] αὐτοῖς καὶ ἐκείνη συνῆν. σὺν τοῖς ἀδελφοῖς αὐτοῦ. τούτους λέγει, οἱ ἀπιστοῦντες πρότερον ἦσαν [αὐτῷ.] καὶ ἐν ταῖς ἡμέραις ταύC ταις ἀναστὰς Πέτρος ἐν μέσῳ τῶν μαθητῶν εἶπε. καὶ ὡς θερμὸς, καὶ ὡς ἐμπιστευθεὶς παρὰ τοῦ Χριστοῦ τὴν ποίμνην, καὶ ὡς τοῦ χοροῦ πρῶτος, ἀεὶ πρότερος ἄρχεται τοῦ λόγου. ἦν τε ὄχλος ὀνομάτων, φησὶν, ἐπὶ τὸ αὐτὸ ὡς ἑκατὸν εἴκοσιν. ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην, ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. τί δήποτε οὐ τὸν Χριστὸν ἠξίωσε μόνος, ὥστε αὐτῷ δοῦναι εἰς τὸν τόπον Ἰούδα τινά; διατί δὲ καὶ ἀφ' ἑαυτῶν οὐ ποιοῦνται D τὴν ἐκλογήν; βελτίων λοιπὸν ἦν γεγονὼς ἑαυτοῦ. [τοῦτο τοίνυν ἐστιν εἰπεῖν περὶ τούτου.] περὶ δὲ τοῦ μὴ ἁπλῶς, ἀλλ' ἐξ ἀποκαλύψεως αἰτεῖν τὴν τὴν χορείαν ἀναπληρώσοντα, δύο αἰτίας ἐροῦμεν· μίαν μὲν, ὅτι περὶ ἄλλα ἠσχόλειντο· δευτέραν δὲ, ὅτι τοῦ παρεῖναι αὐτοῖς τὸν Χριστὸν τεκμήριον μέγιστον τοῦτο. καθάπερ γὰρ παρὼν ἐξελέγετο, οὕτω καὶ ἀπών. οὐ μικρὸν δὲ τοῦτο εἰς παραμυθίαν. ὅρα δὲ αὐτὸν μετὰ κοινῆς πάντα ποιοῦντα γνώμης· οὐδὲν αὐθεντικῶς, E οὐδὲ ἀρχικῶς. καὶ οὐκ εἶπεν οὕτως ἁπλῶς, ἀντὶ τοῦ Ἰούδα τοῦτον καταλεγόμεθα· ἀλλὰ παραμυθούμενος αὐτοὺς ὑπὲρ τοῦ γεγενημένου, [βλέπε πῶς μεταχειρίζει τὸν λόγον.] οὐ γὰρ μικρὰν ἀπορίαν ἐνεποίησε τὸ γεγονός. [καὶ μὴ θαυμάσῃς.] εἰ γὰρ νῦν τοῦτο πολλοὶ περιστρέφουσι. τί ποτε εἰκὸς ἦν αὐτοὺς λέγειν; ἄνδρες, [φησὶν] ἀδελφοί. εἰ ὁ Κύριος [αὐτοὺς] ἀδελφοὺς ἐκάλεσε, πολλῷ μᾶλλον οὗτος. διὸ καὶ] πάντων παρόντων οὕτω ἀναφωνεῖ. ἰδοὺ ἐκκλησίας ἀξίωμα, καὶ ἀγγελικὴ κατάστασις.

οὐδεὶς

διεστὼς ἦν ἐκεῖ [διερρηγμένος] οὐκ ἄρσεν, οὐ θῆλυ. τοιαύτας βουλόμην τὰς ἐκκλησίας εἶναι καὶ νῦν. οὐδεὶς βιωτικὸν οὐκ ἐφρόντιζεν [οὐδεὶς περὶ οἰκίας ἐμεριμνᾷ.] τοσοῦτον ἀγαθὸν οἱ πειρασμοί· τοσοῦτον αἱ θλίψεις καλόν. ἔδει πληρωθῆναι τὴν γραφὴν ταύτην ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον. ἀεὶ παραμυθεῖται αὐτοὺς ἀπὸ τῆς προρρήσεως. οὕτω καὶ ὁ Χριστὸς πανταχοῦ ποιεῖ. τὸν αὐτὸν δὴ τρόπον καὶ οὗτος δείκνυσιν, ὅτι οὐδὲν ξένον γέγονεν, ἀλλὰ τὸ ἤδη προειρημένον. [ἔδει, φησὶ, πληρωθῆναι τὴν γραφὴν ἣν προεῖπε τὸ πνεῦμα τὸ ἅγιον] διὰ στόματος Δαβίδ, καὶ οὐ λέγει, Δαβὶδ εἶπεν· ἀλλὰ τὸ πνεῦμα δι' αὐτοῦ. [ὅρα εὐθέως ἐν προοιμίοις τοῦ βιβλίου ὁποίᾳ κέχρηται διδασκαλίᾳ.] ὁρᾷς ὅτι οὐχ ἁπλῶς εἶπον ἀρχόμενος τῆς συγγραφῆς ταύτης, ὅτι τοῦ πνεύματός ἐστι πολιτεία τὸ βιβλίον τοῦτο; ἣν προεῖπε, φησὶ τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβίδ.] σκόπει πῶς τὸν προφήτην οἰκειοῦται, καὶ αὐτὸν ἄγει εἰς μέσον, εἰδὼς ὅτι αὐτοὺς ὠφελεῖ τὸ διὰ Δαβὶδ εἰρῆσθαι, καὶ μὴ δι' ἄλλου προφήτου. περὶ Ἰούδα [φησὶ] τοῦ ὁδηγοῦ γενομένου. ὅρα καὶ ἐνταῦθα τὸ φιλόσοφον τοῦ ἀνδρός. οὐχ ὑβρίζει οὐδὲ ἐναλλεται, λέγων τοῦ μιαροῦ καὶ παμμιάρου· ἀλλ' ἁπλῶς τὸ γενόμενον δηλοῖ· οὐδὲ λέγει τοῦ προδότου· ἀλλ' ἐφ' ἑτέρους βιάζεται μεταθεῖναι τὸ ἔγκλημα, ὅσον εἰς αὐτὸν ἧκε. καὶ οὐδὲ ἐκείνων σφοδρὰ καθάπτεται· τοῦ γενομένου [γὰρ] φησὶν, ὁδηγοῦ τοῖς συλλαβοῦσι τὸν Ἰησοῦν. καὶ πρὶν ἢ εἰπεῖν ποῦ εἶπεν [ὁ] Δαβίδ, λέγει τὰ πεπραγμένα αὐτῷ· ἵνα ἀπὸ τῶν παρόντων, καὶ τὰ μέλλοντα πιστώσηται, καὶ δείξῃ ἤδη δεδωκότα δίκην. ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης· οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας. ἠθικὸν ποιεῖ τὸν λόγον, καὶ λανθανόντως τὴν αἰτίαν παιδευτικὴν οὖσαν ἀποκαλύπτει. οὐ λέγει [γὰρ,] ὅτι [οἱ] Ἰουδαῖοι· ἀλλ' οὗτος αὐτὸ ἐκτήσατο. ἐπειδὴ γὰρ αἱ ψυχαὶ τῶν ἀσθενῶν οὐχ οὕτω πρὸς τὰ μέλλοντα ὁρῶσιν ὡς πρὸς τὰ παρόντα, περὶ τῆς παρούσης δίκης διαλέγεται. καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος. καλῶς οὐκ ἐν τῷ ἁμαρτήματι, ἀλλ' ἐν τῇ τιμωρίᾳ τὸν λόγον ἐπιτείνει. καὶ ἐξεχύθη [φησὶ] πάντα τὰ σπλάγχνα αὐτοῦ. τοῦτο παραμυθίαν ἐκείνοις ἔφερε. καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλήμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν ἀκελδαμά· τουτέστι, χωρίον αἵματος. οἱ μὲν οὖν Ἰουδαῖοι ταύτῃ τῇ προσηγορίᾳ ἐκάλεσαν αὐτό, [οὐ διὰ τοῦτο,] ἀλλὰ διὰ τὸν Ἰούδαν· οὗτος γὰρ ὡς τοῦτο αὐτὸ μετήγαγε, μάρτυρας τοὺς ἐχθροὺς φέρων. τῷ τε γὰρ εἰπεῖν, ὅτι ὠνόμασαν, καὶ τῷ ἐπαγαγεῖν τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν, τοῦτο δηλοῦν βούλεται. εἶτα μετὰ τὴν ἔκβασιν οἰκείως ἐπεισάγει τὸν προφήτην λέγων· γέγραπται γὰρ ἐν βίβλῳ ψαλμῶν· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ. τοῦτο περὶ τοῦ χωρίου καὶ τῆς οἰκίας. καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος· τουτέστι, τὴν ἀρχήν, τὴν ἱερωσύνην. ὥστε οὐκ ἐμῇ γνώμῃ τοῦτο τυγχάνει, ἀλλ' ἐκείνου τοῦ ταῦτα προειρηκότος. ἵνα [γὰρ] μὴ δόξῃ μεγάλῳ πράγματι ἐπιχειρεῖν, καὶ τοιοῦτον οἷον ὁ Χριστός, ἐπήγαγε μάρτυρα τὸν προφήτην. δεῖ οὖν, φησί, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ χρόνῳ. [διατί] κοινοῦται αὐτοῖς; ἵνα μὴ περιμάχητον τὸ πρᾶγμα γένηται, καὶ εἰς φιλονεικίαν ἐμπέσωσιν. εἰ γὰρ αὐτοὶ τοῦτο ἔπαθον, πολλῷ μᾶλλον ἐκεῖνοι; καὶ ἀεὶ διὰ τοῦτο παραιτεῖται. διὰ τοῦτο ἀρχόμενος ἔλεγεν· ἄνδρες ἀδελφοί, δεῖ ἐκλέξασθαι ἐξ ἡμῶν. τῷ πλήθει τὴν κρίσιν ἐπιτρέπει, τούς τε γενομένους αἰδεσίμους ποιῶν, καὶ αὐτὸς ἀπαλλαττόμενος ἀπεχθείας τῆς πρὸς τοὺς ἄλλους. μεγάλα γὰρ ἀεὶ τὰ τοιαῦτα ἐργάζεται κακά. ὅτι μὲν οὖν δεῖ γενέσθαι, τὸν προφήτην παράγει μάρτυρα· ἐκ τίνων δὲ δεῖ, αὐτὸς ἑρμηνεύει λέγων· ἐκ τῶν προσελθόντων ἡμῖν ἐν παντὶ χρόνῳ. εἰ μὲν γὰρ εἶπε τοὺς ἐπιεικεῖς [δεῖ παρεῖναι,] τοὺς ἄλλους ἂν ὕβρισε. νῦν δὲ τῷ χρόνῳ τὸ πρᾶγμα ἐπέτρεψεν, οὐχ ἁπλῶς συνελθόντας εἰπών, ἀλλ' ἐν παντὶ χρόνῳ ἐν ᾧ εἰσῆλθε, καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου, ἕως τῆς ἡμέρας ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. ἵνα τί γένηται; ἵνα μὴ ἠκρωτηριασμένος ὁ χορὸς ᾖ. τί οὖν, ἐλέσθαι [τῷ Πέτρῳ] αὐτὸν οὐκ ἐξῆν; καὶ πάνυ γε. ἀλλ' ἵνα μὴ δόξῃ χαρίζεσθαι, τοῦτο οὐ ποιεῖ. ἄλλως δὲ καὶ πνεύματος ἄμοιρος ἦν ἔτι. καὶ ἔστησαν, φησὶ, δύο, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν. οὐχὶ αὐτὸς αὐτοὺς ἔστησεν· ἀλλὰ πάντες. τὴν γνώμην δὲ αὐτὸς εἰσηγήσατο, δείξας οὐδὲ αὐτὴν αὐτοῦ οὖσαν, [ἀλλ' ἄνωθεν κατὰ προφητείαν.] ὥστε ἐξηγητὴς γέγονεν, οὐ διδάσκαλος. Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος. ἴσως διὰ τὰς ὁμωνυμίας ἀμφότερα τέθεικεν· ἐπεὶ καὶ ἐν τοῖς Ἀποστόλοις πολλαὶ ὁμωνυμίαι ἦσαν· Ἰάκωβος ὁ Ζεβεδαίου, Ἰάκωβος ὁ τοῦ Ἀλφαίου·

A Nullus erat illic ab aliis divulsus, non masculus, non fœmina. Tales optarim & nunc esse congregationes. Nullus erat solicitus de his quæ ad corporis victum pertinent, nullum torquebat cura rei domesticæ. Tantum boni affert tentatio. Tantum commodorum habet afflictio. *Oportebat impleri scripturam hanc quam prædixit Spiritus Sanctus.* Semper consolatur illos ex eo quod antè fore prædictum sit. Idem & Christus ubique facit. Quem morem servans & Lucas ostendit nihil accidisse B novi, sed quod jam olim prædictum erat fore. *Oportet*, inquit, *impleri Scripturam hanc, quam prædixit Spiritus Sanctus per os David.* Non ait, David dixit, sed *Spiritus per eum.* Considera in ipsis statim libri Principiis, qua doctrinæ ratione sit usus. Vide quod aggressus hoc opus scribere, non abs re dicebam hunc librum arbitrio Sancti Spiritus conscriptum esse. *Quam prædixit*, inquit, *Spiritus Sanctus per os David.* Perpende quomodo Prophetam reddit familiarem, eumque adducit in meC dium, sciens & ipsis fratribus expedire ut intelligant hoc per David fuisse dictum, & non per alium Prophetam. *De Juda*, inquit, *qui dux fuit.* Vide & hic hominis prudentem moderationem. Non dicit contumeliam, neque insultat, dicens, de scelesto illo, & omnibus sceleribus inquinato, sed simpliciter quod accidit indicat. Neque dicit de eo qui prodidit, sed in alios detorquet crimen, per quos ad hoc devenit. At ne illos quidem acriter mordet. *Qui dux*, inquit, *fuit comprehendentiD bus Jesum.* Ac priusquam eloquatur ubi prædixerat hoc David, narrat quod accidit Judæ, ut ex præsentibus crederent futura, ostenderetque Judam jam dedisse pœnas. *Quoniam connumeratus erat nobiscum, & sortitus est sortem ministerii hujus. Hic quidem igitur possedit agrum ex mercede iniquitatis.* Moralem reddit sermonem, & latenter crimen aperit, quod ita conducat ad correptionem. Non dicit, Judæi possederunt: sed, *hic agrum possedit.* Etenim quoniam infirmorum animi E non tam respiciunt ad futura, quam ad præsentia, de vindicta præsente commemorat. *Et suspensus crepuit medius.* Rectè non in peccato, sed in ultione sermonem facit acriorem. *Et effusa sunt*, inquit, *omnia viscera ejus* Hoc audientibus adferebat consolationem. *Et innotuit omnibus habitantibus Hierosolymis, adeo ut vocaretur ager ille propria ipsorum lingua Aceldama, hoc est, ager sanguinis.* Judæi quidem hoc cognomen indidere agro, non ob agrum ipsum, sed propter Judam. A Nam is agrum adduxit in hoc novum cognomen, impietatis suæ cognomen ferens ab hostibus. Id sentire Lucam declarat tum id quod ait, *Nominaverunt*: tum illud quod mox subjicit, *propria ipsorum lingua.* Deinde post digressionem nominatim Prophetæ verba subjecit, dicens: *Scriptum est enim in libro Psalmorum; Fiat commoratio ipsorum deserta, nec sit qui inhabitet in ea.* Hoc de loco, deque domo: *Et Episcopatum ejus accipiat alter*; hoc est, principatum, sacerdotium. Proinde B non hæc accidunt, inquit, meo consilio, meaque voluntate, sed illius qui hæc prædixit, ne videretur ipse rem arduam conari, sed talem cui Christus testem adhibuerit Prophetam. *Oportet igitur*, inquit, *è nobis congregatis in omni tempore.* Quamobrem communicat hoc negotium cum illis? Ne res verteretur in pugnam, ac delaberetur in contentionem. Nam si his ipsis hoc accidit, multò magis accidisset illis. Semper autem hoc devitat. *Viri fratres oportet eligere è nobis.* Multitudini permittit judicium, simul C eos qui eligebantur, reddens reverendos, & seipsum liberans ab invidia simultateque, quæ poterat à cæteris oboriri. Nam hæc semper ingentia gignit mala. Quod igitur sic oportuit fieri, docuit, adducto Prophetæ testimonio. E quibus autem oporteat fieri electionem, ipse interpretatur, dicens: *Ex congregatis nobis per omne tempus.* Etenim si dixisset, modestos oportet adesse, cæteros affecisset contumelia. Nunc autem tempori permisit judicandi negotium, non simpliciter dicens, *congregatis*, sed addit: *In omni tempore, quo exivit & intravit ad nos Dominus Jesus, exorsus a baptismo Joannis usque ad diem quo assumptus est à nobis, testem ResurreD ctionis ejus nobiscum fieri unum ex his.* Ut fieret quid? Ne chorus non haberet suum numerum. Quid? An non licebat ipsi eligere: Licebat, & quidem maximè. Verùm id non facit, ne cui videretur gratificari. Quanquam alioqui nondum erat particeps spiritus. *Et statuerunt*, inquit, *duos. Joseph, qui vocabatur Barsabas, cognomento Justum, ac Matthiam.* Non ipse eos statuit, sed omnes. Cæterùm sententiam ipse protulit, sed hanc quoque declarans suam non esse, sed è E supernis profectam juxta Prophetiam. Itaque recitator fuit, non præceptor. *Joseph qui dicebatur Barsabas, cognomento Justus.* Fortassis ob multos cognomines posuit & agnomen & cognomen, quandoquidem & inter Apostolos complures erant cognomines, Jacobus Zebedæi, & Jacobus Alphæi:

Ps. 68, 27
Ps. 108, 8.

Simon

A Simon Petrus, & Simon Zelotes, Judas Jacobi, & Judas Iſcariotes. Quanquam juxta alium ſenſum ex vitæ mutatione, aut fortaſſis ex inſtituto cognomen eſt additum. *Statuerunt*, inquit, *Joſeph, qui vocabatur Barſabas, cognomento Juſtum, & Matthiam. Et orantes dicebant: Tu Domine qui noſti omnium corda, oſtende quem elegeris ex his duobus unum, ut accipiat ſortem miniſterii hujus, & Apoſtolici muneris: unde prævaricatus eſt Judas, ut abiret in locum ſuum.* Re-

B ctè commemorant illius peccatum, declarantes ſe teſtem quærere, non ſupplentes numerum, ſed non ſinentes eum imminui. *Et dederunt ſortes ſuas.* Quoniam non erat ſpiritus, ſortibus rem peragunt. *Et cecidit ſors ſuper Matthiam, & ſuffragiis additus eſt undecim Apoſtolis. Tunc* (ait) *reverſi ſunt Hieroſolymam à monte, qui dicitur Oliveti, qui abeſt ab Hieroſolymis iter Sabbati.* Hoc ait, ut declararet illos non facere longum iter: Ne quid terroris accideret, pavent adhuc metuuntque ſibi. *Quum*

C *eſſent ingreſſi, aſcenderunt in Cœnaculum.* Non enim audebant in civitate comparere. Ac rectè *aſcenderunt in Cœnaculum*, ne promptum eſſet ac facile illos comprehendere. *Et erant*, inquit, *unanimiter perſeverantes in deprecatione.* Vides quàm fuerint vigilantes. Duo quædam de illis teſtificatur, alterum quod in precibus perſeverarent, alterum quod unanimiter velut hoc eodem animo facientes. Joſeph itaque fortſitan jam erat vita defunctus, eoque noluit hujus facere mentionem. Neque enim quum fra-

D tres crediduſſent ille erat incredulus, qui crediderat ante omnes. Quapropter non videtur vulgari more ad hunc attendere, velut

Luc. 2, 48. ad hominem, id quod declaratur ex eo quod mater dicit: *Ego & Pater tuus dolentes quærebamus te.* Ante omnes igitur ille cogno-

Joan. 7, 7. vit Dominum: Ad fratres autem dicebat Chriſtus: *Non poteſt mundus vos odiſſe, me autem odit.* Vide verò Jacobi modeſtiam. Is acceperat Hieroſolymis Epiſcopi munus, & tamen hic nihil loquitur. Conſidera autem & aliorum Diſcipulorum ſingula-

E rem modeſtiam, quo pacto concedunt ei ſolium, nec amplius ambigunt diſceptantes inter ſeſe. Illorum enim Eccleſia talis erat qualis eſt in cœlis, nihil habens rerum mundanarum, non parietibus, non marmoribus, ſed fervore eorum qui convenerant relucens. *Erant*, inquit, *fermè centum viginti.* Fortaſſis ſeptuaginta quos ſelegerat, aut alii quoque probiores, qualis eſt hic Joſeph, Matthias, mulieres quæ à Galilæa ſecutæ fuerant illum, ſimul & ubique adfuerant. Hæc do-

A ctoris providentia. Primus hic doctorem conſtituit: Non dixit, nos ad docendum ſufficimus. Uſque adeo aberat ab omni inanis gloriæ ſtudio, & ad unum tantùm ſpectabat. Quanquam autem habebat conſtituendi jus par omnibus, tamen hæc congruenter fiebant ob virtutem viri, & ob hoc, quod tum temporis præfectura non honos erat; ſed cura ſubditorum. Ea res nec patiebatur eos qui eligebantur efferri, quod ad pericula vocabantur, nec eos qui non fuiſſent electi, veluti contemptos affici mœrore. Tametſi nunc non eodem

B fit modo, ſed prorſus diverſo. Ecce centum & viginti e-

Luc. 22, 32. rant, & unum duntaxat poſtulat è tota multitudine. Meritò primus omnium authoritatem uſurpat in negotio, ut qui omnes habeat in manu. Ad hunc enim dixit Chriſtus: *Et tu aliquando converſus confirma fratres tuos. Quoniam*, inquit, *connumeratus erat nobiſcum.* Quapropter oportebat alterum proponere, ut illius loco fieret teſtis. Jam illud vi-

C de quomodo præceptorem imitatur, ubique loquens è ſcripturis, neque quicquam adhuc loquens de Chriſto, quoniam id ipſe Dominus antè crebrò juſſerat. Neque hic mentionem

Pſ. 108, 2. facit proditionis Judæ. Velut illud: *Os peccatoris & os doloſi ſuper me apertum eſt.* Verùm hoc loco tantùm ultionis facit mentionem. Id enim ad hoc uſque tempus expediebat. Ea res maximè declarat rurſum Domini humanitatem. *Quoniam*, inquit, *converſatus erat nobiſcum, & acceperat ſortem miniſterii*

D *hujus.* Sortem ejus ubique vocat, declarans totum eſſe gratiæ electioniſque Dei, ſimul commonefaciens illos vetuſtæ legis, quod Dominus ſic eum ſorte aſciviſſet, quemadmodum aſciverat Levitas. Et immoratur his quæ dicuntur de Juda, eo quod proditionis merces, eadem eſſet præco vindictæ: *Paravit*, inquit, *agrum ex mercede iniquitatis.* Vide quomodo quod factum eſt, fuerit divinæ diſpenſationis. *Iniquitatis*, inquit. Multæ ſunt iniquitates, ſed hac nihil unquam factum eſt iniquius. Itaque iniquitatis erat negotium. Neque præſentibus tantùm innotuit

E quod factum eſt, verumetiam poſteris omnibus. Inſcientes igitur eum ſic nominaverunt locum, non data opera, quem-

Joh. 11, 51. admodum & *Caiphas inſciens edidit prophetiam.* Ita Deus compulit eos ſic edere vocabulum Hebraicum, *Aceldama.* Hinc enim patefiebant etiam mala quæ Judæis erant superventura. Hactenus oſtendit ex parte eveniſſe quod erat prædi-

Matt. 26, 21. ctum hiſce verbis: *Bonum erat ſi natus non fuiſſet homo ille.*

A Σίμων Πέτρος, Σίμων ὁ ζηλωτής· Ἰούδας Ἰακώβου, καὶ Ἰούδας ὁ Ἰσκαριώτης. ἄλλως δὲ καὶ μεταβολῆς βίου, ἴσως δὲ καὶ προαιρέσεως ἦν ἡ ὀνομασία. ἔστησαν, φησὶν, Ἰωσὴφ τὸν καλούμενον Βαρσαβᾶν, ὃς ἐπεκλήθη Ἰοῦστος, καὶ Ματθίαν, καὶ προσευξάμενοι εἶπον· σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον ὃν ἐξελέξω ἐκ τούτων τῶν δύο ἕνα λαβεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς, ἐξ ἧς παρέβη Ἰούδας πορευθῆναι εἰς τὸν τόπον τὸν ἴδιον. καλῶς λέ-

B γουσιν ἐκείνου τὸ ἁμάρτημα, δεικνῦντες ὅτι μάρτυρα αἰτοῦσιν, οὐ πληροῦντες τὸν ἀριθμὸν, ἀλλ' ἐλαττωθῆναι οὐκ ἐῶντες. καὶ ἔδωκαν κλήρους αὐτῶν· οὐδέπω γὰρ πνεῦμα ἦν. καὶ ὁ κλῆρος ἐπὶ Ματθίαν ἔπεσε· καὶ συγκατεψηφίσθη μετὰ τῶν ἕνδεκα ἀποστόλων. τότε, φησὶν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος· ὅ ἐστιν ἐγγὺς Ἱερουσαλὴμ σαββάτου ἔχον ὁδόν. τοῦτό φησιν, ἵνα δείξῃ ὅτι μακρὰν οὐ βαδίζουσιν ὁδὸν, ὡς φόβον τινὰ μὴ

C γενέσθαι· τρέμουσιν ἔτι καὶ δεδοίκασιν αὐτούς. καὶ ὅτε εἰσῆλθον, ἀνέβησαν εἰς τὸ ὑπερῷον. οὐκ ἐτόλμησαν γὰρ φανῆναι ἐπὶ τῆς πόλεως. καὶ καλῶς εἰς ὑπερῷον ἀνέβησαν, ὥστε μὴ εἶναι εὔκολον ἐκ τοῦ ἑτοίμου συλληφθῆναι αὐτούς. καὶ ἦσαν, φησὶ, προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ. ὁρᾷς πῶς ἐγρηγορότες ἦσαν τῇ προσευχῇ προσκαρτεροῦντες, καὶ ὁμοθυμαδὸν ὥσπερ ἐκ μιᾶς ψυχῆς προσκαρτεροῦντες; δύο αὐτοῖς μαρτυρεῖ. ὁ μὲν οὖν Ἰωσὴφ ἴσως τετελευτη-

D κὼς ἦν. οὐ γὰρ ἂν τῶν ἀδελφῶν πιστευσάντων ἐκεῖνος οὐκ ἐπίστευσεν ὁ πρὸ πάντων πιστεύσας. ἀμέλει γοῦν ἁπλῶς οὐδὲ φαίνεται ὡς ἀνθρώπῳ προσέχων, καθάπερ ἡ μήτηρ ἔλεγεν· ἐγὼ καὶ ὁ πατήρ σου ὀδυνώμενοι ἐζητοῦμέν σε. ὥστε πρὸ πάντων αὐτὸς ἔγνω τοῦτον. πρὸς δὲ τοὺς ἀδελφοὺς ἔλεγεν ὁ Χριστός· οὐ δύναται ὁ κόσμος ὑμᾶς μισεῖν, ἐμὲ δὲ μισεῖ. καὶ ὅρα τὴν ἐπιείκειαν Ἰακώβου. αὐτὸς ἔλαβε τὴν ἐπισκοπὴν τὴν ἐν Ἱεροσολύμοις, καὶ [ὅμως] [τότε οὐδὲν

E διαλέγεται]. ὅρα δὲ καὶ τῶν ἄλλων μαθητῶν τὴν [πολλὴν] ταπεινοφροσύνην, πῶς αὐτῷ συγχωροῦσι τοῦ θρόνου, καὶ οὐκ ἔτι ἀμφισβητοῦσι πρὸς ἀλλήλους. ὥσπερ γὰρ ἐν οὐρανῷ ἡ ἐκκλησία ἐκείνη ἦν, [οὐδὲν ἔχουσα βιωτικὸν, οὐ τοίχους, οὐδὲ μαρμάρους, ἀλλὰ προθυμίᾳ τῶν συνιόντων ἀπολάμπουσα.] ὡς ἑκατὸν εἴκοσιν ἦσαν, φησίν. οἱ ἑβδομήκοντα ἴσως οὓς [αὐτὸς] ἐξελέξατο, ἢ καὶ ἄλλοι τῶν σπουδαιοτέρων, οἷον ὁ Ἰωσὴφ καὶ ὁ Ματθίας. καὶ γυναῖκες ἦσαν πολλαὶ, αἳ ἠκολούθουν αὐτῷ, ἐπὶ τὸ αὐτὸ πανταχοῦ ἦσαν. αὕτη προνοία διδα-

A σκάλου. πρῶτος οὗτος διδάσκαλον κατέστησεν. οὐκ εἶπεν, ὅτι ἀρκοῦμεν ἡμεῖς· οὕτω πάσης κενοδοξίας ἐκτὸς ἦν, καὶ πρὸς ἓν ἑώρα μόνον, καίτοι οὐδὲ ἰσότυπον ἅπασιν εἶχε τὴν κατάστασιν. ἀλλ' εἰκότως ταῦτα ἐγένετο διὰ τὴν ἀρετὴν τοῦ ἀνδρὸς· καὶ ὅτι τότε ἡ ἐπιστασία ἦν, οὐ τιμὴ, ἀλλὰ πρόνοια τῶν ἀρχομένων. τοῦτο οὔτε τοὺς αἱρουμένους ἐποίει ἐπαίρεσθαι· ἐπὶ γὰρ κινδύνους ἐκαλοῦντο· οὔτε τοὺς μὴ

B αἱρεθέντας, ὡς ἀτιμασθέντας ἀλγεῖν. ἀλλ' οὐχὶ νῦν οὕτω γίνεται, ἀλλ' ἅπαν τοὐναντίον. ὅρα γάρ. ἑκατὸν εἴκοσιν ἦσαν, καὶ ἕνα αἰτεῖ ἀπὸ παντὸς τοῦ πλήθους. εἰκότως. πρῶτος τοῦ πράγματος αὐθεντεῖ, ἅτε γὰρ αὐτὸς πάντας ἐγχειρισθείς. πρὸς γὰρ τοῦτον εἶπεν ὁ Χριστός· καὶ σύ ποτε ἐπιστρέψας στήριξον τοὺς ἀδελφούς σου. ὅτι κατηριθμημένος ἦν σὺν ἡμῖν. φησί. διὰ τοῦτο προσῆκε ἕτερον προβαλέσθαι, ὥστε μάρτυρα γενέσθαι εἰς τὸν ἐκείνου τόπον. καὶ ὅρα

C πῶς τὸν διδάσκαλον μιμεῖται, πανταχοῦ ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐδὲν περὶ τοῦ Χριστοῦ λέγων οὐδέπω, ὅτι προεῖπε πολλάκις αὐτός. καὶ οὐ λέγει οὐδὲ τῆς προδοσίας αὐτοῦ μέμνηται. οἷον, στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη· ἀλλ' ἢ τὸ τῆς τιμωρίας [αὐτοῦ] μόνον τὴν μνήμην ἐποιήσατο. τοῦτο γὰρ αὐτοὺς τέως ὠφέλει· [τοῦτο μάλιστα δείκνυσι πάλιν τοῦ δεσπότου τὴν φιλανθρωπίαν] ὅτι κατηριθμημένος ἦν, φησὶ, σὺν ἡμῖν, καὶ ἔλαχε τὸν κλῆ-

D ρον τῆς διακονίας ταύτης. κλῆρον δὲ αὐτὸν πανταχοῦ καλεῖ. δεικνὺς τὸ τοῦ Θεοῦ χαρισμα τὸ πᾶν ὂν, καὶ τῆς ἐκλογῆς, καὶ ἀναμιμνήσκων αὐτοὺς τῶν παλαιῶν, ὅτι ὁ Θεὸς αὐτὸν ἐκληρώσατο, καθάπερ τοὺς Λευΐτας, καὶ [ὅτι] ἐνδιατρίβει τοῖς περὶ αὐτοῦ, ὅτι ὁ τῆς προδοσίας μισθὸς, αὐτὸς καὶ τῆς τιμωρίας γέγονε κῆρυξ. ἐκτήσατο γάρ, φησι, χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας. ὅρα πῶς Θεοῦ οἰκονομία τὸ γεγονὸς ἦν. τῆς ἀδικίας, φησί. πολλαὶ [αἱ] ἀδικίαι· ἀλλὰ ταύτης οὐδὲν ἀδικώτερον γέγονέ ποτε, [ὥστε ἀδικίας ἦν τὸ πρᾶγμα.]

E οὐχὶ τοῖς παροῦσι γέγονε δῆλον τὸ γενόμενον· ἀλλὰ καὶ πᾶσι τοῖς μετὰ ταῦτα. ὥστε ἄκοντες ὠνόμασαν οὐκ εἰδότες· καθάπερ καὶ Καϊάφας προεφήτευσεν οὐκ εἰδώς. ὁ Θεὸς αὐτοὺς ἠνάγκασεν οὕτω καλέσαι Ἑβραϊστὶ Ἀκελδαμά. ἀπὸ τούτου καὶ [τὰ] Ἰουδαίοις ἐπιέναι μέλλοντα κακὰ δῆλα ἦν· [καὶ] δείκνυσι τέως τὴν πρόῤῥησιν ἐξελθοῦσαν ἐκ μέρους, [ἐκείνην] τὴν λέγουσαν· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος· καὶ περὶ τῶν

Ἰουδαίων

Ἰουδαίων τὰ αὐτὰ ἁρμόζει λέγειν. εἰ γὰρ ὁ γενόμενος ὁδηγὸς, πολλῷ μᾶλλον καὶ οὗτοι; ἀλλ' οὐδὲν τέως περὶ τούτων λέγει. εἶτα δεικνὺς ὅτι περὶ αὐτοῦ εἰκότως ἂν λέγοι τὸ Ἀκελδαμὰ, ἐπάγει τὸν προφήτην λέγοντα· γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος. τί γὰρ ἐρημότερον τάφον γενέσθαι; ὥστε καὶ εἰκότως ἂν αὐτοῦ κληθείη τὸ χωρίον. ὁ γὰρ τὸ τίμημα καταβαλὼν, εἰ καὶ ἕτεροι οἱ ἠγορακότες εἶεν, αὐτὸς ἂν εἴη δικαίως λογιζόμενος Κύριος ἐρημώσεως μεγάλης. αὕτη ἡ ἐρήμωσις προοίμιον τῆς Ἰουδαϊκῆς, εἴγε τις ἀκριβῶς ἐξετάσειε. καὶ γὰρ ἐκεῖνοι ἑαυτοὺς ἀνεῖλον λιμῷ, καὶ πολλοὺς ἀπέκτειναν, καὶ τάφος γέγονεν ἡ πόλις, τῶν ξένων, τῶν στρατιωτῶν· ἐκείνους γὰρ οὐδὲ ἐν εἴασαν ταφῆναι. οὐδὲ γὰρ ταφῆς κατηξιώθησαν. δεῖ οὖν τῶν συνελθόντων ὑμῖν, φησιν, ἀνδρῶν. ὅρα πῶς βούλεται αὐτόπτας αὐτοὺς εἶναι. καίτοι γε ἔμελλε παρίστασθαι τὸ πνεῦμα. ἀλλ' ὅμως πολλὴ σπουδὴ περὶ τούτου ἦν. τῶν συνελθόντων ἡμῖν [ἀνδρῶν, φησιν.] ἐν παντὶ χρόνῳ, ἐν ᾧ εἰσῆλθε καὶ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς. δεικνύουσιν αὐτοὺς συνῳκηκότας αὐτῷ, οὐχ ἁπλῶς ὡς μαθητὰς παρόντας. ἄρα καὶ ἐξ ἀρχῆς τότε πολλοὶ παρηκολούθουν αὐτῷ. ὅρα γοῦν ὅταν λέγῃ· ἦν εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων τῷ Ἰησοῦ, ἐν παντὶ χρόνῳ, φησὶν, ἐν ᾧ ἐξῆλθεν ἐφ' ἡμᾶς ὁ Κύριος Ἰησοῦς, ἀρξάμενος ἀπὸ τοῦ βαπτίσματος Ἰωάννου. καλῶς. τὰ γὰρ πρὸ τούτου οὐδεὶς ᾔδει μαθὼν, ἀλλὰ πνεύματι ἐμάνθανον. ἕως τῆς ἡμέρας, φησιν, ἧς ἀνελήφθη ἀφ' ἡμῶν, μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ σὺν ἡμῖν γενέσθαι ἕνα τούτων. οὐκ εἶπε τῶν ἄλλων μάρτυρα· ἀλλὰ τῆς ἀναστάσεως μόνης μάρτυρα. καὶ γὰρ ἀξιοπιστότερος ἦν ὁ δυνάμενος εἰπεῖν, ὅτι ἐκεῖνος ὁ φαγὼν, καὶ πιὼν, καὶ σταυρωθεὶς, αὐτὸς ἀνέστη. ὥστε οὔτε τοῦ πρὸ τούτου χρόνου, οὔτε τοῦ μετὰ ταῦτα ἔδει μάρτυρα εἶναι μόνον, καὶ τῶν σημείων. τὸ γὰρ ζητούμενον τοῦτο ἦν, ἡ ἀνάστασις. ἐπεὶ ἐκεῖνα δῆλα ἦν καὶ ὡμολογημένα· αὕτη δὲ λάθρα γέγονε, καὶ τούτοις μόνοις ἦν δήλη. καὶ οὐ λέγουσιν, ὅτι ἄγγελοι εἶπον ἡμῖν· ἀλλ' ὅτι ἑωράκαμεν ἡμεῖς. πόθεν δῆλον; ἐξ ὧν θαυματουργοῦμεν. διὰ τοῦτο μάλιστα τότε αὐτοὺς ἀξιοπίστους ἔδει εἶναι. καὶ ἔστησαν, φησὶ, δύο. διατί μὴ πολλούς; ἵνα μὴ μείζων ἡ ἀθυμία γένηται, μηδὲ εἰς πολλοὺς τὸ πρᾶγμα περιέστη. οὐχ ἁπλῶς δὲ προτιθέασιν ἐκεῖνον. ἀλλὰ δεικνὺς ὅτι πολλάκις ὁ παρὰ ἀνθρώποις τίμιος, παρὰ τῷ Θεῷ ἐλάττων ἐστί. καὶ κοινῇ δὲ πάντες εὔχονται λέγοντες· σὺ Κύριε καρδιογνῶστα πάντων, ἀνάδειξον. σὺ, μὴ ἡμεῖς. εὐκαίρως καρδιογνώστην καλοῦσιν. ἀπὸ γὰρ τούτου αἱρεθῆναι ἐχρῆν, [οὐχὶ τῶν ἔξωθεν.] οὕτως ἐθάῤῥουν ὅτι πάντας ἕνα δεῖ γενέσθαι. [καὶ] οὐκ εἶπον, ἔκλεξαι· ἀλλὰ, ἀνάδειξον. τὸν ἐκλεγέντα, φησὶν, ὃν ἐξελέξω· εἰδότες πάντα προωρίσθαι τῷ Θεῷ. ἐκ τούτων τῶν δύο ἕνα λαχεῖν τὸν κλῆρον τῆς διακονίας ταύτης καὶ ἀποστολῆς. ἦν γὰρ καὶ ἄλλη διακονία. καὶ ἔδωκαν αὐτῶν κλήρους. οὔπω γὰρ ἑαυτοὺς ἀξίους ἡγοῦντο εἶναι τοῦ διά τινος σημείου μαθεῖν, ἄλλως δέ· εἰ ἔνθα οὔτε εὐχὴ, οὔτε ἀξιόλογοι ἄνδρες, κλῆρος τοσοῦτον ἴσχυσε διὰ τὸ ἐξ ὀρθῆς γενέσθαι γνώμης ἐπὶ τοῦ Ἰωνᾶ· πολλῷ μᾶλλον ἐνταῦθα ἐπλήρωσε τὸν χορὸν, ἀπήρτισε τὴν τάξιν; ἀλλ' ὁ ἕτερος οὐκ ἤλγησεν. οὐ γὰρ ἂν ἀπεκρύψαντο τὰ οἰκεῖα ἐλαττώματα οἱ Ἀπόστολοι· οἵ γε περὶ αὐτῶν τῶν κορυφαίων εἰπεῖν οὐκ ἀπώκνησαν, ὅτι ἠγανάκτησαν ἀλλαχοῦ· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις. τούτους οὖν καὶ ἡμεῖς μιμησώμεθα. οὐκ ἔστι μοι πρὸς πάντας ὁ λόγος· ἀλλὰ πρὸς τοὺς ἀρχῆς ἐφιεμένους. εἰ πιστεύεις, ὅτι Θεοῦ ἐστιν ἐκλογὴ, μὴ ἀγανάκτει. ἐκείνῳ γὰρ ἀγανακτεῖς, καὶ πρὸς ἐκεῖνον παροξύνῃ· ἐκεῖνός ἐστιν ὁ ἐκλεξάμενος. εἰ δὲ αὐτὸς μὲν ἐξελέξατο· σὺ δὲ τολμᾷς τούτῳ ἀγανακτεῖν, ταυτὸ ποιεῖς τῷ Κάϊν. δέον γὰρ ἀποδέξασθαι· [ὁ δὲ] ὅτι προετιμήθη ἡ θυσία τοῦ ἀδελφοῦ, ἐλυπήθη, ἠγανάκτησε, δέον κατανυγῆναι. ἐγὼ δὲ οὐ τοῦτο λέγω· ἀλλ' ὅτι συμφερόντως οἶδεν οἰκονομεῖν ὁ Θεός. πολλάκις γὰρ τὸ μὲν ἦθος ἐπιεικέστερος σὺ, οὐκ ἐπιτήδειος δέ. πάλιν ἔστι σοι μὲν βίος ἄληπτος καὶ ἦθος ἐλευθέριον, ἐν δὲ ἐκκλησίᾳ οὐ τούτων δεῖ μόνον. ἄλλος δὲ, καὶ ἄλλος πρὸς ἄλλο ἁρμόδιός ἐστιν. οὐχ ὁρᾷς ὅσον ὑπὲρ τούτων πεποίηται λόγον ἡ θεία γραφή; ἀλλ' εἴ ποτε τινὸς ἕνεκεν περιμάχητον τὸ πρᾶγμα γέγονεν, [ὅτι] οὐχ ὡς ἐπὶ ἀρχὴν, καὶ προστασίαν ἀδελφῶν ἐρχόμεθα· ἀλλ' ὡς ἐπὶ τιμὴν καὶ ἀνάπαυσιν. εἰ γὰρ ᾔδεις ὅτι πάντων ὀφείλει ὁ ἐπίσκοπος τὰ πάντων βάρη βαστάζειν· ὅτι τοῖς μὲν ἄλλοις ὀργιζομένοις συγγνώμη, αὐτῷ δὲ οὐδαμῶς· ὅτι τοῖς ἄλλοις ἁμαρτάνουσι παραίτησις πολλή, αὐτῷ δὲ οὐκ ἔστιν, οὐκ ἂν ἐσπούδασας ἐπὶ τὴν ἀρχὴν, οὐκ ἂν ἔδραμες. καὶ γὰρ οὗτος τοῖς ἁπάντων ὑπόκειται στόμασι, τῶν ἁπάντων κρίσεσι, καὶ σοφῶν καὶ ἀσόφων. φροντίσι καθ' ἑκάστην κόπτεται τὴν ἡμέραν, καθ' ἑκάστην νύκτα· πολλοὺς ἔχει τοὺς μισοῦντας· πολλοὺς ἔχει τοὺς διαφθονουμένους. μὴ γάρ μοι περὶ ἐκείνων εἴπῃς τῶν πάντα χαριζομένων· τῶν καθεύδειν βουλομένων· τῶν ὡς ἐπὶ ἀνάπαυσιν εἰς τὸ πρᾶγμα ἐρχομένων.

A De Judæis autem convenit eadem dicere. Etenim si punitus est qui fuit dux, multò magis & isti. Sed horum nihil adhuc loquitur. Post hæc declarans quod de eo congruenter dici debeat *Aceldama*, allegat Prophetam, dicentem: *Fiat commoratio ejus deserta.* (Psal.108.8.) Quid enim desertius esse possit sepulchro? Itaque meritò debuit hoc nomine vocari ager. Etenim qui pretium numeravit, etiam si fuerint alii qui emerant, tamen is meritò pro Domino habebatur magnæ desolationis. Hæc desolatio proœmium est Judaicæ desolationis, si quis diligenter B expendat. Nam & ipsi seipsos occiderunt fame, multosque peremerunt, & civitas versa est in sepulchrum hospitum ac militum. Nam nec illos patiebantur sepeliri: neque enim sepultura fuerant digni. *Oportet igitur*, inquit, *ex nobis qui congregati sumus viris.* Vide ut illos volunt esse spectatores. Quamquam spiritus erat adfuturus, tamen hujus rei magnam curam habebat. *Congregatis*, inquit, *nobis viris, in omni tempore quo egressus & ingressus est ad nos Dominus Jesus.* Significat C illos habitasse cum eo, non simpliciter ut Discipulos adfuisse. Nimirum jam tum ab initio multi sequebantur eum. Vide igitur quomodo id declaret, dicens: *Erat unus ex duobus qui audierant à Joanne, & secuti sunt Jesum: in omni*, inquit, *tempore quo ingressus & egressus est apud nos Dominus Jesus, incipiens a baptismo Joannis.* (Joh.1.37.) Pulchrè. Etenim quæ prius fuerant facta, nemo noverat edoctus, sed spiritu didicerant. *Usque ad diem*, inquit, *quo assumptus est a nobis, ut testis resurrectionis ejus* D *nobiscum fiat unus ex his.* Non ait: Cæterorum testis, sed tantum *testis resurrectionis.* Siquidem illi magis erat habenda fides qui poterat dicere: Qui edebat, qui bibebat, qui crucifixus est, idem resurrexit. Itaque non oportebat esse testem neque priorum temporum, neque prodigiorum quæ post gesta sunt. Nam quod quærebatur id erat resurrectio. Siquidem illa erant manifesta & in confessis, hæc autem clàm facta est, hisque solis E erat manifesta. Neque dicunt, Angeli retulerunt nobis, sed vidimus nos. Unde liquet illud? Ex miraculis quæ facimus. Ob id potissimum id temporis digni erant quibus crederetur. *Et statuerunt*, inquit, *duos.* Quare non multos? Ne major fieret animorum perturbatio, néve res in multos distraheretur: Neque temerè non præfert illum, videlicet ostendens eum frequenter qui apud homines in pretio est, apud Deum esse inferiorem. Omnes tamen communiter orant, dicentes: *Tu Domi-* A *ne qui nosti corda omnium, ostende. Tu* inquiunt, non nos. Aptè *cordium cognitorem* appellant. Hinc enim erat electio facienda. Hoc pacto confidebant, quod oporteret omnes unum fieri. Non dixerunt, elige, sed *ostende* electum: hoc est, *quem tu elegisti*, scientes quòd omnia prius à Deo fuerant destinata. *Ex his duobus, ut unus accipiat sortem hujus ministerii, & Apostolici muneris.* Hoc ideo dicunt, quod esset aliud ministerium. *Et dederunt eis sortes.* Nondum judicarunt sese esse idoneos, ut ipsi B ex sese facerent electionem eóque cupiunt aliquo signo edoceri. Alioqui si illic ubi nec erat deprecatio, neque viri probi, tantùm valuit sors, eo quod recto animo fieret super Jona: multò (Jona.1.7.) magis hic explevit chorum, ac perfecit ordinem, nec alter ille præteritus doluit. Non celarunt Apostoli, si quid habuerunt minus perfectum, qui quidem de ipsis primoribus non veriti sunt dicere, quod alicubi commoti fuerunt, idque non semel, sed semel, atque iterum, ac sæpius. Hos igitur & nos imite- C mur. Non jam omnibus loquor, sed his tantum qui principatum affectant. Si credis Dei esse electionem, ne indigneris: illi enim indignaris, & adversus illum irritaris. Illius enim est electio. Quod si ipse elegit, tu verò audes huic indignari, idem facis quod Cain. Oportet enim probare quod Deo placuit. (Gen. 4.6.) At ille quoniam prælata est victima fratris, incensus est, indignatus est, quum oporteret compungi. Ego verò non hoc dico, sed quod Deus novit utiliter dispensare. Fit enim D crebrò, ut qui moribus es humanioribus, non sis idoneus. Rursus est tibi vita inculpata, moresque liberales, cæterùm in Ecclesia non his tantùm opus est. Quin & alioqui alius ad aliud est appositus. Non vides quot verba faciat super hac re scriptura divina? Sed si quando ob aliquam causam res devenerit ad contentionem, non tanquam ad principatum aut præfecturam fratrum accedamus, sed tanquam ad illorum honorem ac refocillationem. Etenim si novisses quod Episcopus debet omnium E onera gestare, quod aliis irascentibus datur venia, ipsi verò nequaquam: quod aliis peccantibus superest excusatio, ipsi verò minimè: haud quaquam accurrisses. Hic enim omnium linguis expositus est, omnium judiciis objectus, & sapientium & insipientium: curis perpetuis obtunditur, tum diurnis tum nocturnis. Multos habet quibus est invisus, multos habet invidentes. Nec enim mihi loquaris de his qui nihil non faciunt ad gratiã, qui dormire cupiunt, velut ad quietē accedunt ad negotium.

C De

De his non loquor, sed de his qui vigilant pro animabus vestris, qui subditorum salutem anteponunt suæ. Dic mihi, si qui decem habet filios subditos, assiduè cum ipso viventes, cogitur sine intermissione curam illorum agere, quid non patietur is qui tot habet, non domesticos, sed obedientiam habentes in sua ipsorum potestate? Sed habetur, inquiunt, in honore. Quis honos? pauperes triobolares convitia jaculantur in illum in foro. Cur igitur illis non occludit os? Admodum sanè, Non enim opus Episcopi narras. Rursus nisi semet omnibus præbeat, & his qui vivunt in otio, & his qui in negotio, mille undique criminationes. Nemo metuit accusare ac traducere. Nam in principibus urget metus: in his verò nequaquam, quando Dei timor apud istos valet nihil. Quis eloqui possit in dicendo docendoque solicitudinem? Quis difficultatem in electionibus? Fortassis aut ego sum vehementer infirmus & infelix, nihilque, aut sic habet res, nihil à navi quæ fluctibus jactatur differt sacerdotis animus. Undique premitur ab amicis & inimicis, à suis & ab alienis. Nónne terrarum orbis imperium tenet Imperator? Hic autem unius civitatis Episcopus est. Sed tantò plus curarum habet hic, quantum interest inter aquam fluminis vento agitatam, & inter mare intumescens & insaniens. Quam ob rem tandem? Quoniam illic complures sunt qui adjuvant, eo quod legibus ac mandatis omnia peraguntur: hic verò nihil tale. Neque enim licet ex authoritate præcipere. Verùm si vehementer commoveatur, audit crudelis: si parum vehementer, audit frigidus. Sed oportet hæc duo contraria concurrere, sic ut neque contemnatur, neque odio habeatur. Quin & aliàs, ipsa negotia præveniunt occupantque. Quam multos cogitur offendere, volens nolens? Quam multos objurgare, velit nolit? Non temerè dico, sed ut affectus sum ac sentio. Non arbitror inter sacerdotes multos esse qui salvi fiant, sed multò plures qui pereant. In caussa est, quoniam res excelsum requirit animum. Multas enim habet causas quæ depellant ipsum à suis moribus, & innumeris oculis illi opus undique. Non vides quàm multas res oportet adesse Episcopo ut sit appositus ad docendum, ut tolerans malorum, ut tenax sit ac fidelis in doctrina sermonis? Quantæ hoc difficultatis? & quod alii peccant, illi imputatur. Nihil dico præterea, si vel unus tantum decedat non initiatus, nónne totam ipsius subvertit salutem? Unius enim animæ perditio, tantam habet jacturam, ut nulla ratio possit æstimare. Etenim si unius animæ salus tanti est, ut ob hanc filius Dei fieret homo, tantaque pateretur, perditio cogita quantam conciliabit pœnam. Quid si quis ob hominem in hac vita perditum morte dignus est, quanto magis ille? Ne mihi dixeris igitur: Peccavit Presbyter, aut Diaconus: omnium horum crimina redundant in caput eorum qui hos elegerunt. Rursus aliud dico: Evenit ut quis successionem accipiat virorum improborum quid consilii capiat, hæret, peccatis præventus. Utrinque præcipitium est. Nec illum oportet amittere, nec alios offendere. Quid? An excutiendus est prior? Verùm non adest occasio. An omittendus? Certè, inquis. Nam ejus est culpa qui elegit. Quid igitur? Non oportet eligere quemquam, nec in alium revocare gradum? Verùm ita fiet, ut omnes norint illum esse malum. Itaque rursus alio offendit modo. Ergo ad majorem gradum promovendus est? Hoc multò deterius. Proinde si quis ad Summum Sacerdotium accesserit, velut ad solicitudinem & curam, nullus illud facilè susceperit. Nunc autem non aliter quam prophanos magistratus, & hanc affectamus dignitatem: nimirum ut glorificemur & honoremur apud homines, perdimur apud Deum. Quid lucri fert hic honos? Quomodo demonstratum est eum esse nihil? Quum concupisces Sacerdotium, ex adverso pone criminationes quas illi perpeti necesse, pone vitam à negotiis liberam, pone supplicii modum. Quoniam si pecces privatim, nihil tale passurus es: sin in Sacerdotio, peristi. Reputa quam multa sustinuerit, in quàm multis philosophiam præstiterit Moses, quàm multa præstiterit bona: sed quoniam peccarat unum peccatum, acerbè punitus est, idque meritò, quippe quum id aliorum jactura factum sit. Itaque graviores pœnas dedit, non solum ob id quod propalàm factum est, sed & quod esset Sacerdotis peccatum. Neque enim simili pœna plectimur pro commissis manifestis & occultis. Propterea quod peccatum quidem idem est, jactura non est eadem: imò ne peccatum quidem est idem. Neque enim idem clàm occultéque peccare & in propatulo. Episcopus autem non potest peccare clàm. Benè enim cum illo agitur, si non peccans liber esse possit à criminationibus, tantùm abest, ut peccans id possit. Si vel irascatur, si vel rideat, si vel somnum relaxationis concupiverit: multi sunt qui scommata incessant, multi qui offendantur, multi qui leges præscribant,

A οὐ περὶ τούτων ὁ λόγος· ἀλλὰ περὶ ἐκείνων, τῶν ἀγρυπνούντων ὑπὲρ τῶν ψυχῶν ὑμῶν· τῶν τῆς οἰκείας σωτηρίας τὴν τῶν ἀρχομένων προτιθέντων. εἰπέ μοι· εἰ δέκα τις παῖδας ἔχων ὑποχειρίους συνοικοῦντας αὐτῷ διαπαντὸς, ἀδιαλείπτως αὐτῶν ἀναγκάζεται φροντίζειν· τοσούτους ἔχων οὗτος [οὐχ ὑποχειρίους] οὐ συνοικοῦντας, ἀλλ' ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ τὴν ὑπακοὴν ἔχοντας, τί οὐκ ὀφείλει παθεῖν; ἀλλὰ τιμᾶται, φησίν. ποία τιμή; πένητες τριωβολιμαῖοι βλασφημοῦσιν αὐτὸν ἐπὶ τῆς ἀγορᾶς. τί οὖν αὐτοὺς οὐκ ἐπιστομίζει; πάνυγε. οὐ

B γὰρ ἐπισκόπου λέγεις ἔργον. πάλιν, ἂν μὴ πᾶσι παρέχῃ, καὶ τοῖς ἐν ἀργίᾳ, καὶ τοῖς ἐργαζομένοις, μυρία πανταχόθεν ἐγκλήματα· οὐδεὶς δέδοικε κατηγορῆσαι καὶ διαβαλεῖν. ἐπὶ μὲν γὰρ τῶν ἀρχόντων ὁ φόβος ἔπεστιν· ἐπὶ δὲ τούτων, οὐχί. ὁ γὰρ φόβος τοῦ Θεοῦ παρ' αὐτοῖς οὐδὲν ἰσχύει. τί ἄν τις εἴποι τὴν περὶ τὸν λόγον, καὶ τὴν διδασκαλίαν φροντίδα; τὴν δυσκολίαν τὴν ἐν ταῖς χειροτονίαις; τάχα ἢ σφόδρα

C ἀσθενὴς ἐγὼ τυγχάνω, καὶ ταλαίπωρος, καὶ οὐδαμινός· ἢ τὸ πρᾶγμα οὕτως ἔχει, οὐδὲν πλοίου κλυδωνιζομένου διενήνοχεν ἡ τοῦ ἱερέως ψυχή· πανταχόθεν σφίζεται, παρὰ φίλων, παρ' ἐχθρῶν, παρ' οἰκείων, παρ' ἀλλοτρίων. οὐχὶ τῆς οἰκουμένης ὁ βασιλεὺς κρατεῖ, οὗτος δὲ πόλεως μόνης; ἀλλὰ τοσοῦτον μείζους εἰσὶν αἱ φροντίδες τούτου, ὅσον ὕδατος ἁπλῶς ὑπὸ πνευμάτων κινουμένου ποταμίου, καὶ πελάγους οἰδοῦντος, καὶ μαινομένου τὸ διάφορον. τί δήποτε; ὅτι ἐκεῖ μὲν

D πολλοὶ οἱ συναντιλαμβανόμενοι· πάντα γὰρ νόμῳ καὶ διατάξει γίνονται· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, οὐδὲ ἀπ' ἐξουσίας ἐστὶν ἐπιτάξαι· ἀλλ' ἂν μὲν σφοδρῶς κινηθῇ, ἀκούει ὠμός· ἂν δὲ μὴ σφοδρῶς, ψυχρός. δεῖ δὲ ταῦτα τὰ ἐναντία συνελθεῖν, ὥστε μήτε καταφρονεῖσθαι, μήτε μισεῖσθαι. ἄλλως δὲ καὶ τὰ πράγματα προκατείληπται. πόσους ἀναγκάζεται σκανδαλίζειν, καὶ ἑκών, καὶ ἄκων; πόσους πλήττειν [καὶ ἑκὼν καὶ ἄκων] οὐκ ἄλλως λέγω, ἀλλ' ὡς ἔχω καὶ

E διάκειμαι. οὐκ οἶμαι εἶναι πολλοὺς ἐν τοῖς ἱερεῦσι τοὺς σωζομένους, ἀλλὰ πολλῷ πλείους τοὺς ἀπολλυμένους· τὸ δὲ αἴτιον, ὅτι μεγάλης τὸ πρᾶγμα δεῖται ψυχῆς. πολλὰς γὰρ ἀνάγκας ἔχει τὰς ἐξαγούσας τοῦ οἰκείου ἤθους, καὶ μυρίων αὐτῷ πανταχόθεν ὀφθαλμῶν δεῖ. οὐχ ὁρᾷς ὅσα δεῖ τὸν ἐπίσκοπον ἔχειν; διδακτικὸν εἶναι· ἀνεξίκακον· ἀντεχόμενον τοῦ κατὰ [τὴν] διδαχὴν πιστοῦ λόγου. πόσης τοῦτο δυσκολίας, καὶ τῶν τοῖς ἄλλοις ἁμαρτανομένων αὐτὸς ἔχει τὰς αἰτίας. οὐ λέγω τῶν ἄλλων οὐδέν. ἂν εἷς μόνον ἀπέλθῃ ἀμύητος, οὐχὶ πᾶσαν αὐτοῦ

A κατέστρεψε τὴν σωτηρίαν; ψυχῆς γὰρ ἀπώλεια μιᾶς, τοσαύτην ἔχει ζημίαν, ὅσην οὐδεὶς παραστῆσαι δύναται λόγος. εἰ γὰρ ἡ σωτηρία αὐτῆς τοσαύτης ἀξία, ὥστε τὸν υἱὸν τοῦ Θεοῦ ἄνθρωπον γενέσθαι, καὶ τοσαῦτα παθεῖν· ἡ ἀπώλεια ἐννόησον ὅσην οἴσει τὴν τιμωρίαν. εἰ δὲ ὁ ἀπολλύς τινα ἐν τῷ παρόντι βίῳ ἄξιος ἀποθανεῖν, πολλῷ μᾶλλον ἐκεῖ. μὴ γάρ μοι εἴπῃς ὅτι ὁ πρεσβύτερος ἥμαρτε, μηδὲ ὅτι ὁ διάκονος· πάντων τούτων ἐπὶ τὴν κεφαλὴν τῶν χειροτονησάντων

B αἱ αἰτίαι φέρονται. πάλιν ἕτερον εἴπω. συμβαίνει τινὰ κλῆρον διαδέξασθαι ἀνθρώπων μοχθηρῶν. οὗτος χρὴ βουλεύσασθαι ἀπορεῖ ἐπὶ ἁμαρτήμασι προλαβοῦσι. δύο γὰρ οἱ κρημνοί, καὶ δεῖ μήτε ἀφεῖναι ἐκεῖνον, καὶ τοὺς ἄλλους μὴ σκανδαλίσαι. ἐκκόψαι [τινὰ] δεῖ πρῶτον; ἀλλ' οὐκ ἔστι παροῦσα πρόφασις. ἀλλ' ἀφεῖναι; ναί, φησι. τοῦ γὰρ χειροτονήσαντος ἡ αἰτία. τί οὖν; οὐ δεῖ χειροτονῆσαι οὐδὲ ἐφ' ἕτερον βαθμὸν ἀγαγεῖν; ἀλλὰ τοῦτο πᾶσιν ἔσται δῆλον, ὅτι μοχθηρός τίς

C ἐστι. πάλιν οὖν ἑτέρως ἐσκανδάλισεν. ἀλλ' ἀγαγεῖν ἐπὶ μείζονα βαθμόν; τοῦτο πολλῷ χαλεπώτερον. ὥστε εἴ τις ὡς ἐπὶ προστασίαν ἐπεχεῖ τὴν ἀρχιερωσύνην, ὡς ἐπὶ πόνον καὶ ἀγρυπνίαν, οὐδεὶς ἂν αὐτὴν ἐδέξατο ταχέως. νῦν δὲ, ὥσπερ τὰς ἔξωθεν ἀρχάς, οὕτω καὶ ταύτην διώκομεν. ἵνα γὰρ δοξασθῶμεν, ἵνα τιμηθῶμεν παρὰ ἀνθρώποις, ἀπολλύμεθα παρὰ τῷ Θεῷ. τί τὸ κέρδος τῆς τιμῆς; πῶς ἐλήλεγκται οὐδὲν οὖσα; ὅταν ἐπιθυμήσῃς ἱερωσύνης, [ἀντίστησον τὴν γέενναν] ἀντίστησον τὰς εὐθύνας τὰς ἐκεῖ· ἀντίστησον τὸν ἀπράγμονα βίον· ἀντίστησον τῆς κολάσεως τὸ μέτρον. ὅτι κἂν ἁμάρτῃς καθ' σαυτόν, οὐδὲν

D πείσῃ τοιοῦτον· ἂν δὲ ἱερεὺς ὤν, ἀπόλωλας. ἐννόησον ὅσα ὑπέμεινεν, ὅσα ἐφιλοσόφησεν ὁ Μωϋσῆς, ὅσα ἐπεδείξατο ἀγαθά· καὶ ἐπειδὴ ἓν ἥμαρτεν ἁμάρτημα μόνον, ἐκολάζετο πικρῶς. εἰκότως. μετὰ γὰρ τῆς τῶν ἄλλων ζημίας τοῦτο γέγονεν. ὥστε αὐτὸ φανερὸν γενέσθαι, ἀλλὰ καὶ τῷ ἱερέως εἶναι τὸ ἁμάρτημα, [μειζόνως ἐτιμωρεῖτο.] οὐ τὴν αὐτὴν [γὰρ] τιμωρίαν δίδομεν τῶν τε φανερῶν, καὶ τῶν λάθρα ἁμαρτανομένων. ἡ μὲν γὰρ ἁμαρτία ἡ αὐτή· ἡ δὲ ζημία οὐχ ἡ αὐτή [μᾶλλον δὲ οὐδὲ ἁμαρτία ἡ αὐτή.] οὐ γάρ ἐστι τὸ αὐτὸ λανθάνοντα καὶ κρυπτόμενον ἁμαρτάνειν,

E καὶ φανερῶς. τὸν δὲ ἐπίσκοπον, οὐκ ἔνι λάθρα ἁμαρτάνειν. ἀγαπητὸν γὰρ μὴ ἁμαρτάνοντα ἀπαλλαγῆναι ἐγκλημάτων· μή τι γε ἁμαρτάνοντα. κἂν ὀργισθῇ, κἂν γελάσῃ, κἂν ἀνέσεως εἶναι ἐπιθυμήσῃ, πολλοὶ οἱ σκώπτοντες, πολλοὶ οἱ σκανδαλιζόμενοι, πολλοὶ οἱ νομοθετοῦντες,

πολλοὶ

A πολλοὶ οἱ τῶν προτέρων μεμνημένοι, καὶ τὸν παρόντα κακίζοντες [καὶ ταῦτα ποιοῦσιν,] οὐκ ἐκείνους ἐγκωμιάσαι βουλόμενοι, ἀλλὰ τοῦτον δακεῖν [τῶν συνεπισκόπων τῶν πρεσβυτέρων μεμνημένοι.] γλυκὺς ὁ πόλεμος ἀπείροις, φησί. τοῦτο καὶ [νῦν] ἁρμόζει λέγειν· μᾶλλον δὲ καὶ λέγομεν πρὸ τοῦ καταστῆναι εἰς τὸν ἀγῶνα· μετὰ δὲ τὸ ἐμβῆναι, οὐδὲ δῆλοι γινόμεθα τοῖς πολλοῖς. οὐ γάρ ἐστιν ἡμῖν νῦν πόλεμος πρὸς τοὺς καταδυναστεύοντας τῶν πενήτων, οὐδὲ τοῦ ποιμνίου προπολεμεῖν ἀνεχόμεθα· ἀλλὰ, κατὰ τοὺς ποιμένας ἐκείνους τοὺς ἐν τῷ B Ἰεζεκιὴλ, σφάττομεν καὶ κατεσθίομεν. τίς ἡμῶν ἐπιδείκνυται τοσαύτην φροντίδα περὶ τὰ ποίμνια τοῦ Χριστοῦ, ὅσην περὶ τὰ ποίμνια τοῦ Λάβαν ὁ Ἰακώβ; τίς δύναται ἀπαριθμήσασθαι παγετὸν νυκτός; μὴ γάρ μοι τὰς παννυχίδας εἴπῃς, καὶ τὴν τοσαύτην θεραπείαν. πᾶν μὲν οὖν τοὐναντίον. ὕπαρχοι καὶ τοπάρχαι οὐκ ἀπολαύουσι τοσαύτης τιμῆς, ὅσης ὁ τῆς ἐκκλησίας ἄρχων. ἂν ἐν βασιλείοις εἰσίῃ, τίς πρῶτος; ἂν παρὰ γυναιξὶν, ἂν παρὰ ταῖς οἰκίαις τῶν μεγάλων, οὐδεὶς C ἕτερος αὐτοῦ προτετίμηται. ἀπόλωλε πάντα καὶ διέφθαρται. ταῦτα οὐχ ὑμᾶς καταισχύναι βουλόμενος λέγω. ἀλλ' ὑμῶν ἐπισχεῖν τὴν ἐπιθυμίαν. ποίῳ γὰρ συνειδότι ἂν γένῃ σπουδάσας ἢ διὰ σαυτοῦ, ἢ δι' ἑτέρου; ποίοις ὀφθαλμοῖς ἀντιβολήσεις ἐκείνῳ τῷ συνεργήσαντι; τί ἕξεις ἀπολογήσασθαι; ὁ μὲν γὰρ ἄκων καὶ βιασθεὶς, καὶ οὐκ ἐθέλων, ἔχοι ἄν τινα ἀπολογίαν. εἰ καὶ τὰ μάλιστα, καὶ οὗτος ἀπεστέρηται συγγνώμης· πλὴν ἀλλὰ παρὰ τοῦτο ἔχει τινὰ ἀπολογίαν. ἐννόη- D σον τί Σίμων ἔπαθε; τί γὰρ, εἰ μὴ ἀργύριον δίδως, ἀλλ' ἀντὶ ἀργυρίου κολακεύεις, καὶ κατασκευάζεις πολλὰ, καὶ μηχανᾷ; τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, πρὸς ἐκεῖνον εἶπε· καὶ τούτοις ἐρεῖ, ἡ σπουδὴ ὑμῶν μεθ' ὑμῶν ἔστω εἰς ἀπώλειαν, ὅτι ἐνομίσατε περιδρομῇ ἀνθρωπίνῃ τὴν δωρεὰν τοῦ Θεοῦ κτᾶσθαι. ἀλλ' οὐδείς ἐστι τοιοῦτος; μηδὲ γένοιτο. οὐδὲ γὰρ βούλομαι οὐδὲν πρὸς ὑμᾶς εἶναι τῶν λεγομένων· νυνὶ δὲ ἐκ τῆς ἀκολουθίας εἰς τούτους ἐνεπέσομεν τοὺς E λόγους. οὐδὲ γὰρ ὅταν κατὰ πλεονεξίας λέγωμεν, πρὸς ὑμᾶς λέγομεν, ἀλλ' οὐδὲ πρὸς ἕνα. γένοιτο εἰκῇ τὰ φάρμακα παρ' ἡμῶν κατασκευάζεσθαι. αἱ τῶν ἰατρῶν εὐχαὶ τοιαῦταί εἰσιν· οὐκ ἄλλα αἰτοῦσαι, ἢ ὥστε μετὰ τὸν [πολὺν] πόνον ἁπλῶς ῥιφῆναι τὰ φάρμακα. ταῦτα καὶ ἡμεῖς εὐχόμεθα, ἁπλῶς εἰς ἀέρα λέγεσθαι τὰ ῥήματα τὰ ἡμέτερα, ὥστε ῥήματα μόνον εἶναι. πάντα ὑποστῆναι ἕτοιμος ἐγὼ, ὥστε μὴ εἰς χρείαν καταστῆναι τοῦ ταῦτα λέγειν. εἰ δὲ βούλεσθε, καὶ A σιγήσομεν· μόνον ἔστω ἀκίνδυνος ἡ σιγή. οὐ γὰρ οἶμαι οὐδένα, κἂν σφόδρα κενόδοξος ᾖ, μὴ καλούσης χρείας θελῆσαι ἂν ἁπλῶς ἐπιδείκνυσθαι. παραχωρήσομεν τῆς διδασκαλίας ὑμῖν. αὕτη γὰρ μείζων ἡ διδασκαλία ἡ διὰ πραγμάτων. ἐπεὶ καὶ τῶν ἰατρῶν οἱ ἄριστοι, καί τοι τῆς νόσου τῶν καμνόντων φερούσης αὐτοῖς μισθοὺς, βούλοιντο ἂν ὑγιαίνειν τοὺς αὐτῶν φίλους. καὶ ἡμεῖς βουλόμεθα ἅπαντας ὑγιαίνειν. οὐ γὰρ ἵνα ἡμεῖς δόκιμοι ὦμεν βουλόμεθα· ὑμεῖς δὲ ἀδόκιμοι B ἦτε. ἐβουλόμην εἰ οἷόν τε ὄψει αὐτῇ τὴν ἀγάπην, ἣν περὶ ὑμᾶς ἔχω ἐπιδείξασθαι. οὐδεὶς γάρ μοι λοιπὸν οὐδὲν ἂν ἐνεκάλεσεν, εἰ καὶ σφόδρα τραχὺς ἦν ὁ λόγος. τὰ γὰρ παρὰ φίλων λεγόμενα, κἂν „ὕβρις ᾖ, φορητά. ἀξιοπιστότερα γὰρ τραύματα φίλου, ἢ ἑκούσια „φιλήματα ἐχθροῦ. οὐδὲν ἐμοὶ ποθεινότερον ὑμῶν, οὐδὲ τοῦτο τὸ φῶς. μυριάκις γὰρ ἂν εὐξαίμην αὐτὸς πηρωθῆναι, εἴγε ἐνῆν διὰ τούτου τὰς ὑμετέρας ἐπιστρέψαι ψυχάς. οὕτως αὐτοῦ τοῦ φωτὸς γλυ- C κίων ἐμοὶ ἡ σωτηρία ἡ ὑμετέρα. τί γὰρ ὄφελός μοι τῶν ἀκτίνων τῶν ἡλιακῶν, ὅταν ἡ δι' ὑμᾶς ἀθυμία πολὺ κατασκεδάζῃ τῶν ὀφθαλμῶν τὸ σκότος; τὸ γὰρ φῶς τότε καλὸν, ὅταν ἐν εὐφροσύνῃ φαίνηται. ἐπεὶ τῇ λυπουμένῃ ψυχῇ καὶ παρενοχλεῖν δοκεῖ. ὅτι δὲ οὐ ψεύδομαι, μὴ γένοιτο μέν ποτε πεῖραν λαβεῖν. πλὴν ἐάν ποτε συμβαίνῃ τινὰ ὑμῶν ἁμαρτάνειν, καθεύδοντί μοι παράστητε. ἀπολοίμην, εἰ μὴ τοῖς „παραλύτοις ἔοικα, εἰ μὴ τοῖς ἐξεστηκόσι, καὶ κατὰ τὸν προφητικὸν λόγον, καὶ D „τὸ φῶς τῶν ὀφθαλμῶν μου, καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. τίς γὰρ ἡμῖν ἐλπὶς, ὑμῶν μὴ προκοπτόντων; τίς δὲ ἀθυμία, ὑμῶν εὐδοκιμούντων; „πτεροῦσθαι δοκῶ, ὅταν τι περὶ ὑμῶν ἀκούσω χρηστόν. πληρώσατέ μου τὴν χαράν. τοῦτο μόνον εἰσήνεγκα εἰς τὴν εὐχὴν, ὅτι ἐπιθυμῶ ὑμῶν τὴν προκοπήν. ὃ [δὲ] διαμιλλῶμαι πρὸς πάντας, τοῦτό ἐστιν ὅτι φιλῶ, ὅτι συμπέπλεγμαι, ὅτι πάντα μοι ὑμεῖς ἐστε, καὶ πατὴρ, καὶ μήτηρ, καὶ ἀδελφοὶ, καὶ παιδία. μὴ δὴ νομίσητέ τι τῶν παρ' ἡμῶν λεγο- E „μένων πρὸς ἀπέχθειαν λέγεσθαι, ἀλλὰ πρὸς διόρθωσιν. ἀδελ„φὸς γάρ, φησιν, ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. μὴ δὴ ἀπαξιώσητε. οὐδὲ γὰρ ἐγὼ τὰ παρ' ὑμῶν ἀτιμάζω λέγων· ἀλλὰ βουλοίμην ἂν διορθοῦσθαι παρ' ὑμῶν· βουλοίμην ἂν μανθάνειν. πάντες γὰρ ἡμεῖς ἀδελφοί ἐσμεν· εἷς δὲ ἡμῶν ἐστιν ὁ καθηγητής. ἔστι [δὲ] καὶ ἐν ἀδελφοῖς ἕνα ἐπιτάττειν, καὶ τοὺς ἄλλους πείθεσθαι. μὴ δὴ ἀπαξιώσητε·

A multi qui priorum memoriam refricent, & præsentem dejiciant, idque faciunt non ut illos laudent, sed ut hunc mordeant. Dulce ajunt bellum inexpertis: hoc & nunc convenit dicere: imò potius hoc dicimus prius quàm veniamus in certamen. Cæterùm posteaquàm eò descendimus, sic nos gerimus ut popularis conditionis hominibus etiam ignoti simus. Non enim est nobis bellum adversus eos, qui potentia opprimunt pauperes, neque sustinemus propugnare gregem, sed ad B exemplum pastorum, quorum meminit Ezechiel, *mactamus ac devoramus*. Quis nostrum præstat tantam solicitudinem pro ovibus Christi, quantam præstitit Jacob erga greges Laban? Quis potest recensere toleratum noctis gelu? Ne verò mihi dixeris pervigilatas noctes, tantamque curam exhibitam. Totum itaque contrarium est. Primates ac præfecti non tanto potiuntur honore, quanto qui præest Ecclesiæ. Si ingrediatur in aulam regiam, quis prior? Si apud matronas, C si in ædibus versetur magnatum, nullus alius illi præfertur honore. Perierunt omnia, corruptaque sunt. Hæc loquor non ut vobis pudorem incutiam, sed ut vestram cohibeam cupiditatem. Quem enim conscium adibis, si procuraris vel per teipsum, vel per alium? Quibus oculis obtueberis illum qui tibi fuit auxilio? Quid habebis quod excuses? Etenim qui nolens & invitus compulsus est, habiturus est aliquam excusationem. Quanquam maximè & hic privatus est venia, nisi D quod ad hoc collatus habet aliquid excusationis. Cogita quid acciderit Simoni. Quid enim refert si non das pecuniam, sed pecuniæ loco adularis, subornas, multaque machinaris? *Pecunia tua sit tecum in perditionem*, ad illum dictum est. Et his dicetur: Ambitio tua sit tecum in perditionem, quoniam putasti ambitu humano parari donum Dei. Verùm nullus fortassis est talis; Utinam non sit. Cupio siquidem nihil horum ad vos pertinere quæ loquor. Sed interim ipse sermonis E tenor in harum mentionem me deduxit. Neque enim quoties loquimur adversus avaritiam, adversus vos loquimur: imò nec prorsus adversus ullum. Utinam contingat ut remedia frustra sint à nobis parata. Talia sint medicorum vota, nihil aliud postulantium, nisi ut post multum laboris insumptum, prorsus abjiciantur pharmaca. Idem & nos optamus, ut nostra verba prorsus in aërem dicantur, & verba tantum sint. Equidem omnia promptè sustinuero, ut non sit opus A hæc dicere. Quin si vultis, tacebimus, tantùm ut silentium careat periculo. Nec enim arbitror quemquam, quamvis admodum gloriæ sitientem, nisi vocet necessitas, velle prorsus Episcopum designari. Concedimus vobis doctrinam. Nam hæc major est doctrina, quæ docet ipsis factis. Quandoquidem & medici sunt optimi, qui tametsi morbus ægrotantium adfert ipsis mercedem, cuperent tamen suos amicos uti prosperâ valetudine. Et nos cupimus omnes bene valere. B Non enim cupimus, ut nos probati simus, vos autem reprobi sitis. Optarim si fieri possit, ut ipsis oculis meam erga vos charitatem valeam ostendere. Id si fiat, nullus posthac mihi culpam ullam impingeret, etiam si sermo meus fuerit vehementer asper. Etenim quæ ab amicis dicuntur, etiam si contumeliam habeant, tolerabilia sunt. *Magis enim credendum vulneribus amici, quàm spontaneis inimici* C *osculis*. Nihil mihi vobis charius, ne lux quidem ista. Optarim enim ipse vel millies execrabilis esse, si queam per hoc vestras animas convertere. Adeò mihi luce dulcior est vestra salus. Quid enim mihi prosunt Solis radii, si dolor per vos obortus, multam caliginem offundat oculis? Tunc enim bonum est lumen, quum in gaudio exoritur. Nam animæ mœrenti etiam molestum videtur esse. Cæterum non mentiri me quæ loquor, utinam nō contingat unquam experimento discere. Verùm si quan- D do contigerit vestrū peccare quempiam, dormienti mihi obversamini. Emoriar, nisi videor similis dolore exanimatis, nisi attonitus & ut verbis Propheticis utar, etiam ipsum *lumen oculorum non est mecum*. Nam quæ spes nobis, si vos non proficiatis? Rursus quantum animi solatium, si vos probati sitis? Gestire mihi videor, quoties boni quippiam audio de vobis. *Implete meum gaudium*. Hoc solùm adfero ad votum, quoniam desidero profectum vestrum. Quod adversus omnes decerto, h. e. quoniam diligo, quo- E niam conglutinatus sum, quoniam omnia mihi vos estis, & pater, & mater, & fratres, ac liberi. Itaq; ne quid eorum quæ à me dicuntur arbitremini ab odio vestri proficisci, sed in hoc dici, ut corrigamini. *Frater, inquit, qui à fratre adjuvatur, ut civitas munita*. Ne igitur aspernemini. Neque enim ego contemno, si quid dicere voletis, sed cuperem & à vobis corrigi, cuperem discere. Omnes enim nos fratres sumus, unus autem est noster magister. Quanquam & inter fratres fas est ut unus præscribat, ac cæteri obtemperant. Ne igitur aspernemini, sed

Ezech. 34. 2.
Gen. 30. 28.
Act. 8, 20.
Prov. 27, 6.
Pſ. 37. 10.
Phil. 2, 2.
Prov. 18, 19.

sed omnia faciamus in gloriam Dei; Quoniam ipsi gloria in A secula seculorum, Amen.

CAP. II.

HOMILIA IV.

Et dum compleretur dies Pentecostes, erant unanimiter congregati in unum: & factus est repente de cælo sonitus.

QUæ est hæc *Pentecoste?* quum falx mittenda esset in messem, quum fructus essent colligendi. Vides typum? Vi- B de jam veritatem. Quum falx sermonis esset adhibenda, quum colligendæ fruges: tunc Spiritus ille veluti acuta falx advolavit. Joh. 4,35. Audi enim Christum loquentem: *Attollite oculos vestros, & videte regiones, quod jam albæ sunt ad messem.* Ac rursum: Luc. 10,2. *Messis quidem multa, operarii verò pauci.* Unde ipse prior falcem misit in messem: propterea quòd ipse segetis primitias subvexit in cœlum, nostra assumpta natura: atque hanc ob causam appellat messem. *Dum compleretur*, inquit, *dies Pentecostes.* C Hoc est, non ante Pentecosten, sed circiter, ut ita loquar, Pentecosten. Nam oportebat festi tempore rursus hæc fieri, ut qui cruci adfuerant Christi, iidem hæc quoque spectarent. *Et factus est repentè de cælo sonitus.* Quare id non est factum absque signis sensibus expositis? Quoniam si quum hoc accidisset dixerunt, *musto pleni sunt*: quid non dixissent, si signum non fuisset additum? Neque tantummodo repentè factus est sonitus, sed ut magis excitaret illorum animos, totam etiam do- D mum replevit. Miram spiritus vehementiam expressit. Præterea demonstrat omnes fuisse congregatos, ut simul & qui aderant crederent, & discipulos eo munere dignos ostenderet. Nec id accidit modò, verùm etiam quod multò cognitu est mirabilius: *Et visæ*, inquit, *sunt illis dispertitæ linguæ, velut igneæ.* Rectè ubique additum est, *velut*, ne quid sensibile de Spiritu suspicareris. *Velut ignea*, inquit, *& velut flatus.* Nec Marc. 1,10. enim ventus erat simpliciter per aërem diffusus. Ac tum quum E Joanni deberet innotescere Spiritus, velut columbæ specie in caput Christi venit: nunc verò quum tota multitudo convertenda esset ad fidem, venit in specie ignis. *Et insedit singulis illorum*; Hoc est, mansit apud illos, & in illis requievit. Nam sedendi verbum stabilitatem ac mansionem declarat. Quid autem, an in duodecim venit tantùm, non etiam in cæteros? Nequaquam, sed venit etiam in illos centum viginti. Neque enim temerè Petrus allegavit Prophetæ testi- A Joel. 2,28. monium, dicens: *Et erit in novissimis diebus, dicit Dominus Deus: Effundam de spiritu meo super omnem carnem, & prophetabunt filii vestri, & filiæ vestræ, & juvenes vestri visiones videbunt, & senes vestri somnia somniabunt.* Animadverte quod ut non solùm obstupescas, verum etiam gratia implearis, ideo venit in Spiritu Sancto & igni. *Et repleti sunt omnes Spiritu Sancto, & cœperunt loqui variis linguis, prout Spiritus dabat illis loqui.* Non accipiunt aliud signum, B sed hoc primum: erat enim novum, nec erat opus alio signo. *Insedit*, inquit, *singulis illorum.* Ergo & illi, qui non fuerat assumptus, eóque jam nec dolet se non fuisse electum, quemadmodum fuit Matthias. *Et repleti*, inquit, *sunt omnes.* Rectè sic loquutus est, nec enim vulgariter acceperunt gratiam Spiritus, sed eousque ut implerentur. *Et cœperunt loqui variis linguis, prout Spiritus Sanctus dabat eloqui illis.* Quum & Apostoli essent illic præsentes, haudquaquam dixis- C set, *Omnes*, nisi cæteri quoque fuissent participes. Alioqui quum illos anteà seorsum ac nominatim sit eloquutus, nunc non conjunxisset illos in eodem negotio, nisi fuisset omnium commune. Etenim si tum quum loquendum esset, quando privatim aderant, Apostolorum meminit, multò magis hîc idem fecisset. Illud autem considera, quum instant deprecationi, quum charitatem inter se habent, tum advenit Spiritus. Ad hæc quomodo etiam commonefecerit illos alterius visionis, D Exod. 3,2. quum ait, velut ignis, quandoquidem & *in rubo velut ignis* apparuerat. *Prout Spiritus dabat illis loqui.* Hoc pacto loquitur, indicans apophthegmata ac velut oracula esse, quæ ab illis dicerentur. *Erant autem Hierosolymis habitantes viri Judæi religiosi.* Hoc ipsum *habitare*, signum erat religionis. Quomodo? Quia quum essent è tam multis profecti nationibus, tamen & patria & domo, & cognatis relictis habitabant illic. *Erant enim*, inquit, *Hierosolymis habitantes Judæi viri religiosi ex omni* E *natione quæ sub cœlo est. Quum autem facta esset hæc vox, convenit multitudo, & confusa est.* Quoniam id quod fiebat in domo gerebatur, meritò qui foris erant cócurrebant. *Confusa est multitudo.* Quid est, *confusa est?* Turbata est, admirata est: deinde declarans quid admirantur, adjungit: *Quoniam eorum singuli audiebant illos propria cujusque lingua loquentes. Et convenit multitudo, & inter se dicebant: Nonne ecce omnes isti qui loquuntur, Galilæi sunt?*

ἀλλὰ πάντα ποιῶμεν εἰς δόξαν [τοῦ] Θεοῦ· ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ δʹ.

Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς, ἦσαν ὁμοθυμαδὸν ἐπὶ τὸ αὐτό, καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος.

ΤΙΣ ἐστιν αὕτη ἡ Πεντηκοστή; [ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει] τῷ ἀμήτῳ· ὅτε τοὺς καρποὺς συνάγειν ἐχρῆν. εἶδες τὸν τύπον; βλέπε πάλιν τὴν ἀλήθειαν. ὅτε τὸ δρέπανον ἐπιβάλλειν ἔδει] τοῦ λόγου, ὅτε τὸν ἀμητὸν συλλέγειν, τότε καθάπερ δρέπανον τὸ πνεῦμα ἠκονημένον ἐφίπταται). ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη. καὶ πάλιν· ὁ μὲν θερισμὸς πολύς· οἱ δὲ ἐργάται ὀλίγοι. ὥστε αὐτὸς ἐπέβαλλε τὸ δρέπανον πρότερος. αὐτὸς γὰρ ἀνήγαγεν εἰς οὐρανοὺς ἀπαρχὴν [τὴν] ἡμῶν προσλαβών. διὰ τοῦτο καὶ θερισμὸν [τὸ] τοιοῦτον καλεῖ. ἐν τῷ συμπληροῦσθαι, φησί, τὴν ἡμέραν τῆς Πεντηκοστῆς· τουτέστιν, οὐ πρὸ τῆς Πεντηκοστῆς, ἀλλὰ περὶ αὐτήν, ὡς εἰπεῖν, τὴν Πεντηκοστήν. ἔδει γὰρ ἑορτῆς οὔσης πάλιν ταῦτα γίνεσθαι, ἵν' οἱ παρόντες τῷ σταυρῷ τοῦ Χριστοῦ, οὗτοι καὶ ταῦτα ἴδωσι. καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος. διατί μὴ χωρὶς αἰσθητῶν ὑποδειγμάτων τοῦτο γέγονεν; ὅτι εἰ καὶ τούτου γινομένου ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν, εἰ μὴ τοῦτο ἐγένετο, τί οὐκ ἂν εἶπον; οὐχ ἁπλῶς [δὲ] ὁ ἦχος γέγονεν, ἀλλ' ἐκ τοῦ οὐρανοῦ. καὶ τὸ αἰφνίδιον δὲ διανέστησεν αὐτούς. καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον. πολλὴν τὴν ῥύμην λέγει τοῦ πνεύματος. ὁρᾷ πάντας ἐκεῖ συνηγμένους, ὥστε καὶ τοὺς παρόντας πιστεῦσαι, καὶ τούτους ἀξίους δειχθῆναι. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ πολλῷ τούτου φρικωδέστερον ἐπάγων· καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, φησί. καλῶς πανταχοῦ τὸ ὡς, πρόσκειται), ἵνα μηδὲν αἰσθητὸν περὶ τοῦ πνεύματος νομίσῃς. ὡσεὶ πυρός, φησί, καὶ ὡσεὶ πνοῆς. οὐκ ἄρα ἄνεμος ἦν ἁπλῶς εἰς ἀέρα χεόμενος. ὅτε μὲν γὰρ Ἰωάννῃ ἔδει γνωρισθῆναι τὸ πνεῦμα, ὡς ἐν εἴδει περιστερᾶς ἐπὶ τὴν κεφαλὴν ἦλθε τοῦ Χριστοῦ· νῦν δὲ ὅτε πλῆθος ὅλον ἐπιστραφῆναι ἐχρῆν, ὡσεὶ πυρός. καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν· τουτέστι, παρέμεινεν, ἐπανεπαύσατο. τὸ γὰρ καθίσαι, τοῦ ἑδραίου ἐστὶ σημαντικὸν καὶ τοῦ μεῖναι. τί δαί; ἆρα ἐπὶ τοὺς δώδεκα μόνους ἦλθεν, οὐχὶ δὲ καὶ ἐπὶ τοὺς λοιπούς; οὐδαμῶς· ἀλλὰ καὶ ἐπὶ τοὺς ἑκατὸν εἴκοσιν. οὐ γὰρ ἂν ἁπλῶς παρήγαγε τὴν μαρτυρίαν τοῦ προφήτου ὁ Πέτρος, λέγων· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγει Κύριος ὁ Θεός, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται), καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται). [καὶ] σκόπει, ἵνα μὴ ἐκπλήξῃ μόνον, ἀλλὰ καὶ χάριτος πληρώσῃ, διὰ τοῦτο καὶ ἐν πνεύματι ἁγίῳ, καὶ πυρί. [ἐπάγει γάρ·] καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. οὐ λαμβάνουσιν ἕτερον σημεῖον, ἀλλὰ τοῦτο πρῶτον. ξένον γὰρ ἦν, καὶ οὐ χρεία ἦν ἑτέρου σημείου· ἐκάθισε, φησίν, ἐφ' ἕνα ἕκαστον αὐτῶν. οὐκοῦν καὶ ἐπὶ τὸν καταλειφθέντα. διὰ τοῦτο οὐδὲ ἀλγεῖ λοιπὸν μὴ αἱρεθείς, ὡς ὁ Ματθίας. καὶ ἐπλήσθησαν, φησίν, ἅπαντες. οὐχ ἁπλῶς ἔλαβον τοῦ πνεύματος τὴν χάριν, ἀλλ' ἐπλήσθησαν. [καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις, καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι.] οὐκ ἂν [δὲ] εἶπε, πάντες, καὶ ἀποστόλων ὄντων ἐκεῖ, εἰ μὴ καὶ οἱ ἄλλοι μετέσχον. ἄλλως δέ· οὐδὲ ἄνω κατιδίαν αὐτοὺς προσειπὼν καὶ ὀνόμασι, νῦν ἂν συνῆψεν ἐν τῷ αὐτῷ πράγματι. εἰ γὰρ ὅπου εἰπεῖν ἦν [ὅτι] παρῆσαν, κατιδίαν τῶν ἀποστόλων μνημονεύει, πολλῷ [δὴ] μᾶλλον ἐνταῦθα. σκόπει δέ [μοι] πῶς ὅταν προσκαρτερῶσι τῇ δεήσει, ὅταν ἀγάπην ἔχωσι, τότε τὸ πνεῦμα παραγίνεται). ἀνέμνησεν αὐτοὺς καὶ ἑτέρας ὄψεως, εἰπὼν ὡσεὶ πυρός. ὡς πῦρ γὰρ ἐφάνη [καὶ] ἐν τῇ βάτῳ. καθὼς τὸ πνεῦμα ἐδίδου αὐτοῖς ἀποφθέγγεσθαι. ἀποφθέγματα γὰρ ἦν τὰ παρ' αὐτῶν λεγόμενα. ἦσαν δὲ [φησιν] ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς. τὸ κατοικεῖν, εὐλαβείας ἦν σημεῖον. πῶς; ἀπὸ τοσούτων γὰρ ἐθνῶν ὄντες, καὶ πατρίδας ἀφέντες, καὶ οἰκίας, καὶ συγγενεῖς, ᾤκουν ἐκεῖ. [ἦσαν γάρ, φησιν, ἐν Ἱερουσαλὴμ κατοικοῦντες Ἰουδαῖοι ἄνδρες εὐλαβεῖς,] ἀπὸ παντὸς ἔθνους τῶν ὑπὸ τὸν οὐρανόν. γενομένης δὲ τῆς φωνῆς ταύτης, συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη. ἐπειδὴ ἐν οἰκίᾳ ἐγένετο τὸ γινόμενον, εἰκότως ἔξωθεν συνέδραμον. συνεχύθη τὸ πλῆθος. τί ἐστι, συνεχύθη τὸ πλῆθος; ἐταράχθη, ἐθαύμασεν. εἶτα δηλῶν ὅ, τι ἐθαύμαζον, ἐπάγει, ὅτι ἤκουον εἷς ἕκαστος αὐτῶν τῇ ἰδίᾳ διαλέκτῳ λαλούντων αὐτῶν. καὶ συνῆλθε τὸ πλῆθος, καὶ πρὸς ἑαυτοὺς ἔλεγον· οὐκ ἰδοὺ πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι;

πρὸς

» πρὸς τοὺς ἀποστόλους ἰδίως ἑώρων. καὶ πῶς, φησιν, ἡμεῖς ἀκούομεν » ἕκαστος τῇ ἰδίᾳ διαλέκτῳ ἡμῶν ἐν ᾗ ἐγεννήθημεν, Πάρθοι, καὶ » Μῆδοι, καὶ Ἐλαμῖται, καὶ οἱ κατοικοῦντες τὴν Μεσοποταμίαν, Ἰου» δαίαν τε καὶ Καππαδοκίαν, Πόντον καὶ τὴν Ἀσίαν, Φρυγίαν τε καὶ » Παμφυλίαν, Αἴγυπτον καὶ τὰ μέρη τῆς Λιβύης τῆς κατὰ Κυρήνην, καὶ » οἱ ἐπιδημοῦντες Ῥωμαῖοι, Ἰουδαῖοί τε καὶ Προσήλυτοι, Κρῆτες καὶ » Ἄραβες, ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ με» γαλεῖα τοῦ Θεοῦ; ἐξίσταντο δὲ πάντες, καὶ διηπόρουν πρὸς ἀλλήλους, » λέγοντες· τί θέλει τοῦτο εἶναι; ὁρᾷς ἐξ ἀνατολῶν εἰς δυσμὰς αὐ» τοὺς τρέχοντας; ἕτεροι δέ, φησι, διαχλευάζοντες ἔλεγον· » γλεύκους μεμεστωμένοι εἰσίν. ὢ τῆς ἀνοίας! ὢ τῆς κακίας τῆς πολλῆς! καί τοι γε οὐδὲ καιρὸς ἦν οὗτος τοῦ γλεύκους. Πεντηκοστὴ γὰρ ἦν. καὶ τὸ δεινότερον, ὅτι πάντων ὁμολογούντων, Ῥωμαίων ὄντων, προσηλύτων ὄντων, τῶν σταυρωσάντων ἴσως, ἐκεῖνοι μετὰ τοσαῦτα λέγουσιν, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.] ἐπλήρωσε, φησι, τὸν οἶκον. ἡ πνοὴ καθάπερ κολυμβήθρα γέγονεν ὕδατος. τῆς δαψιλείας [δὲ] τεκμήριον, καὶ τῆς σφοδρότητος τὸ πῦρ. οὐδαμοῦ τοῦτο γέγονεν ἐπὶ τῶν προφητῶν· ἀλλὰ τότε μὲν οὕτως ἐκείνοις, τοῖς προφήταις δὲ ἑτέρως. κεφαλὶς γὰρ βιβλίου δίδοται τῷ Ἰεζεκιὴλ, καὶ ἐσθίει ἃ ἔμελλε λέγειν. ἐγένετο γάρ, φησιν, ἐν τῷ στόματι αὐτοῦ ὡς μέλι γλυκάζον. καὶ πάλιν ἡ χεὶρ ἅπτεται τοῦ Θεοῦ τῆς γλώσσης ἑτέρου προφήτου. ἐνταῦθα δὲ αὐτὸ τὸ πνεῦμα τὸ ἅγιον. οὕτως ὁμότιμον τυγχάνει πατρὶ καὶ υἱῷ. καὶ [πάλιν] ἑτέρωθί φησι· κατάλεγμα καὶ μέλος, καὶ οὐαί. ἐκείνοις [μὲν οὖν] εἰκότως ἐν βιβλίῳ· ἔτι γὰρ αὐτοῖς παραδειγμάτων ἔδει· πρὸς ἓν ἔθνος εἶχον ἐκεῖνοι μόνον, καὶ τοὺς οἰκείους· οὗτοι δὲ [καὶ] πρὸς τὴν οἰκουμένην ἅπασαν, καὶ τοὺς οὐδέποτε γνωρισθέντας. Ἐλισσαῖος δὲ διὰ μηλωτῆς λαμβάνει τὴν χάριν· ἄλλος δι' ἐλαίου, ὡς ὁ Δαβίδ. Μωϋσῆς διὰ πυρὸς τῆς βάτου καλεῖται· ἀλλ' ἐνταῦθα οὐχ οὕτως, ἀλλ' αὐτὸ τὸ πῦρ ἐνεκάθισε. διατί δὲ μὴ ἐφάνη πῦρ τὸν οἶκον πληροῦν; ὅτι ἐξέστησαν ἄν. ἀλλὰ δείκνυσιν ὅτι τοῦτο ἐκεῖνό ἐστι. μὴ γὰρ τῷ λέγειν, ὅτι ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι, πρόσχῃς· ἀλλ' ὅτι πυρός. τοσοῦτον πῦρ μυρίαν ὕλην ἀνάψαι δύναται. καὶ καλῶς εἶπε, διαμεμερισμέναι. ἐκ μιᾶς γὰρ ἦν ῥίζης· ἵνα μάθῃς, ὅτι ἐνέργειά ἐστιν ἀπὸ τοῦ παρακλήτου πεμφθεῖσα. ὅρα δὲ καὶ ἐκείνους πρῶτον δειχθέντας ἀξίους, καὶ τότε πνεύματος καταξιωθέντας· οἷον ὥσπερ ὁ Δαβίδ. ἅπερ γὰρ ἐν ταῖς ποίμναις εἰργάζετο, ταῦτα καὶ μετὰ τὴν νίκην καὶ τὸ τρόπαιον, ἵνα δειχθῇ αὐτοῦ γυμνὴ ἡ πίστις. ὅρα πάλιν τὸν Μωσέα καταφρονοῦντα βασιλείαν, καὶ μετὰ τεσσαράκοντα ἔτη τῆς δημαγωγίας ἁπτόμενον· τὸν Σαμουὴλ ἀνατρεφόμενον ἐν τῷ ναῷ· τὸν Ἐλισσαῖον πάντα ἀφιέντα· τὸν Ἰεζεκιὴλ πάλιν. ὅτι δὲ οὕτω συνέβαινεν, καὶ ἐκ τῶν μετὰ ταῦτα δῆλον. καὶ γὰρ καὶ οὗτοι πάντα εἴασαν τὰ αὐτῶν. διὰ τοῦτο τότε τὸ πνεῦμα λαμβάνουσιν, ὅτε τὴν οἰκείαν ἀρετὴν ἐπεδείξαντο. ἔμαθον καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, δι' ὧν ἔπαθον· ἔμαθον, ὅτι οὐκ εἰκῇ ταῦτα κατώρθωσαν. οὕτω καὶ Σαοὺλ πρότερον μαρτυρηθεὶς ἀγαθὸς εἶναι, τότε τὸ πνεῦμα ἔλαβεν. ἀλλ' οὕτως οὐδείς· οὐδὲ ὁ μείζων τῶν προφητῶν Μωϋσῆς. ἐκεῖνος γὰρ ὅτε ἔδει ἑτέρους γενέσθαι πνευματικούς, ἠλαττοῦτο αὐτός. ἀλλ' ἐνταῦθα οὐχ οὕτως· [ἀλλ'] ὥσπερ ἐπὶ τοῦ πυρός, ὅσους ἂν τις θέλοι λύχνους ἀνάπτει, τὸ πῦρ οὐδὲν ἐλαττοῦν· οὕτω καὶ ἐπὶ τῶν ἀποστόλων συνέβαινε τότε. [καὶ γὰρ διὰ τοῦ πυρὸς οὐ μόνον τὸ δαψιλὲς τῆς χάριτος ἐδείκνυτο, ἀλλὰ καὶ] πηγὴν ἕκαστος ἐλάμβανε πνεύματος. ὥσπερ οὖν καὶ αὐτὸς πηγὴν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον, ἔφησεν ἕξειν τοὺς πιστεύοντας ἐπ' αὐτόν. καὶ [μάλα] εἰκότως. οὐ γὰρ τῷ Φαραὼ διαλεξόμενοι ἀπῄεσαν· ἀλλὰ τῷ διαβόλῳ παλαίσοντες. καὶ τὸ δὴ θαυμαστότερον, ὅτι πεμπόμενοι οὐδὲν ἀντεῖπον· οὐδὲ εἶπον ἰσχνόφωνοι εἶναι, καὶ βραδύγλωσσοι· Μωσῆς γὰρ αὐτοὺς εἰς τοῦτο ἐπαίδευσεν. οὐκ εἶπον εἶναι νεώτεροι· Ἱερεμίας γὰρ αὐτοὺς ἐσωφρόνισε. καί τοι πολλὰ ἤκουσαν φοβερά, καὶ πολλῷ μείζονα ἐκείνων· ἀλλ' ὅμως ἐφοβοῦντο ἀντειπεῖν. [ἐκ τούτου δῆλον, ὅτι καὶ φωτὸς ἄγγελοι ἦσαν, καὶ τῶν ἄνωθεν πραγμάτων ὑπηρέται.] καὶ ἐκείνοις μὲν οὐδεὶς ἀπ' οὐρανοῦ φαίνεται τῶν ἐν τῇ γῇ διώκουσιν ἔτι· ἐπειδὴ δὲ ἀνῆλθεν ἄνθρωπος ἄνω, καὶ πνεῦμα ἄνωθεν φέρεται, ὡσεὶ φερομένης, φησὶ, πνοῆς βιαίας. διὰ τούτου δῆλον ποιεῖ ὅτι οὐδὲν αὐτοῖς ἀντιστῆναι δυνήσεται, ἀλλ' ὥσπερ χοῦν τοὺς ὑπεναντίους λικμήσουσι. [καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον.] ἡ οἰκία τοῦ κόσμου σύμβολον ἦν. καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ συνῆλθε τὸ πλῆθος, καὶ συνεχύθη. ὁρᾷς τὴν τούτων εὐλάβειαν, καὶ πῶς οὐκ εὐθέως ἀποφαίνονται, ἀλλ' ἐν ἀπορίᾳ εἰσίν;

A Hæc dicunt respicientes ad Apostolos, & addunt: *Quomodo nos audimus illos propria cujusque lingua loquentes, in qua nati sumus, Parthi, & Medi, & Elamitæ, & qui incolunt Mesopotamiam, Judæam simul & Cappadociam, Pontum & Asiam, Phrygiam pariter & Pamphyliam, Ægyptum, & ejus partes Libyæ, quæ est circa Cyrenem: prætereaqui hic agunt Romani, partim Proselyti, Cretenses & Arabes: Audimus eos loquentes nostrarum linguarum proprietatibus magnifica Dei. Stupuerunt autem omnes & hæsitabant inter se, dicentes: Quid hoc vult esse?* Vides quemadmodum velut alati terrarum orbem percurrerint. *Alii verò subsannabant illos, dicentes: Musto repleti sunt.* O vesaniam! ô malitiam inauditam! Atqui ne tempus quidem illud habebat mustum. Erat enim *Pentecoste*. Quodque mirabilius est, quum omnes confiterentur, & qui erant Romani, & qui erant advenæ, fortasse & hi qui Dominum in crucem egerant, illi post argumenta tam multa dicunt: *Musto repleti sunt.* Sed rursus ab initio quæ dicta sunt consideremus: *Replevit*, inquit, *domum flatus, & facta est veluti piscina plena aquarum.* Porrò ignis arguit gratiæ copiam ac vehementiam. Nequaquam idem accidit in Prophetis: sed tum quidem sic accidit illis, Prophetis autem alio modo. Nam capitulum datum est Ezechieli, edebatque quæ dicturus esset. Eoque dictum est: *Factum est in ore ejus ut mel dulcescens.* Rursus manus Domini tetigit linguam alterius Prophetæ. Cæterum hic ipse spiritus operatur omnia. Tanta est inter Patrem & Filium æqualitas. Ac rursus alius alibi: *Lamentatio, & canticum, & væ.* Illis meritò in libris datum est donum. Adhuc enim eis opus erat parabolis. Quin potius ob id, quod illi Prophetæ ad unam duntaxat gentem mittebantur, eamque peculiarem ac propriam: isti verò ad universum terrarum orbem, & ad nationes hactenus incognitas. Helisæus per exuvium ovillum accepit gratiam. Rursus alius per oleum, quemadmodum David. Moses verò per ignem rubi vocatur: Non itidem hic factum est, sed ipse ignis insedit. Et quam ob causam, dixerit aliquis, non apparuit ignis qui replevit domum? Quoniam exterriti fuissent. Demonstrat tamen quòd hoc factum sit. Tu verò considera quòd non solùm dixerit, *visæ sunt illis dispertitæ linguæ*; sed additum est *ignis*. Tam magnus ignis immensam sylvam potest incendere. Ac rectè dixit, *dispertitæ*: Nam ex eodem fonte venerant, ut intelligas occultam vim esse à Paracleto missam, qui quidem ignis mundi peccata quasi sylvam exussit. Vide verò & illos primum declaratos eo munere dignos, atque id temporis spiritu donatos fuisse, sicut & in David factum est. Nam quæ fecerat quum esset pastor ovium, eadem fecit & post victoriam ac tropæum, quò videlicet ipsius nuda simplexque fides declararetur. Rursus considera Mosem, qui & ipse regiam aulam contempsit; & Samuëlem, qui post quadraginta annos quum populi rem administrasset, tamen adhuc nutriebatur in templo: specta Helisæum omnia relinquentem, cumque his Ezechielem. Porrò quòd ad hunc modum res illis gesta sit, perspicuum est etiam ex his quæ sequuta sunt, quandoquidem & hi facultates suas omnes pro desertis habuerant, Eóque tum accipiunt spiritum sanctum, posteaquàm suæ virtutis dederêspecimen. Didicerant humanam infirmitatem ex his quæ ipsis acciderant: didicerant quod ea quæ piè fecerant, non frustra gessérint. Sic & Saul prius dum adhuc testimonium haberet quòd vir bonus esset, tum accipiebat spiritum. Sed eodem modo quo nunc Discipuli, nemo alius. Quin potius ne Moses quidem Prophetis major. Nam ille quum oporteret alios afflari spiritu, ipse diminutus est. Hic verò non eodem modo, sed quemadmodum ab igni, quotquot volet aliquis lucernas accendit, nec ignis imminuitur: ita & in Apostolis tum temporis accidit. Non enim per ignem tantùm gratiæ largitas demonstrabatur, sed unusquisque spiritus fontem accepit: sicut & ipse *fontem aquæ salientis in vitam æternam*, dixit accepturos eos, *qui in ipsum credidissent*. Idque valde congruenter. Neque enim cum Pharaone disceptaturi abierant, sed cum diabolo luctaturi: quodque mirabilius est, quum mitterentur nihil excusarunt, neque dixerunt se gracili voce esse linguæque inexplanatæ. Siquidem Moses illos in hoc erudierat. Non dixerunt se juniores esse. Nam Hieremias hic illos reddit verecundos. Atqui multa audierant terribilia, multoque plura quàm illi, & tamen veriti sunt contradicere. Ex quo liquet illos lucis Angelos fuisse, & cœlestium negotiorum administratores. Attamen istis quidem nullus è cœlo apparuit adhuc in terris agentibus. Sed posteaquàm abiit homo superna petens, simul spiritus è supernis delabitur. *Quasi ferretur*, inquit, *flatus vehemens*. Per hoc perspicuum facit, neminem fore qui posset illis resistere, sed ab eis adversarios ceu pulverem dissipandos. *Et replevit totam domum.* Domus, mundi typum gerebat. *Et sedit super singulos illorum, & convenit multitudo, & confusa est.* Vides illorum religionem, & quomodo non illico pronunciant, sed hæsitant?

Ezech. 3, 3. Hier. 1, 9. Ezec. 2, 10. 1. Reg. 17, 15. Exod. 3, 4. Joh. 4, 14. Exo. 4, 1. Jer. 1, 6.

Alii verò dementes pronunciant dicentes: *musto pleni sunt.* Quoniam licebat per legem ter quotannis apparere in templo, ideo habitabant illic ex omnibus nationibus *viri religiosi.* Hinc perpende quam non adulatur illis qui hæc scribit. Non enim dixit pronunciarunt, sed quid? *Quum facta esset hæc vox, convenit multitudo, & confusa est.* Meritò. Existimabant enim ipsis rem ad extrema pervenisse, ob facinus quod ausi sunt in Christum. Quin & alioqui conscientia perturbabat illorum animos, eo quod etiamnum in manibus esset homicidium, omnes illos reddens attonitos. *Nonne ecce*, inquit, *omnes isti qui loquuntur, Galilæi sunt?* Pulchrè hoc dixit, quandoquidem hoc se esse profitebantur. Usque adeo sonitus illos reddiderat attonitos, quòd hic majorem orbis partem comprehenderit. Illud verò confirmabat Apostolos, quòd quid tandem esset Parthicè loqui, non noverant, ab illis tamen id temporis scire putabantur. Porrò gentium meminit quæ illis erant hostes, Cretensium, Arabum, Ægyptiorum, Persarum, videlicet declarans quod eas omnes essent in ditionem suam redacturi. Quippe quum id temporis Judæi essent in captivitate, conveniebat ut illic multi adessent ex Gentibus: sive quòd jam ad Gentes quoque fidei dogmata seminata fuerint, & hanc ob causam complures ex illis aderant, ut memorarent quæ audierant. Certissimum utique nec ullam recipiens contradictionem testimonium, à civibus, ab hospitibus, ab advenis. *Audivimus eos loquentes linguis nostris magnificentias Dei.* Neque enim quidlibet garriebant, sed admiranda quædam loquebantur. Unde meritò hæsitabant, nunquam enim tale quicquam acciderat. Vide hominum modestiam. *Stupebant & hæsitabant, dicentes: Quid vult hoc esse? Alii verò subsannantes, dicebant: Musto pleni sunt.* O impudentiam si ob hoc irridebant! Et quid mirum? Quandoquidem ipsum etiam Dominum, qui dæmonia pellebat, *dæmonium habere*, dixerunt. Nam ubicunque fuerit improbitas, unum hoc duntaxat studet, nempe dicere. Quid tandem? non ut dicat rei consentanea, sed tantùm ut dicat: Musto impleti sunt. Prorsus sanè, quum homines in tantis constituti periculis, extrema metuentes, & in tanta versantes desperatione, ejusmodi audent proloqui. At quum id esset minimè verisimile ut audientibus imponant, persuadeantque illos esse temulentos, hebetudini crapulæque rem totam adscribunt, dicentes *eos esse musto plenos.* *Stans autem Petrus cum reliquis undecim, extulit vocem suam, ac locutus est illis.* Vides ne illic curiositatem, hîc animi fortitudinem: Etenim si admirabantur, si stupebant: nónne & illud æquè mirandum erat, in tam numerosa multitudine in verba prorumpere hominem illiteratum & idiotam? Nam si quis inter familiares dicturus perturbatur, quantò magis hoc accidere debuit apud hostes & vociferantes? Quòd autem ebrii non essent, protinus ex ipsa voce declararunt, quod non essent arrepti furore more vatum, quodque nulla vi compellerentur. Quid autem est *cum reliquis undecim?* Communem, inquit, vocem edebant, ac Petrus omnium erat os, sed astabant illi undecim testimonio suo comprobantes ea quæ ab illo dicebantur. *Extulit*, inquit, *vocem suam.* Hoc est multa cum fiducia loquebatur. Id autem facit, uti cognoscerent spiritus esse gratiam, quum is qui vilis puellæ non tulerat percontationem, nunc in medio populi, cunctis vociferantibus, tanta cum fiducia disserat, ut hoc indubitatum esset Resurrectionis argumentum, ridentibus interim hominibus, taliaque scommata in eos jacientibus tanta uti libertate. Quantæ putas hoc esse improbitatis, quantæ impietatis, quantæ impudentiæ, temulentiæ asscribere linguarum miraculum? Verùm id Apostolis nihil attulit tristitiæ, neque reddidit illos timidiores, quum eo tempore audirent in se jaci scommata, quando jam adventu spiritus fuerant instructi, ut essent cunctis rebus corporalibus superiores. Quoscunque autem accesserit Spiritus Sanctus, eos pro luteis reddit aureos. Jam mihi Petrum considera ac reputa, timidus ille, adeoque timidus, ut nec muliercula vilis percontationem tulerit, qui vir factus sit post accessionem & largam suppeditationem spiritus. Quin & illud considera, Apostolorum concordiam, qui Petro cesserint concionandi jus. Neque enim oportebat omnes pariter loqui. Et sublata voce sua loquitur, quæ res declarat ingentem illam fiduciam, animique præsentiam. Tale quiddam est esse virum spiritualem. Tantùm nosipsos præbeamus dignos cœlesti gratia, & omnia fuerint facilia. Quemadmodum enim igneus homo si in medias incidat stipulas, nihil læditur, sed magis vim exeret suam, nec enim ille quicquam patitur mali, sed qui his reluctantur, ipsi seipsos perdunt; ita nunc evenit. Imò potius ac si quis igneni gestans, luctetur cum eo qui importat fœnum. Itidem videlicet & Apostoli illos adorti sunt multa cum fiducia.

Joh. 8, 49.

Petri elogium.

ἐκεῖνοι δὲ οἱ ἀγνώμονες ἀποφαίνονται λέγοντες· ὅτι γλεύκους εἰσὶ μεμεστωμένοι. ἐπεὶ ἐξῆν αὐτοῖς κατὰ τὸν νόμον τρὶς τοῦ ἐνιαυτοῦ φαίνεσθαι ἐν τῷ ναῷ, διὰ τοῦτο ᾤκουν ἐκεῖ ἀπὸ πάντων τῶν ἐθνῶν εὐλαβεῖς ἄνδρες. ὅρα ἐντεῦθεν τὸν γράφοντα πῶς αὐτοὺς οὐ κολακεύει. οὐ γὰρ εἶπεν, ὅτι ἀπεφθέγξαντο· ἀλλὰ τί; γενομένης δὲ τῆς φωνῆς ταύτης συνῆλθε τὸ πλῆθος καὶ συνεχύθη. εἰκότως. ἐνόμιζον γὰρ αὐτοῖς τέλος ἔχειν τὸ πρᾶγμα διὰ τὴν γενομένην τόλμαν κατὰ Χριστοῦ. ἄλλως δὲ καὶ τὸ συνειδὸς κατέσειεν αὐτῶν τὰς ψυχάς, ἐν χερσὶν οὔσης ἔτι τῆς σφαγῆς, καὶ πάντα αὐτοὺς ἐποίει. οὐκ ἰδού, φησι, πάντες οὗτοί εἰσιν οἱ λαλοῦντες Γαλιλαῖοι; καλῶς οὕτως εἶπε. καὶ γὰρ τοῦτο εἶναι ὡμολόγουν. οὕτως αὐτοὺς ἐποίησεν ὁ ἦχος, ὅτι καὶ τὸ πλέον τῆς οἰκουμένης ἐνταῦθα κατέλαβε. τοῦτο δὲ αὐτοὺς ἐνεύρου τοὺς Ἀποστόλους, ὅτι τί ποτε Παρθιστὶ ἦν φθέγγεσθαι οὐκ ᾔδεσαν, ἀλλὰ παρ' ἐκείνων τότε ἐμάνθανον. ἐθνῶν δὲ μέμνηται πολεμίων αὐτοῖς, Κρητῶν, Ἀράβων, Αἰγυπτίων, Περσῶν· δηλῶν ὅτι πάντων τούτων κρατήσουσιν. ἅτε δὲ ὄντων ἐν αἰχμαλωσίᾳ τῶν Ἰουδαίων, εἰκὸς αὐτοῖς συμπαρεῖναι τηνικαῦτα πολλοὺς τῶν ἐθνῶν· ἢ ὅτι καὶ πρὸς τὰ ἔθνη τὰ τῶν δογμάτων ἤδη κατέσπαρτο. καὶ διὰ τοῦτο πολλοί, καὶ ἐξ αὐτῶν παρῆσαν ἐκεῖ κατὰ μνήμην ὧν ἤκουσαν. πάντοθεν τοίνυν ἀναντίρρητος ἡ μαρτυρία, παρὰ τῶν πολιτῶν, παρὰ τῶν ξένων, παρὰ τῶν προσηλύτων. ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ. οὐ γὰρ ἁπλῶς ἐλάλουν· ἀλλὰ ἵνα θαυμαστὰ ἔλεγον. εἰκότως τοίνυν ἠπόρουν. οὐδέ ποτε γὰρ γέγονε τι τοιοῦτον. ὅρα εὐγνωμοσύνην ἀνθρώπων. ἐξίσταντο καὶ διηπόρουν λέγοντες· τί θέλει τοῦτο εἶναι; ἕτεροι δὲ διαχλευάζοντες ἔλεγον, ὅτι γλεύκους μεμεστωμένοι εἰσίν. ὢ τῆς ἀναισχυντίας! εἰ διὰ τοῦτο ἐχλεύαζον. καὶ τί θαυμαστόν; ὅπου γε καὶ αὐτὸν τὸν δεσπότην, δαίμονας ἐλαύνοντα, δαιμόνια ἔχειν λέγουσιν. ἔνθα γὰρ ἂν ᾖ πονηρία, ἓν ζητεῖ μόνον εἰπεῖν ὅ, τι δήποτε, οὐχ ὅπως τί λόγου πρᾶγμα ἐχόμενον εἴποι, ἀλλ' ὅπως εἴποι. ὅτι γλεύκους μεμεστωμένοι εἰσί. πάνυγε· ὅτι ἄνθρωποι ἐν τοσούτοις κινδύνοις, περὶ τῶν ἐσχάτων τρέμοντες, ἐν τοσαύτῃ ὄντες ἀθυμίᾳ, τοιαῦτα φθέγγεσθαι τολμῶσι. καὶ ὅρα. ἐπειδὴ τοῦτο ἀπίθανον ἦν, παραλογιζόμενοι τοὺς ἀκούοντας, καὶ δεικνῦντες ὅτι ἐμεθύσθησαν, τῇ ποιότητι τὸ πᾶν ἐπιγράφουσι, καί φασι· γλεύκους μεμεστωμένοι εἰσί. σταθεὶς δὲ ὁ Πέτρος σὺν τοῖς ἕνδεκα, ἐπῆρε τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς. ὁρᾷς ἐκεῖ τὴν κηδεμονίαν· ἐνταῦθα δὲ τὴν ἀνδρείαν; εἰ γὰρ ἐθαύμαζον, εἰ [γὰρ] ἐξεπλήττοντο, οὐχὶ καὶ οὕτω θαυμαστὸν ἦν, τὸ δυνηθῆναι μεταξὺ τοσούτων ῥῆξαι φωνήν, ἄνθρωπον ἀγράμματον καὶ ἰδιώτην; εἰ γὰρ ἐν οἰκείοις τις λέγων ταράττεται, πολλῷ μᾶλλον ἐπὶ ἐχθρῶν καὶ φονώντων. ὅτι οὐ μεθύουσιν, εὐθέως ἀπὸ τῆς φωνῆς ἐδήλωσεν· ὅτι οὐκ ἐξεστήκασι, καθάπερ οἱ μάντεις, ὅτι οὐκ ἀνάγκῃ κατείχοντο. τί δέ ἐστι, σὺν τοῖς ἕνδεκα; κοινὴν προεβάλλοντο φωνήν· καὶ πάντων αὐτὸς ἦν τὸ στόμα. παρεστήκασι δὲ οἱ ἕνδεκα μαρτυροῦντες τοῖς λεγομένοις. ἐπῆρε τὴν φωνὴν αὐτοῦ, φησι· τουτέστι, μετὰ πολλῆς εἶπε τῆς παρρησίας. τοῦτο δὲ ποιεῖ, ἵνα μάθωσι τοῦ πνεύματος τὴν χάριν. ὁ γὰρ μὴ ἐνεγκὼν ἐρώτησιν κορασίου εὐτελοῦς, οὗτος ἐν μέσῳ δήμων, φονώντων ἁπάντων, μετὰ τοσαύτης διαλέγεται παρρησίας, ὡς ἀναμφισβήτητον τῆς ἀναστάσεως γενέσθαι τοῦτο τεκμήριον. μεταξὺ γὰρ γελώντων ἀνθρώπων, καὶ τὰ τοιαῦτα διαχλευαζόντων παρρησιάζεται. πόσης εἶναι νομίζεις ἰταμότητος τοῦτο; πόσης ἀσεβείας; πόσης ἀναισχυντίας, τὸ μέθης λογίζεσθαι ἔργον τῶν γλωσσῶν τὸ παράδοξον; ἀλλ' οὐδὲν τοῦτο τοὺς ἀποστόλους ἐλύπησεν, οὐδ' ἀτολμοτέρους εἰργάσατο τότε τὰ τῆς χλεύης ἀκούοντας. τῇ γὰρ παρουσίᾳ τοῦ πνεύματος ἤδη μετεσκευάσθησαν, καὶ ἀνώτεροι τῶν σωματικῶν πάντων ὑπῆρχον. ἔνθα δὲ ἂν παραγένηται τὸ πνεῦμα τὸ ἅγιον, χρυσοῦς ἀντὶ πηλίνων ἐργάζεται. ὅρα μοι λοιπὸν τὸν Πέτρον, καὶ ἐξέταζε τὸν δειλόν, τὸν ἀσύνετον, καθάπερ ὁ Χριστός, φησιν· ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε, τὸν μετὰ τὴν ὁμολογίαν ἐκείνην τὴν θαυμαστὴν, Σατανᾶν κληθέντα. σκόπει δὲ καὶ τῶν ἀποστόλων τὴν ὁμόνοιαν. αὐτοὶ παραχωροῦσιν αὐτῷ τῆς δημηγορίας. οὐ γὰρ ἔδει πάντας φθέγγεσθαι. καὶ ἐπῆρε, φησι, τὴν φωνὴν αὐτοῦ, καὶ ἀπεφθέγξατο αὐτοῖς μετὰ πολλῆς τῆς παρρησίας. τοιοῦτόν ἐστιν ἄνδρα εἶναι πνευματικόν. μόνον καὶ ἡμεῖς ἀξίους ἑαυτοὺς καταστήσωμεν τῆς ἄνωθεν χάριτος, καὶ πάντα εὔκολα ἔσται. καθάπερ γὰρ πύρινος ἄνθρωπος εἰς μέσην καλάμην ἐμπεσών, οὐδὲν ἂν πάθοι δεινόν, ἀλλὰ μᾶλλον ἐργάσεται· οὐ γὰρ αὐτός τι πάσχει, ἀλλ' αὐτοὶ ἑαυτοὺς οἱ πυκτεύοντες διαφθείρουσιν· οὕτω καὶ νῦν ἐγένετο. μᾶλλον δὲ ὥσπερ ἂν εἴ τις πῦρ ἐπιφερομένῳ χόρτον ἔχων πυκτεύοι· οὕτω δὴ καὶ οὗτοι τούτοις προσέστησαν μετὰ πολλῆς τῆς ἀνδρείας. τί γὰρ

αὐτοὺς

αὐτοὺς ἔβλαψε τοσοῦτον πλῆθος; εἰπὲ γάρ μοι, οὐχὶ πενίᾳ ἐμάχοντο καὶ λιμῷ, οὐχὶ ἀτιμίᾳ καὶ δόξῃ πονηρᾷ; πλάνοι γὰρ εἶναι ἐνομίζοντο. οὐχὶ γέλωτι καὶ χλεύῃ τῶν παρόντων ὑπέκειντο; ἐπ' αὐτοῖς γὰρ ταῦτα ἑκάτερα συνέπιπτεν. οἱ μὲν γὰρ αὐτοὺς ἐγέλων, οἱ δὲ ἐχλεύαζον. οὐχὶ θυμοῖς, οὐχὶ μανίαις ὁλοκλήρων πόλεων, οὐχὶ στάσεσι καὶ ἐπιβουλαῖς περιέκειντο; οὐχὶ πυρὶ καὶ σιδήρῳ, καὶ θηρίοις; οὐχὶ πάντοθεν αὐτοὺς μυρίος περιειστήκει πόλεμος; οὐχὶ ὡς ὄναρ ταῦτα ὁρῶντες τὰ δεινὰ ἢ ἐν γραφῇ, οὕτω διέκειντο; τί δαί; οὐκ ἀνήλωσαν αὐτῶν τοὺς θυμούς; οὐκ εἰς αὐτοὺς τὴν ἀπορίαν περιέτρεψαν; οὐχὶ καὶ θυμῷ, καὶ διὰ πάντων μάλιστα ἐκεῖνοι συνείχοντο; οὐχὶ ἐναγώνιοι ἦσαν, καὶ ἐφοβοῦντο, καὶ ἔτρεμον; ἄκουε γὰρ αὐτῶν λεγόντων· Θέλετε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; καὶ τὸ θαυμαστὸν, ὅτι γυμνῷ τῷ σώματι παρετάξαντο πρὸς ὡπλισμένους, πρὸς ἄρχοντας κατ' αὐτῶν ἔχοντας ἐξουσίαν, ἄπειροι, ἄγλωττοι, καὶ ἰδιωτικώτερον διακείμενοι, πρὸς γόητας, πρὸς πλάνους, πρὸς σοφιστῶν, πρὸς ῥητόρων, πρὸς φιλοσόφων πλῆθος, τῶν κατασαπέντων ἐν ἀκαδημίᾳ καὶ περιπάτοις, ἐνίσταντό τε καὶ ἀπεμάχοντο· καὶ ὁ περὶ λίμνας ἠσχολημένος οὕτως αὐτῶν ἐκράτησεν, ὡς οὐδὲ εἰ πρὸς ἰχθύας ἀγλώττους ὁ ἀγὼν ἦν αὐτῷ. καθάπερ γὰρ ὄντως ἁλιεὺς ἰχθύων ἀφωνοτέρων, οὕτω περιεγένετο. καὶ ὁ μὲν πολλὰ ληρήσας Πλάτων, σεσίγηκεν· οὗτος δὲ φθέγγεται, οὐχὶ παρ' οἰκείοις μόνοις, ἀλλὰ καὶ παρὰ Πάρθοις, παρὰ Μήδοις, παρὰ Ἐλαμίταις, καὶ ἐν Ἰνδίᾳ, καὶ πανταχοῦ γῆς, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης. ποῦ νῦν τῆς Ἑλλάδος ὁ τῦφος; ποῦ τῶν Ἀθηνῶν τὸ ὄνομα; ποῦ τῶν φιλοσόφων ὁ λῆρος; ὁ ἀπὸ Γαλιλαίας, ὁ ἀπὸ Βηθσαϊδά, ὁ ἄγροικος, πάντων ἐκείνων περιεγένετο. οὐκ αἰσχύνεσθε εἰπέ μοι ἐπὶ τῷ ὀνόματι τῆς πατρίδος τοῦ νικήσαντος ὑμᾶς; ἂν δὲ καὶ τὸ ὄνομα αὐτοῦ ἀκούσητε, καὶ ὅτι Κηφᾶς ἐλέγετο, πολλῷ μᾶλλον ἐγκαλύψεσθε. τοῦτο γὰρ ὑμᾶς, τοῦτο ἀπολώλεκεν, ὅτι τοῦτο ἔνδοξον εἶναι νομίζετε, καὶ εὐγλωττίαν, ἐγκώμιον· καὶ ἀπειρίαν εὐγλωττίας, ὄνειδος. οὐκ ἤλθετε ἣν ἐλθεῖν ὁδὸν ἔδει· ἀλλὰ τὴν βασιλικὴν ἀφέντες ὁδὸν τὴν εὔκολον καὶ λείαν, τὴν τραχεῖαν, καὶ ἀνάντη, καὶ χαλεπὴν ἐβαδίσατε. διὰ τοῦτο οὐδὲ ἐφθάσατε πρὸς τὴν βασιλείαν τῶν οὐρανῶν. τί οὖν οὐκ εἰς Πλάτωνα ἐνήργησεν ὁ Χριστός; οὐδὲ εἰς Πυθαγόραν, φησίν; ὅτι πολλῷ φιλοσοφωτέρα ἦν ἡ Πέτρου ψυχὴ τῆς ψυχῆς ἐκείνων. ἐκεῖνοι μὲν γὰρ παῖδες ὄντως ἦσαν, ὑπὸ τῆς κενῆς δόξης περιφερόμενοι πανταχοῦ· οὗτος δὲ ἀνὴρ φιλόσοφος, καὶ δεκτικὸς τῆς χάριτος. εἰ δὲ γελᾷς ταῦτα ἀκούων, οὐ θαυμαστόν· ἐπεὶ καὶ οἱ τότε ἐγέλων, καὶ γλεύκους αὐτοὺς ἔλεγον εἶναι μεστούς. ἀλλ' ὕστερον, ὅτε ἐπεπόνθεισαν τὰ πικρὰ ἐκεῖνα, καὶ πάντων χαλεπώτερα, ὅτε τὴν πόλιν κατασκαπτομένην εἶδον, καὶ τὸ πῦρ ἀναπτόμενον, καὶ τὰ τείχη ῥιπτόμενα χαμαί, καὶ τὰς ποικίλας βακχείας ἐκείνας, ἃς οὐδεὶς παραστῆσαι δύναιτο λόγῳ, οὐκ ἔτι ἐγέλων. οὕτω καὶ ὑμεῖς τότε οὐ γελάσεσθε, ὅταν ὁ τῆς κρίσεως ἐπιστῇ καιρός· ὅταν τὸ τῆς γεέννης ἀναφθῇ πῦρ. ἀλλὰ τί περὶ μελλόντων λέγω; βούλει δείξω τίς ἐστι Πέτρος, τίς δὲ Πλάτων; τὰ γὰρ ἤθη τέως αὐτῶν εἰ δοκεῖ ἐξετάσωμεν, καὶ ἴδωμεν τίσιν ἐπεχείρησαν ἑκάτεροι. οὗτος μὲν οὖν πάντα τὸν χρόνον ἀνάλωσε περὶ δόγματα στρεφόμενος ἀνόνητα καὶ περιττά. τί γὰρ ὄφελος ἐκ τοῦ μαθεῖν, ὅτι μυῖα ἡ ψυχὴ τοῦ φιλοσόφου γίνεται; ὄντως μυῖα. οὐκ εἰς μυῖαν μετέπεσεν, ἀλλ' ἐπέβαινε τῇ ἐν Πλάτωνος οἰκούσῃ ψυχῇ. ποίας ταῦτα οὐ ματαιολογίας; πόθεν τοιαῦτα ληρεῖν ἐπεβάλετο; εἰρωνείας μεστὸς ἦν ὁ ἀνήρ, ζηλοτύπως πρὸς ἅπαντας διακείμενος. ὥσπερ οὖν φιλονεικῶν, μήτε οἴκοθεν, μήτε παρ' ἑτέρου χρήσιμόν τι εἰσαγαγεῖν· οὕτω παρὰ μὲν ἑτέρου τὴν μετεμψύχωσιν ἐδέξατο, παρ' ἑαυτοῦ δὲ τὴν πολιτείαν εἰσήγαγεν, ἔνθα τὰ πολλῆς αἰσχρότητος γέμοντα ἐνομοθέτησε. κοιναὶ, φησὶν, αἱ γυναῖκες ἔστωσαν, καὶ γεγυμνωμέναι παρθένοι, ἐπ' ὄψεσι τῶν ἐραστῶν παλαιέτωσαν, καὶ κοινοὶ πατέρες ἔστωσαν, καὶ οἱ τικτόμενοι παῖδες. ποίαν οὐχ ὑπερβάλλει ταῦτα ἄνοιαν; ἀλλὰ τὰ μὲν ἐκείνου τοιαῦτα. ἐνταῦθα δὲ οὐχ ἡ φύσις ποιεῖ κοινοὺς πατέρας, ἀλλ' ἡ Πέτρου φιλοσοφία. ἐπεὶ ἐκεῖνό γε, καὶ ἀνῄρει. οὐδὲν γὰρ ἕτερον ἐποίει, ἀλλ' ἢ τὸν ὄντα ἀγνοεῖσθαι μόνον· καὶ τὸν οὐκ ὄντα εἰσάγεσθαι. εἰς μέθην τινὰ καὶ συρφετὸν ἐνέβαλε τὴν ψυχήν. πάντες, φησὶν, ἀδεῶς κεχρήσθωσαν ταῖς γυναιξί. διὰ τοῦτο οὐκ ἐξετάζω πάντα τὰ δόγματα, ἵνα μή με τις εἴπῃ μύθους ἐξετάζειν· ἀλλ' ἑτέρους λέγω μύθους ἐκείνων πολλῷ καταγελαστοτέρους. ποῦ τοιοῦτόν τι ἐτερατεύσαντο ποιηταί; ἀλλ' ὁ κορυφαῖος τῶν φιλοσόφων ὡς ἐδόκει, καὶ ὅπλα ταῖς γυναιξὶ περιτίθησι, καὶ κράνη, καὶ κνημῖδας, καὶ κυνῶν οὐδὲν διαφέρειν λέγει τὸ ἀνθρώπινον γένος. ἐπειδὴ γὰρ οἱ κύνες ἡ θήλεια, φησί, καὶ ὁ ἄρρην κοινωνοῦσιν ἐν τοῖς ἔργοις, κοινωνείτωσαν καὶ αἱ γυναῖκες, καὶ πάντα ἀνατρεπέσθω. ἀεὶ γὰρ δι' αὐτῶν ἐσπούδασεν ὁ διάβολος,

A Quid enim, obsecro, læsit illos tanta multitudo? Num illis cum egestate & fame fuit conflictatio? Num cum ignominia & infamia? Num impostores esse credebantur? Num irrisionibus, & conviciis præsentium succubuerunt? Nam utraque hæc simul in eos incidebant, eò quòd alii deridebant illos, alii etiam scommatis incessebant. Nónne totæ civitates furoribus, & insaniis illos impetebant? Nónne seditionibus, & insidiis objecti sunt? Nónne igni, ferro & bestiis? Nónne undique illos innumera B bella vallabant? Nonne perinde fuerunt afflicti, quasi in somnis vidissent hæc mala, aut in pictura? Quid igitur? Nónne consumpserunt omnium furores? Nónne in ipsos animi anxietatem retorserunt? Nónne illi furore metuque omnium maximè tenebantur? Nónne periclitabantur, formidabant ac tremebant? Audi enim illos, dicentes: *Vultis inducere in nos sanguinem hominis istius?* Infr. 5. 28. Atque illud interim mirabilius, quod Apostoli nudo corpore consistebant adversus armatos, adversus princi- C pes qui publicum in ipsos jus habebant, imperiti, elingues ac simplices idiotæ, adversus impostores & circumventores, adversus sophistarum, rhetorum ac philosophorum turbam, qui in Academia Platonis & Aristotelis deambulationibus exercitati depugnarant, & in Stoicorum porticibus fuerant occupati. Hos ita superavit Petrus, quasi cum mutis piscibus certamen fuisset. Nec enim aliter quàm piscator mutos pisces, ita hic illos superavit. Ac Plato quidem ille multa nugari solitus, obti- D cuit: hic verò loquitur, non tantum apud suos, verùm etiam apud Parthos, apud Medos, apud Elamitas, apud Indos, breviter, in omni loco, usque ad orbis terminos. Ubi nunc Græciæ fastus, ubi nomen Athenarum, ubi Philosophorum deliramenta? Ille Galilæus, ille Bethsaidæ natus, ille rusticanus, universos illos devicit. Agedum, nonne ad nominatam patriam illius qui vos devicit erubescitis? Quòd si nomen ipsum hominis audieritis, Cephas enim dictus est, multò magis obtegetis faciem. E Siquidem hoc vos, hoc inquam perdidit, quòd expolitam habere linguam laudi ducitis, ac hujus rei imperitiam probrosam existimatis. Non ingressi fuistis quà oportuit, sed regali omissa via, quæ facilis est ac levis, operosam illam ac præruptam difficilemque calcastis, eòque non pervenistis ad regnum cœlorum. Cur igitur, dixerit aliquis, non in Platone & Pythagora operatus est Christus? Quoniam Petri mens multò erat, quàm illorum ad Philosophiam accommodatior. Nam A illi re vera pueri erant, ubique supra modum gaudentes inani gloria. Hic verò vir fuit philosophicus & gratiæ capax. Quòd si hæc quum audis, rides, mirum non est, quandoquidem & illius temporis homines ridebant eósque *musto plenos esse* dicebant: verum posteà quum perpessi illi tam acerba, ut omnes calamitates superarent, quum civitatem viderent direptam, quum incendium in altum subvolans, quum mœnia solo æquata, quum varias illas debacchationes, quas nemo possit oratione consequi, tum B non ridebant. Similiter & vos tunc non ridebitis, quum judicii dies ingruerit, quum gehennæ ignis fuerit incensus. Sed quid loquor de futuris? Vis ostendam qui vir sit Petrus, qui Plato? Jam mores illorum si videtur expendamus: videamusq; quid ambo gesserint. Hic omnem vitam consumpsit distorquens sese circa dogmata inutilia supervacaneáque. Quid enim prodest scire, quod anima philosophi fit musca? Re vera musca est, non in muscam conversa est, sed accessit animæ in Platone habitanti. Quid C hic non est stultiloquii? Unde tales nugari nugas illi venit in mentem? Homo plenus erat ironiæ, ac zelotypia laborabat adversus cunctos. Itaque quasi studeret in hoc, ut nec ex sese, nec ab altero quicquam adferret utile, sic ab alio mutuatus est animarum transmigrationem ex sese verò rempubl. commentus est, in qua leges prodidit multa refertas turpitudine. Uxores, inquit, communes sunto: nudæ virgines sub oculis amatorum luctantor: Tum genitores, tum filii qui gignuntur communes D sunto. Quæ tam insignis dementia est, quam ista non superent? Ad hunc igitur modum habet illius doctrina. Hic porrò non natura facit communes parentes, sed Petri Philosophia, quandoquidem & illud quod Plato docuit, sustulit. Nihil enim is aliud effecit, nisi ut si quis verè pater est, tantùm non ignoretur, & qui non est inducatur, in ebrietatem quandam & sterquilinium conjecit animum. Omnes, inquit, uxoribus audacter utuntor. Eoque non expendo Poëtarum dogmata, ne quis me dicat fabu- E las expendere: sed alias adfero fabulas, Poëticis multò magis ridiculas. Ubi Poëtæ quicquam tam prodigiosum prodidere? Verùm ille Philosophorum Antesignanus, ut habebatur, & arma addit mulieribus, & galeas, & ocreas, nec quicquam dicit hominum genus differre à canibus. Posteaquàm enim, inquit, inter canes fœmina & mas communicant in factis, communicent & mulieres, cunctáque sursum deorsum misceantur. Semper enim per illos hoc egit diabolus,

ut

ut ostenderet nostrum genus nihil à brutis differre, quando nonnulli in opinionem tam peregrinam & absurdam venerunt, ut animalia rationis expertia, dixerint rationalia. Vides verò quàm multipliciter debacchatus est in illis mentibus, posteaquàm qui sunt inter illos primi, docuerunt animam nostram in muscas, canes, & animantia bruta transmigrare. Cæterùm his succedentes, qui hoc veriti dicere, in aliam absurditatem delapsi sunt, omnem rationalem scientiam brutis cum homine communem facientes, ac demonstrantes ea quæ per nos facta sunt, meliora esse quàm nosipsos. Non solùm autem hoc, sed & futurorum præsensionem, & religionem apud illa esse prædicant. Corvus, inquit, novit Deum, & cornix, & Prophetiæ donum habent, futuraque prædicunt, quin & justitia adest illis, & respublica & leges & apud illa canis habet invidiam, secundùm Platonis sententiam. Fortasse non creditis quæ dicimus. Nec injuria, quippe sanis imbuti dogmatibus. Nam si quis hoc cibo sit enutritus, nequaquam credere possit, esse hominem qui libenter vescatur humanis excrementis. Proinde quoties illis dicimus, istæ fabulæ sunt dementia plenæ, non intellexistis, inquiunt. Utinam ne intelligamus unquam vestra tam ridicula. Multò sanè intellectu, sensuque profundo opus est, ut perdiscam quid sibi velit tanta impietas, tantaque rerum confusio. Nec corvorum more loquamini, ô dementes! quemadmodum faciunt pueri. Nam re vera pueri estis, quemadmodum illi. Petrus verò nihil tale docuit, sed emisit vocem, quæ tanquam lumen in tenebris vehementer refulgens dispulit orbis terrarum caliginem. Verum mores illius quàm erant mansueti, quàm humani, ut omni gloria inani erant superiores. ut suspexit in cœlum, alienus ab omni fastu, idque quum excitaret mortuos? Quòd si cui dementium illorum tale quid peractum fuisset, non verè, sed fallaci specie, an non protinus aram poposcisset ac templum, ac Deo par haberi postulasset? maximè: quum semper talia somnient etiam hujusmodi nihil agentes. Quid enim illis vult Minerva, Apollo & Juno? Genera sunt apud illos dæmoniorum. Et rex est apud illos, ideo non recusans mori, ut diis æqualis habeatur. Verum Apostoli non item, sed contra fecerunt. Audi enim
Iosr. 3, 12. illos loquentes de claudi sanatione: *Viri Israelitæ quid nobis intenditis quasi nostra potestate nostrâve pietate effecerimus, ut hic*
Iosr. 14. 14. *ambulet?* Rursus alibi: *Et nos homines sumus iisdem obnoxii, quibus vos.* Illic verò multus est tumor, multa arrogantia, omnia propter honorem humanum, nihil Philosophiæ gratia. Ubi quid enim gloriæ causa geritur, omnia manent vilia. Quòd si quis habeat quidem omnia, sed hoc non obtineat, tota excidit Philosophia, violentissimo nimirum turpissimoque affectui obnoxius. Hujus inanis gloriæ contemptus sufficit ad docendum quicquid est rerum bonarum, & ad propellendum ex animo omnem perniciosam cupiditatem. Quapropter hortor ut & vos magno studio adnitamini, morbum hunc radicitus ex animis evellere, alioqui non potestis placere Deo, nec illius oculi qui nescit obdormiscere, benevolentiam vobis conciliare. Omnem igitur curam adhibeamus, ut illius in nos propensionem promereamur, quo simul & præsentium malorum afflictionem effugiamus, & futuri seculi bono digni inveniamur, per gratiam & benignitatem Domini nostri Jesu Christi, cui cum Patre & Spiritu sancto, gloria, imperium, honor nunc, & semper, & in secula seculorum, Amen.

Hactenus D. Erasmus Roterodamus.

CAP. II.

HOMILIA V.

Viri Judæi & qui inhabitatis Hierusalem omnes, hoc vobis notum esto, & auribus accipite verba nostra.

Quos superius peregrinos dixit, ad illos sermonem hîc convertit. Et videtur quidem disputare cum illis, verùm re ipsa emendat subsannantes. Ita enim divina dispensatione evenit, ut quidam irriderent, & sic initio excusationis daretur occasio, doceretque Apostolus inter excusandum. Magnum sanè encomium arbitrabantur, etiam Hierosolymis inhabitare. *Hoc vobis*, inquit, *notum esto, & auribus accipite verba mea.* Attentiores jam illos facit, deinde & satisfactionem profert. *Non enim sicut vos existimatis, hi ebrii sunt.* Vides quam placida sit excusatio? tametsi multum apud se haberet populum, majore tamen cum mansuetudine illis loquitur, & ante omnia, malam suspicionem tollit, & deinde Apologiam proponit. Idcirco etiam non dixit: Non enim sicut vos subsannatis, neque sicut vos ridetis, sed *sicut suspicamini*: volens ostendere illos id non dedita opera fecisse, & magis illos ignorantiæ velamento honestat, quã malitiæ crimine notat. *Nõ enim sicut vos suspicamini, hi ebrii sunt. Est enim hora diei tertia.* Et quare hoc dicit, an non & tertia hora inebriari quidam possunt? possunt utiq;. At in hoc non multũ laborabat, neq; ita se gerebãt, quemadmodũ irrisores illi dicebant.

A μηδὲν ἐντιμότερον τῶν ἀλόγων τὸ ἡμέτερον δεῖξαι γένος· ὅπου γέ τινες εἰς τοῦτο κενοδοξίας ἦλθον, ὡς εἰπεῖν ὅτι καὶ τὰ ἄλογα λογικὰ τυγχάνει. καὶ ὅρα πῶς ποικίλως ἐξεβάκχευσεν ἐν ταῖς ἐκείνων ψυχαῖς. οἱ μὲν γὰρ κορυφαῖοι αὐτῶν ἔφησαν τὴν ἡμετέραν ψυχὴν εἰς μυίας, καὶ κύνας, καὶ ἄλογα μεθίστασθαι· οἱ δὲ μετ' ἐκείνους τοῦτο αἰσχυνθέντες, εἰς ἑτέραν αἰσχύνην κατέπεσον, πάσης λογικῆς ἐπιστήμης μεταδόντες τοῖς ἀλόγοις, καὶ πανταχοῦ δείξαντες ἡμῶν τὰ B δι' ἡμᾶς γενόμενα ἐντιμότερα. οὐ τοῦτο δὲ μόνον, ἀλλὰ καὶ προγνώσεις εἶναι παρ' αὐτοῖς, καὶ εὐσέβειαν εἶναι λέγουσιν. ὁ κόραξ, φησίν, οἶδε τὸν Θεόν, καὶ ἡ κορώνη, καὶ προφητείας ἔχουσι χαρίσματα, καὶ τὰ μέλλοντα προλέγουσι, καὶ δικαιοσύνη παρ' αὐτοῖς, καὶ πολιτεία, καὶ νόμοι, καὶ ζηλοῖ παρ' αὐτοῖς ὁ κύων κατὰ Πλάτωνα. τάχα ἀπιστεῖτε τοῖς λεγομένοις; εἰκότως, ἅτε τοῖς ὑγιέσιν ἐντεθραμμένοι δόγμασιν· ἐπεὶ καὶ εἴ τις τραφείη ταύτῃ τῇ τροφῇ, ἀπιστήσειεν ἄν, ὅτι C ἐστὶν ἄνθρωπος κόπρου γεμόμενος ἡδέως. ὅταν οὖν λέγωμεν αὐτοῖς, ὅτι μῦθοι ταῦτα καὶ ἀνοίας μεστά, οὐκ ἐνοήσατέ φασι. μηδὲ νοήσωμέν ποτε τὸν τοιοῦτον ὑμῶν γέλωτα. σφόδρα γε. οὐ γὰρ φρενὸς βαθείας δεῖ, ἵνα μάθωμεν τί βούλεται ἡ τοσαύτη ἀσέβεια καὶ σύγχυσις. μὴ κορακιστὶ φθέγγεσθε, ὦ ἀνόητοι, καθάπερ τὰ παιδία; παῖδες γὰρ ὄντως ἐστέ, καθάπερ ἐκεῖνα. ἀλλὰ Πέτρος οὐδὲν τοιοῦτον ἔφησεν· ἀλλ' ἀφῆκε φωνήν· καὶ καθάπερ ἐν σκότῳ τινὶ φῶς D ἀπολάμψασαν μέγα, τὴν ἀχλὺν διεσκέδασε τῆς οἰκουμένης. ἀλλὰ τὸ ἦθος αὐτοῦ πῶς ἥμερον ἦν; πῶς ἐπιεικές; πῶς πάσης ἀνώτερον δόξης ἵστατο κενῆς; πῶς εἰς τὸν οὐρανὸν ἑώρα ἄτυφος ὤν; καὶ ταῦτα νεκροὺς ἀνιστῶν. εἰ δὲ ἐξεγένετο ἐκείνων τινὶ τῶν ἀνοήτων, φαντασίᾳ γοῦν τοιοῦτόν τι ἐργάζεσθαι, οὐκ ἂν εὐθέως βωμὸν ἐζήτησε καὶ ναόν, καὶ ἰσόθεός τις εἶναι ἠθέλησεν; ὅπου γε οὐδὲ ὅλως τούτων ὄντες τοιαῦτα φαντάζονται ἀεί. τί βούλεται αὐτοῖς Ἀθηνᾶ, καὶ Ἀπόλλων, καὶ Ἥρα; γένη παρ' αὐτοῖς ἐστι δαιμόνων. καὶ βασιλεύς ἐστι παρ' αὐτοῖς διὰ τοῦτο E ἀξιῶν ἀποθανεῖν, ἵνα ἰσόθεος νομίζοιτο. ἀλλ' οὐχ οὗτοι οὕτως· ἀλλὰ τοὐναντίον. ἄκουε γὰρ αὐτῶν λεγόντων ἐπὶ τῆς θεραπείας τοῦ χωλοῦ· ἄνδρες Ἰσραηλῖται, τί ἡμῖν προσέχετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; " καί, ἡμεῖς ὁμοιοπαθεῖς " ὑμῖν ἐσμεν ἄνθρωποι. ἐκεῖ δὲ πολὺς ὁ τῦφος, πολλὴ ἡ ἀλαζονεία· πάντα διὰ τὰς παρὰ τῶν ἀνθρώπων τιμάς, οὐδὲν φιλοσοφίας ἕνεκεν. ὅταν γάρ τι διὰ δόξαν γίνηται, πάντα μένουσιν εὐτελῆ. A κἂν γὰρ πάντα τις ἔχῃ· τούτου δὲ μὴ κρατῇ, πάσης φιλοσοφίας ἐξέπεσε, τῷ τυραννικωτέρῳ κατεχόμενος, καὶ αἰσχροτέρῳ πάθει. ταύτης ἡ ὑπεροψία πάντα διδάξαι τὰ ἀγαθὰ ἱκανή, καὶ τῆς ψυχῆς ἐξορίσαι πᾶν πάθος ἀνελεύθερον. διὸ παραινῶ καὶ ὑμῖν πολλὴν ποιεῖσθαι τὴν σπουδήν, ὥστε τοῦτο τὸ πάθος πρόρριζον ἐξελεῖν. οὐ γάρ ἐστιν ἄλλως εὐδοκιμῆσαι παρὰ τῷ Θεῷ, καὶ τὴν παρὰ τοῦ ἀκοιμήτου [ἐκείνου] ὀφθαλμοῦ εὔνοιαν ἐπισπάσασθαι. οὐκοῦν πᾶσαν σπουδὴν B ποιώμεθα, ὥστε τῆς ἐκεῖθεν ἡμᾶς ῥοπῆς ἀπολαύειν, ἵνα καὶ τῶν παρόντων λυπηρῶν διαφύγωμεν τὴν πεῖραν, καὶ τῶν μελλόντων ἀγαθῶν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ έ.

C Ἄνδρες Ἰουδαῖοι καὶ οἱ κατοικοῦντες Ἱερουσαλὴμ ἅπαντες, τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου.

Οὓς ξένους εἶπεν ἀνωτέρω, ἐνταῦθα πρὸς ἐκείνους ἀποτείνει τὸν λόγον. καὶ δοκεῖ μὲν ἐκείνοις διαλέγεσθαι, ὀρθοῖ δὲ τοὺς διαχλευάζοντας. καὶ γὰρ ᾠκονομήθη τινὰς διαχλευάσαι, ἵνα δὴ ἀρχὴν τῆς ἀπολογίας λάβῃ, καὶ ἀπολογούμενος διδάξῃ. μέγα ἄρα D ἐγκώμιον ἡγοῦντο, καὶ τὸ ἐν Ἱεροσολύμοις οἰκεῖν. τοῦτο ὑμῖν, φησι, " γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. προσεκτικωτέρους " τέως αὐτοὺς ποιεῖ. [εἶτα καὶ ἀπολογεῖται.] οὐ γὰρ ὡς ὑμεῖς ὑπο- " λαμβάνετε οὗτοι μεθύουσιν. ὁρᾷς τὴν ἀπολογίαν πῶς προσηνής; καί τοι τὸ πλέον ἔχων τοῦ δήμου μεθ' ἑαυτοῦ, ἐπιεικέστερον ὅμως αὐτοῖς διαλέγεται. καὶ πρότερον ἀναιρεῖ τὴν ὑποψίαν τὴν πονηράν. καὶ τότε ἐκείνην ἵστησι. [διὸ καὶ] οὐκ εἶπεν, οὐ γὰρ ὡς ὑμεῖς χλευάζετε, οὔτε ὡς ὑμεῖς γελᾶτε, ἀλλ' ὡς ὑπολαμβάνετε, βουλόμενος E οὐκ ἐπίτηδες τοῦτο λέγοντας δεῖξαι, καὶ τέως αὐτοῖς περιθεῖναι ἀγνοίας μᾶλλον, ἢ κακουργίας ἔγκλημα. οὐ γὰρ ὡς ὑμεῖς ὑπολαμβάνετε οὗτοι μεθύουσιν. ἔστι γὰρ ὥρα τρίτη τῆς ἡμέρας. " καὶ τί [φησι] τοῦτο; οὐκ ἔνι καὶ ἐν τῇ τρίτῃ ὥρᾳ μεθύειν; " [ἔνι.] ἀλλ' οὐκ ἔστη πρὸς τοῦτο ἐπὶ πολύ. οὐδὲ γὰρ οὕτως εἶχον, ὡς διαχλευάζοντες αὐτοὶ ἔλεγον. [οὐκοῦν] ἐντεῦθεν μανθάνομεν

[οὐκοῦν] ἐντεῦθεν μανθάνομεν ὅτι πρὸς τὰ μὴ ἀναγκαῖα, οὐ δεῖ πολλὴν ἀναλίσκειν λόγον. ἄλλως δὲ καὶ τὰ ἐπαγόμενα τούτου ἐστὶ συστατικά, [καὶ] λοιπὸν κοινῇ πρὸς πάντας ὁ λόγος γίνεται. ἀλλὰ τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ· καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις λέγει Κύριος ὁ Θεός. οὐδαμοῦ τέως ὄνομα τοῦ Χριστοῦ, οὐδὲ ἡ ἐπαγγελία αὐτοῦ ἐπαγγελία, ἀλλὰ τοῦ πατρός. ὅρα σύνεσιν. οὐ παρῆλθε καὶ εἶπεν εὐθέως τὰ κατὰ τὸν Χριστόν, οὐδ' ὅτι ἐκεῖνος ἐπηγγείλατο ταῦτα μετὰ τὸ σταυρωθῆναι. ἦ γὰρ ἂν πάντα ἀνέτρεψεν οὕτως εἰπών. καὶ μὴν ἱκανὰ ἦν δεῖξαι αὐτοῦ φησι τὴν θεότητα, ἀλλὰ πιστευόμενα· τὸ δὲ ζητούμενον τέως πιστευθῆναι ἦν· μὴ πιστευόμενα δὲ, καὶ καταγελασθῆναι αὐτοὺς ἂν ἐποίησεν. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. δίδωσι καὶ αὐτοῖς ἐλπίδας χρηστὰς εἴγε θέλοιεν. καὶ οὐκ ἀφίησιν αὐτοῖς εἶναι τὸ πλεονέκτημα ὅπερ καὶ βασκανίαν ἐποίει, [καὶ] ταύτῃ τὸν φθόνον ὑποτεμνόμενος. καὶ προφητεύσουσί φησιν, οἱ υἱοὶ ὑμῶν. οὔτε ὑμῶν φησι κατ' ἔθνος τοῦτο, [οὔτε μὴν ἐγκαλῶν.] εἰς τὰ παιδία τὰ ὑμέτερα δίεισιν ἡ χάρις· αὐτοὺς υἱοὺς ἑαυτοὺς καλῶν καὶ πατέρας ἐκείνους. καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. καί γε ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου ἐν ταῖς ἡμέραις ἐκείναις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου καὶ προφητεύσουσι. τέως δείκνυσιν αὐτοὺς εὐδοκιμηκότας, [πνεύματος] ἅτε καταξιωθέντας, ἐκείνους δὲ οὐχὶ, ἅτε σταυρώσαντας. οὕτω καὶ ὁ Χριστὸς βουλόμενος αὐτῶν μαλάξαι τὸν θυμὸν ἔλεγεν· οἱ δὲ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσι τὰ δαιμόνια; οὐκ εἶπεν, οἱ μαθηταί μου· καὶ γὰρ ἐδόκει κολακεία εἶναι. οὕτω καὶ αὐτὸς οὐκ εἶπεν ὅτι οὐ μεθύουσιν, ἀλλὰ πνεύματι φθέγγονται· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐπὶ τὸν προφήτην κατέφυγε, καὶ αὐτὸν ὑπόδικον ἰσχυρίζεται. οὕτω τῆς μὲν κατηγορίας αὐτοὺς ἀπήλλαξε δι' ἑαυτοῦ, τῆς δὲ χάριτος ἐκεῖνον παρήγαγε μάρτυρα. ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα. [οὕτως εἶπεν, ὅτι] τοῖς μὲν δι' ὀνείρων τοῖς δὲ καὶ ἐμφανῶς ἡ χάρις ἐξεχεῖτο. καὶ γὰρ καὶ δι' ὀνείρων εἶδον οἱ προφῆται, καὶ ἀποκαλύψεις ἐδέξαντο. εἶτα ἐπεξέρχεται τῇ προφητείᾳ ἐχούσῃ τι καὶ φοβερόν. καὶ δώσω, φησί, τέρατα ἐν τῷ οὐρανῷ ἄνω καὶ σημεῖα ἐπὶ τῆς γῆς κάτω. ταῦτα καὶ περὶ τῆς μελλούσης κρίσεως καὶ περὶ τῆς Ἱεροσολύμων τῆς ἁλώσεως λέγων αἰνίττεται. αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ. ὅρα πῶς τὴν ἅλωσιν ὑπέγραψεν. ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα. ἀπὸ τῆς διαθέσεως τῶν πασχόντων τοῦτο εἴρηκε. λέγεται δ' οὖν ὅμως καὶ πολλὰ τοιαῦτα γεγενῆσθαι ἐν οὐρανῷ, καθὼς Ἰώσηππος μαρτυρεῖ. ἅμα δὲ αὐτοὺς καὶ ἐξέπληξε, τοῦ σκότους ἀναμνήσας τοῦ γεγενημένου, καὶ ποιεῖ προσδοκᾶν τὰ μέλλοντα. πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου τὴν μεγάλην καὶ ἐπιφανῆ. μὴ γὰρ ὅτι ἀτιμωρητὶ νῦν ἁμαρτάνετε, φησί, θαρσήσητε. ταῦτα δὴ προοίμιά ἐστι μεγάλης τινὸς ἡμέρας καὶ χαλεπῆς. ὁρᾷς πῶς αὐτῶν κατέσεισε τὴν ψυχὴν καὶ διεσάλευσε, καὶ τὸν γέλωτα μετέστρεψεν εἰς ἀπολογίαν; εἰ γὰρ ταῦτα προοίμια τῆς ἡμέρας ἐκείνης, ἀνάγκη περὶ τῶν ἐσχάτων τὸν κίνδυνον ἐπιτετάσθαι. τί δαὶ μάλα λέγων τὰ φοβερὰ ἐπιμένει; οὐδαμῶς· ἀλλὰ τί; πάλιν δίδωσιν αὐτοῖς ἀναπνεῦσαι, καί φησι· καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. τοῦτο εἴρηται μὲν περὶ τοῦ Χριστοῦ καθὼς Παῦλος λέγει· οὗτος δὲ οὐ τολμᾷ σαφῶς αὐτὸν ἀποκαλύψαι. ἴδωμεν τίνα ἄνωθεν τὰ εἰρημένα. καλῶς ὡς πρὸς γελῶντας καὶ χλευάζοντας καθίσταται λέγων· γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. ἀρχόμενος δὲ ἔλεγεν· ἄνδρες Ἰουδαῖοι. Ἰουδαίους ἐμοὶ δοκεῖ λέγειν, τοὺς τὴν Ἰουδαίαν κατοικοῦντας. καὶ εἰ βούλει παραθώμεθα τὰ ῥήματα ἐκεῖνα τὰ ἐν τῷ εὐαγγελίῳ, ἵνα μάθῃς τίς ἐξαίφνης γέγονεν ὁ Πέτρος. ἐξῆλθε, φησί, κόρη λέγουσα, καὶ σὺ ἦσθα μετὰ Ἰησοῦ τοῦ Ναζωραίου; ὁ δὲ, οὐκ οἶδα τὸν ἄνθρωπον ἀπεκρίνατο. καὶ πάλιν ἐπερωτηθεὶς, ἤρξατο καταναθεματίζειν καὶ ὀμνύναι. ἀλλ' ὅρα ἐνταῦθα αὐτοῦ τὴν παρρησίαν καὶ τὴν πολλὴν ἐλευθεροστομίαν. οὐκ ἐπῄνεσε τοὺς εἰπόντας, οἷα ἀκούομεν λαλούντων αὐτῶν ταῖς ἡμετέραις γλώσσαις τὰ μεγαλεῖα τοῦ Θεοῦ, ἀλλὰ [καὶ βαρεῖ,] τῇ πρὸς ἐκείνους βαρύτητι καὶ τούτους σπουδαιοτέρους ποιῆσαι βουλόμενος, καὶ κολακείας τὸν λόγον ἀπηλλαγμένον ἀποδεῖξαι· πανταχοῦ γὰρ τοῦτο παρατηρεῖν καλὸν καὶ πῶς ἐν τάξει συγκαταβάσεως πάσης κολακείας ὁ λόγος ἀπήλλακται, καὶ πάσης ὕβρεως, ὅπερ δύσκολον. τὸ δὲ καὶ ἐν τρίτῃ ὥρᾳ ταῦτα γενέσθαι, οὐχ ἁπλῶς ᾠκονόμηται. τότε γὰρ τὸ λαμπρὸν τοῦ φωτὸς δείκνυται, τότε οὐ περὶ ἔργα ἔχουσιν οἱ ἄνθρωποι τὰ περὶ ἄριστον· τότε φαιδρὰ ἡ ἡμέρα· τότε πάντες εἰσὶν ἐπ' ἀγορᾶς. ὁρᾷς [καὶ] ἐλευθερίας τὸν λόγον γέμοντα; καὶ ἐνωτίσασθε τὰ ῥήματά μου. τοῦτο εἰπὼν, οὐδὲν προσέθηκεν, ἀλλ' ἐπήγαγε· τοῦτό ἐστι τὸ εἰρημένον διὰ τοῦ προφήτου Ἰωήλ, καὶ ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις.

Igitur hinc discimus, non multos sermones præter necessitatem insumendos. Et aliter: nam & quæ adjunguntur, hujus nobis commendationem faciunt. Cæterum sermo ad omnes fit communiter. Sed hoc est quod dictum est per prophetam Joël: *Et erit in diebus novissimis, dicit Dominus Deus.* Joel. 2,28. Minimè nunc auditur nomen Christi, neque promissio, illius promissio dicitur, sed patris. Vide sapientiam, non progressus est, & dixit statim, quæ per Christum facta, & quod ille promiserit hæc mox post suam crucifixionem: nónne sic loquens subvertisset omnia? Et profectò dixerit quispiam, sufficiebant illa ad divinitatem ejus ostendendam: verum est, si fidem habuissent, & credita ab his essent. Quod autem quærebatur, jam creditum esse oportebat. Quæ autem non credenda, etiam illos fecit præterire. *Effundam de spiritu meo super omnem carnem.* Daret & illis spem bonam, si quidem vellent. Sed non permittebat illorum avaritia, quæ scilicet & invidiæ parens erat. Etiam hac ratione invidiam minuit. *Et prophetabunt*, inquit, *filii vestri.* Neque vestra, inquit, est hæc virtus, neque laus: pertingit hæc gratia usque ad puellos. Illorum filios seipsos vocans, & patres illos. *Et juvenes vestri visiones videbunt, & seniores vestri insomnia somniabunt. Et quidem super servos meos & ancillas meas in diebus illis effundam de spiritu meo, & prophetabunt.* Nunc ostendit se quidem probatos fuisse, utpote spiritum assequutos, illos autem minimè, eo quod crucifixerant. Sic & Christus volens illorum mulcere furorem, dicebat: *Si autem filii vestri, in quo ejiciunt dæmonia*: non dixit, discipuli mei. Mat 12,27. Etenim visum fuisset adulationem sapere, ita & ille non dixit quod non sint ebrii, sed spiritu loquuntur: & non simpliciter, sed ad prophetam confugit, & illo fretus asserit. Sic per se quidem ipsos ab accusatione liberavit, prophetam autem gratiæ testem adducit. *Effundam de spiritu meo super omnem carnem.* Sic dixit quod aliis quidem per somnia aliis verò manifestè effusa est gratia. Nam & per somnia viderunt prophetæ, & revelationes acceperunt. Deinde progreditur in prophetia habente terribile quiddam. *Dabo*, inquit, *prodigia in cælo supernè, & signa in terra infernè.* Hæc & de futuro judicio & de captivitate Hierusalem dicens insinuat: *Sanguinem & ignem, & vaporem fumi.* Vide quomodo captivitatem descripsit. *Sol convertetur in tenebras, & luna in sanguinem.* Ab affectione eorum qui patiebantur hoc dixit. Dicuntur sanè & multa id genus in cælo, sicut Josephus testatur, facta esse. Interim tamen & illos perstrinxit, tenebras commemorans factas, & ad futurorum expectationem inducens. *Priusquam veniat dies Domini magnus & manifestus.* Non enim quoniam nunc sine pœna peccatis, inquit, confidatis. Hæc sanè initia sunt magnæ diei cujusdam, & gravissimæ. Vides quomodo concussit animum, & risum convertit in defensionem? Si enim hæc sunt initia diei illius, necessarium est periculum in extremis valde aggravari. Jam nunquid dicens terribilia in illis perseverat? minimè. Sed quid agit? iterum permittit illis respirare, ac dicit: *Et erit, omnis quicunque invocaverit nomen Domini, salvus erit.* Rom. 10, 13. Hoc dictum quidem est de Christo, sicut Paulus dicit. Iste autem hic non audet manifestè illum revelare. Videamus igitur quæ iterum dicta sint. Bene quasi contra ridentes ac subsannantes insurgit, dicens: *Notum sit omnibus vobis, & auribus accipite verba mea.* Incipiens autem dicebat: *Viri Judæi.* *Judæos* mihi videtur dicere eos qui Judæam inhabitabant. Ad hæc si placet apponamus verba illa in Evangelio, ut discas quis repentè factus sit Petrus. *Exiit*, inquit, *puella, dicens: Et tu eras cum Jesu Nazareno. Ille autem respondit: Nescio hominem. Et iterum interrogatus cœpit devovere ac jurare.* Mat. 26,70. Hîc verò vide libertatem illius in dicendo, magnámque fiduciam. Non laudavit eos qui dixerant, *Audivimus loquentes illos nostris linguis magnalia Dei.* Sed gravitate quadam insinuat, eáque gravitate illos studiosiores efficere, & sermonem ab adulatione alienum offerre vult. Honestum est enim ut hoc ubique observetur, & ut quodammodo familiarior eis sit sermo, ab omni adulatione & contumelia fiat liber, id quod perquam difficile est. Et tertia hora hæc evenisse, non simpliciter ordinatum est. Tunc non curiosius prandii curam habent homines, tunc clara lux est, tunc omnes sunt in foro. Vides & libertate plenum sermonem: *Et auribus accipite verba mea.* Quo dicto, nihil suum addidit, sed apposuit: *Hoc est quod dictum per prophetam Joelem? Et erit in diebus novissimis.*

Ostendit enim posteà consummationem propè affuturam. Ita
dicens *in novissimis diebus*, habet quandam evidentiam.
Deinde ne putetur quod res hæc ad solos filios pertineat,
adjicit : *Et seniores vestri somnia somniabunt.* Vide ordi-
nem, dicentem, prius filii, sicut & David inquit : *Pro*
Psa. 44. *patribus tuis nati sunt filii tui* Et Malachias iterum : *Con-*
Mal. 4,6. *vertens corda patrum ad filios. Et super servos meos, & super*
ancillas meas. Et hoc virtutis indicium est. Servi enim illius
facti, liberi sumus facti à peccato. Multiplex autem & hoc
donum, quando etiam in alium sexum transit gratiæ donum
& non in muliere una & altera sola subsistit, ut olim in Deb-
bora & Olda. Et non dixit quid sit Spiritus sanctus, neque
interpretatus est ea quæ propheta dixit, sed solam prophe-
tiam attulit per seipsam certantem. Et nihil de Juda jam lo-
quitur, quoniam omnibus erat manifestum, qualem dedit
pœnam, sed silet, sciens nihil fortius iis propheticis po-
tuisse objici. Ea enim etiam operibus ipsis validiora sunt.
Signa enim facienti Christo sæpius contradixerunt. Quando
Matt. 22, autem Christus prophetam illis opposuit dicentem : *Dixit*
44. *Dominus Domino meo, sede à dextris meis* : ita siluerunt,
ut ne verbum quidem ultrà quisquam ei respondere auderet.
Et sæpius scripturarum & ipse meminit, dicens : *Si illos*
Joh. 10, 35. *Deos dixit, ad quos verbum Dei factum est*, imò ubique hoc
quis invenerit : idcirco & hîc dixit : *Effundam de*
Spiritu meo super omnem carnem : hoc, est, gentes. Cæ-
terum nunquam revelat, neque interpretatur, neque quod
mox sequitur ad explanandum conferebat, quoniam & hoc
obscurum. *Dabo prodigia in cœlo supernè.* Imò illos terre-
bat obscuritas. Si autem interpretatus esset, magis illis obsti-
tisset. Posteà etiam quasi manifestum præterit talem volens
dare opinionem. Denique post hæc interpretatur illis, quan-
do cum illis de resurrectione disputat, sermonique viam an-
teà fecit. Propter hoc autem sponte præterit, quoniam ad
conciliandos illos, bona non sufficiebant, tametsi hoc nun-
quam factum, nunc autem fideles dispersi sunt sub Vespa-
Matt. 24, 22. siano. Et hoc est quod dicit : *Nisi abbreviati fuissent dies illi,*
non servata esset omnis caro. Quod molestius erat, primum
contigit. Initio enim accidit, inhabitatores capi, & civita-
tem subverti accendique. Deinde insistit metaphoræ, anteau-
ditorum oculos ponens urbis subversionem ac captivitatem.
Sol convertetur in tenebras, & luna in sanguinem. Videtur
mihi per hoc maximam cædem dicere, & valde anxium ser-
monem complere. *Et erit, quicunque invocaverit nomen*
Domini, servabitur. Dixit & nondum revelat, sive servus
Gal. 3, 28. sit, inquit, sive liber. *Non enim est mas vel fœmina in Jesu*
Christo, neque servus, neque liber. Merito Hoc enim
discrimen hic est, ubi omnia umbra sunt. Nam si in regum
aulis nullus nobilis est vel ignobilis, sed sua quemque opera
insignem reddunt, & opus commendat artificem, multò
magis in hoc ordine. *Quicunque invocaverit*, invocave-
Matt. 7, 21. rit, inquam, non simpliciter : *Non enim omnis*, inquit,
dicens mihi, Domine Domine, intrabit in regnum, sed
qui loquitur cum affectione, cum vita optima, cum fiducia
congrua. Jam minus molestum facit sermonem, de fide
agens, & minus terribilem, supplicii gravitatem abscon-
dens. Quomodo ? ostendit quod in invocatione salus.
Quid dicis, refer mihi, salutis post crucem memor es?
Attende nunc. Multa enim misericordia Dei est, & hoc
non minus ostendit illum esse Deum, quam resurrectio, &
non minus signi est illos invocare : hoc enim valde bonum
Luc. 18, 19 est, hoc Deo maximè peculiare : propter hoc & dicit : *Nul-*
lus bonus nisi unus Deus. Sed ne bonitatem in desidiæ occa-
sionem arripiamus. Etenim etiam punit sicut Deus. Illa
certè ipse, qui dixit: *Quicunque invocaverit nomen Domini,*
servabitur, fecit. De excidio Hierosolymitano loquor, &
gravissimo illo supplicio, de quo nunc pauca vobis narrare
statui, profutura vobis etiam contra Marcionistas, & mul-
tos alios hæreticos. Quoniam enim dicunt bonum Deum
Christum, illum autem malum, videamus quis hæc fece-
rit. Quis igitur hæc fecit, malus ne illum ulciscens ? mi-
nimè. Quomodo igitur alienus ab illo ? nunquid autem
bonus ? Cæterum ostenditur & pater & filius fecisse, pa-
ter quidem multis in locis, sicut quando dicitur. *In vineam*
Matt. 20, 6. *mittere exercitus suos.* Filius verò quando dicit : *Inimicos meos*
Luc. 19, 27. *adducite & occidite coram me, eos qui me noluerunt esse sup. eorum*
regem. Et aliter : Etiam ipse dicit tribulationes futuras, quarum
nulla unquam crudelior fuit facta : Et ipse illas annunciavit.
Vis igitur audire quæ facta ? Verubus illos transfixerunt:
quid hoc spectaculo gravius ? Jam verò narrabo ne mulie-
cis illam tragœdiam, quæ omnem aliam calamitatem obscurat?

A δείκνυσι [γὰρ] λοιπὸν τὴν συντέλειαν ἐσομένην ἐγγύς. οὕτω γὰρ ἐν ταῖς ἐσχάταις ἡμέραις ἔχει τινὰ ἔμφασιν. εἶτα ἵνα μὴ δόξῃ εἰς τοὺς υἱοὺς πεσεῖσθαι μόνον τὸ πρᾶγμα, ἐπάγει· καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται. ὅρα τὴν ἀκολουθίαν. πρότερον υἱοί· καθὼς καὶ ὁ Δαβὶδ φησιν· ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν οἱ υἱοί σου. καὶ ὁ Μαλαχίας πάλιν· ἐπιστρέψας καρδίας πατέρων ἐπὶ τέκνα. καὶ ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου. καὶ τοῦτο ἀρετῆς τεκμήριον. δοῦ-
B λοι γὰρ αὐτοῦ γεγενημένοι ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας. πολλὴ δὲ καὶ ἡ δωρεά, ὅταν καὶ ἐπὶ τὸ ἕτερον γένος μεταβαίνῃ τὸ χάρισμα, καὶ οὐχὶ πρὸς μίαν καὶ δευτέραν πράσσῃ ὥσπερ τὸ παλαιόν, εἰς Δεββώραν καὶ Ὀλδάν. καὶ οὐκ εἶπεν ὅτι πνεῦμά ἐστιν ἅγιον· οὐδὲ ἡρμήνευσε τὰ τοῦ προφήτου· ἀλλὰ τὴν προφητείαν μόνην εἰσήγαγε καθ᾽ ἑαυτὴν ἀγωνιζομένην. καὶ οὐδὲν περὶ Ἰούδα τέως φθέγγεται, ἐπειδὴ τοῖς πᾶσιν ἦν δῆλον οἵαν ἔδωκε δίκην, ἀλλὰ σιγᾷ, εἰδὼς οὐδὲν ὂν ἰσχυρότερον
C τοῦ ἀπὸ προφητείας αὐτοῖς διαλέγεσθαι. τοῦτο καὶ τῶν πραγμάτων αὐτῶν ἰσχυρότερον. σημεῖα γὰρ ποιοῦντος τοῦ Χριστοῦ, πολλάκις ἀντέλεγον· ὅτε δὲ τὸν προφήτην παρήγαγεν αὐτοῖς ὁ Χριστὸς λέγοντα· εἶπεν ὁ Κύριος τῷ κυρίῳ μου κάθου ἐκ δεξιῶν μου, ἐσίγησαν οὕτως, ὡς μηδένα λοιπὸν ἰσχῦσαι ἀποκριθῆναι αὐτῷ λόγον. καὶ πολλαχοῦ τῶν γραφῶν καὶ αὐτὸς μέμνηται λέγων· εἰ ἐκείνους θεοὺς εἶπε, πρὸς οὓς ὁ λόγος τοῦ Θεοῦ ἐγένετο. μᾶλλον δὲ πανταχοῦ τοῦτο εὕροι τις ἄν. διὰ
D τοῦτο καὶ ἐνταῦθά φησιν· ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· τουτέστι, τὰ ἔθνη. ἀλλ᾽ οὐδέπω ἀποκαλύπτει οὐδὲ ἑρμηνεύει. οὐδὲ γὰρ συνέφερεν· ἐπεὶ καὶ τοῦτο ἀσαφές. δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω. μᾶλλον γὰρ αὐτοὺς ἐφόβει ἀσαφὲς ὄν. εἰ δὲ ἡρμήνευσε, μᾶλλον ἂν αὐτοῖς [καὶ] προσέστη. εἶτα καὶ ὡς δῆλον παρίησι, τοιαύτην βουλόμενος δόξαν δέξασθαι. ἀμέλει γοῦν μετὰ ταῦτα αὐτοῖς ἑρμηνεύει, ὅτε περὶ τῆς ἀναστάσεως αὐτοῖς διαλέγεται· ὅτε προωδοποίησε τῷ
E λόγῳ. διὰ τοῦτο ἑκὼν [δὲ] παρίησιν. ἐπειδὴ οὐκ ἤρκει τὰ ἀγαθὰ ἐπισπάσασθαι· καί τοι τοῦτο οὐδέποτε γέγονεν. οὐδεὶς γὰρ τότε διέφυγε· νυνὶ δὲ οἱ πιστοὶ διέφυγον ἐπὶ Οὐεσπασιανοῦ. καὶ τοῦτό ἐστιν ὃ λέγει, εἰ μὴ ἐκολοβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ. τὸ χαλεπώτερον πρότερον γέγονε. πρῶτον γὰρ συνέβη τοὺς κατοικοῦντας ἁλῶναι, καὶ τότε τὴν πόλιν κατασκαφῆναι καὶ ἐμπρησθῆναι. εἶτα ἐπιμένει τῇ μεταφορᾷ, εἰς ὄψιν ἄγων τῶν ἀκροατῶν
A τὴν κατασκαφὴν καὶ τὴν ἅλωσιν. ὁ ἥλιος μεταστραφήσεται εἰς σκότος, καὶ ἡ σελήνη εἰς αἷμα. δοκεῖ μοι διὰ τούτου τὴν ὑπερβολὴν λέγειν τῆς σφαγῆς, [καὶ] πολλῆς ἀπορίας ἐπιτήδεις τὸν λόγον ἐμπιπλᾶν. καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. εἶπε, καὶ οὐδέπω ἀποκαλύπτει, κἂν δοῦλος ᾖ, φησι, κἂν ἐλεύθερος. οὐκ ἄρσεν γὰρ οὐ θῆλυ ἐν Χριστῷ Ἰησοῦ, οὐ δοῦλος, οὐκ ἐλεύθερος. εἰκότως. ταῦτα γὰρ ἐνταῦθα, ἔνθα πάντα σκιά. εἰ γὰρ ἐν βασιλείοις
B οὐδεὶς εὐγενής, οὐδὲ δυσγενής, ἀλλὰ ἀπὸ τῶν ἔργων ἕκαστος φαίνεται, καὶ ἐν τέχνῃ ἀπὸ τοῦ ἔργου ἕκαστος δείκνυται· πολλῷ μᾶλλον ἐν ἐκείνῃ τῇ καταστάσει. πᾶς ὃς ἂν ἐπικαλέσηται. ἐπικαλέσηται, οὐχ ἁπλῶς· οὐ γὰρ πᾶς, φησίν, ὁ λέγων μοι, Κύριε Κύριε· ἀλλὰ μετὰ διαθέσεως, μετὰ βίου ἀρίστου, μετὰ παρρησίας τῆς προσηκούσης. τέως ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, τὸ τῆς πίστεως εἰσάγων καὶ [οὐ] φοβερὸν [κρύπτων] τὸ τῆς κολάσεως. πῶς; δεικνὺς ὅτι ἐν ἐπικλήσει ἡ σωτη-
C ρία. τί λέγεις. εἰπέ μοι, σωτηρίας μέμνησαι μετὰ σταυρόν; ἀνάσχου τέως· πολλὴ γὰρ ἡ φιλανθρωπία τοῦ Θεοῦ. καὶ τοῦτο οὐχ ἧττον τῆς ἀναστάσεως αὐτὸν δείκνυσι Θεὸν καὶ τῶν σημείων, τὸ τούτους προσκαλεῖσθαι. τὸ γὰρ σφόδρα ἀγαθόν, τοῦτο Θεοῦ μάλιστα ἴδιον. διὰ τοῦτο καὶ λέγει· οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός. ἀλλὰ μὴ τὴν ἀγαθότητα εἰς ἀφορμὴν ῥᾳθυμίας λάβωμεν. καὶ γὰρ καὶ κολάζει καθάπερ Θεός. αὐτὰ γοῦν ταῦτα αὐτὸς εἰργάσατο ὁ εἰπών, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα
D Κυρίου σωθήσεται· τὰ κατὰ τὴν Ἱερουσαλὴμ λέγω, τὴν ἀφόρητον ἐκείνην κόλασιν. ἧς βούλομαι ὀλίγα πρὸς ὑμᾶς εἰπεῖν, χρησιμεύοντα ἡμῖν καὶ πρὸς Μαρκιωνιστὰς καὶ πρὸς ἄλλους πολλοὺς τῶν αἱρετικῶν. ἐπεὶ γὰρ λέγουσιν ἀγαθὸν Θεὸν τὸν Χριστόν, ἐκεῖνον δὲ πονηρόν, ἴδωμεν τίς ταῦτα ἐποίησε. τίς τοίνυν ταῦτα εἰργάσατο; ὁ πονηρός, τούτῳ ἀμύνων; οὐδαμῶς. πῶς οὖν αὐτοῦ ἀλλότριος; ἀλλ᾽ ὁ ἀγαθός; ἀλλὰ δείκνυται καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς πεποιηκώς· ὁ μὲν πατὴρ πολλαχοῦ, ὡς ὅταν λέγῃ,
E ἐκ τῷ ἀμπελῶνι πέμπειν τὰ στρατεύματα αὐτοῦ· ὁ δὲ υἱός, ὅταν λέγῃ, τοὺς δὲ ἐχθρούς μου ἀγάγετε καὶ κατασφάξατε ἐνώπιόν μου, τοὺς μὴ θελήσαντάς με αὐτῶν βασιλεῦσαι; ἄλλως δέ· καὶ αὐτὸς λέγει τὰς θλίψεις τὰς ἐσομένας, ὧν οὐδὲν ὠμότερον γέγονε τῶν πώποτε πεπραγμένων, καὶ αὐτὸς αὐτὰς ἀπεφήνατο. θέλεις οὖν ἀκοῦσαι τὰ γεγενημένα; ὀβελίσκοις αὐτοὺς διέπειραν. τί τούτων ἰδεῖν βαρύτερον. ἀλλὰ τὸ γυναικὸς βούλει πάθος διηγήσομαι καὶ τὴν τραγῳδίαν ἐκείνην, ἥτις πᾶσαν ἀπέκρυψε συμφοράν;
ἀλλὰ

ἀλλὰ τοὺς λιμοὺς καὶ τοὺς λοιμούς; καὶ παρίημι τὰ τούτων χαλεπώτερα. ἠγνοήθη παρ' ἐκείνοις ἡ φύσις· ἠγνοήθη ὁ νόμος· τὰ θηρία ὑπερηκόντισαν. ταῦτα δὲ πάντα ὑπὸ τῆς ἀνάγκης τοῦ πολέμου γέγονε, τοῦ Θεοῦ βουλομένου καὶ τοῦ Χριστοῦ. ταῦτα καὶ πρὸς Μαρκιωνιστὰς ἁρμόσει, καὶ πρὸς τοὺς ἀπιστοῦντας τῇ γεέννῃ. ἱκανὰ γὰρ αὐτῶν ἐπιστομίσαι τὴν ἀναισχυντίαν. τῶν ἐν Βαβυλῶνι κακῶν οὐχὶ ταῦτα χαλεπώτερα; τοῦ λιμοῦ ἐκείνου οὐχὶ ταῦτα πολλῷ βαρύτερα; περὶ τούτων καὶ αὐτὸς ἀπεφήνατο ὁ Χριστὸς, λέγων· ἔσται θλίψις οἵα οὐ γέγονεν, οὐδὲ μὴ γένηται. πῶς οὖν λέγουσί τινες, ὅτι ἀφῆκεν αὐτοῖς ὁ Χριστὸς τὰς ἁμαρτίας; τάχα δοκεῖ κοινὸν εἶναι τὸ ζήτημα· ἀλλ' ὑμεῖς αὐτὸ ἱκανοὶ λῦσαι. οὐδεὶς οὐδαμοῦ πλάσμα τοιοῦτον ἔχει δεῖξαι, οἷον ἐπὶ τῆς ἀληθείας γέγονε. καὶ εἰ μὲν Χριστιανὸς ὁ ταῦτα γράφων ἦν, κἂν ὕποπτος ὁ λόγος ἦν. εἰ δὲ Ἰουδαῖος, καὶ Ἰουδαῖος ζηλωτὴς, μετὰ τὸ εὐαγγέλιον ἐλθὼν, πῶς οὐ πᾶσι κατάδηλα τὰ γενόμενα; ὄψει γὰρ αὐτὸν πανταχοῦ καὶ ἐπαίροντα τὰ Ἰουδαϊκά. οὐκοῦν ἔστι καὶ γέεννα καὶ ἀγαθός ἐστιν ὁ Θεός. ἆρα ἐφρίξατε ταῦτα ἀκούσαντες; ἀλλὰ ταῦτα ἐνταῦθα γινόμενα οὐδέν ἐστι πρὸς τὰ ἐκεῖ. πάλιν ἀναγκάζομαι ἀηδὴς φαίνεσθαι καὶ φορτικὸς καὶ βαρύς· ἀλλὰ τί πάθω; εἰς τοῦτο κεῖμαι, καθάπερ παιδαγωγὸς χαλεπὸς εἰς τοῦτο κεῖται, ὡς τὸ μισεῖσθαι παρὰ τῶν παιδαγωγουμένων· οὕτω δὴ καὶ ἡμεῖς. πῶς γὰρ οὐκ ἄτοπον, τοὺς μὲν παρὰ βασιλέων τάξιν τινὰ ταχθέντας, κἂν ἀηδὲς ᾖ τὸ προστεταγμένον ποιεῖν· ἡμᾶς δὲ διὰ τὴν παρ' ὑμῶν μέμψιν ἐλλείπειν τὴν τάξιν ἣν ἐτάχθημεν. ἄλλος ἔργον ἔχει ἕτερον· ὑμῶν δὲ πολλοὶ ἔργον ἔχουσι τὸ ἐλεεῖν, τὸ φιλανθρωπεύεσθαι, ἡδεῖς εἶναι καὶ προσηνεῖς τοῖς εὐεργετημένοις. ἡμεῖς δὲ τοῖς ὠφελημένοις βαρεῖς φαινόμεθα καὶ χαλεποὶ, καὶ φορτικοὶ καὶ ἀηδεῖς. οὐ γὰρ δι' ὧν τέρπομεν ὠφελοῦμεν, ἀλλὰ δι' ὧν δάκνομεν. τοιοῦτός ἐστι καὶ ὁ ἰατρός. ἀλλ' ἐκεῖνος μὲν οὐ σφόδρα ἀηδής· εὐθέως γὰρ τὸ αὐτοῦ τέχνης τὸ ὠφέλιμον παρέχεται· ἡμεῖς δὲ ἐν τῷ μέλλοντι. τοιοῦτός ἐστι καὶ ὁ δικαστὴς, λυπηρὸς τοῖς νοσοῦσι καὶ στασιάζουσι. τοιοῦτος ὁ νομοθέτης, λυπηρὸς τοῖς νομοθετουμένοις. ἀλλ' οὐχ ὁ καλῶν ἐπὶ τρυφήν· οὐδὲ ὁ δημοτελεῖς ποιῶν ἑορτὰς καὶ πανηγύρεις· οὐδὲ ὁ στεφανῶν τὸν δῆμον. ἀλλὰ προσηνεῖς οὗτοι, ἐκκαλοῦντες τὰς πόλεις θεάμασι παντοδαποῖς, εἰσφέροντες, ἀναλίσκοντες. διὰ τοῦτο καὶ εὐφημίαις αὐτοὺς ἀμείβονται οἱ παθόντες εὖ, καὶ παραπετάσμασι, καὶ λαμπάδων πλήθει, καὶ στέμμασι, καὶ κλάδοις, καὶ ἐσθῆτι λαμπρᾷ. ἂν δὲ τὸν ἰατρὸν ἴδωσιν οἱ κάμνοντες, στυγνοὶ καὶ κατηφεῖς γίνονται· ἂν τὸν δικαστὴν ὁμοίως οἱ στασιάζοντες, συνεσταλμένοι γίνονται, οὐχὶ διαχέονται, οὐδὲ ὀρχοῦνται. καίτοι ὅταν κἀκεῖνος εἰς ἐκείνην μάλιστα ᾖ τὴν τάξιν. ἴδωμεν οὖν τίνες μάλιστα τὰς πόλεις ὠφελοῦσιν, οἱ τὰς ἑορτὰς ταύτας ἄγοντες, καὶ τὰς θαλίας, καὶ τὰς τραπέζας τὰς πολυτελεῖς, καὶ τὰς τέρψεις τὰς ποικίλας· ἢ οἱ πάντα ἐκεῖνα συστέλλοντες, καὶ τὸ ξύλον ἐπιφερόμενοι, καὶ μάστιγας, καὶ δημίους, καὶ στρατιώτας φοβερούς, καὶ φωνὴν [προπέμποντες] πολλῷ τρόμῳ γέμουσαν, καὶ ἐπιστρέφοντες, καὶ κατηφεῖς ποιοῦντες, καὶ ῥάβδῳ ἀποσοβοῦντες τοὺς ἐπὶ τῆς ἀγορᾶς. ἴδωμεν τίνων ποῖ τὸ κέρδος λήγει. οὗτοι μὲν γάρ εἰσιν ἀηδεῖς, ἐκεῖνοι δὲ ποθεινοί. τί οὖν ἀπ' ἐκείνων τῶν τερπόντων; ἡδονή τις ψυχρὰ, μέχρι τῆς ἑσπέρας μένουσα, καὶ τῇ ἐπιούσῃ διαρρέουσα, γέλως ἄτακτος, ῥήματα ἀπρεπῆ καὶ διακεχυμένα. τί δαὶ ἀπὸ τούτων; φόβος, σωφροσύνη, λογισμὸς συνεσταλμένος, ψυχῆς ἐπιείκεια, ῥᾳθυμίας ἀναίρεσις, χαλινὸς ὄντως τῶν ἔνδον ὄντων παθῶν, τεῖχος τῶν ἔξωθεν ἐπιόντων. διὰ τούτους τὰς οὐσίας ἔχομεν ἕκαστος, δι' ἐκείνους δὲ τὰς ἑορτὰς [καὶ] ἐπιβλαβῶς κενοῦμεν αὐτάς· οὐ λῃστῶν εἰσελθόντων, ἀλλὰ τῆς μεθ' ἡδονῆς λῃστευούσης κενοδοξίας. ὁρᾷ τὸν λῃστὴν ἕκαστος ἐκφοροῦντα πάντα καὶ ἥδεται. καινὸς τῆς λῃστείας ὁ τρόπος· πείθει τοὺς ἀποδυομένους εὐφραίνεσθαι. ἀλλ' οὐκ ἐκεῖ τοιοῦτον οὐδέν· ἀλλὰ πᾶσιν ἀπετείχισεν ὁ Θεὸς καθάπερ κοινὸς πατὴρ, καὶ τοῖς ὁρωμένοις, καὶ τοῖς μὴ ὁρωμένοις. βλέπετε γάρ φησι τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων. μανθάνει ψυχὴ ἐντεῦθεν ἀδικίαν φεύγειν. ἀδικία γὰρ, οὐ τὸ χρήματα πλεονεκτεῖν μόνον· ἀλλὰ καὶ τὸ πλέον τῆς ὡρισμένης τροφῆς διδόναι τῇ γαστρὶ, καὶ τὴν εὐφροσύνην τῶν οἰκείων ἐξάγειν μέτρων, καὶ ποιεῖν ἐκβακχεύεσθαι. ἐκεῖθεν σωφροσύνην μανθάνει, ἐντεῦθεν ἀκολασίαν. οὐ γὰρ τὸ μιγῆναι γυναικὶ μόνον ἀκολασία, ἀλλὰ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. ἐκεῖθεν ἐπιείκειαν μανθάνει, ἐντεῦθεν τῦφον. πάντα γάρ μοι, φησὶν, ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. ἐκεῖθεν κοσμιότητα, ἐντεῦθεν ἀσχημοσύνην. τὰ γὰρ ἐν τοῖς θεάτροις παρίημι. ὅτι δὲ οὐδὲ ἡδονή τίς ἐστιν, ἀλλὰ λύπη, δείξατέ μοι μετὰ μίαν ἡμέραν τῆς ἑορτῆς, τούς τε ἀναλώσαντας, τούς τε ἑστιαθέντας τοῖς θεάμασι, καὶ ὄψει αὐτοὺς μὲν ἐν κατηφείᾳ ἅπαντας, ἐν μείζονι δὲ ἐκεῖνον τὸν ἀναλώσαντα. καὶ εἰκότως,

A nec ostendam fames ac pestes? & transeo quæ his graviora. Ignorata apud illos fuit natura, ignorata lex, bestias superarunt feritate. Omnia autem hæc belli vis invexit, Deo volente ac Christo. Hæc etiam contra Marcionitas congruent, & contra eos qui non credunt esse gehennam. Idonea enim sunt hæc, & sufficientia ad illorum impudentiam confutandam. Nónne mala hæc graviora fuerunt his quæ in Babylone perpessi? nónne fames hæc gravior, quàm B illa? De his & ipse pronunciavit Christus, dicens: *Erit tribulatio qualis non fuit, neque erit.* Matth. 24. 21. Quomodo igitur dicunt quidam, quod remisit eis Christus peccatum? Fortasse videtur vulgaris quæstio, & ipsi potestis solvere. Nullus usquam poterit tale figmentum ostendere, qualis est hæc historia quæ verè accidit. Et si quidem Christianus fuisset, qui eam conscripsit, esset fortassis sermo suspectus. Quia autem Judæus, & æmulator, qui post Evangelium floruit, C quomodo non omnibus manifesta sunt quæ facta? Videbis enim illum ubique res Judaicas extollere. Igitur est & gehenna, & bonus est Deus. Num horrescitis hæc audientes? Verum hæc quidem, quæ hic fiunt, nihil sunt ad ea quæ alibi erunt. Iterum cogor videri injucundus, onerosus & gravis. Et quid patior? In hoc positus sum, sicut pædagogus asper ad hoc constitutus est, ut odio illum persequantur quos erudit, sic sanè & vos. Quomodo enim non absur- D dum, cum homines quibus aliquid à regibus præcipitur, etiamsi injucundum sit, ut continuo imperatum facessant, vos autem propter vestram reprehensionem omittere quod Deus præcepit? Alius aliud opus habet. Multorum ex vobis opus est ut misereamini, humanitatem declaretis, suaves ac blandi sitis iis quibus benefacitis: nos verò quibus debemus esse utiles, iis & graves & injucundi videmur: non enim utiles sumus docendo ea quæ oblectant, sed ea quæ mordent. E Talis est & medicus, at ille quidem non valde injucundus. Statim enim cum sua arte utilitatem adhibet, nos autem in futuro. Talis est & judex invisus morbidis ac seditiosis, talis & legislator molestus his qui legem accipiunt. At non item qui vocat ad delicias, neque qui facit publica festa & conventus, neque qui coronat populum: tales enim blandi ac amici sunt invitantes civitates ad varia spectacula, & sumptus facientes: unde & illos celebrant vicissim ii quibus benefaciunt, A & tapetis & lampadum multitudine, & coronis, & ramis, & veste splendida. Si autem medicum viderint laborantes, tristes ac mœsti efficiuntur: & si judicem seditiosi, contrahunt non diffundunt vultum, nec exultant eò, quod & ille ad hoc opus ordinatus est. Videamus igitur quinam maximè urbibus prosint, num ii qui publica convivia, & festa, & mensas, & delitias exhibent: an ii qui omnibus illis sublatis ferentes sceptrum & fasces, & lictores & milites terribiles, & vo- B cem terrificam præmittentes, & animadvertentes in noxios, & silentium triste facientes, & virga eos qui in foro sunt amoventes. Videamus igitur, ubi finis lucrosior, nam hi quidem insuaves, illi verò amabiles. Quid igitur ab illis qui oblectant, provenit? voluptas quædam frigida usque ad vesperam manens, & sequenti die diffluens, risus incompositus, verba injucunda & dissoluta. Quid autem ab his qui contristant? timor, modestia, mens humiliata, animæ justitia, desidiæ interem- C ptio, frænum affectionum quæ intus sunt, murus adversus ea quæ foris insultant: per hoc unusquisque facultates suas possidet, per illas autem ferias cum damno dilapidamus eas, non invadentibus latronibus, sed latrocinante vana gloria cum voluptate. Videt latronem unusquisque deprædantem omnia, & oblectatur. Novus latrocinandi modus, persuadet spoliatis bono esse animo, verum illic nihil tale. Sed ab omnibus separavit Deus sicut pater com- D munis, & ab his quæ videntur, & ab his quæ non videntur. *Videte enim*, inquit, *eleemosynam vestram ne faciatis coram hominibus.* Matth. 6. 1. Discit anima hinc injustitiam fugere. Injustitia enim est non solum divitias per avaritiam conquirere, sed & plus dare ventri quàm illi præscribitur, & lætitiam è suis egredi terminis, inque insaniam transire. Illinc discit temperantiam, hinc intemperantiam. Non enim solum mulieri misceri intemperantia est, sed etiam incontinentibus E oculis aspicere. Illinc humilitatem discit, hinc fastum. *Omnia enim mihi*, inquit, *licent, sed non omnia expediunt.* 1. Cor. 6. 12. Illinc honestatem, hinc turpitudinem. Omitto enim ea quæ in theatris fiunt. Quòd autem neque voluptas aliqua sit, sed injucunditas potius, ostendite mihi post unum diem festi & eos qui sumptum fecerint, & ad spectacula invitatos: & videbis quidem omnes tristitia correptos, maximè autem illum qui sumptum fecit. Et meritò,

nam præcedenti die oblectavit quidem popularem hominem, A & popularis quidem spectator jucundus erat, ac delectabatur multum: tunc enim gaudebat splendida veste, propria autem illius cum non sit, videns se exui, dolet & cruciatur. Ille autem qui sumptus impendit, & suam felicitatem parvam cum ea quæ ex sumptu habebat, conspicere putabat. Idcirco sequenti die reddunt sibi vestes iterum, & majorem dolorem ludi exhibitor concipit. Jam si in externis ea quæ oblectant, & lucrum minuunt, habent tantum tristitiæ, multo magis in B spiritualibus. Ea propter nullus succenset legibus, sed omnes ad communem utilitatem pertinere eas censent. Non enim peregrini aliunde advenientes, vel hostes has leges civibus statuere, sed ipsi cives, ipsi præsides ac curatores, salutisque ac benevolentiæ indicium esse putant leges condere, tametsi pœnarum plenæ sint leges, neque potest inveniri lex absque pœna. Quomodo igitur non absurdum, illos quidem qui enarrant leges, & servatores, benefactores & præsides appella- C ri, nos autem tetricos quosdam & morosos haberi, si leges Dei loquamur? Quando enim de gehenna disserimus, illas leges citamus, & quemadmodum Jureconsulti leges de homicidiis & de manticulariis, & de nuptiis, & omnes tales: ita & nos punitivas quas non homo condidit, sed ipse unigenitus Dei filius. Qui immisericors est, puniatur, inquit: Injuriarum memor, extremum luat supplicium. Temere irascens, in ignem D conjiciatur. Scommatibus incessens, pendat in gehenna pœnam. Si autem vultis novas audire leges, ne tumultuemini. Si enim non positurus fuisset novas, cur etiam advenit Christus? Illæ enim manifestæ vobis sunt, quod homicidam & adulterum oporteat puniri. Si igitur eadem eramus audituri, quæ utilitas erat magistri cœlestis? Propterea non dicit: Adulter puniatur, sed videns intemperantibus oculis: & ubi, & quando pœnam dabit, apponit: & non in statuis, neque in E columnis leges inscripsit, neque columnas æreas excitavit, & literas insculpsit: sed animas duodecim nobis excitavit, Apostolorum inquam, in illorum mentibus per spiritum his literas scripsit, has vobis nos merito prælegimus. Nam si Judæis hoc licebat, ut ne quis illorum ad ignorantiam confugeret, multo magis, & nobis fas est. Si autem quis dicat: Non audiam, ne judicer, hoc nomine magis punietur. Si enim nullus esset qui doceret, liceret ad talia confugere: sed cum ad- A sit doctor, non item. Vide igitur quomodo Judæos venia

Jo. 15, 22. privet: *Nisi venissem & locutus essem illis, peccatum non habe-*

Rom. 10, 8. *rent.* Et iterum Paulus: *Sed dico, an non audierunt?* Ita-

Psal. 18, 5. que *in omnem terram exivit sonus eorum.* Tunc enim venia est, quando nullus est qui dicit: ubi autem talis est intentio, & opus sic habet, non ultrà est venia. Imo non voluit Christus ad illas columnas solum nos respicere, sed etiam nos vult esse columnas. Quoniam autem indignos nos ipsos exhibuimus hisce scripturis, licet ut vel ad illas spectemus. Quem- B admodum enim columnæ aliis minantur, ipsæ autem non sunt reæ, sicut neque leges: ita & beati Apostoli. Et vide, quomodo non in uno loco steterit columna illa, sed ubique circumferuntur scripturæ, etiamsi ad Indos proficiscaris, audies illas: etiamsi ad Hispanos & ad ipsos terminos terræ, nullus est qui non audit, nisi forte quis propter suam desidiam. Ne autem ægre feratis, sed attendite quæ dicuntur, ut possitis opera virtutum apprehendere, ac æterna bona assequi. In Christo C Jesu Domino nostro, cum quo Patri simul ac Spiritui Sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

A ἔτερψε γὰρ τῇ προτεραίᾳ τὸν ἰδιώτην. καὶ ὁ μὲν ἰδιώτης ἐν εὐθυμίᾳ ἦν καὶ ἡδονῇ πολλῇ· τέως γὰρ τῇ ἐσθῆτι ἔχαιρε τῇ λαμπρᾷ· τὴν χρῆσιν δὲ αὐτοῦ οὐκ ἔχων, ἀλλ᾽ ὁρῶν ἑαυτὸν ἀποδυόμενον, ἤλγει καὶ ἐδάκνετο. ἐκεῖνος δὲ ὁ ἀναλίσκων, καὶ τὴν οἰκείαν εὐπραγίαν μικρὰν ὁρᾶν πρὸς τὴν ἐκείνου ἐδόκει. διὰ τοῦτο τῇ ὑστεραίᾳ ἀντιδιδόασιν ἀλλήλοις, καὶ τὸ πλέον τῆς ἀθυμίας ἐκεῖνος δέχεται. εἰ δὲ ἐν τοῖς ἔξωθεν τοσαύτην ἔχει ἀηδίαν τὰ τέρποντα, τὰ δὲ ἐπισυφοντα ὠφέλειαν· πολλῷ μᾶλλον B ἐν τοῖς πνευματικοῖς. διὰ τοῦτο μηδεὶς ἀγανακτεῖ τοῖς νόμοις, ἀλλὰ καὶ κοινὴν ὠφέλειαν ἅπαντες ἡγοῦνται τὸ πρᾶγμα. οὐ γὰρ ἄλλοθέν ποθεν ξένοι καὶ πολέμιοι τῶν νομοθετουμένων ἐλθόντες ταῦτα διετάξαντο, ἀλλ᾽ αὐτοὶ οἱ πολῖται, οἱ προστάται, οἱ κηδεμόνες. καὶ τοῦτο σωτηρίας καὶ εὐνοίας τεκμήριον τυγχάνειν ἡγοῦνται, τὸ νόμους θεῖναι· καίτοι γε κολάσεως οἱ νόμοι γέμουσι, καὶ οὐκ ἔστιν εὑρεῖν νόμον κολάσεως χωρίς. πῶς οὖν οὐκ ἄτοπον, τοὺς μὲν ἐκείνους ἐξηγουμένους τοὺς νόμους, καὶ σω- C τῆρας καὶ εὐεργέτας καὶ προστάτας ἀποκαλεῖν· ἡμᾶς δὲ βαρεῖς τινας καὶ χαλεποὺς ἡγεῖσθαι, ἂν τοὺς τοῦ Θεοῦ νόμους λέγωμεν; ὅταν γὰρ περὶ γεέννης διαλεγώμεθα, ἐκείνους τοὺς νόμους κινοῦμεν· καὶ καθάπερ οἱ ἔξωθεν τοὺς φονικοὺς, τοὺς περὶ λωποδυτῶν, τοὺς γαμικοὺς, καὶ πάντας τοὺς τοιούτους, οὕτω καὶ ἡμεῖς τοὺς κολαστικούς· οὓς οὐκ ἄνθρωπος ἔθηκεν, ἀλλ᾽ αὐτὸς ὁ μονογενὴς τοῦ Θεοῦ παῖς. ὁ ἀνελεήμων κολαζέσθω, φησί. τοῦτο γὰρ ἡ παραβολὴ βούλεται. ὁ μνησικακῶν τιμω- D ρείσθω τιμωρίαν ἐσχάτην· ὁ ὀργιζόμενος εἰκῆ, εἰς τὸ πῦρ ἐμβαλλέσθω· ὁ λοιδορῶν, τιννύτω δίκην ἐν τῇ γεέννῃ. εἰ δὲ νομίζετε ξένους ἀκούειν νόμους, μὴ θορυβηθῆτε. εἰ γὰρ μὴ ξένους ἔμελλε θήσειν, τί καὶ παρεγένετο ὁ Χριστός; ἐκεῖνα γὰρ δῆλα ἡμῖν ἐστιν, ὅτι τὸν φονέα καὶ τὸν μοιχὸν δεῖ κολάζεσθαι. εἰ τοίνυν τὰ αὐτὰ ἐμέλλομεν ἀκούεσθαι, τίς χρεία ἦν οὐρανίου διδασκάλου; διὰ τοῦτο οὐ λέγει, ὁ μοιχὸς κολαζέσθω, ἀλλ᾽ ὁ βλέπων ἀκολάστοις ὀφθαλμοῖς. καὶ ποῦ, καὶ πότε, δώσει δίκην προ- E στίθησι. καὶ οὐκ εἰς ἄξονας, οὐδὲ εἰς κύρβεις τοὺς νόμους κατέθετο, οὐδὲ στήλας ἀνέστησε χαλκᾶς καὶ γράμματα ἐνεχάραξεν· ἀλλὰ ψυχὰς ἡμῖν ἀναστήσας δώδεκα τὰς τῶν ἀποστόλων, ἐν ταῖς ἐκείνων διανοίαις διὰ τοῦ πνεύματος ταῦτα τὰ γράμματα γέγραφε. ταῦτα ὑμῖν παραναγινώσκομεν εἰκότως ἡμεῖς. εἰ γὰρ Ἰουδαίοις τοῦτο θεμιτὸν ἦν, ἵνα μηδεὶς εἰς ἄγνοιαν ἔχῃ καταφεύγειν, πολλῷ μᾶλλον ἡμῖν. εἰ δὲ λέγοι τις, οὐδὲ ἀκούω, οὐδὲ κρίμα ἔχω, ταύτῃ μάλιστα κολάζεται. A εἰ γὰρ μηδεὶς ἦν ὁ διδάσκων, ἐνῆν εἰς ταῦτα καταφεύγειν· εἰ δὲ ἔστιν, οὐκ ἔνι. ὅρα γοῦν Ἰουδαίους πῶς ἀποστερεῖ συγγνώμης λέγων· εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον. καὶ πάλιν ὁ " Παῦλος· ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; μενοῦνγε εἰς πᾶσαν τὴν " γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. τότε γὰρ συγγνώμη ἐστὶν, ὅταν μηδεὶς ᾖ ὁ λέγων· ὅταν δὲ ὁ σκοπὸς κάθηται καὶ τοῦτο ἔχῃ ἔργον, οὐκ ἔτι συγγνώμη. μᾶλλον δὲ οὐκ ἐβούλετο ὁ Χριστὸς εἰς ἐκείνας τὰς στήλας ἐνορᾶν ἡμᾶς μόνον, ἀλλὰ [καὶ] αὐτοὺς εἶναι στήλας. ἐπεὶ δὲ ἀναξίους B [ἑαυτοὺς] τῶν γραμμάτων [τούτων] κατεστήσαμεν, κἂν εἰς ἐκείνας ἴδωμεν. καθάπερ γὰρ αἱ στῆλαι ἑτέροις ἀπειλοῦσιν, αὐταὶ δὲ οὐκ εἰσὶν ὑπεύθυνοι, ὥσπερ οὐδὲ οἱ νόμοι· οὕτω καὶ οἱ μακάριοι ἀπόστολοι. καὶ ὅρα· οὐκ ἐν ἑνὶ τόπῳ [ἡ] στήλη ἕστηκεν αὕτη, ἀλλὰ πανταχοῦ περιφέρεται τὰ γράμματα. κἂν εἰς Ἰνδοὺς ἀπέλθῃς, ἀκούσῃ τούτων· κἂν εἰς Ἱσπανίαν, κἂν πρὸς αὐτὰ τῆς γῆς τὰ τέρματα, οὐδεὶς ἀνήκοος τυγχάνει, πλὴν εἰ μὴ διὰ τὴν οἰκείαν ῥαθυμίαν. μὴ δὴ δυ- C σχεραίνετε, ἀλλὰ προσέχετε τοῖς λεγομένοις· ἵνα δυνηθῆτε τῶν τῆς ἀρετῆς ἔργων ἐπιλαβέσθαι καὶ τυχεῖν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Ex Cap. II.

HOMILIA VI.

Viri Israëlitæ, audite hos sermones meos.

NOn est hoc adulanter dictum, sed quos acriter perstrinxerat, erga illos remissior esse incipit, tempestivam Davidis mentionem faciens. Et ne turbentur, novum procemium exorditur, quia mentionem facturus erat Jesu. Nam superius quidem non essent turbati audientes prophetam, nomen autem Jesu statim illis propositum obstitisset. Et non dixit, persuadeamini: sed, *audite*, id quod erat minus molestum. Vide etiam quomodo nihil dixit sublime, sed à valde humilibus incipit. *Jesum*, inquit, *Nazarenum.* Statim patriam dicit, quæ sanè videbatur contemptior esse, & nihil jam magnum de illo dicit, neque quod de propheta alius quis diceret: *Jesum*, inquit, *Nazarenum virum demonstratum à Deo erga vos.* Vide quam magnum hoc erat quod à Deo esse missum dicit,

ΟΜΙΛΙΑ ϛ.

D Ἄνδρες Ἰσραηλῖται, ἀκούσατέ μου τοὺς λόγους τούτους.

ΟΥΚ ἔστι κολακεία τὸ ῥῆμα· ἀλλ᾽ ἐπειδὴ καθήψατο αὐτῶν σφοδρῶς, ἀνίησιν αὐτοὺς [λοιπὸν] καὶ ἀναμιμνήσκει τοῦ Δαβὶδ εὐκαίρως. καὶ πάλιν ἀπὸ προοιμίου ἄρχεται, ἵνα μὴ θορυβηθῶσιν, ἐπειδὴ ἔμελλεν αὐτοὺς τοῦ Ἰησοῦ ἀναμιμνήσκειν. ἀνωτέρω μὲν γὰρ, οὐκ ἂν ἐθορυβήθησαν τοῦ προφήτου ἀκούοντες· τὸ δὲ ὄνομα τοῦ Ἰησοῦ, εὐθέως E ἂν αὐτοῖς προσέστη. καὶ οὐκ εἶπε, πείσθητε· ἀλλὰ, ἀκούσατε, ὅπερ ἦν ἀνεπαχθές. καὶ ὅρα πῶς οὐδὲν λέγει τῶν ὑψηλῶν, ἀλλ᾽ ἀπὸ τῶν σφόδρα ταπεινῶν ἄρχεται. Ἰησοῦν φησι τὸν Ναζωραῖον. εὐθέως τὴν πατρίδα λέγει, ἥπερ ἐδόκει εὐτελὴς εἶναι. καὶ οὐδὲν μέγα τέως λέγει περὶ αὐτοῦ, οὐδὲ οἷον ἄν τις εἴποι περὶ προφήτου. Ἰησοῦν φησι τὸν Ναζωραῖον, " ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ἡμᾶς. ὅρα ποῖον " ἦν τοῦτο μέγα, τὸ εἰπεῖν ὅτι παρὰ τοῦ Θεοῦ ἀπεστάλη.

τοῦτο

Τοῦτο γὰρ ἄνω καὶ κάτω καὶ αὐτὸς ἐσπούδαζε, καὶ Ἰωάννης, καὶ οἱ ἀπόστολοι δεῖξαι. ἄκουε οὖν Ἰωάννου λέγοντος· ἐκεῖνός μοι εἶπεν, ἐφ' ὃν ἂν ἴδῃς τὸ πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτὸν, οὗτός ἐστιν. αὐτὸς δὲ ὁ Χριστὸς καὶ μεθ' ὑπερβολῆς τοῦτο ποιεῖ, λέγων· ἀπ' ἐμαυτοῦ οὐκ ἦλθον, ἐκεῖνός με ἀπέστειλε. καὶ πανταχοῦ τῶν γραφῶν τοῦτο μάλιστα ἐστὶ τὸ σπουδαζόμενον. διὰ τοῦτο καὶ ἅγιος οὗτος ὁ κορυφαῖος τοῦ μακαρίου χοροῦ, ὁ ἐραστὴς τοῦ Χριστοῦ, ὁ θερμὸς μαθητὴς, ὁ τὰς κλεῖς πιστευθεὶς τῶν οὐρανῶν, ὁ τὴν ἀποκάλυψιν δεξάμενος τὴν πνευματικὴν, καταστείλας αὐτοὺς τῷ φόβῳ, καὶ δείξας μεγάλων ἠξιωμένους, καὶ ποιήσας ἀξιοπίστους, τότε καὶ περὶ ἐκείνου διαλέγεται. βαβαὶ οἷον ἐτόλμησε μεταξὺ τῶν φονευσάντων εἰπεῖν ὅτι ἀνέστη. καὶ οὐ λέγει ὅτι ἀνέστη εὐθέως, ἀλλ' ὅτι ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς ἦλθε. τοῦτο δὲ δῆλοι, ὡς ἐποίησεν. οὐκέτι λέγει, ὅτι αὐτός· ἀλλ' ὅτι δι' αὐτοῦ ὁ Θεὸς, ἵνα μᾶλλον τῷ μετριάζειν ἐφελκύσηται, ἐφ' ᾧ αὐτοὺς καὶ καλεῖ μάρτυρας, καί φησιν· ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι' αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν, καθὼς καὶ αὐτοὶ οἴδατε. εἶτα ἐμπεσὼν εἰς τὸ τόλμημα αὐτῶν τὸ ἐναγὲς ἐκεῖνο, ὅρα πῶς πειρᾶται αὐτοὺς ἀπαλλάξαι τοῦ ἐγκλήματος. Τοῦτον φησὶ, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. μονονουχὶ τὰ αὐτὰ τῷ Ἰωσὴφ λέγων ῥήματα, ἅπερ δὴ κἀκεῖνος ἔλεγε πρὸς τοὺς ἀδελφούς· μὴ φοβεῖσθε, ὅτι ἀπέδοσθέ με. οὐχ ὑμεῖς, ἀλλ' ὁ Θεός με ὧδε ἀπέστειλεν. εἶτα [εἰπὼν, ὅτι βουλῇ Θεοῦ,] ἵνα μὴ εἴπωσιν, ἄρα καλῶς [τοῦτο] ἐποιήσαμεν, [συλλογίζεται αὐτοὺς δι' οὗ] προστέθεικε, διὰ χειρῶν ἀνόμων προσπήξαντες ἀνείλετε. ἐνταῦθα τὸν Ἰούδαν αἰνίττεται· ἅμα δὲ αὐτοῖς δείκνυσιν [ὅτι] οὐ τῆς αὐτῶν ἰσχύος ἦν, εἰ μὴ [καὶ] αὐτὸς συνεχώρησε καὶ ἐξέδωκεν ὁ Θεὸς αὐτόν. τοῦτο γάρ ἐστι τὸ ἔκδοτον. [οὕτως] ὅλον ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰούδα περιέστησε τὸ ἔγκλημα τοῦ προδεδωκότος. αὐτὸς γὰρ αὐτὸν παρέδωκε τῷ φιλήματι. ἢ τοίνυν περὶ τούτου τὸ διὰ χειρῶν ἀνόμων, ἢ τῶν στρατιωτῶν λέγει, δηλῶν ὅτι οὐδὲ ἁπλῶς ἀνείλετε, ἀλλὰ διὰ τῶν ἀνόμων ἀνδρῶν. καὶ θέα πῶς πανταχοῦ σπουδάζουσι τὸ πάθος ὁμολογηθῆναι πρότερον· τὰ δὲ τῆς ἀναστάσεως, ἐπεὶ μέγα ἦν, τέως συσκιάζει, καὶ οὕτω πως μέσον αὐτὸ τίθησιν. ἐκεῖνα μὲν γὰρ ὡμολόγηται, οἷον ὁ σταυρὸς καὶ ὁ θάνατος· ἡ δὲ ἀνάστασις οὔπω. διὸ καὶ ὕστερον περὶ ταύτης φησὶν, ὃν ὁ Θεὸς ἀνέστησε λύσας τὰς ὠδῖνας τοῦ θανάτου, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ. ἐνταῦθά τι μέγα καὶ ὑψηλὸν ᾐνίξατο. τὸ γὰρ, οὐκ ἦν δυνατὸν, καὶ αὐτὸν δηλοῦντα ἐμφαίνει κατασχεῖν· καὶ ὅτι καὶ αὐτὸς ὤδινε κατέχων αὐτὸν ὁ θάνατος, καὶ τὰ δεινὰ ἔπασχεν· ὠδῖνας γὰρ θανάτου ἡ γραφὴ τὸν κίνδυνον πανταχοῦ οἶδε καλεῖν· καὶ ὅτι οὕτως ἀνέστη, ὡς μηκέτι πάλιν ἀποθανεῖν. ἢ τῷ εἰπεῖν, καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ, τοῦτο δηλοῦντός ἐστιν, ὅτι οὐ κοινὴ τοῖς ἄλλοις γέγονεν ἡ ἀνάστασις. εἶτα πρὶν ἤ τι τὴν διάνοιαν αὐτῶν ἐννοῆσαι, ἐπέστησεν αὐτοῖς τὸν Δαβὶδ πάντα λογισμὸν ἀνθρώπινον ἀνατρέποντα. Δαβὶδ γάρ, φησι, λέγει εἰς αὐτόν. καὶ ὅρα πῶς πάλιν ἡ μαρτυρία ταπεινή. διὰ δὴ τοῦτο καὶ ἄνωθεν αὐτὴν ἀνέλαβεν ἀπὸ τῶν ταπεινοτέρων, ἵνα δείξῃ ὅτι οὐ τῶν λυπούντων ἦν ὁ θάνατος. προωρώμην [φησὶ] τὸν Κύριον ἐνώπιόν μου διὰ παντὸς, ὅτι ἐκ δεξιῶν μου ἐστὶν, ἵνα μὴ σαλευθῶ· ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδου. εἶτα πληρώσας τὴν μαρτυρίαν τὴν προφητικὴν, ἐπάγει ἄνδρες ἀδελφοί. ὅταν μέλλῃ τι λέγειν μέγα, τούτῳ κέχρηται τῷ προοιμίῳ, διεγείρων αὐτοὺς καὶ οἰκειούμενος ἐντεῦθεν. ἐξὸν εἰπεῖν [φησὶ] μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαβίδ· πολλὴ ἡ ταπεινοφροσύνη. ἔνθα οὐδὲν ἔβλαπτε συγκαταβαίνει. διά τοι τοῦτο καὶ οὐκ εἶπεν, ὅτι ταῦτα περὶ τοῦ Χριστοῦ εἴρηται, οὐ περὶ τοῦ Δαβίδ. σφόδρα συνετῶς, τῇ πολλῇ περὶ τὸν μακάριον Δαβὶδ τιμῇ ἐντρέπων αὐτοὺς, καὶ περὶ τοῦ ὡμολογημένου καὶ ὡς τολμηροῦ δοκοῦντος εἰρῆσθαι, προϊστάμενος αὐτοὺς ὡς ἐγκωμιάζει ἠρέμα. διὸ καὶ οὐ περὶ τοῦ Δαβὶδ φησιν ἁπλῶς, ἀλλὰ καὶ περὶ τοῦ πατριάρχου Δαβίδ. ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη. οὐκέτι λέγει, καὶ οὐκ ἀνέστη, ἀλλ' ἑτέρως ἐξ εὐθείας τὸ αὐτὸ παριστῶν καὶ λέγων· καὶ τὸ μνῆμα αὐτοῦ ἐστιν ἐν ἡμῖν ἄχρι τῆς ἡμέρας ταύτης. εἶτα ὃ ἐβούλετο κατασκευάσας, οὐδὲ οὕτως ἦλθεν ἐπὶ τὸν Χριστὸν, ἀλλὰ πάλιν μετ' ἐγκωμίων τῶν τοῦ Δαβὶδ, προφήτης οὖν ὑπάρχων, καὶ εἰδὼς, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. ταῦτα δὲ λέγει ἵνα κἂν διὰ τὴν εἰς ἐκεῖνον τιμὴν καὶ τὸ γένος δέξωνται τὸν περὶ τῆς ἀναστάσεως λόγον· ὡς καὶ τῆς προφητείας βλαπτομένης εἰ μὴ τοῦτο εἴη, καὶ τῆς εἰς αὐτοὺς τιμῆς. καὶ εἰδὼς, φησιν, ὅτι ὅρκῳ ὤμοσεν αὐτῷ ὁ Θεός. οὐκ εἶπεν, ἐπηγγείλατο ἁπλῶς, [ἀλλ' ὃ πλέον ἦν, ὅρκῳ ὤμοσεν,] ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρκα ἀναστήσειν τὸν Χριστὸν, καθίσαι ἐπὶ τοῦ θρόνου αὐτοῦ. ὅρα τὸ ὑψηλὸν πῶς πάλιν ᾐνίξατο.

A Hoc enim sursum ac deorsum cum ipse tum Joannes, ac alii Apostoli monstrare studebant. Audi itaque Joannem dicentem: ille mihi dixit: *Super quem videris Spiritum descendentem ac manentem super illum, hic est.* (Joan. 1. 33.) Ipse autem Christus frequentius hoc agit, dicens: *A memetipso non veni, ille me misit*, (Ibid. 8. 28.) & ubique scripturarum hoc potissimum solicitè tractatur. Idcirco & sanctus ille præcipuus in beato illo choro, amator Christi, ardentissimus discipulus, cui claves cœlorum concreditæ, B spirituali revelatione accepta, compressis timore illis, cum ostendisset magna illos esse consecutos, fecissetque credulos, tunc & de illo disserit. Papæ quam audacter in medio eorum qui occiderant dixit quod surrexerit! Et non dixit quod resurrexerit statim, sed quod à Deo ad nos venerit. Hoc autem manifestum quibus fecit? Non jam dicit quòd ipse, sed quod per illum Deus, ut magis modestè loquendo illos sibi conciliet, eo quod & ipsos testes vocat, ac dicit: *Virum demonstratum* C *à Deo erga vos virtutibus ac prodigiis & signis, quæ fecit per illum Deus in medio vestri, sicut & ipsi scitis.* Deinde ubi incidit in facinus illorum hoc scelestum, vide quàm attentet liberare illos à crimine. *Hunc*, inquit, *definito consilio & præscientia Dei expositum cum accepissetis, per manus iniquorum crucifixum interemistis.* Quasi illa Joseph verba diceret, quæ scilicet ille quoque ad fratres dicebat: *Ne timeatis quod prodidistis me: non vos, sed Deus huc me misit.* (Gen. 45. 5.) Deinde ut dixit: D *Consilio Dei*, ut ne dicant: Igitur benè fecimus, illos quoque reos facit, per hoc quod addidit: *Per manus iniquorum crucifixum interemistis.* Hic Judam insinuat, interim illis etiam ostendit quòd non ipsorum potentiæ fuerit, nisi & ipse concessisset, & exposuisset illum Deus. Hoc enim est quod dicit ἔκδοτον expositum, sic totum convertit crimen in caput Judæ traditoris. Ille enim ipsum tradidit osculo. Vel igitur de hoc, quod per manus iniquorum, vel militum dicit, mani- E festans quod non simpliciter interemeritis, sed per iniquos viros. Et specta, quomodo ubique curant ut passionem primum confiteantur. Quod autem ad resurrectionem attinet, quoniam magnifica erat, nunc adumbrat, & ita quodammodo in medio constituit: nam crux & mors quidem inter confessa erant, resurrectio autem nondum. Idcirco & postea de illa inquit, adjiciens: *Quem Deus suscitavit solutis doloribus mortis, secundum quod non erat* A *possibile teneri illum ab ea.* Hic magnum & sublime quiddam insinuavit. Quod enim non erat possibile, declarat, etiam ipsum dantem comprehendere ac posse, & quod etiam ipsa mors illum detinens doluerit, & gravia passus sit. *Dolorem* enim *mortis* scriptura periculum ubique solet appellare, & quod sic resurrexit tanquam jam non iterum moriturus. Vel dicendo: *Secundum quod non erat possibile illum teneri ab ea*, hoc B manifestat, quod resurrectio ejus non sit communis cum aliis. Deinde priusquam aliquid mens illorum cogitet, assistit illis Davidem, qui omnem humanam rationem subvertat. *David enim*, inquit, *dicit de eo.* Et vide quomodo iterum testimonium humile. Propter hoc & supra illud ex humilioribus accepit, ut ostendat quod mors non sit ex his quæ contristent. *Providebam Dominum in conspectu meo semper, quia a* C *dextris meis est, ut ne commovear, quia non derelinques animam meam in inferno.* (Psal. 15. 8.) Postea testimonio prophetico addit: *Viri fratres.* Quando magnum quiddam dicturus est, hoc utitur procœmio excitans illos, & inde familiares sibi reddens. *Licet liberè dicere apud vos de Patriarcha David.* Magna est hæc animi modestia, ubi non est damnosum, condescendit. Idcirco & non dixit quod hæc de Christo dicta sint, non D de Davide, idque valde prudenter, ob magnum erga Davidem honorem illos reverens, déque re aperta ac confessa, tanquam audacius videatur dixisse, paulatim devitat eos quos laudabat. Ideo & non de David inquit simpliciter, sed de Patriarcha David, *quod & mortuus sit ac sepultus.* Non jam dicit: Et non resurrexit, sed aliter idipsum propè confirmat ac dicit: *Et sepulchrum illius est apud nos usque in hodiernum diem.* Deinde ut apparavit quod volebat, neque E sic venit ad Christum, sed iterum affert laudes David. *Propheta igitur cum esset, & sciret quod jurejurando jurasset illi Deus.* Hæc autem dicit, ut sermonem de resurrectione etiam propter illius dignitatem ac genus recipiant, quasi prophetia violaretur, nisi hoc esset, atque adeo & ipsorum honori derogaret. *Et sciens*, inquit, *quod jurejurando jurasset sibi Deus.* Non dixit, promisit simpliciter, sed quod majus erat, *jurejurando juravit, ex lumbo ejus quoad carnem oriturum Christum*,

ut sedeat super thronum illius. Vide ut excelsa iterum insinuet, nam postquam illos sermonibus placavit, magna fiducia interponit propheta, & de resurrectione disserit, quod neque anima illius detineatur in inferno, neque enim caro illius scivit corruptionem. Hoc iterum admirabile est. Ostendit enim quod dissimilis aliorum sit resurrectioni resurrectio, nam comprehendit quidem illum, sed non fecit quod suum tunc mors. Et peccatum quidem adumbrando dixit, pœnam autem non addidit. Et quod crucifixerunt quidem manifestè dixit, deinde ad signum Dei venit. Quando autem demonstratur, quod justus occisus est, & quod amicus Deo, etiamsi tacueris pœnam, is qui peccavit seipsum magis quàm tu condemnabit. Omnia igitur offert patri, ut accipiant quæ dicuntur. Deinde quod non possibile fuerit, ex prophetia adducit. Videamus itaque denuo quæ supra sunt dicta. *Jesum*, inquit, *Nazarenum virum demonstratum à Deo erga vos.* Hoc est, de quo non est ambiguum, sed operibus demonstratum. Ita & Nicodemus di-

Joh. 3. 2. cebat: *Signa hæc nullus potest facere quæ tu facis.* Virtutibus, inquit, & prodigiis ac signis, quæ per illum fecit Deus in medio vestri, atque ita non clanculo, si in medio. Primum incipit ab his quæ illis nota erant, & deinde ad minus nota progreditur. Postea dicens: *Consilio Dei*: Ostendit quod non ipsi potuerint, & quod factum est sapienter quidem ac divina ordinatione & dispensatione. Et quod valde molestum illis fuisset, transiit. Ubique illis studium est, ostendere quod mortuus est: licet vos negetis inquit, illi testaturi sunt. Qui autem negotium fecit morti, multò magis iis qui crucifixerunt, poterit. Sed nihil tale dicit, quod potuerit vos occidere, sed simpliciter solum insinuavit. Jam autem discamus & nos per ea quæ dicta sunt, quid sit *tenere*. Qui enim dolet non tenet quod tenetur, neque operatur, sed patitur, & abjicere cupit. Et benè dixit. Dicit enim David de eo, ut ne prophetæ quod dictum est, imputes. Vides quomodo interpretatur mox prophetiam, & nudam constituit, manifestans quomodo super thronum illius sedeat. Regnum enim spirituale in cœlis est. Vide quomodo cum resurrectione & regnum declarat in resurrectione; ostendit quod necessitas fuerit prophetæ dicendi. De illo enim erat prophetia. Quare non dixit de regno illius, sed de resurrectione illius? Magnum hoc erat. Quomodo autem super thronum sedit? regnans Judæis: quod si Judæis, multò magis his qui crucifixerunt ipsum. *Non enim caro ejus vidit*, inquit, *corruptionem.* Hoc resurrectione videtur quidem minus esse, veruntamen idem est. *Illum Jesum suscitavit Deus.* Vide quomodo non aliter illum vocat. *Cujus omnes nos testes sumus: dextera igitur Dei exaltatus.* Iterum ad patrem confugit, quamvis sufficiebat dicere quod prius, sed scit quantum momenti hoc habeat. Hic & de assumptione insinuat & quod in cœlis sit: cæterum neque istud manifestè dicit. *Et promissione Spiritus Sancti accepta.* Vide quomodo incipiens dicit, quod non ipsemet illum demisit, sed pater. Postquam autem meminit signorum illius, & quæ Judæi fecerant illi, & de resurrectione disseruit, liberè postea & de his sermonem inducit, iterum illos testes per utrosque sensus adducens. Porrò resurrectionis quidem sæpe memor est, sceleris autem illorum semel, ut ne illos gravet. *Et accepta*, inquit, *Spiritus Sancti promissione.* Hoc iterum est magnum, opinor autem quod nunc *promissionem* dicat eam, quæ ante passionem facta. Vide quomodo quod illius postea facit totum suum, magna illa occultè operans. Nam si ille effudit, de illo propheta locutus est superius, *In novissimis diebus effundam de spiritu meo super servos meos, & super ancillas meas, & dabo prodigia in cœlo supernè.* Vide quanta occultè interserit. Verum quoniam magna erant, iterum illa obumbrat in eo quod à patre accepit. Dixerat bona quæ facta, signa illa, & quod sit rex, quodque ad ipsos venerit. Dixerat quod ipse spiritum det: quæcunque enim dicere quis poterit, nisi ad utilitatem tendat, temerè dicit:

Matt. 3, 11. Quemadmodum & Joannes facit: *Hic vos dicens baptizabit in Spiritu Sancto.* Et ostendit, quod non solum ipsum non minuerit, sed etiam clariorem effecerit, quandoquidem olim quidem promiserat ei Deus, tunc autem dedit. Vel *promissionem* dicit quam nobis promisit, sicut præscius erat futuram, & majora nobis post crucem largitus est. *Et effudit*, inquit. Hic dignitatem evidenter tradit, & non simpliciter, sed etiam cum ubertate. Ideo & istuc ipsum manifestum faciens, adducit cætera. Postea enim liberè & de assumptione in cœlos loquitur. Et non simpliciter, sed iterum testem adducens, & illius meminit, de quo Christus dixit: *Non enim David*, inquit, *ascendit in cœlos.* Hic jam non cum demissione concionatur, habens ex dictis fiduciam. Neque dicit, licet dicere, neque ulla talia.

A ἐπειδὴ γὰρ αὐτοὺς κατεπράϋνε τοῖς λόγοις, θαῤῥῶν λοιπὸν παρρησιάζεται ὁ προφήτης· καὶ περὶ τῆς ἀναστάσεως διαλέγεται. ὅτι οὔτε ἡ ψυχὴ αὐτοῦ ἐγκατελείφθη εἰς ᾅδου, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθοράν. τοῦτο πάλιν θαυμαστόν. δείκνυσι γὰρ ὅτι οὐχ ὁμοία τοῖς ἄλλοις ἡ ἀνάστασις. κατέσχε μὲν γὰρ αὐτὸν, οὐκ εἰργάσατο δὲ τὸ αὐτοῦ τότε ὁ θάνατος. καὶ τὸ μὲν ἁμάρτημα εἶπε συσκιάσας, τὴν δὲ τιμωρίαν οὐκ ἐπήγαγεν· ἀλλ᾽ ὅτι μὲν ἀνεῖλον, ἐδήλωσε· λοιπὸν δὲ ἐπὶ τὸ σημεῖον
B ἔρχεται τὸ τοῦ Θεοῦ. ὅταν δὲ ἀποδειχθῇ, ὅτι δίκαιος ὁ ἀναιρεθεὶς, καὶ ὅτι Θεοῦ φίλος, κἂν σιωπήσῃς τὴν κόλασιν, μᾶλλόν σου καταγνώσεται ἑαυτοῦ ὁ ἡμαρτηκώς. πάντα τοίνυν ἀνατίθησι τῷ πατρὶ, ἵνα δέξωνται τὰ λεγόμενα. εἶτα τὸ, οὐ δυνατὸν, ἀπὸ τῆς προφητείας ἐπάγει. ἴδωμεν τοίνυν ἄνωθεν πάλιν τὰ εἰρημένα. Ἰησοῦν, φησὶ, τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς· τουτέστιν, οὐκ ἀμφισβητούμενον, ἀλλ᾽ ἀποδεδειγμένον διὰ τῶν ἔρ-
C γων. οὕτω καὶ ὁ Νικόδημος ἔλεγε· τὰ σημεῖα ταῦτα οὐδεὶς δύναται ποιεῖν ἃ σὺ ποιεῖς. δυνάμεσι, φησὶ, καὶ τέρασι καὶ σημείοις οἷς ἐποίησε δι᾽ αὐτοῦ ὁ Θεὸς ἐν μέσῳ ὑμῶν. ὥστε οὐ λάθρα [εἰ ἐν μέσῳ.] πρῶτον ἀπὸ τῶν ἐκείνοις γνωρίμων ἄρχεται, καὶ τότε ἐπὶ τὰ ἄδηλα ἔρχεται. εἶτα [λέγων, τῇ τοῦ Θεοῦ βουλῇ,] δείκνυσιν ὅτι οὐκ αὐτοὶ ἴσχυσαν, καὶ ὅτι σοφὸν ἦν τὸ γινόμενον καὶ οἰκονομίας, ὅπερ ὑπὲρ τοῦ Θεοῦ ἦν. καὶ τὸ φορτικὸν ταχέως παρῆλθε. σπουδὴ γὰρ αὐτοῖς πανταχοῦ
D δεῖξαι ὅτι τέθνηκε· κἂν ὑμεῖς ἀρνήσησθε, φησὶν, ἐκεῖνοι μαρτυρήσουσιν. ὁ δὲ τῷ θανάτῳ πράγματα παρέχων, πολλῷ μᾶλλον τοῖς σταυρώσασιν. ἀλλ᾽ οὐδὲν τοιοῦτον λέγει ὅτι ἠδύνατο ὑμᾶς ἀναιρεῖν, ἀλλ᾽ ἁπλῶς μόνον ἐνέφηνε. τέως δὲ μανθάνομεν καὶ ἡμεῖς διὰ τῶν εἰρημένων τί ἐστι τὸ κατέχεσθαι. ὁ γὰρ ὠδίνων, οὐ κατέχει τὸ κατεχόμενον, οὐδὲ δρᾷ· ἀλλὰ πάσχει [καὶ] ῥῖψαι σπουδάζει. καὶ καλῶς εἶπε. Δαβὶδ γὰρ λέγει εἰς αὐτὸν, ἵνα μὴ εἰς τὸν προφήτην ἑλκύσῃς τὸ εἰρη-
E μένον. ὁρᾷς πῶς ἑρμηνεύει λοιπὸν τὴν προφητείαν καὶ γυμνὴν ἵστησι, δηλῶν πῶς ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐτοῦ; ἡ γὰρ κατὰ πνεῦμα βασιλεία, ἐν οὐρανοῖς. ὅρα πῶς μετὰ τῆς ἀναστάσεως καὶ τὴν βασιλείαν ἐνέφηνεν ἐν τῷ ἀναστῆναι. δείκνυσιν, ὅτι ἀνάγκην εἶχεν ὁ προφήτης. περὶ γὰρ αὐτοῦ ἦν ἡ προφητεία. διατί μὴ εἶπε, περὶ τῆς βασιλείας αὐτοῦ· ἀλλὰ περὶ τῆς ἀναστάσεως αὐτοῦ; μέγα τοῦτο ἦν. πῶς δὲ ἐπὶ τοῦ θρόνου ἐκάθισε; βασιλεύων Ἰουδαίων. εἰ δὲ Ἰουδαίων, πολλῷ μᾶλλον
A τῶν σταυρωσάντων αὐτόν. οὐ γὰρ ἡ σὰρξ αὐτοῦ οὐδέ φησι διαφθοράν. τοῦτο τῆς ἀναστάσεως δοκεῖ μὲν ἧττον εἶναι, πλὴν τὸ αὐτό ἐστι. τοῦτον τὸν Ἰησοῦν ἀνέστησεν ὁ Θεός. ὅρα πῶς οὐ καλεῖ αὐτὸν ἑτέρως. οὗ πάντες ἡμεῖς ἐσμὲν μάρτυρες. τῇ δεξιᾷ οὖν τοῦ Θεοῦ ὑψωθείς. πάλιν ἐπὶ τὸν πατέρα καταφεύγει, καίτοι γε ἤρκει εἰπεῖν τὸ πρότερον· ἀλλ᾽ εἰδὼς ὅσον τοῦτό ἐστιν. ἐνταῦθα καὶ περὶ τῆς ἀναλήψεως ἠνίξατο, καὶ ὅτι ἐν τοῖς οὐρανοῖς ἐστιν, ἀλλ᾽ οὐδὲ αὐτὸ φανερῶς λέγει. τήν τε ἐπαγγελίαν,
B φησὶ, τοῦ πνεύματος τοῦ ἁγίου λαβών. ὅρα πῶς ἀρχόμενος μὲν οὐχ ἑαυτὸν ἔφη αὐτὸ καταπεπομφέναι, ἀλλὰ τὸν πατέρα. ἐπειδὴ δὲ ἐμνήσθη τῶν σημείων αὐτοῦ καὶ τῶν εἰς αὐτὸν γεγενημένων παρὰ Ἰουδαίων, καὶ περὶ τῆς ἀναστάσεως διελέχθη, θαῤῥῶν λοιπὸν καὶ τὸν περὶ τούτων εἰσάγει λόγον, πάλιν αὐτοὺς μάρτυρας δι᾽ ἑκατέρου τῶν αἰσθητηρίων παράγων. καὶ τῆς μὲν ἀναστάσεως συνεχῶς μέμνηται, τοῦ δὲ τολμήματος [αὐτῶν] ἅπαξ, [ἵνα μὴ αὐτοὺς βαρήσῃ.] τήν τε ἐπαγγελίαν φησὶ τοῦ πνεύ-
C ματος τοῦ ἁγίου λαβών. τοῦτο πάλιν μέγα. οἶμαι δὲ, νῦν ἐπαγγελίαν αὐτὸν λέγειν τὴν πρὸ τοῦ παθεῖν. ὅρα πῶς αὐτοῦ ποιεῖ αὐτὸ λοιπὸν ὅλον, μέγα λανθανόντως αὐτὸ ἐργαζόμενος. εἰ γὰρ αὐτὸς ἐξέχεε, περὶ αὐτοῦ ὁ προφήτης εἴρηκεν ἀνωτέρω· ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ τοὺς δούλους μου καὶ ἐπὶ τὰς δούλας μου, καὶ δώσω τέρατα ἐν τῷ οὐρανῷ ἄνω. ὅρα ὅσα λανθανόντως ἐντίθησιν. ἀλλ᾽ ἐπειδὴ μέγα ἦν, πάλιν αὐτὸ συσκιάζει, τῷ παρὰ τοῦ πατρὸς
D λαβεῖν. εἶπε τὰ γεγενημένα ἀγαθὰ, τὰ σημεῖα· εἶπεν, ὅτι βασιλεύς ἐστιν· ὅτι εἰς αὐτοὺς ἦλθεν· εἶπεν, ὅτι αὐτὸς τὸ πνεῦμα δίδωσιν. ὅσα γὰρ ἂν εἴπῃ τις, εἰ μὴ εἰς τὸ συμφέρον τελευτήσει, εἰκῆ λέγει. ὥσπερ καὶ Ἰωάννης [ποιεῖ,] οὗτος ὑμᾶς λέγων βαπτίσει ἐν πνεύματι ἁγίῳ. καὶ δείκνυσιν, ὅτι ὁ σταυρὸς οὐ μόνον αὐτὸν οὐκ ἠλάττωσεν, ἀλλὰ καὶ λαμπρότερον εἰργάσατο, ὅς γε πάλαι μὲν ἐπηγγέλλετο ὁ Θεὸς αὐτῷ, τότε δὲ ἔδωκεν. ἢ ἐπαγγελίαν φησὶν ἣν ἡμῖν ἐπηγγείλατο. οὕτω προῄδει ἐσομένην, καὶ μείζονα ἡμῖν μετὰ τὸν σταυρὸν ἐχαρίσατο. καὶ ἐξέχεε φη-
E σίν. [ἐνταῦθα] τὸ ἀξίωμα ἐμφαίνει· καὶ [ὅτι] οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ δαψιλείας. [διὸ] καὶ αὐτὸ τοῦτο δῆλον ποιῶν, ἐπάγει τὰ ἑξῆς. λοιπὸν γὰρ θαῤῥοῦντως μετὰ τὴν τοῦ πνεύματος δόσιν καὶ περὶ τῆς εἰς τοὺς οὐρανοὺς ἀναλήψεως διαλέγεται. καὶ οὐχ ἁπλῶς, ἀλλὰ πάλιν τὸν μάρτυρα παράγων, καὶ ἐκείνου ἀναμιμνήσκων περὶ οὗ ὁ Χριστὸς εἶπεν. οὐ γὰρ Δαβὶδ ἀνέβη φησὶν, εἰς [τοὺς] οὐρανούς· ἐνταῦθα οὐκ ἔτι μεθ᾽ ὑποστολῆς δημηγορεῖ ἔχων τὸ ἀπὸ τῶν εἰρημένων θάρσος, οὐδὲ λέγει, ἐξὸν εἰπεῖν, οὐδὲ ὅσα τοιαῦτα· λέγει δὲ φανερῶς, εἶπεν ὁ

Κύριος.

Κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. εἰ δὲ τοῦ Δαβὶδ Κύριος, πολλῷ μᾶλλον αὐτῶν. κάθου ἐκ δεξιῶν μου. τὸ πᾶν ἐνταῦθα τέθεικεν. ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, ἐνταῦθα καὶ φόβον ἐπέστησε μέγαν, καθάπερ ἐν τῇ ἀρχῇ ἔδειξεν, οἷα τοὺς φίλους ἐργάζεται, οἷα τοὺς ἐχθρούς· καὶ πάλιν τὴν κράτησιν, ἵνα μὴ ἀπιστῆται, τῷ πατρὶ ἀνατίθησιν. ἐπεὶ οὖν μεγάλα ἐφθέγξατο, πάλιν ἐπὶ τὰ ταπεινὰ τὸν λόγον κατάγει. ἀσφαλῶς οὖν γινωσκέτω [φησὶ] πᾶς οἶκος Ἰσραήλ· τουτέστι, μὴ ἀμφισβητεῖτε, μηδὲ ἀμφιβάλλετε. εἶτα καὶ ἐπιτακτικῶς λοιπόν· ὅτι καὶ Κύριον αὐτὸν καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε. τοῦτο ἀπὸ τοῦ Δαβὶδ καὶ ἀπὸ τοῦ ψαλμοῦ ἐμνημόνευσε. δέον γὰρ εἰπεῖν, ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ, ὅτι ἐκ δεξιῶν κάθηται, ὅπερ ἦν μέγα, τοῦτο ἀφεὶς ἕτερον ἐπάγει τὸ πολὺ ταπεινότερον, εἰπὼν, ἐποίησε· τουτέστι, κατέστησεν. ὥστε οὐδὲν περὶ οὐσιώσεως ἐνταῦθα, ἀλλὰ πᾶν φησι περὶ τούτου. τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε. καλῶς ἐνταῦθα ἔληξε, διασείων αὐτῶν τὴν διάνοιαν. ἐπειδὴ γὰρ ἔδειξεν ἡλίκον ἐστὶ, τότε λοιπὸν καὶ τὸ τόλμημα ἐγύμνωσεν, ὥστε μεῖζον δεῖξαι, καὶ τῷ φόβῳ αὐτοὺς ἑλεῖν. οὐ γὰρ οὕτως οἱ ἄνθρωποι ταῖς εὐεργεσίαις ἐπάγονται, ὡς τῷ φόβῳ σωφρονίζονται· οἱ δὲ θαυμαστοὶ καὶ μεγάλοι καὶ Θεῷ φίλοι, οὐδενὸς τούτων δέονται· οἷος ὁ Παῦλος ἦν. οὐ γὰρ βασιλείας, οὐ γεέννης λόγον ἐποιεῖτο. τοῦτό ἐστι φιλεῖν τὸν Χριστόν· τοῦτο μὴ μισθωτὸν εἶναι, μηδὲ πραγματείαν καὶ καπηλείαν ἡγεῖσθαι, ἀλλ' ὄντως ἐνάρετον εἶναι, καὶ διὰ τὸ τῷ Θεῷ φίλον πάντα ποιεῖν. πόσων οὖν δακρύων ἄξιοι, ὅταν τοσοῦτον ὀφείλοντες μέτρον, μηδὲ ὡς κάπηλοι μετιῶμεν τὴν βασιλείαν τῶν οὐρανῶν; τοσαῦτα ἡμῖν ὑπισχνεῖται, καὶ οὐδὲ οὕτως ἀκούομεν. τί ταύτης τῆς ἔχθρας ἴσον γένοιτο ἄν; καί τοι γε οἱ περὶ χρήματα μαινόμενοι, κἂν ἐχθροὺς, κἂν δούλους, κἂν πολεμιωτάτους εὕρωσι, κἂν πάντα κακούς· μόνον δὲ προσδοκήσωσιν, ὅτι χρήματα δι' αὐτῶν δυνήσονται λαβεῖν, πάντα ποιοῦσι, καὶ κολακεύουσι, καὶ θεραπεύουσι, καὶ δοῦλοι γίνονται, καὶ πάντων ἡγοῦνται αὐτοὺς σεμνοτέρους εἶναι, ἵνα λάβωσι παρ' αὐτῶν. ἡ γὰρ τῶν χρημάτων ἐλπὶς, οὐδὲν τούτων αὐτοὺς ἀφίησιν ἐννοῆσαι. βασιλεία δὲ οὐκ ἴσχυσεν ὅσα χρήματα· μᾶλλον δὲ οὐδὲ τὸ πολλοστόν· καί τοι οὐδὲ ὁ τυχὼν ἐστὶν ὁ ἐπαγγελλόμενος αὐτὴν, ἀλλ' [ὃ] ἀσυγκρίτως καὶ τῆς βασιλείας αὐτῆς μείζων. ὅταν δὲ καὶ τὸ ἐπαγγελλόμενον βασιλεία, καὶ Θεὸς ὁ ταύτην διδοὺς, μέγα καὶ αὐτὸ τὸ παρὰ τοιούτου λαμβάνειν. νῦν δὲ ταὐτὸν γίνεται, ὥσπερ ἂν εἰ βασιλεὺς μὲν κληρονόμους αὐτοὺς καὶ συγκληρονόμους τῷ υἱῷ βουλόμενος ποιῆσαι μετὰ μυρίας καὶ ἑτέρας εὐεργεσίας καταφρονοῖτο· λῄσταρχος δὲ μυρία καὶ ἡμᾶς καὶ τοὺς γονεῖς τοὺς ἡμετέρους διαθεὶς, καὶ μυρίων γέμων κακῶν, καὶ καταισχύνας ἡμῶν καὶ τὴν δόξαν καὶ τὴν σωτηρίαν, ἕνα μόνον ὀβολὸν δείξας προσκυνοῖτο παρ' ἡμῶν. βασιλείαν ἐπαγγέλλεται ὁ Θεὸς, καὶ καταφρονεῖται· γέενναν προξενεῖ ὁ διάβολος, καὶ τιμᾶται. οὗτος Θεὸς, ἐκεῖνος διάβολος. ἀλλ' ἴδωμεν τῶν ἐπιταγμάτων τὸ διάφορον. εἰ γὰρ μηδὲν τούτων ἦν, μηδὲ οὗτος μὲν Θεὸς, ἐκεῖνος δὲ διάβολος· μηδὲ οὗτος μὲν βασιλείαν, ἐκεῖνος δὲ γέενναν προὐξένει, αὐτὴ τῶν ἐπιταγμάτων ἡ φύσις, οὐχ ἱκανὴ πεῖσαι τούτῳ προσθέσθαι; τί δαὶ καὶ ἑκάτερος ἐπιτάττει; ἐκεῖνος τὰ καταισχύνοντα· οὗτος τὰ ἐνδόξους ποιοῦντα. ἐκεῖνος τὰ μυρίαις περιβάλλοντα συμφοραῖς καὶ ἀσχημοσύναις· οὗτος τὰ πολλὴν τὴν ἄνεσιν ἔχοντα. ὅρα γάρ· οὗτος λέγει, μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ἐκεῖνός φησιν, ἄγριος ἔσο καὶ ἀνήμερος, καὶ ἀκρόχολος καὶ ὀργίλος, καὶ θηρίον μᾶλλον, ἢ ἄνθρωπος. ἴδωμεν οὖν τί χρησιμώτερον· τί δαὶ ὠφελιμώτερον. ἀλλὰ μὴ τοῦτο μόνον· ἀλλ' ἐννόησον ὅτι ὁ μὲν διάβολός ἐστι. μάλιστα γὰρ ἂν ἐκεῖνο δειχθῇ, πάλιν τὰ νικητήρια ἔσται μείζονα. οὐ γὰρ ὁ εὔκολα ἐπιτάττων οὗτος κηδεμὼν, ἀλλ' ὁ συμφέροντα. ἐπεὶ καὶ πατέρες φορτικὰ ἐπιτάττουσι, καὶ δεσπόται πάλιν ὁμοίως δούλοις· ἀλλὰ διὰ τοῦτο οἱ μέν εἰσι πατέρες, οἱ δὲ δεσπόται· ἐκεῖνοι δὲ ἀνδραποδισταὶ καὶ λυμεῶνες καὶ πάντα [τὰ] ἐναντία. πλὴν ὅτι καὶ ἡδονὴν ἔχει, δῆλον ἐκεῖθεν. ἐν τίσι γὰρ νομίζεις εἶναι τὸν ἀκρόχολον; ἐν τίσι δὲ τὸν ἀνεξίκακον καὶ πρᾷον; οὐχὶ τούτου μὲν ἡ ψυχὴ ἐρημίᾳ τινὶ πολλὴν ἐχούσῃ τὴν ἡσυχίαν ἔοικεν· ἡ ἐκείνου δὲ ἀγορᾷ καὶ θορύβῳ, ἔνθα πολλὴ ἡ κραυγὴ τῶν ἀκολούθων, καὶ καμήλοις, καὶ ἡμιόνοις, καὶ ὄνοις, μεγάλα τοῖς προσιοῦσιν ἐμβοώντων ὥστε μὴ καταπατηθῆναι; οὐχ ἡ μὲν τοῦ τοιούτου ταῖς μέσαις πάλιν τῶν πόλεων ἐοικυῖά ἐστιν, ἔνθα νῦν μὲν ἐντεῦθεν ἀργυροκόπων, νῦν δὲ ἐκεῖθεν τῶν χαλκοτύπων ὁ ἦχος πολὺς γίνεται, καὶ οἱ μὲν ἐπηρεάζουσιν, οἱ δὲ ἐπηρεάζονται; ἀλλ' ἡ τούτου, κορυφῇ τινι ἔοικεν ὄρους, λεπτὴν μὲν ἐχούσῃ τὴν αὔραν, καθαρὰν δὲ τὴν ἀκτῖνα δεχομένῃ, διειδῆ τὰ νάματα προχεούσῃ τῶν πηγῶν, καὶ πολλὰς τῶν ἀνθέων περιβαλλομένῃ τὰς χάριτας, τῶν ἐαρινῶν ὁμοίως λειμώνων τε καὶ παραδείσων, ἢ φυτοῖς καὶ ἄνθεσι κομώντων καὶ καταρρύτοις ὕδασιν.

Dicit autem manifeste: *Dixit Dominus Domino meo, sede à dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.* Jam si Dominus est Davidis, multo magis illorum. *Sede à dextris meis.* Totum hic posuit. Donec posuero inimicos tuos scabellum pedum tuorum. Hic etiam magnum metum incutit, quemadmodum initio monstravit, qualis amicis, qualia etiam inimicis faciat. Et iterum potentiam, ut ne minus credatur, patri acceptam fert. Itaque quoniam magna locutus, iterum ad humilia sermonem deducit: *Certo igitur sciat*, inquit, *tota domus Israel.* Hoc est, ne dubitetis, ne ambigatis: postea & aperte definit: *Quia & Dominum illum, & Christum Deus fecit.* Hoc à David, & à Psalmo commemorat. Oportebat enim dicere: Certo igitur cognoscat omnis domus Israël, quod à dextris sedet: id quod magnum erat, sed eo relicto, aliud adducit multo humilius, ubi dixit, *fecit*: hoc est, constituit, atque adeo nihil hic de substantia dicitur, sed totum de hoc dicit: *Hunc Jesum quem vos crucifixistis.* Bene hic desinit, concutiens illorum mentem. Quoniam enim ostendit, quantum hoc sit facinus, tunc tandem & ipsum aperuit, ut sic majus ostendatur, & metu illos corripiat. Non enim sic homines beneficiis adducuntur, ut timore castigantur. Verùm admirabiles illi & magni amici Dei neutro horum indigent, qualis scilicet Paulus erat. Neque enim regnum vel gehennam magni faciebat, & hoc est amare Christum, hoc est, non esse mercenarium, neque quæstum vel negotiationem existimare, sed verè esse virtute præditum, & omnia facere eo quod grata sint Deo. Quantis igitur lachrymis digni, qui tantam debentes mensuram, neque ut negotiatores ambimus regnum cœlorum. Tanta nobis pollicetur, & neque sic audimus. Quid huic inimicitiæ comparari poterit, quamvis ij qui insana pecuniarum cupiditate laborant, sive servos, sive hostes, sive inimicissimos inveniant, unum hoc expectant, si possint ab illis pecunias accipere, omnia faciunt, & adulantur, & serviunt, & servituti se addicunt omnibusque se putant esse honestiores, ut quid ab illis accipiant. Pecuniarum enim spes, nihil horum illos sinit cogitare. Regnum autem non valet conquirere tantas divitias, neque tam multiplices, quamvis neque is qui allecutus est promittit illud, sed incomparabiliter etiam ipso regno major est. Quando autem & quod promittitur regnum est, & Deus qui illud promittit magnum utique fuerit illud à tali accipere. Nunc autem perinde fit, ac si rex quidem hæredes suos & cohæredes filio volens facere, post innumera etiam alia beneficia contemnatur. Princeps autem latronum, qui innumeris malis & nos & parentes nostros affecit, & implevit, & confundens nostram cùm gloriam, tum salutem, unico duntaxat obolo monstrato adoratur à nobis. Regnum promittit Deus & contemnitur, gehennam apparat diabolus & honoratur: ille Deus est, hic verò diabolus: sed videamus præceptorum discrimen. Si enim nihil horum esset, & hic non esset diabolus, ille verò non esset Deus: & hic non gehennam, nec ille regnum exhiberet: nónne ipsa mandatorum natura sufficeret ad hoc persuadendum? Quid igitur uterque imperat? hic ea quæ confundunt, ille ea quæ gloriosos reddunt: hic ea quæ innumeris involvunt calamitatibus ac turpitudinibus, ille ea quæ multum refrigerii concedunt. Vide enim. Ille dicit: *Discite à me, quia mitis sum & humilis corde; & invenietis requiem animabus vestris.* (Matth. 11. 29.) Hic inquit: Ferox esto & immansuetus, ac iracundus, & bestia magis quàm homo. Videamus igitur quid utilius? quid conducibilius? sed non hoc solum, sed cogita quod ille diabolus est, maximè enim illud monstratum est. Ad hæc triumphi erunt majores: non enim facilia imperat hic curator, sed utilia tamen. Quia & patres molesta imperant, & Domini servis. Sed propter hoc alii quidem patres sunt ac Domini, alii vero abigei & raptores hominum damnosi, suntque omnia contraria. Veruntamen quod & voluptatem habet, hinc manifestum. In quibus autem putas esse iracundum, in quibus etiam tolerantem malorum ac mansuetum? Nónne hujus anima solitudini cuipiam habenti multam quietem comparatur, illius verò foro & turbæ, in quo multus clamor sequentium camelos & mulos ac asinos, multum ad accedentes exclamantibus, ne conculcentur. Nónne illa quidem mediis quidem civitatibus comparata, in quibus hinc argenti fabrorum, inde ærifabrorum magnus auditur sonitus, & alii quidem invadunt, alii autem invaduntur: sed hæc vertici cuidam montis est similis, in quo lenis flat aura, & purus splendor fulget, & perspicua fontium ebulliunt fluenta, & multiplex florum producitur gratia, uti sunt verna prata ac horti, florentibus arboribus & flosculis, & defluentibus aquis.

Quid

Quid si & sonus auditus fuerit, dulcis est, & multam effundit voluptatem: nam vel aves cantillantes summis arboribus insident, & cicadæ, & philomelæ, & hirundines concorditer unam quandam perficiunt musicam: vel zephyrus blandè allidit arborum ramos in quercubus & pinis, stridens etiam olores imitatur: vel pratum rosas producens & lilia inter se collisa & commota, quasi pelagus parum undabundum referunt. Imò multas quis invenerit similitudines: nam quando quis rosas aspexerit, iridem putabit videre: quando autem violas, mare undabundum: quando verò lilia, cœlum. Neque spectaculo solo & aspectu oblectatur tunc talis, sed & ipso corpore: nam & refrigeratur, & respirat, ita ut in cœlo potius quàm in terra videatur esse. Est & alius sonus quidam, quando aqua à summa altitudine per tubos suo motu fertur & blando strepitu subjectis silicibus obstrepit: ita relaxat membra nostra voluptas, ut etiam oculis somnum membra foventem immittat. Libenter audivistis narrationem, forsan etiam solitudinis facti amatores, sed hac solitudine multò suavior longanimis anima: non enim ut pratum describeremus, neque ut ad ostentationem sermonem ducamus, hanc attiginus similitudinem, sed ut per hanc descriptionem videremus quanta sit longanimorum voluptas, & quod multò suavius sit viro mansueto convivere, majoráque emolumenta ab illo accipiantur, quam si in talibus versetur locis. Hos imitemini. Quando enim neque validus ventus ex tali anima egreditur, sed benigni quidam sermones ac blandi, & zephyro placido rectè comparantur, dum admonitiones nihil habent asperum, sed aves cantillantes imitantur, quomodo igitur hoc non melius? non enim corpori accidit sermonis aura, sed animas reficit. Non ita statim medicus febricitantem hominem à febribus liberarit sua cura, ut longanimis vir & iracundum, & præ ira flagrantem apprehensum refrigerabit per spiritum propriorum sermonum. Et quid de medicis dico? Neque ferrum ignitum & aquæ intinctum ita statim calorem amittit, sicut si incidat in animam longanimem homo iracundus. Sicut autem si in forum ingrediantur cantillantes aves, & nugæ esse videntur, ita etiam nostra præcepta in animas iracundas immissa. Nónne suavior mansuetudo quàm ira & temeritas? & non hoc solùm, sed etiam hoc quidem diabolus, illud verò Deus imperavit. Videte quod non temerè dixi, quod si etiam non esset diabolus, nec Deus: illa tamen præcepta sufficiant vos ad abducendum. Nam mansuetus quidem sibi ipsi dulcis, & aliis est utilis. Iracundus verò & sibi insuavis & aliis damnosus. Nihil insuavius homine iracundo, nihil onerosius, nihil molestius, nihil fœdius, quemadmodum scilicet nihil suavius est eo qui nescit irasci. Melius est cohabitare bestiæ, quàm homini tali: nam illa quidem si semel cicuretur, servat suam legem: illum autem quoties placaveris, iterum exasperatur. Sibi enim habitum quendam talem indidit semel. Quemadmodum enim dies candidus ac lucidus, & hyems plena conturbatione, inter se multum distant, ita etiam iracundi ac mansueti animæ. Sed nondum quæ ab illis ad alios veniunt incommoda, sed solùm quæ sibi ipsis inferunt, audivimus: quamvis & hoc non parvum damnum, alium damno affecisse. Veruntameo nunc hoc consideremus, quis lictor latera sic confringere poterit? quæ veruta ignita sic transfigunt & explorant corpus? quæ insania sic stupida reddit naturalia præcordia, ut ira & furor? Scio multos ex ira morbos natos, suntque febres illæ acutissimæ. Si autem corpora ita offenduntur, cogita animam. Ne enim ratiocineris tecum quod non vides, sed cogita quod si ille qui accipit malitiam, ita offenditur, id quod parit quantum suscipit damnum? multi oculos perdiderunt, multi in morbum gravissimum inciderunt: attamen ille quidem fortiter fert omnia & facilè, quamvis imperet molesta, & horum mercedem ponat gehennam, & diabolus ac inimicus salutis nostræ sit, & magis illi obtemperamus quàm Christo, qui salvator est ac benefactor, taliáque dicit, quæ & utiliora & suaviora sunt & nobis & his qui nobiscum vivunt maximè. Nihil ira deterius profectò, & intempestivo furore: non fert longam moram, acutus morbus est. Sæpe & verbum quis per furorem effudit & perdit, quo ad ministerium totius vitæ opus habet, & facit aliquid quod totam vitam ejus subvertit. Molestum enim hoc est quod quis in brevi tempore, & uno opere,

A οὕτως δὲ καὶ ἠχὴ γένοιτο, λιγυρὰ καὶ πολλὴν καταχέουσα τῶν ἀκουόντων τὴν ἡδονήν. ἢ γὰρ ὄρνιθες ᾠδικοὶ ἄκροις τῶν δένδρων ἐφιζάνουσι τοῖς πετάλοις, καὶ τέττιγες, καὶ ἀηδόνες, καὶ χελιδόνες, συμφώνως μίαν τινὰ ἀποτελοῦσι μουσικήν· ἢ ζέφυρος ἠρέμα τῶν πετάλων τοῖς δένδρεσι προσπίπτων, πίτυς καὶ πεύκας συρίζουσας καὶ κύκνους πολλάκις μιμοῦνται· ἢ λειμὼν ῥόδα προβάλλων καὶ κρίνα ἀλλήλοις προσκεκλιμένα καὶ κυανίζοντα, καθάπερ πέλαγος κυανὸν ἠρέμα κυ-
B ματούμενον δείκνυσι· μᾶλλον δὲ πολλὰς εἰκόνας εὕροι τις ἄν. ὅταν μὲν γὰρ εἰς τὰ ῥόδα τις ἀποβλέψῃ, τὴν ἶριν οἰήσεται καθορᾶν· ὅταν δὲ εἰς τὰ ἴα, θάλατταν κυματουμένην· ὅταν δὲ εἰς τὰ κρίνα, τὸν οὐρανόν. οὐ τῇ θέᾳ δὲ μόνον, οὐδὲ τῇ ὄψει τέρπει τότε ὁ τοιοῦτος, ἀλλὰ καὶ τῷ σώματι αὐτῷ ὁ πρὸς τὸν λειμῶνα ὁρῶν ἐκεῖνον, μᾶλλον ἀνίησί τε καὶ ἀναπνεῖν ποιεῖ. ὥστε νομίζειν ἐν οὐρανῷ μᾶλλον εἶναι ἢ ἐπὶ γῆς. ἔστι καὶ ἑτέρα τις ἠχή· ὅταν ὕδωρ
C ἀπὸ τῆς ἀκρωρείας διὰ χαράδρων αὐτομάτως φερόμενον, καὶ ταῖς ὑποκειμέναις ψηφῖσιν ἠρέμα ἐπιψοφοῦν ἡσύχῳ κτύπῳ, οὕτως ἐκλύει τὰ μέλη ἡμῶν τῇ ἡδονῇ, ὥστε καὶ ταχέως τὸν λυσιμελῆ τοῖς ὀφθαλμοῖς ὕπνον ἐπάγειν. ἡδέως ἠκούσατε τοῦ διηγήματος; τάχα καὶ ἐρασταὶ γεγόνατε ἐρημίας. ἀλλὰ ταύτης τῆς ἐρημίας ἡδίων πολλῷ ἡ τοῦ μακροθύμου ψυχή. οὐ γὰρ ἵνα λειμῶνα ὑπογράψωμεν, οὐδὲ ἵνα πρὸς ἐπίδειξιν τὸν λόγον ἀγάγωμεν, ταύτης ἡψάμεθα τῆς εἰ-
D κόνος· ἀλλ' ἵνα διὰ τῆς ὑπογραφῆς ἰδόντες ὅση τῶν μακροθύμων ἡ ἡδονή· καὶ ὅτι πολλῷ ἀνδρὶ μακροθύμῳ συγγινόμενος ἄν τις καὶ ἥδοιτο καὶ ὠφελοῖτο, ἢ τοιούτοις ὁμιλήσας χωρίοις, τούτους μεταδιώκητε. ὅταν γὰρ μηδὲ πνεῦμα σφοδρὸν ἀπὸ ταύτης ἐξέρχηται τῆς ψυχῆς, ἀλλ' ἥμεροί τινες λόγοι καὶ προσηνεῖς, καὶ οὕτως ἐκεῖνο τὸ ζεφύρου ἠρεμαῖον εἰκονίζοντες· καὶ παραινέσεις οὐδὲν μὲν ἔχουσαι στῦφον, τοὺς δὲ ὄρνιθας τοὺς ᾠδικοὺς μιμούμεναι· πῶς οὐ τοῦτο βέλτιον;
E οὐ γὰρ σώματι προσπίπτει τοῦ λόγου ἡ αὔρα, ἀλλὰ ψυχὰς ἀνίησιν. οὐκ ἂν ἰατρὸς πυρέττοντα ἄνθρωπον οὕτω ταχέως ἀπαλλάξειε τοῦ πυρετοῦ, δι' οἱασδήποτε σπουδῆς ὡς μακρόθυμος ἀνὴρ καὶ ὀργίλον καὶ καιόμενον ὑπὸ τῆς ὀργῆς λαβὼν, καταψύξειε διὰ τοῦ πνεύματος τῶν οἰκείων λόγων. καὶ τί λέγω ἰατρούς; οὐδὲ σίδηρος πεπυρωμένος καὶ ὕδατι βαπτόμενος οὕτω ταχέως τὴν θέρμην ὑφίσταται, ὡς εἰς μακρόθυμον ψυχὴν ἄνθρωπος ὀργίλος ἐμπεσών. καθά-
A περ δὲ ἐπὶ τῆς ἀγορᾶς, οἱ εἰσελθόντες ᾠδικοὶ ὄρνιθες, καὶ λῆρος εἶναι δοκοῦσιν· οὕτω δὴ καὶ τὰ παραγγέλματα τὰ ἡμέτερα, εἰς ψυχὰς ἀκροχόλους ἐμπίπτοντα. ἆρα ἡδίων ἐπιείκεια χολῆς καὶ θρασύτητος. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ τὸ μὲν ὁ διάβολος, τὸ δὲ ὁ Θεὸς ἐπέταξεν. ὁρᾶτε, ὅτι οὐχ ἁπλῶς εἶπον, ὅτι εἰ καὶ μὴ διάβολος ἦν καὶ Θεὸς, αὐτὰ τὰ ἐπιτάγματα ἱκανὰ ἦν ἡμᾶς ἀποστῆσαι; ὁ μὲν γὰρ καὶ ἑαυτῷ ἡδὺς, καὶ τοῖς ἄλλοις ὠφέλιμος· ὁ δὲ καὶ ἑαυτῷ ἀηδὴς, καὶ τοῖς ἄλλοις βλαβερός. οὐδὲν γὰρ ἀτερπέστε-
B ρον ἀνθρώπου χαλεποῦ· οὐδὲν φορτικώτερον· οὐδὲν ἐπαχθέστερον· οὐδὲν αἰσχρότερον· ὥσπερ οὖν τοῦ οὐκ εἰδότος χαλεπαίνειν οὐδὲν ἥδιον. θηρίῳ συνοικεῖν κάλλιον, ἢ ἀνθρώπῳ τοιούτῳ. ἐκεῖνο μὲν γὰρ ἐπειδὰν ἅπαξ ἡμερωθῇ, φυλάττει τὸν αὐτοῦ νόμον· οὗτος δὲ ὁσάκις ἂν ἡμερώσῃς, πάλιν ἐκθηριοῦται, ἅπαξ εἰς ἕξιν ἑαυτὸν τινὰ τοιαύτην καταστήσας. καθάπερ γὰρ ἡμέρα λευκὴ καὶ φαιδρὰ, καὶ χειμὼν γέμων πολλῆς τῆς κατηφείας, ἕτερα ἀλλήλων
C εἰσίν· οὕτως ἡ τοῦ ὀργιζομένου ψυχὴ καὶ τοῦ ἐπιεικοῦς. ἀλλὰ μήπω τὰ τοῖς ἄλλοις ἴδωμεν βλαβερὰ συμβαίνοντα, ἀλλὰ τὰ ἑαυτοῖς· καίτοι καὶ τοῦτο οὐ μικρὰ βλάβη, ἑτέρῳ τι δοῦναι κακόν. πλὴν ἀλλὰ τέως τοῦτο σκοπῶμεν· ποῖος δήμιος πλευρὰς οὕτω καταξαίνειν δυνήσεται; τίνες ὀβελίσκοι πεπυρωμένοι διέπειραν σῶμα; ποία μανία οὕτως ἐκστήσειεν ἂν τῶν κατὰ φύσιν φρενῶν, ὡς ὀργὴ καὶ παραπληξία; οἶδα πολλοὺς ἀπὸ ὀργῆς νόσους τεκόντας. καὶ οἱ χα-
D λεποὶ τῶν πυρετῶν, μάλιστα οὗτοί εἰσιν. εἰ δὲ σῶμα οὕτω λυμαίνονται, ἐννόησον τὴν ψυχήν. μὴ γὰρ λογίσῃ, ὅτι οὐχ ὁρᾷς· ἀλλ' ἐννόησον, ὅτι εἰ τὸ δεχόμενον τὴν κακίαν οὕτω βλάπτεται, τὸ τίκτον πόσην ἂν ὑποδέξηται βλάβην. πολλοὶ τοὺς ὀφθαλμοὺς ἀπώλεσαν· πολλοὶ εἰς νόσον βαρυτάτην κατέπεσον· ὁ μέντοι φέρει γενναίως, πάντα ὑποστήσεται εὐκόλως. ἀλλ' ὅμως καὶ τοιαῦτα ἐπιτάττει φορτικὰ, καὶ τούτων μισθὸν ἡμῖν τίθησι τὴν γέενναν. καὶ διάβολός ἐστι καὶ ἐχθρὸς
E τῆς σωτηρίας τῆς ἡμετέρας, καὶ μᾶλλον τούτῳ πειθόμεθα ἢ τῷ Χριστῷ, σωτῆρι ὄντι καὶ εὐεργέτῃ καὶ τοιαῦτα λέγοντι, ἃ καὶ ἡδίω καὶ ὠφελιμώτερα καὶ χρησιμώτερά ἐστι, καὶ ἡμᾶς καὶ τοὺς συνόντας ἡμῖν ὠφελεῖ τὰ μέγιστα. οὐδὲν ὀργῆς χεῖρον, ἀγαπητέ· οὐδὲν ἀκαίρου θυμοῦ. οὐ δεῖται πολλῆς τῆς ἀναβολῆς· ὀξὺ τὸ πάθος ἐστί. πολλάκις καὶ ῥῆμα ἐξέβαλέ τις ὑπὸ θυμοῦ, οὗ εἰς τὴν θεραπείαν ὁλοκλήρου δεῖται βίου· καὶ εἰργάσατό τι, ὃ πᾶσαν αὐτοῦ τὴν ζωὴν ἀνέτρεψε. τὸ γὰρ χαλεπὸν τοῦτό ἐστιν, ὅτι καὶ ἐν βραχεῖ καιρῷ, καὶ διὰ μιᾶς πράξεως,

καὶ

καὶ δι' ἑνὸς ῥήματος μόνου τῶν αἰωνίων ἡμᾶς πολλάκις ἐξέβαλεν ἀγαθῶν, καὶ μυρίοις ἐκένωσε πόνοις. διὸ παρακαλῶ πάντα ποιεῖν, ὥστε τὸ θηρίον τοῦτο χαλινοῦν. ἀλλὰ ταῦτα μὲν περὶ ἐπιεικείας καὶ θυμοῦ· εἰ δὲ καὶ τὰ ἄλλα τις προχειρίσαιτο τῷ λόγῳ, οἷον πλεονεξίαν, ὑπεροψίαν χρημάτων, ἀσέλγειαν, σωφροσύνην, φθόνον, χρηστότητα, καὶ ἀντεξετάσοι, καὶ ἄλλο εἴσεται τὴν διάφορον. εἴδετε πῶς ἀπὸ τῶν πραγμάτων μόνον ὁ μὲν Θεὸς, ὁ δὲ διάβολος ἂν δείκνυται; πειθώμεθα τοίνυν τῷ Θεῷ, καὶ μὴ εἰς βάραθρα ἑαυτοὺς ἐμβάλωμεν, ἀλλ' ἕως ἐστὶ καιρὸς, πάντα ἀποσμηξώμεθα τὰ τὴν ψυχὴν λυμαινόμενα, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

A & unico verbo nobis æterna bona aufert, & innumeros labores elargitur. Ideo oro vos, ut omnia faciatis, quo frænetur hæc bestia. Cæterum hæc de mansuetudine & ira dicta sint. Si autem & alia quis dicendo assumpserit, ut avaritiam, despectum pecuniarum, intemperantiam, sobrietatem, invidiam, benignitatem, & scrutatus fuerit, etiam aliud quid excellentius sciet. Scirote quod per præcepta solum Deus diabolusque monstrantur. Obtemperemus igitur Deo, & ne in barathrum B nos ipsos projiciamus, sed dum adhuc tempus est ab omnibus quæ animam nostram damno afficiant, nos abluamus, ut æterna bona assequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui Sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum Amen.

ΟΜΙΛΙΑ ζ.

C

HOMILIA. VII.

Ἀκούσαντες δὲ τοὺς λόγους τούτους, κατενύγησαν τὴν καρδίαν. εἶπόν τε πρὸς τὸν Πέτρον καὶ τοὺς λοιποὺς ἀποστόλους· τί ποιήσωμεν, ἄνδρες ἀδελφοί;

Auditis autem illis, compuncti sunt corde, & dixerunt ad Petrum ac reliquos Apostolos: Quid faciemus, viri fratres?

ΟΡΑΣ ὅσον ἐστὶν ἐπιείκεια ἀγαθόν; αὕτη μᾶλλον τῆς σφοδρότητος τὰς καρδίας κατακεντεῖ τὰς ἡμετέρας, καὶ ὀξυτέραν δίδωσι τὴν πληγήν. καθάπερ γὰρ ἐπὶ τῶν ἐσκιρρωμένων σωμάτων, ὁ πλήττων οὐχ οὕτω ποιεῖ τὴν αἴσθησιν σφοδράν· ἂν δέ τις αὐτὰ μαλάξῃ πρότερον, καὶ ἁπαλὰ ἐργάσηται, τότε νύττει σφοδρότερον· οὕτω δὴ καὶ ἐνταῦθα. πρότερον δεῖ μαλάξαι καὶ τότε νύξαι. μαλάττει δὲ, οὐ θυμὸς, οὐδὲ κατηγορία σφοδρὰ, οὐδὲ ὀνείδη· ἀλλ' ἐπιείκεια. ἐκεῖνος μὲν γὰρ, καὶ ἐπιτείνει τὴν πώρωσιν, αὕτη δὲ ἀναιρεῖ. ὥστε ἂν ἐθέλῃς καθάψασθαί τινος ἠδικηκότος, μετὰ πολλῆς τῆς πρᾳότητος αὐτῷ προσφέρου. ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ. ἀνέμνησεν αὐτοὺς τῶν οἰκείων πλημμελημάτων πρᾴως, καὶ οὐδὲν προσέθηκεν· εἶπεν τοῦ Θεοῦ τὴν δωρεάν· ἐπήγαγε τὴν χάριν μαρτυροῦσαν τοῖς γεγενημένοις, καὶ ἐπὶ περαιτέρω τὸν λόγον ἐξήγαγεν. ᾐδέσθησαν τοῦ Πέτρου τὴν ἐπιείκειαν, ὅτι τοῖς τὸν δεσπότην αὐτοῦ σταυρώσασι καὶ κατ' αὐτοῦ φονῶσιν, ἐν τάξει πατρὸς καὶ διδασκάλου κηδεμονικοῦ διελέγετο. οὐχ ἁπλῶς ἐπείσθησαν, ἀλλὰ κατέγνωσαν ἑαυτῶν, ἦλθον εἰς αἴσθησιν τῶν γεγενημένων. οὐ γὰρ ἀφῆκεν αὐτοὺς ἀνθίστασθαι τῷ θυμῷ, καὶ ἐπισκοτῆσαι τῇ διανοίᾳ· ἀλλὰ διὰ τῆς ταπεινοφροσύνης ὥσπερ τινὰ σκεδάσας ἀχλὺν τὴν ἀγανάκτησιν, οὕτως ἔδειξε τὸ πεπλημμελημένον. καὶ γὰρ οὕτως ἔχει, ὅταν εἴπωμεν ἡμεῖς, ὅτι ἠδικήμεθα, ἐκεῖνοι πειρῶνται δεῖξαι, ὅτι οὐκ ἠδικήκασιν· ὅταν εἴπωμεν ἡμεῖς, ὅτι οὐκ ἠδικήμεθα, ἀλλ' ἠδικήκαμεν μᾶλλον, ἐκεῖνοι τὸ ἐναντίον ποιοῦσιν. ὥστε εἰ βούλει τὸν ἠδικηκότα εἰς ἀγῶνα ἐμβαλεῖν, μὴ κατηγορήσῃς αὐτοῦ, ἀλλ' ἀγώνισαι, κἀκεῖνος κατηγορήσει. φιλόνεικον γάρ ἐστι τὸ γένος τῶν ἀνθρώπων. τοῦτο ὁ Πέτρος ἐποίησεν. οὐ κατηγόρησεν αὐτῶν σφοδρῶς, ἀλλὰ καὶ ἐπειράθη σχεδὸν ἀγωνίσασθαι ἡμέρως κατὰ τὸ δυνατόν· διὰ τοῦτο αὐτῶν καθίκετο τῆς ψυχῆς. καὶ πόθεν δῆλον, ὅτι κατενύγησαν; ἀπὸ τῶν ῥημάτων αὐτῶν. τί γάρ φησι; „τί ποιήσομεν, ἄνδρες ἀδελφοί; οὓς πλάνους ἐκάλουν, ἀδελφοὺς [νῦν] καλοῦσιν. οὐχὶ τοσοῦτον ἑαυτοὺς παρεξισάζοντες, ὅσον εἰς φιλοστοργίαν ἐπισπώμενοι καὶ κηδεμονίαν. ἄλλως δέ· ἐπεὶ αὐτοὶ κατηξίωσαν τοῦτο καλέσαι αὐτοὺς, καί φασι, τί ποιήσομεν; οὐκ εἶπον εὐθέως· οὐκοῦν μετανοῶμεν· ἀλλ' ἐπέτρεψαν ἑαυτοὺς αὐτοῖς. καθάπερ ἐν ναυαγίῳ τις γενόμενος, ἢ ἐν νόσῳ, τὸν κυβερνήτην ἰδὼν ἢ τὸν ἰατρὸν, πάντα αὐτῷ παραχωρεῖ τε καὶ πείθεται· οὕτω καὶ οὗτοι, ὡμολογήκασιν ἐν ἐσχάτοις ὄντας ἑαυτοὺς, καὶ οὐδὲ ἐλπίδα σωτηρίας ἔχοντας. καὶ ὅρα. οὐκ εἶπον· πῶς σωθῶμεν; ἀλλὰ, τί ποιήσομεν; πάλιν ἐνταῦθα ὁ Πέτρος πάντων ἐρωτηθέντων, ἐκεῖνος ἀποκρίνεται. μετανοή„σατε, φησὶ, καὶ βαπτισθήτω ἕκαστος ὑμῶν ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ. καὶ οὔπω λέγει, ὅτι πιστεύσατε· ἀλλὰ, βαπτισθήτω ἕκαστος ὑμῶν. τοῦτο γὰρ ἐν τῷ βαπτίσματι παρέλαβον. εἶτα δείκνυσι καὶ τὸ „κέρδος· εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. εἰ δωρεὰν λήψεσθε, εἰ ἄφεσιν ἔχει [τὸ βάπτισμα,] τί „μέλλετε; εἶτα πιθανὸν λόγον ποιῶν ἐπήγαγεν· ὑμῖν γάρ ἐστιν ἡ „ἐπαγγελία. εἶπε καὶ ἄνω ἐπαγγελίαν διαλεγόμενος. καὶ τοῖς τέκνοις „ὑμῶν, φησί. μείζων ἡ δωρεὰ, ὅταν τῶν ἀγαθῶν καὶ κληρονόμους ἔχω„σι· καὶ πᾶσι τοῖς εἰς μακράν. εἰ τοῖς εἰς μακρὰν, πολλῷ μᾶλλον „τοῖς ἐγγύς; ὅσους ἂν προσκαλέσηται Κύριος ὁ Θεὸς ἡμῶν. ὅρα πότε λέγει τοῖς εἰς μακράν; ὅτε αὐτοὺς εὗρεν ᾠκειωμένους καὶ κατεγνωκότας ἑαυτῶν. ψυχὴ γὰρ ὅταν ἑαυτὴν καταδικά„σῃ, οὐκέτι φθονεῖν δύναται. ἑτέροις τε λόγοις πλείοσι διε„μαρτύρετο καὶ παρεκάλει λέγων. ὅρα αὐτὸν πανταχοῦ ἐπιτέμνοντα, καὶ οὐ φιλοτιμούμενον, οὐδὲ ἐπιδεικνύμενον.

VIDES quantum bonum sit mansuetudo. Ipsa pectora D nostra magis quàm vehemens austeritas extimulat, & plaga ferit meliore. Quemadmodum enim percutiens obdurata corda, non tam facilè sentire facit, ut si eadem prius mollia facit ac tenera: ita & hoc loco prius oportebat mollire, & tunc pungere: mollit autem non furor, neque accusatio vehemens, neque convitia, sed mansuetudo. Nam ille quidem iracundus auget morbum, hic autem qui mitis est, imminuit. Atque ita si volueris quempiam qui injustè egit corripere magna cum mansuetudine illum alloquere. Vide igitur & hoc loco quid E faciat. Mansuetè in memoriam reduxerat illis sua flagitia, & nihil addidit. Dixit Dei donum, adjecit gratiam, quæ his quæ facta erant, testimonium dabat, & ulterius sermonem produxit. Reveriti sunt Petri mansuetudinem, quia his qui Dominum suum crucifixerant, & contra ipsos clamarant, tanquam pater & magister curam gerens loquebatur. Non simpliciter obedierunt, sed seipsos condemnarunt, senserunt quæ fecerant. Non enim permisit illos furore intumescere, & mente obtene- A brari, sed per modestiam, indignatione quasi nebula turbatis demonstrabat quod perpetratum erat. Etenim sic usuvenit, ut siquando dicimus nos injuria affectos, illi attentent demonstrare quod non injustè egerint: quando autem dicimus nos, quod non injuria affecti nos simus, sed injustè egerimus, magis illi contrarium faciunt: & ita si vis eum qui injustè egit, reum facere, ne accuses illum, sed reum te constitue. Est enim genus B hominum ad contentiones propensum. Hoc Petrus fecit: non accusavit illos severiter, sed attentavit quantum possibile erat, etiam mansuetè defendere, & idcirco illorum animos perstrinxit. Unde manifestum, quòd compuncti fuerunt? Ex verbis illis. Quid enim dicunt? *Quid faciemus, viri fratres?* Quos enim impostores vocarant, *fratres* vocant: non in tantum se illis æquabant, quantum ad sui curam ac amorem his verbis attrahere nitebantur. Et aliter: quoniam illi eos primum ita C appellare dignati fuerunt, dicunt: *Quid faciemus?* Non dixerunt statim: Igitur resipiscamus, sed permiserunt sese illis, quemadmodum in naufragio aliqui constituti vel morbo, conspecto gubernatore vel medico, omnia illi concedunt ac obediunt. Similiter & hi fecerunt: Confessi sunt se esse in extremis malis, & nullam salutis habere spem. Et vide, non dixerunt: Quomodo servabimur, sed, *quid faciemus?* Quid igitur Petrus? Iterum hic interrogatis omnibus ipse respondet. D *Resipiscite*, dicens: *& baptizetur unusquisque vestrum in nomine Jesu Christi.* Et nondum dicit, credite, sed *baptizetur unusquisque vestrum.* Hoc enim in baptismate accipiebant: deinde ostendit etiam lucrum. *In remissionem peccatorum, & accipietis donum Spiritus Sancti.* Si donum accipietis, si remissionem habet baptisma, qui futuri estis? Deinde probabiliorem sermonem faciens, subdidit: *Vestra est enim promissio.* Hanc & hic, quam superius dixerat. *Et filiorum vestrorum.* Igitur & hinc majus donum est, quod bonorum etiam hæredes habeant. *Et omnium*, inquit, *qui longè sunt.* Multò magis vestri, qui propè estis. *Quoscunque vocarit Dominus Deus noster.* E Vide quando dicit *eorum qui procul*; tunc, quando illos invenit suos factos, & seipsos condemnasse. Anima enim quando seipsam condemnarit, non ultrà poterit invidere. *Aliisque sermonibus plurimis testificabatur ac obsecrabat, dicens.* Vide illum ubique submissum, & nec ambitiosum, nec ostentatorem.

Testificabatur, inquit, & orabat dicens: Absoluta & A perfecta est doctrina quæ & metum incutit, & amorem declarat. *Salvemini à generatione hac perversa.* Nihil de futuris, sed de præsentibus dicit, quibus maximè aguntur homines: & ostendit, quod prædicatio non solum à præsentibus, sed etiam à futuris eripit malis. *Itaque illi libenter accepto sermone ejus, baptizati, & appositi jam die illo animæ quasi tria millia.* Quomodo putas hoc non magis recreasse Apostolos, quàm signa. *Erant autem perseverantes* B *in doctrina Apostolorum unanimiter, & communicatione.* Duæ virtutes, & *perseverare*, & *unanimiter.* Hoc autem dixit, ut ostendat quod longo tempore illos docuerint. *Et communicatione, & fractione panis & oratione.* Omnia communiter, omnia cum perseverantia faciebant, inquit. *Obortus est autem omni animæ timor, multáque prodigia & signa per Apostolos gerebantur.* Meritò. Neque enim ut vulgares homines despiciebant, neque personis intenti C erant, sed accensa erat eorum mens. Quoniam autem superius multiflua erant verba Petri, & ostenderat promissiones ac futura: meritò correpti sunt metu, & testificabantur dictis signa. Itaque quemadmodum & in Christo primum videre licebat signa, dein audiebatur doctrina, & deinde veniebant miracula, ita & nunc. *Omnes autem credentes erant conjuncti, & habebant omnia communia.* Vide statim quantum incrementum. Non enim in preci- D bus solis erat communicatio, neque in doctrina sola, sed & in administratione. *Et possessiones ac substantias vendebant, & partiebantur illa omnibus prout unicuique opus erat.* Non simpliciter quemadmodum apud Græcos philosophi, quorum alii reliquerunt terram, alii multum auri in mare projecerunt, id quod non erat opum contemptus, sed stultitia & insipientia. Ubique enim & semper diabolus studuit infamare creaturas Dei, quod quis benè uti pecu- E niis nequeat. *Quotidie autem perseverantes unanimiter in templo.* Hic modum docet quo doctrina fruebantur. Et vide quomodo nihil aliud vel parvum vel magnum faciebant Judæi, sed assidui erant in templo: nam qui inter illos erant ferventiores, etiam loco majorem exhibebant reverentiam: neque enim avellebant illos Apostoli, scilicet ne incommodent. *Et frangebant per singulas domos panem, simul accipiebant cibum in exultatione, & simplicitate cordis, laudantes Dominum, & habentes gratiam apud omnem* A *populum.* *Panem* dicens, videtur mihi hoc loco jejunium significare, & austeram vitam: simul enim accipiebant alimentum, non delicias. Hinc discito, dilecte, quod non deliciis, sed cibis suaviter fruamur, & quod delicati sunt in mœrore, & non delicati in gaudio. Vides quod sermones Petri etiam vitæ afferebant temperantiam? Sic non est exultatio, ubi non est tenuitas. Et quomodo, inquit, *habebant gratiam apud omnem populum?* propter ea quæ faciebant per elee- B mosynas. Ne enim attendas oro, inquit, quod sacerdotes præ livore & invidia illis obsistebant, sed vide quod gratiam apud omnem populum habebant. *Dominus autem addebat eos qui salvi fierent quotidie Ecclesiæ. Omnes autem credentes erant conjuncti.* Sic ubique bonum est concordia. *Aliisque sermonibus testificatus est.* Hoc dixit ostendens quod non sufficiebant quæ dicta erant. Vel etiam dixit, quod illa C quidem ut ad fidem adducerent, hæc autem fideles redderent, dicta sunt. Et non dixit. In cruce, sed *in nomine Jesu Christi baptizetur unusquisque vestrum*: neque continuo illis crucis memoriam inculcat, ut ne exprobrare videatur: sed simpliciter: *Resipiscite*, inquit, & baptizetur unusquisque in nomine Jesu Christi in remissionem peccatorum. Cæterum longè aliter habent judiciorum quæ hic sunt, leges: nam hic qui peccavit, quando confitetur, servatur. Vide D quomodo non præterit quod majus, sed prædicta gratia illud subdidit dicens: *Accipietis donum Spiritus sancti.* Dignus acceptione & fide sermo ille, ex his quæ ipsi jam acceperant. Jam enim quod facile dicit, multiplex habet donum, & tunc ad vitam ducit, sciens quod materia etiam ipsis est studii, jam tanta bona gustasse. Porrò quia auditor desiderabat audire quod plurimorum sermonum caput & quæ summa esset, etiam illud apponit ostendens quod donum sancti E Spiritus. Cæterum illi accepto sermone, laudaverunt quæ dicta sunt, quamvis metu plena, & post indulgentiam ad baptisma veniunt. Cæterum videamus rursum quæ dicta sunt. *Erant*, inquit, *perseverantes in doctrina*: ex hoc est manifestum quod non uno vel duobus diebus, sed multis docuerint, utpote in aliam vitam illos transferentes. *Et obortus est omni animæ timor.* Si *omni*, etiam his qui non crediderant:

A διεμαρτύρετο, φησί, καὶ παρεκάλει λέγων. ἀπηρτισμένη αὕτη διδασκαλία, τὸ μὲν φόβου, τὸ δὲ ἀγάπης ἔχουσα. σώθητε, φησίν, ἀπὸ τῆς γενεᾶς τῆς σκολιᾶς ταύτης. οὐδὲν περὶ μελλόντων, φησίν, ἀλλὰ περὶ τῶν παρόντων, εἰς ἃ καὶ μάλιστα ἐνάγονται ἄνθρωποι· καὶ δείκνυσιν, ὅτι τὸ κήρυγμα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἀπαλλάττει κακῶν. οἱ μὲν οὖν ἀσμένως δεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν, καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. πῶς οἴει τοῦτο B τοὺς ἀποστόλους ἀνακτήσασθαι μᾶλλον τῶν σημείων; ἦσαν δὲ προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ διδαχῇ τῶν ἀποστόλων καὶ τῇ κοινωνίᾳ. δύο ἀρεταί· καὶ τὸ προσκαρτερεῖν, καὶ τὸ ὁμοθυμαδόν. τῇ διδαχῇ τῶν ἀποστόλων, φησί. πολὺν γὰρ αὐτοὺς ἐδίδασκον. καὶ τῇ κοινωνίᾳ, καὶ τῇ κλάσει τοῦ ἄρτου, καὶ τῇ προσευχῇ. πάντα κοινῇ, πάντα μετὰ καρτερίας. ἐγένετο δὲ πάσῃ ψυχῇ φόβος τῶν πιστευσάντων, πολλά τε τέρατα καὶ σημεῖα διὰ τῶν ἀποστόλων ἐγίνετο. [εἰκότως.] οὐ γὰρ ὡς τῶν C τυχόντων κατεφρόνουν, οὐδὲ τοῖς ὁρωμένοις προσεῖχον. ἄρα πεπύρωτο αὐτῶν ἡ διάνοια. ἐπειδὴ γὰρ ἀνωτέρω ἦν πολὺς μὲν ὁ Πέτρος, καὶ ἐδείκνυ τὰς ἐπαγγελίας καὶ τὰ μέλλοντα, εἰκότως ἐξέστησαν τῷ φόβῳ, καὶ ἐμαρτύρει τοῖς λεγομένοις τὰ θαύματα. καθάπερ γὰρ ἐπὶ τοῦ Χριστοῦ, πρότερον σημεῖα, εἶτα διδασκαλία, εἶτα θαύματα· οὕτω καὶ νῦν. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό, καὶ εἶχον ἅπαντα κοινά· ὅρα εὐθέως ὅση ἡ ἐπίδοσις. οὐ γὰρ ἐν ταῖς εὐχαῖς μόνον ἡ D κοινωνία, οὐδὲ ἐν τῇ διδασκαλίᾳ· ἀλλὰ καὶ ἐν τῇ πολιτείᾳ. καὶ τὰ κτήματα καὶ τὰς ὑπάρξεις ἐπίπρασκον, καὶ διεμέριζον αὐτὰ πᾶσι, καθότι ἄν τις χρείαν εἶχεν. ὅρα πόσος φόβος αὐτοῖς ἐγένετο· καὶ διεμέριζον αὐτά, φησί, τὸ οἰκονομικὸν ἐνδηλῶν. καθάπερ ἄν τις χρείαν εἶχεν. οὐχ ἁπλῶς, καθάπερ οἱ παρ' Ἕλλησι φιλόσοφοι, οἱ μὲν ἀφῆκαν τὴν γῆν, οἱ δὲ εἰς θάλασσαν ἔρριψαν πολὺ χρυσίον. ὅπερ οὐχ ὑπεροψία χρημάτων ἦν, ἀλλὰ μωρία καὶ ἄνοια. πανταχοῦ γὰρ ἐσπούδασεν ὁ διάβολος ἀεὶ τοῦ Θεοῦ τὰ κτίσματα διαβάλλειν, ὡς οὐκ E ἐνὸν καλῶς χρήσασθαι χρήμασι. καθ' ἡμέραν τε προσκαρτεροῦντες ὁμοθυμαδὸν ἐν τῷ ἱερῷ. ἐνταῦθα τὸν τρόπον διδάσκει, καθ' ὃν τῆς διδασκαλίας ἀπέλαυον. καὶ σκόπει πῶς οὐδὲν ἐποίουν ἕτερον Ἰουδαῖοι, οὐ μικρόν, οὐ μέγα, ἀλλὰ τῷ ἱερῷ προσήδρευον. ἅτε γὰρ σπουδαιότεροι γεγενημένοι, καὶ περὶ τὸν τόπον εὐλάβειαν πλείονα εἶχον. οὐ γὰρ ἀπέσπων αὐτοὺς οἱ ἀπόστολοι τέως, ὥστε μὴ βλάψαι. κλῶντές τε κατ' οἶκον ἄρτον, μετελάμβανον τροφῆς ἐν ἀγαλλιάσει καὶ ἀφελότητι καρδίας, αἰνοῦντες τὸν Θεὸν καὶ ἔχοντες χάριν πρὸς ὅλον τὸν A λαόν. τὸν ἄρτον ἐμοὶ δοκεῖ λέγων καὶ τὴν νηστείαν ἐνταῦθα σημαίνειν καὶ τὸν σκληρὸν βίον. τροφῆς γάρ, οὐ τρυφῆς μετελάμβανον. ἐντεῦθεν, ἀγαπητέ, μάνθανε ὡς οὐχ ἡ τρυφή, ἀλλ' ἡ τροφὴ τὴν ἀπόλαυσιν ποιεῖ. καὶ ὡς οἱ τρυφῶντες ἐν λύπῃ, οἱ δὲ μὴ τρυφῶντες ἐν χαρᾷ. ὁρᾷς, ὅτι οἱ Πέτρου λόγοι καὶ τοῦτο εἶχον, τὸν τοῦ βίου σωφρονισμόν; οὕτως οὐκ ἔνι γενέσθαι ἀγαλλίασιν μὴ ἀφελείας οὔσης. καὶ πῶς [φησὶν] εἶχον χάριν πρὸς ὅλον τὸν λαόν; δι' ὧν ἐποίουν διὰ τῆς ἐλεημοσύνης. μὴ γάρ B μοι εἰ οἱ ἀρχιερεῖς ἐπέστησαν αὐτοῖς ὑπὸ φθόνου καὶ βασκανίας τοῦτο ἴδῃς· ἀλλ' ὅτι πρὸς τὸν λαὸν χάριν εἶχον. ὁ δὲ Κύριος προσετίθει τοὺς σωζομένους καθ' ἡμέραν τῇ ἐκκλησίᾳ. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. οὕτω πανταχοῦ καλὸν ἡ ὁμόνοια. ἑτέροις τε λόγοις διεμαρτύρετο. τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἤρκει τὰ λεχθέντα· ἢ καὶ ἐκεῖνα μέν, ὥστε πρὸς πίστιν ἐπαχθῆναι· ταῦτα δὲ τίνα C χρὴ τὸν πιστὸν ποιεῖν εἴρηται. καὶ οὐκ εἶπεν, ἐπὶ τῷ σταυρῷ, ἀλλ' ἐπὶ τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ βαπτισθήτω ἕκαστος ὑμῶν. οὐδὲ ἀναμιμνήσκει αὐτοὺς συνεχῶς τοῦ σταυροῦ, [ἵνα μὴ ὀνειδίζειν δόξῃ.] ἀλλ' ἁπλῶς μετανοήσατε, φησί, καὶ βαπτισθήτω ἕκαστος ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ εἰς ἄφεσιν ἁμαρτιῶν. καὶ μὴν ἑτέρως ἔχει τῶν ἐνταῦθα δικαστηρίων ὁ νόμος· ἀλλ' ἐπὶ τοῦ κηρύγματος ὅταν ὁ ἡμαρτηκὼς ὁμολογήσῃ, τότε σώζεται. ὅρα πῶς οὐ τὸ μεῖζον παρέδραμεν ὁ Πέ- D τρος· ἀλλὰ πρότερον τὴν χάριν εἰπών, τότε καὶ ἐκεῖνο ἐπήγαγε λέγων· λήψεσθε τὴν δωρεὰν τοῦ ἁγίου Πνεύματος. ἀξιόπιστος ὁ λόγος αὐτόθεν ἐξ ὧν αὐτοὶ ἔλαβον. τέως [γὰρ] τὸ εὔκολον λέγει καὶ πολλὴν ἔχον δωρεάν, καὶ τότε ἐπὶ τὸν βίον ἄγει· εἰδὼς ὅτι ὑπόθεσις αὐτοῖς ἔσται σπουδῆς, τὸ ἤδη γεύσασθαι τῶν τοιούτων ἀγαθῶν. ἐπεὶ δὲ ἐπόθει ἀκοῦσαι ὁ ἀκροατὴς τί ἦν τῶν πλειόνων λόγων τὸ κεφάλαιον, καὶ τοῦτο προστίθησι, δεικνὺς ὅτι ἡ δωρεὰ τοῦ ἁγίου E Πνεύματος. οἱ μὲν [οὖν ἀποδεξάμενοι τὸν λόγον] ἐπήνεσαν τὰ λεχθέντα, καί τι φόβου γέμοντα, καὶ μετὰ τὴν συγκατάθεσιν, τότε ἐπὶ τὸ βάπτισμα ἔρχονται. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.] ἦσαν, φησί, προσκαρτεροῦντες τῇ διδαχῇ. ἐκ τούτου δῆλον ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ἐπὶ πολλὰς ἐδίδασκον, ἅτε ἐφ' ἕτερον μεταστάντες βίον. καὶ ἐγένετο πάσῃ ψυχῇ φόβος. οὐ πάσῃ, καὶ τῶν μὴ πιστευσάντων.

εἰκὸς

εἰκὸς δὲ αὐτοὺς παθεῖν τοσαύτην ἀθρόον μεταβολὴν ἰδόντας· τάχα A δὲ καὶ ἀπὸ τῶν σημείων. οὐχὶ ὁμοῦ [δὲ] ἀλλ' ὁμοθυμαδὸν, εἶπεν· ἐπεὶ δὴ ἔνι ὁμοῦ μὲν εἶναί τινας, οὐ μὴν δὲ ὁμοθυμαδὸν, διῃρημένους ταῖς γνώμαις. λόγοις τε παρεκάλει. οὐ λέγει τὴν διδασκαλίαν, ἐπιτέμνων. ἐξὸν δὲ μαθεῖν, ὅτι ὡς νέους παῖδας ἔτρεφον τῇ τροφῇ τῇ πνευματικῇ. [καὶ] ἄγγελοι γεγόνασι λοιπὸν ἐξαίφνης. καὶ διεμέριζον καθὸ χρείαν τις εἶχεν. εἶδον ὅτι τὰ πνευματικὰ κοινὰ, καὶ οὐδεὶς ἕτερος ἑτέρου πλέον ἔχει, καὶ ταχέως ἦλθον ἐπὶ τὸ τὰ αὐτῶν B πᾶσι διαδιδόναι. πάντες δὲ οἱ πιστεύοντες ἦσαν ἐπὶ τὸ αὐτό. ὅτι [δὲ] οὐ τόπῳ ἦσαν ἐπὶ τὸ αὐτὸ, δῆλον ἐξ ὧν ἐπήγαγε, λέγων, καὶ πάντα εἶχον κοινά. πάντες δὲ, φησὶν, οὐχ ὁ μὲν, ὁ δὲ οὔ· τοῦτο πολιτεία ἀγγελικὴ, μηδὲν αὐτῶν λέγειν ἴδιον εἶναι. ἐντεῦθεν ἡ ῥίζα τῶν κακῶν ἐξεκόπη, καὶ δι' ὧν ἔπραττον ἔδειξαν ὅτι ἤκουσαν· [ἄρα] τοῦτο ἦν ὃ ἔλεγε, σώθητε ἀπὸ τῆς γενεᾶς [τῆς] σκολιᾶς ταύτης. καὶ προσετέθησαν τῇ ἡμέρᾳ ἐκείνῃ ψυχαὶ ὡσεὶ τρισχίλιαι. ἐπειδὴ τρισχίλιοι C γεγόνασιν, ἐξήγαγον αὐτοὺς λοιπὸν ἔξω· οἱ καὶ μετὰ παρρησίας ἅτε πολλῆς οὔσης ἤδη, καθ' ἡμέραν ἀνῄεσαν καὶ προσήδρευον ἐν τῷ ἱερῷ· ἐπεὶ καὶ Πέτρος καὶ Ἰωάννης μικρὸν ὕστερον τὸ αὐτὸ ποιοῦσιν. οὐδὲν γὰρ τέως παρεκίνουν τῶν Ἰουδαϊκῶν. καὶ αὐτὴ δὲ ἡ εἰς τὸν τόπον τιμὴ διέβαινε πρὸς τὸν τοῦ ἱεροῦ δεσπότην· εἶδες εὐλαβείας ἐπίδοσιν; χρήματα ἔρριψαν καὶ ἔχαιρον, καὶ πολλὴ ἦν ἡ εὐφροσύνη. μείζονα γὰρ ἦν ἃ ἐλάμβανον ἀγαθά. οὐδεὶς ὠνείδιζεν· οὐδεὶς ἐφθόνει· οὐδεὶς ἐβάσκαινεν· D οὐκ ἦν ἐξουδένωσις. καθάπερ παιδία ἐνόμιζον οὕτω παιδεύεσθαι, ὡς ἀρτίτοκοι οὕτω διέκειντο. [καὶ] τί ὡς ἐν ἀμυδρᾷ λέγω εἰκόνι; εἰ μέμνησθε ὡς ὅτε τὴν πόλιν ἡμῶν ἔσεισεν ὁ Θεὸς, καὶ πάντες ἦσαν συνεσταλμένοι, οὕτω τότε ἐκεῖνοι διέκειντο. οὐδεὶς ὕπουλος ἦν· οὐδεὶς πονηρός· καὶ γὰρ τοιοῦτον ὁ φόβος· τοιοῦτον ἡ θλῖψις. οὐκ ἦν τὸ ψυχρὸν ῥῆμα τὸ ἐμὸν, καὶ τὸ σόν. διὰ τοῦτο ἀγαλλίασις ἦν ἐπὶ τῆς τραπέζης. οὐδεὶς ὡς ἐξ ἰδίων ἐσθίων διέκειτο· οὐδεὶς ὡς ἐξ ἀλλοτρίων· E καίτοι δοκεῖ αἴνιγμα εἶναι· οὔτε ἀλλότρια ἐνόμιζον εἶναι τὰ τῶν ἀδελφῶν· δεσποτικὰ γὰρ ἦν· οὔτε ἴδια, ἀλλὰ τῶν ἀδελφῶν. οὔτε ὁ πένης ᾐσχύνετο· οὔτε ὁ πλούσιος ἐτυφοῦτο. τοῦτό ἐστιν ἀγαλλίασις, κἀκεῖνος ὡς εὐεργετούμενος διέκειτο, καὶ ὁ πάσχων μᾶλλον, καὶ οὗτοι ὡς δοξαζόμενοι ταύτῃ, καὶ πάνυ πρὸς αὐτοὺς ἦσαν συνδεδεμένοι. ἐπειδὴ γὰρ ἐν ταῖς τῶν χρημάτων διανομαῖς, καὶ ὕβρεις, καὶ ἀπονοίας, καὶ λύπας γίνεσθαι συμβαίνει, διὰ τοῦτο ἔλεγεν ὁ ἀπόστολος· μὴ ἐκ λύπης ἢ ἐξ A ἀνάγκης. ὅρα πόσα αὐτοῖς μαρτυρεῖ; πίστιν γνησίαν· βίον ὀρθόν· τὴν ἐν ἀκροάσει καρτερίαν. τὴν ἐν εὐχαῖς· τὴν ἐν ἀφελείᾳ· τὴν ἐν εὐφροσύνῃ. δύο ἦν ἱκανὰ ἐμβαλεῖν αὐτοὺς εἰς ἀθυμίαν· ἥ τε νηστεία, καὶ τὸ τὰ χρήματα διαδιδόναι. οἱ δὲ καὶ δι' ἀμφότερα ἔχαιρον. τίς γὰρ τοὺς οὕτω διακειμένους οὐκ ἂν ἠγάπησεν ὡς πατέρας κοινούς; οὐδὲν εἶχον τὸν πονηρὸν κατ' ἀλλήλων· τὸ πᾶν ἐπιτρέποντες τῇ χάριτι τοῦ Θεοῦ. οὐκ ἦν φόβος, καίτοι ἐν μέσοις κινδύνοις ἐμβε- B βληκότων αὐτῶν. διὰ γοῦν τῆς ἀφελείας, τὴν πᾶσαν αὐτῶν ἐδήλωσεν ἀρετὴν, πολὺ καὶ τῆς τῶν χρημάτων [ὑπεροψίας] καὶ τῆς νηστείας, καὶ τῆς ἐν ταῖς εὐχαῖς καρτερίας μείζονα οὖσαν. οὕτω δὲ καὶ καθαρῶς ᾔνουν. μᾶλλον δὲ τοῦτό ἐστιν αἰνεῖν τὸν Θεόν. ὅρα δὲ καὶ ἐνταῦθα αὐτοὺς ἀπολαμβάνοντας εὐθέως τὰς ἀμοιβάς. τὸ γὰρ ἔχειν χάριν πρὸς τὸν λαὸν, τοῦτό ἐστιν, ὅτι ποθεινοί τινες ἦσαν καὶ ἐπέραστοι. τίς γὰρ οὐκ ἂν ἠγάσατο; τίς δὲ οὐκ ἂν θαυμάσειεν ἄνθρωπον τὸ ἦθος ἁπλοῦν, ἢ τίς οὐκ ἂν C συνδεθείη τῷ μηδὲν ὕπουλον ἔχοντι; τίνων δὲ ἄλλων ἐστὶν ἡ σωτηρία, ἢ τούτων; τίνων δὲ τὰ μεγάλα ἀγαθά; οὐχὶ ποιμένες εὐηγγελίσθησαν πρότεροι; οὐχὶ Ἰωσὴφ ἁπλοῦς τις ὢν ἄνθρωπος, ὥστε μὴ διὰ μοιχείας ὑποψίαν φοβηθέντα αὐτὸν ἐργάσασθαί τι πονηρόν; οὐχὶ ἀγροίκους ἐξελέγετο τοὺς ἀπλάστους; „ψυχὴ γὰρ, φησὶν, εὐλογημένη πᾶσα ἁπλῆ· καὶ πάλιν· ὁ δὲ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. ναὶ, φησίν· ἀλλὰ καὶ φρονήσεως δεῖ. τί γὰρ D ἄλλο ἐστὶν ἁπλότης [ἀλλ'] ἢ φρόνησις; ὅταν γὰρ μηδὲν ὑποπτεύῃς πονηρὸν, οὔτε τεκτῆναι δύνασαι πονηρόν· ὅταν μηδὲν ἔχῃς τῶν δεινῶν, οὐδὲ μνησικακῆσαι δυνήσῃ. ὕβρισέ τις, οὐκ ἤλγησας· ἐκακηγόρησεν, οὐδὲν ἔπαθες. ἐβάσκηνεν, οὐδὲ οὕτως ἔπαθές τι. ὁδός τίς ἐστιν ἐπὶ φιλοσοφίαν ἡ ἁπλότης. οὐδεὶς οὕτως ἐστὶ τὴν ψυχὴν καλὸς, ὡς ὁ ἁπλοῦς. καθάπερ γὰρ ἐν τῷ σώματι, ὁ μὲν στυγνὸς καὶ κατηφὴς καὶ σύννους, κἂν καλὸς ᾖ, τὸ πολὺ τῆς ὡραιότητος ἀπο- E τέμνεται· ὁ δὲ ἀνειμένος καὶ ἠρέμα μειδιῶν τὴν ὄψιν ἐπιτείνει τὴν ὡραιότητα· οὕτω δὴ καὶ ἐπὶ τῆς ψυχῆς· ὁ μὲν σύννους κἂν μυρία ἔχῃ κατορθώματα ἠφάνισεν αὐτά· ὁ δὲ ἀνειμένος καὶ ἁπλοῦς, τοὐναντίον. καὶ φίλον τὸν τοιοῦτον μετ' ἀσφαλείας ἄν τις ἐργάσαιτο, καὶ ἐχθρὸν γενόμενον καταλλάξειεν. οὐ γὰρ δεῖ φυλακῆς καὶ προφυλακῆς. οὐδὲ δεσμῶν καὶ συνδέσμων ἐπὶ τοῦ τοιούτου, ἀλλὰ πολλὴ μὲν αὐτῷ ἔσται ἡ ἄνεσις, πολλὴ δὲ καὶ τοῖς συνοῦσιν

A verisimile autem illis hoc accidisse, quia viderunt tam subitam mutationem, fortassis etiam quia viderant signa. Non dixit autem simul, sed *unanimiter.* Multi enim sæpe congregantur, qui tamen non sunt unanimes, sed sententiis dissident. Sermonibúsque obsecrabat. Non dixit doctrinam, succidens. Licebat autem discere, quod sicut novos pueros educabant alimento spirituali, & Angeli repente facti sunt. *Et dividebant prout unusquisque opus habebat.* Vide- B runt quod spiritualia communia, & nullus alio plus habebat, & statim pervenerunt ad hoc, ut sua omnibus distribuerent. Omnes enim credentes erant conjuncti: non loco, ut ex his patet: *Et omnia habebant communia. Omnes* autem, inquit, non ille quidem habebat, ille verò non habebat. Hæc erat Angelica respublica, nihil dicere sibi proprium esse. Hinc radix malorum exorta est, & per ea quæ fecerunt, demonstrarunt quod audierunt. Igitur hoc erat quod C dicebat: Servamini à generatione perversa ista. *Et appositæ sunt die illo animæ quasi tria millia.* Postquam tria millia facti sunt, eduxerunt illos foris, qui & magna cum fiducia jam agebant, quotidie ascenderunt, & assidui erant in templo. Quia & Petrus & Joannes paulo pòst idem fecerunt. Nihil jam Judaicum movebant, sed honor ille in locum pertingebat usque ad templi Dominum. Vidisti pietatis incrementum, divitias abjiciebant & gaudebant, & multa erat lætitia. Majora enim D erant quæ accipiebant bona, nullus exprobrabat, nullus invidebat, non erat fastus, non erat contemptus, quasi pueri nuper nati, putabant se erudiendos. Quid sicut in obscura dico imagine? Si meministis, quod quando civitatem nostram concussit Deus, & omnes erant attoniti, sic afficiebantur: nullus dolosus erat, nullus malignus. Etenim talem faciebat timor, talem tribulatio, non erat frigidum illud verbum, meum & tuum. Et ob hoc exultatio erat immensa, nullus quasi ex pro- E priis ederet afficiebatur, nullus etiam quasi ex alienis, quamvis videatur ænigma esse. Ea enim quæ fratrum erant, non arbitrabantur esse aliena: erant enim ut dominorum: neque propria, sed ut fratrum: neque pauper confundebatur, neque dives inflabatur. Hoc est exultare. Et ille qui communicabat, quasi beneficium accepisset lætabatur: & illi qui accipiebant: quasi sic honestati. *Et valde inter se erant conjuncti.* Quoniam in opum distributionibus, & contume- A lias, & contristationes, & molestias fieri contingit: propter hoc dicebat Apostolus: *Ne ex tristitia vel ex necessitate.* 2.Cor.9.7. Vide quantum illis testificetur & tribuat, fidem germanam, vitam rectam, perseverantiam in auditorio, in precibus, in frugalitate, in lætitia. Duo erant quæ poterant illos conturbare, jejunium & pecuniarum erogatio, illi autem propter utrumque gaudebant. Enimvero quis sic affectos non ut patres communes dilexisset? nihil mali pariebant inter se, totum B permittebant divinæ gratiæ, non erat timor, idque in mediis periculis. Unde per simplicitatem omnem virtutem declaravit, quæ major ipso jejunio, divitiarum erogatione, ac perseverantia in oratione. Sic autem & purè laudabant, imò hoc est laudare Deum. Vide insuper & illos hic statim accipere mercedem. Habere enim gratiam apud populum, est, fuisse quosdam valde dilectos ac amabiles. Quis enim non C obstupesceret? quis non admiraretur hominem moribus simplicem, vel quis non se jungeret ei qui subdolus non est? & quorum aliorum est salus, & quorum magna bona? Nonne pastoribus initio Evangelium prædictum est? nonne Joseph simplex quidam homo erat, & ita ut nec per adulterii suspicionem perterreretur, quo pacto perpetrando consentiret? Nonne agrestes fuci expertes elegit? *Anima enim,* inquit, *benedicta omnis simplex*: & iterum: *Qui autem am-* Prov.10.9. D *bulat innocenter, ambulat cum fiducia.* At dicet quis, Nonne & prudentia opus est? Quid enim aliud est simplicitas, quam prudentia? Quando enim nihil suspicaris malum, neque moliri poteris malum: quando nihil fers molestè, neque vindictam meditari poteris. Contumelia quis te affecit, non doluisti: calumniatus est, nihil inde affectus es: odio persequitur, & sic quoque nihil affectus es. Via quædam est ad philosophiam simplicitas. Quemadmodum enim in E corpore tristis & mœstus & cogitabundus, licet pulcher sit quis, multum tamen pulchritudini detrahit: hilaris autem & subridens aspectu, formositatem auget: ita profecto etiam anima. Subdolus licet innumera habeat bona opera, disperdit ea, contra agit mente liber ac simplex. Et amicum talem quis cum simplicitate fecerit, & inimicum factum conciliarit. Non item opus habet custodia, & custodiæ custodia, neque vinculis & connexionibus ad hoc, sed multa est illi laxatio & iis qui cum eo vivunt.

Quid igitur si in malos inciderit viros talis? Deus qui præcepit esse simplices, porriget manum. Quid simplicius erat Davide? quid Saule malignius? Uter igitur superavit? Quid item de Joseph dices? nonne simpliciter usus est fratribus?. nonne propter hoc probatus fuit, eo quod ipse quidem omnia absque suspicione loquebatur, illi autem maligne insidiabantur? Somnia semel ac iterum dixit, & non sibi cavebat, & iterum ad illos abiit cibos allaturus, & non sibi cavebat, totum committens Deo: verùm hi erga ipsum tanquam hostem affecti sunt, ipse vicissim erga illos ut fratres: & poterat Deus illum non permittere incidere in illos, sed permisit, ut ostendatur miraculum, & quod licet illi quod poterant declarabant, ille tamen vincat: & sic quamvis plagam accipiat, non à seipso sed ab alio accipit. Malignus autem, seipsum quidem percutit primum, alium autem nullum; & sic sibiipsi est hostis. Illius anima plena est mœrore perpetuo, cogitationibus semper complicitis sive audiendum sive dicendum quid sit, omnia trahis ad crimen, omnia incusat. Procul ab illis amicitia & concordia, proximæ autem illis habitant & inimicitiæ & fœditates, & sibi ipsis suspecti sunt tales, his neque somnus dulcis, neque aliud quippiam. Quòd si & mulieres habent, papæ quam sunt omnibus hostes ac inimici, innumeræ æmulationes, timor perpetuus. *πονηρὸς* malus quidem *παρὰ τὸ πονεῖν* à laborando dictus est, sic scilicet scriptura semper laborem malitiam vocat, sic quando dicit, *sub lingua eorum fatigatio & labor*: & alibi iterum: *Et quod reliquum illis? fatigatio & labor.* Si autem admiretur quispiam, unde nam initiò tales facti sunt, & hodie non sint tales: discant causam esse afflictionem, doctricem philosophiæ, matrem pietatis. Quando pecuniæ in usu non erant, tunc neque labor erat? Etiam, inquit, istuc ipsum enim rogo, nunc autem unde tanta malitia, unde illa tria millia & quinque millia statim virtutem arripuerunt, & mox adeo philosophi facti sunt, nunc autem vix unus invenitur, tunc autem sic conspirabant? Quid hoc quod illos tam agiles & excitatos reddebat? quid illos repente accendit? quoniam cum multa accedebant devotione, quoniam honores non erant sicut nunc, quoniam ad futura suam mentem converterent, & nihil præsentium expectabant. Hoc est ignitæ animæ in periculis versari, hoc putabant illi Christianismum esse, sed non nos: nunc in meris dissolutionibus vivitur, propter hoc neque quando oportet hæc assequemur. *Quid faciemus*, intertogabant illi, condemnantes seipsos, nos autem secus agimus. Quid faciemus, dicimus, venditantes nos præsentibus, & sublimia de nobis ipsis sentientes. Illi faciebant quæ sane facere decebat, nos autem contrarium agimus. Condemnarunt seipsos illi, desperarunt de salute sua, & propter hoc tales facti sunt, agnoscebant quantum donum acceperant. Quomodo autem vos eritis tales, per omnia diversum quod illi faciebant, operantes? Illi simul audierunt ac baptizati sunt, non dixerunt hæc frigida verba, quæ scilicet nos nunc, neque moras nectebant, quamvis scilicet non omnes audierant justificationes, sed solum: *Servamini à generatione hac prava*, eos non segnes effecit, sed acceperunt sermones: & quod acceperant, operibus declarabant, & monstrarunt quales essent. Simul enim ut in certamen ingressi, vestes exuerunt: nos autem insanientes, cum vestibus certare volumus: propter hoc antagonista noster laboribus non habet opus, sed impliciti in nobis ipsis sæpe dejicimur. Idem enim facimus, quemadmodum si quis athletam pulvere aspersum, nigrum, nudum, & ab arena, & à sole multum habentem luti, & oleo, sudore ac luto simul deformatum videns, ipse unguentum olens, acceptis sericis & aureis vestibus, & stola usque ad corrigias calcei demissa, & aureo ornatu in capite ingressus se immittat. Qui enim talis est, non impeditur solum, sed omnem curam habet, ne inquinetur & disrumpatur vestis, unde & primo aggressu cadet: & id quod timuit, statim patietur, cum plagis & damno accepto. Tempus adest certaminis, tu autem sericis indueris, tempus est exercitationis, tempus studii, tu autem quasi ad pompam teipsum ornas, & quomodo vinces? Oro ne videas ad externa, sed ad interna. Horum enim curis, quasi vinculis gravibus ubique anima colligata est, manum non sinens extollere, neq; extendere contra hostem, molles faciens ac delicatos.

Psal 9.7.

Ib. 53. 11.

Quomodo certandū.

A αὐτῷ. τί οὖν ἂν εἰς πονηρούς, φησιν, ἄνδρας ὁ τοιοῦτος ἐμπέσῃ; ὁ Θεὸς ὁ προστάξας εἶναι ἁπλοῦς, ὀρέξει χεῖρα. τί τοῦ Δαβὶδ ἁπλούστερον ἦν, τί δὲ τοῦ Σαοὺλ πονηρότερον; τίς οὖν περιεγένετο; τί δαὶ ἐπὶ τοῦ Ἰωσήφ; οὐχ ὁ μὲν ἁπλῶς προσηνέχθη τῇ δεσποίνῃ, ἡ δὲ κακούργως; τί οὖν εἰπέ μοι ἐκεῖνος ἠδικήθη; τί δαὶ τοῦ Ἄβελ ἁπλούστερον ἦν; τί δαὶ τοῦ Κάϊν κακουργότερον; ὁ Ἰωσὴφ δὲ πάλιν· οὐχ ἁπλῶς ἐκέχρητο τοῖς ἀδελφοῖς; οὐ διὰ τοῦτο εὐδοκίμησεν ὅτι ὁ μὲν ἀνυπό-
B πτως πάντα ἐφθέγγετο, οὗτοι δὲ κακούργως ἐδέχοντο; καὶ ἅπαξ εἶπε τὰ ἐνύπνια, καὶ πάλιν εἶπε. καὶ οὐκ ἐφυλάξατο, καὶ πάλιν πρὸς αὐτοὺς ἀπῄει τροφὰς ἀποίσων, καὶ οὐδὲν ἐφυλάττετο, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ· ἀλλ' ὅσῳ ἐκεῖνοι πρὸς αὐτὸν οὕτω διέκειντο ὡς πρὸς πολέμιον, οὕτως ἐκεῖνος ὡς πρὸς ἀδελφούς. καὶ ἠδύνατο ὁ Θεὸς μὴ ἀφεῖναι αὐτὸν ἐμπεσεῖν εἰς αὐτῶν τὰς χεῖρας, ἀλλ' ἀφῆκεν, ἵνα δειχθῇ τὸ θαῦμα· [καὶ] ὅτι κἂν τὰ αὐτῶν ἐπιδείξωνται ἐκεῖνοι, οὗτος ἀνώ-
C τερος ἔσται. ὥστε κἂν λάβῃ πληγὴν, οὐ παρ' ἑαυτοῦ, ἀλλὰ παρ' ἑτέρου λαμβάνει. ὁ δὲ πονηρὸς, ἑαυτὸν μὲν πλήττει πρότερον, ἕτερον δὲ οὐδένα. οὕτως ἐστὶ καὶ ἑαυτῷ πολέμιος. τοῦ τοιούτου ἀεὶ ἀθυμίας ἡ ψυχὴ μεστὴ, τῶν λογισμῶν ἀεὶ συνδεδεμένων. κἂν ἀκοῦσαι, κἂν εἰπεῖν τι δέῃ, πάντα [μετὰ] ἐγκλημάτων ποιεῖ, πάντα μετ' αἰτίας. φιλία τῶν τοιούτων καὶ ὁμόνοια πόρρω καὶ μακρὰν ἐσκήνωται· μάχαι δὲ παρ' αὐτοῖς καὶ ἔχθραι καὶ ἀηδίαι, καὶ ἑαυτοὺς ὑποπτεύουσιν οἱ τοιοῦτοι. τούτοις οὐδὲ
D ὕπνος ἡδὺς, οὔτε ἄλλο οὐδέν. ἂν δὲ καὶ γυναῖκα ἔχωσι, βαβαὶ, πρὸς πάντας ἐχθροὶ γίνονται καὶ πολέμιοι· ζηλοτυπίαι μυρίαι· φόβος διηνεκής. πονηρὸς δὲ παρὰ τὸ πονεῖν εἴρηται. οὕτω γοῦν καὶ ἡ γραφὴ πόνον ἀεὶ τὴν πονηρίαν καλεῖ ὡς ὅταν λέγῃ· ὑπὸ τὴν γλῶσσαν αὐτοῦ κόπος καὶ πόνος· καὶ [ἀλλαχοῦ] πάλιν· καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. εἰ δὲ θαυμάζοι τις πόθεν μὲν παρὰ τὴν ἀρχὴν τοιοῦτοι γεγόνασι, νῦν δὲ οὐ τοιοῦτοι, μαθέτω τὴν θλίψιν αἰτίαν, τὴν διδάσκαλον τῆς φιλοσοφίας, τὴν μητέρα τῆς εὐλαβείας. ὅτε χρημάτων
E ἀναίρεσις ἦν, τότε οὐδὲ πονηρία ἦν. ναὶ φησίν. αὐτὸ γὰρ τοῦτο ἐρωτῶ. νῦν δὲ πόθεν ἡ τοσαύτη πονηρία; πόθεν ἐκείνοις μὲν ἐπῆλθε τοῖς τρισχιλίοις καὶ πεντακισχιλίοις εὐθέως ἑλέσθαι τὴν ἀρετὴν, καὶ ὁμοῦ οὕτως ἐγένοντο φιλόσοφοι· νῦν δὲ μόλις εἷς εὑρίσκεται, τότε δὲ οὕτω συνεφώνουν; τί τὸ ποιῆσαν αὐτοὺς σφοδροὺς καὶ διηγηγερμένους; τί αὐτοὺς ἀθρόον ἐπύρωσεν; ὅτι μετὰ πολλῆς προσῆλθον τῆς εὐλαβείας· ὅτι τὰ τῶν τιμῶν οὐκ ἦν καθάπερ νῦν· ἐπειδὴ πρὸς τὰ μέλλοντα μετέ-
A στησαν αὐτῶν τὴν διάνοιαν, καὶ οὐδὲν τῶν παρόντων προσεδόκων. τοῦτό ἐστι πεπυρωμένης ψυχῆς, τὸ τοῖς δεινοῖς ἐντρίβεσθαι· τοῦτο ἐνόμιζον ἐκεῖνοι Χριστιανισμὸν εἶναι. ἀλλ' οὐχ ἡμεῖς. νῦν γὰρ τὰς ἀνέσεις ἐνταῦθα ζητοῦμεν. διὰ τοῦτο οὐδὲ ὅταν δέῃ τούτων ἐπιτευξόμεθα. τί ποιήσομεν, ἠρώτων ἐκεῖνοι, ἀπογινώσκοντες ἑαυτῶν; ἡμεῖς δὲ τὸ ἐναντίον· τί ποιήσομεν λέγομεν ἐπιδεικνύμενοι πρὸς τοὺς παρόντας,
B καὶ μέγα φρονοῦντες ἐφ' ἑαυτοῖς; ἅπερ ἔδει γενέσθαι ἐποίουν ἐκεῖνοι· ἡμεῖς δὲ τοὐναντίον. κατέγνωσαν ἑαυτῶν ἐκεῖνοι· ἀπέγνωσαν αὐτῶν τῆς σωτηρίας, διὰ τοῦτο τοιοῦτοι γεγόνασιν. ἔγνωσαν ὅσον ἔλαβον δῶρον. πῶς δὲ ὑμεῖς ἔσεσθε τοιοῦτοι, ἀπεναντίας ἐκείνοις ἅπαντα πράττοντες; ἐκεῖνοι ἅμα ἤκουσαν καὶ ἐβαπτίσαντο· οὐκ εἶπον ταῦτα τὰ ῥήματα τὰ ψυχρὰ, ἅπερ ἡμεῖς νῦν, οὐδὲ τὴν ἀναβολὴν ἐπραγματεύσαντο. καίτοι γε οὐ πάντα ἤκουσαν τὰ
C δικαιώματα· ἀλλὰ μόνον τὸ, σώθητε ἀπὸ τῆς γενεᾶς ταύτης. οὐκ ὀκνηροὺς αὐτοὺς ἐποίησεν, [ἀλλὰ] ἀπεδέξαντο τοὺς λόγους· καὶ ὅτι ἀπεδέξαντο, διὰ τῶν ἔργων ἐδήλωσαν, καὶ ἔδειξαν ἑαυτοὺς τίνες ἦσαν. ἅμα γὰρ ἐνέβησαν εἰς τὸν ἀγῶνα, ἀπεδύσαντο τὰ ἱμάτια· ἡμεῖς δὲ ἐμβαίνοντες, μετὰ ἱματίων παλαίειν βουλόμεθα. διὰ τοῦτο οὐ δεῖται πόνου ὁ ἀνταγωνιστής, ἀλλ' ἐν αὐτοῖς περιπλακέντες πολλάκις κατηνέχθημεν. ταῦτ' γὰρ ποιοῦμεν, ὥσπερ ἂν εἴ τις ἄνδρα ἀθλητὴν κεκονιαμένον μέλανα, γυμνούμενον ἰδὼν, πολὺν καὶ ἀπὸ τῆς ἄμμου
D καὶ τοῦ ἡλίου πηλὸν ἔχοντα, καὶ ἀνακεχρωσμένον τῷ ἐλαίῳ, καὶ τῷ ἱδρῶτι, καὶ τῷ πηλῷ, αὐτὸς μύρων ὄζων, σηρικὰ λαβὼν ἱμάτια καὶ χρυσᾶ ὑποδήματα, καὶ στολὴν μέχρι σφυρῶν καθειμένην, καὶ χρυσία περὶ τὴν κεφαλὴν, συμπλέκοιτο εἰσιών. ὁ γὰρ τοιοῦτος, οὐκ ἐμποδισθήσεται μόνον, ἀλλὰ καὶ πᾶσαν τὴν φροντίδα περὶ τὸ μὴ μολῦναι μηδὲ διαρρῆξαι τοὺς χιτῶνας ἔχων, ἐκ πρώτης εὐθέως προσβολῆς πεσεῖται, καὶ ὅπερ δέδοικεν εὐθέως τοῦτο πείσεται, περὶ ἐκεῖνα τὰ καίρια τὴν ζημίαν λαβών. καιρὸς ἀγῶνος ἐνέστηκε· σὺ δὲ περιβάλλῃ σηρικά; καιρὸς γυμνασίας, καιρὸς σταδίου· σὺ δὲ καθάπερ ἐν πομπῇ κοσμεῖς σαυτὸν, καὶ πῶς
E περιέσῃ; μή μοι πρὸς τὰ ἔξω ἴδῃς, ἀλλὰ πρὸς τὰ ἔσω. τῶν γὰρ τούτων φροντίσι, καθάπερ χοινίοις χαλεποῖς, πάντοθεν ἡ ψυχὴ συνδεῖται, χεῖρα οὐκ ἐῶσα ἀντᾶραι, οὐδὲ ἐπανατεῖναι τῷ πολεμίῳ, μαλακοὺς ἐργαζομένη καὶ ἁπαλούς.

ἀγαπητὲ

ἀγαπητὸν πάντων ἀπαλλαγέντα δυνηθῆναι περιγενέσθαι τῆς ἀκαθάρτου δυνάμεως ἐκείνης. διὰ τοῦτο καὶ ὁ Χριστὸς, ὡς οὐκ ἀρκούσης τῆς τῶν χρημάτων μόνον ἀποβολῆς, ὅρα τί φησι· Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. εἰ δὲ οὐδὲ ὅταν ἀποδυσώμεθα τὰ χρήματα, οὐδέπω ἐν ἀσφαλείᾳ ἑστήκαμεν, ἀλλὰ καὶ ἑτέρας τινὸς τέχνης καὶ ἀκριβείας ἡμῖν δεῖ· πολλῷ μᾶλλον ἔχοντες, οὐδὲν ἐργασόμεθα μέγα, ἀλλὰ καταγέλαστοι καὶ τοῖς θεαταῖς, καὶ αὐτῷ γενησόμεθα τῷ πονηρῷ. κἂν γὰρ διάβολος μὴ ᾖ· [κἂν ὁ παλαίων μηδεὶς ᾖ,] μυρίαι πάντοθεν ὁδοὶ πρὸς τὴν γέενναν τὸν φιλοχρήματον ἄγουσι. ποῦ νῦν εἰσιν οἱ λέγοντες, διατί ὁ διάβολος γέγονεν; ἰδοὺ ἐνταῦθα ὁ διάβολος οὐδὲν ἐργάζεται, ἀλλὰ τὸ πᾶν ἡμεῖς. καὶ μὴν οἱ ἐν τοῖς ὄρεσι ταῦτα λέγειν ὤφειλον, οἱ μετὰ σωφροσύνην καὶ χρημάτων ὑπεροψίαν καὶ τὴν τῶν ἄλλων καταφρόνησιν, πατέρα καὶ οἰκίας, καὶ ἀγροὺς, καὶ γυναῖκα, καὶ παιδία ἀφεῖναι μυριάκις ἑλόμενοι. ἀλλ' ἐκεῖνοι μάλιστα ταῦτα οὐ λέγουσιν· ἃ δὲ οὐδέποτε λέγειν ἐχρῆν, οὗτοι λέγουσιν. ἐκεῖνα ὄντως τοῦ διαβόλου τὰ παλαίσματα· εἰς ταῦτα δὲ οὐδὲ καθεῖναι ἄξιον, ἀλλ' αὐτήν φησι τὴν φιλοχρηματίαν ὁ διάβολος ἐνίησι. καὶ ἀπόφυγε καὶ μὴ καταδέξῃ ἄνθρωπε. νῦν δὲ ἂν μὲν τινα ἴδῃς τινὸς ἀπὸ δρυφάκτου καταχέοντα βόρβορον, εἶτα τὸν ὁρῶντα καταχεόμενον αὐτὸν ἑστῶτα καὶ τὸ πᾶν δεχόμενον τῇ κεφαλῇ, οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἀγανακτεῖς, καὶ φῂς αὐτὸν δικαίως πεπονθέναι, καὶ, μὴ μωρὸς ἴσθι, ἕκαστος πρὸς αὐτὸν φθέγξεται· καὶ οὐ τὸν βάλλοντα τοσοῦτον αἰτιᾷ, ἀλλὰ τὸν δεχόμενον. νῦν δὲ οἶδας, ὅτι τοῦ διαβόλου ἡ φιλοχρηματία· οἶδας, ὅτι μυρίων κακῶν ἐστιν αἰτία· ὁρᾷς αὐτὸν καθάπερ βόρβορον καταχέοντα τοὺς συρφετοὺς λογισμοὺς καὶ αἰσχρούς· καὶ γυμνῇ τῇ κεφαλῇ δεχόμενος τὴν ἀκαθαρσίαν τὴν ἐκείνου οὐ νοεῖς, δέον μικρὸν ἐκκλίναντα οὕτω παντὸς ἀπηλλάχθαι; καθάπερ ἂν ἐκεῖνος τὸν τόπον ἐκκλίνας ἀπηλλάγη· οὕτω καὶ σὺ, μὴ δέχου τοὺς τοιούτους λογισμοὺς, καὶ φεύξῃ τὴν ἁμαρτίαν, ἀποκρούσαι τὴν ἐπιθυμίαν. καὶ πῶς ἀποκρούσομαι, φησίν; εἰ μὲν Ἕλλην ἦς καὶ τὰ παρόντα ἐθαύμαζες μόνα, τάχα πολλῆς ἦν δυσκολίας τὸ πρᾶγμα. καί τοι γε ἐκεῖνοι κατώρθωσαν τοῦτο. ἄνθρωπος δὲ τὸν οὐρανὸν προσδοκῶν καὶ τὰ ἐν τοῖς οὐρανοῖς, λέγεις, πῶς ἀποκρούσομαι; εἰ τοὐναντίον ἔλεγον τότε ἐχρῆν ἀπορεῖν· εἰ ἔλεγον ἐπιθύμησον χρημάτων, καὶ πῶς ἐπιθυμήσω χρημάτων ἔφης ἂν τοιαῦτα ὁρῶν; εἰπέ μοι, εἰ χρυσίου προκειμένου καὶ λίθων τιμίων, ἔλεγον, ἐπιθύμησον μολύβδου· ἆρα οὐκ ἦν ἀπορίας; εἶπες γὰρ ἂν, πῶς δύναμαι; εἰ δὲ ἔλεγον, μὴ ἐπιθυμήσῃς, τοῦτο εὐκολώτερον ἦν. οὐ θαυμάζω τοὺς καταφρονοῦντας, ἀλλὰ τοὺς μὴ καταφρονοῦντας. σφόδρα ψυχῆς ἐστι ῥᾳθυμίας πεπληρωμένης, μυιῶν καὶ κωνώπων οὐδὲν διαφερούσης, χαμαὶ συρομένης, ἐλυσπωμένης ἐν τῷ βορβόρῳ, οὐδὲν μέγα φανταζομένης. τί λέγεις; ζωὴν μέλλεις κληρονομεῖν αἰώνιον; καὶ λέγεις, πῶς καταφρονήσω τῆς παρούσης ὑπὲρ ἐκείνης; μὴ γὰρ ἀμφήριστά ἐστι τὰ πράγματα; ἱμάτιον μέλλεις λαμβάνειν βασιλικόν· καὶ λέγεις, πῶς καταφρονήσω τῶν ῥακίων; εἰς τὸν τοῦ βασιλέως μέλλεις ἄγεσθαι οἶκον· καὶ λέγεις, πῶς καταφρονήσω τῆς πενιχρᾶς τῆς παρούσης; οὕτως ἡμεῖς ἐσμεν αἴτιοι πανταχοῦ, οἱ μὴ θέλοντες διεγερθῆναι μικρόν. οἱ γὰρ θελήσαντες, πάντες κατώρθωσαν· καὶ κατώρθωσαν μετὰ πολλῆς τῆς σφοδρότητος καὶ τῆς εὐκολίας. γένοιτο δὲ καὶ ὑμᾶς πεισθέντας τῇ ἡμετέρᾳ παραινέσει κατορθῶσαι, καὶ ζηλωτὰς γενέσθαι τῶν κατωρθωκότων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς [αὐτοῦ] υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Optandum, liberatum ab omnibus posse illam immundam superare potestatem, propter hoc & Christus quod non sufficiat solarum divitiarum abjectio, vide quid dicat: *Vende facultates tuas, & da pauperibus: & veni, sequere me.* Si autem neque quando deposuerimus opes, nondum securitatem consequimur, sed & alia quadam arte ac diligentie nobis opus est: n ultò magis has adhuc habentes, nihil magni faciemus, sed ridiculi & spectatoribus, & ipsi maligno hosti erimus. Nam licet diabolus non esset, licet nullus qui impugnet appareat: innumeræ tamen viæ sunt, quæ divitiarum amatores ad gehennam ducunt. Ubi nunc sunt qui dicunt: Quare diabolus factus est? Ecce hic diebolus nihil operatur, sed nos totum. Atqui hæc eos qui in montibus sunt dicere oportebat, qui post temperantiam, & divitiarum contemptum, & aliarum rerum despectum, patrem ec domos, & agros, & uxorem, & pueros relinquere sæpissimè volentes, sed illi maximè hæc non dicunt. Isti autem quos nunquam dicere oportebat, dicunt. Illa revera sunt diaboli certamina, ad hæc autem neque descendere dignum. Sed istam, inquit, divitiarum cupiditatem immittit diabolus. Et improba ne epprobes homo. Nunc autem si quidem videres aliquem à janua rejicere lutum, deinde videre contra se jaci ac stare, & omnia capite assumere, non solum non misereris, sed etiam indignareris, & diceres illum justè passum esse: Et, ne stultus sis, omnes ad illum loquerentur. Nunc eutem vides quod diaboli est divitiarum cupiditas, vides quod innumera mala affert, vides illum sicuti luti acervos facere cogitationes fœdas, & nudo capite eccipiens immundiriam illius non intelligis? parum declinare oportebat, & ab affectione liberari, quemadmodum si illum locum declinans liberetur, sic & tu accipe tales rationes, & fugias peccatum, & repellas concupiscentiam. Et quomodo repellam, inquit? Siquidem Ethnicus esset, & præsentia solum admirareris, fortasse multa esset difficultas, quamvis illi id virtutis exercuerint. Homo autem cœlum expectans & ea quæ in cœlis, dicis, quomodo repellam? si contratium dicerem, tunc oportebat hæsitare: si dicerem, concupisce divitias, & quomodo concupiscam divitias diceres talia videns? dic oro: Si auro proposito & lapidibus pretiosis dicerem, concupisce plumbum, non igitur opus erat hæsitatione? dixisses enim, quomodo possum? Si autem dicerem: Ne concupiscas, hoc facilius fuisset. Non admiror despicientes, sed eos qui non contemnunt. Hoc est animæ multa ignevia impletæ, nihil muscis & culicibus præstantioris, humique repentis. Quid dicis? Vitam hæreditaturus es æternam, & dicis, quomodo contemnam præ illa præsentem? Non sunt æquè amabiles illæ res: vestem accepturus regiam, dicis, quomodo contemnam pannosam? In regis ingressurus domum dicis, quomodo despiciam pauperem illam casam? Sic nos sumus ubique authores, nolentes vel parum excitari. Nam quotquot voluerunt, vitam in melius mutarunt amplexi virtutem, feceruntque illud strenuè, magnáque cum facilitate. Utinam & nos præsenti admonitione persuasi rectè agamus, imitatores efficiamur eorum qui bene egerunt, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui Sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum Amen.

Matt. 19. 21.

ΟΜΙΛΙΑ η.

Ἐπὶ τὸ αὐτὸ δὲ Πέτρος καὶ Ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐννάτην.

ΠΑΝΤΑΧΟΥ φαίνονται οὗτοι πολλὴν ἔχοντες πρὸς ἀλλήλους ὁμόνοιαν. τούτῳ νεύει ὁ Πέτρος· ὁμοῦ εἰς τὸν τάφον ἔρχονται· οὗτοι· περὶ αὐτοῦ φησι τῷ Χριστῷ, οὗτος δὲ τί; τὰ μὲν οὖν ἄλλα σημεῖα παρεῖδεν ὁ τὸ βιβλίον συγγράψας· ὃ δὲ πολλὴν εἶχε τὴν ἔκπληξιν καὶ πάντας ἐξένιζε λέγει. καὶ ὅρα πάλιν αὐτοὺς οὐ προηγουμένως ἐπ' αὐτὸ ἐρχομένους· οὕτω φιλοτιμίας ἦσαν καθαροὶ, καὶ τὸν διδάσκαλον ἐμιμοῦντο τὸν αὐτῶν. τί δὲ ἀνῄεσαν εἰς τὸ ἱερόν; ἆρα ἔτι Ἰουδαϊκῶς ἔζων; οὐχί· ἀλλὰ χρησίμως τοῦτο ποιοῦσι. γίνεται γὰρ σημεῖον πάλιν ἐκείνους τε βεβαιοῦν καὶ τοὺς ἄλλους ἐφελκόμενον· καὶ σημεῖον, οἷον οὔπω ἦσαν ποιήσαντες. φυσικὸν τὸ πάθος ἦν, καὶ κρεῖττον τέχνης ἰατρικῆς. [μᾶλλον δὲ] τεσσαράκοντα ἔτη ἦν πεποιηκὼς ἐν τῇ χωλείᾳ καθὼς προϊὼν φησι, καὶ οὐδεὶς αὐτὸν ἐν παντὶ τῷ χρόνῳ ἐθεράπευσεν. ἴστε δὲ ὅτι ταῦτα μάλιστα δυσκολώτερα, ἅπερ ἂν ἐκ γενετῆς ᾖ. τοῦτο ἦν τὸ δεινὸν, ὥστε οὐδὲ τὴν ἀναγκαίαν τροφὴν πορίζεσθαι δυνατὸς ἦν ἑαυτῷ. καὶ ἐπίσημος δὲ ὑπῆρχεν ἀπό τε τοῦ τόπου.

Cap. III.

HOMILIA VIII.

Simul autem Joannes & Petrus ascendebant in templum ad horam orationis nonam.

UBIQUE duo illi inter se concordiam magnam habere cognoscuntur. huic innuit Petrus: simul ad sepulchrum veniunt. De hoc dicit Christo: *Hic autem quid?* Et alia quidem signa non curavit libri hujus scriptor: quod autem magnum afferebat stuporem, & omnibus novum videbatur, dicit. Et vide iterum non prius consilio capto ad hoc venisse, adeo ab ostentatione & honoris cupiditate erant alieni, & suum imitabantur præceptorem. Cur autem tunc *ascenderunt in templum?* nunquid adhuc Judaicè vivebant? minimè, sed utiliter hoc faciunt. Fit autem signum hoc, alios quidem iterum confirmans, alios eutem attrahens. Et signum quale nondum fecerant. naturalis morbus erat, & major arte medica, imò quadreginta ennis claudicans fuerat, sicut in progressu dicit, & nullus illum unquam curavit. Scitis autem quòd curatu difficiliora sunt, quæ scilicet à nativitate insunt. Tam

Joh. 18. 24. Ib. 21. 22.

A Tam gravis autem erat morbus ille, ut nec sibiipsi cibum operando parare posset, & insignis erat cum à loco, tum à morbo. Et quomodo, audi. *Et vir quidam*, inquit, *claudus ex utero matris suæ gestabatur, quem ponebant quotidie ad portam templi quæ dicebatur Speciosa, ut peteret eleemosynam ab his qui ingrediebantur in templum.* Eleemosynam utique accipere quærebat, & ignorabat quinam essent illi viri. *Qui visis Petro & Joanne ingressuris in templum, rogabat ut eleemosynam acciperet: ut autem Petrus inspexisset in* B *illum cum Joanne, dixit: Respice in nos.* Hoc audi. Ille autem neque sic surgit, sed adhuc manet interturbans. Hunc enim paupertas cogit, ut etiam urgeat dare eos qui negant. Confundamur nos qui resilimus, dum orant nos inopes. Vide autem æquitatem quomodo ostendit Petrus statim & dixit: *Vide in nos.* Sic illorum habitus morum facilitatem ostendebat. *Ille autem intendebat in eos, expectans aliquid ab ipsis accipere: dixit autem Petrus, Argentum &* C *aurum non est mihi. Hoc autem quod habeo tibi do.* Non dixit: Do tibi quod multo argento preciosius. Sed quid? *In nomine Jesu Christi Nazareni surge & ambula: & apprehensa illius manu dextra suscitavit.* Ita & Christus ferit, sæpe curavit verbo, sæpe & opere, sæpe & manum adhibuit ubi erant infirmiores in fide, ut ne videatur fieri natura. *Et apprehensa illius dextra manu suscitavit.* Hoc fecit manifestam suscitationem. Erat enim resuscitationis imago. *Et* D *statim confirmatæ sunt illius plantæ ac tali. Et exiliens stetit & ambulabat.* Tentans forsan seipsum, & majorem probationem faciebat. Non igitur simpliciter factum est, quod actum. Infirmi pedes illi erant, non fatigati, non secti: quidam autem dicunt, quod nescivertit ambulare. *Et ingressus est cum illis ambulans in templum.* Revera admiratione dignum: non ipsi illum adducunt, sed ipse sequitur, comitatu benefactores suos testatus. Et per hoc quod cum exul- E tatione laudabat Deum, non illos admirans, sed Deum, qui per illos sibi benefecerat. Sic gratitudinis studiosus vir erat. Sed videamus iterum quæ dicta sunt. *Ascendebant*, inquit, *ad horam orationis nonam.* Fortassis per tempus illud gestantes claudum ponebant, quando maximè ingrediuntur homines in templum. Ut autem ne putet quis, quod propter aliud quiddam portabant & non ut acciperet, vide quomodo hoc manifestè astruat in his quæ dicit: *Pone-* A *bant illum, ut eleemosynam acciperet ab his qui ingrediebantur in templum.* Et propter hoc etiam locorum meminit, argumentum dans eorum quæ scribit. Et quomodo illum non adduxerunt Christo? forsan fuerunt infideles qui templo assidebant, qui quidem neque Apostolis illum adduxerunt. Ut vidit autem illos ingredientes, & miracula facientes talia: *Rogabat*, inquit, *ut eleemosynam acciperet*, quemadmodum illos viros pios quosdam ex ipso habitu statim considerabat. Et idcirco intendit in illos. B Vide autem quomodo & Joannes ubique tacet: Petrus verò etiam pro illo rationem reddit. *Argentum*, inquit, *& aurum non est mihi*: non dixit: Non habeo hic, qualia nos dicimus, sed prorsus, non habeo. Quid igitur claudus? Et despicis me orantem? Non dixit, sed ex his quæ habeo accipe. Vides quomodo à fastu alienus sit Petrus, & non ostentator, etiam neque erga illum cui benefaciebat. Os igitur & manus totum operabantur. Tales quidam erant & Judæi claudicantes, & opus C erat illis petere sanitatem, ipsi autem magis opes petebant humi jacentes, qui & propter hoc templo assidebant, ut ditarentur. Quid igitur Petrus? Non despexit illum, non ditantem aliquem quæsivit, neque dixit: Etiamsi non fiat illi miraculum, nihil magni fuerit: nec honorem aliquem ab illo expectavit, neque præsentibus quibusdam curavit illum. Erat enim vir in ingressu, non ibi, sed intus erat multitudo, sed nihil horum quæsivit Pe- D trus, neque ingressus prædicavit, sed solo suo habitu claudum attraxit ad petendum. Et hoc miraculum, quòd statim credidit. Qui enim liberati sunt à diutinis morbis: vix credunt etiam cum viderint. Et qui sanatus est, deinde cum Apostolis erat, gratias agens Deo. *Et ingressus est*, inquit, *cum illis ambulans in templo, exultans & laudans Deum.* Vide quomodo non solus erat: præ voluptate quidem saliebat, laudabat autem Deum ut ora illorum obturaret. Mihi autem videtur, ut ne putetur esse simulatio ipsum saltasse, quod E certè ostendebat non esse hypocrisim. Qui enim omnino ire non poterat, præsertim quum antea etiam fames cogeret: neque enim voluisset in gestantes distribui ea quæ in eleemosyna vix sibi sufficiebant: multo magis tunc. Quomodo autem simulasset propter eos qui eleemosynam non dederunt? Sed gratias agebat vir etiam post sanitatem. Utrinque enim fidelis ostenditur & à gratitudine, & ex eo quod acciderat.

A ἀπό τε τοῦ πάθους. καὶ πῶς, ἄκουε. καί τις ἀνὴρ χωλός, φησίν, ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων ἐβαστάζετο, ὃν ἐτίθουν καθ' ἡμέραν εἰς τὴν θύραν τοῦ ἱεροῦ, τὴν λεγομένην ὡραίαν, τοῦ αἰτεῖν ἐλεημοσύνην παρὰ τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. ἐλεημοσύνην λαβεῖν ἄρα ἐζήτει καὶ οὐκ ᾔδει τίνες ἦσαν οἱ ἄνδρες. ὃς ἰδὼν Πέτρον καὶ Ἰωάννην μέλλοντας εἰσιέναι εἰς τὸ ἱερόν, ἠρώτα ἐλεημοσύνην λαβεῖν. ἀτενίσας δὲ Πέτρος εἰς αὐτὸν σὺν τῷ Ἰωάννῃ εἶ- B πε· βλέψον εἰς ἡμᾶς. [ὅρα τὸ ἀκούει] ὁ δὲ οὐδὲ οὕτως ἀνίσταται, ἀλλ' ἔτι μένει ἐνοχλῶν. τοιοῦτον γὰρ ἡ πενία, καὶ τοὺς ἀπαγορεύοντας ἐπιμένει καὶ ἀναγκάζει. αἰσχυνθῶμεν οἱ ἐν ταῖς εὐχαῖς ἀποπηδῶντες. ὅρα δέ μοι τὴν ἐπιείκειαν πῶς ἔδειξε Πέτρος εὐθύς, εἰπὼν βλέψον εἰς ἡμᾶς. οὕτως αὐτῶν τὸ σχῆμα αὐτόθεν ἐδείκνυ τὸν τρόπον. ὁ δὲ ἐπεῖχεν αὐτοῖς, προσδοκῶν τι παρ' αὐτῶν λαβεῖν. εἶπε δὲ Πέτρος· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· ὃ δὲ ἔχω τοῦτό σοι δίδωμι. C οὐκ εἶπεν, ὅτι τοῦ ἀργυρίου πολλῷ βέλτιόν σοι δίδωμι· ἀλλὰ τί; ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ἔγειραι καὶ περιπάτει· καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρεν. οὕτω καὶ ὁ Χριστὸς ἐποίησε. πολλάκις λόγῳ ἐθεράπευσε, πολλάκις ἔργῳ, πολλάκις καὶ τὴν χεῖρα προσήγαγεν ὅπου ἦσαν ἀσθενέστεροι κατὰ τὴν πίστιν, ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γενέσθαι. καὶ πιάσας αὐτὸν τῆς δεξιᾶς χειρὸς ἤγειρε· τοῦτο ἐποίησε δηλοῦν τὴν ἀνάστασιν. ἀναστάσεως γὰρ ἦν εἰκών. καὶ πα- D ραχρῆμα ἐστερεώθησαν αὐτοῦ αἱ βάσεις καὶ τὰ σφυρά, καὶ ἐξαλλόμενος ἔστη καὶ περιεπάτει. πειράζων ἴσως ἑαυτὸν καὶ πλείονα τὴν βάσανον ἐποιεῖτο, μὴ ἄρα ἁπλῶς ἐστι τὸ γεγονός; ἀσθενεῖς ἦσαν αὐτοῦ οἱ πόδες, οὐ κεκομμένοι. τινὲς δέ φασιν, ὅτι καὶ ἠγνόει περιπατεῖν. καὶ εἰσῆλθε σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν. ὄντως θαύματος ἄξιον. οὐκ αὐτοὶ αὐτὸν ἐπάγονται, ἀλλ' αὐτὸς ἀκολουθεῖ, διὰ τῆς ἀκολουθήσεως τοὺς εὐεργέτας δεικνύς, καὶ διὰ τοῦ μετὰ τῆς ἀγαλλιάσεως αἰνεῖν E τὸν Θεόν· οὐκ ἐκείνους θαυμάζων, ἀλλὰ τὸν Θεὸν τὸν δι' ἐκείνων εὐεργετήσαντα. [οὕτως] εὐχάριστος ἦν ὁ ἀνήρ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἀνέβαινον, φησίν, ἐπὶ τὴν ὥραν τῆς προσευχῆς τὴν ἐνάτην. τάχα κατὰ τὸν καιρὸν τοῦτον βαστάζοντες τὸν χωλὸν ἔθηκαν, ὅτε μάλιστα εἰσῄεσαν οἱ ἄνθρωποι εἰς τὸ ἱερόν. ἵνα δὲ μὴ νομίσῃ τις, ὡς δι' ἕτερόν τι αὐτὸν ἐβάσταζον, καὶ οὐχὶ διὰ τὸ λαβεῖν, ὅρα πῶς τοῦτο σαφῶς παρέστησε δι' ὧν λέγει· ἐτίθουν αὐτὸν ὥστε ἐλεημοσύνην λαβεῖν παρὰ A τῶν εἰσπορευομένων εἰς τὸ ἱερόν. διὰ τοῦτο καὶ τόπων μέμνηται, ἔλεγχον διδοὺς ὧν γράφει. καὶ πῶς φησιν αὐτὸν οὐ προσήγαγον τῷ Χριστῷ; ἴσως ἦσαν ἄπιστοι οἱ τῷ ἱερῷ προσεδρεύοντες, ὅπου γε οὐδὲ τοῖς ἀποστόλοις αὐτὸν προσήγαγον, ἰδόντες αὐτοὺς εἰσιόντας καὶ θαύματα πεποιηκότας τοιαῦτα. ἠρώτα, φησίν, ἐλεημοσύνην λαβεῖν. ὥσπερ τινὰς εὐλαβεῖς ἄνδρας ἀπὸ τοῦ σχήματος αὐτοὺς τάχα κατενόησε. διὰ τοῦτο καὶ ἐπεῖχεν αὐτοῖς. ὅρα δὲ πῶς ὁ Ἰωάννης πανταχοῦ σιγᾷ· B ὁ δὲ Πέτρος καὶ ὑπὲρ αὐτοῦ ἀπολογεῖται· ἀργύριον, φησί, καὶ χρυσίον οὐχ ὑπάρχει μοι. οὐκ εἶπεν, οὐκ ἔχω ἐνταῦθα, οἷα ἡμεῖς λέγομεν· ἀλλ' ὅλως, οὐκ ἔχω. τί οὖν ὁ χωλός; καὶ παροράς με τὸν ἱκετεύοντα; οὐ φησίν· ἀλλ' ἐξ ὧν ἔχω λάβε. ὁρᾷς πῶς ἄτυφος ὁ Πέτρος, καὶ οὐκ ἐπιδεικνύμενος οὐδὲ πρὸς αὐτὸν τὸν εὐεργετούμενον; τὸ στόμα τοίνυν καὶ ἡ χεὶρ τὸ πᾶν εἰργάσατο. τοιοῦτοί τινες ἦσαν καὶ Ἰουδαῖοι χωλεύοντες· καὶ δέον αἰτῆσαι ὑγείαν, οἱ δὲ μᾶλλον χρήματα αἰτοῦσι χαμαὶ κείμενοι. οἱ καὶ διὰ τοῦτο τῷ ἱερῷ προσήδρευον, ἵνα χρη- C ματίζωνται. τί οὖν ὁ Πέτρος; οὐχ ὑπερεῖδεν αὐτόν· οὐ πλουτοῦντά τινα ἐζήτησεν· οὐδὲ εἶπεν, ἂν μὴ εἰς ἐκεῖνον γένηται τὸ θαῦμα, οὐδὲν μέγα ἐστίν· οὐ τιμὴν τινὰ προσεδόκησε παρ' αὐτοῦ· οὐδὲ παρόντων τινῶν ἐθεράπευσεν αὐτόν· ἐν γὰρ τῇ εἰσόδῳ ἦν ὁ ἀνήρ, οὐκ ἔνθα τὸ πλῆθος ἦν ἔνδον· ἀλλ' οὐδὲν τούτων ἐζήτησεν ὁ Πέτρος, οὐδὲ εἰσελθὼν ἐκήρυξεν· ἀλλ' ἀπὸ [μόνου] τοῦ σχήματος τὸν χωλὸν ἐπεσπάσατο πρὸς τὴν αἴτησιν. καὶ τὸ θαυμαστόν, ὅτι ταχέως ἐπί- D στευσεν. οἱ γὰρ χρονίων ἀπαλλαγέντες παθῶν, μόλις πιστεύουσι καὶ αὐτῇ τῇ ὄψει. καὶ θεραπευθεὶς λοιπὸν σὺν τοῖς ἀποστόλοις ἦν, εὐχαριστῶν τῷ Θεῷ. καὶ εἰσῆλθε, φησί, σὺν αὐτοῖς περιπατῶν εἰς τὸ ἱερόν, ἁλλόμενος καὶ αἰνῶν τὸν Θεόν. ὅρα πῶς οὐκ ἠρέμει· τοῦτο μὲν ὑπὸ τῆς ἡδονῆς, τοῦτο δὲ ἐμφράττων αὐτῶν τὰ στόματα. ἐμοὶ δὲ δοκεῖ καὶ ἵνα μὴ νομισθῇ [τις] ὑπόκρισις, διὰ τοῦτο ἅλλεσθαι αὐτόν. τοῦτο γὰρ λοιπὸν οὐκ ἦν ὑποκρίσεως. εἰ γὰρ μηδὲ ἁπλῶς ἐπιβῆναι δυνατὸν ἦν αὐτῷ τὸ πρότερον, καὶ ταῦτα τοῦ λιμοῦ καταναγ- E κάζοντος· οὐ γὰρ ἂν εἵλετο πρὸς τοὺς βαστάζοντας διανέμεσθαι τὰ τῆς ἐλεημοσύνης ἑαυτῷ δυνάμενος ἀρκεῖν· πολλῷ μᾶλλον τότε. πῶς δὲ καὶ ὑπεκρίνατο ἂν ὑπὲρ τῶν μὴ δεδωκότων ἐλεημοσύνης; ἀλλ' εὐχάριστος ἦν ὁ ἀνὴρ καὶ μετὰ τὴν ὑγείαν. ἑκατέρωθεν οὖν πιστὸς δείκνυται, ἀπό τε τῆς εὐχαριστίας, ἀπό τε τοῦ συμβεβηκότος. οὐ μὴν πᾶσι γνώριμος ἦν, ὅθεν καὶ ἐπεγίνωσκον αὐτόν· καὶ εἶδον αὐτόν.

αὐτόν, φησι, πᾶς ὁ λαὸς περιπατοῦντα καὶ αἰνοῦντα τὸν Θεόν, ἐπεγίνωσκόν τε αὐτὸν ὅτι οὗτός ἐστιν ὁ πρὸς τὴν ἐλεημοσύνην καθήμενος ἐπὶ τῇ ὡραίᾳ πύλῃ τοῦ ἱεροῦ. καὶ καλῶς εἶπεν, ἐπεγίνωσκον· ὡς καὶ ἀγνοουμένου λοιπὸν ἀπὸ τοῦ πράγματος. ταύτῃ γὰρ τῇ λέξει κεχρήμεθα ἐπὶ τῶν μόλις γνωριζομένων. ἔδει γοῦν πιστευθῆναι ὅτι ἀφίησι τὰ ἁμαρτήματα τὸ ὄνομα τοῦ Χριστοῦ, ὅπουγε καὶ τοιαῦτα ἐργάζεται. κρατοῦντος δὲ τοῦ ἰαθέντος τὸν Πέτρον καὶ [τὸν] Ἰωάννην, συνῆλθε πᾶς ὁ λαὸς ἐπὶ τῇ στοᾷ τῇ καλουμένῃ Σολομῶντος ἔκθαμβοι. ἀπὸ τῆς εὐνοίας τῆς εἰς αὐτοὺς καὶ τῆς φιλίας οὐκ ἐχωρίζετο αὐτῶν· ἴσως δὲ καὶ εὐχαριστῶν αὐτοῖς καὶ ἐπαινῶν. καὶ συνέδραμέ φησι πᾶς ὁ λαός. ἰδὼν δὲ [αὐτοὺς] ὁ Πέτρος ἀπεκρίνατο. πάλιν αὐτὸς καὶ ἐργάζεται καὶ δημηγορεῖ. τότε μὲν οὖν αὐτοὺς εἰς τὴν ἀκρόασιν διήγειρε τὸ πρᾶγμα τὸ περὶ τὰς γλώσσας· νυνὶ δὲ οὗτος. καὶ τότε μὲν ἀρχὴν ἔλαβεν ἀπὸ τῶν ἐγκλημάτων· νῦν δὲ ἀπὸ τῆς ὑπονοίας. ἴδωμεν δὲ τί διενήνοχεν αὕτη ἡ δημηγορία ἐκείνης, καὶ κατὰ τί κοινωνεῖ. ἐκείνη μὲν οὖν ἐν τῇ οἰκίᾳ γίνεται, οὐδέπω προσελθόντος οὐδενὸς, οὐδὲ αὐτῶν τι ἐργασαμένων· αὕτη δὲ πάντων θαυμαζόντων, τοῦ θεραπευθέντος πλησίον ἑστῶτος, οὐδενὸς ἀμφιβάλλοντος, καθάπερ τότε ὅτε ἔλεγον ὅτι γλεύκους μεμεστωμένοι εἰσί. [καὶ] τότε μετὰ τῶν ἀποστόλων πάντων ὢν διελέγετο· νῦν δὲ μετὰ τοῦ Ἰωάννου μόνου. λοιπὸν γὰρ θαρρεῖ καὶ σφοδρότερος γίνεται. τοιοῦτον γὰρ ἡ ἀρετὴ, ἀρχὴν λαβοῦσα πρόεισι, καὶ οὐδαμοῦ ἵσταται. ὅρα δὲ καὶ πῶς ᾠκονομήθη ἐν τῷ ἱερῷ γενέσθαι σημεῖον, ἵνα καὶ ἄλλοι θαρρήσωσιν. οὐκ ἐν παραβύστῳ γὰρ αὐτὸ [που] ἐργάζονται ἢ καὶ λανθανόντως· ἀλλ' οὔτε ἔνδον ἐν τῷ ἱερῷ, ἔνθα τὸ πολὺ πλῆθος ἦν. πῶς οὖν ἐπιστεύθη, φησίν; ὅτι αὐτὸς ὁ θεραπευθεὶς ἐκήρυττε τὴν εὐεργεσίαν. οὐδὲ γὰρ ἂν ἐψεύσατο, οὐδ' ἂν ἐπ' ἄλλους τινὰς ἦλθεν. ἤτοι οὖν ὡς εὐρυχωρίας οὔσης ἐκεῖ τὸ σημεῖον εἰργάσαντο· ἢ ὡς κεχωρισμένου τοῦ τόπου. καὶ ὅρα τὸ γινόμενον. ἐφ' ἑτέραν ἀνῆλθον πρόφασιν, καὶ ἕτερα ἐργάζονται. οὕτω καὶ Κορνήλιος· ἄλλα νηστεύων ηὔχετο, καὶ ἄλλα ὁρᾷ. μέχρι δὲ τότε πανταχοῦ τὸν Χριστὸν Ναζωραῖον ὀνομάζουσιν· ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, φησὶν, ἔγειραι καὶ περιπάτει. τέως γὰρ τοῦτο ἦν τὸ ζητούμενον, τὸ πιστευθῆναι αὐτόν. μὴ δὴ πρὸς τὴν ἀρχὴν ἀποκάμωμεν τοῦ διηγήματος· ἀλλ' εἰ καὶ κατόρθωμά τις εἰπὼν διαλείπῃ, πάλιν ἀναλάβωμεν τὴν ἀρχήν. ἂν ἐν ἕξει γενώμεθα, ταχέως πρὸς τὸ τέλος ἥξομεν· ταχέως πρὸς τὴν κορυφὴν στησόμεθα. σπουδὴ γάρ, φησι, σπουδὴν γεννᾷ, καὶ ῥᾳθυμία ῥᾳθυμίαν. ὁ μικρόν τι κατωρθωκὼς, ἔλαβε παράκλησιν ἐπὶ τὸ μεῖζον ἐλθεῖν [καὶ μᾶλλον] ἐξ ἐκείνου [περαιτέρω χωρῆσαι.] καὶ καθάπερ τὸ πῦρ ὅσα ἂν περιλάβῃ ξύλα, τοσούτῳ σφοδρότερον γίνεται· οὕτω καὶ προθυμία, ὅσους ἂν διεγείρῃ λογισμοὺς εὐσεβεῖς, τοσούτῳ μᾶλλον κατὰ τῶν ἄλλων ὁπλίζεται. οἷόν τι λέγω· ἑστήκασιν ἐν ἡμῖν καθάπερ ἄκανθαι, ἐπιορκία, ψεῦδος, ὑπόκρισις, δόλος, κακουργία, λοιδορία, σκώμματα, γελωτοποιΐαι, αἰσχρολογίαι, εὐτραπελίαι· πάλιν [ἐν] ἄλλῳ μέρει, πλεονεξία, ἁρπαγὴ, ἀδικία, συκοφαντία, ἐπιβουλαί· πάλιν ἐπιθυμία πονηρὰ, ἀκαθαρσία, ἀσέλγεια, πορνεία, μοιχεία· πάλιν φθόνος, ζηλοτυπία, ὀργὴ, θυμὸς, μνησικακία, ἀνταπόδοσις, βλασφημία, μυρία τοιαῦτα. ἂν τὰ πρότερα κατορθώσωμεν, οὐκ ἐκεῖνα μόνον κατώρθωται, ἀλλὰ δι' ἐκείνων καὶ τὰ μετὰ ταῦτα. ἰσχυρότερος γὰρ γίνεται λοιπὸν ὁ λογισμὸς πρὸς τὴν ἐκείνων ἀνατροπήν. οἷον, ὁ πολλὰ ὀμνὺς ἂν περιέλῃ τὸ σατανικὸν ἔθος τοῦτο, οὐ τοῦτο μόνον αὐτῷ κατώρθωται, ἀλλὰ καὶ ἑτέρα εὐλάβεια ἐπεισῆκται. οὐδεὶς γὰρ οἶμαι τῶν οὐκ ὀμνυόντων εὐκόλως θελήσει ἄλλο τι πρᾶξαι πονηρὸν ἀλλὰ τὴν ἤδη κατορθωθεῖσαν ἀρετὴν αἰσχυνθήσεται. καθάπερ γὰρ ὁ φορῶν ἱμάτιον καλὸν αἰσχύνεται βορβόρῳ ἐγκυλίσαι ἑαυτόν· οὕτω δὴ καὶ οὗτος. ἀπὸ δὲ τούτου ἥξει εἰς τὸ μὴ ὀργίζεσθαι, μηδὲ τύπτειν, μηδὲ ὑβρίζειν. ἂν γὰρ ἅπαξ τὰ μικρὰ κατορθώσῃ, τὸ πᾶν ἤνυσται. συμβαίνει δὲ πολλάκις καὶ τὸ ἐναντίον· ἅπαξ κατορθώσαντάς τι πάλιν ἀπὸ ῥᾳθυμίας τοῖς αὐτοῖς περιπεσεῖν, ὡς ἐκ τούτου καὶ εἰς ἀδύνατον περιστῆναι λοιπὸν τὸ πρᾶγμα. οἷον, ἐθήκαμεν ἑαυτοῖς νόμον μὴ ὀμνύναι, κατωρθώσαμεν ἡμέρας τρεῖς ἢ καὶ τέσσαρας· μεθ' ἐκείνας εἰς ἀνάγκην περιπεσόντες, τὸ συλλεχθὲν ἅπαν κέρδος ἐσκορπίσαμεν· εἰς ῥᾳθυμίαν λοιπὸν ἐμπίπτομεν καὶ ἀπόγνωσιν, ὡς μηδὲ τῶν αὐτῶν ἅψασθαι βουληθῆναι πάλιν. καὶ εἰκότως. ὁ γάρ τι οἰκοδομήσας ἑαυτῷ, εἶτα ἰδὼν καθῃρημένον τὸ οἰκοδόμημα, ῥᾳθυμότερος ἔσται περὶ τὸ πάλιν οἰκοδομεῖν. ἀλλ' οὐ δεῖ ῥᾳθυμεῖν οὐδὲ οὕτως· ἀλλὰ πάλιν ἔχεσθαι τῆς σπουδῆς. θῶμεν τοίνυν ἑαυτοῖς νόμους καθημερινοὺς, τέως ἀπὸ τῶν εὐκόλων ἀρξώμεθα· περικόψωμεν ἡμῶν τὴν πολυορκίαν τοῦ στόματος, χαλινὸν ἐπιθῶμεν τῇ γλώττῃ, μηδεὶς ὀμνύτω τὸν Θεόν. οὐκ ἔστιν ἐνταῦθα δαπάνη· [οὐκ ἔστιν ἐνταῦθα κάματος·] οὐκ ἔστιν ἐνταῦθα χρόνου μελέτη· ἀρκεῖ θελῆσαι, καὶ τὸ πᾶν γέγονε. συνηθείας γὰρ τὸ πρᾶγμά ἐστι. ναὶ παρακαλῶ καὶ δέομαι, σπου-

A Non sanè omnibus notus erat, unde & agnoscebant illum. *Et vidit*, inquit, *illum omnis populus ambulantem ac laudantem Deum, agnoscebant que illum, quod hic esset, qui ad eleemosynam accipiendam sedebat in speciosa porta templi.* Et bene dixit: *Agnoscebant*, qui ignotus posteà ob miraculum esse cœperat. Hoc enim verbo utimur in his quos vix agnoscimus. Oportebat igitur credere, nomen Christi remittere peccata. Quum autem sanatus teneret Petrum ac Joannem, accessit omnis populus ad vestibulum, quod vocatur Solomonis, & obstupe-B scebat, à benevolentia quæ in illis, & amicitia quæ ab illis non separabatur: fortassis autem & gratias agens illis, & laudans. *Ut autem vidit illos Petrus respondit.* Iterum ipse & operatur ac concionatur. Igitur nuper illos ad audiendum excitarat donum linguarum, nunc verò hoc miraculum: & tunc quidem initium accepit à crimine, nunc verò ab admiratione. Videamus autem quid differat concio hæc ab illa, & quid cum ea commune habeat. Nam illa quidem in domo fiebat, quum C illi nondum progressi vel aliquid operati essent, hæc autem admirantibus omnibus, sanato propè assistente, nullóque dubitante, quemadmodum tunc quando dicebant, *quod musto pleni sint.* Supt. 2.13. Et tunc cum Apostolis omnibus existens disserebat, nunc autem cum Joanne solo: nam liberè loquitur, & vehementior fit. Tanta enim res virtus est, ut initio sumpto progrediatur, & nusquam subsistat. Vide autem & qua dispensatione in templo contigit signum fieri, ut & alii fidentiores fiant. Ne-D que enim in angulo operabantur alicubi, vel etiam occultè, sed neque intus in templo, ubi magna multitudo erat. Quomodo creditum esset, inquit, quod ipse qui sanatus prædicaret beneficium, neque enim mentitus fuisset, neque si ad alios quosdam venisset. Igitur ubi latitudo erat, & locus separatus, ibi faciebant miraculum. Et vide quid factum sit: Ad aliud opus veniunt. Sic & Cornelius, sed jejunans orabat: & alia vide. Infr. 10. E Etenim hactenus ubique Christum Nazarenum nominant: *In nomine Jesu Nazareni*, inquit, *surge, & ambula.* Jam enim hoc erat quod quærebatur, credi illum. Ne obsecro ad initium fatigemur narrationis. Sed & licèt bonum quoddam opus dixerit, & desinat, iterum resumamus initium, donec habitum consequamur: fortassis ad finem veniemus, fortassis colophonem imponemus: Studium enim, inquit, studium generat, & ignavia ignaviam. Qui parum quiddam A dextrè egit, accipit adhortationem ut ad majus perveniat, imò ut ex illo ultrò concedat. Et sicut ignis ut ligna corripuerit plura, hoc fit vehementior, ita & alacritas. Quod enim excitarit cogitationes pias, hoc magis armatur & contra alia, exempli gratia dicam: Stant inter nos sicut spinæ, perjurium, mendacium, hypocrisis, dolus, malignitas, convitia, scommata, risuum excitationes, turpiloquia, B sales. Iterum ex alia parte, avaritia, rapina, injustitia, calumnia, insidiæ. Iterum concupiscentia mala, immunditia, luxuria, scortatio, adulterium. Iterum, invidia, æmulatio, ira, furor, vindictæ cupiditas, tetaliatio, blasphemia, & innumera talia. Si priora probè egerimus, non solùm illa rectè facta erunt, sed per illa etiam posteriora. Fortior enim fit cogitatio ad illorum subversionem. Ut qui multùm juravit, amputet diabolicam consuetudinem C hanc, non illud solum ille rectè egerit, sed & alia pietas inducta erit. Nullus enim non jurantium facilè volet aliquid mali operari, sed reverebitur virtutem quam jam operatus est. Quemadmodum pulchram vestem portans erubescit semetipsum in luto volutare: sic & ille. Ab hoc veniet ad hoc, ut non irascatur, nec percutiat, nec contumelia afficiat. Si enim vel semel parva benè operatus fuerit, totum perfectum est. Contigit autem sæpius con-D trarium, eos qui semel benè aliquid fecerint, in eadem peccata ex ignavia iterum relabi, ita ut inde quasi impossibile sit reliquum opus constituere: ut si posuimus nobisipsis legem non jurandi, virtutem exercuimus ad dies tres, quatuor, post hoc necessitate quadam urgente, collectum lucrum totum dispersimus, ac incidimus. Deinde in tantam perveniemus segniciem ac desperationem, ita ut non libeat eadem ultra attingere. Et meritò. Nam qui sibi ædificavit aliquid, deinde videns E structuram dejectam, ignavior fit ac negligentior, & non jam æquus est ad extruendum. Verùm non oportet negligenter agere etiam sic, sed iterum laborem aggredi. Ponamus igitur nobis quotidianas leges, jam à facilibus incipiamus. Malam jurandi consuetudinem ab ore nostro auferamus, frænum imponamus linguæ: Nullo hic sumptu opus, nullus labor exigitur, non indiget magna temporis mora exercitatio: Sufficit velle, & totum factum est.

Res

Res enim hæc à consuetudine pendet. Etiam obsecro & oro, studium tale afferamus. Dic oro mihi, si jussissem erogare pecunias, nónne alacriter omnes pro viribus contulissetis? Si me in periculis vidissetis extremis, nónne etiam carnis vestræ portionem si possibile esset dedissetis? Jam in magno & maximo periculo sum, nec magis dolerem, etiam si vel in carcere agerem, vel sexcentas plagas exciperem, vel in metalla condemnatus essem. Manum igitur porrigite, cogitate enim quantum periculum, neque hoc minimum est: minimum autem dico, quantum ad laborem attinet, posse benè agere. Quid dicam, quum arguar, quare tunc non redarguebas, quare non imperabas, quare non legem ponebas, quare non obtemperantes non prohibebas? Non sufficit mihi dixisse, admonui. Sed & acriore opus erat increpatione, inquit. Quoniam Heli admonebat (sed absit, ut vos illius conferam pueris) & ille admonebat, & dicebat: *Ne*
1 Reg. 2, 24 *faciatis sic filii, malus rumor est quem de vobis audio.* Sed
Ibid. 3, 13. scriptura pergens dicit: *Non admonebat filios suos.* Hoc autem dicit, quoniam non acriter, neque cum austeritate faciebat. Quomodo igitur non absurdum, in synagogis quidem Judæorum tam fortes esse leges, etsi docens imperet omnia fieri, hic autem nos ita contemptos esse ac abjectos? Non mihi mea gloria curæ est. Gloria enim mea est, vestra probata vita, vestra salus. Quotidie clamamus, insonamus in aures vestras. Qui audiat, nullus est, & nihil egregium opere declaramus. Timeo ne ob intempestivam illam & multam misericordiam, pœnam in futuro die sustineamus: propterea magna & clara voce prædico omnibus ac testificor, ita ut eos qui sic prævaricantur, quíque ea quæ à maligno sunt, loquuntur, hoc est enim juramentum, ne limina Ecclesiastica ascendant. Præstitutus autem vobis sit mensis præsens, ut sic corrigamini. Ne enim mihi dixeris quod me negotiorum urget necessitas, quia fidem non invenio. Jam remove mihi illos qui ex consuetudine jurant. Scio quod multi nos risuri sunt. Atqui melius est nos nunc rideri, quàm olim deplorari. Quis enim servans præceptum ridebitur? quod si omnino ridebunt, non nos, sed Christum ridebunt. Horruistis quod dictum est. Scio & ego. Nam si ego quidem legem hanc induxissem, & ego deriderer. Si autem alius legislator est, in illum transit irrisio. Et consputus est aliquando Christus, & in maxillam percussus est, ac alapam tulit. Fert etiam hæc nunc, & nihil dissimile: Idcirco gehenna parata est, idcirco vermis immortalis. Ecce iterum dico ac testificor. Rideat qui voluerit, subsannet qui voluerit. In hoc positi sumus, ut rideamur scilicet ac subsannemur, ut
1. Cor. 4, 13. omnia patiamur, *purgamenta mundi sumus*, secundum beatum Paulum. Si quis noluerit hoc præceptum perficere, quemadmodum tuba quadam per verbum denuncio, abstineat à liminibus Ecclesiasticis illis, sive princeps sit, sive alius diademate cinctus. Nunquid deposuistis me ab hoc principatu? vel si mansero, nulla me manent pericula, non patiar ut ascendam in hanc sedem magna non faciens? Nam si hoc non possibile, melius fuerit infrà stare: nihil enim miserius præside, subditis nihil utilitatis afferente. Adhuc oro attenti sitis, nec vagemini animis vestris, obsecro: imò contendamus dicendum, & omnino aliquid amplius. Jejunate, orate Deum, & nos vobiscum, ut illam perniciosam consuetudinem ejiciamus. Nihil majus est quàm fieri doctores orbis: non parum fuerit, ubique audiri, quod nullus in hac urbe sit qui juret. Si hoc fieret, non solum vestrorum operum accepturi essetis mercedem, sed & nostri pro fratribus studii: nam quod nunc vobis sum, id vos toti orbi futuri estis. Omnino & alii imitabuntur vos, omnino futuri estis lucerna super candelabrum posita. Est hoc, inquit, totum? non est hoc totum, sed hoc est initium aliorum: qui non jurat, omnino ad pietatem veniet, etiam aliam, sive velit, sive nolit & confunditur ac timetur. At multi sunt qui non ferunt ac resiliunt, sed melior est unus faciens voluntatem Domini, quàm innumeri peccatores. Ab hoc scilicet omnia subversa sunt, omnia sursum ac deorsum facta sunt, quia quemadmodum in spectaculis multitudinem desideramus, non multitudinem probatam. Quid enim turba, dic mihi poterit prodesse? Vis discere quod turba sancti sunt, non multi? educite in bellum centum myriades, & unum sanctum, scimus quis plura operetur. Exiit Jesus Nave in bellum, & solus omnia operatus est strenuè, & ita alii nihil profuerunt. Multitudo, dilecte, quando voluntatem Domini non facit, nihil differt ab his qui non sunt. Orarim sanè, & vellem, etiam libens & præ desiderio æger sim,

A δὴν τοιαύτην εἰσενέγκωμεν. εἰπὲ δή μοι εἰ χρήματα ἐκέλευσα εἰσενεγκεῖν, οὐκ ἂν προθύμως ἕκαστος τὰ κατὰ δύναμιν συνεβάλλεσθε; εἰ με ἐν κινδύνοις ἑωρᾶτε τοῖς ἐσχάτοις, οὐκ ἂν καὶ ἀπὸ τῆς σαρκὸς, εἴ γε οἷόν τε ἦν, ἀποτεμόντες ἐδώκατε ἄν; ἐν κινδύνῳ καὶ νῦν εἰμι καὶ πολλῷ, καὶ ὡς ἂν, εἰ καὶ μετὰ τοῦτο καὶ δεσμωτήριον ᾤκουν, ἢ μυρίας ἔλαβον πληγάς· ἢ εἰς μέταλλα ἐτύγχανον, οὐκ ἂν τούτου πλέον ἤλγησα. χεῖρα τοίνυν ὀρέξατε. ἐννοήσατε γὰρ ὅσος
B κίνδυνος, μηδὲ τὸ μικρότατον τοῦτο. μικρότατον δὲ λέγω, ὅσον εἰς πόνον ἥκει, δυνηθῆναι κατορθῶσαι. τί ἐρῶ, τότε ἐγκαλούμενος· διατί μὴ διηλέγχθης; διατί μὴ ἐπέταξας; διατί μὴ νόμον ἔθηκας; διατί τοὺς μὴ πειθομένους οὐκ ἐκώλυσας; οὐκ ἀρκεῖ μοι εἰπεῖν ὅτι ἐνουθέτησα· ἀλλὰ καὶ σφοδροτέρας, φησὶν, ἐπιτιμήσεως ἔδει. ἐπεὶ καὶ ὁ Ἡλεὶ ἐνουθέτει· ἀλλὰ μὴ γένοιτο ὑμᾶς ἐκείνοις παραβαλεῖν τοῖς παισί. κἀκεῖνος ἐνουθέτει, καὶ ἔλεγε· μὴ τέκνα, "
C μὴ ποιεῖτε οὕτω· πονηρὰ ἡ ἀκοὴ ἣν [ἐγὼ] ἀκούω περὶ ὑμῶν. ἀλλὰ " προϊοῦσα ἡ γραφή φησιν, ὅτι οὐκ ἐνουθέτει τοὺς υἱοὺς αὐτοῦ. τοῦτο δὲ λέγει, ἐπειδὴ οὐ σφοδρῶς, οὐδὲ μετ᾽ ἐπιπλήξεως τοῦτο ἐποίει. πῶς γὰρ οὐκ ἄτοπον, ἐν μὲν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων οὕτως ἰσχυροὺς εἶναι τοὺς νόμους· κἂν ὁ διδάσκων ἐπιτάξῃ πάντα γίνεσθαι· ἐνταῦθα δὲ οὕτως ἡμᾶς καταπεφρονῆσθαι καὶ ἀπερρῖφθαι; οὐ τῆς ἐμαυτοῦ δόξης μοι μέλει· δόξα γὰρ ἐμὴ, ἡ ὑμετέρα εὐδοκίμησις· ἀλλὰ τῆς ὑμετέ-
D ρας σωτηρίας. καθ᾽ ἑκάστην ἡμέραν βοῶμεν, ἐνηχοῦμεν ὑμῶν ταῖς ἀκοαῖς· ὁ δὲ ἀκούων οὐδείς. καὶ οὐδὲν σφοδρὸν ἐπιδεικνύμεθα. φοβοῦμαι μὴ τῆς ἀκαίρου ταύτης καὶ πολλῆς φιλανθρωπίας λόγον κατὰ τὴν μέλλουσαν ἡμέραν ὑπόσχωμεν. διὸ μεγάλῃ καὶ λαμπρᾷ τῇ φωνῇ κηρύττω πᾶσι, καὶ διαμαρτύρομαι, ὥστε τοὺς παραβαίνοντας ταύτην ἐπιδεικνυμένους, τοὺς τὰ ἐκ τοῦ πονηροῦ φθεγγομένους· τοῦτο γάρ ἐστιν ὁ ὅρκος· τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν. προθεσμία δὲ
E ὑμῖν ἔστω, ὁ μὴν ὁ παρὼν, ὥστε κατορθῶσαι. μὴ γάρ μοι εἴπῃς, ὅτι με ἡ τῶν πραγμάτων ἀνάγκη κατεπείγει, ὅτι ἀπιστοῦμαι. τέως τοὺς ἀπὸ τῆς συνηθείας περίκοπτε. οἶδα ὅτι πολλοὶ γελάσονται ἡμᾶς· ἀλλὰ βέλτιον ἡμᾶς γελᾶσθαι νῦν, ἢ κλαίεσθαι τότε. γελάσονται δὲ ὅσοι μαίνονται. τίς γὰρ, εἰπέ μοι, νοῦν ἔχων φυλαττομένης ἐντολῆς γελάσεται; εἰ δὲ ἄρα γελάσονται, ἀλλ᾽ οὐχ ἡμᾶς, ἀλλὰ τὸν Χριστὸν οἱ τοιοῦτοι γελάσονται. ἐφρίξατε εἰρημένον; οἶδα κἀγώ. εἰ μὲν οὖν
A ἐγὼ τὸν νόμον τοῦτον εἰσήγαγον, ἐμὸς ἂν ἦν ὁ γέλως. εἰ δὲ ὁ νομοθέτης ἕτερός ἐστιν, ἐκεῖ διαβαίνει ἡ χλευασία. καὶ ἐνεπτύσθη ποτὲ ὁ Χριστὸς, καὶ ἐπὶ κόρρης ἐπλήγη καὶ ἐρραπίσθη. ἀνέχεται καὶ νῦν ταῦτα, καὶ οὐδὲν ἀπεικός. διὰ τοῦτο γέεννα ἡτοίμασται. διὰ τοῦτο σκώληξ ἀτελεύτητος. ἰδοὺ πάλιν λέγω καὶ διαμαρτύρομαι· ὁ βουλόμενος γελάτω· ὁ βουλόμενος χλευαζέτω. εἰς τοῦτο κείμεθα, εἰς τὸ γελᾶσθαι καὶ χλευάζεσθαι, εἰς τὸ πάντα παθεῖν. περικαθάρματα τοῦ κόσμου ἐσμὲν κατὰ τὸν μακάριον Παῦλον. εἴ τις μὴ βούλεται κατορθῶ-
B σαι τοῦτο τὸ ἐπίταγμα, ὥσπερ σάλπιγγί τινι διὰ τοῦ λόγου ἀπαγορεύσω τῶν οὐδῶν μὴ ἐπιβαίνειν τῶν ἐκκλησιαστικῶν τῶν τοιούτων. κἂν ἄρχων ᾖ, κἂν αὐτὸς ὁ τὸ διάδημα περικείμενος. ἢ καθέλετέ με ταυτησὶ τῆς ἀρχῆς· ἢ μένοντα περιβάλλετε κινδύνοις. οὐκ ἀνέχομαι ἐπὶ τὸν θρόνον τοῦτον ἀναβαίνειν μὴ μέγα κατορθῶν. εἰ γὰρ μὴ τοῦτο δυνατὸν, βέλτιον ἑστάναι κάτω. ἄρχοντος γὰρ μηδὲν τοὺς ἀρχομένους ὠφελοῦντος, οὐδὲν ἀθλιώτερον. συντρίψατε δὴ ἑαυτοὺς, καὶ
C προσέχετε παρακαλῶ, καὶ συντείνωμεν ἑαυτοὺς, καὶ πάντως ἔσται τι πλέον. νηστεύσατε, παρακαλέσατε τὸν Θεὸν, καὶ ἡμεῖς μεθ᾽ ὑμῶν, ὥστε τὴν ὀλέθριον ταύτην ἐξελεῖν συνήθειαν. οὐδὲν μέγα ἐστὶ γενέσθαι διδασκάλους τῆς οἰκουμένης· οὐ μικρὸν ἀκουσθῆναι πανταχοῦ, ὅτι δὴ ἐν τῇδε τῇ πόλει οὐδείς ἐστιν ὁ ὀμνύς. ἂν τοῦτο γένηται, οὐ τῶν οἰκείων κατορθωμάτων λήψεσθε μόνον τὸν μισθὸν, ἀλλὰ καὶ τῆς ὑπὲρ
D τῶν ἀδελφῶν σπουδῆς. ὅπερ γὰρ ὑμῖν εἰμι ἐγὼ, τοῦτο ὑμεῖς τῇ οἰκουμένῃ γενήσεσθε. πάντως καὶ ἕτεροι ζηλώσουσιν ὑμᾶς· πάντως ἔσεσθε λύχνος ἐπὶ λυχνίας κείμενος. καὶ τοῦτό ἐστί, φησι, τὸ πᾶν; οὐ τοῦτό ἐστι τὸ πᾶν· ἀλλὰ τοῦτο ἀρχὴ τῶν ἄλλων. ὁ μὴ ὀμνὺς, πάντως ἐπὶ εὐλάβειαν ἥξει καὶ ἑτέραν, καὶ ἑκὼν καὶ ἄκων, καὶ αἰσχυνόμενος καὶ φοβούμενος. ἀλλ᾽ οὐκ ἀνέχονται πολλοί, φησιν, ἀλλ᾽ ἀποπηδῶσιν; ἀλλὰ βέλτιον εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι. ἀπὸ τούτου πάντα ἀνατέτραπται, πάντα ἄνω καὶ κάτω γέ-
E γονεν, ὅτι καθάπερ ἐν τοῖς θεάτροις πλῆθος ἐφιέμεθα, οὐ πλῆθος δοκίμου. τί γὰρ ὄχλος, εἰπέ μοι, δυνήσεται ὠφελῆσαι; βούλει μαθεῖν, ὅτι ὄχλος οἱ ἅγιοί εἰσιν, οὐχ οἱ πολλοί; ἐξαγάγετε εἰς πόλεμον ἑκατὸν μυριάδας καὶ ἕνα ἅγιον, ἴδωμεν τίς πλείονα κατορθοῖ. ἐξῆλθεν ὁ Ἰησοῦς ὁ τοῦ Ναυὴ εἰς τὸν πόλεμον, καὶ μόνος ἅπαντα κατώρθωσεν, οἱ ἄλλοι οὐδὲν ὤνησαν. ὁ πολὺς ὄχλος, ἀγαπητὲ, ὅταν θέλημα τοῦ Θεοῦ μὴ ποιῇ, οὐδὲν διενήνοχε τῶν οὐκ ὄντων. εὐχόμην μὲν οὖν καὶ βουλοίμην

καὶ

καὶ ἡδέως ἂν καὶ κατεκόπην, ὥστε κοσμῆσαι πλήθει τὴν ἐκκλησίαν, ἀλλὰ πλήθει δοκίμων· εἰ δὲ τοῦτο οὐχ οἷόν τε, τοὺς ὀλίγους αὐτοὺς δοκίμους εἶναι βούλομαι. οὐχ ὁρᾶτε ὅτι βέλτιον ἕνα λίθον τίμιον ἔχειν, ἢ μυρίους ὀβολούς; οὐχ ὁρᾶτε ὅτι βέλτιον τὸν ὀφθαλμὸν ὑγιαίνοντα ἔχειν, ἢ τοῦτον πεπηρωμένον πολυσαρκίᾳ βαρύνεσθαι; οὐχ ὁρᾶτε, ὅτι βέλτιον πρόβατον ἓν ὑγιαῖνον ἔχειν, ἢ μυρία ψώρας ἐμπεπλησμένα; οὐχ ὁρᾶτε, ὅτι εὐτεκνία μετὰ ὀλιγοτεκνίας βελτίων, ἢ πολυπαιδία μετὰ κακοπαιδίας; οὐχ ὁρᾶτε, ὅτι ἐν μὲν τῇ βασιλείᾳ ὀλίγοι, ἐν δὲ τῇ γεέννῃ πολλοί; τί ἐμοὶ καὶ τῷ πλήθει; τί τὸ ὄφελος; οὐδέν· ἀλλὰ μᾶλλον τοῖς ἄλλοις λύμη. ταυτὸν γάρ ἐστιν, οἷον ἂν εἴ τις, ἐξὸν δέκα ὑγιαίνοντας ἔχειν ἢ μυρίους νοσοῦντας, ἐπεισάγοι τοῖς δέκα τοὺς μυρίους· οἱ πολλοὶ μηδὲν κατορθοῦντες, οὐδὲν ἕτερον ἡμῖν προξενήσουσιν, ἀλλ' ἢ κόλασιν, καὶ μετὰ τὸ παρὸν ἀδοξίαν. οὐδεὶς γὰρ ὅτι πολλοί ἐσμεν ἐρεῖ, ἀλλ' ὅτι ἄχρηστοι μέμφεται. τοῦτο γοῦν ἡμῖν ἀεὶ λέγουσιν, ὅταν εἴπωμεν ὅτι πολλοί ἐσμεν, ἀλλὰ κακοί, φησίν. ἰδοὺ πάλιν ἀπαγορεύω καὶ λαμπρᾷ βοῶ τῇ φωνῇ μηδεὶς νομιζέτω γέλωτα εἶναι. ἀπείρξω καὶ κωλύσω τοὺς μὴ πειθομένους· καὶ ἕως ἂν [ἐν] τῷ θρόνῳ καθέζωμαι τούτῳ, οὐδὲν προήσομαι τῶν αὐτοῦ δικαιωμάτων. ἂν μέ τις καταβιβάσῃ, λοιπὸν ἀνεύθυνός εἰμι· ἕως [δ'] ἂν ὑπεύθυνος ὦ, οὐ δύναμαι παριδεῖν· οὐ διὰ τὴν ἐμὴν κόλασιν, ἀλλὰ διὰ τὴν ὑμετέραν σωτηρίαν. σφόδρα γὰρ ὑμῶν ἐρῶ τῆς σωτηρίας. ὑπὲρ τούτου δάκνομαι καὶ ἀλγῶ. ἀλλὰ πείθητε, ἵνα καὶ ἐνταῦθα καὶ ἐν τῷ μέλλοντι πολὺν λάβητε τὸν μισθόν, καὶ κοινῇ τῶν αἰωνίων ἀπολαύσωμεν ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

A ut multitudine ornetur Ecclesia, sed multitudine probata. Si autem hoc fieri nequit, saltem pauci illi probati sint. Non videtis quod melius sit habere unum lapidem pretiosum, quàm mille obolos? nonne melius est oculos sanos habere quàm excæcatis gravitate carnis onerari? Nonne videtis quod melius sit ovem unam sanam habere quàm mille scabie plenas? nónne videtis quod melius sit habere paucos bonos filios, quàm multos malos? Non videtis quod in regno pauci, in B gehenna multi? Quid mihi cum multitudine? quæ utilitas? nulla, sed potius aliis damnum. Idem enim est, ac si cui licet decem habere sanos, vel sex centos infirmos, & adjiciat illis decem innumeros illos. Illi sanè plurimi nihil rectè agent, nihil aliud nobis afferent, quàm pœnam tunc, & in præsenti tempore ignominiam, nullus enim quod multi simus dicet, sed cuncti arguent nos tanquam inutiles. Hoc sanè nobis semper dicunt, quando dixerimus quod multi su- C mus: subjiciunt, sed & mali. Ecce iterum denuncio & clara voce clamo: jocum nullus esse putet. Abarcebo, & prohibebo non obtemperantes, & quamdiu in hac sede consedero, nihil illius justificationibus præferam. Si me quis dejecerit, posteà sine culpa fiam, donec reus fiam. Non possum despicere, non propter meam pœnam, sed propter vestram salutem, quàm plurimùm cupio, pro illa lachrymor & doleo: sed obtemperate, ut & hic & in futuro multam D accipiatis mercedem, & communiter æternis fruamur bonis: gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

ΟΜΙΛΙΑ θ.

Ἰδὼν δέ, φησι, Πέτρος, ἀπεκρίνατο πρὸς τὸν λαόν· ἄνδρες Ἰσραηλῖται, τί θαυμάζετε ἐπὶ τούτῳ, ἢ ἡμῖν τί ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν.

Πλείονος αὕτη γέμει παρρησίας ἡ δημηγορία. τοῦτο δὲ ποιεῖ, οὐκ ἐπειδὴ ἐν τῇ προτέρᾳ ἐφοβεῖτο, ἀλλ' ἐπειδὴ οὐκ ἂν ἤνεγκαν ἐκεῖνοι [ἄνθρωποι] χλευασταὶ ὄντες καὶ γελωτοποιοί. ὅθεν ἐκείνης μὲν ἀρχόμενος, καὶ ἐπιστρέφει αὐτοὺς διὰ τοῦ προοι» μίου εὐθὺς λέγων· τοῦτο ὑμῖν γνωστὸν ἔστω, καὶ ἐνωτίσασθε τὰ ῥή» ματά μου· ἐνταῦθα δὲ οὐ δεῖται ταύτης τῆς κατασκευῆς. οὐ γὰρ ἐρρᾳθύμουν· τὸ γὰρ σημεῖον αὐτοὺς ἐπέστρεψεν ἅπαντας. [ὅθεν] καὶ δέους καὶ ἐκπλήξεως ἦσαν μεστοί. διὸ οὐδὲ ἐδέησεν αὐτῷ ἐντεῦθεν ἄρξασθαι, ἀλλ' ἑτέρωθεν ὅθεν μάλιστα αὐτοὺς καὶ ᾠκειώσατο, διακρουσάμενος τὴν δόξαν τὴν παρ' αὐτῶν. οὐδὲν γὰρ οὕτως ὠφελεῖ καὶ ἀνίστησι τοὺς ἀκούοντας, ὡς τὸ μηδὲν περὶ ἑαυτοῦ λέγειν [μέγα] τὸν λέγοντα, ἀλλὰ καὶ τὴν ὑποψίαν ἀναιρεῖν. μᾶλλον οὖν ἑαυτοὺς ἐδόξασαν καταφρονήσαντες δόξης, καὶ δείξαντες οὐκ ἀνθρώπινον, ἀλλὰ θεῖον ὂν τὸ γεγονός· καὶ ὅτι οὐ θαυμάζειν μετ' αὐτῶν, οὐ τοῦ θαυμάζεσθαί εἰσιν ἄξιοι. ὁρᾷς πῶς φιλοτιμίας ὢν καθαρὸς διωθεῖται τὴν εἰς αὐτὸν δόξαν; οὕτω καὶ οἱ παλαιοὶ ἐποίουν, καθάπερ ὁ Δανιὴλ ἔλεγε· καὶ ἐγὼ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοί. καὶ πάλιν Ἰωσήφ, οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δαβίδ, ὅτε ἤρχετο ὁ λέων καὶ ἡ ἄρκτος, ἐν ὀνόματι Κυρίου » ταῖς χερσὶν αὐτοὺς διέσπων. καὶ οὗτοι νῦν· τί ἡμῖν ἀτενίζετε ὡς ἰδίᾳ » δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; οὐδὲ τοῦτο ἡμέτερόν φησιν. οὐ γὰρ ἐπειδὴ ἄξιοί ἐσμεν, ἐπεσπασάμεθα τοῦ Θεοῦ τὴν » ῥοπήν. ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ὁ Θεὸς » τῶν πατέρων ἡμῶν. ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ συνεχῶς εἰς τοὺς προγόνους, ἵνα μὴ δόξῃ καινόν τι εἰσάγειν δόγμα. καὶ ἐκεῖ τοῦ πατριάρ» χου Δαβὶδ ἐμνημόνευσε, καὶ ἐνταῦθα τῶν περὶ τὸν Ἀβραάμ. ἐδόξασε τὸν » παῖδα αὐτοῦ Ἰησοῦν. πάλιν ταπεινῶς καθὼς ἐν τῷ προοιμίῳ. εἶτα λοιπὸν ἐνδιατρίβει τῷ τολμήματι, καὶ ἐπαίρει τὸ γεγενημένον, [ἀλλ'] οὐχ ὥσπερ πρότερον συσκιάζει. ποιεῖ δὲ τοῦτο, μᾶλλον αὐτοὺς ἐπαγαγέσθαι βουλόμενος. ὅσῳ γὰρ ἐδείκνυ ὑπευθύνους, τοσούτῳ μᾶλλον τοῦτο » ἐγίνετο. ἐδόξασέ, φησι, τὸν παῖδα αὐτοῦ Ἰησοῦν· ὃν ὑμεῖς μὲν παρε» δώκατε, καὶ ἠρνήσασθε αὐτὸν κατὰ πρόσωπον Πιλάτου κρίναντος » ἐκείνου ἀπολύειν. δύο τὰ ἐγκλήματα· καὶ ὅτι Πιλάτος ἤθελεν » ἀπολύειν, καὶ ὅτι ὑμεῖς ἐκείνου θελήσαντος οὐκ ἠθελήσατε. ὑμεῖς » δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε, καὶ ᾐτήσασθε ἄνδρα φονέα χα» ρισθῆναι ὑμῖν· τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς ἀπεκτείνατε. ὃν ὁ Θεὸς ἤγειρεν » ἐκ νεκρῶν, οὗ ἡμεῖς μάρτυρές ἐσμεν. ὡσεὶ ἔλεγεν· ἀντ' αὐτοῦ λῃστὴν ᾐτήσασθε, σφόδρα ἐδείνωσε τὸ πρᾶγμα. ἐπειδὴ γὰρ εἶχεν αὐτοὺς ὑπὸ τὴν χεῖρα, πλήττει λοιπὸν σφοδρῶς. τὸν δὲ ἀρχηγὸν τῆς ζωῆς φησιν. ἐνταῦθα τὴν πίστιν τῆς ἀναστάσεως κατασκευάζει. ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. ἵνα μή τις εἴπῃ πόθεν

HOMILIA IX.

E *Quo viso Petrus respondit ad populum: Viri Israëlitæ, quid admiramini super his, vel quid nos intuemini, quasi nostra virtute aut pietate effecerimus ut hic ambularet?*

Majore sermonis fiducia referta est hæc oratio, quàm superior: non quod in priore sibi timuerit, sed quoniam homines illi irrisores ac subsannatores, & concitatores A risus ad tantam orationem non fuissent idonei. Unde illam quidem incipiens, statim in initio attentos facit. *Hoc vobis notum sit*, dicens, *& auribus percipite verba mea*: hìc autem non habet opus tali præparatione. (Supr. 2.) Non enim segnes erant, quos signum attentos fecerat: unde & metu ac stupore plenis, non opus erat hinc incipere, sed aliunde, unde illos sibi maximè conciliabat, repulsa illorum opinione. Nihil enim ita prodest & adducit auditores: ut si non solùm nihil B magnum de se dicat differens, sed etiam superbiæ suspicionem eximat. Sic tamen contempta gloria magis seipsos glorificabant, interim demonstrando non humanum, sed divinum esse quod acciderat & quod dignum sit, ut ipsi admirentur cum illis, & non ut in admiratione sint. Vides quàm ab ambitione purus sit, gloriam quæ Dei erat, urget. Sic & veteres faciebant, quemadmodum & Daniel dicebat: *Et ego non in sapientia quæ erat in me*: (Dan. 2, 30.) & Joseph: *Nonne à Deo ma-* C *nifestatio illorum?* (Gen. 40. 8.) Et David, *quando veniebat leo ac ursus, in nomine Domini illos discerpebat.* (1. Reg. 17, 34.) Et hic igitur: *Quid intenditis in nos quasi propria virtute aut pietate effecerimus ut hic ambularet?* Neque hoc nostrum est, inquit, non enim quasi digni simus, conciliavimus nobis divinum favorem. *Deus Abraham, Deus Isaac, Deus Jacob, Deus patrum nostrorum.* Vide quomodo subinde progenitores refert, ne videretur novum quoddam dogma inducere: & illic Patriarchæ David D meminit: & hic *Abraha & Isaac. Glorificavit filium suum Jesum.* Iterum humiliter sicut in proœmio, deinde audacior factus quod acciderat, extollit, sed non quemadmodum anteà adumbrat: facit autem hoc magis illos adducere volens. Quantò enim magis reos illos monstrabat, tantò magis hoc fiebat. *Glorificavit filium suum Jesum, quem vos quidem tradidistis, & negastis illum in conspectu Pilati, qui judicarat illum absolvendum.* Duo crimina, & quod Pilatus volebat dimit- E tere, & quod illo volente nolebatis. *Vos autem sanctum & justum negastis, & postulastis ut virum homicidam donaret vobis: principem verò vitæ interfecistis, quem Deus suscitavit à mortuis, cujus nos testes sumus.* Quasi diceret, pro illo latronem petiistis, & ita valde illis onerosum reddebat sermonem: Et quia illos in manu tenebat, deinde acriter cædit. *Principem verò vitæ*, inquit. Hoc loco fidem resurrectionis apparat. *Quem Deus suscitavit ex mortuis.* Ut ne quis dicat, unde hoc manifestũ?

non jam ad Prophetas confugit, sed ad seipsum, quoniam jam fide dignus erat. Nam tunc quidem quum dixisset quod resurrexisset, Davidem adduxit testem: nunc verò idipsum dicens, chorum Apostolicum, *cujus nos sumus*, inquit, *testes: & in fide nominis illius hunc quem videtis & nostis, consolidavit nomen ipsius*: & fides quæ per eum est, dedit illi integritatem coram omnibus vobis. Quærens causam dicere, statim signum addit: *In conspectu*, inquit, *vestri omnium.* Quoniam valde illos carpserat, & monstrarat resurrexisse crucifixum: iterum sermonem remittit, dans illis facultatem pœnitentiæ dicens: *Et nunc fratres scio quod per ignorantiam fecistis, sicut & principes vestri.* Secundum *ignorantiam* fecistis. una est hæc excusatio: altera, *sicut & principes vestri.*
Gen. 45. 5. Quemadmodum Joseph fratribus dicebat: *Deus me misit ante vos:*
Supr. 2, 23. imò quod contractè illic dixerat: *Definito consilio, & præscientia Dei expositum, quum accepissetis per manus iniquorum*: hoc illic dilatat. *Deus autem quæ pronunciaverat per os omnium Prophetarum suorum passurum Christum, implevit sic.* Simul ostendit quòd non illorum sit, si hoc demonstratum anteà, & quòd per voluntatem Dei factum sit: dicendo autem: Quæ pronuncia-
Matth. 27, 40. vit verba, ea quæ in cruce opprobrabrant insinuavit. *Si vult illum, salvet illum*, dicentes: *Dixit enim, Filius Dei sum*: confidit in illum, *descendat nunc de cruce.* Nunquid nugæ sunt hæc, ô stulti? absit: sed sic oportebat fieri. Et testimonium perhibent Prophetæ, atque ita non descendit, non ob suam infirmitatem, sed ob suam virtutem. Et ponit hoc in excusationem Judæorum, ut etiam accipiant. Implevit itaque sic. Vides quomodo totum illuc refert? *Resipiscite igitur*, inquit, *& convertimini.* Et non dicit à peccatis vestris, *sed ut remittantur peccata vestra.* Istuc ipsum manifestans: *Ut cum venerint tempora refrigerii à conspectu Domini.* Ostendit hoc loco miseros illos factos, & multis malis subjectos. Ideo & sic dixit: Sciens hunc sermonem patienti, & consolationem quærenti congruere. Et vide qua via procedit: nam in prima concione, paulatim resurrectionem, & in cœlos assumptionem insinuavit: hic autem & clarum adventum. *Et miserit Jesum Christum, qui antea prædicatus est, quem oportet quidem cœlum accipere.* Id est, necesse est, *usque ad tempora restitutionis omnium*: Quare nunc non veniat, causa manifesta est. *Quæ loquutus est Deus per os omnium sanctorum suorum à seculo Prophetarum.*
Deut. 18, 15. *Moses quidem ad patres dixit: Prophetam suscitabit vobis Dominus Deus vester de fratribus vestris mei similem, audietis eum juxta omnia quæcunque dixerit vobis.* Illic quidem Davidis meminit: hic autem Mose. *Omnium*, inquit, *quæ loquutus est Deus* non dicit, quæ loquutus est Christus, adhuc adumbrando magis illos adducens paulatim ad fidem. Deinde confugit ad fide dignum illud: *Prophetam vobis suscitabit Dominus Deus ex fratribus vestris mei similem, illum audietis per omnia.* Deinde & pœna magna subditur: *Erit autem*, inquit, *omnis anima quæcunque non audierit Prophetam illum, exterminabitur de populo: Quin & omnes Prophetæ à Samuelo ac deinceps quotquot loquuti sunt, & annunciaverunt dies istos.* Hîc bene exterminium proposuit. Quando enim aliquid magnum dicit, ad priores confugit, & testimonium repetit utraque complectens: quemadmodum illic dixit: *Do-*
Psal. 109, 6. *nec ponam inimicos tuos sub pedes tuos.* Admirabile enim quod simul hæc duo, & subjectio, & prævaricatio, & pœna. *Sicut me* inquit. Quid igitur facitis? *Vos estis filii Prophetarum*, & ut vobis dixi, propter vos omnia facta sunt. Quoniam enim propter facinus arbitrabantur se alienos esse factos: etenim non erat consentaneum rationi, illum nunc crucifigi, & mox ut suos curare: ostendit quod & illud juxta
Gen. 22, 18. prophetiam: *Vos estis*, inquit, *filii Prophetarum & testamenti, quod testatus est Deus erga patres vestros dicens ad Abraham: Et in semine tuo benedicentur omnes familiæ terræ: Vobis primum*, inquit, *quum suscitasset filium suum misit. Igitur & aliis, sed vobis primum qui crucifixistis illum, benedicentem vobis, ita ut unusquisque vestrum convertat se ab iniquitate.* Videamus autem iterum diligentius quæ lecta sunt. Prius instituit quod ipsi non fecerunt miraculum, dicendo: *Quid admiramini*, & non sinit discedere dicto, utque id credibilius faciat, primum illorum judicium reprehendit: *Quid in nos intenditis, quasi propria virtute aut pietate fecerimus?* Si hoc vos terret ac turbat, discite quis sit qui fecerit, & ne obstupescite. Et vide ubique quod postquam ad Deum confugit ac dixit, ab illo omnia facta esse, tunc securè illos perstringit:
Supr. 2, 22. proptereà & superius dicebat: *Virum declaratum à Deo, & exhibitum erga vos.* Et ubique memores eos facit facinoris sui, ut & miraculum ostendatur, & resurrectio confirmetur. Hic autem & aliud addidit. Non enim jam Nazarenum dicit,

τοῦτο δῆλον. οὐκέτι εἰς προφήτας καταφεύγει, ἀλλ' εἰς ἑαυτόν, ἐπειδὴ λοιπὸν ἀξιόπιστος ἦν. τότε μὲν γὰρ εἰπὼν ὅτι ἀνέστη, τὸν Δαβὶδ ἐπήγαγε μάρτυρα· νυνὶ δὲ εἰπὼν [τὸ αὐτό,] τὸν χορὸν τὸν ἀποστολικόν, οὗ ἡμεῖς ἐσμέν φησι μάρτυρες, καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε καὶ οἴδατε, ἐστερέωσε τὸ ὄνομα αὐτοῦ, καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην ἀπέναντι πάντων ὑμῶν. ζητῶν τὸ πρᾶγμα εἰπεῖν, εὐθέως τὸ σημεῖον ἐπάγει. ἐνώπιον, φησί, πάντων ὑμῶν. ἐπειδὴ σφόδρα αὐτῶν καθήψατο, καὶ ἔδειξεν ἀναστάντα τὸν σταυρωθέντα, πάλιν ἀνίησι, διδοὺς αὐτοῖς ἐξουσίαν μετανοίας, λέγων· καὶ νῦν ἀδελφοί, οἶδα ὅτι κατὰ ἄγνοιαν ἐπράξατε, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. κατὰ ἄγνοιαν ἐπράξατε. μία αὕτη ἀπολογία. δευτέρα, καθὼς καὶ οἱ ἄρχοντες ὑμῶν. ὥσπερ ὁ Ἰωσὴφ τοῖς ἀδελφοῖς ἔλεγεν, ὅτι ὁ Θεός με ἀπέστειλεν ἔμπροσθεν ὑμῶν. μᾶλλον δὲ ὃ συνεσταλμένως εἶπεν ἐκεῖ, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει τοῦ Θεοῦ ἔκδοτον λαβόντες, τοῦτο πλατυνῶς ἐνταῦθα. ὁ δὲ Θεὸς ἃ προκατήγγειλε διὰ στόματος πάντων τῶν προφητῶν αὐτοῦ παθεῖν τὸν Χριστόν, ἐπλήρωσεν οὕτως. ἅμα δείκνυσιν ὅτι οὐκ ἐκείνων ἐστίν, ἐὰν τοῦτο δειχθῇ, καὶ ὅτι κατὰ Θεοῦ βουλὴν γέγονε. τῷ δὲ εἰπεῖν, ἃ προκατήγγειλε, τὰ ῥήματα ἃ ἐπὶ τοῦ σταυροῦ ὠνείδιζον αὐτῷ αἰνίττεται· εἰ θέλει αὐτόν, σωσάτω αὐτὸν λέγοντες. εἶπε γὰρ υἱὸς Θεοῦ εἰμι. πέποιθεν ἐπ' αὐτόν, καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ. λῆρος οὖν ὦ ἀνόητοι ταῦτα; ἄπαγε· ἀλλ' οὕτως ἔδει γενέσθαι. καὶ μαρτυροῦσιν οἱ προφῆται. ὥστε οὐ παρ' οἰκείαν ἀσθένειαν οὐ κατέβη, ἀλλὰ παρὰ δύναμιν. καὶ τίθησιν αὐτὸ ἐν τάξει ἀπολογίας τῆς ὑπὲρ Ἰουδαίων, ἵνα καὶ δέξωνται. ἐπλήρωσε φησὶν οὕτως. ὁρᾷς πῶς τὸ πᾶν ἐκεῖ ἀνάγει; μετανοήσατε οὖν φησι καὶ ἐπιστρέψατε. καὶ οὐ λέγει ἀπὸ τῶν ἁμαρτιῶν ὑμῶν, ἀλλ' εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας, τὸ αὐτὸ δηλῶν. εἶτα τὸ κέρδος ἐπάγει, ὅπως ἂν ἔλθωσι καιροὶ ἀναψύξεως ἀπὸ προσώπου τοῦ Κυρίου. δείκνυσιν ἐνταῦθα ταλαιπωρήσαντας αὐτούς, καὶ πολλοῖς κατεργασθέντας κακοῖς. διὸ καὶ οὕτως εἶπεν εἰδώς, ὅτι πρὸς τὸν πάσχοντα καὶ παραμυθίαν ζητοῦντα οὗτος ἂν ἁρμόσειεν ὁ λόγος. καὶ ὅρα πῶς ὁδῷ προβαίνει. ἐν μὲν τῇ πρώτῃ δημηγορίᾳ ἠρέμα τὴν ἀνάστασιν καὶ τὴν ἐν οὐρανοῖς καθίδρυσιν ᾐνίξατο· ἐνταῦθα δὲ, καὶ τὴν ἐμφανῆ παρουσίαν. καὶ ἀποστείλῃ τὸν προκεχειρισμένον Ἰησοῦν Χριστόν, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι. ἀντὶ τοῦ ἀναγκαῖόν ἐστιν, ἄχρι χρόνων ἀποκαταστάσεως πάντων. διατί νῦν οὐκ ἔρχεται, ἡ αἰτία δήλη. ὧν ἐλάλησε φησὶν ὁ Θεὸς διὰ στόματος τῶν ἁγίων αὐτοῦ προφητῶν τῶν ἀπ' αἰῶνος. Μωσῆς μὲν εἶπε πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος ὑμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ἂν λαλήσῃ πρὸς ὑμᾶς. ἐκεῖ μὲν τοῦ Δαβὶδ ἐμνημόνευσεν, ἐνταῦθα δὲ Μωσέως. πάντων, φησίν, ὧν ἐλάλησεν ὁ Θεός· οὐ λέγει, ὧν εἶπεν ὁ Χριστός, ἀλλ' ὧν ἐλάλησεν ὁ Θεός, ἔτι τῷ συσκιάζειν μᾶλλον αὐτοὺς ἐπαγόμενος εἰς πίστιν ἠρέμα. εἶτα ἐπὶ τὸ ἀξιόπιστον καταφεύγει λέγων· προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ, αὐτοῦ ἀκούσεσθε κατὰ πάντα. εἶτα καὶ ἡ τιμωρία πολλή. ἔσται δέ φησι πᾶσα ψυχὴ ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. καὶ πάντες δὲ οἱ προφῆται ἀπὸ Σαμουὴλ καὶ τῶν καθεξῆς ὅσοι ἐλάλησαν καὶ κατήγγειλαν τὰς ἡμέρας ταύτας. ἐνταῦθα καλῶς τὸν ὄλεθρον ἔθηκεν. ὅταν γάρ τι λέγῃ μέγα, ἐπὶ τοὺς πρώτους καταφεύγει, καὶ μαρτυρίαν εὑρεῖν ἀμφότερα ἔχουσαν, ὥσπερ ἐκεῖ εἶπεν ἕως ἂν θῶ τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ. τὸ γὰρ θαυμαστόν, ὅτι ὁμοῦ τὰ δύο, καὶ ὑποταγὴ καὶ παράβασις, καὶ ἡ τιμωρία. ὡς ἐμέ φησι. τί τοίνυν ποιεῖτε; ὑμεῖς ἐστε υἱοὶ τῶν προφητῶν· ὥστε ὑμῖν ἔλεγον, καὶ δι' ὑμᾶς πάντα γέγονεν. ἐπειδὴ γὰρ διὰ τὸ τόλμημα ἐνόμιζον ἑαυτοὺς ἠλλοτριῶσθαι· καὶ γὰρ οὐκ εἶχε λόγον τὸν αὐτὸν νῦν μὲν σταυρωθῆναι, νῦν δὲ ὡς ἐκείνους θεραπεύειν· δείκνυσιν ὅτι καὶ ἐκεῖνο κατὰ προφητείαν, καὶ τοῦτο. ὑμεῖς ἐστέ, φησιν, υἱοὶ τῶν προφητῶν [φησὶ] καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεὸς πρὸς τοὺς πατέρας ὑμῶν λέγων πρὸς Ἀβραάμ· καὶ ἐν τῷ σπέρματί σου εὐλογηθήσονται πᾶσαι αἱ πατριαὶ τῆς γῆς. ὑμῖν πρῶτον, φησίν, ὁ Θεὸς ἀναστήσας τὸν παῖδα αὐτοῦ ἀπέστειλεν. ἆρα καὶ ἑτέροις. ἀλλ' ὑμῖν πρῶτον τοῖς σταυρώσασιν. εὐλογοῦντα ὑμᾶς, ἐν τῷ ἀποστρέφειν ἕκαστον ἀπὸ τῶν πονηριῶν. ἴδωμεν δὲ ἀκριβέστερον ἄνωθεν τὰ ἀναγνωσθέντα. πρότερον κατασκευάζει, ὅτι αὐτοὶ ἐποίησαν τὸ θαῦμα ἐν τῷ εἰπεῖν, τί θαυμάζετε, καὶ οὐκ ἀφίησιν ἀπιστεῖσθαι τὸ λεγόμενον. καὶ ἵνα ἀξιοπιστότερον αὐτὸ ποιήσῃ, προκαταλαμβάνει αὐτῶν τὴν κρίσιν· ἡμῖν, φησί, τί ἀτενίζετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσιν; εἰ τοῦτο ὑμᾶς ταράττει καὶ θορυβεῖ, μάθετε τίς ὁ ποιήσας, καὶ μὴ ἐκπλήττεσθε. καὶ ὅρα πανταχοῦ ὅτι ἐπὶ τὸν Θεὸν ὅταν καταφύγῃ καὶ εἴπῃ παρ' αὐτοῦ γίνεσθαι πάντα, τότε ἀδεῶς αὐτοῖς ἐπιπλήττει· διὰ τοῦτο καὶ ἀνωτέρω ἔλεγεν, ἄνδρα ἀποδεδειγμένον ἀπὸ Θεοῦ εἰς ὑμᾶς. καὶ πανταχοῦ ἀναμιμνήσκει αὐτοὺς τοῦ τολμήματος, ἵνα καὶ τὸ θαῦμα δειχθῇ, καὶ ἡ ἀνάστασις κυρωθῇ. ἐνταῦθα δὲ καὶ ἄλλο προστίθησιν. οὐκέτι γὰρ Ναζωραῖον λέγει.

ἀλλὰ

ἀλλὰ τί; Ὁ Θεός, φησι, τῶν πατέρων ἡμῶν ἐδόξασε τὸν παῖδα αὐτοῦ Ἰησοῦν. Ὅρα καὶ τὸ ἄτυφον. Οὐκ ἐνεκάλεσεν, οὐδὲ εἶπεν εὐθέως· καὶ νῦν πιστεύετε. Ἰδοὺ ἄνθρωπος τεσσαράκοντα ἔτη χωλὸς ὤν, ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ ἀνέστη· οὐχ οὕτως εἶπε. Φιλονεικοτέρους γὰρ ἂν ἐποίησεν· ἀλλὰ τέως αὐτοὺς ἐπαινεῖ, ὅτι ἐθαύμαζον τὸ γεγενημένον· καὶ πάλιν ἀπὸ τοῦ προγόνου καλεῖ. Καὶ οὐ λέγει, ὁ Ἰησοῦς αὐτὸν ἐθεράπευσε, καίτοιγε αὐτὸς αὐτὸν ἐθεράπευσεν, ἀλλ' ἵνα μὴ λέγωσι, καὶ πῶς ἔχει ταῦτα λόγον, εἰ τὸν παράνομον δοξάζει; διὰ τοῦτο αὐτοὺς ἀναμιμνήσκει τῆς κρίσεως τῆς ἐπὶ Πιλάτου· δεικνύς, ὅτι εἰ ἤθελον προσέχειν, οὐκ ἔστι παράνομος. Οὐ γὰρ ἂν ὁ Πιλάτος ἠθέλησεν αὐτὸν ἀπολῦσαι. Καὶ οὐκ εἶπε θελήσαντος, ἀλλὰ κρίναντος ἐκείνου ἀπολύειν, δηλῶν ὅτι τὸν μὲν ἑτέρους ἀνελόντα ᾐτήσατε ἀφεθῆναι, τὸν δὲ τοὺς ἀνῃρημένους ζωογονοῦντα οὐκ ἠθελήσατε. Καὶ ἵνα μὴ λέγωσι πάλιν, πῶς νῦν αὐτὸν δοξάζει ὅτε τότε μὴ βοηθήσας, παράγουσι τοὺς προφήτας μαρτυροῦντας, ὅτι οὕτως ἔδει γενέσθαι. Εἶτα, ἵνα μὴ νομίσωσι τοῦ Θεοῦ τὴν οἰκονομίαν ἀπολογίαν αὐτῶν εἶναι, πρότερον αὐτῶν καθάπτεται. Καὶ τὸ κατὰ πρόσωπον δὲ Πιλάτου ἀρνήσασθαι, οὐκ ἦν τὸ τυχὸν ἐκείνου βουλομένου ἀπολῦσαι· καὶ ὅτι οὐ δυνατὸν ὑμῶν ἀρνησαμένων, κατηγορεῖ ὁ αἰτηθεὶς ἀντ' αὐτοῦ, οὕτω καὶ τοῦτο οἰκονομία μεγάλη ἦν. Ἐνταῦθα τὴν ἀναισχυντίαν αὐτῶν δείκνυσι, καὶ τὴν ἰταμότητα· [καὶ] ὅτι ὁ μὲν ἕλλην καὶ [μόνον τότε] πρῶτον αὐτὸν ἰδών, ἀπήλλαξεν αὐτόν, καίτοιγε οὐδὲν μέγα ἀκούσας· οἱ δὲ τοῖς σημείοις συντεθραμμένοι, τὸ ἐναντίον πεποιήκασιν. Ὅτι δὲ δικαίως ἔκρινεν ἐκεῖνος ἀπολύειν, καὶ οὐ κατὰ χάριν „τοῦτο ἐποίει, ἄκουε αὐτοῦ ἀλλαχοῦ λέγοντος· Ἔθος ὑμῖν ἐστιν ἀπολύειν „ἕνα τινά. Θέλετε οὖν [τοῦτον] ἀπολύσω ὑμῖν; ὑμεῖς δὲ τὸν ἅγιον καὶ δίκαιον ἠρνήσασθε. Οὐκ εἶπεν, ἐξεδώκατε, ἀλλὰ πανταχοῦ ἠρνήσασθε. Εἰκότως. Οὕτω γὰρ καὶ ἔλεγον· Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. Καὶ οὐκ εἶπεν, οὐκ ἐζητήσασθε τὸν ἄληπτον, οὐδὲ ἠρνήσασθε μόνον, ἀλλὰ καὶ ἀπεκτείνατε. Ὅτε πεπωρωμένοι ἦσαν, οὐδὲν τοιοῦτον εἶπεν· ὅτε μάλιστα ἐπείσθησαν αὐτῶν αἱ ψυχαί, τότε πλήττει σφοδρότερον, ὅτε καὶ αἰσθέσθαι δύναιντο. Καθάπερ γὰρ ἡμεῖς τοῖς μὲν μεθύουσιν οὐδὲν λέγομεν, ὅταν δὲ νήψωσι, καὶ ἀνανήψωσιν ἀπὸ τῆς μέθης, τότε ἐπιπλήττομεν· οὕτω δὴ καὶ Πέτρος, ὅτε ἠδύναντο συνιέναι τῶν λεγομένων, τότε [καὶ] τὴν γλῶτταν ἠκόνησε, πολλὰ τὰ ἐγκλήματα ἀριθμεῖ· ὃν ὅτι ὁ Θεὸς ἐδόξασεν, οὗτοι παρέδωκαν· ὅτι ὃν ὁ Πιλάτος ἀπέλυεν, οὗτοι ἠρνήσαντο κατὰ πρόσωπον ἐκείνου· ὅτι προετίμησαν τὸν λῃστήν. Ὅρα πάλιν λανθανόντως πῶς περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγεται, δεικνὺς ὅτι ἑαυτὸν ἤγειρε· καθάπερ ἐν τῇ προτέρᾳ δημηγορίᾳ ἔλεγε· καθότι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ· καὶ ἐνταῦθα· Τὸν δὲ ἀρχηγόν, φησι, τῆς ζωῆς ἀπεκτείνατε. Οὐκ ἄρα παρ' ἑτέρου εἶχε τὸ ζῆν. Ὥσπερ ἀρχηγὸς τῆς κακίας, αὐτὸς ἂν εἴη ὁ τὴν κακίαν τεκών· καὶ ἀρχηγὸν φόνου ὁ τὸν φόνον πρῶτος εἰσαγαγών· οὕτω καὶ ἀρχηγὸς ζωῆς, ὁ παρ' ἑαυτοῦ τὴν ζωὴν ἔχων. Ὃν ὁ Θεὸς ἤγειρε, φησίν. Ἐπειδὴ τοῦτο ἐφθέγξατο, ἐπήγαγε· καὶ ἐπὶ τῇ πίστει τοῦ ὀνόματος αὐτοῦ, τοῦτον ὃν θεωρεῖτε, καὶ οἴδατε ἐστερέωσε τὸ ὄνομα αὐτοῦ· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. Καὶ μὴν ἐὰν ἡ εἰς αὐτόν ἐστι πίστις ἡ τὸ πᾶν ἐργασαμένη, καὶ [ὅτι] εἰς αὐτὸν ἐπίστευσε, τίνος ἕνεκεν οὐκ εἶπε, διὰ τοῦ ὀνόματος, ἀλλ' ἐν τῷ ὀνόματι; ὅτι οὔπω ἐθάρρουν εἰπεῖν, ἡ εἰς αὐτὸν πίστις. Ἵνα δὲ μὴ τὸ δι' αὐτοῦ ταπεινὸν ᾖ, ἐπήγαγε· καὶ τὸ ὄνομα αὐτοῦ ἐστερέωσεν αὐτόν. Καὶ τοῦτο πρότερον εἰπών, τότε φησί· καὶ ἡ πίστις ἡ δι' αὐτοῦ ἔδωκεν αὐτῷ τὴν ὁλοκληρίαν ταύτην. Ὅρα πῶς δείκνυσιν ὅτι καὶ ἐκεῖνο συγκαταβαίνων εἶπεν. Οὐ γὰρ ἂν ἑτέρου ἐδεήθη πρὸς ἀνάστασιν, οὗ τὸ ὄνομα χωλὸν οὐδὲν νεκροῦ διαφέροντα ἤγειρε. Σκόπει πῶς πανταχοῦ τὰς μαρτυρίας αὐτῶν ἐπισπᾶται. Ἀνωτέρω μὲν γὰρ ἔλεγε· καθὼς καὶ αὐτοὶ οἴδατε· καί, ἐν μέσῳ ὑμῶν· καὶ πάλιν, ὃν θεωρεῖτε, καὶ οἴδατε ἀπέναντι πάντων ὑμῶν· καὶ τὸ ἐν τῷ ὀνόματι αὐτοῦ οὐκ ᾔδεισαν ὅτι ὑγιὴς ἕστηκεν, ἀλλὰ τοῦτο ᾔδεσαν ὅτι χωλὸς ἦν. Καὶ αὐτοὶ δὲ οἱ πεποιηκότες ὡμολόγουν, ὅτι οὐκ ἰδίᾳ δυνάμει, ἀλλὰ τῇ τοῦ Χριστοῦ ἐστερέωται. Εἰ δὲ μὴ τοῦτο ἦν, καὶ ὄντως πεπεισμένοι ἦσαν ὅτι ἀνέστη, οὐκ ἂν ἠθέλησαν τοῦ νεκροῦ τὴν δόξαν στῆσαι μᾶλλον ἢ τὴν ἑαυτῶν, καὶ ταῦτα ἐκείνων πρὸς αὐτοὺς ὁρώντων. Εἶτα πεφοβημένας αὐτῶν τὰς ψυχὰς εὐθέως τῇ τῶν ἀδελφῶν προσηγορίᾳ παρεμυθήσατο, εἰπών· Ἄνδρες ἀδελφοί. Ἐκεῖ μὲν γὰρ οὐδὲν περὶ ἑαυτῶν εἶπεν, ἀλλὰ μόνον περὶ τοῦ Χριστοῦ· Ἀσφαλῶς οὖν γινωσκέτω, λέγων, πᾶς οἶκος Ἰσραήλ· ἐνταῦθα δέ, καὶ παραίνεσιν προσάγει. Ἐκεῖ ἀνέμενον αὐτοὺς εἰπεῖν· ἐνταῦθα ᾔδει πόσον εἰργάσαντο, καὶ ὡς οὗτοι μᾶλλον ἦσαν ᾠκειωμένοι. Καὶ μὴν τὰ ἄνω εἰρημένα οὐκ ἦν ἀγνοίας,

quantum facturi essent, utpote magis nunc familiares.

A sed quid? *Deus*, inquit, *patrum nostrorum glorificavit suum filium Jesum*. Vide ut alienus est à fastu: Non objecit, neque mox dixit: Et nunc credite. Ecce homo quadraginta annis quum claudicans esset, in nomine Jesu Christi surrexit: Non sic dixit. Contentiosiores enim fecisset: sed jam laudat quod admirentur factum. Et iterum à progenitore vocat, & non dicit: Jesus illum curavit, quamvis certè ille ipsum curasset, sed ut ne dicant, quomodo sunt hæc ve-

B risimilia, num prævaricatorem glorificat? idcirco illos memores facit judicii apud Pilatum, ostendens quod si voluissent animadvertere, non esse prævaricatorem cognovissent: non enim Pilatus illum voluisset dimittere, nec dixisset *quum voluisset*, sed judicasset illum dimittendum, manifestans quòd eum quidem qui alios occidisset, dimittendum petiveritis: occisos autem vivificantem nolueritis. Et ut ne dicant iterum, quomodo nunc illum glorificat, qui

C tunc non adjuvit, adducunt Prophetas testificantes, quòd sic oporteat fieri. Deinde ut ne putent Dei dispensationem, ipsorum excusationem esse, prius illos perstringit. Et negare in conspectu Pilati non erat fortuitum, quum ille vellet dimittere: & quia si voluissetis, neque erat illi possibile eum vobis negare. Accusat ergo ille à quo petitus. Sic & hoc mira dispensatione contigit. Hic impudentiam illorum ostendit, & quod gentilis quidem qui

D primùm illum tunc solum viderat, liberasset illum, quamvis certè nihil magnum audisset. Illi autem qui inter signa enutriti, contrarium fecerint. Quòd autem justè judicaverit absolvendum, & hoc non in gratiam fecerit, audi illum alicubi dicentem: *Consuetudo vobis est dimitti unum quendam. Vultis igitur hunc dimittam vobis? Vos autem sanctum & justum negastis.* Non dixit: Exposuistis vel reliquistis: sed omnino, *Negastis*. Meritò. Sic enim dicebant: *Non* Matth. 27, 15.

E *habemus regem nisi Cæsarem*: & non dixit: Non expetistis irreprehensibilem, neque negastis solum, sed etiam *occidistis*. Quando excæcati erant, nihil tale dixit: ubi autem persuasum est animabus illorum, tunc perstrinxit acrius, quando scilicet sentire poterant. Quemadmodum & nos ebriis nihil dicimus: quando autem sobrii facti fuerint, & ab ebrietate reversi, tunc eos perstringimus. Sic sanè & Petrus agit, quum possent intelligere quæ dicta, tunc & lin- Joh. 19, 15.

A guam acuit, criminaque multa numerat, utpote quod eum quem Deus glorificavit, ipsi tradiderint: quòd eum quem Pilatus absolvit, negarint in conspectu illius: quod prælegerint latronem. Vide iterum quomodo occultè de potentia illius disserit, ostendens quòd seipsum suscitavit, quemadmodum in priore oratione dicebat. *Secundùm quod non erat possibile illum detineri ab illa.* Et hoc loco: *Principem vero*, inquit, *vitæ occidistis*. Non igitur ab alio habuit vitam, Supr. 2, 24.

B quemadmodum princeps malitiæ: Ipse enim qui malitiam peperit, princeps est malitiæ: & princeps homicidii, qui homicidium primus induxit: sic & princeps vitæ, qui à seipso vitam habet. *Quem Deus suscitavit*, inquit. Postquàm hoc loquutus est, subdit: *Et in fide nominis illius, hunc quem spectatis, & scitis consolidavit nomen illius, & fides quæ per illum dedit illi integritatem hanc.* Cæterùm si fides quæ in illum, operata est totum: & quod in illum credidit, qua-

C re non dixit: Per nomen, sed *in nomine*? Quia nondum audebant dicere: In illum fides. Ne autem sit humilius dictum, adjicit: *Et nomen illius consolidavit illum.* Et ubi hoc priùs dixit, deinde subdit: *Et fides quæ per illum, dedit illi incolumitatem istam.* Vide quomodo declarat, quod etiam illud se parvitati nostræ accommodans dixerit. Non enim alio habebat opus ad resurrectionem, cujus nomen claudum, à mortuo nihil differentem, suscitavit. Considera quomodo

D ubique testimonia illorum adducit: nam superius quidem dicebat: *Sicut & ipsi scitis: Et in medio vestri.* Et iterum: *Quem spectatis ac videtis in conspectu vestro omnium*: quamvis quod in nomine illius factum esset nescirent, sed hoc sciebant quòd claudicans fuisset. Et illi quoque qui fecerunt, confitebantur quod non propria virtute, sed Christi consolidatus sit. Si autem hoc non fuisset, & revera credidissent resurrexisse, non tam mortui quàm suam gloriam quæsiis- Supr. 2. 22, 3, 16.

E sent. Hæc dicendo, idque illis se aspicientibus, deinde perculsas illorum animas statim fraterna consolatione mitigavit. Dicens igitur: *Viri fratres.* Illic quidem nihil de seipsis dixit, sed solùm de Christo. *Certò igitur*, dicens; *Cognoscat omnis domus Israel.* Hic autem & admonitionem apponit. Illic expectavit ut illi dicerent, hic sciebat Supr. 2, 36.

Sanè & quæ suprà dicta non processerent ex ignorantia,

nam quod latronem petiverint, quod judicatum absolutione dignum voluerint, & quod occidere voluerint, quomodo ignorassent? Attamen dat eis potestatem negandi & pœnitendi de factis, imò & defensionem pro illis ponit verisimilem, ac dicit: Sciebatis quidem quod occideretis innocentem: quod autem principem vitæ, forsan ignorabatis. Et hinc non illos solos à criminibus liberavit, sed etiam præcipuos malitiæ authores. Nónne contentiosiores illos fecisset, si quidem sermonem ad excusationem produxisset? Nam quando quis grave aliquid commisit, dum accusatur, attentat se majore excusatione defendere, & non dicit ultrà: Crucifixistis, occidistis: sed *fecistis*, ad veniam illos admittens. Si illi per ignorantiam egerunt, multò magis hi: si illis remittuntur peccata, multò magis his. Hoc autem admirabile est, quod & suprà & hic quum dixisset, illic quidem, *definito consilio & præsentia Dei*: hic autem *quod prænunciaverit omnibus Christum*, nullum adducit testimonium, propterea quod nullum sit, quod non cum multis criminibus & pœnis contra illos dictum sit: *Et dabo*, inquit,
Esa.53,9. *impios pro sepultura illius, & divites pro morte illius.* Et iterum: *Quæ anteà prænunciavit per os omnium Prophetarum quod passurus sit ille, implevit sic.* Magnum demonstravit consilium, quandoquidem omnes hoc dicebant, & non unus duntaxat. Profectò quoniam per ignorantiam facta sunt, præter voluntatem Dei facta sunt. Vide autem quanta Dei sapientia, quæ aliorum malignitate utitur prout res postulat. Implent, inquit, sic, ut ne putent posteà omissum esse aliquid, hoc addidit, manifestans impleta esse quæcunque pati oportebat. Cæterùm ne putetis quia Prophetæ illa dixerint, & per ignorantiam feceritis, quòd hoc vobis ad defensionem sufficiat, non dicit sic, sed latiùs. *Pœniteat igitur vos.* Quare? *ut deleantur peccata vestra*, non dico illa sola quæ in crucifigendo commissa sunt, forsan illa per ignorantiam contigerunt: sed ita ut & alia vestra peccata deleantur. Deinde adjecit: *Si quo pacto veniant vobis tempora refrigerii.* Hìc de resurrectione disserit obscurè, Revera enim illa refrigerii tempora, quæ inquirebat & Paulus,
2.Cor.5,4. dicens: *Et nos qui sumus in tabernaculo, ingemiscimus gravati.* Deinde ostendens quòd ille sit temporum refrigerii author. *Et misit*, inquit, *prænunciatum vobis Jesum Christum.* Non inquit: Expunctum est peccatum vestrum, sed peccata, etiam illud interim insinuans. *Misit.* Hoc, ut dixit, non dicit posteà unde veniat, sed solùm addit, *quem oportet quidem cælos accipere*, adhuc accipere. Et quare non dixit, quem cœlum suscepit? Hoc utpote de superioribus temporibus disserens dixit: Sic dispensatum est, inquit, sic constitutum est: de æterna illius existentia nondum dicit, sed adhuc versatur in ipsius dispensationis modis, & dicit: *Moses quidem locutus est patribus, Prophetam vobis excitabit Dominus.* Deinde ut superius dixit, *usq; ad tempora restitutionis omnium quæ locutus est Deus per os omnium sanctorum illius Prophetarum à seculo*, tunc tandem ipsum inducit Christum. Nam licèt multa prædixit, illum tamen audire oportet, volens non Prophetas ita prædixisse si quis peccet. Et aliter vult ostendere quod eadem & Prophetæ prædixerunt: & si quis diligenter exquirat, inveniet etiam in veteri obscurè quidem prædictum. Dicta autem sunt hæc clarius nuperrimè. *Prius annunciatum*, inquit. Hic illos etiam terret, quasi multa adhuc reliqua sint. Quomodo igitur dixit: *Implevit ea quæ oportebat illum pati?* Implevit, inquit, non impletum est, ostendens quidem quòd ea quæ pati illum oportebat, implevit, quæ autem futura relinquuntur nondum impleta sunt. *Prophetam excitabit vobis Dominus Deus ex fratri-*
Deut.18 *bus vestris mei similem.* Quod maximè illos conciliabat, dicit. Vides quomodo humilia juxta sublimia seminat? Humile enim & excelsum est, non si ascensurus in cœlos similis sit Mosi, veruntamen tunc magnum erat. Numquid & in hoc similis Mosi, quòd *quisquis illum non audiet, exterminetur ex populo?* Innumera & alia dixerit quis, in quibus evidenter monstratur quòd ei mansit similis Moses, atque adeo magnum quoddam testimonium attigit. *Deus illum suscitabit*, inquit, *ex fratribus vestris.* Et quòd Moses ipse interminatus est his qui non audiunt. Hæc omnia satis dicta. *Et omnes quoq; Prophetæ*, inquit, *à Samuele.* Noluit singillatim tractare, ut ne prolixum faciat sermonem, sed tempestivè Mosaïci testimonii memor, ultra mitti rillos: *Vos estis*, inquit, *filii Prophetarum, & testamenti, quod testatus est Deus. Testamenti*, inquit, *filii*: hoc est, hæredes. Ut enim ne videantur hæc ex beneficio Petri accipere, ostendit quòd olim illis debitum fuerit, ut magis credant, quod & Deo hoc probetur. *Vobis primùm, quum suscitasset*, inquit, *Deus filium suum misit.* Non dixit simpliciter, misit filium suum,

τὸ γὰρ τὸν λῃστὴν αἰτῆσαι, τὸ τὸν κριθέντα ἀπολυθῆναι μὴ λαβεῖν, τὸ καὶ θελῆσαι ἀνελεῖν, ποίας ἀγνοίας· ἀλλ' ὅμως δίδωσιν αὐτοῖς ἐξουσίαν ἀρνήσασθαι, καὶ μεταγνῶναι ἐπὶ τοῖς γεγενημένοις· μᾶλλον δὲ καὶ ἀπολογίαν ὑπὲρ αὐτῶν συντίθησιν εὐπρόσωπον, καὶ λέγει· ὅτι μὲν οὖν ἀθῶον ἀνῃρεῖτε, ᾔδειτε· ὅτι δὲ τὸν ἀρχηγὸν τῆς ζωῆς, ἴσως ἠγνοεῖτε. καὶ ἐντεῦθεν οὐκ αὐτοὺς μόνους ἀφίησιν ἐγκλημάτων· ἀλλὰ καὶ τοὺς τῶν κακῶν ἀρχιτέκτονας. ἢ γὰρ ἂν φιλονεικοτέρους αὐτοὺς ἐποίησεν, εἴγε εἰς κατηγορίαν τὸν λόγον ἐξήγαγεν. ὁ γάρ τι δεινὸν ἐργασάμενος, ὅτ' ἄν τις κατηγορῇ, πειρώμενος ἀπολογεῖσθαι σφοδρότερος γίνεται. καὶ οὐ λέγει λοιπὸν, ὅτι ἐσταυρώσατε, ἐφονεύσατε· ἀλλ' ἐπράξατε, ἐπὶ συγγνώμην αὐτοὺς ἄγων. εἰ ἐκεῖνοι κατὰ ἄγνοιαν, πολλῷ μᾶλλον οὗτοι· εἰ ἐκεῖνοι ἀφίενται, πολλῷ μᾶλλον οὗτοι. τὸ δὲ θαυμαστὸν, ὅτι καὶ ἄνω καὶ ἐνταῦθα εἰπών· ἐκεῖ μὲν, τῇ ὡρισμένῃ βουλῇ καὶ προγνώσει· ἐνταῦθα δὲ, ὅτι προκατήγγειλε πᾶσι τὸν Χριστὸν, οὐδαμοῦ παράγει μαρτυρίαν· διότι ἑκάστη αὐτῶν μετὰ πολλῶν ἐγκλημάτων, καὶ τῆς κολάσεως τῆς κατ' αὐτῶν εἴρηται. καὶ δώσω, φησὶ, τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ. καὶ πάλιν· ἃ προκατήγγειλέ, φησι, διὰ στόματος πάντων τῶν προφητῶν παθεῖν αὐτὸν, ἐπλήρωσεν οὕτω. μεγάλην δείκνυσι τὴν βουλὴν, εἴγε πάντες τοῦτο ἔλεγον, καὶ οὐχ εἷς μόνος. οὐ μὴν ἐπειδὴ κατὰ ἄγνοιαν γέγονε, παρὰ τὸ τῷ Θεῷ δοκοῦν γέγονεν. ὅρα πόση τοῦ Θεοῦ [ἡ] σοφία, ὅτ' ἂν ταῖς ἑτέρων πονηρίαις εἰς τὸ δέον ᾖ κατακεχρημένη. ἐπλήρωσε, φησιν. ἵνα μὴ νομίσωσι λοιπὸν ὑπολείπεσθαί τι, τοῦτο ἐπήγαγε· δηλῶν ὅτι ὅσα παθεῖν ἔδει, πεπλήρωται. ἀλλὰ μὴ νομίσητε, ἐπειδὴ οἱ προφῆται ταῦτα εἶπον, καὶ ἐπειδὴ κατὰ ἄγνοιαν ἐπράξατε, ὅτι ἀρκεῖ εἰς ἀπολογίαν ὑμῖν τοῦτο. ἀλλ' οὐ λέγει οὕτως, ἀλλὰ πρᾳότερον. μετανοήσατε οὖν. διατί; εἰς τὸ ἐξαλειφθῆναι ὑμῶν τὰς ἁμαρτίας. οὐ λέγω τὰ ἐν τῷ σταυρῷ τετολμημένα· ἴσως ἐκεῖνα κατὰ ἄγνοιαν· ἀλλ' ὥστε τὰς ἑτέρας ὑμῶν ἁμαρτίας ἐξαλειφθῆναι· εἶτα ἐπάγει· ὅπως ἂν ἔλθωσιν ὑμῖν καιροὶ ἀναψύξεως. ἐνταῦθα περὶ τῆς ἀναστάσεως διαλέγεται ἀμυδρῶς. ὄντως γὰρ ἐκεῖνοι ἀναψύξεως καιροί. οὓς ἐπεζήτει καὶ Παῦλος, λέγων· καὶ ἡμεῖς οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι. εἶτα δεικνὺς ὅτι αὐτὸς τῶν καιρῶν τῆς ἀναψύξεως αἴτιος, καὶ ἀποστείλῃ, φησὶ, τὸν προκεχειρισμένον ὑμῖν Ἰησοῦν Χριστόν. οὐκ εἶπεν, ἐξαλειφθῇ ὑμῶν ἡ ἁμαρτία, ἀλλ' αἱ ἁμαρτίαι, καὶ ἐκείνην αἰνιττόμενος. [καὶ] ἀποστείλῃ. τοῦτο εἰπὼν, οὐ λέγει πόθεν λοιπόν· ἀλλὰ μόνον ἐπάγει, ὃν δεῖ οὐρανὸν μὲν δέξασθαι· ἀκμὴν δέξασθαι. καὶ πῶς οὐκ εἶπεν, ὃν οὐρανὸς ἐδέξατο; τοῦτο ὡς περὶ τῶν ἄνω χρόνων διαλεγόμενος [εἶπεν,] οὕτως ᾠκονόμηται φησιν, οὕτω συντέθηται· περὶ δὲ τῆς αἰωνίου ὑπάρξεως αὐτοῦ οὐδέπω φησὶν, ἀλλ' ἔτι τοῖς τῆς οἰκονομίας λόγοις ἐνδιατρίβει καὶ λέγει· Μωσῆς μὲν γὰρ εἶπεν πρὸς τοὺς πατέρας, ὅτι προφήτην ὑμῖν ἀναστήσει Κύριος· εἶτα ἀνωτέρω εἰπὼν, ἄχρι χρόνων ἀποκαταστάσεως πάντων ὧν ἐλάλησεν ὁ Θεὸς διὰ στόματος πάντων τῶν ἁγίων αὐτοῦ προφητῶν ἀπ' αἰῶνος, αὐτὸν εἰσάγει λοιπὸν τὸν Χριστόν. εἰ γὰρ πολλὰ προεῖπεν, αὐτοῦ δὲ ἀκούειν χρὴ, οὐκ ἄν τις ἁμάρτοι ταῦτα τοὺς προφήτας εἰρηκέναι, λέγων. ἄλλως δέ· θέλει δεῖξαι ὅτι τὰ αὐτὰ καὶ οἱ προφῆται προεῖπον. κἄν τις ἀκριβῶς ἐξετάζῃ, εὑρήσει καὶ ἐν τῇ παλαιᾷ ἀμυδρῶς μὲν, εἰρημένα δέ. ὥστε σαφέστερον νεώτερον. τὸν προκεχειρισμένον, φησίν. ἐνταῦθα αὐτοὺς καὶ φοβεῖ, ὡς πολλῶν ὑπολειπομένων. πῶς οὖν ἔλεγεν, ἐπλήρωσεν ἃ ἔδει παθεῖν; ἐπλήρωσεν, εἶπεν, οὐκ ἐπληρώθη. δεικνὺς, ὅτι ἃ μὲν ἐχρῆν παθεῖν, ἐπλήρωσεν· ἃ δὲ γενέσθαι λείπεται ἔτι, οὐδέπω. προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ. ὃ μάλιστα ᾠκειοῦτο αὐτοὺς λέγει. ὁρᾷς πῶς ταπεινὰ, καὶ ὑψηλὰ παρασπείρει; ταπεινὸν γὰρ καὶ ὑψηλὸν, εἰ ὁ μέλλων εἰς οὐρανοὺς ἀνιέναι κατὰ Μωσέα ἐστί. πλὴν ἀλλὰ τέως μέγα ἦν. οὐ γὰρ δὴ κατὰ Μωσέα τὸ, καὶ ἔσται πᾶς ὁ μὴ ἀκούων ἐξολοθρευθήσεται. μυρία δὲ καὶ ἄλλα εἴποι τὰ δεικνῦντα ὅτι οὐκ ἔστι κατὰ Μωσέα, ὥστε μεγάλης ἥψατο μαρτυρίας. ὁ Θεὸς αὐτὸν ἀναστήσει, φησὶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν. ὥστε Μωϋσῆς αὐτὸς ἠπείλησε τοῖς μὴ ἀκούουσι. ταῦτα ὅλα ἐπαγωγά. καὶ πάντες δέ [φησιν] οἱ προφῆται ἀπὸ Σαμουήλ. οὐκ ἠθέλησε καθ' ἕκαστον ἐπεξιέναι, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον· ἀλλὰ καιρίας μνησθεὶς μαρτυρίας τῆς Μωσαϊκῆς, παρέπεμψεν αὐτούς. ὑμεῖς ἐστὲ, φησιν, υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης ἧς διέθετο ὁ Θεός. τῆς διαθήκης, φησὶν, υἱοί· τουτέστι, κληρονόμοι· ἵνα γὰρ μὴ δόξωσιν ὡς ἀπὸ χάριτος Πέτρου ταῦτα λαμβάνειν, δείκνυσιν ὅτι ἄνωθεν αὐτοῖς ὠφείλετο, ἵνα μᾶλλον πιστεύσωσιν ὅτι καὶ τῷ Θεῷ τοῦτο δοκεῖ· ὑμῖν πρῶτον ἀναστήσας, φησὶν, ὁ Θεὸς τὸν παῖδα αὐτοῦ ἀπέστειλεν. οὐκ εἶπεν, ὑμῖν ἁπλῶς ἀπέστειλε τὸν παῖδα αὐτοῦ·

ἀλλὰ

ἀλλὰ καὶ μετὰ τὴν ἀνάστασιν, καὶ ὅτε ἐσταυρώθη. ἵνα γὰρ μὴ νομίσωσιν, ὅτι αὐτὸς μὲν ταῦτα ἐχαρίζετο, ὁ δὲ πατὴρ οὐχὶ, διὰ τοῦτο προσέθηκε τὸ, εὐλογοῦντα ὑμᾶς. εἰ γὰρ ἀδελφὸς ὑμῶν αὐτὸς καὶ εὐλογεῖ ὑμᾶς, ὑπόσχεσις τὸ πρᾶγμά ἐστι· τουτέστι, τοσοῦτον ἀπέχετε τοῦ μὴ κοινωνεῖν τούτοις, ὅτι καὶ τοῖς ἄλλοις ὑμᾶς αἰτίους, καὶ ἀρχηγοὺς βούλεται γενέσθαι. οὐκ οὖν μὴ ὡς ἀπεῤῥιμμένοι διάκεισθε ἢ ἀποβεβλημένοι. ἐν τῷ ἀποστρέφειν, φησὶν, ἕκαστον ἀπὸ τῶν πονηριῶν. οὕτως ὑμᾶς εὐλογεῖ [καὶ] οὐχ ἁπλῶς. καὶ ποία αὕτη εὐλογία; μεγάλη. οὐ γὰρ δὴ τὸ ἀποστρέψαι ἀπὸ πονηριῶν τοῦτο ἱκανὸν καὶ λῦσαι αὐτάς; εἰ δὲ καὶ λῦσαι οὐχ ἱκανὸν ἦν, πῶς εὐλογίαν παρασχεῖν; οὐ γὰρ δὴ ὁ ἠδικηκὼς ἤδη καὶ εὐλογεῖται, ἀλλ' ἁμαρτημάτων ἀφίεται. τὸ δὲ, ὡς ἔλυε, εἰ μὴ κατὰ τὸν τῆς νομοθεσίας τις τρόπον ἐκδέξαιτο, οὐδαμοῦ λόγον ἂν ἀλλαχοῦ ἔχοι. αὐτοῦ ἀκούσεσθε, φησι. καὶ [οὐχ] ἁπλῶς· ἀλλ' ἔσται πᾶσα ψυχὴ, ἥ τις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ. ὅτε αὐτοὺς ἔδειξεν ἡμαρτηκότας, καὶ συγγνώμης μετέδωκε, καὶ ἐπηγγείλατο χρηστά· τότε δὴ δείκνυσιν ὅτι καὶ Μωϋσῆς τὸ αὐτὸ λέγει. [καὶ] ποία αὕτη ἀκολουθία εἰπεῖν, ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ ἐπαγαγεῖν Μωσέα λέγοντα, ὅτι πάντα ἀκούσουσιν ἃ ἐρεῖ ὁ Χριστὸς· καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀπειλῆς φοβερᾶς; μεγάλη. δείκνυσι γὰρ, ὅτι καὶ διὰ τοῦτο πείθεσθαι ὀφείλουσιν αὐτῷ. τί ἐστιν υἱοὶ τῶν προφητῶν, καὶ τῆς διαθήκης; κληρονόμοι, διάδοχοι. εἰ οὖν υἱοὶ, τί ὡς περὶ ἀλλότρια διάκεισθε πρὸς τὰ ὑμέτερα; ἄρα κατηγορίας μὲν ἐπράξατε ἄξια· δυνήσεσθε δὲ ὅμως συγγνώμης τυχεῖν. εἶτα ἐπειδὴ εἶπε ταῦτα, εἰκότως λοιπὸν λέγει· ὑμῖν ἀπέστειλεν ὁ Θεὸς τὸν παῖδα αὐτοῦ εὐλογοῦντα ὑμᾶς. οὐκ εἶπε, σώζοντα, ἀλλ' ὃ μεῖζόν ἐστιν, εὐλογοῦντα. δεικνὺς, ὅτι ὁ σταυρωθεὶς εὐλογεῖ τοὺς σταυρώσαντας. μιμησώμεθα τοίνυν τοῦτον καὶ ἡμεῖς· ἐκβάλωμεν ψυχὴν φονικὴν καὶ πολεμίαν. οὐκ ἀρκεῖ τὸ μὴ ἀμύνασθαι· τοῦτο καὶ ἐν τῇ παλαιᾷ γέγονεν· ἀλλὰ πάντα πράττωμεν ὑπὲρ τῶν ἠδικηκότων, ὡς ὑπὲρ φίλων γνησίων, ὡς ὑπὲρ ἡμῶν αὐτῶν. ἐκείνου μιμηταί ἐσμεν, ἐκείνου μαθηταὶ, τοῦ μετὰ τὸ σταυρωθῆναι πάντα κινοῦντος ὑπὲρ τῶν σταυρωσάντων, καὶ τοὺς Ἀποστόλους ἐκπέμποντος. καίτοιγε ἡμεῖς πολλαχοῦ καὶ δικαίως πάσχομεν· ἐκεῖνος δὲ οὐ μόνον ἀδίκως, ἀλλὰ καὶ ἀσεβῶς. τὸν εὐεργέτην γὰρ, τὸν οὐδὲν ἠδικηκότα, τοῦτον ἐσταύρωσαν. διατί εἰπέ μοι; δόξης ἕνεκεν; καὶ μὴν αὐτὸς αὐτοὺς ἐσέμνυνε· πῶς; ἐπὶ τῆς Μωσέως καθέδρας, φησὶν, ἐκάθισαν οἱ γραμματεῖς, καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ἃ λέγουσιν ὑμῖν ποιεῖν, ποιεῖτε· κατὰ δὲ τὰ ἔργα αὐτῶν μὴ ποιεῖτε. καὶ πάλιν ἀλλαχοῦ, ὕπαγε, δεῖξον σεαυτὸν τῷ ἱερεῖ. καὶ δυνάμενος αὐτοὺς ἀπολέσαι, σώζει. τοῦτον οὖν μιμησώμεθα, καὶ μηδεὶς ἐχθρός τινος ἔστω, μηδεὶς πολέμιος, ἀλλ' ἢ τοῦ διαβόλου μόνον. οὐ μικρὸν τι πρὸς τοῦτο καὶ τὸ μὴ ὀμνύναι συντελεῖ, καὶ τὸ μὴ ὀργίζεσθαι. ἀπὸ τοῦ μὴ ὀργίζεσθαι, οὐδὲ ἐχθρὸν ἔχομεν. ἔκκοψον ἀνθρώπου τὸν ὅρκον, καὶ τὰ πτερὰ περιέκοψας τῆς ὀργῆς, τὸν θυμὸν ἔσβεσας ἅπαντα. ὥσπερ γὰρ πνεῦμα ἡ ὀργὴ, καὶ ὁ ὅρκος ἐστί. χάλασον τὰ ἱστία. οὐδὲν ὄφελος ἱστίου, πνεύματος οὐκ ὄντος. ἂν τοίνυν μὴ κράζωμεν, μηδὲ ὀμνύωμεν, τὰ νεῦρα ἐξεκόψαμεν τοῦ θυμοῦ. εἰ δὲ ἀπιστεῖτε, πεῖραν λάβετε τοῦ πράγματος, καὶ ὅτι οὕτως ἔχει, τότε γνώσεσθε. θὲς τῷ θυμουμένῳ νόμον μηδέποτε ὀμνύναι, καὶ οὐκ ἀναγκασθήσῃ περὶ ἐπιεικείας αὐτῷ διαλεχθῆναι. οὕτω τὸ πᾶν ἔλυσαι, καὶ οὔτε ἐπιορκήσετε, οὔτε ὀμόσεσθε ὅλως. οὐκ ἴστε εἰς ὅσας αἰσχύνας ἑαυτοὺς ἐντεῦθεν ἐμβάλλετε; ἀνάγκη γὰρ δεσμῷ ἑαυτοὺς περιβάλλοντες, καὶ πάσῃ μηχανῇ σπουδάζοντες, ὥστε καθάπερ ἐξ ἀφύκτου τινὸς κακοῦ τὴν ψυχὴν ἐξελκύσαι. εἶτα μὴ δυνηθέντες, λοιπὸν ἐν ὀδύνῃ διάγειν, καὶ μάχαις, καὶ ἀρᾶσθαι τῷ θυμῷ. ἀλλὰ πάντα εἰκῇ, καὶ μάτην γίνεται; οὐκοῦν ἀπείλησον, διόρισαι. πάντα ποίησον χωρὶς ὅρκου. ἔξεστιν ἀναλῦσαι, καὶ τὰ λεχθέντα, καὶ τὰ γινόμενα ἂν θέλῃς. οὕτω τήμερον ἀνάγκη πρᾳότερον ὑμῖν διαλεχθῆναι. ἐπειδὴ γὰρ ἠκούσατε, καὶ τὸ πλέον ὑμῖν κατώρθωται. φέρε δὴ λοιπὸν τίνος ἕνεκεν ἐπεισῆλθεν ὅρκος, καὶ διὰ τί συνεχωρήθη εἶναι εἴπωμεν. ἄνωθεν τὴν γένεσιν αὐτοῦ διηγούμενοι, καὶ πότε ἐτέχθη, καὶ πῶς, καὶ παρὰ τίνων· ἀμειψόμεθα ὑμᾶς τῇ διηγήσει ὑπὲρ τῆς ὑπακοῆς. τὸν μὲν γὰρ κατορθοῦντα ἀναγκαῖον καὶ φιλοσοφεῖν· τὸν δὲ μηδέπω, οὐδὲ λόγων ἀκοῦσαι ἄξιον. ἐποίησαν συνθήκας πολλὰς οἱ περὶ τὸν Ἀβραὰμ, καὶ ἔσφαξαν θύματα, καὶ θυσίας ἀνήνεγκαν, καὶ οὐδέπω ἦν ὅρκος. πόθεν οὖν ἐπεισῆλθεν ὁ ὅρκος; ὅτε τὰ κακὰ ηὐξήθη· ὅτε πάντα ἐμίγη ἄνω καὶ κάτω γέγονεν· ὅτε πρὸς εἰδωλολατρείαν ἀπέκλιναν. τότε δὴ, τότε, ὅτε ἄπιστοι λοιπὸν ἐφαίνοντο, τὸν Θεὸν ἐκάλουν μάρτυρα, ὥσπερ ἐγγυητὴν διδόντες τῶν λεγομένων ἀξιόχρεων. τοῦτο γὰρ ὅρκος ἐστὶ, τρόπων ἀπιστουμένων ἐγγύη· ὥστε πρώτη κατηγορία αὕτη τοῦ ὀμνύοντος, εἰ μὴ πιστεύοιτο χωρὶς ἐγγύης.

sed etiam post resurrectionem, & quando crucifixus est: ut enim ne putent quòd ipse quidem hæc largitus sit, pater autem minimè: propter hoc addidit: *Benedicentem vobis.* Si enim frater vester ipse etiam benedicet vos, promissio res est: hoc est, tantùm abest quod non velit vos his communicare, & horum socios esse, sed etiam aliis vos authores ac duces fieri vult. Igitur ne tanquam abjecti vel repudiati vos habeatis. *In hoc, ut se convertat unusquisq, ab iniquitatibus.* Sic vos benedicet, & non simpliciter. Et quæ est ista benedictio? magna: nónne converti ab iniquitatibus, hoc sufficit & alia solvere? si autem solvisse non sufficisset, quomodo benedictionem exhibuisset. Nunquid enim qui injustè egit, jam & benedicetur, sed liber fit à peccatis: id mihi videtur, nisi quis juxta modum legislationis acceperit, minimè aliter congruiturum. *Illum audietis*, inquit, & non simpliciter: *Sed erit, omnis anima, quæcunq, non audierit Prophetam illum, exterminabitur de populo.* Quando illos indicavit, qui peccarunt, & veniæ participes fecit, & promisit jucunda: tunc tandem ostendit, quod & Moses idem dicit. Et quæ ista consequentia dicere, usque ad tempora restaurationis, & adducere Mosem dicentem quod omnia audient, quæ dicet Christus; & non simpliciter, sed cum terribilibus minis? optima. Ostendit enim quòd & propter hoc obtemperare debent illi. Quid est *filii Prophetarum & testamenti?* hæredes, successores. Si igitur filii, quare erga res vestras tanquam erga alienas affecti estis? Igitur accusatione quidem digna fecistis, poteritis autem simul veniam assequi. Deinde ubi dixit hæc, rectè & alia subdit. *Vobis misit Deus filium suum benedicentem vos:* non dixit servantem, sed quod majus est, *benedicentem*, ostendens quod crucifixus benedicet illos qui crucifixerunt. Imitemur igitur & nos, ejiciamus animam, homicidii & bellorum avidam. Non enim sufficit, non ulcisci. Hoc & in veteri lege factum est, sed omnia faciamus pro his qui injustitiam fecerunt, quasi pro amicis germanis, quasi pro nobis ipsis. Illius imitatores simus, illius discipuli, qui postquàm crucifixus omnia fecit pro his qui crucifixerunt, etiam quum Apostolos emitteret, quamvis certè nos sæpe etiam justè patiamur: ille autem non solùm injustè, sed etiam ab impiis. Benefactorem enim & eum qui nihil injustè fecit, crucifixerunt. Quare, dic oro? propter gloriam? certè ipse illos honestabat. Quomodo? *Super cathedram Mosi*, inquit, *sederunt Scribæ ac Pharisæi, omnia igitur quæ dicunt vobis ut faciatis, facite: secundum opera autem illorum non facite.* Matt. 23, 2. Et iterum in alio loco: *Vade, ostende te Sacerdoti:* & quum posset illos perdere, servabat. Ibid. 8, 4. Hunc igitur imitemur, & nullus inimicus cujuspiam sit, neque hostis, quàm solius diaboli. Non parum ad hoc confert etiam non jurare, & non irasci. Nam ex eo quod non irascimur, nec inimicum habebimus. Abjice hominis juramentum, & etiam quæ iræ sunt abjeceris, irámque extinxeris omnem. Est enim sicut ventus ira & juramentum. Sinuamus vela, nulla utilitas veli, si desit ventus. Si igitur non clamamus, neque juramus, nervos succidimus iræ. Si autem non creditis, periculum facite rei, & sic se habere cognoscetis. Pone irascenti legem ne unquam juret, & non opus habebis illi de mansuetudine sermonem facere, & sic totum perfectum erit. Et neque pejerabitis, neque jurabitis omnino. Nescitis in quot fœda hinc vos præcipitetis, necesse enim vinculo seipsos constringentes, & omni conatu operam dantes, ut ab hoc ineffugibili malo animam suam eripiant. Deinde, si non poteritis, reliquum ut in dolore agatis & pugnis, & damnum accipiatis ex ira. Num hæc temere ac frustra fiunt? igitur minare, defini, omnia fac, sed absque juramento. Licet retexere etiam quæ dicta sunt, & quæ facta si volueris. Sic hodie necesse est vobis mansuetius loqui. Quoniam enim si audieritis, etiam quod vobis reliquum, rectè perfectum erit. Agè, dic quam ob causam introductum est juramentum, & quare concessum? dicamus originem ejus, & unde natum sit iterum, & quomodo & à quibus narrantes, remunerabimus vos, hac oratione pro vestra audiendi facilitate. Eum enim qui justè facit, necesse est & sapientiæ studiosum esse: & qui nondum talis, neque dignus est qui audiat sermonem. Fecit olim pacta Abraham, & immolavit victimas, & hostias obtulit, & nondum erat juramentum. Unde igitur ingressum est juramentum? quando mala creverunt, quando omnia simul sursum ac deorsum facta sunt, quando ad idololatriam inclinarunt: tunc sanè, quando infideles apparuerunt, Deum vocabant testem, quasi fidejussorem dantes dictis satisfacturum. Juramentum enim est fidejussio, ubi mores fidem non habent: unde primum taxatur is qui jurat, si ei fides non habeatur absque fidejussore,

&

& fidejussore maximo: & quia tam parum homines sibi mu-
tuum credunt, non hominem quærunt fidejussorem, sed
Deum. Secundò, idem crimen est ejus qui juramentum re-
cipit, si pro contractibus Deum ad fidejussionem trahat, & di-
cat se non crediturum, nisi illum accipiat. O excellentem
stuporem! ó contumeliam! vermis, terra ac cinis existens &
fumus, audes talem dominum tuum in fidejussorem capere, &
illum cogis accipere? Dic oro mihi, num si filiis vestris con-
tendentibus inter se, & sibi mutuum non habentibus fidem,
dixerit conservus, non credendum, nisi communis dominus
fidejussor accedat: nonne illi irrogarentur plagæ multæ, ut
discat quod domino in aliis, non in hisce uti oporteat? Quid
dico conservum? nam si magis venerandum voluerit virum,
nónne contumeliam causa haberet? At ego non volo, inquin.
Igitur neque illum coge, quoniam & in hominibus hoc fit.
Si dixerit: Aliquem do fidejussorem, tu ne recipias. Quid
igitur? Et perdam, inquit, quod datur: non dixerim hoc, sed
Deum contumelia affici ne sustineas. Ideo & qui cogit, quam
qui jurat, magis inevitabile habet supplicium. Similiter &
qui nullo postulante jurat: etiam hoc difficilius est, quod quis
jurat pro unico obulo, pro parvo emolumento, pro injustitia.
Et hæc sic periculosa, quando non fuerint perjuria: si autem
perjuria committentur, tunc omnia confunduntur, & in causa
sunt, tam is qui dat, quam is qui accipit juramentum. Sed
sunt aliqua quæ ignorantur, objiciunt. Verùm hæc prævi-
dens, nihil temerè facias: si autem quid feceris negligentius,
pete à te ipso incommodi pœnam. Melius sic damno affici,
quam aliter. Dic enim mihi, rapis ad juramentum virum,
quid expectas, num quod pejeret? sed hoc extremæ insipien-
tiæ. In tuum enim caput pœna convertetur. Melius erat
opes perire, quàm illum perire. Quare cum tuo damno hoc
facis, & cum contumelia Dei? Bestiæ est talis anima & viri
impii. Sed expecto, quod non pejeret. Igitur & absque jura-
mento crede. Sed sunt multi, ajunt, qui absque juramento
audent fraudem facere, qui cum juramento non item faciunt.
Decipis teipsum homo. Homo furari qui didicerit, & homi-
nem injuria afficere, vellet etiam juramentum calcare sæpius.
Si autem reverentiam habet in jurando, multò magis injustè
faciendo. Sed invitus ais hoc patitur? Igitur venia dignus?
Sed quid dicam de juramentis illis, relictis forensibus? Illic
enim nihil tale potes dicere, nam pro decem obolis juramenta
fiunt, & perjuria. Quia enim fulmen supernè non descendit,
& non omnia subvertuntur, stas obstringens Deum. Quam-
obrem? ut olera accipias, ut calceos, pro parvo argento in te-
stimonium illum vocas? numquid quoniam non punimur,
putamus nos neque peccare? Hoc divinæ misericordiæ est, non
nostræ virtutis. Jura per tuum puerum, jura per teipsum:
dic: Sic ne lictor assistat lateribus meis? Sed times. Lateri-
bus igitur vilior est Deus? capite tuo contemptior? dic, sic ne
excæcer? At Christus nobis quidem parcit, ut prohibeat et-
iam per proprium caput jurare. Nos autem sic despicimus
gloriam Dei, ut ubique ille trahatur. Nescitis quid sit Deus,
& quali ore invocari debeat. Porrò quoties de viro aliquo vir-
Phil. 2. tutibus prædito loquimur, dicimus: Lava os tuum, & sic me-
Psal. 8. mor sis: nunc verò honorabile nomen, quod est nomen super
omne nomen, quod admirabile in omni terra, quod dæmones
audientes contremiscunt, simpliciter distrahimus. ô consuetu-
dinem, quæ id fecit contemptissimum. Denique si imposueris
alicui necessitatem jurandi in domo sancta, quàm horrendum
juramentum si sic afficeris, injungis. Numquid quod illo qui-
dem simpliciter abutimur, hoc autem minimè? Nonne hor-
Exod 19. rere oportebat, quum nominatur Deus? At inter Judæos qui-
dem hoc nomen tam reverendum erat, ut in tiaræ lamina scribe-
retur, & nulli eas divini nominis literas licebat gestare, quàm
soli summo sacerdoti: nunc autem temere ita portamus no-
men illius. Si simpliciter nominare Deum non omnibus fas
erat, hoc certè quod in testimonium vocatur, quantæ audaciæ?
dic oro, quantæ insaniæ? Ecce dico, & testificor vobis, emen-
date juramenta forensia, eos autem qui non obtemperant omnes
mihi indicate: ecce præsentibus vobis, imperabo his qui ad mi-
nisterium segregati sunt domuum orationis, & admonebo, &
ostendam nulli jurare licere, imò neque aliter. Ad me igitur
ducatur, quisquis fuerit, quoniam & hæc oportet coram nobis
agi, quasi pueri essetis. Proh pudor, confusio enim est, quòd
de quibusdam adhuc opus habetis erudiri. Num sacram men-
sam tangere audes, qui initiatus non es? Sed id adhuc pe-
jus, tu qui initiatus es audes sacram mensam tangere, quam
nec omnibus sacerdotibus tangere licet, & sic jurare?

A καὶ ἐγγύῃ μεγάλῃ. διὰ γὰρ τὴν πολλὴν ἀπιστίαν, οὐκ ἄνθρωπον
ζητοῦσιν ἔγγυον, ἀλλὰ τὸν Θεόν. δεύτερον, καὶ ὁ λαμβάνοντος τὸν
ὅρκον τὸ αὐτὸ ἔγκλημα, εἰ ὑπὲρ συναλλαγμάτων διαφερό-
μενος τὸν Θεὸν ἕλκοι πρὸς τὴν ἐγγύην, καὶ λέγοι μὴ ἀφίστασθαι, εἰ
μὴ ἐκεῖνον λάβοι. ὦ τῆς ὑπερβαλλούσης ἀναισθησίας! ὦ τῆς
ὕβρεως! σκώληξ, καὶ γῆ καὶ σποδὸς τυγχάνων καὶ καπνὸς, τὸν δεσπό-
την σου ἕλκεις εἰς ἐγγύην, κἀκεῖνον ἀναγκάζεις λαβεῖν· εἰπέ μοι;
B εἰ τῶν παίδων ὑμῶν φιλονεικούντων πρὸς ἀλλήλους, καὶ ἀπιστούντων
ἑαυτοῖς, ἔφησεν ὁ ὁμόδουλος μὴ ἀποστήσεσθαι ἕως ἂν τὸν κοινὸν δε-
σπότην ἐγγυητὴν λάβοι· ἆρα οὐκ ἂν ἔλαβε πληγὰς μυρίας, καὶ
ἔμαθεν ὅτι τῷ δεσπότῃ εἰς ἄλλα κεχρῆσθαι δεῖ, οὐκ εἰς ταῦτα; τί
λέγω, ὁμόδουλον; εἰ γὰρ αἰδεσιμώτερον εἵλετο ἄνδρα, οὐχ ὕβριν τὸ
πρᾶγμα ἡγήσατο ἄν; ἀλλ' ἐγὼ οὐ βούλομαι, φησί. καλῶς. οὐκ-
οῦν μηδὲ ἐκεῖνον ἀνάγκαζε; ἐπεὶ καὶ ἐπ' ἀνθρώπων τοῦτο γίνεται. ἂν
C εἴπῃ τὸν δεῖνα δίδωμι ἐγγυητὴν, σὺ οὐκ ἀνέχῃ. τί οὖν; καὶ ἀπολέσω,
φησὶ, διδόμενον; οὐ λέγω τοῦτο· ἀλλὰ ὅτι τὸν Θεὸν ὑβρίζεσθαι ἀνέχῃ.
διὸ καὶ μᾶλλον ὁ καταναγκάζων ἢ ὁ ὀμνὺς ἀπαραίτητον ἔχει τὴν
κόλασιν· ὡσαύτως καὶ ὁ μηδενὸς αἰτοῦντος ὀμνύς. καὶ τὸ δὴ χαλε-
πώτερον, ὅτι ὀμνύει ἕκαστος ὑπὲρ ὀβολοῦ ἑνός. ὑπὲρ προσθήκης
μικρᾶς· ὑπὲρ ἀδικίας. ταῦτα, ὅτ' ἂν μὴ ὦσιν ἐπιορκίαι. ἂν δὲ
ἐπιορκία παρακολουθήσῃ, πάντα ἄνω καὶ κάτω, καὶ ὁ λαβὼν, καὶ
D ὁ δοὺς πεποίηκεν. ἀλλ' ἔστιν ἀγνοούμενά τινα, φησίν; ἀλλὰ ταῦτα
προορώμενος, μηδὲν ποίει ῥᾳθύμως. εἰ δὲ ῥᾳθύμως ποιεῖς, ἀπαί-
τει σαυτὸν δίκην ζημίας. βέλτιον οὕτω ζημιωθῆναι, ἢ ἑτέρως. εἰπὲ
γάρ μοι, ἕλκεις εἰς ὅρκον τὸν ἄνδρα; τί προσδοκᾷς; ὅτι ἐπιορκήσει;
ἀλλὰ τοῦτο ἀνοίας ἐσχάτης· ἐπὶ τὴν σὴν γὰρ κεφαλὴν ἡ δίκη τραπή-
σεται. βέλτιον σε τὰ χρήματα ἀπολέσαι, ἢ ἐκεῖνον ἀπόλλυσθαι.
τί μετὰ τῆς σῆς ζημίας τοῦτο ποιεῖς, καὶ μετὰ τῆς ὕβρεως τοῦ Θεοῦ; θηρίου
E αὕτη ἡ ψυχὴ, καὶ ἀσεβοῦς ἀνδρός. ἀλλὰ προσδοκῶ ὅτι οὐκ ἐπιορκή-
σει. οὐκοῦν καὶ χωρὶς ὅρκου πίστευσον. ἀλλ' εἰσὶ πολλοὶ, φησὶν, οἱ χω-
ρὶς ὅρκου εἵλοντο ἀποστερῆσαι. μετὰ δὲ ὅρκου, οὐκέτι. ἀπατᾷς σεαυτὸν
ἄνθρωπε. ἄνθρωπος κλέπτειν μεμαθηκὼς, καὶ τὸν πλησίον ἀδι-
κεῖν, ἕλοιτο ἂν καὶ ὅρκον καταπατῆσαι πολλάκις. εἰ δὲ περὶ τοῦ ὀμό-
σαι εὐλαβηθείη, περὶ τὸ ἀδικῆσαι πολλῷ μᾶλλον· ἀλλ' ἄκων αὐτὸ
πάσχει; ἄκων συγγνώμης ἄξιος. ἀλλὰ τί λέγω περὶ τῶν ὅρκων τού-
A των, ἀφεὶς τοὺς ἐπ' ἀγορᾶς; ἐκεῖ γὰρ οὐδὲ τοῦτον ἔχεις εἰπεῖν. ὑπὲρ
γὰρ δέκα ὀβολῶν, ὅρκοι γίνονται καὶ ἐπιορκίαι. ὅτι γὰρ σκηπτὸς ἄνωθεν
οὐ κατέρχεται, ὅτι γὰρ οὐ πάντα ἀνατρέπεται, ἕστηκας κατέχων τὸν
Θεόν; τί δήποτε, ἵνα λάχανα λάβῃς· ἵνα ὑποδήματα, ὑπὲρ
ὀλίγου ἀργυρίου εἰς μαρτυρίαν αὐτὸν καλῶν· μὴ δὴ ἐπειδὴ μὴ
κολαζόμεθα, νομίζωμεν μηδὲ ἁμαρτάνειν. τοῦτο τῆς φιλανθρω-
πίας ἐστὶ τοῦ Θεοῦ, οὐ τῆς ἡμετέρας ἀρετῆς. ὄμοσον κατὰ τοῦ παιδός σου·
ὄμοσον κατὰ σαυτοῦ· εἰπὲ, οὕτω μὴ δήμιος ἐπιστῇ ταῖς πλευραῖς
B ταῖς ἐμαῖς. ἀλλὰ δέδοικας; τῶν πλευρῶν σου ἀτιμότερος ὁ Θεός;
τῆς κεφαλῆς σου εὐτελέστερος; εἰπὲ, οὕτω μὴ πηρωθῶ. ἀλλ' ὁ μὲν
Χριστὸς οὕτως ἡμῶν φείδεται, ὡς κωλύειν καὶ κατὰ τῆς οἰκείας ὀμνύειν
κεφαλῆς· ἡμεῖς δὲ οὕτως ἀφειδοῦμεν τῆς δόξης τῆς τοῦ Θεοῦ, ὡς παν-
ταχοῦ αὐτὸν ἕλκειν. οὐκ ἴστε τί ἐστι Θεός; καὶ ποίοις στόμασι καλεῖ-
σθαι ὀφείλει, ἀλλ' ἂν μὲν περί τινος λέγωμεν ἀνδρὸς ἐναρέτου, φα-
μὲν, ἀπόπλυνον τὸ στόμα σου, καὶ οὕτω μνήσθητι· νυνὶ δὲ τὸ τίμιον
C ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, τὸ θαυμαστὸν ἐν πάσῃ τῇ γῇ, ὃ δαί-
μονες ἀκούοντες φρίττουσιν, ἁπλῶς περισύρομεν. ὦ τῆς συνηθεί-
ας! ἀπὸ γὰρ ταύτης γέγονεν εὐκαταφρόνητον. ἀμέλει γοῦν εἰς οἶ-
κον ἅγιον ἂν ἐπιθῇς τινι ἀνάγκην ὀμόσαι, ὡς φρικτὸν τὸν ὅρκον ἐρ-
γασάμενος οὕτω διάκεισαι· καί τοι πόθεν οὕτω φρικτὸν εἶναι
δοκεῖ, ἀλλ' ἢ ὅτι ἐκείνῳ μὲν ἁπλῶς ἀποκεχρήμεθα, τούτῳ δὲ οὐχί. οὐ
γὰρ φρίκην ἔδει γενέσθαι ὀνομαζομένου τοῦ Θεοῦ; ἀλλ' ἐπὶ μὲν Ἰουδαίων
D οὕτως αἰδέσιμον τὸ ὄνομα σημεῖον ἦν, ὡς ἐν πετάλοις γράφεσθαι, καὶ μηδενὶ
τὰ γράμματα ἐξεῖναι φορεῖν, ἀλλ' ἢ μόνῳ τῷ ἀρχιερεῖ· νυνὶ δὲ ὡς
τὸ τυχὸν, οὕτω περιφέρομεν αὐτοῦ τὸ ὄνομα. εἰ ἁπλῶς ὀνομάζειν τὸν
Θεὸν οὐ πᾶσιν ἐναγὲς, τὸ καὶ ἐπὶ μαρτυρίαν αὐτὸν καλεῖν, πόσης
τόλμης, εἰπέ μοι; πόσης μανίας; εἰ γὰρ πάντα ῥῖψαι ἐχρῆν, οὐκ
ἔδει προθύμως ἐᾶν; ἰδοὺ, λέγω, καὶ διαμαρτύρομαι· κατορθώσατε
τούτους τοὺς ἐπὶ τῆς ἀγορᾶς ὅρκους, τοὺς περιττούς. τοὺς δὲ μὴ πειθομέ-
E νους, πάντας ἐμοὶ ἀγάγετε. ἰδοὺ παρόντων ὑμῶν ἐπισκήπτω
τοῖς πρὸς ὑπηρεσίαν ἀφωρισμένοις τῶν οἴκων τῶν εὐκτηρίων, καὶ
παραινῶ, καὶ παρεγγυῶ μηδενὶ ὀμνύειν ἁπλῶς ἐξεῖναι· μᾶλλον
δὲ μηδὲ ἑτέρως. πρὸς ἐμὲ οὖν ἀγέσθω ὅστις ἂν ᾖ, ἐπειδὴ καὶ ταῦτα
μέχρις ὑμῶν ἔρχεσθαι δεῖ, καθάπερ ἐπὶ παίδων μικρῶν. μὴ
γένοιτο. καλῶς. αἰσχύνη [καὶ] γάρ ἐστιν ὑπέρ τινων ἔτι δεῖσθαι μανθάνειν, μὴ τραπέζης ἱερᾶς ἅψασθαι τολμᾷς ἀμύητος ὤν; ἀλλὰ
τὸ ἔτι χεῖρον· σὺ ὁ μεμυημένος τῆς ἱερᾶς ἅψασθαι τραπέζης τολμᾷς, ἧς οὐδὲ πᾶσιν ἱερεῦσιν ἅψασθαι θέμις, καὶ οὕτως ὀμνύειν;

καὶ σὺ μὲν τῆς τοῦ παιδὸς κεφαλῆς οὐκ ἂν ἅψαιο ἀπελθών· τραπέζης δὲ ἅπτῃ, καὶ οὐ φρίττεις οὐδὲ δέδοικας; πρὸς ἐμὲ τοὺς τοιούτους ἄγε· ἐγὼ δικάσω, καὶ χαίροντας ἑκατέρους ἀποπέμψω. ὃ βούλεσθε ποιεῖτε. νόμον τίθημι μηδὲ ὅλως ὀμνύναι. ποία σωτηρίας ἐλπὶς, οὕτως ἡμῶν πάντα κινούντων; διὰ τοῦτο γραμματεῖα· διὰ τοῦτο συμβόλαια, ἵνα καταθύσῃς τὴν σαυτοῦ ψυχήν; τί τοσοῦτον κερδαίνεις, ὅσον ἀπολλύεις; ἐπιώρκησεν; ἀπώλεσας κἀκεῖνον καὶ σαυτόν. ἀλλ' οὐκ ἐπιώρκησε; καὶ οὕτως ἀπώλεσας, παραβῆναι τὴν ἐντολὴν ἀναγκάσας. ἐξελάσωμεν τοῦτο τὸ νόσημα ἀπὸ τῆς ψυχῆς. τέως ἀπὸ τῆς ἀγορᾶς αὐτὸ διώξωμεν· ἀπὸ τῶν παντοπωλείων· ἀπὸ τῶν λοιπῶν ἐργαστηρίων· μείζων ὁ πόνος ἡμῖν ἔσται. μὴ νομίσητε διὰ τῶν παραβάσεων τῶν θείων τὰ βιωτικὰ κατορθοῦσθαι. ἀλλ' οὐ πιστεύει, φησί. καὶ γὰρ καὶ τοῦτό ποτε παρ' ἐνίων ἤκουσα, ὅτι ἂν μὴ ὀμόσω μυρίους ὅρκους, οὐ πιστεύει. σὺ τούτων αἴτιος ὁ προχείρως ὀμνύς· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ἀλλὰ πᾶσιν ἦν δῆλον ὅτι οὐκ ὀμνύεις, πίστευέ μοι λέγοντι, ὅτι τῶν μυρίους κατατιθέντων ὅρκους μᾶλλον ἂν ἐπιστεύθης ἐπινεύσας μόνον. ἰδοὺ γὰρ εἰπέ μοι· τίνι ἄρα μᾶλλον πιστεύετε· ἐμοὶ τῷ μὴ ὀμνύοντι, ἢ τοῖς ὀμνύουσιν; ἀλλὰ σύ, φησιν, ἄρχων εἶ καὶ ἐπίσκοπος; τί οὖν ἂν δείξω ὅτι οὐ τοῦτο μόνον; μετὰ ἀληθείας ἀποκρίνασθέ μοι παρακαλῶ. εἰ συνεχῶς ὤμνυον καὶ διαπαντὸς, ἆρα ἂν περιέστη μου ἡ ἀρχή; οὐδαμῶς. ὁρᾷς ὅτι οὐ διὰ τοῦτο; τί δὲ κερδαίνεις ὅλως, εἰπέ μοι; Παῦλος ἐλίμωττε· καὶ σὺ ἕλου πεινᾶν μᾶλλον, ἢ παραβῆναί τινα τῶν ἐντολῶν τοῦ Θεοῦ. τί οὕτως ἄπιστος εἶ; σὺ μὲν οὖν πάντα αἱρῇ, καὶ ποιῆσαι, καὶ παθεῖν ὑπὲρ τοῦ μὴ ὀμόσαι· αὐτὸς δέ σε οὐκ ἀμείψεται; ἀλλὰ τοὺς μὲν ἐπιόρκους, καὶ πολυόρκους καθ' ἑκάστην τρέφει τὴν ἡμέραν· σὲ δὲ παραδώσει λιμῷ ἐπειδὴ ἤκουσας αὐτοῦ; πάντες ἰδέτωσαν ὅτι τῶν εἰς ταύτην τὴν ἐκκλησίαν συναγομένων, οὐδεὶς [οὐκ] ἔστιν ὀμνύς· καὶ ἀπὸ τούτου γινώμεθα δῆλοι, μὴ ἀπὸ τῆς πίστεως μόνον· καὶ τοῦτο πρὸς Ἕλληνας, καὶ πρὸς πάντας ἔχωμεν τὸ διαλλάττον. σφραγῖδα λάβωμεν ἐκ τῶν οὐρανῶν, ἵνα ὥσπερ ἀγέλη βασιλικὴ πανταχοῦ φαινώμεθα· ἀπὸ τοῦ στόματος, καὶ τῆς γλώττης τέως γνωριζώμεθα, καθάπερ οἱ βάρβαροι· καθάπερ οἱ ἑλληνιστὶ εἰδότες, ταύτῃ τῶν βαρβάρων διαλλάττωμεν. εἰπὲ γάρ μοι· οἱ ψιττακοὶ λεγόμενοι, πόθεν εἰσὶ γνώριμοι; οὐκ ἀπὸ τοῦ λαλεῖν κατὰ ἄνθρωπον; καὶ ἡμεῖς τοίνυν ἀπὸ τοῦ λαλεῖν ὡς οἱ Ἀπόστολοι γινώμεθα γνώριμοι· ἀπὸ τοῦ λαλεῖν ὡς οἱ Ἄγγελοι. ἂν εἴπῃ τις, ὄμοσον· ἀκουέτω ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ οὐκ ὄμνυμι. τοῦτο ἱκανὸν πᾶσαν εἰσαγαγεῖν ἀρετήν. θύρα τίς ἐστιν εὐσεβείας, ὁδὸς ἐπὶ φιλοσοφίαν εἰσάγουσα, παλαίστρα τίς ἐστι. ταῦτα φυλάττωμεν, ἵνα καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

Et tu quidem pueri caput non tangeres egressus, mensam autem contingis, & non horres neque metuis? Ad me tales affer, ego justam pœnam inferam, & utrosque cum gaudio amandabo: quod volueritis facite, legem pono omnino non jurare. Quæ salutis spes, sic vobis omnia contemnentibus ac perdentibus? num propterea accepisti literas & symbola, ut perdas animam tuam? Quid, tantùm lucraris quantùm perdis? Pejeravit? perdidisti & te & illum. Sed non pejeravit? Etiam sic perdidisti, qui coëgeris præceptum transgredi. Expellamus hunc morbum ab anima, jam à foro illum pellamus, atque omnibus mercatorum & opificum officinis, major labor nobis erit, ne putetis per transgressiones legum divinarum secularia corrigi. At non credit, inquit: Etenim & ego hoc ab aliquibus audivi, quod si non juravero multa juramenta, non credetur mihi. Tu horum causa es, qui tam promptè ac facilè juras: quod si hoc non esset, sed omnibus esset manifestum, quòd non jures: crede mihi dicenti, quod vel solo nutui plus crederetur tibi, quàm iis qui innumera juramenta dejerant. Cui igitur magis creditis, mihi non juranti, an jurantibus? Sed tu, inquit, princeps es ac Episcopus. Quid igitur, si ostendero quod non hoc solum? Cùm veritate respondete mihi, obsecro. Si continuò jurassem ac semper, numquid privilegium haberet principatus meus? Minimè. Vides quòd non propter hoc. Quid igitur lucraris, dic obsecro mihi. Paulus esuriebat, & tu eligas esurire magis quàm transgredi quædam divina mandata, cur tam infidelis es? Itaque tu quidem omnia eliges & facere & pati ut ne jures, ipse autem te non remunerabit? sed perjuros quidem & multum jurantes, quotidie pascit: te verò tradet fami, quoniam audiisti illum? Omnes sciant quod his qui in hanc Ecclesiam congregantur, nulli jurare liceat, & ex hoc efficiamur certi, & non sola fide, etiam hoc signo à Græcis & ab omnibus aliis differamus. Signaculum accipiamus ex cœlestibus, ut tanquam regia armenta ubique fulgeamus, ex ore & lingua jam noti efficimur, sicut barbari, & sicut ii qui Græcè loqui sciunt: Lingua enim à barbaris discernimur. Dic enim oro mihi, psittaci unde sunt cognobiles, nonne ex eo quod loquuntur sicut homines? & nos quoque cognobiles fiamus, si loquamur sicut Apostoli, & loquamur sicut Angeli. Si dixerit enim quis, jura: audiat quod Christus jussit, & non juro. Matth. v. Hoc sufficit ad omnem virtutem inducendam. Janua quædam est pietatis, via ad Philosophiam inducens, palæstra quædam est, hæc custodiamus, ut & præsentia & futura bona assequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul cum sancto Spiritu gloria, imperium, honor, nunc & semper in secula seculorum, Amen.

ΟΜΙΛΙΑ ί.

Λαλούντων δὲ αὐτῶν πρὸς τὸν λαὸν, ἐπέστησαν αὐτοῖς οἱ ἱερεῖς, καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ.

ΟΥΠΩ τῶν προτέρων ἀναπνεύσαντες πειρασμῶν, εὐθέως εἰς ἑτέρους ἐνέβησαν. καὶ ὅρα πῶς οἰκονομεῖται τὰ πράγματα· πρῶτον ἐχλευάσθησαν πάντες ὁμοῦ· οὐ μικρὸς οὗτος ὁ πειρασμός· δεύτερον, αὐτοὶ οἱ κορυφαῖοι εἰς κινδύνους ἐμπίπτουσιν. οὐκ ἐφεξῆς δὲ τὰ δύο γέγονεν, [οὐδὲ ἁπλῶς·] ἀλλὰ πρότερον εὐδοκιμήσαντες ἐν ταῖς δημηγορίαις καὶ θαῦμα ἐργασάμενοι μετὰ ταῦτα μέγα, οὕτω δὴ λοιπὸν μετὰ τὸ θαρρῆσαι συγχωροῦντος τοῦ Θεοῦ τῶν ἀγώνων ἅπτονται. σὺ δέ μοι θέα, πῶς ἐπὶ τοῦ Χριστοῦ τὸν παραδώσοντα ζητοῦντες, ἐνταῦθα λοιπὸν αὐτοὶ τὰς χεῖρας ἐπιβάλλουσι, θρασύτεροι γεγονότες, καὶ ἀναισχυντότεροι μετὰ τὸν σταυρόν. ἡ γὰρ ἁμαρτία, ἕως μὲν ἂν ὠδίνηται, ἔχει τινὰ αἰσχύνην· ἐπειδὰν δὲ τελεσθῇ, τότε ἀναισχυντοτέρους ποιεῖ τοὺς ἐργαζομένους αὐτήν· τί δήποτε δὲ καὶ στρατηγὸς » ἐφίσταται; ἐπέστησαν γὰρ αὐτοῖς οἱ ἱερεῖς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ, φησίν. ἵνα πάλιν δημόσιον ἔγκλημα περιθῶσι τοῖς γινομένοις, καὶ μὴ » ὡς ἰδιωτικὸν ἐκδικῶσιν. ὅπερ πανταχοῦ σπουδάζουσι ποιεῖν. διαπο» νούμενοι διὰ τὸ διδάσκειν αὐτοὺς τὸν λαόν. διεπονοῦντο, οὐ μόνον ὅτι ἐδίδασκον, ἀλλ' ὅτι οὐκ αὐτὸν μόνον ἔλεγον ἐγηγέρθαι, ἀλλὰ καὶ ἡμᾶς δι' ἐκείνου ἀνίστασθαι. διὰ τὸ διδάσκειν αὐτοὺς, φησι, τὸν λαὸν, καὶ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν τῶν νεκρῶν. οὕτως ἰσχυρὰ ἐγένετο ἡ ἀνάστασις, ὡς καὶ ἑτέροις αὐτὸν αἴτιον » γενέσθαι ἀναστάσεως. καὶ ἐπέβαλον αὐτοῖς τὰς χεῖρας, καὶ ἔθεντο αὐ» τοὺς εἰς τήρησιν εἰς τὴν αὔριον. ἦν γὰρ ἑσπέρα ἤδη. ὢ τῆς ἀναισχυντίας! ἔτι τῶν προτέρων αἱμάτων γεμούσας τὰς χεῖρας εἶχον, καὶ

HOMILIA X.

Loquentibus autem illis ad populum supervenerunt sacerdotes ac magistratus templi.

NOndum rectè à prioribus respirarant tentationibus, & statim inciderunt in alias. Et vide quomodo res dispensetur: Primùm omnes simul subsannati sunt, non parva erat hæc tentatio. Deinde qui præcipui erant, periculis implicabantur: posteà verò non duo hæc & vulgaria fiebant, sed ut priùs concionibus claruerunt, & post illas miracula operati sunt: nunc deinceps magna cum fiducia, concedente Deo, certamina aggrediuntur. Tu autem, obsecro, considera, quomodo quæsierint Judæi primùm proditorem, qui Christum traderet, quod ut factum, manus ipsi injecerint, nunc audaciores & impudentiores facti sunt, etiam post crucem. Peccatum enim quamdiu parturitur, habet confusionem ac pudorem, ubi autem perfectum fuerit, impudentiores facit eos qui ipsum patrarunt. Sanè quare hic & magistratus assistit? *Supervenerunt enim illis loquentibus sacerdotes*, inquit, *& magistratus:* hoc est, dux militum templi, ut iterum ea quæ fiebant, publico crimine infament, & non ut privatum aliquod ulciscantur, id quod ubique ut facerent studebant. *Molestè ferentes eò quòd docebant illi populum.* Molestè ferebant, non solùm quòd docebant, sed quòd non solùm dicebant illum resurrexisse, sed etiam nos per illum resurrecturos: eò quòd illi docebant, inquit, populum, & annunciabant sub nomine Jesu resurrectionem mortuorum. Tam fortis & efficax est illius resurrectio, ut & aliis iste resurrectionis factus sit author. *Et injecerunt eis manus, & posuerunt eos in custodiam usque in diem posterum, erat enim jam vespera.* O impudentiam! Habebant adhuc priore sanguine plenas manus, & non

Cap. IV.

non cessabant, sed injecerunt illas iterum: ut & alio sanguine impleantur. Num fortassis etiam timuerunt, quod illi jam justæ plebis numerum referrent, & ea propter etiam dux militum illis supervenit. *Erat*, enim, inquit, *vespera jam.* Illi quidem igitur volentes eos mitigare, hoc faciebant & custodiebant: Apostolos verò magis audaces reddebat mora temporis. Et vide qui comprehendantur, Apostolorum præcipui, aliis posteà exemplum facti, ut terreantur alii, & non ultra se mutuum inquirant, neque communiter agant. *Multi verò eorum qui audierunt sermonem, crediderunt, & factus est numerus virorum circiter quinque millia.* Quid hoc? nunquid viderunt illos honestari? nónne conspexerunt ligari? quomodo igitur crediderunt? Vides manifestam efficaciam? Cæterùm eos qui jam crediderant, oportebat infirmiores fieri, sed non sunt infirmiores facti. Sermo enim Petri, semina in altam miserat profunditatem, & mentem illorum attigerat. Alii verò ob hoc succensebant, quod nihil ipsos illi reverebantur, quod præsentia mala nihil faciebant. Si enim crucifixus, dicebant, talia operatur, & claudum suscitavit, neque nos timeamus illos. Igitur & hoc divina dispensatione contigit, quod nunc plures inde crediderunt quàm priùs. Quia lictores idcircò Apostolos illis videntibus ligabant, ut & illos meticulosiores facerent. Factum est secus quàm illi volebant. Idcircò etiam coram illis istos non examinant, sed privatim, ut ne libertas qua illi loquebantur audientes lucrifaceret. *Factum est autem postero die, ut congregarentur principes eorum & seniores & scribæ in Hierusalem, & Annas princeps sacerdotum, & Caiphas, & Joannes, & Alexander, & quotquot erant de genere pontificio.* Iterum conveniunt simul. Nam legem jam non ultrà servabant, sicut & multa alia mala faciebant. Et iterum judicii formam negotio huic adhibent, ut injusto judicio reos illos faciant. *Et quum statuissent eos in medio, interrogabant qua virtute, aut quo nomine fecistis hoc vos*, quamvis nollent. *Molestè enim ferentes*, inquit, *eo quod annunciabant in Jesu resurrectionem:* sanè propter hoc vinxerant eos. Cujus igitur gratia interrogant? expectabant & putabant quòd propter multitudinem negaturi essent & propter illam nihil non facturos. Vide sanè & quid dicant. *In quo nomine fecistis hoc vos? Tunc Petrus repletus Spiritu sancto dixit ad eos.* Oro recorderis nunc sermonum Christi, & quomodo evenerit quod dixerat:
Luc. 12, 12. *Quando autem tradent vos in synagogis, ne soliciti sitis quomodo vel quid loquamini: spiritus enim patris vestri est qui loquitur in vobis.* Itaque magna spiritûs efficacia freti sunt. Audi item quid dicat: *Principes populi, & seniores Israel.* Vide sapientiam viri, & quomodo magna cum libertate nihil contumeliosum loquitur, sed cum reverentia. *Principes populi & seniores Israel: si nos hodie judicamur de eo, quod benefecerimus homini infirmo, quomodo ille salvus factus sit, notum sit omnibus vobis, & omni populo Israel.* Satis generosè etiam in procemio illos perstringit ac carpit, imò illos commonefacit priorum, quòd de beneficio ipsos judicent, quasi diceret: Omninò oportebat nos propter talia coronari, & ut benefactores promolgari: nunc autem etiam judicamur, quia benefecimus homini infirmo, non diviti, non potenti, non nobili, quamvis quis hoc invidisset: magna enim gravitate sermo ille refertus est. Ostenditur autem hinc, quod illi seipsos malis immiscuerint. *Quod in nomine Jesu Nazareni.* Quod maximè illos contristabat, apponit. Hoc erat quod illis Christus dixerat: *Quod audivistis in aure, prædicate super*
Math. 10, 27. *tecta. In nomine Jesu Nazareni, quem vos crucifixistis, quem Deus suscitavit ex mortuis, per hunc ille astat vobis sanus.* Ne putetis, inquit, quod occultemus patriam vel passionem ejus quem vos crucifixistis, quem Deus suscitavit ex mortuis, per hunc ille astat coram vobis sanos. Iterum passio, iterum resurrectio. *Iste est lapis qui reprobatus à vobis ædificantibus, qui factus est in caput anguli.* In memoriam reducit eis verbum
Math. 21, 44. quod terrere illos sufficiebat. *Qui ceciderit enim*, inquit, *super lapidem hunc, confringetur: eum autem super quem ceciderit, dissilire faciet. Nec est in ullo alio salus.* Quas putas ex his verbis plagas illos accepisse? *Nec enim aliud nomen est sub cœlo datum hominibus, in quo oporteat vos servari.* Hîc & sublimia loquitur. Nam quando non est corrigendum aliquid, sed sola libertas declaranda, non parcit. Non enim timuerat, ne percuteret. Et non dixit simpliciter, per alium: sed *non est in alio ullo salus*, manifestans quod hic vos servare potest. Simul autem & volens illos terrere. *Videntes autem Petri libertatem, & Joannis, compertóq; quòd homines essent illiterati, ac idiotæ, admirabantur, & agnoscebant eos, quòd cum Jesu fuissent.*

A οὐκ ἐνάρκων, ἀλλ' ἐπέβαλλον πάλιν αὐταῖς ἑτέροις αἵμασιν ὥστε πληρῶσαι. ἢ τάχα καὶ ἔδεισαν πλῆθος αὐτοὺς ἤδη γεγενημένους· καὶ διὰ τοῦτο αὐτοῖς ὁ στρατηγὸς συνεπέστη. ἦν γάρ, φησιν, ἑσπέρα ἤδη. ἐκεῖνοι μὲν οὖν βουλόμενοι αὐτοὺς μαλάξαι, τοῦτο ἐποίουν καὶ ἐφύλαττον· τοὺς δὲ Ἀποστόλους λαμπροτέρους μᾶλλον εἰργάζετο ἡ ἀναβολὴ τοῦ χρόνου. καὶ ὅρα τίνες ἀπολαμβάνονται· οἱ κορυφαῖοι τῶν Ἀποστόλων, τοῖς ἄλλοις λοιπὸν ὑπόδειγμα γινόμενοι, ἵνα μηκέτι ζητῶσιν ἀλ-
B λήλους, μηδὲ τὸ κοινὸν εἶναι. Πολλοὶ δὲ τῶν ἀκουσάντων τὸν λόγον ἐπίστευσαν, καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἀνδρῶν ὡσεὶ χιλιάδες πέντε. τί οὖν; μὴ γὰρ εὐδοκιμήσαντας εἶδον; οὐχὶ δεθέντας ἐθεάσαντο; πῶς οὖν ἐπίστευσαν; ὁρᾷς ἐνέργειαν φανεράν; καὶ μὴν καὶ τοὺς ἤδη πιστεύσαντας ἔδει ἀσθενεστέρους γενέσθαι· ἀλλ' οὐκ ἐγένοντο. ἡ γὰρ Πέτρου δημηγορία εἰς τὸ βάθος τὰ σπέρματα κατέβαλε, καὶ τῆς διανοίας αὐτῶν ἥψατο. οἱ δὲ διὰ τοῦτο ὠργίζοντο, ὅτι οὐδὲν αὐτοὺς ἐδεδοίκεσαν,
C ὅτι οὐδὲν τὰ παρόντα δεινὰ ἡγοῦντο. εἰ γὰρ ὁ σταυρωθείς, φησι, τοιαῦτα ἐργάζεται, καὶ τὸν χωλὸν ἀνέστησεν, οὐ φοβούμεθα οὐδὲ τούτους. ἄρα καὶ τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας γέγονεν. ἐντεῦθεν πλείους οἱ νῦν πιστεύσαντες τῶν πρώτων ἐγένοντο. ἐφ' ᾧ καὶ δήσαντες διὰ τοῦτο αὐτῶν ὁρώντων ἔδησαν τοὺς Ἀποστόλους, ἵνα καὶ αὐτοὺς δειλοτέρους ἐργάσωνται. τὸ ἐναντίον δὲ γέγονεν ἢ ἐκεῖνοι ἐβούλοντο. διὰ τοῦτο [καὶ] οὐκ ἐπ' αὐτῶν αὐτοὺς ἐξετάζουσιν, ἀλλὰ κατ' ἰδίαν, ἵνα μὴ ἀπὸ τῆς παρρησίας οἱ ἀκούοντες
D κερδάνωσιν. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας καὶ πρεσβυτέρους, καὶ γραμματεῖς ἐν Ἱερουσαλήμ, καὶ Ἄνναν τὸν ἀρχιερέα καὶ Καϊάφαν, καὶ Ἰωάννην, καὶ Ἀλέξανδρον, καὶ ὅσοι ἦσαν ἐκ γένους ἀρχιερατικοῦ. [πάλιν] συνέρχονται ἐπὶ τὸ αὐτό. οὐκέτι γὰρ μετὰ τῶν ἄλλων κακῶν τὰ τοῦ νόμου ἐφυλάττετο. καὶ πάλιν δικαστηρίου σχῆμα τῷ πράγματι περιτιθέασιν, ἵνα ὑπευθύνους τῇ ἀδίκῳ ποιήσωνται κρίσει. καὶ στήσαντες αὐτοὺς ἐν μέσῳ, ἐπυνθάνοντο, ἐν ποίᾳ
E δυνάμει, ἢ ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς. καίτοι μὴ θέλοντες. διαπονούμενοι γάρ φησι διὰ τὸ καταγγέλλειν ἐν τῷ Ἰησοῦ τὴν ἀνάστασιν· [διὰ δὴ τοῦτο καὶ] κατέχον αὐτούς. τίνος οὖν ἕνεκεν ἐρωτῶσι; προσδοκῶντες αὐτοὺς διὰ τὸ πλῆθος ἐξάρνους γενήσεσθαι, καὶ τὸ πᾶν διὰ τούτου νομίζοντες κατορθωκέναι. ὅρα γοῦν καὶ τί φησιν. Ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; Τότε Πέτρος πλησθεὶς πνεύματος ἁγίου, εἶπε πρὸς αὐτούς. ἀναμνήσθητί μοι νῦν τῶν τοῦ Χριστοῦ
A λόγων, καὶ πῶς ἐξέβη ὃ ἔλεγεν· ὅταν καὶ παραδιδῶσιν ὑμᾶς εἰς συναγωγάς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε. τὸ γὰρ πνεῦμα τοῦ πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν. ἄρα ἐνεργείας πολλῆς ἀπέλαυον. τί δὲ καὶ λέγει, ἄκουσον. Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ· ὅρα φιλοσοφίαν ἀνδρός, καὶ πῶς γέμων παρρησίας οὐδὲν ὑβριστικὸν φθέγγεται· ἀλλὰ μετὰ τιμῆς. Ἄρχοντες τοῦ λαοῦ καὶ πρεσβύτεροι τοῦ Ἰσραήλ, εἰ ἡμεῖς σήμερον ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀν-
B θρώπου ἀσθενοῦς ἐν τίνι οὗτος σέσωσται, γνωστὸν ἔστω πᾶσιν ὑμῖν, καὶ παντὶ τῷ λαῷ Ἰσραήλ. σφόδρα αὐτῶν γενναίως καθήψατο ἀπὸ τοῦ προοιμίου, καὶ διακωδωνίζει μᾶλλον δὲ αὐτοὺς [καὶ] ἀνέμνησε τῶν προτέρων, ὅτι ἐπ' εὐεργεσίᾳ αὐτοὺς κρίνουσιν. ὡσανεὶ ἔλεγε· μάλιστα μὲν ἐχρῆν στεφανῶσαι ἡμᾶς ἐπὶ τούτοις, καὶ ὡς εὐεργέτας ἀνακηρύξαι· νῦν δὲ καὶ κρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς, οὐχὶ πλουσίου, οὐχὶ δυνάστου, οὐχὶ ἐνδόξου. καίτοι ἐν τούτῳ τίς ἂν ἐβάσκηνε; πολλῆς
C βαρύτητος ἡ ἐπαγγελία γέμει. δείκνυται δὲ ἐντεῦθεν ὅτι αὐτοὶ ἑαυτοὺς περιέπειρουσι τοῖς κακοῖς. Ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου. ὃ μάλιστα αὐτοὺς ἐλύπει προστίθησι. τοῦτο ἦν ἄρα ὃ ἔλεγεν αὐτοῖς ὁ Χριστός· ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων. Ὅτι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ Ναζωραίου, ὃν ὑμεῖς ἐσταυρώσατε, ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. μὴ νομίσητε, φησιν, ὅτι κρυπτόμεθα τὴν πατρίδα ἢ τὸ πάθος. ὃν ὑμεῖς ἐσταυρώσατε ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν, ἐν τούτῳ αὐτὸς
D παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. πάλιν τὸ πάθος. πάλιν ἡ ἀνάστασις. Αὐτός ἐστιν ὁ λίθος ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν τῶν οἰκοδομούντων, ὁ γενόμενος εἰς κεφαλὴν γωνίας. ἀνέμνησεν αὐτοὺς καὶ ῥήματος ἱκανοῦ φοβῆσαι. ὁ πεσὼν γάρ, φησιν, ἐπὶ τὸν λίθον τοῦτον, συνθλασθήσεται. ἐφ' ὃν δ' ἂν πέσῃ, λικμήσει αὐτόν. [Καὶ] οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία. ποίας οἴει πληγὰς αὐτοὺς λαμβάνειν ἐκ τούτων τῶν ῥημάτων. οὔτε γὰρ ὄνομα ἕτερόν ἐστιν [φησιν] ὑπὸ τὸν οὐρανὸν τὸ δε-
E δομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. ἐνταῦθα καὶ ὑψηλὰ φθέγγεται. ὅτε ἂν γὰρ μὴ ᾖ τι κατορθῶσαι, ἀλλὰ παρρησίαν ἐπιδείξασθαι μόνον, οὐ φείδεται. οὐ γὰρ ἐδεδοίκει μὴ πλήξῃ. καὶ οὐκ εἶπεν ἁπλῶς δι' ἄλλου· ἀλλ', οὐκ ἔστιν ἐν ἄλλῳ οὐδενὶ ἡ σωτηρία· τουτέστιν, οὗτος ἡμᾶς σῶσαι δύναται. ταύτῃ τὸν φόβον αὐτῶν κατέστελλε. Θεωροῦντες δὲ τὴν τοῦ Πέτρου παρρησίαν, καὶ Ἰωάννου, καὶ καταλαβόμενοι ὅτι ἄνθρωποι ἀγράμματοί εἰσι καὶ ἰδιῶται, ἐθαύμαζον, ἐπεγίνωσκόν τε αὐτοὺς ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν,

ὅσῳ

οἱ δύο ἀγράμματοι κατεῤῥητόρευσαν, καὶ αὐτοῦ καὶ τῶν ἀρχιερέων. οὐ γὰρ αὐτοὶ ἐφθέγγοντο, ἀλλ' ἡ τοῦ Πνεύματος χάρις. Τὸν δὲ ἄνθρωπον ὁρῶντες σὺν αὐτοῖς ἑστῶτα τὸν τεθεραπευμένον, οὐδὲν εἶχον ἀντειπεῖν. Πολλὴ ἡ τοῦ ἀνθρώπου παῤῥησία. καὶ δῆλον ἀπὸ τοῦ ἐν αὐτῷ τῷ δικαστηρίῳ μὴ καταλιπεῖν αὐτούς. ὡς εἰ ἂν εἶπον, ὅτι οὐχ οὕτως ἔχει, ἐκεῖνος ἂν κατηγόρησε. Κελεύσαντες δὲ αὐτοὺς ἔξω τοῦ συνεδρίου ἀπελθεῖν, συνέβαλλον πρὸς ἀλλήλους λέγοντες· Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; ὁρᾷς ἐν ἀπορίᾳ ὄντας, καὶ πάλιν τὸν φόβον τὸν ἀνθρώπινον πάντα ἐργαζόμενον. ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἀνατρέψαι τὸ γινόμενον οὐκ ἴσχυσαν οὐδὲ συσκιάσαι, ἀλλὰ κωλυόντων αὐτῶν μᾶλλον ἐπεδίδου τὰ τῆς πίστεως· οὕτω καὶ νῦν γίνεται. Τί ποιήσομεν; ὢ τῆς ἀνοίας! οἱ γευσαμένους τῶν ἀγώνων λοιπὸν καταπλήξειν ἐνόμιζον· οἱ διὰ τὸ ἀξίωμα μηδὲν ἰσχύσαντες μετὰ τῆς τοσαύτης παῤῥησίας προσεδόκησάν τι ποιήσειν. ὅσῳ ἐβούλοντο κωλύειν, τοσούτῳ μᾶλλον ηὔξετο τὰ πράγματα. Ὅτι μὲν γὰρ γνωστὸν σημεῖον γέγονε δι' αὐτῶν, πᾶσι τοῖς κατοικοῦσιν Ἱερουσαλὴμ φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνήσασθαι· ἀλλ' ἵνα μὴ ἐπὶ πλεῖον διανεμηθῇ εἰς τὸν λαὸν, ἀπειλῇ ἀπειλησόμεθα αὐτοῖς μηκέτι λαλεῖν ἐπὶ τῷ ὀνόματι τούτῳ μηδενὶ ἀνθρώπων. Καὶ καλέσαντες αὐτοὺς, παρήγγειλαν τὸ καθόλου μὴ φθέγγεσθαι, μηδὲ διδάσκειν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. Ὅρα καὶ τούτων τὴν ἀναισχυντίαν, καὶ τῶν ἀποστόλων τὴν φιλοσοφίαν. Ὁ δὲ Πέτρος, φησὶ, καὶ Ἰωάννης ἀποκριθέντες, εἶπον πρὸς αὐτούς· Εἰ δίκαιόν ἐστιν ἐνώπιον τοῦ Θεοῦ ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν. Οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτοὺς, μηδὲν εὑρίσκοντες τὸ πῶς κολάσωνται αὐτοὺς διὰ τὸν λαόν. Ἐπεστόμισαν αὐτοὺς τὰ σημεῖα, καὶ λοιπὸν οὐδὲ ἠνείχοντο τελέσαι αὐτοὺς τὸν λόγον· ἀλλὰ μεταξὺ λέγοντας διέκοψαν σφόδρα ὑβριστικῶς. Ὅτι πάντες ἐδόξαζον τὸν Θεὸν ἐπὶ τῷ γεγονότι. ἐτῶν γὰρ ἦν πλειόνων ὁ ἄνθρωπος τεσσαράκοντα, ἐφ' ὃν ἐγεγόνει τὸ σημεῖον τοῦτο τῆς ἰάσεως. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τὸ μὲν οὖν πρότερον, διὰ δόξαν ἀνθρωπίνην πάντα ἐποίουν· νυνὶ δὲ καὶ ἕτερον προσίεται, τὸ μὴ δόξαι μιαιφόνοι εἶναι· ὃ μετὰ ταῦτα ἔλεγον· Θέλετε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. ὢ τῆς ἀνοίας! πεισθέντες ὅτι ἀνέστη, καὶ τοῦτο τεκμήριον λαβόντες ὅτι ἐστὶ Θεὸς, τὸν ὑπὸ τοῦ θανάτου μὴ κατασχεθέντα ὑπὸ οἰκείων προσεδόκησαν μηχανημάτων συσκιάζεσθαι. Τί ταύτης τῆς ἀνοίας ἴσον; καὶ μὴ θαυμάσῃς, ὅτι πάλιν ἀνήνυτα ἐπιχειροῦσι. τοιοῦτον γὰρ ἡ πονηρία· οὐδὲν ὁρᾷ, ἀλλὰ πανταχοῦ θορυβεῖται. ἐπηρεαζόμενοι γὰρ, ὡς ἠπατημένοι οὕτω διάκεινται· ὅπερ ἐστὶν ἐπὶ τῶν περιληφθέντων, ἐπὶ τῶν ἐμπαιχθέντων ἐστὶν ἰδεῖν. καὶ μὴν ἄνω καὶ κάτω διὰ τοῦτο ἔλεγον, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρε, καὶ ὅτι ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ οὗτος παρέστηκεν ὑγιὴς, δεικνύντες ὅτι ἀνέστη ὁ Ἰησοῦς. ἄλλως δὲ καὶ αὐτοὶ ἀνάστασιν ἐνόμιζον, ψυχρὰν μὲν καὶ μειρακιώδη, ἐνόμιζον δὲ ὅμως· νυνὶ δὲ ἀπιστοῦσι καὶ θορυβοῦνται, τί ποιεῖν αὐτοῖς βουλευόμενοι. οὐ γὰρ μόνον οὐκ ἦν ἱκανὸν πεῖσαι μηδὲν αὐτοῖς ποιῆσαι, τὸ οὕτω μετὰ παῤῥησίας διαλέγεσθαι; διατί ἀπιστεῖς, εἰπέ μοι, Ἰουδαῖε; τοῖς γὰρ γινομένοις σημείοις προσέχειν ἔδει καὶ τοῖς λόγοις, οὐ τῇ τῶν πολλῶν πονηρίᾳ. οὐ παραδιδόασιν αὐτοὺς Ῥωμαίοις. ἤδη γὰρ ἦσαν διαβεβλημένοι πρὸς αὐτοὺς ἀπὸ τῶν περὶ τὸν Χριστὸν, ὥστε μᾶλλον ἑαυτοὺς ἐσκανδάλιζον, ὑποτεμνόμενοι τὴν αὐτῶν εὐδοξίαν. Ἐπὶ δὲ τοῦ Χριστοῦ οὐχ οὕτως· ἀλλ' ἐν μέσαις νυξὶ λαβόντες αὐτὸν εὐθέως ἀπήγαγον, καὶ οὐκ ἀνεβάλλοντο δεδοικότες σφόδρα τὸ πλῆθος. Περὶ δὲ τούτων οὔτε ἐθάῤῥουν, οὔτε ἀγαγεῖν αὐτοὺς πρὸς Πιλάτον, αἰσχυνόμενοι καὶ ἐρυθριῶντες τὰ πρότερα, μὴ καὶ ὑπὲρ ἐκείνων ἐλεγχθῶσιν. Ἐγένετο δὲ ἐπὶ τὴν αὔριον συναχθῆναι αὐτῶν τοὺς ἄρχοντας, καὶ πρεσβυτέρους καὶ γραμματεῖς εἰς Ἱερουσαλήμ. Πάλιν συνέδριον ἐν Ἱεροσολύμοις, καὶ ἐκεῖ τὰ αἵματα ἐκχεῖται, οὐδὲ τὴν πόλιν ᾐδέσθησαν. Ἄννας, φησὶ, καὶ Καϊάφας. τούτων οὐδὲ τῶν δούλων ἐρωτώντων ἤνεγκεν ὁ Πέτρος, ἐπὶ τούτων ἠρνήσατο ἑτέρων καταχθέντων. νυνὶ δὲ εἰς μέσους αὐτοὺς παρελθὼν, ὅρα πῶς φθέγγεται· Εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς; οἱ δέ· Ἐν ποίῳ ὀνόματι ἐποιήσατε, λέγουσι, τοῦτο; τὸ ποίῳ διατί μὴ λέγεις; ἀλλὰ συσκιάζεις; Ἐν ποίῳ ὀνόματι ἐποιήσατε τοῦτο ὑμεῖς; καὶ μὴν ἔλεγεν, ὅτι οὐχ ἡμεῖς ἐποιήσαμεν. ὅρα σύνεσιν. οὐκ εἶπεν εὐθέως, ὅτι ἐν τῷ ὀνόματι Ἰησοῦ ἐποιήσαμεν· ἀλλὰ τί; Ἐν τῷ ὀνόματι αὐτοῦ οὗτος παρέστηκεν ἐνώπιον ὑμῶν ὑγιής. καὶ οὐ λέγει, ἐγένετο ὑφ' ἡμῶν ὑγιής. καὶ πάλιν, Εἰ ἡμεῖς ἀνακρινόμεθα ἐπὶ εὐεργεσίᾳ ἀνθρώπου ἀσθενοῦς. πλήττει αὐτοὺς ὡς ἀεὶ τοιαῦτα ἐγκαλοῦντας, καὶ εὐεργεσίας ἀνθρώπων μεμφομένους· καὶ ἀναμιμνήσκει τῶν προτέρων, ὅτι αὐτοὶ ἐπὶ φόνους τρέχουσι· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπὶ εὐεργεσίαις ἐγκαλοῦσιν. ὁρᾷς πῶς ἔχει τὸ βάρος καὶ τὰ ῥήματα; ἐν τούτοις γὰρ ἐγυμνάζοντο, καὶ λοιπὸν ἀκατάπληκτοι ἦσαν. ἐξ ὧν δεικνύουσιν αὐτοῖς, ὅτι αὐτοὶ μᾶλλον κηρύττουσιν ἄκοντες τὸν Χριστὸν, καὶ αὐτοὶ τὸ δόγμα

A Et quomodo, inquit, illiterati rhetoricati sunt contra illos & summos Sacerdotes? non ipsi loquebantur, sed per illos gratia spiritus. *Hominem autem videntes stare cum eis qui sanatus fuerat, nihil poterant contradicere.* Magna hominis libertas, & manifestum est vel ex eo quod & in ipso judicii loco illos non reliquerit, & ita si dixissent, non sic se habere, ille reprehendisset. *Jussis autem illis è concilio secedere, conferebant inter sese, dicentes: Quid faciemus hominibus istis?*
B Vides ut perplexi sint, & iterum humano timore omnia operantur? Itaque sicut & cum Christo, quod factum erat subvertere, & tegere non potuerunt: sed prohibentibus illis, eaque fidei magis crescebant: sic & nunc fit. *Quid faciemus?* ô insipientiam, quod illos propter gustata certamina perculsos fore existimarunt, imò si propter suam dignitatem quam ita liberè loquentes non curaverant, speraverunt facturos aliquid. Quantò igitur magis prohibere volebant, tantò
C ampliùs res crescebant. *Nam conspicuum signum editum esse per eos omnibus habitantibus Hierosolymis manifestum est, nec possumus inficiari, sed ne ampliùs divulgetur in populum, minaciter interminemur eis ne posthac loquantur sub hoc nomine ulli hominum. Et accersitis illis præceperunt, ne omnino loquerentur, neque docerent in nomine Jesu.* Vide & horum impudentiam, & Apostolorum sapientiam. *At Petrus & Joannes respondentes: An justum sit in conspectu Dei vos potius audire quàm Deum,*
D *judicate. Non enim possumus, quæ vidimus & audivimus, non loqui. At illi additis minis dimiserunt eos, non invenientes qua ratione punirent eos propter populum.* Miracula ora eorum concludebant, & posteà non tulerunt eos implere sermonem, sed interrumpentes impediebant magna cum contumelia. *Quia omnes glorificabant Deum super eo quod acciderat. Annorum enim erat ampliùs quadraginta homo in quo factum est signum istud sanationis.* Sed iterum videamus quæ dicta sint. *Quid*
E *faciemus hominibus istis?* Primùm propter gloriam humanam omnia faciebant, nunc etiam propter aliud simulant, ne videantur esse homicidæ, quod post hoc dicebant: *Vultis super nos adducere sanguinem hominis illius*: Prohibeamus illis non loqui in nomine hoc. Vides insipientiam? Persuasi quòd resurrexerat, inde sumpta conjectura quòd Deus sit: alii autem docere in nomine ejus quem neque mors potuerat detinere, prohibere conati sint. Quid huic insipientiæ par?

Infr. 5.28.

A Et ne mireris quod iterum attentant quæ non perficiunt. Tantum enim malum est injustitia, nihil videt, sed ubique tumultuatur, & in seipsam ruit. Quasi decepti ac ludificati ita consulunt, id quod facere solent, qui se irrisos suspicantur: hoc sursum ac deorsum tractant, quod dixissent, *Deus illum suscitavit, & in nomine Jesu hic sanus assistit*, ostendentes quod resurrexit Jesus. Et aliter: Etiam ipsi Resurrectionem putabant, frigidè quidem ac pueriliter, putabant tamen,
B nunc autem non credunt, & tumultuantur consulentes quid sibi faciendum. Hoc profectò solum nónne sufficiebat persuadere illis, ne quid faciant dum illi tam liberè loquuntur? Quare non credis, dic Judæe? Oportebat enim signa facta & sermonem attendere, non quod tam multi mali sunt. Et quare non tradunt illos Romanis? Jam malè audiebant apud eos propter eà quæ in Christum egerant: atque ita seipsos magis incommodarant imminuentes suam æstimationem, &
C sanctimoniæ nomen: at non item Christo, quem media nocte raptum statim abduxerunt moræ impatientes, ac multùm timentes propter multitudinem. De his autem nullam fiduciam habebant, neque illos ducunt ad Pilatum, timentes ac suspicantes propter superiora, ne etiam de illis redarguerentur. *Factum est autem ut congregarentur ipsorum Principes in Hierusalem.* Iterum Concilium in Hierosolymis, & iterum illic iniqua perpetrantur, & neque civitatis habetur reverentia.
D Non vidisti illorum malitiam, & quomodo attentantes quæ perficere nequeunt, non absterrentur. Vide posteà, oro, & Petri sapientiam. & quid in medium progressus illis loquitur: *Si nos judicamur de eo quod benefecimus homini infirmo, in quo servatus est, In quali nomine fecistis hoc?* In quali, quare non dicis, sed adumbras? *In quali nomine fecistis vos hoc?* Etiam dicebat, non nos fecimus. Vidisti sapientiam, non dixit statim: In nomine Jesu fecimus. Sed quid? *In nomine ejus hic assistit coram vobis sanus.*
E Et iterum: *Si nos judicamur quòd benefecimus homini infirmo*, perstringit illos, quasi semper ejuscemodi in crimen vocantes, & reprehendentes quòd benefiat hominibus, & priora in memoriam reducit quòd ipsi ad cædes currant: & non hoc solùm, sed etiam ob beneficia arguunt. Vides quod pondus habeant verba? In his enim exercebantur, & posteà imperterriti fuerunt ex iis, ex quibus ostendunt illis, quòd ipsi magis, tametsi inviti prædicant Christum, & dijudicando & examinando dogma extollunt.

extullunt. *Quem vos crucifixistis*, O magnam libertatem! *Quem Deus suscitavit ex mortuis*. Id iterum majorem sermonis libertatem præ se fert. Igitur quod dicit, hoc est. Ne putetis quod ignominiosa occultemus, quæ tantùm abest ne celemus, ut etiam liberè prædicemus. Hæc quasi opprobrans illis dicebat, & non simpliciter, sed etiam moratur in sermone. *Hic est lapis rejectus* dicens, *à vobis*, deinde ostendens hoc in magnam utilitatem cessisse, addit: *Qui factus est in caput anguli.* Hoc est, qui natura nubilis & pretiosus ac probatus, hic rejectus est. Adeò propter signum magna libertate dicendi urebatur. Tu autem observa quomodo quando oportet docere, multas adducunt Prophetias: quando autem liberè loquendum, solum affirmant: *Neque enim nomen est aliud sub cœlo datum hominibus, in quo oporteat salvos fieri.* Quia omnibus hominibus & non illis solis datum est nomen, proinde & illos adducit testes. Quoniam enim dicebant: *In quo nomine fecistis?* De Christo inquit, *non est aliud nomen.* Quomodo igitur interrogatis? Sic ubique hoc manifestum est. *Neque enim nomen est aliud sub cœlo*, inquit, *in quo oporteat salvos fieri.* Hæc sunt animæ verba quæ de hac vita desperavit, id quod magna libertas ostendit. Hic manifestat quod quando etiam humilia loquebantur de Christo, non hoc metu, sed attemperatione morum fiebat. Quoniam autem nunc tempus erat, sic loquitur sublimia, quod illo ipso etiam auditores omnes perterret. Ecce & aliud signum non minus priore. *Agnoscebantque illos, quod cum Jesu fuissent.* Non temerè hanc particulam posuit Evangelista, sed ut manifestet etiam ubi fuissent, nempe in passione. Illi enim soli tunc aderant, quando etiam viderunt illos humiles, exilesque. Maximè illos mirari faciebat repentina mutatio: etenim illos viderant Annas & Caiphas quod assisterent tunc hi, nunc autem perterruit illos valdè libertas: non enim verbis solis monstrabant non curare se de quibus judicentur, & quod extrema intententur pericula, sed etiam habitu & voce, & aspectu, & in summa omnibus libertatem apud populum demonstrabant per ea quæ loquebantur. Admirabantur autem fortassis quod homines & illiterati & idiotæ essent: quoniam reperire licet illiteratum, qui tamen non sit idiota, & contra idiotam qui non planè illiteratus: ostendit hîc quod duo illa convenerint. *Compertoque*, inquit. Unde? ex his quæ dicebant. Non longos extendit sermones, sed & ab ipsa annunciatione & habitu libertatem manifestat, ita ut & extrema authoritate mandassent eis, nisi præsens fuisset homo: *Agnoscebantque illos, quod cum Jesu fuissent*; id quod fecit illos credere quod ab illo didicissent hæc, & sicut discipuli ejus hæc fecissent. Non minorem autem vocem quàm illorum erat, emittebat & miraculum ac signum: quod sanè illorum ora maximè obturabat. *Si justum est*, inquit, *coram Deo, vos magis audiri quàm Deum, judicate.* Quando timor magis succisus est, nam & interminari nihil aliud erat quam dimitti, tunc mansuetius loquuntur, tam longè Sacerdotes à temeritate erant, quia notum signum erat. *Non possumus negare*; atque adeò negassent, nisi ita fuisset, nisi plurimorum fuissent testimonia, omnibusq; fuisset manifestum, sed talis bestia est impudentia ac temeritas. *Minaciter minabimur.* Quid dicitis, minando expectatis cessaturum prædicationem? Sic ubique principia ardua ac difficilia: magistrum interemistis, & non sustulistis prædicationem, etiam nunc minaturi estis, expectatis, ut destituatis nos, vincula non persuaserunt humiliter loqui, & vos persuadebitis? multum scilicet, maximè his qui vos, licèt minemini, nihili faciunt. *An justum est coram Deo, vos magis audire quàm Deum?* Hic Deum inquit pro Christo. Vidisti quomodo nunc eveniat quod dixit illis:
Matt. 10. 16 *Ecce enim ego mitto vos tanquam oves in medium luporum, ne timueritis illos.* Deinde iterum stabiliunt Resurrectionem per ea quæ apponunt, dicentes: *Nos non possumus non loqui quæ vidimus & audivimus.* Unde nos fide digni testes sumus, vos autem interminando iterum frustra minamini. Oportebat sanè illos mutari, propterea quod populus glorificabat Deum: illi autem mortem minantur, sic contra Deum pugnabant. *At illi additis minis dimiserunt eos.* Hinc magis clari & illustres facti sunt, imò præter mandatum jam testificabantur. Quid est quod dicunt: *Nos non possumus non loqui ea quæ vidimus & audivimus?* Si falsa sunt, inquit, quæ dicimus, reprehende: sin vera, cur prohibes? Tanta res est sapientiæ studium: illi in angustia, hi in gaudio: illi multa implentur confusione, hi cum summa libertate omnia faciunt: illi timent, hi confundunt. Qui enim erant, dic oro, qui timerentur, dicentes: *ne divulgetur amplius in vulgus*: vel dicentes, *non possumus quæ vidimus & audivimus non loqui?* Erant hi in majore voluptate, libertate, ac lætitia quàm omnes: illi verò in tristitia, confusione ac metu.

A ἐπαίρουσιν [οἱ] ἀνακρίνοντες καὶ ἐξετάζοντες. ὃν ὑμεῖς ἐσταυρώσατε βαβαὶ τῆς παῤῥησίας! ὃν ὁ Θεὸς ἤγειρεν ἐκ νεκρῶν. τοῦτο πάλιν μείζονος ἐλευθεροστομίας. ὃ τοίνυν λέγει τοῦτό ἐστι· μὴ νομίσητε ὅτι τὰ ἐπονείδιστα κρυπτόμεθα· τοσοῦτον ἀπέχομεν συσκιάσαι, ὅτι καὶ παῤῥησιαζόμεθα. ταῦτα μονονουχὶ ὀνειδίζων αὐτοῖς λέγει· καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ ἐνδιατρίβει τῷ λόγῳ. οὗτός ἐστιν ὁ λίθος λέγων ὁ ἐξουθενηθεὶς ὑφ' ὑμῶν. εἶτα δεικνὺς ὅτι καὶ εἰς σφόδρα δόκιμον τοῦτο εἰργάσαντο, B ἐπάγει· ὁ γενόμενος εἰς κεφαλὴν γωνίας· τουτέστιν, ὁ φύσει τίμιος καὶ δόκιμος, οὗτος ἐξουθενήθη. οὕτως ἀπὸ τοῦ σημείου πολλὴν εἶχον τὴν παῤῥησίαν. σὺ δέ μοι σκόπει, πῶς ὅτε μὲν διδάξαι χρὴ, προφητείας παράγουσι πολλάς· ὅτε δὲ παῤῥησιάσασθαι, μόνον ἀποφαίνονται. οὔτε γάρ, φησιν, ὄνομά ἐστιν ἕτερον ὑπὸ τὸν οὐρανὸν τὸ δεδομένον ἐν ἀνθρώποις, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. ὅτι πᾶσιν ἀνθρώποις καὶ οὐκ αὐτοῖς μόνοις ἐδόθη τὸ ὄνομα. πρὸς τοῦτο καὶ αὐτοὺς ἐπάγεται μάρτυρας. ἐπεὶ C γὰρ ἔλεγον, ἐν ποίῳ ὀνόματι ἐποιήσατε, εἰς τὸ τοῦ Χριστοῦ, φησιν. ἄλλο οὐκ ἔστιν ὄνομα. πῶς οὖν ἐρωτᾶτε; [οὕτω] πανταχοῦ τοῦτο δηλόν ἐστιν. οὔτε γὰρ ὄνομα ἕτερόν ἐστιν ὑπὸ τὸν οὐρανόν, φησιν, ἐν ᾧ δεῖ σωθῆναι ἡμᾶς. ταῦτα ψυχῆς κατεγνωκυίας τῆς ζωῆς τῆς παρούσης ἐστιν. ἡ πολλὴ παῤῥησία δείκνυσι. τοῦτο ἐνταῦθα δῆλον ποιεῖ, ὅτι καὶ ὅτε ταπεινὰ ἐφθέγγοντο περὶ τοῦ Χριστοῦ, οὐ δεδοικὼς, ἀλλὰ συγκαταβαίνων. ἐπεὶ δὲ νῦν καιρὸς ἦν, οὕτω φθέγγεται ὑψηλὰ, ὡς αὐτῷ τούτῳ καὶ τοὺς ἀκούοντας D ἅπαντας καταπλῆξαι. ἰδοὺ [καὶ] ἄλλο σημεῖον οὐκ ἔλαττον τοῦ προτέρου. ἐπεγίνωσκόν τε αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. οὐχ ἁπλῶς τοῦτο τέθεικε τὸ χωρίον ὁ Εὐαγγελιστής, ἀλλ' ἵνα δηλώσῃ καὶ ποῦ ἦσαν· ἐν τῷ πάθει φησίν. οὗτοι γὰρ μόνοι τότε συνῆσαν, ὅτε καὶ ἑώρων αὐτοὺς ταπεινοὺς, συνεσταλμένους. ὃ καὶ μάλιστα αὐτοὺς ἐξένιζεν, ἡ ἀθρόα μεταβολή. καὶ γὰρ ἐκεῖ ἦσαν οἱ περὶ Ἄνναν καὶ Καϊάφαν, καὶ παρειστήκεισαν αὐτοῖς καὶ τότε· νῦν δὲ ἐξέπληττεν αὐτοὺς ἡ σφόδρα παῤῥησία. οὐ γὰρ E τοῖς ῥήμασι μόνον ἐδείκνυον ἀφροντιστοῦντες περὶ τοῦ πῶς κρινόμενοι, καὶ ὑπὲρ τῶν ἐσχάτων ἐπηρτημένου τοῦ κινδύνου, ἀλλὰ καὶ τῷ σχήματι, καὶ τῇ φωνῇ, καὶ τῷ βλέμματι, καὶ πᾶσιν ἁπλῶς τὴν παῤῥησίαν ἐνέφαινον ἐπὶ τοῦ λαοῦ, ἐξ ὧν ἐφθέγγοντο. ἐθαύμαζον δὲ, ἴσως ὅτι ἄνθρωποι, καὶ ἀγράμματοί εἰσι, καὶ ἰδιῶται. ἐπειδὴ ἔνι ἀγράμματόν τινα εἶναι, μὴ μέντοι καὶ ἰδιώτην· ἢ ἰδιώτην μὲν, οὐκ ἀγράμματον δέ· δείκνυσιν ἐνταῦθα ὅτι τὰ δύο συνῆλθε. καταλαβόμενοι, φησι, πόθεν; ἀφ' ὧν ἔ- A λεγον. οὐ μακροὺς κατατείνει λόγους, ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς ἀπαγγελίας καὶ τοῦ σχήματος τὴν παῤῥησίαν δηλοῖ, ὥστε ἐπίσκηψαν ἂν αὐτοῖς, εἰ μὴ συνὼν αὐτοῖς ἦν ὁ ἄνθρωπος. ἐπεγίνωσκόν τε αὐτούς, φησιν, ὅτι σὺν τῷ Ἰησοῦ ἦσαν. ὅπερ αὐτοὺς ἐποίει πιστεῦσαι, ὅτι παρ' ἐκείνου ταῦτα ᾔδεισαν, καὶ ὡς ἐκείνου μαθηταὶ πάντα ἔπραττον. οὐχ ἧττον δὲ τῆς τούτων φωνῆς ἠφίει φωνὴν τὸ θαῦμα καὶ τὸ σημεῖον· ὃ δὴ καὶ μάλιστα ἐνέφραξεν αὐτῶν τὰ στόματα. εἰ δίκαιόν ἐστι, φησιν, ἐνώπιον τοῦ Θεοῦ B ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε. ὅτε ὁ φόβος ὑπετμήθη μᾶλλον· τὸ γὰρ παραγγεῖλαι οὐδὲν [ἦν] ἕτερον ἢ ἀπολυθῆναι· τότε καὶ ἐπιεικέστερον φθέγγονται. οὕτω μακρὰν θράσους ἦσαν. ὅτι γνωστὸν σημεῖον γέγονεν, οὐ δυνάμεθα ἀρνήσασθαι. ὥστε ἠρνήσαντο ἂν, εἰ μὴ οὕτως ἦν, εἰ μὴ ἡ τῶν πολλῶν μαρτυρία ἦν, καὶ μὴ πᾶσι κατάδηλον ἦν. ἀλλὰ τοιοῦτον ἡ κακία, θρασὺ καὶ ἰταμόν. ἀπειλῇ ἀπειλησόμεθα. τί λέγεις; ἀπειλῇ προσδοκᾶτε στήσειν τὸ κήρυγμα; οὕτω πανταC χοῦ [αἱ] ἀρχαὶ χαλεπαί τε καὶ δύσκολοι. τὸν διδάσκαλον ἀνείλετε, καὶ οὐκ ἐστήσατε· καὶ νῦν ἂν ἀπειλήσητε, προσδοκᾶτε ἀποστήσειν ἡμᾶς; ὁ δεσμὸς οὐκ ἔπεισεν ὑφειμένως διαλεχθῆναι, καὶ ὑμεῖς πείσετε; πάνυ γε. τοὺς οὐδὲν ὑμᾶς ἡγουμένους καὶ ἀπειλοῦντας. εἰ δίκαιόν ἐστι, φησιν, ἐνώπιον τοῦ Θεοῦ, ὑμῶν μᾶλλον ἀκούειν ἢ τοῦ Θεοῦ; ἐνταῦθα τοῦ Θεοῦ φασιν ἀντὶ τοῦ Χριστοῦ. εἶδες πῶς νῦν ἐξέβη ὃ εἶπεν αὐτοῖς· ἰδοὺ ἐγὼ « ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων· μὴ φοβηθῆτε αὐ- « D τούς; εἶτα πάλιν τὴν ἀνάστασιν βεβαιοῦσι δι' ὧν ἐπάγουσι λέγοντες· ἡμεῖς οὐ δυνάμεθα μὴ λαλεῖν ἃ εἴδομεν καὶ ἠκούσαμεν. ὥστε ἡμεῖς μὲν ἀξιόπιστοί ἐσμεν μάρτυρες· ὑμεῖς δὲ προσαπειλοῦντες, εἰκῇ πάλιν ἀπειλεῖτε. δέον οὖν μεταβαλέσθαι ἐφ' οἷς ὁ λαὸς ἐδόξαζε τὸν Θεόν, οἱ δὲ καὶ ἀνελεῖν ἀπειλοῦσιν· οὕτω θεομάχοι ἦσαν. οἱ δὲ προσαπειλησάμενοι ἀπέλυσαν αὐτούς. ἐντεῦθεν περιφανέστεροι καὶ λαμπρότεροι ἐγένοντο· μᾶλλον δὲ ἤδη ἐμαρτύρησαν οὕτω πρὸς πάντα παρατα- E ξάμενοι. τί ἐστιν, ἡμεῖς οὐ δυνάμεθα, ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; εἰ ψευδῆ, φησιν, ἃ λέγομεν, ἐπιλαβοῦ· εἰ δὲ ἀληθῆ, τί κωλύεις; τοιοῦτον ἡ φιλοσοφία. ἐκεῖνοι ἐν ἀπορίᾳ, οὗτοι ἐν εὐφροσύνῃ· ἐκεῖνοι πολλῆς γέμοντες αἰσχύνης, οὗτοι μετὰ παῤῥησίας πάντα πράττοντες· ἐκεῖνοι ἐντεῦθεν δεδοικέναι, οὗτοι ἐν τῷ θαῤῥεῖν. τίνες γὰρ ἦσαν, εἰπέ μοι, οἱ φοβούμενοι; οἱ λέγοντες ἵνα μὴ ἐπὶ πλέον διανεμηθῇ εἰς τὸν λαόν, ἢ οἱ λέγοντες οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν; καὶ ἐν ἡδονῇ, καὶ ἐν παῤῥησίᾳ, καὶ ἐν εὐφροσύνῃ μείζονι πάντων οὗτοι· ἐκεῖνοι ἐν ἀθυμίᾳ, ἐν αἰσχύνῃ, ἐν φόβῳ. τὸ

τὸν γὰρ λαὸν ἐδεδοίκεισαν. ἃ ἐβούλοντο ἐφθέγγοντο οὗτοι, ἐκεῖνοι ἃ ἐβούλοντο οὐκ ἐποίησαν. τίνες ἦσαν ἐν δεσμοῖς καὶ ἐν κινδύνοις; οὐχὶ οὗτοι μάλιστα; κτησώμεθα τοίνυν τὴν ἀρετήν. μὴ μέχρι τέρψεως τὰ λεγόμενα ἔστω, μηδὲ μέχρι παραμυθίας ἴσως. οὐκ ἔστι τὸ θέατρον τοῦτο, ἀγαπητὲ, κιθαρῳδῶν οὐδὲ τραγῳδῶν· ἔνθα μέχρι τῆς τέρψεως ὁ καρπὸς, καὶ τῆς ἡμέρας παρερχομένης παρῆλθεν ἡ τέρψις. καὶ εἴθε ἦν τέρψις μόνη, καὶ μὴ καὶ βλάβη μετὰ τῆς τέρψεως· ἀλλ' ὅμως ἄπεισιν ἐκεῖθεν οἴκαδε ἕκαστος, καθάπερ ἀπό τινος λύμης ἀναμαξάμενος πολλὰ τῶν αὐτόθι. καὶ ὁ μὲν νέος ἀπολαβὼν ἵνα τῶν σατανικῶν ᾀσμάτων μέλη, ὅσα ἴσχυσε τῇ μνήμῃ καταβιβάζει, συνεχῶς ἐπὶ τῆς οἰκίας ᾄδει· ὁ δὲ πρεσβύτης, ἅτε δὴ σεμνότερος ὢν, τοῦτο μὲν οὐ ποιεῖ, τῶν δὲ ἐκεῖσε λεγομένων ῥημάτων μέμνηται πάντων. ἐντεῦθεν οὐδὲν ἔχοντες ἄπιτε· καὶ πῶς οὐκ αἰσχύνης ἄξιον; νόμον ἐθήκαμεν· μᾶλλον δὲ οὐχ ἡμεῖς ἐθήκαμεν· μὴ γένοιτο· μὴ γὰρ καλέσητε, φησὶ, διδάσκαλον ἐπὶ τῆς γῆς· νόμον ἔθηκεν ὁ Χριστὸς, ὥστε μηδένα ὀμνύναι. τί γέγονεν, εἰπέ μοι, περὶ τούτου τοῦ νόμου; οὐ γὰρ παύσομαι περὶ τούτου διαλεγόμενος, μή πως πάλιν ἐλθὼν [κατὰ τὸν ἀπόστολον] οὐ φείσωμαι. ἆρα ἐμελετήσατε τὸ πρᾶγμα; ἆρα ἐφροντίσατε; ἆρα γέγονέ τις ὑμῶν σπουδὴ, ἢ πάλιν τῶν αὐτῶν ἁψόμεθα λόγων; μᾶλλον δὲ εἴτε γέγονεν, εἴτε μὴ, τῶν αὐτῶν ἁψόμεθα λόγων, ἵνα φροντίσητε. εἰ δὲ ἐμελετήσατε, ἵνα πάλιν βεβαιότερον αὐτὸ ἐργάσησθε, καὶ τοὺς ἄλλους παρακαλέσητε. πόθεν οὖν ἡμῖν ἀρκτέον τοῦ λόγου; βούλεσθε ἀπὸ τῆς παλαιᾶς; ἀλλὰ τοῦτο ἡμετέρα αἰσχύνη, ὅτι τὰ ἐν τῇ παλαιᾷ ἃ ὑπερβαίνειν ἔδει, οὐδὲ οὕτω φυλάττομεν. ἡμᾶς γὰρ οὐ περὶ τούτων ἀκούειν ἔδει· τῆς γὰρ ἰουδαϊκῆς εὐτελείας ταῦτα τὰ παραγγέλματα· ἀλλ' ἐκεῖνα τὰ τέλεια· ῥῖψον τὰ χρήματα· στῆθι γενναίως· τὴν ψυχὴν ἐπιδίδου ὑπὲρ τοῦ κηρύγματος· καταγέλασον τῶν ἐπὶ τῆς γῆς ἁπάντων· μηδὲν ἔστω σοι κοινὸν πρὸς τὸν παρόντα βίον· ἂν ἀδικήσῃ τις, εὐεργέτησον· ἂν πλεονεκτήσῃ, εὐλόγησον· ἂν βλασφημήσῃ, τίμησον· πάντων ἀνώτερος ἔσο. ταῦτα καὶ τὰ τοιαῦτα ἀκούειν ἔδει. νυνὶ δὲ ὑπὲρ ὅρκων διαλεγόμεθα· καὶ ταυτὸν γίνεται, ὥσπερ ἂν εἴ τις τὸν ὀφείλοντα φιλοσοφεῖν, ἀφελκύσας τῶν διδασκάλων ἐκείνων, συλλαβὰς οὖν καὶ τὰ κατὰ στοιχεῖον ἀναγινώσκειν ποιοῖ. ἐννόησόν μοι ἴση ἐστὶν αἰσχύνη, ἄνθρωπόν τινα πήραν βαθεῖαν ἔχοντα, καὶ ῥόπαλον ἐπιφερόμενον, καὶ ἐξωμίδα ἔχοντα, εἰς διδασκάλους μετὰ τῶν παίδων ἀπιέναι, καὶ τὰ αὐτὰ ἐκείνοις μανθάνειν. ἆρα οὐ πολὺς ὁ γέλως; ἀλλὰ πλείων ἐστὶν ὁ ἡμέτερος. οὐ γὰρ ὅσον φιλοσοφίας τὸ μέσον καὶ γραμμάτων, τοσοῦτον τῆς ἰουδαϊκῆς πολιτείας καὶ τῆς ἡμετέρας τὸ διάφορον· ἀλλ' ὅσον ἀγγέλων καὶ ἀνθρώπων. εἰ γάρ, εἰπέ μοι, ἄγγελον ἐκ τοῦ οὐρανοῦ καταγαγὼν, κελεύσειεν ἐνταῦθα στῆναι καὶ ἀκροᾶσθαι τῶν ἡμετέρων λόγων ὡς ὀφείλοντα ἀπὸ τούτων ῥυθμίζεσθαι· ἆρα οὐκ αἰσχύνη καὶ γέλως ἦν; εἰ δὲ τὸ περὶ τούτων ἔτι παιδεύεσθαι γέλως, τὸ μηδὲ τούτοις προσέχειν, εἰπέ μοι, πόση κατάγνωσις, πόση αἰσχύνη; [καὶ] πῶς γὰρ οὐκ αἰσχύνη, ὅτι ἔτι Χριστιανοὺς περὶ τοῦ μὴ δεῖν ὀμνύναι παιδεύεσθαι; πλὴν [ἀλλ'] ἀνασχώμεθα, ἵνα μὴ μᾶλλον γελώμεθα. φέρε οὖν ἀπὸ τῆς παλαιᾶς ὑμῖν διαλεχθῶμεν τήμερον. τί δὲ αὕτη, φησίν; ὅρκῳ μὴ ἐθίσῃς τὸ στόμα σου, μηδὲ τῷ ὀνόματι τοῦ ἁγίου συνεθισθῇς. διατί; ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐ καθαρισθήσεται· οὕτως οὐδὲ ὁ ὀμνύων. ὅρα τὴν σύνεσιν τοῦ σοφοῦ τούτου. οὐκ εἶπεν, ὅρκῳ μὴ ἐθίσῃς τὴν διάνοιαν σου, ἀλλὰ τὸ στόμα σου· ὅτι τοῦ στόματος ὂν τὸ πᾶν οἶδε, καὶ ὅτι εὐκόλως κατορθοῦται. συνήθεια γάρ ἐστι λοιπὸν ἀπροαιρέτως γινομένη. ὥσπερ εἰσὶ πολλοὶ οἱ ἐν βαλανείοις εἰσιόντες, ἅμα τῷ τὰς θύρας ὑπερβῆναι, σφραγίζονται. τοῦτο οἶδεν ἡ χεὶρ καὶ μηδενὸς κελεύοντος ἀπὸ τῆς συνηθείας ποιεῖν. πάλιν λύχνου ἀφθέντος, πολλάκις τῆς διανοίας ἕτερόν τι σκοπουμένης, ἡ χεὶρ τὴν σφραγῖδα ποιεῖ. οὕτω δὴ καὶ τὸ στόμα οὐ μετὰ τῆς ψυχῆς φθέγγεται, ἀλλὰ ἀπὸ τῆς συνηθείας, καὶ ἐν τῇ γλώττῃ τὸ πᾶν ἐστι. καὶ τῷ ὀνόματι, φησὶ, τοῦ ἁγίου μὴ συνεθισθῇς. εἶτα προστίθησιν ἐπιτίμιον εἰπών, τοῦ ἁγίου μὴ συνεθισθῇς· ὥσπερ γὰρ οἰκέτης ἐξεταζόμενος ἐνδελεχῶς ἀπὸ μώλωπος οὐ καθαρισθήσεται, οὕτως οὐδὲ ὁ ὀμνύων. οὐχὶ τὴν ἐπιορκίαν ἐνταῦθα, ἀλλὰ τὸν ὅρκον ἐκκόπτειν παραινῶν, καὶ αὐτῷ τιθεὶς τὴν τιμωρίαν. ἄρα τὸ ὀμνύειν ἁμαρτία. τοιαύτη ὄντως ἐστὶν ἡ ψυχή· τοσούτων γέμει τραυμάτων· τοσούτων μωλώπων. ἀλλ' οὐχ ὁρᾷς; τοῦτο γὰρ τὸ δεινόν· καίτοιγε δύνασαι ἐὰν θέλῃς ὁρᾶν. ἔδωκε γάρ σοι ὀφθαλμοὺς ὁ Θεός. τοιούτοις ὀφθαλμοῖς ἑώρα ὁ προφήτης, λέγων· προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. κατεφρονήσαμεν τοῦ Θεοῦ· ἐμισήσαμεν τὸ ὄνομα τὸ καλόν· κατεπατήσαμεν τὸν Χριστόν· ἐλύσαμεν τὴν αἰδῶ· οὐδεὶς μετ' εὐλαβείας μέμνηται τοῦ ὀνόματος τοῦ Θεοῦ. καὶ σὺ μὲν ἂν φιλῇς τινα, καὶ πρὸς τὸ ὄνομα διανίστασαι· τὸν δὲ Θεὸν οὕτω συνεχῶς καλεῖς ὡς οὐδέν. κάλεσον αὐτὸν ἐπὶ εὐεργεσίᾳ ἐχθροῦ· κάλεσον αὐτὸν ἐπὶ σωτηρίᾳ τῆς σῆς ψυχῆς· τότε παρέσται, τότε εὐφραίνεις αὐτόν. νῦν δὲ παροξύνεις. κάλεσον αὐτὸν ὡς ἐκάλεσε Στέφανος. τί λέ-

A Populum enim metuerunt. Quæ volebant loquebantur hi, illi quæ volebant non faciebant. Qui erant in vinculis ac periculis, nónne hi maxime? Possideamus igitur virtutem, ne absque voluptate quæ dicuntur sint, & consolationem nullam afferant. Non est hoc theatrum, dilecte, citharœdorum vel tragœdorum, ubi solius voluptatis fructus est, & cum prætereunte die, præterit etiam voluptas, & utinam esset voluptas sola, & non noceret cum voluptate: attamen inde domum vadunt
B singuli, quasi à vico quodam in quo multum mercati referant: & adolescens quidem recipit melodias carminis diabolici, & quantum potuit memoria complecti, continuò domi cantat: senior autem ut pote honestior, hoc quidem non facit, omnia autem quæ illic dicta sunt verba memorat. Hinc verò nihil habentes abitis, & quomodo non dignum confusione? Legem posuimus, imò non nos posuimus; Absit: *Non enim vocabitis*, inquit, *magistrum super terram*. Legem Matt. 23, 8.
C posuit Christus, *ne quis juret*. Quid factum est, oro, cum Ib. 5, 34. hac lege? Non enim cessabo de illa disserere, *ne fortè iterum* 2. Cor. 13, 2. *veniens*, sicut Apostolus, ait, *non parcam*. Numquid soliciti fuistis in opere? Numquid adhibitum est studium à vobis? num iterum iidem sermones sunt attingendi? imò sive aliquid feceritis sive non, eosdem repetamus, ut in vobis fortiores sint, & alios cohortemini. Unde igitur nos incipiemus, vultis à vetere lege, sed id in nostram confusionem,
D quod ea quæ in veteri dicuntur, quæ excellere oportebat, nondum custodimus. Nos enim conveniebat non de his audire: Judaicæ enim pravitatis fuerint hæc præcepta: sed illa perfecta: abjicere opes, sta viriliter, animam pro prædicatione impendito, ride terrena omnia, nihil sit tibi cum præsente vita commune, benefac si quis te injustè afflixerit, sive defraudatus fueris benedic, si blasphemarit, honora, omnibus esto sublimior: hæc & talia audire congruebat: nunc autem de juramento disserimus, & idem fit, quemad-
E modum si quis eum qui jam debeat philosophari, ab illis doctoribus suis abstrahat, & syllabas ac elementa legere faciat. Cogita, oro, quanta sit confusio hominem quendam cui est gravis pera, & baculus ac pallium, ad Grammaticos cum puellis proficisci, & eadem quæ illi discere. Nónne magnus oritur risus? sed major ex vobis: non enim tantum discrimen inter Philosophiam & elementa, quantum inter Judaica & nostra, sed quantum inter Angelos & homines.
A Si quis, dic oro, Angelum è cœlo devocet, ac dicat illi, ut hic stet ac audiat nostros sermones, quasi inde erudiendus sit: nónne ridiculum foret, & confusione dignum? Si autem de his erudiri adhuc ridiculum, illis non attendere, dic oro, quanta condemnatio, quanta confusio? Et quomodo non confusione dignum, Christianum erudiri debere, non jurandum esse? Veruntamen reprimamus affectus, ne ma-
B gis rideamur. Age igitur de veteri lege disseramus hodie. Quid autem ista inquit: *Juramento ne assuescas os tuum neque cum nomine sancti coassuescas*. Quare? *nam quemadmodum famulus si continuò flagelletur, à cicatrice non purificabitur; sic neque qui jurat*. Vide sapientiam istius sapientis. Non Eccl. 23, 9. dixit: *Juramento ne assuescas* mentem tuam, sed *os tuum*. Quia scivit totum oris esse, & quòd facile corrigitur. Consuetudo enim est, quæ postea etiam absque electione fit,
C ut sunt multi, qui balnea ingressi simul ut fores transierint, signantur: hoc solet manus etiam propter consuetudinem, etiam nullo jubente. Iterum accensa lucerna sæpe mente aliud quiddam considerante manus signum facit, ita sanè & os non cum anima loquitur, sed ex consuetudine, & in lingua totum situm est. *Neque cum nomine sancti*, inquit, *coassuescas*. Deinde postquam hoc dixit; apponit: *Nam sicut servus qui flagellatur continuò à cicatrice non pur-*
D *gabitur, ita neque qui jurat*. Non perjurium hoc loco, sed juramento amovendum admonet, apposita illi pœna. Igitur jurare peccatum est, talis reverà est anima, talibus plena est vulneribus, talibusque cicatricibus. An non vides? Hoc enim grave est, quamvis certè poteris, si voles videre. Dedit enim tibi Deus oculos. Talibus oculis videbat Propheta, dicens: *Fœtuerunt & putruerunt cicatrices meæ* Psal. 37, 6. *a facie insipientiæ meæ*. Contemsimus Deum, odio habuimus
E nomen bonum, conculcavimus Christum, solvimus pudorem. Nullus cum reverentia memor est nominis Dei. Et tu quidem si dilexeris quempiam, & ad nomen illius excitatior efficeris: Deum autem sic continuò vocas, quasi nihil. Voca illum ut benefacias inimico, voca illum in salutem tuæ animæ, tunc aderit, tunc lætificas illum, nunc autem exacerbas. Voca illum sicut vocavit Stephanus. Quid dicens?

Infr. 7, 60. *Domine, ne statuas illis peccatum hoc?* Voca illum ut vocavit
1. Reg. 1, 10. uxor Elcanæ, cum lachrymis, cum lamentis, cum oratione, non prohibeo, sed & valde exhortor. Voca illum sicut voca-
Num. 12, 13. vit Moyses, & clamabat orans pro illis qui ipsum in fugam egerant. Et tu quidem si alicujus viri reverendi memor es sine reverentia, contumeliam putas: Deum autem circumferens, non solùm sine reverentia, sed etiam intempestivè, nihilne facis rem illam? & quanto supplicio dignus eris? Non prohibeo Deum perpetuò habere in animo. Hoc enim oratim & velim, sed non præter id quod illi placet, sed si laudas, si colis, magna si hoc concessent nobis bona suot: si quando oportet, ac in quibus oportet solùm vocavimus illum. Quare dic oro, in Apostolorum ore tot virtutes tantæque fiebant, in vobis autem non? quamvis idem sit Deus, idem nomen; sed non est par? Quomodo? quia illi quidem in his quæ dixi, ipsum invocabant solùm, vos autem non in illis, sed in aliis. Si autem ideo juras, quia non credit, dic quidem crede. Veruntamen si vis jura per teipsum, non
Matt. 5, 37. legislatori contrarium assero. Absit. *Sit enim*, inquit, *sermo vester, etiam etiam, non non*; ut in hoc condescendam vobis, ut magis ad hoc vos inducam, & à tyrannica consuetudine liberem. Quot sunt in aliis admodum probati, & in his rebus totum perdunt? Vultis discere, quare concedebant priscis jurare, pejerare enim neque illis concessum erat: quoniam per idola jurabant: non confundemini in his legibus manentes, in quibus versabantur infirmi? Quia & nunc Græcum si accipio, non statim illi hoc impero, sed nunc ut sciatur Christus admoneo. Fidelis autem & qui didicerit illum, & audierit, si usus est eadem indulgentia quæ Græcus, quæ utilitas, quod lucrum? At ob consuetudinem difficile tibi est, & ab illa ægrè abstraheris. Igitur quoniam tanta consuetudinis est vis, eam in aliam transfer consuetudinem. Et quomodo, inquit, possibile? quod sæpius dixi, hoc etiam nunc dico. Sint animadversores eorum quæ dicuntur multi, sitent inquisitores & correctores. Non est confusio ab alio corrigi, imo confusio est repellere corrigentes, & in damnum propriæ salutis hoc facere. Et tu quidem si vestem induaris inversam, permittis te à puero admoneri, & non confunderis ab illis discens, quamvis certè in hoc magna confusio. Hic autem incommodans, confusió ne est, dic mihi ab alio erudiri? & ornantem quidem te vestibus fers servulum, & calceantem: ornantem autem animam tuam non fers? & quantæ insipientiæ hæc sunt? Sit & minister horum doctor, sit & puellus, sit & uxor, sit & amicus & vicinus, & cognatus. Quemadmodum enim bestia, quæ undequaque agitatur, non facilè evadit: Ita fieri nequit, quin is qui tot habet custodes, tot observatores, tot increpantes, & undique affligitur, facilè effugiat, & non servetur. Et in uno quidem die difficilè feres hoc, & in secundo, & in tertio. Deinde autem facile erit, etiam post quartum molestum, ultra non erit: periculum facite, siquidem non credideritis. Curam habere oro, non enim vulgare est hoc quod peccatur & corrigetur, sed utrinque magnum & bonum, & malum. Concedatur hoc bonum fieri gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Sancto Spiritui, gloria, imperium, honor, nunc & semper, & in secula seculorum Amen.

HOMILIA XI

Dimissi autem venerunt ad suos, & annunciaverunt illis quæcunque ad ipsos Principes Sacerdotum, & seniores dixerunt.

NON vana gloria extimulante narrant, quæ aliena ab illis erat, sed gratiæ Christi indicia ostendunt. Idcirco & quæcunque illi dixerant narrant, quæ autem per ipsos licet prætereant, attamen & sic magis fidentes fiunt. Et considera quomodo iterum ad verum auxilium confugerint, ad subsidium orationis invictum, iterum unanimiter, & cum studio. Non est enim oratio, quæ simpliciter fit. *At illi qui audierant unanimiter sustulerunt vocem ad Deum, & dixerunt.* Vide quàm diligenter fiunt illorum preces, quando Apostolatu dignum si-
Sup. 1, 24. bi monstrari petiverunt, sic dicebant: *Tu Domine omnium cordium cognitor ostende*; opus enim erat illic præscientia. Hîc autem quoniam ora adversariorum obturari oportebat, de Domino dixerunt, ideò & sic cœperunt: *Domine Deus, qui fecisti cœlum & terram, ac mare, & omnia quæ in illis sunt, qui*
Ps. 2, 1. *per os David pueri tui locutus es: Quare fremuerunt gentes, & populi meditati sunt inania? Astiterunt Reges terræ, & Principes congregati sunt simul adversus Dominum & adversus Christum ejus.* Prophetiam in medium afferunt, tanquam pactum à Deo

γεν; Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. κάλεσον αὐτὸν, ὡς ἐκάλεσεν ἡ τοῦ Ἐλκανᾶ γυνὴ μετὰ δακρύων, μετὰ θρήνων, μετὰ εὐχῆς· οὐ κωλύω, ἀλλὰ καὶ σφόδρα προτρέπω. κάλεσον αὐτὸν ὡς ἐκάλεσε Μωυσῆς, καὶ ἐβόα παρακαλῶν ὑπὲρ τῶν φυγαδευσάντων αὐτόν. καὶ σὺ μὲν ἄν τινος μνησθῇς ἁπλῶς ἀνδρὸς αἰδεσίμου μετὰ ὕβρεως, τὸ πρᾶγμα. τὸν δὲ Θεὸν περιφέρων οὐ μόνον ἁπλῶς, ἀλλὰ καὶ ἀκαίρως ἐν τοῖς σοῖς λόγοις, οὐδὲν τὸ πρᾶγμα νομίζεις; καὶ πόσης οὐκ ἂν κολάσεως ἄξιος ἂν εἴης; οὐ κωλύω τὸν Θεὸν ἔχειν διαπαντὸς ἐν διανοίᾳ· τοῦτο γὰρ καὶ εὔχομαι καὶ βούλομαι, ἀλλὰ μὴ παρὰ τὸ δοκοῦν αὐτῷ, ἀλλ' αἰνοῦντα, ἀλλὰ θαυμάζοντα. μεγάλα ἂν τοῦτο εἰργάσατο ἡμῖν ἀγαθὰ, εἰ ὅτε ἔδει, καὶ ἐφ' οἷς ἔδει μόνον ἐκαλοῦμεν αὐτόν. διὰ τί, εἰπέ μοι, ἐπὶ μὲν τῶν ἀποστόλων τοσαῦται δυνάμεις ἐγίνοντο, ἐπὶ δὲ ἡμῶν οὐχί; καίτοι ὁ αὐτός ἐστι Θεὸς, τὸ αὐτὸ ὄνομα· ἀλλ' οὐκ ἔστιν ἴσον. πῶς; ὅτι ἐκεῖνοι μὲν ἐπὶ τούτοις, οἷς εἶπον, αὐτὸν ἐκάλουν μόνον· ἡμεῖς δὲ οὐκ ἐπὶ τούτοις, ἀλλ' ἐπ' ἄλλοις. εἰ δὲ ἀπιστεῖ, καὶ διὰ τοῦτο ὀμνύεις, λέγε μὲν, πίστευσον· πλὴν εἰ βούλει ὄμοσον κατὰ σαυτοῦ. οὐκ ἀντινομοθετῶ τῷ Χριστῷ· λέγω, μὴ γένοιτο· ἔστω γὰρ, φησὶν, ὑμῶν τὸ ναὶ ναί· καὶ τὸ οὒ οὔ· ἀλλὰ συγκαταβαίνω ὑμῖν, ἵνα μᾶλλον εἰς τοῦτο ὑμᾶς ἐναγάγω, καὶ τῆς συνηθείας ἀπαγάγω τῆς τυραννικῆς. πόσοι ἐν τοῖς ἄλλοις εὐδοκιμοῦντες ἀπόλλυνται ἀπὸ τούτων τῶν πραγμάτων; βούλεσθε μαθεῖν διατί συνεχώρουν τοῖς ἀρχαίοις ὀμνύειν; ἐπιορκεῖν γὰρ οὐδὲ ἐκείνοις συγκεχώρηται· ἐπειδὴ ἐν τοῖς εἰδώλοις ὤμνυον. οὐκ αἰσχύνεσθε τούτοις ἐμμένοντες τοῖς νόμοις, οἷς ἐκεῖνοι ἐνήγοντο οἱ ἀσθενεῖς; ἐπεὶ καὶ νῦν Ἕλληνα ἐὰν λάβω, οὐκ εὐθέως αὐτῷ ἐπιτάσσω τοῦτο· ἀλλὰ τέως εἰδέναι τὸν Χριστὸν παραινῶ, ὁ δὲ πιστὸς καὶ μαθὼν αὐτὸν καὶ ἀκούσας, εἰ μέλλοι τῆς αὐτῆς τῷ Ἕλληνι συγκαταβάσεως δεῖσθαι, τί τὸ ὄφελος; ποῖον τὸ κέρδος; ἀλλ' ἡ συνήθεια χαλεπὸν, καὶ δυσαποσπάστως ἔχεις; οὐκοῦν ἐπεὶ τοσαύτη τῆς συνηθείας ἡ τυραννὶς, εἰς ἑτέραν αὐτὴν μετάγαγε συνήθειαν. καὶ πῶς δυνατόν, φησίν; ὃ πολλάκις εἶπον, τοῦτο καὶ νῦν λέγω, ἔστωσαν λογισταὶ τῶν λεγομένων πολλοί· ἔστωσαν ἐξετασταὶ καὶ διορθωταί. οὐκ ἔστιν αἰσχύνη τὸ ὑφ' ἑτέρου διορθοῦσθαι· μᾶλλον μὲν οὖν αἰσχύνη τὸ ἀπωθεῖσθαι τοὺς διορθοῦντας, καὶ ἐπὶ βλάβῃ τῆς οἰκείας σωτηρίας τοῦτο ποιεῖν. καὶ σὺ μὲν τὴν ἐσθῆτα ἂν ἐναλλὰξ περιβάλῃ, καὶ παιδὶ ἐπιτρέπεις διορθῶσαι, καὶ οὐκ αἰσχύνῃ παρ' ἐκείνου μανθάνων, καίτοι γε ἐν τούτῳ πολλὴ [ἡ] αἰσχύνη· ἐνταῦθα δὲ τὴν ψυχὴν βλαπτόμενος, αἰσχύνῃ, εἰπέ μοι, παρ' ἑτέρου παιδεύεσθαι; καὶ κοσμοῦντα μέν σου περὶ τὴν ἐσθῆτα φέρεις τὸν οἰκέτην καὶ ὑποδοῦντα· κοσμοῦντα δὲ τὴν ψυχὴν οὐ φέρεις; καὶ πόσης ταῦτα ἀνοίας; ἔστω καὶ οἰκέτης τούτων διδάσκαλος· ἔστω καὶ φίλος, καὶ συγγενὴς, καὶ γείτων. ὥσπερ γὰρ τὸ πάντοθεν ἐλαυνόμενον θηρίον οὐκ ἔστι διαφυγεῖν· οὕτω τὸν τοσούτους ἔχοντα φύλακας, τὸν τοσούτους ἐπιτιμῶντας, τὸν πάντοθεν πολεμούμενον, οὐκ ἔνι μὴ φυλάξασθαι. καὶ ἐν μὲν τῇ πρώτῃ ἡμέρᾳ χαλεπῶς οἴσεις τοῦτο, καὶ κατὰ τὴν δευτέραν, καὶ ἐν τῇ τρίτῃ· λοιπὸν δὲ ῥᾷον ἔσται· καὶ μετὰ τὴν τετάρτην οὐδὲ τὸ πρᾶγμα ἔσται αὐτό. ἀπόπειραν ποιήσατε, εἴγε ἀπιστεῖτε· φροντίσατε παρακαλῶ. οὐκ ἔστι τὸ τυχὸν ἁμαρτανόμενον καὶ κατορθούμενον· ἀλλὰ ἑκατέρωθεν μέγα, καὶ κακὸν, καὶ καλόν. γένοιτο δὲ καλὸν γενέσθαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ ια'.

Ἀπολυθέντες δὲ ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον.

ΟΥΧΙ φιλοδοξίας ἕνεκεν διηγοῦνται. πῶς γάρ; ἀλλὰ τῆς τοῦ Χριστοῦ χάριτος ταῦτα τεκμήρια ἐπιδεικνύντες. διὸ καὶ ὅσα μὲν ἐκεῖνοι εἶπον, ταῦτα διηγοῦνται· τὰ δὲ αὐτῶν εἰ καὶ παρατρέχουσιν ἴσως, καὶ ταύτῃ θαρσαλεώτεροι γίνονται. καὶ σκόπει πῶς πάλιν ἐπὶ τὴν ἀληθῆ βοήθειαν κατέφυγον, ἐπὶ τὴν συμμαχίαν τὴν ἄμαχον, καὶ πάλιν ὁμοθυμαδὸν, καὶ μετὰ σπουδῆς. οὐδὲ γάρ ἐστιν εὐχὴ ἁπλῶς γινομένη. οἱ δὲ ἀκούσαντες, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεὸν, καὶ εἶπον. ὅρα πῶς εἰσὶν ἠκριβωμέναι αὐτῶν αἱ εὐχαί· ὅτε τὸν ἄξιον εἰς ἀποστολὴν ἠξίουν αὐτοῖς ἀναδειχθῆναι, οὕτως ἔλεγον· σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον. προγνώσεως γὰρ ἦν ἐκεῖ χρεία· ἐνταῦθα δὲ ἐπειδὴ ἐπιστομισθῆναι τοὺς ἐναντίους ἐχρῆν, περὶ δεσποτείας διαλέγονται. διὸ καὶ οὕτως ἤρξαντο· δέσποτα ὁ Θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς· ὁ διὰ στόματος Δαβὶδ [τοῦ] παιδός σου εἰπὼν, ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ; καθάπερ συνθήκας ἀπαιτοῦντες τὸν Θεὸν

τὴν

τὴν προφητείαν εἰς μέσον ἄγουσιν· ἅμα καὶ ἑαυτοὺς παραμυθούμενοι, ὅτι εἰκῆ ἅπαντα μελετῶσιν οἱ ἐχθροί. ὃ οὖν λέγουσι, τοῦτό ἐστιν.] Ἐκεῖνα εἰς πέρας ἄγαγε, καὶ δεῖξον ὅτι κενὰ ἐμελέτησαν. Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐν τῇ πόλει ταύτῃ ἐπὶ τὸν ἅγιον παῖδά σου Ἰησοῦν, ὃν ἔχρισας, Ἡρώδης τε καὶ Πόντιος Πιλάτος σὺν ἔθνεσι, καὶ λαοῖς Ἰσραὴλ, ποιῆσαι ὅσα ἡ χείρ σου, καὶ ἡ βουλή σου προώρισε γενέσθαι. Καὶ τὰ νῦν, Κύριε, ἔπιδε ἐπὶ τὰς ἀπειλὰς αὐτῶν. ὁρᾷς τὴν φιλοσοφίαν· καὶ πῶς οὐχὶ καταρωμένων εἰσὶ ταῦτα; οὐκ ἔθηκαν δὲ τὰς ἀπειλὰς ἰδικῶς, ἀλλ' ὅτι ἠπείλησαν μόνον λέγουσιν. ἐπιτέμνεται γὰρ ὁ συγγραφεὺς τὸν λόγον. καὶ ὅρα· οὐκ εἶπον, ῥῆξον αὐτούς· κατάβαλε αὐτούς· ἀλλὰ τί; Καὶ δὸς τοῖς δούλοις σου μετὰ παῤῥησίας πάσης λαλεῖν τὸν λόγον σου. οὕτω μανθάνωμεν εὔχεσθαι, καὶ ἡμεῖς. καίτοι γε πόσου οὐκ ἄν τις ἐμπλησθείη θυμοῦ, εἰς ἄνδρας ἐμπεσὼν ἀπολεῖν αὐτὸν ἐπιχειροῦντας, καὶ ἀπειλοῦντας τοιαῦτα; πόσης οὐκ ἂν ἀπεχθείας πληρωθείη; ἀλλ' οὐχ οἱ ἅγιοι οὗτοι. Ἐν τῷ τὴν χεῖρά σου ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα, καὶ τέρατα γίνεσθαι διὰ τοῦ ὀνόματος τοῦ ἁγίου παιδός σου Ἰησοῦ. ἂν ἐν τῷ ὀνόματι ἐκείνῳ γίνωνται αἱ ἐνέργειαι, μεγάλη ἔσται ἡ παῤῥησία, φησί. Δεηθέντων δὲ αὐτῶν ἐσαλεύθη ὁ τόπος ἐν ᾧ ἦσαν συνηγμένοι. τοῦ ἀκουσθῆναι αὐτοὺς καὶ τῆς ἐπισκέψεως τοῦ Θεοῦ τοῦτο τεκμήριον γέγονε. Καὶ ἐπλήσθησαν ἅπαντες πνεύματος ἁγίου. τί ἐστιν ἐπλήσθησαν; ἀντὶ τοῦ ἀνεπυρώθησαν τῷ πνεύματι. καὶ γὰρ ἀνεκαίετο ἐν αὐτοῖς τὸ χάρισμα. Καὶ ἐλάλουν τὸν λόγον τοῦ Θεοῦ μετὰ παῤῥησίας. Τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. ὁρᾷς ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ, καὶ τὰ παρ' ἑαυτῶν εἰσέφερον; πανταχοῦ γὰρ τοῦτο χρὴ παρατηρεῖν ὅτι μετὰ τῆς χάριτος τοῦ Θεοῦ, καὶ τὰ παρ' ἑαυτῶν ἐπιδεικνύουσι. καθάπερ Πέτρος ἔλεγεν, Ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι. ὃ ἀνωτέρω οὖν εἶπεν, ὅτι πάντες ἦσαν ἐπὶ τὸ αὐτὸ, [πάλιν] ἐνταῦθα δηλῶν τὸ αὐτὸ λέγει, ὅτι τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία. εἰπὼν δὲ ὅτι ἠκούσθησαν, λέγει λοιπὸν αὐτῶν καὶ τὴν ἀρετήν. καὶ γὰρ μέλλει ἐμβαίνειν εἰς τὸ διήγημα τὸ Σαπφείρας καὶ τοῦ Ἀνανίου. διὸ θέλων δεῖξαι τὴν μιαρίαν ἐκείνων, πρότερον περὶ τῆς τῶν ἄλλων ἀρετῆς διαλέγεται. εἰπὲ δή μοι· ἡ ἀγάπη τὴν ἀκτημοσύνην ἔτεκεν, ἢ ἡ ἀκτημοσύνη τὴν ἀγάπην; ἐμοὶ δοκεῖ ἡ ἀγάπη τὴν ἀκτημοσύνην, ἣ καὶ ἐπισφίγγει αὐτὴν μᾶλλον. ἄκουε δὲ καὶ τί φησι· Πάντων ἦν ἡ καρδία, καὶ ἡ ψυχὴ μία. ἰδοὺ καρδία, καὶ ψυχὴ τὸ αὐτό. Καὶ οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῷ ἔλεγεν ἴδιον εἶναι, ἀλλ' ἦν αὐτοῖς ἅπαντα κοινά, καὶ δυνάμει μεγάλῃ ἀπεδίδουν τὸ μαρτύριον τῆς ἀναστάσεως οἱ Ἀπόστολοι [τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.] καθάπερ ἐγχειρισθέντας αὐτοὺς τοῦτο δεικνῦσιν· ἢ καὶ ὡς περὶ ὀφλήματος λέγει· τουτέστι, τὸ μαρτύριον τῆς βασιλείας μετὰ παῤῥησίας πᾶσιν ἀπεδίδουν. Χάρις τε μεγάλη ἦν ἐπὶ πάντας αὐτούς· οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. καθάπερ ἐν οἰκίᾳ πατρικῇ υἱοὶ ὁμότιμοι πάντες οὕτω διέκειντο. οὐκ ἔνι γὰρ εἰπεῖν ὅτι ἔτρεφον μὲν τοὺς ἄλλους· ὡς ἐξ ἰδίων δὲ τρέφοντες, οὕτω διέκειντο. ἀλλὰ τὸ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι ἑαυτῶν ἀποστήσαντες τὰ πράγματα, οὕτως ἔτρεφον, ἵνα μηκέτι ὡς ἐξ ἰδίων, ἀλλ' ὡς ἐκ κοινῶν τρέφειν δοκῶσιν. Ὅσοι δὲ κτήτορες χωρίων ἢ οἰκιῶν ὑπῆρχον, πωλοῦντες ἔφερον τὰς τιμὰς τῶν πιπρασκομένων. Καὶ ἐτίθησαν παρὰ τοὺς πόδας τῶν Ἀποστόλων. διεδίδοτο δὲ ἑκάστῳ καθότι ἄν τις χρείαν εἶχε. πολλὴ ἡ τιμή, εἴγε μὴ εἰς χεῖρας, ἀλλὰ παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἐτίθουν. Ἰωσῆς δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως. οὐ δοκεῖ μοι οὗτος ἐκεῖνος εἶναι ὁ μετὰ Ματθίου· ἐκεῖνος γὰρ καὶ Ἰωσῆς ἐλέγετο καὶ Βαρσαβᾶς· ὕστερον δὲ ἐπεκλήθη καὶ Ἰοῦστος· οὗτος δὲ Βαρνάβας, ὅ ἐστιν υἱὸς παρακλήσεως ὑπὸ τῶν Ἀποστόλων ἐπωνομάσθη. καὶ δοκεῖ μοι ἀπὸ τῆς ἀρετῆς εἰληφέναι τὸ ὄνομα, ὡς πρὸς τοῦτο ἱκανὸς ὢν καὶ ἐπιτήδειος. Λευΐτης Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε τὸ χρῆμα. Καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ἐνταῦθά μοι παρατήρει πῶς δείκνυσι τὸν νόμον λυόμενον. καὶ πῶς, φησι, Λευΐτης ὢν, Κύπριος ἦν; ὅτι λοιπὸν καὶ μετοικοῦντες ἐχρημάτιζον Λευῖται. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἀπολυθέντες, φησίν, ἦλθον πρὸς τοὺς ἰδίους, καὶ ἀπήγγειλαν ὅσα πρὸς αὐτοὺς οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι εἶπον. ὅρα τὸ ἄτυφον τῶν ἀποστόλων, καὶ τὴν φιλοσοφίαν. οὐ περιελθόντες ἐκόμπασαν, καὶ εἶπον, πῶς ἀπεκρίναντο τοῖς ἱερεῦσιν, οὐδὲ ἐφιλοτιμήσαντο τῇ ἀπαγγελίᾳ, ἀλλ' ἁπλῶς ἐλθόντες ἅπερ ἤκουσαν παρὰ τῶν πρεσβυτέρων ἀπαγγέλλουσιν. ἐντεῦθεν μανθάνομεν ὅτι τοῖς πειρασμοῖς ἑαυτοὺς οὐκ ἐπέῤῥιπτον· ἀλλὰ μᾶλλον καὶ τοὺς ἐπαγομένους γενναίως ἔφερον. ἄλλος δὲ εἴ τις ἦν, ἴσως ἂν τῇ τοῦ πλήθους παῤῥησίᾳ θαῤῥῶν, κἂν ὕβρισε, κἂν μυρία ἐφθέγξατο δυσχερῆ· ἀλλ' οὐχ οἱ φιλόσοφοι οὗτοι. ἀλλ' ἅπαντα ἡμέρως καὶ ἐπιεικῶς. Οἱ δὲ ἀκούσαντες, φησιν, ὁμοθυμαδὸν ἦραν φωνὴν πρὸς τὸν Θεόν. ἡ κραυγὴ γέγονεν ἀπὸ ἡδονῆς καὶ διαθέσεως πολλῆς. καὶ γὰρ αἱ τοιαῦται ἀνύουσιν εὐχαί, αἱ φιλοσοφίας γέμουσαι· αἱ περὶ τούτων γινόμεναι· αἱ παρὰ τῶν τοιούτων· αἱ ἐν τοῖς τοιούτοις καιροῖς,

exigentes, & seipsos interim consolantes, quod in vanum hostes meditentur omnia. Hoc autem est, quod dicere volunt: Illa in medium profer, & ostende quod vana meditati sint: *Congregati enim sunt revera in civitate hac, contra sanctum puerum tuum Jesum, quem unxisti, tam Herodes quam Pontius Pilatus, cum Gentibus, & populis Israël, ut faciant quæcunque manus tua & consilium tuum fieri præfinivit: & nunc Domine vide in minas illorum.* Vides Philosophiam, & quomodo his non imprecentur mala. Non posuerunt autem minas speciatim, sed solum dicunt quod minati sint. Abbreviat enim conscriptor sermonem. Et vide. Non dixit: Disrumpe illos, dejice illos. Sed quid? *Et da servis tuis liberè loqui sermonem tuum.* Sic discamus & nos orare. Quamvis quo non furore impleatur quis, si in viros incidat, occidere illum tentantes, & id genus comminantes, & quam non hostilitatem admittit? At non ita sancti isti. *In hoc ut manus extendat ad sanationes, & ut fiant signa ac prodigia per nomen sancti pueri tui Jesu.* Si in nomine illo fiunt efficaciæ ac virtutes, magna erit fiducia, inquit. *Orantibus autem illis, motus est locus in quo erant congregati.* Factum est hoc signum, ut audirent illi etiam divinam visitationem. *Et impleti sunt omnes Spiritu sancto.* Quid est, *impleti sunt?* reaccensi sunt Spiritu sancto. Etenim reaccensum est in ipsis charisma, *& loquuti sunt sermonem Dei cum libertate. Hujus autem multitudinis credentium erat cor unum & anima una.* Vides quod cum gratia Dei etiam sua afferebant. Ubique enim hoc observatu dignum est, quod cum gratia Dei, & ea quæ ab ipsis erant declarant. Quemadmodum Petrus dicebat: *Argentum & aurum non est mihi.* (Supr. 3,6.) Itaque quod superius dixerat, quod omnes fuerint *in illo ipso*, hoc est *simul*: iterum hîc idem dicens manifestat, quod *multitudinis credentium fuerit cor & anima una.* Ut dixit autem quod audierunt, dicit posteà & eorum virtutem. Ingressurus enim erat narrationem Sapphiræ & Ananiæ. ideo volens illorum ostendere scelus, prius de aliorum virtute disserit. Dic, oro, mihi, an charitas paupertatem, vel paupertas charitatem pepererit? Mihi videtur quod charitas paupertatem, quæ & illam magis astringit. Audi igitur quid dicat. *Omnium erat cor & anima una.* Ecce cor & anima idem sunt. *Et nullus aliquid ex his quæ possidebat, proprium esse dicebat, sed erant illis omnia communia. Et virtute magna reddebant Apostoli testimonium Resurrectionis Domini Jesu Christi.* Ostendit hoc, quasi eis commissum sit, vel quod tanquam debitores faciant. *Et gratia magna erat cum omnibus illis, neque indigus quispiam erat inter eos.* Sicut in domo paterna filii, qui ejusdem honoris sunt: ita omnes affecti erant. Sed hoc est mirabile, quòd quasi relictis suis negotiis, ita enutriebant, ut non ultrà quasi ex propriis, sed quasi ex communibus educati videantur. *Quotquot autem possessores prædiorum vel ædium erant, vendentes afferebant precia eorum quæ vendiderant, & posuerunt ad pedes Apostolorum. Dividebatur autem unicuique, prout opus habebat.* Magnus honor, quandoquidem non in manus, sed ad pedes Apostolorum ponebant. *Joses autem qui agnominatus est Barnabas ab Apostolis: quod si interpreteris, est filius consolationis.* Non mihi videtur ille esse qui cum Matthia. (Sup. 1,23.) Ille enim & Joses dicebatur & Barsabas: postea autem agnominatus est & Justus. Hic autem Barnabas est *filius consolationis* ab Apostolis appellatus. Et videtur mihi à virtute assumptum nomen, quasi ad hoc sufficiat & studiosus sit. *Levites Cyprius genere, quum haberet agrum, vendidit & attulit pecuniam, & posuit juxta pedes Apostolorum.* Hic velim observes, quomodo ostendat legem solvi, & quomodo inquit, *quum esset Levites, Cyprius erat?* quia postea etiam quum migrassent, appellabantur levitæ. Porrò videamus iterum quæ dicta sunt. *Dimissi*, inquit, *venerunt ad suos, & annunciaverunt omnia quæ ad ipsos Principes Sacerdotum & Seniores dixerunt.* Vides Apostolorum philosophiam à fastu alienam. Non circumeuntes invulgarunt & dixerunt, quomodo Sacerdotibus responderint, neque de annunciatione gloriabantur, sed simpliciter ut venerunt, ea quæ audierant ab illis Senioribus annunciabant. Hoc loco discimus, quod periculis seipsos non injecerunt, sed potius tentationes quæ intentabantur, strenuè tulerunt. Alius autem si quis esset, fortè multitudinis fiducia fretus, licèt contumelias loquutus esset, licèt innumera dixisset inepta: at non hi philosophi, sed omnia mansuetè & benignè. *Qui autem audierant*, inquit, *unanimiter sustulerunt vocem ad Deum.* Clamor factus est ex voluptate, & magna affectione. Etenim quæ tales, efficaces sunt preces, quæ tanto sapientiæ studio sunt plenæ, quæ de talibus sunt, quæ in talibus temporibus, quæ hoc

modo:

modo: sicut aliæ certè abominabiles sunt ac immundæ. Vide ut nihil superfluum, sed de virtute illius solum disserunt, imò quemadmodum Christus dicebat Judæis: Si autem ego in spiritu Dei loquor, ita & illi loquuntur per Spiritum sanctum. Quid autem sit quod dicunt, audi: *Domine Deus qui per os David pueri tui dixisti: Quare fremuerunt Gentes.* Mos est Scripturæ etiam de uno, tanquam de multis loqui. Sensus igitur dictorum est: Non illi valuerunt, sed tu qui permisisti totum, etiam ad finem perducens, operatus es, qui industrius quidvis operaris: & sapiens es, qui inimicis pro tua voluntate uteris. Hic enim de mira illius facultate ac sapientia in operando disserunt, manifestantes quod illi quidem convenerint tanquam hostes animo sanguinario, & homicidarum, & adversarii futuri, fecerint autem quæ tu volebas. *Ut facerent quæcunque manus tua & consilium tuum præfinivit fieri.* Quid est *manus tua*? Hîc mihi videtur manum dicere potentiam ac consilium. Sufficit, inquit, tibi velle solum. Nullus enim potentia præfinit. Igitur quæcunque manus tua, hoc est, quæcunque præcepisti. Vel igitur hoc dicit, vel quod manu operatus est distinctè. Sicut igitur tunc vana meditati sunt, ita & nunc illos frustra meditari facito. *Et da servis tuis*: hoc est, ne compleantur opere minæ eorum. Hæc autem dicebant illi non detrectantes difficile quiddam pati, sed pro prædicatione. Non enim dixerunt: Et eripe nos à periculis. Sed quid? *Et da servis tuis cum fiducia omni loqui sermonem tuum.* Igitur qui illa ad finem deduxisti, & hæc deduc. *Quem unxisti*, inquit. Vide quomodo & in precibus passionem distinguunt, & totum in illum referunt, & libertatis in loquendo illum authorem esse dicunt. Vidisti quomodo omnia propter Deum petunt, & nihil ad suam gloriam. Itaque quod suum, promittunt, quòd non prætereantur: digni autem habeantur, qui miracula operentur. *In hoc*, inquit, *ut manum tuam extendat ad sanationem, & ut signa ac prodigia fiant.* Bene, nam absque illis licèt summam præ se tulissent alacritatem, omnia fecissent in vanum. Annuit eorum petitioni, & manifestum hoc fecit eis, commoto loco, quod adsit ipsorum precibus: *Orantibus enim illis*, inquit, *motus est locus.* Quod autem propter hoc
Pf.103,32. factum sit, audi prophetam: *Qui aspicit terram, & facit illam*
Ib.113,7. *tremere.* Et iterum, *A facie Domini mota est terra, à facie Dei Jacob.* Et facit Deus etiam per majorem terrorem, & ad fiduciam illos inducens post magnas illas minas, & ad libertatem majorem exercens. Quia enim initium erat, & sensibili signo opus habebant, ut illi persuadeantur. Post hoc autem nunquam hoc fit. Tantam consolationem assequuti sunt ex precibus. Meritò autem & signorum gratiam petunt. Nusquam aliunde enim potuissent ostendere, quod resurrexisset, quam ex signis. Et ita non solùm suam petebant securitatem, sed etiam ne confunderentur, verùm liberè loquantur. *Motus est locus*, etiam illos magis consolidavit. Hoc autè aliquando quidem iræ est indiciū, aliquando verò visitationis & providentiæ, nunc autem iræ. Porrò in salvatoris passione novè & præter naturam facta est. Etenim tunc omnis terra commota est, & ita ut ubique agnoscatur crucifixi virtus, & quòd Deus qui patiebatur, & non simpliciter homo. Et aliter; Licèt iræ sit indicium, verùm ea contra illos erat, hos autem & spiritu implevit. Itaq; & Apostoli post preces spiritu implentur. *Et magna*, inquit, *virtute reddebant testimonium, eratq; gratia in omnibus illis, neq; enim quispiam indigebat inter illos.* Vides quanta hujus rei virtus ubi scilicet & illic hac opus erat. Ista est enim bonorum occasio, cujus & secundò meminit, admonens omnes de pecuniarū contemptu. Superius quidem dicens, quod nullus aliquid eorum quæ possidebat, sibi dicebat proprium esse. Hoc autem loco, quod non indigens aliquis esset inter illos. Nam quod fiebat, non à solis signis esse, sed etiam à voluntate illorum, manifestat Sapphira & Ananias. Non sermone autem solùm, sed & virtute reddebant testimonium Resurrectionis, sicut & Paulus dicit: *Et prædicatio mea non in persuasibi-*
1.Cor.2,4. *libus humanæ sapientiæ sermonibus, sed in demonstratione spiritus & virtutis.* Et non simpliciter virtute, sed magna virtute. Benè autem dixit, quòd *gratia erat in omnibus.* Propter hoc enim gratia, quia nullus erat indigus: hoc est, ob magnam dantium alacritatem nullus erat indigus. Non enim partem quidem dederunt, partem autem recondiderunt, neque omnia quidem, sed quasi propria: sic inæqualitatem è medio ejiciebant, & in multa abundantia vivebant, & cum multo honore hoc faciebant, neque enim in manibus audebant dare, neque cum fastu suppeditabant, sed ad pedes afferebant, & illos dispensatores permiserunt fieri, & dominos fecerunt, ut quasi ex communibus posteà insumantur, & non quasi ex propriis. Hoc etiam conferebat ad hoc, ne vana gloria extollerentur. Hoc si & nunc fieret, utique majore cum voluptate viveremus,

A αἱ κατὰ τὸν τρόπον τοῦτον· ὡς αἵ γε ἄλλαι βδελυκταὶ καὶ ἀκάθαρτοι. ὅρα πῶς οὐδὲν περιττόν, ἀλλὰ περὶ τῆς δυνάμεως αὐτοῦ διαλέγονται μόνον, [μᾶλλον δὲ] καθάπερ ὁ Χριστὸς ἔλεγε τοῖς Ἰουδαίοις· εἰ δὲ ἐγὼ ἐν πνεύματι Θεοῦ λαλῶ. οὕτω καὶ αὐτοί φασι διὰ πνεύματος ἁγίου. ἰδοὺ καὶ ὁ Σωτὴρ ἐν πνεύματι φθέγγεται· τί δέ ἐστιν, ὃ καὶ λέγουσιν, ἄκουε. δέσποτα ὁ Θεὸς ὁ διὰ στόματος Δαβὶδ παιδός σου εἰπών, ἵνα τί ἐφρύαξαν ἔθνη; ἔθος γὰρ τῇ γραφῇ, καὶ περὶ ἑνὸς ὡς περὶ πολ-
B λῶν λέγειν. ὃ οὖν λέγουσι τοῦτό ἐστιν· οὐκ αὐτοὶ ἴσχυσαν, ἀλλὰ σὺ τὸ πᾶν, ὁ ἐπιτρέψας καὶ εἰς πέρας ἀγαγὼν εἰργάσω·] ὁ εὐμήχανος καὶ σοφὸς· ὁ τοῖς ἐχθροῖς εἰς τὸ βούλημά σου χρησάμενος. ἐνταῦθα [γὰρ ταῦτα] περὶ τῆς εὐμηχανίας, καὶ σοφίας αὐτοῦ διαλέγονται. δηλοῦντες ὅτι αὐτοὶ μὲν συνῆλθον ὡς ἐχθροὶ φονικῇ προαιρέσει, καὶ ὡς ἐναντιούμενοι· ἐποίουν δέ, ἃ σὺ ὅμως ἐβούλου. ποιῆσαι ὅσα ἡ χείρ σου καὶ ἡ βουλή σου προώρισε γενέσθαι. τί ἐστιν ἡ χείρ σου; ἐνταῦθά μοι δοκεῖ
C χεῖρα λέγειν τὴν δύναμιν καὶ βουλήν. ἀρκεῖ, φησι, βουληθῆναί σε μόνον. οὐδεὶς γὰρ δυνάμει προορίζει. [τί οὖν] ὅσα ἡ χείρ σου, τοῦτό ἐστιν, ὅσα διέταξας. ἢ τοίνυν τοῦτο λέγει, ἢ ὅτι τῇ χειρὶ διεπράττετο. ὥσπερ οὖν τότε κενὰ ἐμελέτησαν· οὕτω καὶ νῦν, φησι, κενὰ μελετῆσαι [αὐτοὺς] ποίησον. καὶ δὸς τοῖς δούλοις σου· τουτέστι, μὴ εἰς ἔργον ἐλθέτωσαν αἱ ἀπειλαὶ αὐτῶν. ταῦτα δὲ ἔλεγον, οὐκ αὐτοὶ παραιτούμενοι δυσχερές τι παθεῖν, ἀλλ' ὑπὲρ τοῦ κηρύγματος. οὐ γὰρ εἶπον, καὶ ἐξελοῦ
D τῶν κινδύνων ἡμᾶς· ἀλλὰ τί; καὶ δὸς τοῖς δούλοις σου μετὰ παρρησίας πάσης λαλεῖν τὸν λόγον σου. ὁ [οὖν] ἐκεῖνα εἰς τέλος ἀγαγών, καὶ ταῦτα ἄγαγε. ὃν ἔχρισας, φησίν. ὅρα πῶς καὶ ἐν τῇ εὐχῇ διακρίνουσι τὸ πάθος, καὶ τὸ πᾶν εἰς αὐτὸν ἀνατιθέασι, καὶ τῆς παρρησίας αὐτὸν αἴτιον εἶναι λέγουσιν. εἶδες πῶς πάντα διὰ τὸν Θεὸν αἰτοῦσι, καὶ οὐδὲν εἰς οἰκείαν δόξαν, οὐδὲ φιλοτιμίαν; τὸ μὲν οὖν αὐτῶν ἐπαγγέλλονται, ὅτι οὐ καταπλαγήσονται· ἀξιοῦσι δὲ σημεῖα γίνε-
E σθαι. ἐν τῷ τὴν χεῖρά σου, φησίν, ἐκτείνειν εἰς ἴασιν, καὶ σημεῖα καὶ τέρατα γίνεσθαι. καλῶς. χωρὶς γὰρ τούτων εἰ μυρίαν ἐπεδείξαντο προθυμίαν, εἰκῇ πάντα ἐποίουν. ἐπένευσεν αὐτῶν τῇ δεήσει. καὶ δῆλον τοῦτο ἐποίησε σείσας τὸν τόπον, ὅτι πάρεστι ταῖς εὐχαῖς αὐτῶν. δεηθέντων γὰρ αὐτῶν, φησι, ἐσαλεύθη ὁ τόπος. ὅτι δὲ διὰ τοῦτο ἐγένετο, ἄκουε τοῦ προφήτου λέγοντος· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. καὶ πάλιν· ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη
A ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. ποιεῖ δὲ τοῦτο ὁ Θεός, καὶ διὰ φόβον μείζονα, καὶ εἰς θάρσος αὐτοὺς ἐνάγων μετὰ τὰς ἀπειλὰς ἐκείνας, καὶ εἰς παρρησίαν πλείονα [ἀλείφων·] ἐπειδὴ ἀρχὴ ἦν, καὶ αἰσθητοῦ ἐδέοντο σημείου πρὸς τὸ πιστευθῆναι αὐτούς. μετὰ δὲ ταῦτα οὐδαμοῦ τοῦτο γίνεται. πολλῆς τῆς παρακλήσεως ἔτυχον ἀπὸ τῆς εὐχῆς. εἰκότως δὲ καὶ σημείων χάριν αἰτοῦσιν. οὐδαμόθεν ἄλλοθεν εἶχον ἐπιδεῖξαι ὅτι ἀνέστη, ἀλλ' ἢ ἀπὸ τῶν σημείων. ὥστε οὐ τὴν ἀσφάλειαν ἐζήτουν τὴν αὐτῶν μόνον, ἀλλὰ καὶ τὸ μὴ καταισχυνθῆναι, ἀλλὰ τὸ ἐν παρ-
B ρησίᾳ φθέγγεσθαι. ἐσαλεύθη ὁ τόπος, καὶ αὐτοὺς μᾶλλον ἐστερέωσε. τοῦτο δέ, ποτὲ μὲν ὀργῆς ἐστι δεῖγμα, ποτὲ δὲ ἐπισκέψεως καὶ προνοίας. νυνὶ δὲ ὀργῆς. ἐπὶ δὲ τοῦ σωτηρίου πάθους ξένως, καὶ παρὰ φύσιν γέγονε. καὶ γὰρ πᾶσα ἐσαλεύθη ἡ γῆ. καὶ αὐτὸς δὲ ὁ Σωτὴρ ἔλεγε· τότε ἔσονται λιμοὶ καὶ λοιμοί, καὶ σεισμοὶ κατὰ τόπους. ἄλλως δὲ καὶ ὀργῆς τῆς κατ' ἐκείνων ἦν. τούτους γὰρ πνεύματος ἐνέπλησεν. ὅρα, καὶ οἱ ἀπόστολοι μετὰ τὴν εὐχὴν πνεύματος πληροῦνται. καὶ χάρις μεγάλη ἦν,
C φησιν, ἐπὶ πάντας αὐτούς. οὐδὲ γὰρ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. ὁρᾷς ὅτι πολλὴ τοῦ πράγματος ἡ δύναμις; ὅπου γε καὶ ἐκεῖ ταύτης ἔδει. αὕτη γὰρ ἡ ὑπόθεσις τῶν ἀγαθῶν, ἧς καὶ δεύτερον μέμνηται, παραινῶν πᾶσι τὴν τῶν χρημάτων ὑπεροψίαν· ἀνωτέρω μὲν λέγων, ὅτι οὐδὲ εἷς τι τῶν ὑπαρχόντων αὐτῶν ἔλεγεν ἴδιον εἶναι· ἐνταῦθα δέ, ὅτι οὐκ ἐνδεής τις ὑπῆρχεν ἐν αὐτοῖς. ὅτι γὰρ οὐ τῶν σημείων ἦν τὸ γινόμενον μόνον, ἀλλὰ καὶ τῆς αὐτῶν προαιρέσεως, δηλοῖ ἡ Σάπφειρα καὶ ὁ
D Ἀνανίας. οὐ λόγῳ δέ, ἀλλὰ καὶ δυνάμει τὸ μαρτύριον τῆς ἀναστάσεως ἐδείκνυσαν. καθάπερ καὶ Παῦλός φησι· καὶ τὸ κήρυγμά μου οὐκ ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως. καὶ οὐχ ἁπλῶς δυνάμει, ἀλλὰ μεγάλῃ δυνάμει. καὶ καλῶς εἶπε, χάρις ἦν ἐπὶ πάντας. διὰ τοῦτο γὰρ ἡ χάρις, ὅτι οὐδεὶς ἦν ἐνδεής· τουτέστιν, ἀπὸ τῆς πολλῆς προθυμίας τῶν ἐπιδιδόντων οὐδεὶς ἦν ἐνδεής. οὐ γὰρ μέρος μὲν ἐδίδοσαν, μέρος δὲ ἐταμιεύοντο· οὐδὲ
E πάντα μέν, ὡς ἴδια δέ. τὴν ἀνωμαλίαν ἐκ μέσου ἐξήγαγον, καὶ ἐν ἀφθονίᾳ ἔζων πολλῇ. καὶ μετὰ πολλῆς δὲ τῆς τιμῆς τοῦτο ἐποίουν. οὐδὲ γὰρ εἰς τὰς χεῖρας ἐτόλμων δοῦναι, οὐδὲ τετυφωμένως παρεῖχον, ἀλλὰ παρὰ τοὺς πόδας ἔφερον, καὶ αὐτοὺς οἰκονόμους ἠφίεσαν γίνεσθαι, καὶ κυρίους ἐποίουν, ἵνα ὡς ἐκ κοινῶν λοιπὸν ἀναλίσκηται, μηκέτι ὡς ἐξ ἰδίων. τοῦτο καὶ πρὸς τὸ μὴ κενοδοξεῖν αὐτοὺς συνεβάλλετο. τοῦτο εἰ καὶ νῦν γέγονε, μετὰ πλείονος ἂν τῆς ἡδονῆς ἐβιώσαμεν,

καὶ

καὶ πλούσιοι καὶ πένητες. οὐ τοῖς πένησι δὲ μᾶλλον, ἢ τοῖς πλουσίοις τοῦτο ἀφέρων ἂν τὴν ἡδονήν. καὶ εἰ βούλει, τέως ὑπογράψωμεν αὐτὸ τῷ λόγῳ, καὶ ταύτῃ καρπωσώμεθα τὴν ἡδονήν, ἐπειδὴ ἐν ἔργοις οὐ βούλεσθε. μάλιστα μὲν γὰρ καὶ ἐξ ἐκείνων δῆλον τῶν τότε γινομένων, ὅτι πωλοῦντες οὐκ ἦσαν ἐνδεεῖς, ἀλλὰ καὶ τοὺς πένητας πλουσίους ἐποίουν. πλὴν ἀλλὰ καὶ νῦν ὑπογράψωμεν τοῦτο τῷ λόγῳ, καὶ πάντες τὰ αὐτῶν πωλείτωσαν πάντα, καὶ φερέτωσαν εἰς μέσον, τῷ λόγῳ λέγω. μηδεὶς θορυβείσθω, μήτε πλούσιος, μήτε πένης. πόσον οἴει χρυσίον συνάγεσθαι; ἐγὼ στοχάζομαι· οὐ γὰρ δὴ μετ' ἀκριβείας δυνατὸν εἰπεῖν· εἰ οἱ πάντες καὶ πᾶσαι τὰ αὐτῶν ἐντεῦθεν ἐκένωσαν χρήματα, καὶ χωρία, καὶ κτήματα, καὶ οἰκίας ἀπέδοντο· ἀνδράποδα γὰρ οὐκ ἂν εἴποιμι· οὐδὲ γὰρ τότε τοῦτο ἦν, ἀλλ' ἐλευθέρους ἴσως ἐπέτρεπον γίνεσθαι· τάχα ἂν ἑκατὸν μυριάδας λιτρῶν χρυσίου συνεπλήρωσαν· μᾶλλον δὲ καὶ δὶς καὶ τρὶς τοσαῦτα. εἰπὲ γάρ μοι· ἡ πόλις ἡμῶν εἰς πόσον μιγάδων ἀριθμὸν νῦν τελεῖ, πόσους βούλεσθε εἶναι Χριστιανούς; βούλεσθε δέκα μυριάδας, τὸ δὲ ἄλλο Ἑλλήνων καὶ Ἰουδαίων; πόσαι μυριάδες χρυσίου συνελέγησαν; πόσος δὲ ἀριθμός ἐστι πενήτων; οὐκ οἶμαι πλέον μυριάδων πέντε. τούτους δὴ καθ' ἑκάστην ἡμέραν τρέφεσθαι, πόση ἀφθονία ἦν; μᾶλλον δὲ κοινῆς τῆς τροφῆς γινομένης, καὶ συσσιτίου ὄντος, οὐδὲ πολλῆς ἂν ἐδέησε δαπάνης. τί οὖν, φησιν, ἐμέλλομεν ποιεῖν μετὰ τὸ ἀναλωθῆναι; σὺ οἴει δυνηθῆναι ἀναλωθῆναί ποτε; οὐ γὰρ ἂν μυριοπλασίων ἡ τοῦ Θεοῦ χάρις γέγονε; οὐ γὰρ πλουσίως ἂν ἡ τοῦ Θεοῦ χάρις ἐξεχύθη; τί δέ, οὐκ ἂν οὐρανὸν ἐποιήσαμεν τὴν γῆν; εἰ ἔνθα τρισχίλιοι καὶ πεντακισχίλιοι τοῦτο γινόμενοι οὕτως ἔλαμψε, καὶ οὐδεὶς αὐτῶν πενίαν ᾐτιάσατο· πόσῳ μᾶλλον ἐν τοσούτῳ πλήθει; τίς δὲ οὐκ ἂν καὶ τῶν ἔξωθεν ἐπέδωκεν; ἵνα δὲ δείξω ὅτι τὸ διεσπασμένον τοῦτο δαπανηρόν, καὶ πενίας ποιητικόν· ἔστω οἰκία, ἔνθα παιδία δέκα καὶ γυνή, καὶ ἀνήρ· καὶ ἡ μὲν ἐριουργείτω, ὁ δὲ ἔξωθεν φερέτω προσόδους. εἰπὲ δή μοι, οὕτω κοινῇ σιτούμενοι, καὶ μίαν ἔχοντες οἰκίαν πλείονα ἀναλίσκουσιν, ἢ διασπασθέντες; εὔδηλον ὅτι διασπασθέντες. εἰ γὰρ μέλλοιεν διασπᾶσθαι τὰ δέκα παιδία, δέκα καὶ οἰκημάτων χρεία, δέκα ὑπηρετῶν, καὶ τῆς ἄλλης προσόδου τοσαύτης. τί δὲ ἔνθα δούλων πλῆθός ἐστιν; οὐχὶ διὰ τοῦτο πάντες μίαν ἔχουσι τράπεζαν, ὥστε μὴ πολλὴν γίνεσθαι τὴν δαπάνην; ἡ γὰρ διαίρεσις ἀεὶ ἐλάττωσιν ἐμποιεῖ· ἡ δὲ ὁμόνοια καὶ συμφωνία, αὔξησιν. οὕτως οἱ ἐν τοῖς μοναστηρίοις ζῶσι νῦν, ὥσπερ ποτὲ οἱ πιστοί. τίς ἂν ἀπέθανεν ὑπὸ λιμοῦ; τίς δὲ οὐ διετράφη μετ' ἀφθονίας πολλῆς; νῦν μὲν οὖν τοῦτο δεδοίκασιν ἄνθρωποι μᾶλλον, ἢ εἰς πέλαγος ἐμπεσεῖν ἄπλετον καὶ ἄπειρον. εἰ δὲ πεῖραν ἐποιησάμεθα τούτου, τότε ἂν κατετολμήσαμεν τοῦ πράγματος. πόσην οἴει καὶ χάριν εἶναι; εἰ γὰρ τότε ὅτε οὐδεὶς ἦν πιστός, ἀλλὰ τρισχίλιοι καὶ πεντακισχίλιοι μόνον· ὅτε πάντες οἱ τῆς οἰκουμένης, ἦσαν ἐχθροί· ὅτε οὐδαμόθεν προσεδόκων παραμυθίαν, οὕτω δὴ κατετόλμησαν τοῦ πράγματος, πόσῳ μᾶλλον νῦν τοῦτο ἂν ἐγένετο, ἔνθα τῇ τοῦ Θεοῦ χάριτι πανταχοῦ τῆς οἰκουμένης πιστοί; τίς δ' ἂν ἔμεινεν Ἕλλην λοιπόν; οὐδένα ἔγωγε ἡγοῦμαι. οὕτως ἂν πάντας ἐπεσπασάμεθα, καὶ εἱλκύσαμεν πρὸς ἡμᾶς αὐτούς. πλὴν ἀλλ' ἐὰν ὁδῷ ταύτῃ προβαίνωμεν, πιστεύω τῷ Θεῷ ὅτι καὶ τοῦτο ἔσται. πείθεσθέ μοι μόνον, καὶ κατὰ τάξιν κατορθώσομεν τὰ πράγματα· καὶ ἂν ὁ Θεὸς ζωὴν δῷ, πιστεύω ὅτι ταχέως εἰς ταύτην ἡμᾶς ἄξομεν τὴν πολιτείαν. τέως τὸν νόμον τὸν περὶ τοῦ ὅρκου κατορθώσατε, καὶ βεβαιώσατε· καὶ ὁ φυλάξας, τὸν μὴ φυλάξαντα δῆλον ποιείτω, καὶ ἐγκαλείτω λοιπόν, καὶ ἐπιτιμάτω σφοδρῶς. ἡ γὰρ προθεσμία ἐγγύς, καὶ ἐξέτασιν ποιήσω τοῦ πράγματος, καὶ τοὺς ἁλόντας ἀφορίσω καὶ ἀπείρξω. ἀλλὰ μηδένα γένοιτο τοιοῦτον εὑρεθῆναι παρ' ἡμῖν· ἀλλὰ πάντας μετ' ἀκριβείας τὸ σύνθημα τὸ πνευματικὸν τοῦτο φυλάξαι. καθάπερ γὰρ ἐν πολέμῳ ἀπὸ τοῦ συνθήματος οἵ τε οἰκεῖοι καὶ ἀλλότριοι γνωρίζονται· οὕτω δὴ καὶ νῦν γινέσθω. καὶ γὰρ καὶ νῦν ἐν πολέμῳ ἐσμέν, ἵνα καὶ τοὺς ἀδελφοὺς ἐπιγινώσκωμεν τοὺς οἰκείους. ὅσον ἀγαθόν, τοῦτο ἡμῖν εἶναι τὸ γνώρισμα, καὶ ἐνταῦθα, καὶ ἐπὶ τῆς ἀλλοτρίας; οἷον τοῦτο ὅπλον κατὰ τῆς τοῦ διαβόλου μηχανῆς; στόμα γὰρ οὐκ εἰδὸς ὀμνύειν, ταχέως καὶ τὸν Θεὸν ἐν εὐχαῖς ἐπισπάσεται, καὶ τὸν διάβολον πλήξει καιρίαν πληγήν. στόμα οὐκ εἰδὸς ὀμνύειν, οὐδὲ ὑβρίζειν οἶσε. καθάπερ ἐξ οἰκίας τινός, οὕτως ἀπὸ τῆς γλώττης τὸ πῦρ ἔκβαλε τοῦτο, καὶ παράλκυσον ἔξω· μηδὲ αὐτῷ μικρὸν ἀναπνεῦσαι· τὸ ἕλκος ἀσθενέστερον ποίησον. ναὶ παρακαλῶ, ἵνα ὑμῖν καὶ ἕτερόν τι ἐκθῶ μάθημα. οὔπω γὰρ τούτου κατορθωμένου, οὐ τολμῶ ἐπὶ ἕτερόν τι ἐλθεῖν. τοῦτο μετ' ἀκριβείας ὑμῖν κατορθωθήτω· τούτου λάβετε τοῦ κατορθώματος αἴσθησιν πρότερον, καὶ τότε ὑμῖν καὶ ἑτέρους εἰσάξω νόμους· μᾶλλον δὲ οὐκ ἐγώ, ἀλλ' ὁ Χριστός. φυτεύσατε ἐν τῇ ψυχῇ τῇ ὑμετέρᾳ τοῦτο τὸ καλόν, καὶ κατὰ μικρὸν ἔσεσθε παράδεισος τοῦ Θεοῦ, πολλῷ βελτίων ἐκείνου τοῦ παραδείσου. οὔτε γὰρ ὄφις παρ' ὑμῖν,

A & divites & pauperes. non majorem autem pauperibus quam divitibus hoc voluptatem afferret. Et si placet hoc sermone describamus, & sic voluptatem assequamur, quandoquidem operibus non vultis. Maximè autem & ex illis manifestum, quæ tunc facta, quia vendentes non erant indigi, sed & pauperes faciebant divites: veruntamen & hoc nunc sermone describamus, & omnes sua vendant omnia, & in medium afferant. Hoc sermone dico, nullus turbetur, neque dives, neque pau-
B per. Quantum putas aurum congeri, ego conjecto, neque enim hoc satis evidenter dici potest: quòd si cuncti & cunctæ universas pecunias suas evacuarint, & agros, & domos, & possessiones alienarint (servos enim non dixerim: nam & tunc non erant, & domsnos sumpsorum permittebant fieri,) forsan centum decem millia librarum auri congregarentur, imò bis ac ter tanta. Dic enim oro mihi: Civitas enim nostra promiscuorum hominum, quantum implet numerum? quot vultis esse
C Christianos? vultis esse centum millia? quantus autem numerus Ethnicorum & Judæorum? quot pondo auri congregata fuerunt? quantus autem est numerus pauperum? non opinor supra centum millia pauperes. Hos sanè quotidie pasci quanta liberalitas esset, imò communi alimento facto, si simul pascerentur, non plurimo sumptu esset opus? Quid igitur facturi essemus, insumptis omnibus? Putasne tu posse insumi omnia aliquando? Nónne mille millies Dei gratia auctiora fierent? Nónne
D opulenter gratia Dei effunderetur? Quid igitur, nónne cœlum faceremus terram? Si hic tria millia & quinque millia in tantum fulserunt, ut nullus eorum inopiam quereretur, multò magis in tanta multitudine. Quis igitur etiam exterus non aliquid adjiceret? Ut autem ostendam, quod hoc in diversa divelli, sumptuosum sit, & inopiæ causa, sit domus ubi pueri decem, & uxor, & vir, & illa quidem lanam operetur, ille autem externè afferat emolumenta. Dic, num plus insu-
E mant unam habentes domum, vel dispersi? manifestum quod dispersi. Dispersi enim decem pueri, decem domiciliis opus habent, decem mensis, decem ministris, & alio hujusmodi emolumento. Cur autem hic servorum multitudo non est? Nónne quia mensam unam omnes habent, ut non opus sit magno sumptu? Nónne divisio semper minora commoda affert? unanimitas autem & consensus, incrementum? Sic qui in Monasteriis nunc vivunt, quemadmodum olim fideles.
A Quis mortuus est fame? quis non liberaliter educatus est? nunc tamen hoc timent homines, magis quàm immensum & inexhaustum pelagus incidere. Si autem periculum hujus faceremus, tunc aggrederemur rem: quantam putas, & gratiam fore. Si enim tunc quum nullus esset fidelis, sed solùm tria millia & quinque millia solum, quum omnes qui in mundo, essent hostes, quum nusquam consolationem expectarent, sic aggressi sunt opus: multò magis nunc nihil
B defuturum, ubi gratia Dei, ubicunque terrarum fideles. Quis enim mansit Ethnicus reliquus? nullum equidem opinor; ita omnes attraximus, & nobis conciliavimus. Veruntamen si hac via progredimur, credo Deo quod & hoc futurum sit. Obtemperate mihi solùm, & per ordinem corrigemus negotia: & si Deus vitam dederit, credo quòd statim in hanc nos recepturi simus vitæ rationem. Jam legem illam de juramento facite & stabilite, & is qui servarit eum qui
C non servarit, manifestum faciat, & reprehendat posteà acriter, vehementerque increpet. Præscriptus enim terminus propè est, & exquiram negotium, & deprehensum segregabo & excludam. Absit autem ne quis talis apud nos inveniatur, sed omnes cum diligentia spirituale hoc servent symbolum. Quemadmodum enim in bello, tam commilitones quàm alieni à signo dignoscuntur, ita etiam nunc fiat (nam & nunc in bello sumus) ut & fratres agnoscamus nostros: quan-
D tum bonum erit nobis hoc signaculum, & hic in aliena terra? quanta sunt hæc arma adversus diaboli versutias? Os enim quod nescit jurare, statim etiam Deum in precibus invocans conciliabit, & gravi plaga diabolum percutiet. Os quod jurare nescit, neque contumeliis afficiendi consuetudinem habebit. Nam quemadmodum ex domu quadam, ita à lingua hunc ignem ejice, & foras trahe. Minimè illud respirare sinas, ulcus infirmius fac. Etiam obsecro, ut nobis & aliam quan-
E dam doctrinam exponat. Nondum enim hoc non correcto, non ausim ad aliud quiddam venire. Hoc cum diligentia à nobis corrigatur. Hujus correctionis sensum prius accipite, & tunc vobis etiam alias allaturus sum leges: imò non ego, sed Christus. Plantate in anima vestra bonum hoc, & paulò post eritis Paradisus ac hortus Dei, multò melior illo Paradiso: neque enim serpens apud vos,

neque

neque arbor mortifera, neque aliquid aliud horum. Figite in profundo hanc consuetudinem. Si hoc evenerit, non solùm præsentibus eritis utiles, sed etiam omnibus qui in mundo: & non his solis, sed & iis qui olim futuri sunt. Consuetudo enim bona semel recepta, & ab omnibus servata, in longum tempus
Num 15.35. transit, & nullum tempus extirpare eam valet. Si *ligna quidam Sabbato colligens, lapidatus est*, qui multò graviora collectione illa operatur, & onus peccatorum colligit (est enim juramentorum multitudo, onus) quid non sustinebit? quid non portabit? Magnum accepturi estis à Deo adjutorium, si hoc vos rectè correxeritis. Si dixero: Ne contumelia afficias, statim furorem mihi profers in medium. Si dixero: Ne invideas, aliam causam dices. Hic nihil tale poteris dicere, propterea à facilibus incipio, quandoquidem & alii in artibus aliis omnibus idem faciunt, ut quis sic ad majora veniat. Scietis quam sit hoc facilè, si corrigentes, etiam aliam accipietis legem. Date mihi libertatem loquendi etiam, quæ Ethnicis & Judæis est, & ante omnia quæ Dei est. Etiam oro per charitatem, per dolorem partus quo vos peperi, filii mei. Quod autem sequitur
Gal. 4,19. non adducam: *Quos iterum parturio*, neque dicam; *donec figuretur in vobis Christus*. Credo enim quod figuratus est Chri-
1.Thes.2, 19. stus in vobis, sed alia ad vos dicam: *Fratres mei dilecti & desiderati, gaudium & corona mea.* Credite enim mihi, quod non aliter dicam. Si quis innumeras gemmatas coronas meo capiti nunc imposuisset, non tam lætificaret, quantum in profectu vestro: imò neque Regem opinor sic gaudere, sicut ego de vobis. Quid dicam? Si omnibus Gentibus adversariis expugnatis victor rediisset, & pretiosa corona plures alias pretiosiores accepisset coronas, & diademata victoriæ symbola: non opinor sic illum gavisurum in triumphis, sicut ego in profectu vestro: nam quasi innumeras coronas super caput habens, exultarem, & merito. Si enim divina gratia hic mos à vobis acceptus fuerit, innumera bella devicimus. & multò difficiliora quàm ille, contra dæmones malignos, contra arrogantes & certantes, & præliantes, non gladio, sed lingua & voluntate. Vide enim quanta correxeritis, si quidem correxeritis. Primùm, quia consuetudinem difficilem exsecatis. Deinde rationem malam, & unde omnia mala, nempe quòd putatis nihil referre, & nihil nocere. Tertiò furorem, quartò avaritiam. Omnia enim hæc juramentum parit. Quin ab hoc & ad alia bona opera magnam accipietis occasionem. Quemadmodum enim qui elementa discunt puerilia, non illa sola discont, sed etiam per illa erudiuntur paulò pòst legere: ita sanè & vos non ultrà decipiet mala ratio, neque ultra à dictis qood indifferens hoc sit, non ultra juxta consuetudinem loquemini, sed in omnibus stabitis viriliter, ut perfectis per omnia virtutibus quæ Deo placent æterna accipiatis bona, gratia & misericordia unigeniti illius Filii, cum quo Patri & Sancto Spiritui sit gloria, imperium, honor, nunc, & semper, & in secula seulorum, Amen.

HOMILIA XII.

Joseph autem qui agnominatus est Barnabas ab Apostolis: quod si interpreteris, est filius consolationis, Levites, Cyprius genere, quum haberet prædium, vendidit, & portavit, & posuit ad pedes Apostolorum.

NARRATURUS de Anania & Sapphire, & volens ostendere virum qui pessimè egerat, prius memorat eum qui benè fecerat. Quia quum tanta esset multitudo, tanta faciens, tantaque gratia ac tanta signa, à nollo horum emendatus, sed semel ab evaritia excæcatus, perniciem illam sibi conciliavit suo capiti, *quum esset illi prædium*, manifestans, quod illud solùm possideret: vendito eo, attulit pecuniam. & posuit jux-
Cap.V. ta pedes Apostolorum. *Vir autem quidam Ananias cum Sapphira uxore sua, vendiderat possessionem suam, & seposuerat de precio, conscia uxore, & illatam partem quandam ad pedes Apostolorum posuit.* Hoc grave, quod peccatum fiebat simul illis reponentibus, & nullo alio conscio, unde evenit misero illi hoc facere? Dixit autem Petrus: *Anania, quare implevit Satanas cor tuum, ut mentireris tu Spiritui Sancto, & seponeres de pretio prædii?* Vide & nunc magnum signum fieri, & priore multò majus: *Nonne manens tibi mansisset, & venditum in tua potestate erat?* Hoc est nunquid oecessitas vel violentia quædam erat? Nunquid enim invitos vos trahimus? *Quid quòd ponis in corde tuo rem hanc, non mentitus es hominibus,*

οὔτε δένδρον θανατηφόρον, οὔτε ἄλλο τι τούτων οὐδέν. πήξατε ἐν βάθει ταύτην τὴν συνήθειαν. ἂν τοῦτο γένηται, οὐχ ὑμεῖς οἱ παρόντες ὠφεληθήσεσθε μόνον, ἀλλὰ καὶ πάντες οἱ ἐν τῇ οἰκουμένῃ· καὶ οὐκ ἐκεῖνοι μόνον, ἀλλὰ καὶ οἱ μετὰ ταῦτα ἐπιγινόμενοι. ἔθος γὰρ καλὸν εἰσελθὸν, καὶ παρὰ πάντων φυλαττόμενον, εἰς μακροὺς διαδοθήσεται χρόνους, καὶ οὐδεὶς αὐτὸ καιρὸς ἐκκόψαι δυνήσεται. εἰ ξύλα τις συλλέγων ἐν σαββάτῳ λιθόλευστος γέγονεν· ὁ τὰ πολλῷ τῆς συλλογῆς ἐκείνης χαλεπώτερα ἐργαζόμενος, καὶ φορτίον ἁμαρτιῶν συλλέγων· τοῦτο γὰρ τῶν ὅρκων τὸ πλῆθος· τί [οὐχ] ὑποστήσεται; τί δὲ οὐχ ὑπομενεῖ; πολλὴν λήψεσθε παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν, ἐὰν τοῦτο ὑμῖν κατορθωμένον ᾖ. ἂν εἴπω, μὴ ὑβρίσῃς, εὐθέως τὸν θυμόν μοι φέρεις εἰς μέσον· ἂν εἴπω, μὴ βασκήνῃς, ἄλλην αἰτίαν ἐρεῖς· ἐνταῦθα οὐδὲν τοιοῦτον ἔχεις εἰπεῖν. διὰ τοῦτο ἀπὸ τῶν εὐκόλων ἠρξάμην· ἐπεὶ καὶ ἐν ταῖς τέχναις ἁπάσαις τὸ αὐτὸ ποιοῦσιν· οὕτω τις καὶ ἐπὶ τὰ μείζονα ἔρχεται, τὰ εὐκολώτερα πολλῷ πρῶτον μανθάνων. οἴσεσθε πῶς [ἐστιν] εὔκολον τοῦτο, ἐὰν τῇ τοῦ Θεοῦ χάριτι κατορθώσαντες, καὶ ἕτερον δέξησθε νόμον. δότε μοι παρρησίαν, καὶ ἐπὶ Ἑλλήνων, καὶ ἐπὶ Ἰουδαίων, καὶ πρὸ πάντων ἐπὶ τοῦ Θεοῦ· καὶ παρακαλῶ πρὸς τῆς ἀγάπης, πρὸς τῆς ὠδῖνος δι᾽ ἧς ὑμᾶς ὤδινα, τεκνία μου. τὸ δὲ ἑξῆς, οὐκ ἐπάξω τό, οὓς πάλιν ὠδίνω· οὐδὲ ἐρῶ τὸ ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. πιστεύω γὰρ, ὅτι μεμόρφωται Χριστὸς ἐν ὑμῖν. ἀλλ᾽ ἕτερα πρὸς ὑμᾶς ἐρῶ· ἀδελφοί μου ἀγαπητοὶ καὶ ἐπιπόθητοι, χαρὰ καὶ στέφανός μου. πιστεύσατε γάρ μοι ὅτι οὐκ ἄλλως ἐρῶ. εἰ μυρίους τις λιθοκολλήτους στεφάνους βασιλικοὺς ἐπέθηκέ μου τῇ κεφαλῇ νῦν, οὐκ ἂν εὐφράνθην ὡς εὐφραίνομαι ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ· μᾶλλον δὲ, οὐδὲ τὸν βασιλέα οὕτως οἶμαι χαίρειν, ὡς ἐγὼ ἐφ᾽ ὑμῖν. τί λέγω; εἰ πάντα τὰ ἔθνη τὰ πολέμια αὐτῷ νικήσας ἐπανῆλθε, καὶ τοῦ νομισμένου στεφάνου πλείους ἑτέρους ἔλαβε στεφάνους, καὶ ἕτερα διαδήματα σύμβολα τῆς νίκης, οὐκ ἂν αὐτὸν οὕτως οἶμαι χαίρειν ἐπὶ τοῖς τροπαίοις, ὡς ἐγὼ ἐπὶ τῇ προκοπῇ τῇ ὑμετέρᾳ. ὥσπερ γὰρ μυρίους στεφάνους ἐπὶ τῆς κεφαλῆς ἔχων οὕτως ἀγάλλομαι, καὶ σκιρτῶ. ἂν γὰρ τῇ τοῦ Θεοῦ χάριτι τοῦτο ὑμῖν κατορθωθῇ τὸ ἔθος, μυρίους νενικήκατε πολέμους, καὶ πολλῷ χαλεπωτέρους ἐκείνων, πρὸς δαίμονας πονηρούς, πρὸς ἀλάστορας παλαίσαντες καὶ μαχεσάμενοι οὐ διὰ μαχαίρας, ἀλλὰ διὰ γλώττης καὶ προαιρέσεως. ὅρα γὰρ ὅσα κατορθοῦτε, ἐὰν ἄρα κατορθώσητε. πρῶτον, ὅτι συνήθειαν χαλεπὴν ἐξεκόψατε· δεύτερον, λογισμὸν πονηρὸν, καὶ ὅθεν πάντα τὰ κακὰ, νομίζειν ἀδιάφορον εἶναι τὸ πρᾶγμα καὶ μηδὲν βλάπτειν· τρίτον, τὸν θυμόν· τέταρτον, τὴν φιλοχρηματίαν. πάντα γὰρ ταῦτα ὁ ὅρκος τίκτει. ἀλλὰ ἀπὸ τούτου καὶ εἰς τὰ ἄλλα κατορθώματα λήψεσθε πολλὴν ἀφορμήν. καθάπερ γὰρ οἱ τὰ στοιχεῖα μανθάνοντες τῶν παίδων, οὐκ ἐκεῖνα μόνα μανθάνουσιν, ἀλλ᾽ ἐν ἐκείνοις παιδεύονται μετὰ μικρὸν ἀναγινώσκειν· οὕτω δὴ καὶ ὑμεῖς, οὐκ ἔτι λοιπὸν ὑμᾶς ὁ πονηρὸς λογισμὸς ἀπατήσει, οὐδὲ ἐρεῖτε ὅτι ἀδιάφορόν ἐστι τόδε, οὐκ ἔτι τῇ συνηθείᾳ φθέγξεσθε, ἀλλὰ πρὸς ἅπαντα στήσεσθε γενναίως, ἵνα διὰ πάντων τὴν κατὰ Θεὸν ἀρετὴν διανύσαντες, τῶν αἰωνίων ἀπολαύσητε ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ ιϐ΄.

Ἰωσὴφ δὲ ὁ ἐπικληθεὶς Βαρνάβας ὑπὸ τῶν ἀποστόλων, ὅ ἐστι μεθερμηνευόμενον υἱὸς παρακλήσεως, Λευΐτης, Κύπριος τῷ γένει, ὑπάρχοντος αὐτῷ ἀγροῦ, πωλήσας ἤνεγκε χρῆμα καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων.

ΜΕΛΛΩΝ διηγεῖσθαι τὰ κατὰ Ἀνανίαν λοιπὸν καὶ Σάπφειραν, καὶ θέλων δεῖξαι τὸν ἄνδρα χείριστα ἡμαρτηκότα, πρῶτον μέμνηται τοῦ κατωρθωκότος· ὅτι τοσούτου πλήθους ὄντος, καὶ ταῦτα ποιοῦντος, τοσαύτης χάριτος, τοσούτων σημείων, οὐχ ὑπ᾽ οὐδενὸς τούτων διωρθώθη, ἀλλὰ καθάπαξ ὑπὸ τῆς φιλοχρηματίας τυφλωθεὶς, τὸν ὄλεθρον ἐκεῖνον ἐπεσπάσατο τῇ ἑαυτοῦ κεφαλῇ. ὑπάρχοντος αὐτῷ ἀγροῦ. οὕτως εἶπε, δηλῶν ὅτι τοῦτον μόνον ἐκέκτητο. πωλήσας ἤνεγκε τὸ χρῆμα, καὶ ἔθηκε παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ἀνὴρ δέ τις ὀνόματι Ἀνανίας σὺν Σαπφείρᾳ τῇ γυναικὶ αὐτοῦ, ἐπώλησε κτῆμα, καὶ ἐνοσφίσατο ἀπὸ τῆς τιμῆς, συνειδυίας καὶ τῆς γυναικός. καὶ ἐνέγκας μέρος τι παρὰ τοὺς πόδας τῶν ἀποστόλων ἔθηκε. τὸ δεινὸν, ὅτι μετὰ συγκαταθέσεως ἡ ἁμαρτία, καὶ οὐδεὶς ἕτερος ᾔδει τὸ γινόμενον. πόθεν ἐπῆλθε τῷ ταλαιπώρῳ τούτῳ, καὶ ἄθλιον τοῦτο ἐργάσασθαι; εἶπε δὲ ὁ Πέτρος· Ἀνανία, διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου ψεύσασθαί σε τὸ πνεῦμα τὸ ἅγιον, καὶ νοσφίσασθαι ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; ὅρα καὶ νῦν μέγα σημεῖον γινόμενον, [καὶ] πολλῷ πλέον ἐκείνου τοῦ προτέρου. οὐχὶ μένον σοὶ ἔμενε, καὶ πραθὲν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ὑπῆρχε; τουτέστι, μὴ γὰρ ἀνάγκη ἦν καὶ βία, μὴ γὰρ ἄκοντας ὑμᾶς ἕλκομεν; τί ὅτι ἔθου ἐν τῇ καρδίᾳ σου τὸ πρᾶγμα τοῦτο, οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ

ἀλλὰ τῷ Θεῷ. ἀκούων δὲ ὁ Ἀνανίας τοὺς λόγους τούτους πεσὼν ἐξέψυξεν. ὁρᾷς πόθεν μεῖζον τὸ σημεῖον τοῦτο; ἀπὸ τοῦ ἀνελεῖν· ἀπὸ τοῦ τὰ ἐν διανοίᾳ εἰδέναι, καὶ τὰ λάθρα γεγονότα. ἐγένετο δὲ φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. ἀναστάντες δὲ οἱ νεώτεροι συνέστειλαν αὐτὸν, καὶ ἐξενέγκαντες ἔθαψαν. ἐγένετο δὲ ὡς ὡρῶν τριῶν διάστημα, καὶ ἡ γυνὴ αὐτοῦ μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθεν. ἀπεκρίθη δὲ αὐτῇ ὁ Πέτρος· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ταύτην ἐβούλετο σῶσαι· ἐκεῖνος γὰρ ἦν ὁ ἀρχηγὸς τῆς ἁμαρτίας. [καὶ] διὰ τοῦτο αὐτῇ δίδωσι τάχα καιρὸν ἀπολογίας, καὶ ἐξουσίαν μετανοίας. διὸ καὶ λέγει· εἰπέ μοι, εἰ τοσούτου τὸ χωρίον ἀπέδοσθε; ἡ δὲ εἶπε, ναὶ τοσούτου. ὁ δὲ Πέτρος εἶπε πρὸς αὐτήν· τί ὅτι συνεφωνήθη ὑμῖν πειράσαι τὸ πνεῦμα τὸ ἅγιον; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. ἔπεσε δὲ παρὰ τοὺς πόδας αὐτοῦ καὶ ἐξέψυξεν. εἰσελθόντες δὲ οἱ νεανίσκοι εὗρον αὐτὴν νεκρὰν, καὶ ἐξενέγκαντες ἔθαψαν πρὸς τὸν ἄνδρα αὐτῆς. καὶ ἐγένετο φόβος μέγας ἐφ' ὅλην τὴν ἐκκλησίαν, καὶ ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. μετὰ τὸ γενέσθαι τὸν φόβον αὐτῶν, πλείονα σημεῖα ἐποίουν. καὶ οἷα ἐποίουν, ἄκουε. διὰ δὲ τῶν χειρῶν τῶν ἀποστόλων, ἐγίνετο σημεῖα καὶ τέρατα ἐν τῷ λαῷ πολλά· καὶ ἦσαν ὁμοθυμαδὸν ἅπαντες ἐν τῇ στοᾷ Σολομῶνος. τῶν δὲ λοιπῶν οὐδεὶς ἐτόλμα κολλᾶσθαι αὐτοῖς, ἀλλ' ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. εἰκότως. καὶ γὰρ ὁ Πέτρος ἦν λοιπὸν φοβερὸς, κολάζων καὶ τὰ εἰς νοῦν ἐξελέγχων· ᾧ καὶ μᾶλλον προσεῖχον, διά τε τὸ σημεῖον, καὶ τὴν πρώτην δημηγορίαν, καὶ τὴν δευτέραν, καὶ τὴν τρίτην. αὐτὸς γὰρ καὶ τὸ σημεῖον εἰργάσατο τὸ πρῶτον, τὸ νῦν. ὅπερ ἐμοὶ καὶ διπλοῦν, ἀλλ' οὐχ ἁπλῶς ἓν καὶ μόνον εἶναι δοκεῖ· ἓν μὲν, τὸ [τὰ] κατὰ διάνοιαν ἐλέγξαι· δεύτερον δὲ, τὸ ἀνελεῖν προστάγματι. μᾶλλον δὲ προσετίθεντο πιστεύοντες, φησὶ, τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν, ὥστε κατὰ τὰς πλατείας ἐκφέρειν τοὺς ἀσθενεῖς καὶ τιθέναι ἐπὶ κλινῶν καὶ κραβάττων, ἵνα ἐρχομένου Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. τοῦτο ἐπὶ τοῦ Χριστοῦ οὐ γέγονεν. ὅθεν καὶ ὁρᾶν νῦν ἔστιν ἔργῳ τὸ ὑπ' αὐτοῦ εἰρημένον ἐξελθόν. ποῖον δὴ τοῦτο; ὁ πιστεύων εἰς ἐμὲ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει. συνήρχετο δὲ καὶ τὸ πλῆθος τῶν πέριξ πόλεων εἰς Ἱερουσαλὴμ φέροντες ἀσθενεῖς καὶ ὀχλουμένους ὑπὸ πνευμάτων ἀκαθάρτων, οἵτινες ἐθεραπεύοντο [ἅπαντες.] σὺ δέ μοι σκόπει πῶς αὐτοῖς ὁ βίος ὑφαίνεται πᾶς διὰ τῶν ἐναντίων. ἀθυμία πρώτη γέγονε διὰ τὴν ἀνάληψιν τοῦ Χριστοῦ, εἶτα εὐθυμία διὰ τὴν τοῦ πνεύματος κάθοδον· πάλιν ἀθυμία διὰ τοὺς χλευάζοντας, εἶτα εὐθυμία διὰ τοὺς πιστοὺς καὶ τὸ σημεῖον· πάλιν ἀθυμία διὰ τὸ καταχεθῆναι, εἶτα εὐθυμία διὰ τῆς ἀπολογίας. πάλιν ἐνταῦθα καὶ εὐθυμία καὶ ἀθυμία. ὅτι μὲν γὰρ ἦσαν λαμπροὶ, καὶ ὁ Θεὸς αὐτοῖς ἀπεκάλυψεν, εὐθυμία· ὅτι δὲ τοὺς αὐτῶν ἀνῄρουν, ἀθυμία. πάλιν εὐθυμία ἀπὸ τῆς λαμπρότητος· πάλιν ἀθυμία, ἀπὸ τοῦ ἀρχιερέως. καὶ διόλου τοῦτο σκοπουμένους ἰδεῖν δυνατόν. καὶ ἐπὶ τῶν παλαιῶν δὲ οὕτως εὕροι τις ἄν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπώλουν, φησὶ, καὶ ἔφερον τὰς τιμὰς, καὶ ἐτίθουν παρὰ τοὺς πόδας τῶν ἀποστόλων. ὅρα μοι, ἀγαπητὲ, πῶς οὐ τοῖς ἀποστόλοις ἐπέτρεπον πωλεῖν, ἀλλ' αὐτοὶ ἐπώλουν, καὶ τὰς τιμὰς ἐκείνοις ἐδίδοσαν. ἀλλ' οὐχ οὗτος ὁ Ἀνανίας· ἀλλ' ὑφαιρεῖται τι τῆς τιμῆς τοῦ ἀγροῦ. διὸ καὶ τιμωρεῖται ὡς τὸ πρᾶγμα μὴ καλῶς διαθέμενος, καὶ κλέπτων τὰ ἑαυτοῦ φωραθείς. οὗτος καὶ τῶν νῦν ἱερέων ἥψατο ὁ λόγος, καὶ σφόδρα κατ' αὐτούς. ἐπεὶ δὲ συνῄδει τῷ γινομένῳ καὶ ἡ τούτου γυνὴ, διὰ τοῦτο καὶ αὐτὴν ἐξετάζει. ἀλλ' ἴσως εἴποι τις ἂν ὅτι σφόδρα πικρῶς αὐτῇ ἐχρήσατο. τί λέγεις; εἰπέ μοι. ποία πικρία; εἰ ξύλα τις συλλέξας καταλεύεται, πολλῷ μᾶλλον ὁ ἱερόσυλος; [καὶ] ταῦτα γὰρ ἱερὰ λοιπὸν ἦν τὰ χρήματα. οὐκοῦν ὁ ἑλόμενος τὰ αὐτοῦ πωλῆσαι καὶ διαδοῦναι, εἶτα λαβὼν, ἱερόσυλος ἂν εἴη. εἰ δὲ ὁ ἐκ τῶν αὐτοῦ λαβὼν ἱερόσυλος, πολλῷ μᾶλλον ὁ ἐκ τῶν ἀλλοτρίων; μὴ γὰρ, ἐπειδὴ νῦν μὴ γίνεται τοῦτο καὶ ἕπεται παραχρῆμα ἡ κόλασις, νομίσητε ἀτιμωρητὶ ταῦτα γίνεσθαι; ὁρᾷς ὅτι τοῦτο ἐγκαλεῖται, ὅτι ποιήσας αὐτὰ ἱερὰ χρήματα τότε ἔλαβε; μὴ γὰρ οὐκ ἠδύνατο, φησὶ, καὶ μετὰ τὸ πωλῆσαι αὐτὰ ὡς ἰδίοις ἀποχρήσασθαι, μὴ γὰρ ἐκωλύθης; διατί μετὰ τὸ ὑποσχέσθαι λαμβάνεις; ὅρα πῶς εὐθέως ἐξ ἀρχῆς ἐπέθετο ὁ διάβολος μεταξὺ σημείων γινομένων καὶ θαυμάτων τοσούτων [μᾶλλον δὲ] πῶς καὶ οὗτος ὑπ' αὐτοῦ ἐπωρώθη. τοιοῦτόν τι καὶ ἐν τῇ παλαιᾷ γέγονεν, ὅτε ὁ Χαρμὶ τὸ ἀνάθημα κλέψας ἑάλω, ἀλλ' ὅμως ἔγνως καὶ ἐκεῖ μεθ' ὅσης ἐκδικίας διωρθώθη τὸ πρᾶγμα. ἱεροσυλία γὰρ σφόδρα χαλεπὸν, ἀγαπητὲ, καὶ πολλῆς γέμον καταφρονήσεως. οὔτε πωλῆσαι ἠναγκάσαμεν, φησὶν, οὔτε πωλήσαντα δοῦναι τὰ χρήματα· σὺ εἵλου ἐξ οἰκείας προαιρέσεως. τί τοίνυν ἔκλεψας ἀπὸ τῶν ἱερῶν χρημάτων; διατί ἐπλήρωσε, φησὶν, ὁ Σατανᾶς τὴν καρδίαν σου; καὶ εἰ ὁ Σατανᾶς τοῦτο ἐποίησε, τί αὐτὸς ἐγκαλεῖται; αἴτιος γέγονε δεξάμενος αὐτοῦ τὴν ἐνέργειαν, καὶ πληρωθείς. ἀλλ' ἔδει διορθῶσαι, φησίν; ἀλλ' οὐκ ἂν διωρθώ-

sed Deo. Audiens autem Ananias, cecidit & expiravit. Vides unde majus signum hoc? Ex eo quod sustulit, & quod cognovit ea quæ in mente, & quæ clàm facta. *Factus est autem metus magnus super omnes qui audierant hæc. Surgentes autem juniores, amoverunt, elatumque sepelierunt. Factum est autem quasi trium horarum intervallo, etiam uxor illius, nesciens quid factum, intravit. Respondit autem illi Petrus: Num tanti agrum vendidistis?* Hanc volebat servare. Ille enim dux erat peccati, & propter hoc, huic dat fortasse tempus defensionis, & potestatem pœnitentiæ. Ideò & dicit: *Dic mihi, si tanti prædium vendidistis? Illa autem dixit: Etiam tanti. At Petrus dixit ad illam: Cur conspiratum est inter vos tentare Spiritum sanctum? Ecce pedes eorum qui sepelierunt virum tuum, ad januam, & efferent te. Cecidit autem statim juxta pedes illius & expiravit. Ingressi autem juvenes invenerunt illam mortuam, & elatam sepelierunt juxta virum suum. Et factus est timor magnus super totam Ecclesiam, & super omnes qui audiebant illa.* Postquam factus est timor, majora signa fecerunt: & quæ fecerint, audi: *Per manus autem Apostolorum fiebant signa & prodigia in populo multa. & erant unanimiter omnes in porticu Salomonis. Aliorum autem nullus audebat illis adhærere, sed magnificabat illos populus.* Meritò etenim Petrus erat jam terribilis, puniens, & quæ in mente erant redarguens, cui & magis adhæserant, tum propter signum & primam concionem secundamque ac tertiam. Ipse enim & fecerat signum primum illud nunc, quod mihi etiam duplex, & non simpliciter unum quoddam ac solùm esse videtur. Unum quidem, ex mente arguere. Secundum autem, occidere præcepto. *Magis autem apponebantur credentes*, inquit, *multitudo virorum simul ac mulierum, ita ut in plateas exportarent infirmos, & ponerent in lectulis ac grabbatis, ut venientis Petri vel umbra obumbraret aliquem horum.* Hoc in Christo non est factum. proinde videre licet re ipsa impletum esse quod dixerat: *Qui credit in me, opera quæ ego facio & ille faciet, & majora illis faciet.* Joh. 14, 12. *Conveniebat autem & multitudo vicinarum civitatum Hierosolymam, afferens ægros ac vexatos à spiritibus immundis, qui sanabantur omnes.* Tu autem considera quomodo omnis illorum vita, adversitatibus contexatur: mœror primus erat assumpto Christo, deinde lætitia, demisso Spiritu sancto. Iterum mœror, subsannantibus Judæis: & mox lætitia, ex fidelibus & signum. Iterum mœror, quia comprehendebantur, quem excepit excusationis lætitia. Iterum etiam hîc & mœror ac lætitia, nam lætitia quidem erat, quod sic clarescerent, & quod illis Deus revelationes faciebat: mœror autem, quod suos occidebant. Iterum lætitia, quod clarescerent: iterum mœror, à Principe Sacerdotum: & ubique considerantes, videre hoc possunt, quod sanè etiam apud veteres quis invenerit. Videamus autem iterum quæ dicta sunt. *Vendebant*, inquit, *& afferebant pretia, ac apponebant juxta pedes Apostolorum.* Vide dilecte, quomodo non permittebant Apostolis vendere, sed ipsi vendebant, & illis pretia dabant. At non sic Ananias, sed *subtrahit aliquid de pretio agri quem vendiderat.* Ideò & punitur tanquam non benè in hac re se habens, & deprehensus rerum propriarum fur. Hic sermo etiam nostri temporis Sacerdotes plurimum taxat. Quoniam autem facti conscia erat & illius mulier, ideò & illam examinat. At dixerit fortasse quispiam, quod valdè acerbè illam tractarit. Dic sodes, quæ est illa severitas amara? Si enim *qui ligna collegerat, lapidatur*, Num. 15, 32 quantò magis qui sacra diripit, sacrilegus? Etenim pecuniæ illæ jam sunt sacræ. Igitur qui voluit sua vendere, ac distrahere, iterumque accepit de illis, sacrilegus fuerit. Si autem qui de suis accepit, sacrilegus, multò magis qui de alienis. Non enim quoniam hoc non fit, ut e vestigio sequatur supplicium, putetis impunita derelinqui. Vides quod hoc crimen imputatur, eo quod pecunias suas accepit, quas consecrarat. *Nunquid non poterat illis, etiam quum vendideras, tanquam propriis uti?* Nunquid prohibitus es? Quare accipis postquam promisisti? Vide quomodo statim ab initio insidiatus est diabolus etiam in mediis signis ac prodigiis quæ fiebant, imò quomodo & hic ab illo excæcatus est. Tale quiddam & in veteri lege accidit, quando Charmi deprehensus est anathematis fur: attamen nosti quantam & ille ut facinus admisit, pœnam luit. Sacrilegium enim valdè grave & magno contemptu plenum. Neque vendere coegimus, inquit, neque pecunias, postquam vendidisti, dare. Tu verò ex tua voluntate fecisti. Cur igitur furatus es de sacris pecuniis? *Implevit*, inquit, *Satanas cor tuum.* Et si Satanas hoc fecit, cur illi imputatur? Reus factus est illius operationi parens, & efficacia impletus. At oportebat, inquit, corrigi: sed non correctus esset: nam

H

A nam qui talia viderat, nullumque luctum inde fecerat, multò magis nec alia ratione lucrifieri poterat. Non oportebat igitur quod fiebat omnino contemni, sed ut putrefactionem quandam excindi, ut ne posteà totum corpus incommodet: nam nunc quidem, & ille utilitatem accipit, ne ultrà pergat in malitia, & cæteri magis studiosi facti sunt. Tunc autem si contrarium accidisset: idcirco primùm arguit & ostendit, quod non latuit illum quid factum sit, & tunc condemnat. *Quare*, inquit, *hoc fecisti?* Voluisti habere? Oporte- B bat initiò habere, & non promittere. Nunc autem postquam consecrasti, majus sacrilegium commisisti. Qui enim aliena rapit, forsan alienarum rerum desiderio rapit. Tibi autem licebat tua retinere. Cur igitur sacra fecisti ea, & posteà accepisti? Id fecisti ex magno contemptu. Facinus veniam non habet, excusatione caret. Nullus autem offendator, si quidam etiam nunc sint sacrilegi: si enim tunc fuerunt, multò magis & nunc quando multa mala: sed re- C prehendamus illos in omnibus, ut & cæteri metum habeant. Judas sacrilegus fuit, sed non offendit hoc alios discipulos. Vides quanta mala, pecuniarum cupiditas facit. *Et ortus est*, inquit, *timor magnus super omnes qui audiebant hæc.* Ille punitus est, & alii lucrifacti sunt. Atque adeò non simpliciter hoc dispensatur, tametsi & alia signa prius facta fuerunt, attamen non erat talis metus. Sic verum est illud, quod cognoscitur Dominus judicia faciens. Ita & in arca usuvenit. D

Psal. 9.16. 2.Reg.6,7. Oza enim punitus est, & factus est aliis timor. Sed illic quidem territus Rex amoverat arcam. Hic autem illi attentiores facti sunt. Vidisti quomodo non vocavit illam Petrus, sed expectavit donec ingrederetur? Neque alius quispiam ausus fuit annunciare quid acciderat. Hoc erat metus magistri, honor discipulorum, & obedientia. *Trium horarum intervallo.* Et nondum didicerat uxor, neque aliquis eorum qui præsentes fuerant, annunciarat, quamvis ad divulgandum sat temporis erat, veruntamen timebant. Hoc sanè etiam admi- E rans historiæ conscriptor dicit, quod *ignorans quid factum, ingressa est.* Sanè ex hoc poterat discere, quod sciret ea quæ occulta erant. Qoare enim nullo alio interrogato, vos interrogat? Nónne manifestum quod quasi conscia? Sed magna cæcitas non permisit illam crimen deponere: verùm cum pertinacia multa respondit. Putabat enim, quod cum homine loqueretur. Grave hoc, quod quasi ex uno consilio peccatum, vel quasi ex pacto quodam. *Cur igitur, conspiratum est inter* A *vos*, inquit, *tentare Spiritum sanctum? Ecce pedes illorum, qui virum tuum sepelierunt, apud januam sunt, & efferent te.* Prius illam docet quod peccarit, & tunc ostendit quòd justè eadem quæ vir passura sit, quandoquidem & eadem peccarat. Et quomodo? inquit, *Statim cecidit ad pedes illius, & expiravit.* Quia propè astabat. Sic illi in seipsos pœnam accerserunt. Quis non timuisset B Apostolum? Quis non admiratus esset? *Et erant simul unanimiter omnes in porticu Salomonis.* Et hoc manifestum quòd non in domibus, sed in templo quod occuparant, conversabantur. Neque ultra cavebant sibi ne contingerent mortua, sed nihil cutantes, eos attingebant. Et vide quomodo in suos erant austeri, in alios autem potentia non utebantur. *Magis autem*, inquit, *apponebantur credentes Domino multitudo tam virorum quam mulierum, ita ut in plateis ponerent infirmos in lectis ac grabbatis, ut venienti Petro vel umbra aliquem eorum obumbraret.* Magna acce- C dentium fides, & major quam sub Christo ipso. Unde autem hoc

Joh.14,12. factum est? Ex eo quod Christus prædixerat: *Qui credit in me, opera quæ ego facio faciet, & majora his faciet.* Manentibus enim illis illic, & circumeuntibus, afferebant omnes in lectis & grabbatis quos habebant infirmos. Et undequaque illis constabat miraculum à credentibus, & ab his qui curabantur, à fiducia quæ erga illos, à virtute eorum qui non vulgariter crediderant. Neque enim quod fiebat, tan- D tùm erat signorum, licet & illi modestè se habentes, hinc totum imputant, dicentes se in nomine Christi hæc facere, sed etiam vita & virtus virorum hoc fecit. Considera autem quomodo numerum eorum qui crediderunt hoc loco non dicit, relinquens hoc auditori, ut ex seipso conjectet. Sic ad immensam moltitudinem ea quæ fidei sunt, se extendebant. Hinc & resurrectio magis prædicabatur. *Nullus autem audebat se illis conjungere, sed magnificabat illos po-* E *pulus.* Hoc dicit, quòd non ultrà erant contemptibiles, sicut & prius, & quòd brevi tempore ac unico momento tanta facta sint à piscatore & privato. Cælum itaque jam erat terra, tum propter vivendi rationem, tum ob libertatem dicendi, miraculaque omnia, & quemadmodum Angeli, ita admirabiles erant ad nihil se convertentes, non ad risum, non ad minas, non ad pericula. Non solùm autem propter hoc,

ὁ γὰρ τοιαῦτα ὁρῶν καὶ μὴ κερδάνας, πολλῷ μᾶλλον οὐκ ἂν ἑτέρως ἐκέρδανεν. Οὐκ ἔδει τοίνυν ἁπλῶς παρελθεῖν τὸ γεγονός, ἀλλ᾽ ὡς σηπεδόνα τινὰ ἐκτμηθῆναι, ἵνα μὴ τὸ λοιπὸν λυμαίνηται σῶμα. Νῦν μὲν γὰρ καὶ οὗτος ὠφελεῖται μὴ προελθὼν περαιτέρω κακίας, καὶ οἱ λοιποὶ σπουδαιότεροι γινόμενοι· τότε δὲ ἂν τοὐναντίον συνέβη. Διὰ τοῦτο πρῶτον ἐλέγχει καὶ δείκνυσιν ὅτι οὐκ ἔλαθεν αὐτὸν τὸ γεγονός, καὶ τότε καταδικάζει. Διατί [γάρ] φησι, τοῦτο πεποίηκας; ἤθελες ἔχειν; ἔδει ἔχειν ἐξ ἀρχῆς, καὶ μὴ ὑποσχέσθαι. Νῦν δὲ λαβὼν μετὰ τὸ ἀναθεῖναι, μείζονα τὴν ἱεροσυλίαν εἰργάσω. Ὁ μὲν γὰρ τὰ τῶν ἄλλων λαμβάνων, ἴσως ἀλλοτρίων ἐπιθυμήσας λαμβάνει· σοὶ δὲ ἐξῆν ἔχειν τὰ σά. Εἰ τοίνυν ἐποίησας αὐτὰ ἱερά, καὶ τότε ἔλαβες; ἀπὸ πολλῆς καταφρονήσεως τοῦτο πεποίηκας. Οὐκ ἔχει τὸ γινόμενον συγγνώμην· ἐκτὸς ἐστὶν ἀπολογίας. Μηδεὶς δὲ σκανδαλιζέσθω, εἴ τινες καὶ νῦν εἰσιν ἱερόσυλοι· εἰ γὰρ τότε ἦσαν, πολλῷ μᾶλλον νῦν, ὅτε πολλὰ τὰ κακά· ἀλλ᾽ ἐλέγχωμεν αὐτοὺς ἐπὶ πάντων, ἵνα καὶ οἱ λοιποὶ φόβον ἔχωσιν. Ὁ Ἰούδας ἱερόσυλος ἦν· ἀλλ᾽ οὐκ ἐσκανδάλισε τοῦτο τοὺς μαθητάς. Ὁρᾷς ὅσα κακὰ ἡ τῶν χρημάτων ἐπιθυμία ποιεῖ; Καὶ ἐγένετο, φησί, φόβος μέγας ἐπὶ πάντας τοὺς ἀκούοντας ταῦτα. Ἐκεῖνος ἐτιμωρήθη, καὶ ἄλλοι ἐκέρδανον. Ὥστε οὐχ ἁπλῶς τοῦτο οἰκονομεῖται· καίτοι δὲ σημείων ἄλλων πρότερον γινομένων, ὅμως οὐκ ἦν φόβος τοσοῦτος. Οὕτως ἀληθές ἐστιν ἐκεῖνο, ὅτι γινώσκεται Κύριος κρίματα ποιῶν. Οὕτω καὶ ἐπὶ τῆς κιβωτοῦ γέγονεν. Ὀζᾶ ἐτιμωρήθη, καὶ ἐγένετο τοῖς ἄλλοις φόβος. Ἀλλ᾽ ἐκεῖ μὲν φοβηθεὶς ὁ βασιλεὺς ἀπέστησε τὴν κιβωτόν· ἐνταῦθα δὲ οὗτοι μᾶλλον προσεκτικώτεροι γίνονται. Οὐδεὶς πῶς οὐκ ἐκάλεσεν αὐτὴν ὁ Πέτρος, ἀλλ᾽ ἀνέμενεν ὥστε εἰσελθεῖν; οὐδεὶς τῶν ἄλλων ἐτόλμησεν ἐξειπεῖν τὸ γεγονός. Τοῦτο φόβος διδασκάλου· τοῦτο τιμὴ μαθητῶν· τοῦτο ὑπακοή. Τριῶν ὡρῶν διάστημα, καὶ οὐκ ἔμαθεν ἡ γυνή, οὐδεὶς ἐξεῖπεν τῶν παρόντων· καίτοι γε ἱκανὸν ἦν ἐξηχηθῆναι, ἀλλ᾽ ἐφοβοῦντο. Τοῦτο γοῦν [καὶ] θαυμάζων ὁ συγγραφεὺς λέγει· ὅτι μὴ εἰδυῖα τὸ γεγονὸς εἰσῆλθε. Καίτοι γε ἀπὸ τούτου ἠδύνατο μαθεῖν, ὅτι οἶδε τὰ λανθάνοντα. Διατί γὰρ μηδένα ἐρωτήσας ὑμᾶς ἐρωτᾷ; ἢ δῆλον ὅτι ὡς εἰδώς; ἀλλ᾽ ἡ πολλὴ πώρωσις οὐκ εἴασεν αὐτὴν τὸ ἔγκλημα ἀποδύσασθαι, ἀλλὰ μετὰ αὐθαδείας πολλῆς ἀποκρίνεται. Ἐνόμιζε γὰρ πρὸς ἄνθρωπον διαλέγεσθαι. Τὸ δεινὸν τοῦτο, ὅτι ὡς ἐκ μιᾶς βουλῆς ἐπὶ τὴν ἁμαρτίαν ἦλθον [ἢ] ὥσπερ ἀπὸ συνθήκης τινός. Τί ὅτι συνεφωνήθη ὑμῖν, φησί, πειράσαι τὸ πνεῦμα τὸ ἅγιον; ἰδοὺ οἱ πόδες τῶν θαψάντων τὸν ἄνδρα σου ἐπὶ τῇ θύρᾳ, καὶ ἐξοίσουσί σε. Πρότερον αὐτὴν διδάσκει τὸ ἁμάρτημα, καὶ τότε δείκνυσιν, ὅτι δικαίως τὰ αὐτὰ πείσεται τῷ ἀνδρί, ἐπεὶ καὶ τὰ αὐτὰ ἥμαρτε. Καὶ πῶς, φησί; παραχρῆμα ἔπεσε παρὰ τοὺς πόδας αὐτοῦ, καὶ ἐξέψυξεν· ὅτι πλησίον εἱστήκει. Οὕτως αὐτοὶ καθ᾽ αὐτῶν τὴν τιμωρίαν ἐπεσπάσαντο. Τίς λοιπὸν οὐκ ἂν ἐξεπλάγη, ὡς οὐκ ἂν ἔδεισε τὸν ἀπόστολον; τίς οὐκ ἂν ἐθαύμασε; Καὶ ἦσαν ὁμοθυμαδόν, φησίν, ἅπαντες ἐν τῇ στοᾷ Σολομῶντος. Ἐκ τούτου δῆλον, ὅτι οὐκ ἐν οἰκίᾳ, ἀλλὰ τὸ ἱερὸν καταλαβόντες ἐκεῖ διέτριβον· οὔτε μὲν λοιπὸν ἀκαθάρτων αἰτίᾳ ἐφυλάττοντο, ἀλλ᾽ ἁπλῶς ἥπτοντο τῶν νεκρῶν. Καὶ ὅρα πῶς ἐν μὲν τοῖς οἰκείοις εἰσὶ σφοδροί, ἐν δὲ τοῖς ἀλλοτρίοις οὐ κέχρηνται τῇ δυνάμει· Μᾶλλον δέ, φησί, προσετίθεντο πιστεύοντες τῷ Κυρίῳ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν. Ὥστε κατὰ τὰς πλατείας τιθέναι τοὺς ἀσθενεῖς ἐπὶ κλινῶν καὶ κραββάτων, ἵνα ἐρχομένου Πέτρου κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν. Πολλὴ τῶν προσιόντων ἡ πίστις, καὶ μείζων ἢ ἐπὶ τοῦ Χριστοῦ. Πόθεν δὴ τοῦτο γέγονεν; ἀπὸ τοῦ τὸν Χριστὸν ἀποφήνασθαι, καὶ εἰπεῖν· Ὁ πιστεύων εἰς ἐμὲ τὰ ἔργα ἃ ἐγὼ ποιῶ, ποιήσει, καὶ μείζονα τούτων ποιήσει. Μενόντων γὰρ αὐτῶν ἐκεῖ καὶ οὐ περιελθόντων, ἔφερον πάντες ἐπὶ τῶν κλινῶν καὶ κραββάτων, οὓς εἶχον ἀσθενεῖς, καὶ πανταχόθεν αὐτοῖς συνήγετο τὸ θαῦμα· ἀπὸ τῶν πιστευσάντων, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τοῦ κολασθέντος, ἀπὸ τῆς παρρησίας τῆς πρὸς ἐκείνους, ἀπὸ τῆς ἀρετῆς τῶν οὐχ ἁπλῶς πιστευσάντων. Οὐ γὰρ δὴ τῶν σημείων ἦν μόνον τὸ γινόμενον. Εἰ γὰρ καὶ αὐτοὶ μετριάζοντες τούτοις τὸ πᾶν λογίζονται λέγοντες, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ ταῦτα ποιεῖν· ἀλλὰ καὶ ὁ βίος καὶ ἡ ἀρετὴ [τῶν ἀνδρῶν] τοῦτο πεποίηκε. Σκόπει δὲ πῶς ἀριθμὸν ἐνταῦθα τῶν πιστευσάντων οὐ λέγει, ἀφεὶς ἐξ ἑαυτοῦ τὸν ἀκροατὴν συλλογίζεσθαι. Οὕτως εἰς πλῆθος ἄπειρον ἐπέτεινε τὰ τῆς πίστεως. Ἐντεῦθεν καὶ ἡ ἀνάστασις μᾶλλον ἐκηρύττετο. Οὐδεὶς δὲ αὐτοῖς ἐτόλμα κολλᾶσθαι, ἀλλ᾽ ἐμεγάλυνεν αὐτοὺς ὁ λαός. Τοῦτο λέγει δεικνὺς ὅτι οὐκ ἔτι λοιπὸν ἦσαν εὐκαταφρόνητοι καθάπερ καὶ πρότερον· καὶ ὅτι ἐν βραχεῖ καιρῷ, καὶ μιᾷ ῥοπῇ τοσαῦτα γέγονεν ὑπὸ τοῦ ἁλιέως καὶ ἰδιώτου. Οὐρανὸς ἦν λοιπὸν ἡ γῆ, καὶ πολιτείας, καὶ παρρησίας, καὶ θαυμάτων, καὶ πάντων ἕνεκεν. Καὶ καθάπερ ἄγγελοι οὕτως ἐθαυμάζοντο πρὸς οὐδὲν ἐπιστρεφόμενοι· οὐ πρὸς γέλωτα, οὐ πρὸς ἀπειλάς, οὐ πρὸς κινδύνους. Οὐ μόνον δὲ διὰ τοῦτο,

ἀλλ᾽

ἀλλ᾽ ὅτι σφόδρα φιλάνθρωποι, καὶ κηδεμονικοὶ τυγχάνοντες, τοὺς μὲν χρήμασιν ἐβοήθουν, τοὺς δὲ θεραπείᾳ σωμάτων. Διατί ἐπλήρωσεν ὁ Σατανᾶς τὴν καρδίαν σου; μονονουχὶ ἀπολογούμενος ὁ Πέτρος μέλλων κολάζειν αὐτὸν, καὶ τοὺς ἄλλους παιδεύει. ἐπειδὴ γὰρ σφόδρα φορτικὸν ἔμελλε φαίνεσθαι τὸ γινόμενον, διὰ δὴ τοῦτο καὶ ἐπ᾽ αὐτοῦ τούτου, καὶ ἐπὶ τῆς γυναικὸς φοβερὸν ποιεῖ τὸ δικαστήριον. εἰ δὲ ἀσύγγνωστα ἁμαρτόντες μὴ τοιαύτην δίκην ἀπῃτήθησαν ἀμφότεροι, πόση ἐντεῦθεν καταφρόνησις Θεοῦ οὐκ ἂν γέγονεν. ὅτι δὲ διὰ τοῦτο, δῆλον ἀπὸ τοῦ μὴ εὐθέως ἐπὶ τιμωρίαν ἐλθεῖν, ἀλλὰ δεῖξαι πρῶτον τὴν ἁμαρτίαν. ὅθεν οὐδεὶς ἐστέναξεν, οὐδεὶς ἀνῴμωξεν, ἀλλὰ πάντες ἐφοβήθησαν. εἰκότως δὲ τῆς πίστεως αὐτῶν ἐπιτεινομένης, καὶ τὰ σημεῖα πλείονα ἐγίνετο, καὶ πολὺς [καὶ] παρὰ τοῖς οἰκείοις ὁ φόβος ἦν. ἐπειδὴ οὐχ οὕτω τὰ τῶν ἔξωθεν ἡμᾶς θορυβοῦσιν, ὡς τὰ τῶν οἰκείων. ἂν [οὖν] ὦμεν πρὸς ἀλλήλους συγκεκροτημένοι, οὐδεὶς ἔσται ἡμῖν πολέμιος. ὥσπερ ἂν ἀπ᾽ ἀλλήλων διϊστάμεθα, τότε ἐναντίοι πάντες ἡμῖν ἐπιθήσονται. ἀπὸ τούτου κἀκεῖνοι λοιπὸν ἐθάρρουν, καὶ μετὰ παῤῥησίας καὶ εἰς ἀγορὰν ἐνέβαλλον, καὶ ἐν μέσῳ τῶν ἐχθρῶν καὶ ἐκράτουν· καὶ ἐπληροῦτο ἐκεῖνο τὸ εἰρημένον, Κατακυρίευε ἐν μέσῳ τῶν ἐχθρῶν σου· ὃ καὶ μείζονος ἀποδείξεως δυνάμεως [ἦν,] ὅτι κατεχόμενοι καὶ δεσμούμενοι, τοιαῦτα ἔπραττον. εἰ οὖν οἱ μόνον ψευσάμενοι τοιαῦτα ἔπαθον, οἱ καὶ ἐπιορκοῦντες, τί οὐ πείσονται; μᾶλλον δὲ εἰ ἁπλῶς εἰποῦσα ἡ γυνή, Ναί, τοσούτου, τοιαύτην ἔδωκε δίκην καὶ οὐκ ἐξέφυγεν· ἐννοήσατε οἱ ὀμνύντες καὶ ἐπιορκοῦντες τίνος ἂν εἶτε ἄξιοι [κολάσεως;] εὔκαιρον καὶ ἀπὸ τῆς παλαιᾶς δεῖξαι τὸ χαλεπὸν τῆς ἐπιορκίας σήμερον. δρέπανον, φησὶ, πετόμενον ἦν, πλάτος πηχῶν δέκα. τὸ πετόμενον, τὴν ταχίστην ἔφοδον τῆς τιμωρίας δηλοῖ τὴν τοῖς ὅρκοις παρεπομένην. τὸ δὲ πηχῶν τοῦτο δέκα εἶναι τὸ πλάτος, καὶ τὸ μῆκος, τὸ σφοδρὸν σημαίνει, καὶ τὸ μέγεθος τῶν κακῶν. τὸ δὲ ἀπ᾽ οὐρανοῦ πίπτειν, τὸ ἐκ τοῦ ἄνωθεν δικαστηρίου τὴν ψῆφον φέρεσθαι. τὸ δὲ δρεπανοειδὲς, τὸ ἄφυκτον τῆς τιμωρίας. καθάπερ γὰρ δρέπανον εἰς τράχηλον ἐμπεσὸν οὐκ ἂν καθ᾽ ἑαυτὸ ἀνελκυσθείη, μένει δέ πως ἔτι καὶ ἀποτεμνομένης τῆς κεφαλῆς· οὕτω καὶ ἡ δίκη τοῖς ὀμνύουσιν ἐπιοῦσα φοβερά τις ἐστὶ, καὶ οὐκ ἂν ἀποσταίη μὴ πρότερον ἐργασαμένη τὸ αὐτῆς. εἰ δὲ διαφεύγομεν ὀμνύοντες, μὴ θαρρῶμεν. ἐπὶ γὰρ κακῷ τῷ ἡμετέρῳ τοῦτο γίνεται. ἐπεὶ τί νομίζετε; πόσοι μετὰ Ἀνανίαν καὶ Σάπφειραν τὰ αὐτὰ ἐκείνοις ἐτόλμησαν, καὶ οὐ τὰ αὐτὰ ἔπαθον; καὶ πῶς, φησὶν, οὐκ ἔπαθον; οὐκ ἐπειδὴ συνεχωρήθη αὐτοῖς, ἀλλ᾽ ἐπειδὴ μείζονι τηροῦνται κακῷ. ὥστε οἱ πολλὰ πταίοντες μὴ κολαζόμενοι, μᾶλλον ἢ κολαζόμενοι, φοβεῖσθαι καὶ δεδοικέναι ὀφείλουσιν. αὔξεται γὰρ αὐτοῖς τὰ τῆς τιμωρίας, διὰ [τῆς ἀμνησικακίας, καὶ] τῆς μακροθυμίας τοῦ Θεοῦ. μὴ τοῦτο τοίνυν ἴδωμεν, ὅτι οὐ κολαζόμεθα· ἀλλ᾽ εἰ μὴ ἡμάρτομεν. εἰ δὲ ἁμαρτάνοντες οὐ κολαζόμεθα, μᾶλλον τρέμειν ὀφείλομεν. εἰπέ μοι, ἂν ἵνα δοῦλον ἔχῃς, καὶ ἀπειλῇς αὐτῷ μόνον, καὶ οὐ τύπτῃς, πότε μᾶλλον φοβεῖται; πότε φεύγει; πότε δραπετεύει; οὐχ ὅταν ἀπειλῇς μόνον; ὅθεν καὶ ἀλλήλοις παραινοῦμεν, μὴ ἀπειλεῖν συνεχῶς, ὥστε μὴ τῷ φόβῳ μᾶλλον καταξαίνειν τὴν ψυχὴν, ὥστε μὴ σπαράττειν αὐτὸν πλέον τῶν πληγῶν. ἄλλως δέ· καὶ ἐκεῖ μὲν πρόσκαιρος ἡ τιμωρία, ἐνταῦθα δὲ διηνεκής. μὴ τοίνυν εἰ μηδεὶς τὰ τοῦ δρεπάνου πάσχει νῦν τοῦτο ἴδῃς· ἀλλ᾽ ἐκεῖνο ἐννόησον, εἰ τοιαῦτα ποιεῖ. ἐπεὶ πολλὰ γίνεται νῦν ὅσα ἐπὶ τοῦ κατακλυσμοῦ, ἀλλὰ κατακλυσμὸς οὐ γέγονε. γέεννα γὰρ ἠπείληται καὶ τιμωρία. πολλοὶ ἁμαρτάνουσιν ὅσα τὰ ἐπὶ τῶν Σοδόμων, ἀλλὰ πῦρ οὐκ ἦλθεν ὑετοῦ. πύρινος γὰρ ἡτοίμασται ποταμός. πολλοὶ τὰ τοῦ Φαραὼ ἐτόλμησαν· ἀλλ᾽ οὐκ ἔπαθον τὰ τοῦ Φαραὼ, οὐδὲ κατεποντίσθησαν εἰς ἐρυθρὰν θάλασσαν. τὸ γὰρ πέλαγος αὐτοὺς μένει τὸ τῆς ἀβύσσου· οὐχ οὗ μετὰ ἀναισθησίας ἡ τιμωρία, οὐδὲ ἀποπνιγῆναι ἔνι, ἀλλ᾽ ἐπὶ πλέον κολαζομένους, τηγανιζομένους, ἀπαγχονιζομένους μὴ ἀναλίσκεσθαι. πολλοὶ τὰ τῶν Ἰσραηλιτῶν ἐτόλμησαν· ἀλλ᾽ οὐκ ἔφαγον αὐτοὺς ὄφεις. μένει γὰρ αὐτοὺς ὁ σκώληξ ὁ ἀτελεύτητος. πολλοὶ τὰ τοῦ Γιεζῆ ἐτόλμησαν, ἀλλ᾽ οὐκ ἐλεπρώθησαν. μένει γὰρ αὐτοὺς ἀντὶ τῆς λέπρας τὸ διχοτομηθῆναι καὶ τεθῆναι μετὰ τῶν ὑποκριτῶν. πολλοὶ καὶ ὤμοσαν καὶ ἐπιώρκησαν· εἰ δὲ καὶ διέφυγον, μὴ θαρρῶμεν· μένει γὰρ αὐτοὺς ὁ βρυγμὸς τῶν ὀδόντων. καὶ ἐνταῦθα δὲ τάχα πείσονται, καὶ οὐ φεύξονται· εἰ καὶ μὴ παραπόδας, ἀλλ᾽ ἐφ᾽ ἑτέροις ἁμαρτήμασιν, ἵνα καὶ χαλεπωτέρα ἡ τιμωρία ᾖ. ἐπεὶ καὶ ἡμεῖς πολλάκις ἀφορμὰς λαβόντες ἀπὸ μικρῶν, καὶ ὑπὲρ μεγάλων τὸ πᾶν κινοῦμεν. ὥστε ὅταν ἴδῃς τί σοι συμβὰν, ἀναμνήσθητί σου τῆς ἁμαρτίας ἐκείνης. τοῦτο γὰρ ἐπὶ τῶν υἱῶν τοῦ Ἰακὼβ γέγονε. μνημονεύετε τῶν ἀδελφῶν τοῦ Ἰωσήφ. ἐπώλησαν τὸν ἀδελφὸν· σφάξαι ἐπεχείρησαν· μᾶλλον δὲ καὶ ἔσφαξαν ὅσον τὸ ἐπ᾽ αὐτοῖς· ἠπάτησαν· ἐλύπησαν τὸν γέροντα· οὐδὲν ἔπαθον. μετὰ πλείονα [γοῦν] ἔτη περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν, καὶ τῆς ἁμαρτίας ταύτης ὑπομιμνήσκονται.

A sed etiam quod valdè humani: & pro aliis soliciti erant, alios enim pecunia, alios corporali ministerio juvabant. *Quare implevit Satanas cor tuum?* Quasi rationem reddens, Petrus puniturus illum etiam alios erudit. Quoniam factum hoc valdè molestum appariturum erat, & propter hoc etiam in illo & in uxore ejus, terribile judicium faciebat. Si autem absque venia peccantes ambo non talem reportassent pœnam, quantus porrò contemptus Dei fuisset? Quia autem propter hoc, ma- B nifestum ex eo quod non statim ad puniendum progreditur, sed ostendit principio peccatum. Unde nullus ingemuit, nullus ejulavit, sed omnes timuerunt. Meritò autem, quia fides illorum crescebat, plura etiam signa fiebant, & magnus etiam apud suos metus erat, quoniam non sic externa nos turbant, ut domestica. Simus igitur inter nos conjuncti, nullus erit nobis inimicus, quemadmodum si inter nos dissideamus, omnes nobis insidiabuntur. Ex hoc & illi posteà fidentiores erant, & C cum magna libertate etiam in forum se conferebant, & in medio inimicorum etiam potentes erant. Et implebatur illud quod dictum erat: *Dominare in medio inimicorum tuorum*, id quod Ps. 109, 2. & majoris virtutis initium erat, quia hæc quum comprehenderentur ac ligarentur, faciebant. Igitur si hæc patiebantur, qui solùm mentiti erant, ii qui pejerant, quid non patientur? Adde, quòd & mulier simpliciter, dicens: *Etiam, tanti*; talem dedit pœnam, & non effugit; cogitate qua pœna digni sunt D qui jurant ac pejerant. Tempestivum fuerit, & hodie ex lege ostendere, perjurii gravitatem: *Falx*, inquit, *volans erat lata* Zach. 5, 2. *cubitus decem.* Quòd *volat*, manifestat pœnæ celerrimum adventum juramentis affuturæ. Quòd autem *cubitorum decem latitudine* ac longitudine, vehementiam ac magnitudinem signat malorum. Quod autem *à cælo*, signum est sententiam in cœlesti ferri judicio. Porrò quòd in *falcis* speciem ostenditur, ineffugabilem pœnam monstrat. Quemadmodum enim falx, E quæ in cervicem immissa, nec in seipsam retracta fuerit, manet quodammodo jam etiam resecta cervice: sic & terribilis quædam pœna est, quæ super pejerantes venit, nec desistit, nisi prius perfecerit opus suum. Si autem jurantes effugerimus, ne confidamus. In malum enim nostrum hoc fit, quoniam quid censetis, nonne multi eadem, quæ Ananias & Sapphira commiserunt, & non eadem passi sunt? Et quomodo, inquit, passi non sunt: Non quia condonatum est illis, sed quia graviori A malo servantur. Atque ita qui multùm peccant, magis timere debent si non puniantur, quàm si puniantur. Crescit enim ipsorum pœna ex eo quòd Deus longanimis non ulciscitur: ne hoc igitur spectemus, quod non punimur, sed si non peccaverimus. Si autem peccantes non punimur, magis tremere debemus. Dic enim mihi, si servum haberes, cui semper minareris, & quem non percuteres, quando magis terretur? quando magis fugit, ac fugitivus fit: Nónne quando solum mi- B naris? Quando etiam mutuum monemus non continuò minandum, ut ne sic terrore animam magis concutiamus, atque ita non magis discerpamus, quam plagis ipsis. Et aliter: Et illic quidem temporaria pœna, hic autem æterna. Ne igitur si nunc nullus patitur ea quæ falx minatur, sed illud cogita, num talia faciat quis. Quoniam multa fiunt nunc, quæ in diluvio: sed diluvium non accidit: gehennæ enim pœna nunc inter minas est. Multi peccant qualia hi qui in C Sodomis, sed ignis pluvia non descendit: igneum enim flumen paratum est. Multi ea, quæ Pharao, ausi sunt, sed non eadem passi sunt quæ Pharao, neque submersi sunt in mari rubro. Expectat enim illos pelagus abyssi. Ibi non absque sensu pœna, neque suffocatio est, sed multò magis puniuntur, cruciantur, strangulantur. Multi, quæ Israëlitæ, ausi sunt, sed non devorarunt illos serpentes, manet enim illos vermis immortalis. D Multi ea quæ Giezi, ausi sunt, sed non sunt lepra percussi: expectat enim illos pro lepra, quod dissecentur & ponantur cum hypocritis. Multi etiam jurarunt ac pejerarunt. Si autem & effugerint, ne confidamus, manet enim illos stridor dentium, & fortassis etiam hic patientur, & non effugient; etiam si non evestigio, sed in aliis peccatis, ut gravior sit pœna. Quoniam & nos sæpius sumpta occasione à minoribus, etiam pro magnis, totam E iram explemus; Et ita quando videris tibi aliquid contigisse, memor esto illius peccati tui. Hoc enim in filiis Job contigit. Meministis fratrum Joseph, vendiderant fratrem, occidere attentarant, imò quantum in ipsis erat occiderant, deceperant, contristarantque senem, nihil patiebantur. Itaque post multos annos extremis periculis laborarunt, & peccati sui recordantur:

& quod non conjectura sit quod dico audi illos quid dicant :
Gen. 42, 21. *Etiam : in peccato enim sumus propter fratrem nostrum.* Sic sanè & tu facito. Quando aliquid acciderit, dic, Etiam, in peccato sumus, quia non audivimus Christum, quia juravimus. Jurandi consuetudo & perjuria in caput nostrum reciderunt. Itaque confitêre, etenim & illi confessi sunt, ac servati. Quid etiam si non statim pœna invadit? quoniam & Achab propter
3. Reg. 21, 19. *Nabuthem*, non statim post peccatum passus est ea, quæ passus. Quare autem hoc fit? Dat tibi præscriptum tempus Deus, ita ut abluaris : quando autem perseveraveris, adducit postea pœnam. Vidistis quod passi sunt ii, qui mentiti? Itaque & cogitate quid patiantur etiam hi qui pejerant. Cogitate & desistite. Non est possibile, quòd is qui jurat, non pejeret, sive volens, sive nolens. Non est etiam possibile, quod perjurus salvetur. Sufficit unum perjurium ad hoc perficiendum, & totam pœnam nobis intentandam. Propterea oro, ut nostri ipsorum curam habeamus, ut & pœnam peccatis debitam effugiamus, & bona æterna consequamur ; gratia & miserationibus unigeniti Filii illius, cum quo Patri & Spiritui Sancto sit gloria, imperium, honor, nunc, & semper, & in secula seculorum. Amen.

HOMILIA XIII.

Surgens autem Princeps Sacerdotum, & omnes qui cum illo, quæ est secta Sadducæorum, impleti sunt æmulatione, & injecerunt manus suas in Apostolos, & posuerunt illos in custodiam.

NIHIL impudentius neque audacius malitia. Qui experti anteà didicerant, quanta illorum virilitas ac fortitudo ex his quæ attentarant, attamen denuò attentant, & iterum simul consurgunt. Quid autem est : *Surgens autem Princeps Sacerdotum, & omnes qui cum illo.* Motus ex his, inquit, quæ acciderant excitatus est, *& injecerunt manus suas in Apostolos, & posuerunt eos in custodia publica.* Nunc vehementius illos insectantur, nec statim illos judicarunt, expectantes iterum, ut illis fiant benigni. Et unde manifestum, quod illos aggressi sint durius? ex eo quod posuerunt illos *in custodiam publicam.* Iterum incidunt in pericula, iterum divina gratia fruuntur. Et quomodo, audi cætera. *Angelus autem Domini per noctem aperuit fores carceris, eductisque illis dixit : Ite & stantes in templo loquamini populo omnia verba vitæ hujus.* Hoc etiam in illorum consolationem factum est, & horum utilitatem ac doctrinam. & vide etiam hîc fieri, quod & de Christo legimus. Miracula enim quæ in quibusdam locis facta non sinit illos videre, sed præparat aliqua ex quibus hæc discant : ut in Resurrectione sua non permisit videre, quomodo resurrexit : indigni enim erant hanc videre, sed ostendit ea per quæ hæc fecit : similiter etiam in vino quod ex aqua factum, non vident discumbentes : inebriabantur enim, & aliis judicium permisit. Ita &
Joh. 2, 9. hic. Nam eos qui educebantur, non vident : conjecturam ex qua discere poterant ea quæ facta sunt, viderunt. Cur enim etiam per noctem emisit illos, quia sic magis quàm aliter eis creditum est. Et aliter dic, quod licèt ad interrogandum venissent, vel alia ratione, etiam ipsi non credidissent. Sic & apud
Dan. 3, 29. veteres accidit, ut Nabuchodonozori, vidit laudantes Deum in camino pueros, & tunc obstupescere cœpit. Oportebat igitur & hos interrogare primum. Quomodo egressi estis? Illi autem quasi nihil factum esset, interrogant, dicentes : *Nonne denuntiando denuntiavimus vobis, ne loquamini?* Et vide quomodo per alios discunt omnia. *Vident enim clausum carcerem cum summa securitate, & custodes stantes ante fores. His audientis autem ingressi sunt sub ipsum diluculum in Templum, & docebant : adveniens autem Princeps Sacerdotum, & qui cum illo, convocaverunt Concilium, & omnium cœtum Seniorum filiorum Israel, & miserunt ad carcerem, ut adducerent illos. Quum venissent autem ministri, non invenerunt illos in carcere, & reversi annuntiarunt, dicentes : Carcerem quidem invenimus clausum cum omni integritate, & custodes ante fores, ut autem aperuimus, intus neminem invenimus.* Duplex securitas, sicut & in sepulchro erat obsignatio, & homines. Vide quomodo cum Deo pugnabant. Dic oro, erantne hæc humana, quæ cum illis facta? quis illos eduxit januis clausis? quomodo exiverunt custodibus antè fores stantibus, ita insanientibus & ebria verba proferentibus? Quos non detinuerunt carcer & vincola, fores clausæ, hos sperabant se posse vincere, insipientium puerorum rem discentes? Ministri sanè illorum, propter hoc adsunt, & factum confitentur, ut omnem in illis excludant occasionem. Vides signa varia cum signis, alia quidem ab illis, alia autem in illos facta, quæ & clariora erant.

καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουε αὐτῶν τί φασι· ναί· ἐν ἁμαρτίᾳ γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν. οὕτω δὴ καὶ σύ· ὅταν τι συμβῇ, εἰπὲ, ναί· ἐν ἁμαρτίᾳ ἐσμὲν ὅτι οὐκ ἠκούσαμεν τοῦ Χριστοῦ· ὅτι ὠμόσαμεν. αἱ πολυορκίαι καὶ αἱ ἐπιορκίαι ἐπὶ τὴν κεφαλὴν ἡμῶν ἦλθον. οὐκοῦν ἐξομολόγησαι. καὶ γὰρ κἀκεῖνοι ἐξωμολογήσαντο, καὶ ἐσώθησαν. τί γὰρ εἰ μὴ παραχρῆμα ἔπεισιν ἡ τιμωρία; ἐπεὶ καὶ ὁ Ἀχαὰβ διὰ τὸν Ναβουθαὶ οὐκ εὐθέως παρὰ τὴν ἁμαρτίαν ἔπαθεν ἅπερ ἔπαθε. διατί δὲ τοῦτο γίνεται; δίδωσί σοι προθεσμίαν ὁ Θεὸς, ὥστε ἀπονίψασθαι. ὅταν δὲ ἐπιμένῃς, ἐπάγει λοιπὸν τὴν τιμωρίαν. εἴδετε τί ἔπαθον οἱ ψευσάμενοι; οὐκοῦν ἐννοήσατε τί πείσονται καὶ οἱ ἐπιορκοῦντες· ἐννοήσατε καὶ ἀπόστητε. οὐκ ἔστιν ὀμνύντα μὴ ἐπιορκεῖν, καὶ ἑκόντα, καὶ ἄκοντα· οὐκ ἔστιν ἐπιορκοῦντα σωθῆναι. ἀρκεῖ μία ἐπιορκία τὸ πᾶν ἐργάσασθαι, καὶ ὁλόκληρον ἡμῖν τὴν τιμωρίαν ἐπαγαγεῖν. διὰ δὴ τοῦτο προσέχωμεν παρακαλῶ ἑαυτοῖς, ἵνα τὴν ἐπιοῦσαν κόλασιν διαφυγόντες τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ ιγʹ.

Ἀναστὰς δὲ ὁ ἀρχιερεὺς, καὶ πάντες οἱ σὺν αὐτῷ, ἡ οὖσα αἵρεσις τῶν Σαδδουκαίων, ἐπλήσθησαν ζήλου, καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ.

ΟΥΔΕΝ ἰταμώτερον κακίας, οὐδὲν τολμηρότερον. πεῖραν μαθόντες τῆς αὐτῶν ἀνδρείας ἐξ ὧν ἐπεχείρησαν πρότερον, ὅμως ἐπιχειροῦσι, καὶ πάλιν ἐπισυνίστανται. τί ἐστιν, ἀναστὰς δὲ [ὁ] ἀρχιερεὺς καὶ πάντες οἱ σὺν αὐτῷ; διεγερθείς φησι, κινηθεὶς ἐπὶ τοῖς γινομένοις. καὶ ἐπέβαλον τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς ἀποστόλους, καὶ ἔθεντο αὐτοὺς ἐν τηρήσει δημοσίᾳ. νῦν σφοδρότερον αὐτοῖς ἐπιπηδῶσιν. οὐκ εὐθέως δὲ αὐτοὺς ἔκριναν, προσδοκῶντες πάλιν αὐτοῖς πρᾴους ἔσεσθαι. καὶ πόθεν δῆλον ὅτι σφοδρότερον αὐτοῖς ἐπετέθησαν; ἀπὸ τοῦ θεῖναι αὐτοὺς εἰς τήρησιν δημοσίαν. πάλιν περιπίπτουσι κινδύνοις, καὶ πάλιν τῆς παρὰ τοῦ Θεοῦ ἀπολαύουσι ῥοπῆς. καὶ ὅπως, ἄκουε τῶν ἑξῆς· ἄγγελος δὲ κυρίου διὰ τῆς νυκτὸς ἀνέῳξε τὰς πύλας τῆς φυλακῆς, ἐξαγαγών τε αὐτοὺς εἶπε· πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. τοῦτο καὶ εἰς ἐκείνων παραμυθίαν γέγονε, καὶ εἰς τούτων ὠφέλειαν καὶ διδασκαλίαν. καὶ ὅρα, ὅπερ ἐπὶ τοῦ Χριστοῦ, τοῦτο καὶ νῦν γινόμενον. γινόμενα μὲν γὰρ δῆθεν τὰ θαύματα, οὐκ ἀφίησιν αὐτοὺς ἰδεῖν· ἀφ' ὧν δὲ ἂν μάθοιεν ταῦτα κατασκευάζει. οἷον ἐπὶ τῆς ἀναστάσεως τῆς αὐτοῦ, οὐκ ἀφῆκεν αὐτοὺς ἰδεῖν πῶς ἀνέστη· ἀνάξιοι γὰρ τοῦ ταύτην ἰδεῖν ἦσαν· ἀλλὰ δείκνυσιν ἀφ' ὧν τοῦτο εἰργάσατο. ὁμοίως καὶ ἐπὶ τοῦ οἴνου τοῦ ἀπὸ τοῦ ὕδατος γινομένου βλέπουσιν οἱ ἀνακείμενοι· μεμεθυσμένοι γάρ· καὶ τὴν κρίσιν ἐπιτρέπει ἑτέροις. οὕτω δὴ καὶ ἐνταῦθα. ἐξαγομένους μὲν γὰρ αὐτοὺς οὐχ ὁρῶσι· τεκμήρια δὲ ἀφ' ὧν ἠδύναντο καταμαθεῖν τὰ γινόμενα εἶδον. τί δήποτε δὲ καὶ κατὰ τὴν νύκτα αὐτοὺς ἐξέβαλεν; οὕτω μᾶλλον ἢ ἐκείνους ἐπιστεύθησαν. ἄλλως τε καὶ [οὐδὲ] οὐκ ἂν ἐπὶ τὸ ἐρωτῆσαι ἦλθον· ὥστε μὲν ἑτέρως ἂν καὶ αὐτοὶ ἐπίστευσαν. οὕτω καὶ ἐπὶ τῶν παλαιῶν γέγονεν· [ὡς] ἐπὶ τοῦ Ναβουχοδονόσορ· εἶδεν αἰνοῦντας τὸν Θεὸν ἐπὶ τῆς καμίνου τοὺς παῖδας, καὶ τότε εἰς ἔκπληξιν ἦλθεν. ἔδει τοίνυν καὶ τούτους ἐρωτῆσαι πρῶτον, πῶς ἐξήλθετε; οἱ δὲ ὡς οὐδενὸς γινομένου ἐρωτῶσι λέγοντες· οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν; καὶ ὅρα, πῶς δι' ἑτέρων μανθάνουσιν ἅπαντα. ὁρῶσι [γὰρ] κεκλεισμένον τὸ φυλακτήριον μετὰ ἀσφαλείας, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν· ἀκούσαντες δὲ εἰσῆλθον ὑπὸ τὸν ὄρθρον εἰς τὸ ἱερὸν, καὶ ἐδίδασκον. παραγενόμενος δὲ ὁ ἀρχιερεὺς, καὶ οἱ σὺν αὐτῷ, συνεκάλεσαν τὸ συνέδριον, καὶ πᾶσαν τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ· καὶ ἀπέστειλαν εἰς τὸ δεσμωτήριον ἀχθῆναι αὐτούς. παραγενόμενοι δὲ οἱ ὑπηρέται, οὐχ εὗρον αὐτοὺς ἐν τῇ φυλακῇ. ἀναστρέψαντες δὲ, ἀπήγγειλαν λέγοντες, ὅτι τὸ μὲν δεσμωτήριον εὕρομεν κεκλεισμένον [ἐν πάσῃ ἀσφαλείᾳ] καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν· ἀνοίξαντες δὲ ἔσω οὐδένα εὕρομεν. διπλῆ ἡ ἀσφάλεια, ὥσπερ ἐπὶ τοῦ τάφου, καὶ ἡ σφραγὶς, καὶ οἱ ἄνθρωποι. ὅρα πῶς ἦσαν θεομάχοι; ταῦτα ἀνθρώπινα, εἰπέ μοι, τὰ ὑπ' αὐτῶν γινόμενα; τίς αὐτοὺς ἐξήγαγε τῶν θυρῶν κεκλεισμένων; πῶς ἐξῆλθον τῶν φυλάκων πρὸ τῶν θυρῶν ἑστώτων; οὕτως μαινομένων καὶ μεθυόντων τὰ ῥήματα. οὓς οὐ κατέσχε φυλακὴ, καὶ δεσμὰ [καὶ] θύραι κεκλεισμέναι, τούτων προσεδόκησαν περιέσεσθαι, παίδων ἀνοήτων πρᾶγμα μαθόντες. οἱ ὑπηρέται [γοῦν] αὐτῶν διὰ τοῦτο παραγίνονται, καὶ ὁμολογοῦσι τὸ γεγονὸς, ἵνα πᾶσαν αὐτοῖς ἀπολέσωσι πρόφασιν. ὁρᾷς σημεῖα ἐπὶ σημείοις διάφορα, τὰ μὲν ὑπ' αὐτῶν, τὰ δὲ εἰς αὐτοὺς γινόμενα, ἃ καὶ λαμπρότερα ἦν;

καλῶς

καλῶς οὐδὲ εὐθέως αὐτοῖς ἐμελεύσθη, ἀλλὰ πρότερον ἐν ἀπορίᾳ γεγόνασιν, ἵνα διασκεψάμενοι θεῖαν εἶναι δύναμιν, οὕτω μάθωσιν ἅπαντα. Ὡς δὲ ἤκουσαν τοὺς λόγους τούτους ὅ τε ἀρχιερεὺς καὶ ὁ στρατηγὸς τοῦ ἱεροῦ καὶ οἱ ἀρχιερεῖς, διηπόρουν περὶ αὐτῶν τί ἂν γένοιτο τοῦτο. Παραγενόμενος δέ τις ἀπήγγειλεν αὐτοῖς, ὅτι ἰδοὺ οἱ ἄνδρες οὓς ἔθεσθε ἐν τῇ φυλακῇ, εἰσὶν ἐν τῷ ἱερῷ ἑστῶτες καὶ διδάσκοντες τὸν λαόν. Τότε ἀπελθὼν ὁ στρατηγὸς σὺν τοῖς ὑπηρέταις, ἤγαγεν αὐτοὺς οὐ μετὰ βίας· ἐφοβοῦντο γὰρ τὸν λαόν, ἵνα μὴ λιθασθῶσιν. Ὢ τῆς ἀνοίας! ἐφοβοῦντό φησι τὸν ὄχλον. Τί γὰρ αὐτοὺς ὁ ὄχλος ὠφέλει; δέον τὸν Θεὸν φοβηθῆναι τὸν καθάπερ πτηνοὺς ἀεὶ τῶν χειρῶν αὐτῶν ἐξαρπάζοντα ἐκείνους· οἱ δὲ μᾶλλον τὸν ὄχλον φοβοῦνται. Ὁ δὲ ἀρχιερεὺς ἐπηρώτησεν αὐτούς, λέγων· Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ διδάσκειν ἐπὶ τῷ ὀνόματι τούτῳ; καὶ ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν, καὶ βούλεσθε ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου. Τί οὖν οἱ Ἀπόστολοι; πάλιν μετ' ἐπιεικείας αὐτοῖς διαλέγονται. καίτοιγε ἐχῆν εἰπεῖν· τίνες γάρ ἐστε ὑμεῖς ἀντιδιατεττόμενοι τῷ Θεῷ; ἀλλὰ τί; πάλιν ἐν τάξει παραινοῦντος καὶ συμβουλῆς, καὶ μετ' ἐπιεικείας πολλῆς ἀποκρίνονται. Ἀποκριθεὶς δὲ Πέτρος καὶ οἱ Ἀπόστολοι εἶπον· πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις. Πολλὴ ἡ φιλοσοφία καὶ τοιαύτη, ὅτι ἐντεῦθεν δεικνύουσι καὶ αὐτοὺς μαχομένους τῷ Θεῷ. Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἤγειρεν Ἰησοῦν, ὃν ὑμεῖς διεχειρίσασθε κρεμάσαντες ἐπὶ ξύλου. Τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, δοῦναι μετάνοιαν τῷ Ἰσραὴλ καὶ ἄφεσιν ἁμαρτιῶν. Ὃν ὑμεῖς ἀνείλετε, φησίν, ὁ Θεὸς ἤγειρε. Καὶ ὅρα· τῷ Πατρὶ τὸ πᾶν πάλιν ἀνατίθησιν, ἵνα μὴ δόξῃ ἀλλότριος εἶναι τοῦ πατρός. Καὶ ὕψωσέ φησι τῇ δεξιᾷ αὐτοῦ, οὐχ ἁπλῶς τὴν ἀνάστασιν τὴν μόνην· ἀλλὰ καὶ τὴν ὕψωσιν, τουτέστι, τὴν ἀνάληψιν, δηλοῖ. Τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ. Ὅρα πάλιν τὸ κέρδος καὶ ἐν τάξει ἀπολογίας διδασκαλίαν ἀπηρτισμένην. Καὶ ἡμεῖς ἐσμεν αὐτοῦ μάρτυρες τῶν ῥημάτων τούτων. Πολλὴ ἡ παρρησία. Εἶτα ἀξιόπιστον [λοιπὸν] τὸν λόγον ποιῶν ἐπήγαγε· καὶ τὸ πνεῦμα δὲ τὸ ἅγιον, ὃ ἔδωκεν ὁ Θεὸς τοῖς πειθαρχοῦσιν αὐτῷ. Ὁρᾷς πῶς οὐχὶ μόνον τῇ ἑαυτῶν, ἀλλὰ καὶ τῇ τοῦ πνεύματος μαρτυρίᾳ κέχρηνται; καὶ οὐκ εἶπον, ὃ ἔδωκεν ἡμῖν, ἀλλὰ, τοῖς πειθομένοις, ἅμα μὲν μετριάζοντες, ἅμα δὲ μέγα αὐτὸ δεικνύντες, καὶ δηλοῦντες ὅτι καὶ αὐτοὺς ἐνῆν λαβεῖν. Ὅρα πῶς καὶ δι' ἔργων καὶ διὰ ῥημάτων ἐπαιδεύοντο, καὶ οὐ προσεῖχον. ἵνα δικαία αὐτοῖς ἡ κατάκρισις γένηται. Διὰ γάρ [τοι] τοῦτο καὶ ὁ Θεὸς συνεχώρει ἄγεσθαι αὐτοὺς εἰς δικαστήριον, ἵνα καὶ ἐκεῖνοι παιδεύωνται εἴγε μαθεῖν ἐβούλοντο, καὶ οἱ Ἀπόστολοι εἰς παρρησίαν ἀλείφωνται. Οἱ δὲ ἀκούσαντες, διεπρίοντο καὶ ἐβούλοντο ἀνελεῖν αὐτούς. Ὅρα κακίας ὑπερβολήν. δέον ἐφ' οἷς ἤκουσαν καταπλαγῆναι, οἱ δὲ διεπρίοντο καὶ ἐβουλεύοντο ἀνελεῖν αὐτούς. Ἀλλ' ἀναγκαῖον λοιπὸν ἄνωθεν ἰδεῖν τὰ ἀνεγνωσμένα. Ἄγγελος δὲ Κυρίου διὰ τῆς νυκτὸς ἤνοιξε τὰς πύλας τῆς φυλακῆς, καὶ ἐξαγαγὼν αὐτοὺς εἶπε· πορεύεσθε, καὶ σταθέντες λαλεῖτε ἐν τῷ ἱερῷ τῷ λαῷ πάντα τὰ ῥήματα τῆς ζωῆς ταύτης. Ἐξαγαγών, οὐκ αὐτὸς ἀπάγει αὐτούς, ἀλλ' ἀφίησιν· ὥστε καὶ ταύτῃ αὐτοὺς γυμνασθῆναι τὸ ἀκατάπληκτον, ὃ καὶ ἔδειξαν νυκτὸς εἰσελθόντες εἰς τὸ ἱερὸν καὶ διδάσκοντες. Εἰ δὲ ἐξέβαλον αὐτοὺς οἱ φύλακες, ὡς ἐκεῖνοι ἐνόμιζον, ἔφυγον ἄν· εἴγε πεισθέντες ἐξῆλθον· μᾶλλον δέ, εἰ ἐξέβαλον αὐτοὺς ἐκεῖνοι, οὐκ ἂν εἰς τὸ ἱερὸν ἔστησαν, ἀλλ' ἀπέδρασαν ἄν. Τοῦτο δὲ οὐδείς, οὕτως ἀνόητος ὥστε μὴ συνιδεῖν. Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν, φησί; εἰ μὲν οὖν καὶ αὐτοὶ ἐπείσθησαν ὑμῖν, καλῶς ἐθήρευε· εἰ δὲ καὶ ἐξ ἐκείνου εἶπον μὴ πεισθήσεσθαι, περιτταὶ αἱ εὐθῦναι, περιτταὶ καὶ αἱ παραγγελίαι. Ὅρα ἐγκλημάτων ἀνακολουθίαν, καὶ ὑπερβάλλουσαν ἄνοιαν, φονικὰς λοιπὸν βούλονται δεῖξαι τὰς προαιρέσεις τῶν Ἰουδαίων, ὡς οὐ δι' ἀλήθειαν ταῦτα ποιούντων, ἀλλ' ὡς ἀμύνασθαι βουλομένων. Διὰ τοῦτο καὶ οὐδὲ θρασέως αὐτοῖς ἀποκρίνονται οἱ Ἀπόστολοι· διδάσκαλοι γὰρ ἦσαν· καίτοι τίς οὐκ ἂν τὴν πόλιν ἅπασαν ἀναστησάμενος, καὶ τοσαύτης ἀπολαύων χάριτος, οὐκ ἂν εἶπέ τι καὶ ἐφθέγξατο μέγα; ἀλλ' οὐχ οὗτοι. οὐ γὰρ ὠργίζοντο· ἀλλ' ἠλέουν αὐτοὺς καὶ ἐδάκρυον, καὶ ἐσκόπουν ὅπως αὐτοὺς ἀπαλλάξωσι τῆς πλάνης καὶ τοῦ θυμοῦ. Καὶ οὐκ ἔτι λέγουσι πρὸς αὐτούς, ὑμεῖς κρίνατε· ἀλλ' ἀποφαίνονται λέγοντες, ὃν ὁ Θεὸς ἤγειρε· διὰ τούτου δηλοῦντες, ὅτι κατὰ γνώμην τοῦ Θεοῦ ταῦτά ἐστιν. Οὐκ εἶπον δέ, ὅτι οὐκ εἴπομεν ὑμῖν καὶ τότε, ἡμεῖς οὐ δυνάμεθα ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν· οὐ γάρ εἰσι φιλότιμοι· ἀλλὰ πάλιν τὰ αὐτά φασι· τὸν σταυρόν, τὴν ἀνάστασιν· καὶ οὐ λέγουσι, διατί ἐσταυρώθη; ὅτι ὑπὲρ ἡμῶν· ἀλλ' αἰνίττονται μέν, οὔπω δὲ φανερῶς, τέως αὐτοὺς φοβῆσαι βουλόμενοι. Εἰπέ μοι ποία ῥητορεία ἐνταῦθα; οὐδεμία. Οὕτω χωρὶς κατασκευῆς τὸ τῆς ζωῆς ἐκηρύττετο εὐαγγέλιον. Εἰπὼν δὲ, ὅτι ὕψωσε, λέγει καὶ ἐπὶ τίνι· ἐπὶ τῷ δοῦναι μετάνοιαν ἐπάγων τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν. ἀλλ' ἀπίθανα ταῦτα τέως ἐδόκει φασί. Τί λέγεις; καὶ πῶς οὐ πιθανὰ μᾶλλον, οἷς γε οὐκ ἄρχοντες ἀντειπεῖν εἶχον, οὐ πλῆθος·

A Benè neque ipsis statim indicatum est, sed priùs anxii secum fuerunt, ut cognoscentes divinam esse virtutem, sic discant omnia. *Ut autem audierunt sermones illos & Princeps sacerdotum, & dux militiæ templi, & primarii sacerdotes, ambigebant de illis quidnam futurum esset hoc. Adveniens autem quidam nunciavit eis: Ecce viri quos posueratis in carcere, sunt in templo stantes, ac docentes populum. Tunc abiit dux militiæ cum ministris, & adduxit illos sine vi. Timebant enim populum ne lapida-* B *rentur.* O insipientia! *Timebant*, inquit, *turbam.* Quid enim illis prodesse poterat turba? Oportebat timere Deum, qui tanquam volucres illos semper ex ipsorum manibus eripiebat: sed magis turbam metuebant. *Et interrogavit illos Princeps sacerdotum, dicens: Nónne etiam atque etiam præcepimus vobis, ne doceretis in nomine isto? & ecce replestis Hierosolymam doctrina vestra, & vultis inducere sanguinem hominis istius.* Quid igitur Apostoli, iterum cum mansuetudine illis loquuntur, quamvis C certè dicere poterant: Quinam estis vos, qui contrarium Deo præcipitis? Sed quid? Iterum tanquam admonentes ac consulentes cum mansuetudine respondent: *Respondens autem Petrus & Apostoli dixerunt: Obedire oportet Deo magis quàm hominibus.* Magna cum sapientia ostendunt quòd illi cum Deo pugnent. *Deus patrum nostrorum suscitavit Jesum, quem vos interemistis suspendentes in ligno. Hunc principem & servatorem exaltavit dextra sua ut det pœnitentiam Israeli, remissionémque peccatorum.* D *Quem vos interfecistis*, inquit, *Deus suscitavit.* Et vide quomodo patri totum imputavit, ut ne videatur alienus filius esse à patre. *Et exaltavit*, inquit, *dextra sua.* Non simpliciter hoc solùm resurrectionem, sed etiam assumptionem manifestat. *Ut pœnitentiam det Israeli.* Vide hic utilitatem & doctrinam pro defensione exactè absolutam. *Ac nos sumus ei testes eorum quæ dicimus.* Magna libertas. Deinde sermonem faciens fidelem ac credibilem subjecit, *insuper autem & Spiritus sanctus, quem de-* E *dit Deus obedientibus ipsi.* Vides quomodo non solùm suo ipsorum, sed & spiritus testimonio usi sunt. Et non dixerunt, quem dedit nobis, sed obedientibus, simul & modestiam servantes, & magnum illud docentes, quod & illi possent accipere. Vide quomodo & verbis & operibus erudiuntur, & non attendebant, ut justa illis condemnatio fiat: nam & propter hoc Deus sinebat illos in judicium duci, ut & illi erudirentur, siquidem discere voluissent. *Hæc autem cum audissent, dissecaba-* A *bantur, & consultabant ut interficerent illos.* Vide excellentem malitiam, oportebat ex his quæ audierant, perterreri: illi autem dissecabantur, & consultabant illos ut sine causa occiderent. Sed necessarium est iterum lecta videre. *Angelus autem Domini per noctem aperuit fores carceris, & eductis illis dixit: Ite, & stantes loquamini in templo verba vitæ hujus.* Eductis: non ille eduxit eos, sed permittit, ut & hac ratione ipsi imperterriti essent: quod & ostenderunt, nocte ingressi in templum & docentes. Si autem B emisissent illos custodes, effugissent: siquidem persuasi exiissent: imò si eos illi emisissent, neutiquam in templo docuissent, sed fugissent. Hoc autem nullus est tam insipiens, ut non videat. *Nónne etiam atque etiam præcepimus vobis?* Igitur siquidem & illi vobis obedissent, bene argueretis. Sed quia & tunc dixerunt se non obedituros, superfluæ sunt illæ correctiones. Vide criminum contextum, & magnam insipientiam. Voluntates nunc Judæorum cædis avidas ostendere volunt, quod non C propter veritatem hæc faciunt, sed ut sese ulciscantur. Propter hoc Apostoli illis non respondent audacter. Doctores enim fuerunt, quamvis quis est, qui si civitatem totam reparasset, tantam habens gratiam, non dixisset ac loquutus esset magnum quiddam? At illi non fecerunt, neque enim irascebantur, sed miserabantur illos & lachrymabantur: & considerabant quomodo illos liberarent ab errore & furore, & non jam dicunt illis, Vos judicate, sed affirmant dicentes: *Quem Deus suscitavit.* D Per hoc manifestantes, quod juxta mentem ac sententiam Dei hæc facta sint. Non dixerunt autem, quod non diximus vobis etiam nunc: *Nos non possumus, quæ vidimus & audivimus non loqui?* Non enim erant ambitiosi ac gloriosi. Sed iterum eadem dicunt, crucem ac resurrectionem. Et non dicunt quare crucifixus est, quod pro nobis: sed insinuant quidem, nondum autem manifestè, jam illos terrere volentes. Dic oro qualis est hæc rhetorice hoc loco? Nulla. Sic absque apparatu evangelium vitæ præ- E dicatur. Dicit & ad quid, nempe *ut det pœnitentiam*, adducens & *remissionem peccatorum* Israëli. At hæc tunc non videbantur probabilia, dicunt? Quid dicis, & quomodo non erant probabilia, quibus neque principes, neque multitudo contradicere poterat,

sed ora quidem illorum obturabantur, hæc autem docebantur: *At nos*, inquit, *testes horum verborum sumus.* Quorum? quod remissionem ac pœnitentiam promisit. Nam resurrectio quidem erat jam ex confesso. Quod autem remissionem dat, nos testes sumus, & Spiritus sanctus: qui non advenisset, peccatis antea nondum solutis, atque adeò argumentum hoc dubitatione ac controversia caret. Remissionem peccatorum audis miser, & quòd pœnam non exigat, & vis occidere? Quanta est hæc malitia? Quamvis oportuerat falsa docentes redarguere, etiam si non possent persuaderi. Si autem non voluissent persuaderi, non occidere, quid enim opus erat cæde? At illi præ furore neque sciebant quid factum. Vide, quomodo hic ut recordati sunt facinoris, de remissione etiam loquuntur: ostendentes facta quidem morte digna, quæ autem dantur, tanquam resipiscentibus data. Quomodo aliter quis persuaderet illis? Num quasi benè egissent diceret? Et vide malignitatem. Sadducæi illis astant, qui maximè de resurrectione dolebant, sed nihil à malitia lucrifecerunt. At dixerit fortasse quis: Et quis homo assequutus tanta bona, quanta Apostoli, non esset magnus? Sed videre te velim quomodo priusquam hanc gratiam consequuti sint, fuerunt simul perseverantes in oratione, & fisi sunt superno auxilio. Et tu dilecte, speras regnum cœlorum, nihilque sustines? Et tu spiritum accepisti, sed non talia pateris, neque periclitaris. Illi autem priusquam à prioribus respirarent, iterum ad illa ducuntur. Illud autem ipsum, non vana gloria inflari, quantum est bonum? Cum tanta mansuetudine loqui, quantum est lucrum? Non autem omnia gratiæ miraculorum erant, sed etiam studii illorum magnæ conjectutæ. Nam quod in illis, ea quæ gratiæ erant fulgebant: illorum diligentiæ erat. Itaque vide statim ab initio, quàm solicitus sit Petrus, quàm sobrius & vigilans: quomodo credentes pecunias abjiciebant, nihil proprium habebant. In oratione erant, concordiam præ se ferebant, in jejuniis versabantur. Hæc quantæ gratiæ, dic oro. Idcirco & per eos facit fieri reprehensionem à ministris illorum, qui etiam sicut apud Christum dicebant missi:

Joh. 7. 46. *Nunquam sic homo loquutus est, sicut hic homo.* Annunciaverunt reversi quæ scilicet viderant. Tu autem considera hoc loco & illorum mansuetudinem, quomodo cedunt, & principis sacerdotum fictam mentem. Mansuetè enim hinc illis loquitur, utpote timens, & prohibere magis volebat quàm occidere, quoniam hoc non poterat: atque ita omnes monet, etiam extremum illis impendere periculum. *Vultis*, inquit, *inducere super nos sanguinem hominis illius?* Adhuc homo illis esse videtur. Sic dixit, ostendens quòd necessarium illis fuerit præcipere. Sed vide etiam Petrum quid dixerit: *Hunc Deus principem & servatorem exaltavit dextra sua ut daret pœnitentiam Israeli, & remissionem peccatorum.* Hic non meminit gentium, ut ne det ansam. *Et volebant*, inquit, *occidere illos.* Vide iterum illos in angustia & dolore, istos autem in lætitia & voluptate, non simpliciter dolebant, sed *dissecabantur*. Hoc est profectò malè habere quemadmodum & hic videre licet. In vinculis erant isti, & sistebantur in judicio, & qui judicabant erant anxii, consiliique expertes: nam sicut qui adamantem percutit, ipse sibi plagam infert, ita & hi: nam videbant non solùm horum libertatem non impediri, sed prædicationem etiam magis augeri, & imperteritos illos etiam non datâ occasione loqui. Imitemur hos, dilecti, etiam nos, & imperteriti simus in omnibus molestiis. Ei enim qui timet Deum, jam nihil grave est, sed sunt gravia in his qui non timent. Qui enim per virtutem passiones vincit, & res præsentes tanquam prætercurrit: quomodo ab aliquo patietur malum? quem timebit? vel cur gravia putabit? Itaque confugiamus ad petram illam inconcussam. Si quis nobis civitatem construxisset, & murum apposuisset, imò si segregasset nos in terram, in qua nullus obturbat, & omnem abundantiam suppeditet, non sinens nos cum ullo habere negotium: non constituisset nos in tanta securitate, quanta Christus. Sit igitur si places & civitas ænea, murum undequaque habens fortem ac inexpugnabilem, nullus illi adhæreat hostis, uberem terram habeat ac pinguem, assit etiam aliarum rerum abundantia, stent etiam cives mansueti ac amabiles, & nullus illic appareat vir malefactor, fur, manticularius, calumniator, forúmque judicis nullum, sed solùm contractus pacifici, & hanc habitemus civitatem: neque sic tamen securè viveretur. Quare? quia necesse foret, & à servis, & ab uxore & à pueris differre, multíque mœroris esset occasio. Hic autem nihil tale: non enim offenderet etiam quod mœrorem exhibet,

ἀλλ' οἱ μὲν ἐπεστόμιζον, οἱ δὲ ἐδίδασκον, καὶ ἡμεῖς, φησί, μάρτυρες τῶν ῥημάτων τούτων ἐσμέν. ποίων; ὅτι ἄφεσιν, ὅτι μετάνοιαν ἐπηγγείλατο. ἡ μὲν γὰρ ἀνάστασις ἦν λοιπὸν ὡμολογημένη· ὅτι δὲ ἄφεσιν δίδωσιν, ἡμεῖς μαρτυροῦμεν, καὶ τὸ πνεῦμα τὸ ἅγιον. ὃ οὐκ ἂν ἐπῆλθε, μὴ προτέρων τῶν ἁμαρτιῶν λυθεισῶν. ὥστε ἀναμφισβήτητον τεκμήριον τοῦτό ἐστιν. ἄφεσιν ἁμαρτημάτων ἀκούεις, ἄθλιε, καὶ ὅτι οὐ δίκην ἀπαιτεῖ, καὶ βούλει ἀπολεῖν; καὶ πόσης ταῦτα ἔχει κακίας; καίτοι ἢ διελέγξαι ψευδομένους ἐχρῆν, ἢ μὴ δυναμένους πεισθῆναι. οἱ δὲ μὴ ἐβούλοντο πεισθῆναι, μὴ ἀπολεῖν. τί γὰρ ἦν ἀναιρέσεως ἄξιον; οἱ δὲ ὑπὸ τοῦ θυμοῦ οὐδὲ συνῄδεσαν τὸ γεγενημένον. ὅρα πῶς ἐνταῦθα μνημονεύσαντες τοῦ πλημμελήματος περὶ ἀφέσεως διαλέγονται, δεικνύντες ὅτι τὰ μὲν γεγενημένα, ἄξια θανάτου· τὰ δὲ διδόμενα, ὡς ἐγνωκόσιν ἐδίδοντο· πῶς ἂν ἄλλως τις ἔπεισεν αὐτούς, ἢ ὡς εὐδοκιμοῦντας εἰπών; καὶ ὅρα τὴν κακουργίαν· τοὺς Σαδδουκαίους αὐτοῖς ἐφιστῶσιν, οἳ μάλιστα ἤλγουν ἐπὶ τῇ ἀναστάσει. ἀλλ' οὐδὲν τῆς πονηρίας ἀπώναντο. ἀλλ' ἴσως ἐρεῖ τις· καὶ τίς ἄνθρωπος τοιούτων ἀπολαύων οἵων οἱ Ἀπόστολοι, οὐκ ἂν μέγας ἐγένετο; ἀλλ' ὅρα μοι πρὶν ἢ ἀπολαῦσαι τῆς χάριτος, πῶς ἦσαν προσκαρτεροῦντες ὁμοθυμαδὸν τῇ προσευχῇ· καὶ ἐλπίζοντες ἐπὶ τὴν ἄνωθεν ῥοπήν. καὶ σὺ ἐλπίζεις, ἀγαπητέ, βασιλείαν οὐρανῶν, ἀλλ' οὐδὲν ὑπομένεις. καὶ σὺ πνεῦμα ἔλαβες, ἀλλ' οὐ τοιαῦτα πάσχεις οὐδὲ κινδυνεύεις. ἐκεῖνοι δὲ πρὶν ἢ τῶν προτέρων ἀναπνεῦσαι, πάλιν ἐφ' ἕτερα ἤγοντο. καὶ τοῦτο δὲ αὐτὸ τὸ μὴ τυφωθῆναι, τὸ μὴ κενοδοξῆσαι, πόσον ἐστὶν ἀγαθόν; τὸ μετ' ἐπιεικείας διαλέγεσθαι, πόσον ἐστὶ κέρδος; οὐ γὰρ δὴ πάντα τῆς χάριτος ἦν· ἀλλὰ καὶ τῆς αὐτῶν σπουδῆς πολλὰ τὰ τεκμήρια. τὸ γὰρ ἐν αὐτοῖς τὰ τῆς χάριτος διαλάμπειν, τῆς αὐτῶν ἐπιμελείας ἦν. ὅρα γοῦν [εὐθὺς] ἐξ ἀρχῆς πῶς μεμεριμνημένος ὁ Πέτρος ἐστί· πῶς νήφων καὶ ἐγρηγορώς· πῶς οἱ πιστεύσαντες τὰ χρήματα ἔρριψαν. οὐδὲν ἴδιον εἶχον· ἐν εὐχῇ ἦσαν. ὁμόνοιαν ἐπεδείκνυντο· ἐν νηστείαις διῆγον· ταῦτα ποίας χάριτος, εἰπέ μοι; διὰ τοῦτο [καὶ] δι' αὐτῶν ποιεῖ γενέσθαι τὸν ἔλεγχον τῶν ὑπηρετῶν αὐτῶν. οἳ καὶ ὥσπερ ἐπὶ τοῦ Χριστοῦ ἔλεγον οἱ πεμφθέντες· οὐδέποτε οὕτως ἄνθρωπος ἐλάλησεν ὡς οὗτος ὁ ἄνθρωπος. ἀπήγγειλαν ὑποστρέψαντες ἅπερ εἶδον. σὺ δέ μοι σκόπει ἐνταῦθα, καὶ αὐτῶν τὴν ἐπιείκειαν, πῶς εἴκουσι, καὶ τοῦ ἀρχιερέως τὴν πεπλασμένην γνώμην. ἐπιεικῶς γὰρ δῆθεν αὐτοῖς διαλέγεται, ἅτε φοβούμενος· καὶ κωλῦσαι μᾶλλον ἐβούλετο, ἢ ἀπολεῖν, ἐπειδὴ τοῦτο οὐκ ἠδύνατο, καὶ ὥστε πάντας κινῆσαι, καὶ περὶ τῶν ἐσχάτων αὐτοῖς ἀποκρεμάσαι τὸν κίνδυνον· βούλεσθε, φησίν, ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου; ἔτι ἄνθρωπος εἶναί σοι δοκεῖ; οὕτως εἶπεν, δεικνὺς ὅτι ἀναγκαία ἡ παρακέλευσις γέγονεν αὐτοῖς. ἀλλ' ὅρα [καὶ] τὸν Πέτρον, τί φησιν. τοῦτον ὁ Θεὸς ἀρχηγὸν καὶ σωτῆρα ὕψωσε τῇ δεξιᾷ αὐτοῦ, τοῦ δοῦναι μετάνοιαν τῷ Ἰσραήλ, καὶ ἄφεσιν ἁμαρτιῶν. ἐνταῦθα οὐ μέμνηται τῶν ἐθνῶν, ἵνα μὴ δῷ λαβήν. καὶ ἐβούλοντο, φησίν, ἀνελεῖν αὐτούς. ὅρα πάλιν τούτους ἐν ἀπορίᾳ, τούτους ἐν ὀδύνῃ· ἐκείνους δὲ ἐν ἀνέσει, καὶ εὐθυμίᾳ, καὶ ἐν τρυφῇ. οὐχ ἁπλῶς ἠδημόνουν, ἀλλὰ διεπρίοντο. τοῦτό ἐστιν ἄρα τὸ κακῶς παθεῖν, τὸ κακῶς ποιεῖν· καθάπερ καὶ ἐνταῦθά ἐστιν ἰδεῖν. ἐν δεσμοῖς ἦσαν οὗτοι, παρειστήκεισαν δικαστηρίῳ, καὶ οἱ δικάζοντες ἦσαν ἐν ἀπορίᾳ, ἐν ἀμηχανίᾳ πολλῇ. καθάπερ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτὸς λαμβάνει τὴν πληγήν· οὕτω δὴ καὶ οὗτοι. ἀλλ' ἑώρων οὐ μόνον οὐκ ἐμποδιζομένην αὐτῶν τὴν παρρησίαν, ἀλλὰ καὶ μᾶλλον αὐξόμενον τὸ κήρυγμα, καὶ ἀκαταπλήκτους διαλεγομένους αὐτοὺς καὶ μὴ παρέχοντας λαβάς. μιμησώμεθα τούτους δὴ καὶ ἡμεῖς, ἀγαπητοί, [καὶ] ἀκατάπληκτοι ἐν πᾶσι γινώμεθα τοῖς δεινοῖς. οὐκ ἔστι δεινὸν τῷ φοβουμένῳ τὸν Θεόν, ἀλλ' ἐν τοῖς μὴ φοβουμένοις ἐστὶ τὰ δεινά. ὁ γὰρ τῶν παθῶν δι' ἀρετῆς ἀνώτερος γινόμενος, καὶ ὥσπερ σκιὰν τὰ παρόντα παρατρέχων πράγματα, πῶς ὑπό τινος πείσεται δεινόν; τίνα [δὲ] φοβηθήσεται; [ἢ] τί τὰ δεινὰ λογιεῖται; οὐκοῦν καταφύγωμεν ἐπὶ ταύτην τὴν πέτραν τὴν ἄσειστον. εἰ πόλιν ἡμῖν τις κατεσκεύαζε, καὶ τεῖχος περιετίθει· μᾶλλον δὲ εἰ ἀπῴκιζεν ἡμᾶς εἰς γῆν, ἔνθα μηδεὶς ἦν ὁ ἐνοχλῶν, καὶ πᾶσαν ἐκεῖ παρεῖχε τὴν ἀφθονίαν, οὐκ ἀφεὶς πρὸς οὐδένα πρᾶγμα ἔχειν, οὐκ ἂν ἡμᾶς ἐν τοσαύτῃ κατέστησεν ἀσφαλείᾳ ἐν ὅσῃ νῦν ὁ Χριστός. ἔστω γοῦν εἰ βούλει [καὶ ἡ] πόλις χαλκῆ, τεῖχος πάντοθεν ἔχουσα καρτερὸν καὶ ἀνάλωτον· μηδεὶς αὐτῇ προσκείσθω πολέμιος· ἄφθονον ἐχέτω γῆν καὶ λιπαράν· παρέστω δὲ καὶ ἡ τῶν ἄλλων ἀφθονία πραγμάτων· ἔστωσαν καὶ πολῖται ἥμεροι καὶ προσηνεῖς, καὶ μηδεὶς ἐκεῖ φαινέσθω κακοῦργος ἀνήρ· μὴ κλέπτης· μὴ λωποδύτης· μὴ συκοφάντης· μὴ δικαστήριον· ἀλλὰ συναλλάγματα ἁπλῶς. καὶ ταύτην οἰκῶμεν τὴν πόλιν· οὐκ ἦν οὐδὲ οὕτως ἐν ἀσφαλείᾳ ζῆν. διατί; ὅτι καὶ πρὸς οἰκέτας, καὶ πρὸς γυναῖκα καὶ πρὸς παιδία ἀνάγκη διαφέρεσθαι, καὶ πολλῆς ἀθυμίας εἶναι ὑπόθεσιν. ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον. οὐ γὰρ ἦν, οὐκ ἦν αὐτοὺς τὸ λυπεῖν οὐδὲ τὸ παρέχον ἀθυμίαν τινά.

ἀλλὰ

ἀλλὰ τὸ θαυμαστὸν, αὐτὰ δὴ τὰ δοκοῦντα παρέχειν ἀθυμίαν, ταῦτα πάσης ἐγίνετο χαρᾶς, καὶ εὐφροσύνης αἴτια. εἰπὲ γάρ μοι· τίνος ἕνεκεν ἔμελλον ἀλύειν ἐκεῖνοι; τίνος δὲ ἕνεκεν δυσχεραίνειν; βούλει παραγάγωμέν τινα εἰς τὸ μέσον; ἔστω τις ἀπὸ ὑπάτων· πλοῦτον κεκτήσθω πολύν· πόλιν οἰκείτω τὴν βασιλικήν· πράγματα πρὸς μηδένα ἐχέτω· τρυφάτω μόνον, καὶ πρὸς τοῦτο ἀσχολείσθω, ἐν αὐτῇ τῇ κορυφῇ, καὶ τοῦ πλούτου, καὶ τῆς τιμῆς, καὶ τῆς δυναστείας καθήμενος. ἀντιπαραγάγωμεν αὐτῷ Πέτρον τὸν ἐν δεσμοῖς, εἰ δοκεῖ, τὸν ἐν μυρίοις κακοῖς· καὶ τοῦτον εὑρήσομεν τρυφῶντα μᾶλλον. ὅτ' ἂν γὰρ τοσαύτη περιουσία χαρᾶς ᾖ, ὡς ἐν δεσμοῖς ἥδεσθαι, ἐννόησον ὅσον ἐστὶ [τὸ] μέγεθος τῆς χαρᾶς. καθάπερ [γὰρ] οἱ ἐπὶ μεγάλης ὄντες ἀρχῆς, ἐὰν περιστῇ τι δεινὸν οὐκ αἰσθάνονται, ἀλλ' ἐπιμένουσι τῇ χαρᾷ· οὕτω δὴ καὶ οὗτοι, δι' αὐτὰ δὴ ταῦτα μᾶλλον ἔχαιρον. οὐ γάρ ἐστιν, οὐκ ἔστι λόγῳ παραστῆσαι τὴν ἡδονὴν, ὅσην ἔχειν συμβαίνει τοὺς διὰ Χριστὸν τι πάσχοντας δεινόν. μᾶλλον γὰρ ἐπὶ τοῖς δεινοῖς χαίρουσιν, ἢ ἐπὶ τοῖς ἀγαθοῖς. εἴ τις ἐφίλησε τὸν Χριστὸν, οἶδεν ὃ λέγω. ἀλλὰ τί; ἀσφαλείας ἕνεκεν ἔμελλον τὰ δυσχερῆ φεύγειν; καὶ τίς, εἰπέ μοι, μυρίον κεκτημένος πλοῦτον, τοσούτους κινδύνους ἠδυνήθη διαφυγεῖν ἔθνεσι τοσούτοις ὁμιλῶν ὑπὲρ μεγίστης πολιτείας μόνης; [οὗτοι δὲ,] ὥσπερ ἐξ ἐπιτάγματος βασιλικοῦ πάντα ἐποίουν· μᾶλλον δὲ καὶ πολλῷ ῥᾷον. οὐ γὰρ οὕτως ἐπίταγμα βασιλικὸν, ὡς τὰ ἐκείνων ῥήματα ἅπαντα ἤνυσαν. τὸ γὰρ ἐπίταγμα τὸ βασιλικὸν, ἀνάγκην ἐπάγει· οὗτοι δὲ ἑκόντας καὶ προαιρουμένους, καὶ μυρίαν χάριν εἰδότας. ποῖον ἐπίταγμα βασιλικὸν πάντων ἀποστῆναι τῶν χρημάτων, καὶ τῆς ψυχῆς ἔπεισεν ἂν, καὶ καταφρονῆσαι οἰκίας, πατρίδος, συγγενῶν, καὶ τῆς σωτηρίας αὐτῆς; ἀλλ' αἱ τῶν ἁλιέων, καὶ σκυτοτόμων ἴσχυσαν φωναί. ὥστε καὶ ἐν ἡδονῇ ἦσαν, καὶ δυνατώτεροι, καὶ ἰσχυρότεροι πάντων· ναὶ, φησὶν, ἐκεῖνοι, ἐπειδὴ τὰ σημεῖα ἐποίουν, οἱ δὲ πιστεύσαντες, εἰπέ μοι, ποῖα σημεῖα ἐποίουν, οἱ τρισχίλιοι, καὶ πεντακισχίλιοι, οἳ καὶ ἐν ἀγαλλιάσει πολλῇ διῆγον; εἰκότως. ἡ γὰρ πασῶν τῶν ἀθυμιῶν ὑπόθεσις, ἡ τῶν χρημάτων κτῆσις ἀνῄρητο. ἐκείνη γὰρ, ἐκείνη καὶ πολέμων, καὶ μάχης, καὶ λύπης, καὶ ἀθυμίας, καὶ πάντων αἰτία τῶν κακῶν ἦν· ἡ τὸν βίον ἐπίπονον ποιοῦσα καὶ λυπηρότερον, ἐκείνη ἐστί· καὶ πλείους εὕροις ἂν [μᾶλλον] ἔχοντας ἀθυμίας τοὺς ἐν πλούτῳ ἢ τοὺς ἐν πενίᾳ. εἰ δὲ μὴ δοκεῖ τισιν οὕτως ἔχειν, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν, ἀλλὰ παρὰ τὴν δόξαν αὐτῶν. εἰ δέ τινα ἔχουσι καὶ ἡδονὴν οἱ ἐν πλούτῳ, οὐδὲν θαυμαστόν. καὶ γὰρ οἱ ψώρας ἀναπεπλησμένοι, ἐν πολλῇ εἰσιν ἡδονῇ. ὅτι γὰρ ἐκείνων οὐδὲν διαφέρουσιν οἱ πλουτοῦντες, ἀλλ' ἡ ψυχὴ τοιαύτη τίς ἐστιν αὐτοῖς, δῆλον ἐκεῖθεν. ἀνιῶσιν αὐτοὺς [αἱ] φροντίδες, καὶ [ὅμως] βούλονται αὐταῖς ἐνέχεσθαι διὰ τὴν πρόσκαιρον ἡδονήν· οἱ δὲ τούτων ἀπηλλαγμένοι, ἐν ὑγιείᾳ εἰσὶ καὶ ἀθυμίας ἐκτός. τί ἥδιον, εἰπέ μοι; τί δαὶ ἀσφαλέστερον; ὑπὲρ ἄρτου φροντίζειν ἑνὸς καὶ ἐνδυμάτων, ἢ ὑπὲρ μυρίων καὶ οἰκετῶν, καὶ ἐλευθέρων, τῶν καθ' ἑαυτοὺς μὴ μεριμνώντων; καθάπερ γὰρ οὗτος ὑπὲρ ἑαυτοῦ δέδοικεν· οὕτω καὶ σὺ ὑπὲρ τῶν τῆς σῆς ἐκκρεμαμένων κεφαλῆς. καὶ τί δήποτε φευκτὸν ἡ πενία δοκεῖ, φησίν; ἐπειδὴ καὶ τὰ ἄλλα ἀγαθὰ ἀπευκτὰ πολλοῖς τυγχάνει, ἅπερ οὐκ εἰσὶν οὐ διὰ τὸ ἀπευκτὰ εἶναι φευκτὰ, ἀλλὰ διὰ τὸ δυσκατόρθωτα. οὕτω καὶ αὕτη οὐκ ἀπευκτὴ, ἀλλὰ δυσκατόρθωτος. ὥστε εἴγε τις αὐτὴν ἐνεγκεῖν ἠδύνατο, οὐκ ἂν ἦν ἀπευκτή. διατί γὰρ οὐκ ἀπηύχοντο αὐτὴν οἱ Ἀπόστολοι; διατί πολλοὶ, καὶ αἱροῦνται αὐτήν; καὶ οὐ μόνον οὐκ ἀπεύχονται, ἀλλὰ καὶ ἐπιτρέχουσι. τὸ γὰρ ὄντως ἀπευκτὸν, οὐδὲ αἱρετὸν πλὴν τοῖς μαινομένοις. εἰ δὲ οἱ φιλόσοφοι τῶν ἀνθρώπων καὶ ὑψηλοὶ ἐπὶ ταύτην ἔρχονται ὡς ἐπί τι χωρίον ἀσφαλὲς καὶ ἄνοσον, οὐδὲν θαυμαστὸν ἐὰν τοῖς ἄλλοις μὴ δοκῇ. ὁ μὲν γὰρ πλούσιος, οὐδὲν ἕτερον εἶναί μοι δοκεῖ, ἀλλ' ἢ πόλις ἀτείχιστος ἐν πεδίῳ κειμένη [καὶ] πολλαχόθεν ἐπιπεπταμένη τοὺς ἐπιβουλεύοντας. ἡ δὲ πενία φρούριον ἀσφαλὲς, χαλκῷ περιβεβλημένον πολλῷ, καὶ δύσκολον ἔχον τὴν ἄνοδον. καὶ μὴν τοὐναντίον φησὶν ἐστίν. οὗτοι γάρ εἰσιν οἱ εἰς δικαστήριον πολλάκις ἑλκόμενοι· οὗτοί εἰσιν οἱ ἐπηρεαζόμενοι· οἱ κακῶς πάσχοντες, οὐχ οἱ πένητες ἁπλῶς, ἀλλ' οἱ πένητες μὲν, βουλόμενοι δὲ πλουτεῖν. ἐγὼ δὲ οὐ περὶ ἐκείνων φημὶ, ἀλλὰ περὶ τῶν σπουδαζόντων ἐν πενίᾳ διάγειν. εἰπὲ γάρ μοι· διατί μηδεὶς τοὺς ἐν τοῖς ὄρεσιν ἕλκει εἰς δικαστήριον, καίτοιγε εἰ ἡ πενία εὐχείρωτον, ἐκείνους μάλιστα πάντων ἕλκειν ἔδει, ὅσῳ πάντων εἰσὶ πενέστεροι. διατί τοὺς προσαιτοῦντας οὐδεὶς ἕλκει εἰς δικαστήριον; διατί μηδεὶς βιάζεται μηδὲ συκοφαντεῖ; ἆρ' οὐ διότι ἐν ἀσφαλεστέρῳ χωρίῳ μένουσι; πῶς οὖν τὸ πρᾶγμα, καὶ δυσοιώνιστον εἶναι δοκεῖ, ἡ πενία λέγω, καὶ τὸ προσαιτεῖν, τίνι; [καὶ] καλόν τε ἐπαιτεῖν; καλὸν, ἐὰν ᾖ ὁ παραμυθούμενος καὶ ἐλεῶν· ἐὰν ᾖ ὁ παρέχων. οὕτω βίον ἀπράγμονα, καὶ ἀσφαλῆ οὗτος [πᾶς] οἶδεν.

A sed hoc mirabile, quod ipsa quæ negotium videntur exhibere, illa potissimum omnis gaudii ac lætitiæ essent causa. Dic oro quamobrem illi contristaturi sunt, vel stomachaturi: Vis afferamus quendam in medium? Si et quis ex principibus, magnas possideat opes, civitatem inhabitet regiam, negotium cum nullo habeat, delicietur solùm, & huic rei soli vacet, sedens in vertice honorum, delitiarum, ac divitiarum: apponat autem illi quis Petrum in vinculis, & sexcentis molestiis B si placet, & hunc inveniemus multò magis in delitiis. nam quando tanta gaudii abundantia erit sicut oblectari in vinculis, cogita quanta erit gaudii magnitudo. Sicut ii qui in magno sunt principatu, quæcunque illis gravia accidunt, non sentiunt, sed perdurant in gaudio: sic sanè & hi, propter illa ipsa etiam magis gaudebant, neque enim ratione poterit quis comprehendere voluptatem, quantam habent ii qui propter Christum grave quiddam patiuntur: nam multò magis gau- C dent in malis quàm in bonis. Si quis dilexerit Christum, scit quid dicam. Jam quid? securitati sine gratia fugitivi sunt mala? Sed quis dic, oro, innumeras possidens divitias tanta pericula posset effugere, cum tantis gentibus conservans, si sola reipublicæ administratio transferatur? Hi autem quasi ex præcepto regio perficiebant, imò & multò facilius. Non enim sic regium præceptum, ut illorum verba, omnia perfecerunt. Regium enim præceptum necessariò cogit, hi autem D voluntarios ac spontaneos, & maximas gratias habentes. Quale præceptum regium, omnes pecunias relinquere, animæ persuaserit, ac contemnere domum, patriam, cognatos, & salutem suam: sed sunt piscatorum ac pellionum voces tam potentes, atque ita etiam in voluptate erant & potentiores ac fortiores omnibus. Etiam, inquit, concedo quod illi, quia signa faciebant. Qui autem credebant, dic oro, quæ signa fecerunt, tria millia & quinque millia, qui & in exul- E tatione magna versabantur. Meritò: nam omnium mœrorum sustentatio, divitiarum cupiditas explosa erat. Illa enim & bellorum, & contemptionum, & tristitiæ ac mœroris, & omnium malorum causa erat, quæ vitam facit molestam & tristiorem, illa est. Et inveniet quis plures qui mœrorem habent divites, quàm pauperes. Si autem non videtur quibusdam sic esse, hoc contingit, non quod ea sit rerum natura, sed quod talis est eorum opinio. Jam si & divites habent ali- A quid voluptatis, haud mirum est: nam & qui scabie plenì sunt, sunt in magna voluptate. Quod autem & divites ab illis non differant, & sit illis ejusmodi anima, manifestum inde: contristant illos curæ, attamen volunt in illis detineri propter voluptatem momentaneam. Qui autem ab his liberi, in sanitate sunt & extra mœrorem. Utrum suavius dic, oro, & utrum securius? Pro uno, de pane & vestibus esse solicitum, an pro multis, & servis & liberis qui pro seipsis non B sint anxii? Quemadmodum enim hic pro seipso timet, ita & tu pro qui his à tuo capite pendent. Et quarenam fugienda videtur paupertas, inquit: Quoniam hoc multis etiam de aliis virtutibus videtur, quæ sanè per se non sunt fugiendæ, sed propter eum qui ægrè operatur. Igitur & illa non est fugienda: sed ita videtur ei qui ægrè amplectitur, atque adeò si quis illam ferre posset, utique non esset deprecabilis. Quare enim illam Apostoli deprecati non sunt? quare multi etiam e- C ligunt illam? Et non solùm non deprecantur, sed etiam advolant: nam quod revera horrendum, nequaquam eligibile est, nisi ab insanis. Si autem philosophi qui inter homines sublimiores fuerunt, ad hanc venerunt, quasi ad securum prædium, & morbis non obnoxium, neque mirabile si aliis non videatur. Nam dives quidem nihil aliud mihi esse videtur, quàm civitas absque muris in agro sita, D & undique insidiantibus exposita. Paupertas verò securum præsidium, æreis muris, & expugnatu difficile. At dixerit quis, res contrario se habet modo: hi enim sæpè ad tribunal trahuntur, hi sunt qui sæpe affliguntur, qui malè habent. Non pauperes simpliciter, sed pauperes quidem qui ditari volunt. Ego autem non de illis loquor, sed de iis quibus studium est in paupertate versari. Dic enim oro mihi, quare nullus eos qui in montibus E habitant, trahit ad judicem, quamvis si illi qui pauperiores magis trahuntur ad judicem, hos omnium maximè oportebat. Quare autem mendicantes nullus trahit ad judicem? Quare nullus cogit, nullus calumniatur? Nonne quia in securiori loco habitant? Quàm multis autem infelicissimum videtur esse pauperem & mendicare? Quid igitur? Estne bonum mendicare? Bonum inquam, si esset qui consolaretur & misereretur: si esset suppeditans, vitam otiosam & securam omnes probarent.

Ego

A Ego autem non hoc laudo, absit: sed ita, ut quis opes non deliberet. Dic mihi, utrum dixeris magis beatum, eum qui virtutis studiosus est, vel eum qui procul ab ea est? Certum, quòd studiosum. Uter igitur studiosus ad cognoscendum quid utile ac clarum in philosophia, hic vel ille? omnibus manifestum, quod hic. Si autem non credis, disce. Ducatur à foro mendicantium aliquis, & ille quidem sit cæcus, claudus, mancus: alius verò quidam aspectu formosus, corpore robustus, undequaque delicatus, pecuniis affluens, B genere ac potentia clarus? ducamus itaque hos in philosophiæ scholam, & videamus uter illorum doctrinæ sit capacior. Sit igitur primum præceptum, Humilis sis & mitis: hoc enim Christus præcepit. Uter horum magis perficiet quod præceptum, hic vel ille? *Beati qui lugent*: uter magis adhibebit dicto fidem? *Beati humiles*, uter magis audiet? *Beati mundo corde: beati esurientes ac sitientes justitiam: beati persequutionem passi propter justitiam*: uter facilius hæc amplexabitur? C & si vis, adaptemus hæc omnibus: nónne ille quidem ardet ac inflatur undique? Hic autem humiliter sapit semper, & per omnia demissior est: certum quod ita est, id quod & externus versiculus testatur. Servus quidem Epictetus, corpore incurvus, paupertate Irus, & amicus immortalium: & ita quidem habet pauper. Divitis autem anima, omnibus plena est malis, arrogantia, vana gloria, concupiscentiis innumeris, ira & furore, avaritia, injustitia, & omni alio. Itaque D certum quod hæc ad philosophiam magis idonea, quàm illa. Omnino quæritis discere, utrum magis suave! Hoc enim à multis quæri video, siquidem ista vita suavior, & nec de hoc ambigendum: nam qui sanior, idem & suavius agit. Uter autem dic mihi de lege quæ præposita, siquidem eam perficere velimus, magis idoneus? Ipse dico aptiorem pauperem, quàm divitem. Uter facilius jurabit, qui irascitur filiis, an qui cum plurimis habet negotium? Nónne qui pro uno de pa- E ne ac vestibus est solicitus? hic neque juramentis opus habet si voluerit, sed semper in mansuetudine versatur: imò qui doctus est non jurandum, is etiam facilè opes contemnet: & ubique illum videbit quis virtutum sectantem vias, & omnes quæ ferunt ad mansuetudinem, ad opum despicabilitatem, ad pietatem, ad compositionem ac moderantiam animæ, ad compunctionem. Ne simus ergo negligentes, dilecti, sed iterum omnem adhibeamus diligentiam: & hi quidem qui se A correxerint ac benè egerint, ut quod correctum est conservent, ita ut non facilè defluant, & retrorsum abeant: qui autem reliqui adhuc, & excitentur ac operam dent, ac posthac impleant: & ii quidem qui jam rectè vivunt, eis qui nondum potuerunt quasi in pelago natantibus, manum porrigant, in portu, quò non jurent, suscipiant. Portus enim quidem securus est, nunquam jurare. Portus in quo à ventis impetuosis quis non submergitur. Nam licèt ira, licèt furor, licèt insultus effervescat, B licèt quidlibet fit, anima in securitate constituitur, & ita neque ejiciat aliquid eorum quæ non oportet dicta esse. Non enim tibi necessariam putavit legem. Vide quid propter juramentum facit Herodes, caput præcursoris amputavit, *Propter juramentum enim*, inquit, *ac discumbentes, nolebat illam repulsam pati.* Quid propter juramentum passæ sunt tribus infestæ tribui Benjamin? Quid propter juramentum passus est Saul? nam ille quidem adjuravit, Herodes autem etiam homicidium perjurio C pejus commisit. Iterum Jesus propter juramentum Gabaonitis factum, qualia passus est, cognovit. Satanæ enim laqueus est jurare, disrumpamus igitur funes, & facilè contra omnem custodiam consistemus, liberemur à laqueo Satanæ. Timeamus dominicum præceptum, consuetudinem optimam nobis vendicemus, ut progredientes in via virtutum, & hoc & alia mandata perficiamus, ac assequamur bona promissa iis qui dili- D gunt illum, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul & Spiritui Sancto sit gloria, honor, imperium, nunc & semper, & in secula seculorum, Amen.

Math. 5, 4. seq.

Math. 6. 26.

Jud. 21, 10.

2. Reg. 21, 2.

Josue 9, 15. seq.

HOMILIA XIV.

E *Surgens autem quidam in concilio Pharisæus, nomine Gamaliel, legis doctor in precio habitus apud totum populum, jussit ut paulisper secederent foras Apostoli.*

Hic Gamaliel Pauli præceptor fuit, & dignum admiratione, quòd tanto judicio valens ac legis doctor existens, nondum crediderit: non poterat ille per omnia manere incredulus, & manifestum hoc ex verbis illius, quæ consulendo affert.

A ἐγὼ δὲ οὐ τοῦτο παραινῶ· μὴ γένοιτο· ἀλλ' ὥστε μὴ πλούτου ἐφίεσθαι. εἰπὲ γάρ μοι· τίνας ἂν εἴποις μᾶλλον μακαρίους· τοὺς ἐπιτηδείους πρὸς ἀρετὴν, ἢ τοὺς [ταύτης] πόῤῥω καθεστηκότας; εὔδηλον ὅτι τοὺς ἐπιτηδείους. τίς οὖν ἐπιτήδειος πρὸς τὸ μαθεῖν τι τῶν χρησίμων, καὶ λάμπειν ἐν φιλοσοφίᾳ; οὗτος, ἢ ἐκεῖνος; παντί που δῆλον ὅτι οὗτος. εἰ δὲ ἀπιστεῖς, μάνθανε. ἀγέσθω τις ἀπὸ τῆς ἀγορᾶς τῶν προσαιτούντων, καὶ αὐτὸς μὲν ἔστω πηρὸς, χωλὸς, κυλλός· ἕτερος δέ τις B καλὸς μὲν ἰδεῖν, ἰσχυρὸς τῷ σώματι, πάντοθεν σφριγῶν, τοῖς χρήμασι περιῤῥεόμενος, γένος ἐχέτω λαμπρὸν, καὶ δυναστείαν μεγάλην. εἶτ' οὖν ἀγάγωμεν τούτους εἰς τὸ τῆς φιλοσοφίας παιδευτήριον, καὶ ἴδωμεν τίς αὐτῶν μᾶλλον δέξεται τὰ τῆς διδασκαλίας. ἔστω γοῦν τὸ πρῶτον παράγγελμα, ταπεινὸς ἔσο καὶ μέτριος· τοῦτο γὰρ ὁ Χριστὸς προσέταξε· τίς μᾶλλον αὐτὸ κατορθῶσαι δυνήσεται, οὗτος ἢ ἐκεῖνος; μακάριοι οἱ πενθοῦντες· τίς μᾶλλον προσέξει τῷ εἰρημένῳ; C μακάριοι οἱ ταπεινοί· τίς μᾶλλον ἀκούσεται; μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ· μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην· μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης· τίς εὐκόλως ταῦτα καταδέξεται; καὶ, εἰ βούλει, πᾶσιν αὐτοῖς ἐφαρμόσωμεν ἑκατέρους. οὐχ ὁ μὲν φλεγμαίνει καὶ οἰδεῖ πάντοθεν· ὁ δὲ ταπεινοφρονεῖ ἀεὶ καὶ συνέσταλται [διαπαντός;] εὔδηλον ὅτι. ἔστι μὲν οὖν [δὴ] τι καὶ ἔπος τοῦτο τοῖς ἔξωθεν εἰρημένον· δοῦλος μὲν Ἐπίκτητος, σῶμα ἀνάπη- D ρος, πενίην Ἶρος, καὶ φίλος ἀθανάτοις. ἀλλὰ οὗτος μὲν ὁ πένης. ἡ δὲ τοῦ πλουσίου ψυχὴ, πάντων γέμει τῶν κακῶν, ἀπονοίας, κενοδοξίας, ἐπιθυμιῶν μυρίων, ὀργῆς καὶ θυμοῦ, πλεονεξίας, ἀδικίας, καὶ τοῦ λοιποῦ ἑτέρου. ἄρα φανερὸν, ὅτι πρὸς φιλοσοφίαν αὕτη ἐπιτηδεία μᾶλλον ἢ ἐκείνη. πάντως ζητεῖτε μαθεῖν τί μᾶλλον ἥδιον· τοῦτο γὰρ παρὰ πολλοῖς ζητούμενον ὁρῶ, εἴγε αὕτη ἡδίων ἡ διαγωγή. καὶ μὴν οὐδὲ ὑπὲρ τούτου ἀμφιβάλλειν χρή. ὁ γὰρ ἐγγὺς τῆς ὑγείας οὗτος καὶ ἐν ἡδονῇ πολλῇ. τίς δὲ εἰπέ μοι, πρὸς τὸν κείμενον, ὅνπερ βουλό- E μεθα κατορθῶσαι, τὸν νόμον τοῦτον λέγω, ἐπιτήδειος; ὁ πένης, ἢ ὁ πλουτῶν; τίς εὐκόλως ὀμεῖται; ὁ πρὸς παῖδας παροξυνόμενος, ὁ πρὸς μυρίους ἔχων συναλλάγματα· ἢ ὁ πρὸς τὸν ὑπὲρ ἄρτου ἢ ἱματίου ἑνός; οὗτος οὐδὲ ἀνάγκην ὅρκων ἔχει ἐὰν θέλῃ, ἀλλ' ἀεὶ ἐν πραγμοσύνῃ διάγει· μᾶλλον δὲ ὁ παιδευόμενος μὴ ὀμνύναι, καὶ χρημάτων καταφρονήσει πολλάκις, καὶ πανταχοῦ τῆς ἀρετῆς τὰς ὁδοὺς A τεμνομένας ἀπὸ τούτου τοῦ καλοῦ ἴδοι τις ἂν, καὶ πάσας φερούσας πρὸς ἐπιείκειαν, πρὸς χρημάτων ὑπεροψίαν, πρὸς εὐλάβειαν, πρὸς κατάστασιν ψυχῆς, πρὸς κατάνυξιν. μὴ δὴ ῥαθυμῶμεν, ἀγαπητοί· ἀλλὰ πάλιν πολλὴν ποιησώμεθα τὴν σπουδήν· οἱ μὲν κατωρθωκότες, ὥστε φυλάξαι τὸ κατορθωθὲν, ὥστε μὴ εὐκόλως ἀποῤῥεῖν ἵνα γένηται, καὶ παλίῤῥοιαν εἰς τοὐπίσω· οἱ δὲ ἔτι λειπόμενοι, ὥστε διαναστῆναι, ὥστε σπουδάσαι τὸ λεῖπον πληρῶσαι. καὶ τοὺς οἱ κατορθώ- B σαντες τοὺς μήπω δυνηθέντας, καθάπερ ἐν πελάγει νηχομένοις τὰς χεῖρας ἐκτείνοντες, ἐν τῷ λιμένι τῆς ἀνωμοσίας δεχέσθωσαν. λιμὴν γὰρ ὄντως ἀσφαλὴς, τὸ μὴ ὀμνύναι· λιμὴν, πρὸς τὸ μὴ καταποντίζεσθαι ὑπὸ τῶν προσπιπτόντων πνευμάτων. κἂν γὰρ ὀργὴ, κἂν ἐπήρεια, κἂν θυμὸς ὑπερζέσῃ, κἂν ὁτιοῦν, ἡ ψυχὴ ἐν ἀσφαλείᾳ καθέστηκεν, ὥστε οὐδὲ ἂν ἐκβάλλῃ τι τῶν οὐκ ὀφειλόντων εἰρῆσθαι. οὐ γὰρ εἰς ἀνάγκην κατέστησεν ἑαυτὸν, οὐδὲ νόμον. ὅρα τί διὰ τὸν ὅρκον ἐ- C ποίησεν [ὁ] Ἡρώδης· τὴν κεφαλὴν ἀπέτεμε τοῦ προδρόμου, διὰ τοὺς ὅρκους γάρ φησι, καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. τί δι' ὅρκον πεπόνθασιν αἱ φυλαὶ ἐπὶ τῆς Βενιαμὶν φυλῆς; τί δι' ὅρκον πέπονθεν ὁ Σαούλ; ὁ μὲν γὰρ ἐπιώρκησεν· ὁ δὲ Ἡρώδης, καὶ τῆς ἐπιορκίας χεῖρον εἰργάσατο, τὸν φόνον. πάλιν ὁ Ἰησοῦς διὰ τὸν ὅρκον ἐπὶ τῶν Γαβαωνιτῶν οἷα πέπονθεν [ἔγνως.] Σατανικὴ γὰρ ὄντως ἐστὶ παγὶς τὸ ὀμνύναι. διαῤῥήξωμεν τοίνυν τὰ σχοινία [καὶ] ἐν εὐκολίᾳ D καταστησόμεθα ἑαυτοὺς πάσης φυλακῆς. ἀπαλλαγῶμεν τῆς Σατανικῆς παγίδος· φοβηθῶμεν τὴν ἐντολὴν τὴν δεσποτικήν· εἰς συνήθειαν ἀρίστην ἑαυτοὺς ἐμβάλωμεν· ἵνα ὁδῷ προβαίνοντες, καὶ ταύτην τὰς λοιπὰς ἐντολὰς κατορθώσαντες τῶν ἐπηγγελμένων ἐπιτύχωμεν ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ ιδʹ.

E Ἀναστὰς δέ τις ἐν τῷ συνεδρίῳ Φαρισαῖος, ὀνόματι Γαμαλιὴλ νομοδιδάσκαλος, τίμιος παντὶ τῷ λαῷ, ἐκέλευσεν ἔξω βραχύ τοὺς ἀνθρώπους γενέσθαι.

ΟΥΤΟΣ ὁ Γαμαλιὴλ Παύλου διδάσκαλος ἦν. καὶ θαυμάσαι ἄξιον πῶς [καὶ τὰς] κατὰ νῦν κρίσεις ἔχων, καὶ νομομαθὴς ὢν, οὐδέπω ἐπίστευσεν. οὐκ ἔστι δὲ αὐτὸν μεῖναι μὴ πιστεύσαντα δι' ὅλου. καὶ δῆλον ἐκ τῶν ῥημάτων αὐτοῦ δι' ὧν συμβουλεύει.

ἐκέλευσε

ἐκέλευσε γάρ, φησιν, ἔξω βραχὺ τοὺς ἀνθρώπους ποιῆσαι. ὅρα τὴν σύνεσιν τῆς δημηγορίας, καὶ πῶς αὐτοὺς εὐθέως εἰς φόβον ἐνέβαλεν, ὥστε δὲ μὴ ὑποπτευθῆναι αὐτὸν [ὡς] τὰ ἐκείνων φρονοῦντα, ὡς πρὸς ὁμογνώμονας διαλέγεται, καὶ οὐ πολλῇ τῇ σφοδρότητι κέχρηται, ἀλλ' ὡς ὑπὸ τοῦ θυμοῦ μεθύουσιν, οὕτω φησίν· Ἄνδρες Ἰσραηλῖται, προσέχετε ἑαυτοῖς ἐπὶ τοῖς ἀνθρώποις τούτοις τί μέλλετε πράσσειν. μὴ ἁπλῶς, φησι, μηδὲ ὡς ἔτυχε φέρεσθε. πρὸ γὰρ τούτων τῶν ἡμερῶν, ἀνέστη Θευδᾶς, λέγων εἶναί τινα ἑαυτόν· ᾧ προσεκλήθη ἀριθμὸς ἀνδρῶν ὡς τετρακοσίων. ὃς ἀνῃρέθη καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διελύθησαν, καὶ ἐγένοντο εἰς οὐδέν. ἀπὸ παραδειγμάτων αὐτοὺς σωφρονίζει, καὶ τὸν πλείονας ἀποστήσαντα ὕστερον τίθησι παραμύθιον αὐτοῖς. πρὸ μὲν οὖν τοῦ τὰ παραδείγματα εἰπεῖν, λέγει, προσέχετε ἑαυτοῖς. ἐπεὶ δὲ ἔδειξεν, ἀποφαίνεται, λέγων· καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων. μετὰ τοῦτον ἀνέστη Ἰούδας ὁ Γαλιλαῖος ἐν ταῖς ἡμέραις τῆς ἀπογραφῆς, καὶ ἀπέστησεν ἱκανὸν λαὸν ὀπίσω αὐτοῦ· κἀκεῖνος ἀπώλετο, καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. καὶ τὰ νῦν λέγω ὑμῖν, ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων τούτων καὶ ἐάσατε αὐτούς. ὅτι ἐὰν ᾖ ἐξ ἀνθρώπων ἡ βουλὴ αὕτη ἢ τὸ ἔργον τοῦτο, καταλυθήσεται· εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε καταλῦσαι αὐτό. ὡσεὶ ἔλεγεν· ἀνάσχεσθε, καὶ ἐὰν ἐξ ἑαυτῶν καὶ οὗτοι συνέστησαν, οὐδὲν κωλύσει καὶ αὐτοὺς καταλυθῆναι. μήποτε καὶ θεομάχοι εὑρεθῆτε. καὶ διὰ τοῦ ἀδυνάτου, καὶ διὰ τοῦ ἀσυμφόρου ἀποτρέπει αὐτούς. οὐκ εἶπε [δὲ] ὑπὸ τίνος ἀνῃρέθησαν, ἀλλ' ἁπλῶς ὅτι διελύθησαν, τάχα ὡς παρέλκον. δι' ὧν δὲ ὑποτίθησι διδάσκει, ὅτι εἰ μὲν ἀνθρώπινον τὸ ἔργον, οὐδὲν δεήσει πραγμάτων ὑμῖν· εἰ δὲ θεῖόν ἐστιν, οὐδὲ μετὰ πραγμάτων δυνήσεσθε περιγενέσθαι. οὕτω γοῦν καὶ ὁ λόγος συνετὸς ἔδοξεν, ὅτι καὶ ἐπείσθησαν ὥστε μὴ ἀνελεῖν αὐτούς, ἀλλὰ μαστίξαι μόνον. ἐπείσθησαν γὰρ αὐτῷ, φησι, καὶ προσκαλεσάμενοι τοὺς Ἀποστόλους, δείραντες παρήγγειλαν μὴ λαλεῖν ἐπὶ τῷ ὀνόματι τοῦ Ἰησοῦ. καὶ ἀπέλυσαν αὐτούς. ὅρα μετὰ πόσα μαστίζονται θαύματα; καὶ ὅμως πάλιν ἡ διδασκαλία ἐπετείνετο. καὶ γὰρ καὶ ἐν οἰκίᾳ καὶ ἐν τῷ ἱερῷ ἐδίδασκον. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι, πᾶσάν τε ἡμέραν ἐν τῷ ἱερῷ καὶ κατ' οἶκον οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν.

Ἐν δὲ ταῖς ἡμέραις ταύταις πληθυνόντων τῶν μαθητῶν, ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν πρὸς τοὺς Ἑβραίους, ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. οὐκ ἐν ἐκείναις πάντως λέγει ταῖς ἡμέραις· ἀλλ' ἐπεὶ συνήθεια τοιαύτη ἐστὶ τῇ γραφῇ, καὶ τὰ μέλλοντα συμβαίνειν ὡς ἐφεξῆς γινόμενα λέγει, διὰ τοῦτο οὕτως εἶπεν. Ἑλληνιστὰς δὲ οἶμαι καλεῖν τοὺς Ἑλληνιστὶ φθεγγομένους. οὗτοι γὰρ Ἑλληνιστὶ διελέγοντο [Ἑβραῖοι ὄντες.] ἰδοὺ καὶ ἄλλος πειρασμός· μᾶλλον δὲ καὶ σὺ εἰ βούλει σκοπεῖν, εὑρήσεις καὶ ἔσωθεν τοὺς πολέμους ὄντας ἐξ ἀρχῆς. προσκαλεσάμενοι δέ, φησιν, οἱ δώδεκα τὸ πλῆθος τῶν μαθητῶν, εἶπον· οὐκ ἀρεστόν ἐστι καταλείψαντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις. καλῶς. τῶν γὰρ ἀναγκαίων τὰ ἀναγκαιότερα προτιμότερα. ὅρα δὲ πῶς εὐθέως καὶ τούτων πρόνοιαν ποιοῦνται, καὶ τοῦ κηρύγματος οὐκ ἀμελοῦσιν· ὡς αἰδεσιμώτεροι δὲ ἐκεῖνοι ἦσαν· διὸ καὶ προκρίνονται. ἐπισκέψασθε οὖν ἀδελφοὶ ἄνδρας ἐξ ὑμῶν μαρτυρουμένους ἑπτὰ πλήρεις πνεύματος καὶ σοφίας, οὓς καταστήσομεν ἐπὶ τῆς χρείας ταύτης. ἡμεῖς δὲ τῇ προσευχῇ, καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἤρεσεν ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ ἐξελέξαντο Στέφανον ἄνδρα πλήρη πίστεως καὶ πνεύματος ἁγίου. ἄρα καὶ ἐκεῖνοι πλήρεις πίστεως ἦσαν, οὓς καὶ ἐξελέξαντο, ἵνα μὴ τὰ αὐτὰ γένηται, οἷα ἐπὶ Ἰούδα, οἷα ἐπὶ Ἀνανίου καὶ Σαπφείρας. καὶ Φίλιππον, καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον προσήλυτον Ἀντιοχέα, οὓς ἔστησαν ἐνώπιον τῶν Ἀποστόλων, καὶ προσευξάμενοι, ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. καὶ ὁ λόγος τοῦ Κυρίου ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλὴμ σφόδρα, πολύς τε ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.] ἄνδρες προσέχετε ἑαυτοῖς. ὅρα δή μοι τὸν Γαμαλιὴλ ἐνταῦθα πῶς μετ' ἐπιεικείας διαλέγεται [καὶ βραχέα διέξεισι πρὸς αὐτούς,] καὶ οὐ λέγει παλαιὰ διηγήματα καίτοιγε ἔχων, ἀλλὰ νεώτερα, ἃ μάλιστα πρὸς πίστιν ἦσαν ἰσχυρά. διὸ καὶ μετ' ἐπικρύψεως αἰνίττεται, λέγων· πρὸ γὰρ τούτων τῶν ἡμερῶν, μονονουχὶ δηλῶν, ὡς οὐ πρὸ πολλῶν. εἰ μὲν οὖν εὐθέως εἶπεν, ἄφετε τοὺς ἄνδρας, καὶ αὐτὸς ἔδοξεν ὕποπτος ἄν, καὶ ὁ λόγος οὕτως οὐκ ἦν ἰσχυρός. μετὰ δὲ τῶν παραδειγμάτων, τὴν οἰκείαν ἰσχὺν ἐλάμβανε. διὰ τοῦτο οὐδὲ ἑνὸς μέμνηται, ἀλλὰ καὶ δευτέρου, καίτοι εἶχεν εἰπεῖν καὶ τρίτον, ἐκ περιουσίας καὶ ἑαυτὸν καλῶς λέγοντα δεικνύς, κἀκείνους ἀπάγων τῆς φονικῆς προαιρέσεως. ἀπόστητε ἀπὸ τῶν ἀνθρώπων. ὅρα πῶς τὸ ἦθος ἐπιεικές. καὶ οὔτε μακρὸν τὸν λόγον,

A *Jussit enim*, inquit, *ut Apostoli foras secederent.* Vide sapientiam & intelligentiam in concione, & quo modo illos statim perterruit, ita ut nulla suspicio esset, qui eadem cum illis sentiret: sic ad eos qui ejusdem sententiæ erant loquitur, neque magna vehementia utitur, sed ut cum viris ebriis furore, ita dicit: *Viri Israelitæ, attendite vobis ipsis in hominibus illis quid facturi sitis.* Ne simpliciter, neque ita temerè, ait, feramini. *Ante illos enim dies surrexit Theudas dicens sese esse aliquem, cui adhæsit nume-*
B *rus virorum circiter quadringentorum, qui occisus est, & omnes qui credebant ei dissipati sunt, & redacti sunt in nihilum.* Exemplis illos castigat, & illum qui plures deficere fecerat, posterius ponit. Itaque antequàm exempla diceret, inquit, *Attendite vobis.* Postquam autem ostendit, affirmat, dicens: *Et nunc dico vobis absistite ab hominibus istis, & sinite illos. Post hunc surrexit Judas Galilæus in diebus professionis, & avertit magnum populum post se; & ille periit, & omnes qui-*
C *cunque paruerant illi, dispersi sunt: nunc dico vobis, abstinete ab hominibus illis, & sinite illos. Quia si fuerit ex hominibus consilium istud, vel opus, dissolvetur: Sin autem ex Deo est, non potestis dissolvere istud.* Quasi diceret, expectate: nam si & illi ex seipsis surrexerunt, nihil prohibebit etiam illos destrui: *ne quo pacto etiam cum Deo pugnare inveniamini.* Et sic per impossibile & per inutile avertit illos. Non dixit autem à quo interempti sint, sed simpli-
D citer quòd occisi sint, fortasse in his quæ subdit quasi concomitans supponit docens: quod siquidem humanum est opus, nullis est nobis opus negotiis: si autem divinum est, quicquid feceritis, non poteritis vincere. Sic sanè & sermo sapiens videtur: Quia persuasi fuerunt, ut non occiderent illos, sed solùm flagellarent. *Persuasi sunt autem ab illo, & accersitos Apostolos flagellarunt, & præceperunt eis*
E *ne loquantur in nomine Jesu, & dimiserunt illos.* Vide post quot miracula flagellantur, nihilominus tamen doctrina iterum crescit. Etenim & in domo & in templo docebant. *Et illi quidem gaudentes ibant à facie concilii, quod digni habiti sunt pro nomine Christi contumelia affici. Et quotidie in templo, & in singulis domibus non cessabant docere, & annunciare Jesum Christum.*

In diebus illis numero discipulorum crescente, ortum est
A *murmur Græcorum adversus Hebræos, quod despicerentur in ministerio quotidiano viduæ illorum.* Cap. VI.
Non in illis omnino dicit diebus, sed quia hæc est consuetudo scripturæ etiam futura aliquando quasi deinceps facta dicit. Idcirco sic dixit: *Hellenistas* autem, hoc est, Græcos, opinor dici, qui Græcè loquebantur. Hi enim Græcè loquebantur, quamvis Hebræi essent. Ecce nova tentatio, imò & tu si vis considerare, videbis & intus & foris bella jam ab initio esse. *Cæte-*
B *rum duodecim illi quum jussissent adesse multitudinem discipulorum, dixerunt: Non est placitum relinquere nos verbum Dei, & ministrare mensis.* Bene. Ea enim quæ magis necessaria, minus necessariis sunt præferenda. Vide autem quomodo statim & horum curam habeant, & prædicationem non negligunt. Quasi autem magis venerabiles illi essent, ideo & præferuntur. *Circumspicite igitur,*
C *fratres, viros ex vobis spectatæ probitatis septem, plenos spiritu & sapientia, quos constituemus in hoc ministerio. Nos verò deprecationi & ministerio verbi incumbemus. Et placuit sermo coram omni populo, & elegerunt Stephanum virum plenum fide ac Spiritu sancto.* Utique & illi pleni fide fuerunt, quos & elegerunt, ut ne eadem fierent sicut cum Juda, & cum Anania ac Sapphira. *Et Philippum, & Prochorum, & Nicanorem, & Timonem, & Parmenam, & Nicolaum Proselytum Antiochenum,*
D *quos statuerunt coram Apostolis: & quum orassent, imposuerunt eis manus, & sermo Dei crescebat, ac multiplicabatur numerus discipulorum Hierosolymis valde, multáque turba sacerdotum obediebat fidei.* Sed videamus iterum quæ dicta sunt: *Viri, attendite vobis.* Vide, oro, hic Gamaliel quomodo cum mansuetudine loquitur, & non dicit antiquas historias, quamvis haberet multas, sed recentiores, quæ ad confirmandam fidem dictorum plurimum momenti habebant. Ideò & cum occultatione insinuat dicens: *Nam ante hos dies.* Quasi ma-
E nifestans quòd non ante multos dies. Itaque siquidem statim dixisset: *Dimittite viros*, & ipse visus esset suspectus, & sermo ejus non fuisset tam validus: cum exemplis autem suum robur accepit. Propter hoc non unius meminit, sed etiam alterius, quamvis & tertium potuisset dicere ex abundantia, & se bene dicere ostendens, & illos abducens à voluntate sanguinaria. *Absistite ab hominibus.* Vide quàm mansuetis moribus: & neque longum sermonem,

ſed brevem facit, neque illorum cum furore meminit. *Et quotquot paruerunt illi, diſperſi ſunt.* Hoc dicens, nihil in Chriſtum blaſphemat, ſed quod vult maximè corrigit. *Si fuerit*, inquit, *ex hominibus diſſipabitur.* Hic & illos videtur hortati, ut ratiocinentur ac colligant. Igitur quia non diſſipatum eſt, non eſt humanum. *Ne quo pacto & cum Deo pugnare inveniamini.* Hoc dixit, impoſſibili, & inutili illos compeſcens. *Si autem ex Deo eſt, non poteritis.* Non dixit: Si fuerit Chriſtus Deus. Opus enim hoc declarabat, neque aſſeruit quod non humanum, nec quod non divinum, ſed futuro tempori fidem permiſit, ita ut perſuadeat. At dicet quis: Si perſuaſit, quare flagellarunt? Non potuerunt non videre quàm indubitata juſtitia, nihilominus tamen furorem ſuum impleverunt. Et aliter: Et iterum hac ratione territuros ſe expectarunt. Gamaliel autem Apoſtolos non præſentes magis conciliabat, & ſermonum ſuavitate, & eorum quæ dicebantur juſtitia. Perſuaſit, quaſi prædicabat & hic evangelium, imò quaſi juſtam ſententiam contra illos proferebat. *Credite, quod non poteritis diſſipare.* Quare non crediditis? Tam magna prædicatio, quia & ab inimicis teſtimonium habet. Illic quadringenti ſurrexerant, & poſthac juſta multitudo. Hi duodecim erant primi. Ne igitur nobis ſpernenda ſit multitudo quæ acceſſit. *Si enim fuerit ex hominibus opus hoc, diſſolvetur.* Poterat & alium Ægyptium dicere, ſed ſuperflua fuiſſet mentio ejus. Vidiſti quomodo terrore ſermonem concluſit? Ideo & non affirmat ſimpliciter, ut ne videatur pro illis dicere, ſed ab eventu rei ratiocinatur. Non auſus eſt autem affirmare, quod non humanum eſſet, neque ex Deo. Quoniam ſi dixiſſet, quod ex Deo, contradixiſſent utique. Si autem ex hominibus jam iterum propenſi fuiſſent facti ad inſurgendum: ea propter juſſit ut illi finem expectarent, dicens: *Abſtinete.* Illi autem minantur iterum, ſcientes quidem quod nihil efficiunt, facientes autem quod poterant. Talis enim res eſt malitia: Impoſſibilia ſæpe attentat. *Poſt hunc autem ſurrexit Judas.* Hæc, ſi Joſephi hiſtorias inſpexeris, diſcetis evidentius: nam ille horum hiſtoriam conſcribens, diligenter narrat. Vidiſti quale auſus eſt dicere, quod ex Deo, quando poſtea à rebus fidem accepit? Revera magna fiducia, & à perſonarum reſpectu plurimum alienus animus. Perſuaſi autem ſunt ab eo, & *accerſitos Apoſtolos flagellarunt, ac dimiſerunt eos.* Reveriti ſunt gloriam viri, ideò & deſtiterunt ne occiderent Apoſtolos: flagellatos autem ſolùm dimiſerunt. *Itaque illi profecti ſunt gaudentes à facie concilii, quod pro nomine Chriſti digni habiti ſunt, qui contumeliam paterentur.* Quibus ſignis hoc non magis admirabile eſt? Nuſquam hoc apud veteres contigit,
Jer 17.15. quia & Hieremias flagellatus eſt propter Verbum Domini.
3.Reg.19.2. Et *Heliæ* ac aliis minati ſunt. Sed hic etiam ab hoc, & non à ſolis ſignis, virtutem Dei declararunt. Non dixit, quod non dolebant, ſed quod dolentes gaudebant. Unde manifeſtum? ex libertate dicendi, quæ poſt flagella ſequebatur. Quocirca id manifeſtans: *In templo*, inquit, *ac ſingulis domibus non ceſſabant docere ac annunciare Jeſum Chriſtum. In diebus autem iſtis.* Quibus iſtis? Quando hæc fiebant, quando flagella, quando minæ, quando multiplicabantur diſcipuli. *Tunc ortum eſt murmur.* Hoc fortaſſis ob multitudinẽ venit. Non enim poſſunt omnia in multitudine tam exactè fieri. *Et magna turba ſacerdotum obedivit fidei.* Quia multi ex his credunt, à quibus Chriſto mors intentata. *Ortum eſt*, inquit, *murmur, quòd deſpicerentur in miniſterio quotidiano viduæ ipſorum.* Itaque quotidie miniſtrabant viduæ. Et vide quomodo & hic *miniſterium* vocat, & non ſtatim eleemoſynam: ne & hos qui darent, & eos qui acciperent, extolleret. Hoc non erat malitiæ, ſed multitudinis forſan ignavia. Propter hoc propoſuit etiam iſtud. Non parvum enim malum erat, unde opus ut ſtatim corrigeretur. Vides quomodo principiò etiam mala erant, non foris tantùm, ſed etiam intus? Tu autem non ſolùm hoc attendas, quod corrigitur, ſed etiam quòd magnum malum fuerit. *Circumſpicite igitur, fratres, viros ex vobis ſeptem.* Non propria ſententia faciunt, ſed priùs rationem reddunt multitudini. Sic & nunc fieri oportebat. *Non eſt placitum*, inquit, *ut relicto verbo Dei miniſtremus menſis.* Principiò abſurdum ponit, oſtendens, quòd non poſſit utrumq; fieri accuratè: quoniam & quando Matthiam ordinaturi erant, primùm rei oſtendunt neceſſitatem, eò quòd unus defecerat,

A ἀλλὰ σύντομον ποιεῖ· οὔτε ἐκείνων μετὰ θυμοῦ μέμνηται. καὶ πάντες ὅσοι ἐπείθοντο αὐτῷ διεσκορπίσθησαν. τοῦτο λέγων, οὐδὲν εἰς Χριστὸν βλασφημεῖ· ἀλλ' ὃ βούλεται μάλιστα κατορθοῖ. ἐὰν ᾖ φησιν ἐξ ἀνθρώπων, καταλυθήσεται. ἐνταῦθα καὶ συλλογίζεσθαί μοι αὐτοὺς δοκεῖ καὶ λέγειν· οὐκοῦν ἐπεὶ οὐ κατελύθη, οὐκ ἔστιν ἀνθρώπινον· μήποτε καὶ θεομάχοι εὑρεθῆτε. τοῦτο εἶπεν, τῷ ἀδυνάτῳ καὶ ἀσυμφόρῳ καταστέλλων αὐτούς. εἰ δὲ ἐκ Θεοῦ ἐστιν, οὐ δυνήσεσθε. οὐκ εἶπεν B ἐὰν ᾖ Θεὸς ὁ Χριστός· τὸ γὰρ ἔργον τοῦτο ἐδήλου· οὐδ' ἀπεφήνατο, ὅτι οὐκ ἀνθρώπινόν ἐστιν, οὔτε ὅτι θεῖον· ἀλλὰ τῷ μέλλοντι καιρῷ τὴν πίστιν ἐπέτρεψεν, ὥστε πεῖσαι. καὶ εἰ ἔπεισε, τίνος οὖν ἕνεκεν, φησιν, ἐμάστιξαν; τῇ μὲν ἀναμφισβητήτῳ δικαιολογίᾳ ἀντιλέγειν οὐκ εἶχον· ὅμως δὲ τὸν θυμὸν ἐπλήρουν τὸν οἰκεῖον. ἄλλως δέ· καὶ πάλιν ταύτῃ φοβήσειν προσεδόκησαν. τῶν μὴ παρόντων δὲ αὐτοῦ ταῦτα λέγειν, ἐπεσπάσατο μᾶλλον αὐτούς· καὶ ἡ γλυκύτης δὲ τῶν λόγων, καὶ τὸ δίκαιον τῶν C λεγομένων, ἔπειθε. μόνον γὰρ οὐχὶ ἐκήρυττε καὶ οὗτος τὸ Εὐαγγέλιον· [μᾶλλον δὲ,] μόνον οὐχὶ τοιαῦτα δικαιολογούμενος πρὸς αὐτοὺς ἀποτείνεται· πείσθητε ὅτι οὐκ ἰσχύσατε καταλῦσαι; διατί οὐκ ἐπιστεύσατε; οὕτω μέγα τὸ κήρυγμα, ὅτι καὶ παρὰ τῶν ἐχθρῶν ἡ μαρτυρία. ἐκεῖ τετρακόσιοι ἀνέστησαν, καὶ μετὰ τοῦτο ἱκανὸς ὄχλος. ὧδε δώδεκα ἦσαν οἱ πρῶτοι. μὴ οὖν ὑμᾶς πειθέτω τὸ πλῆθος τὸ προστιθέμενον. ἐὰν γὰρ ᾖ ἐξ ἀνθρώπων τὸ ἔργον τοῦτο, καταλυθήσεται. D εἶχε καὶ Αἰγύπτιον εἰπεῖν ἕτερον· ἀλλὰ περιττὸς λοιπὸν ἦν ὁ λόγος αὐτοῦ. εἶδες πῶς τῷ φοβερῷ τὸν λόγον κατέκλεισε; διὸ καὶ οὐκ ἀποφαίνεται ἁπλῶς, ἵνα μὴ δόξῃ ὑπὲρ αὐτῶν λέγειν· ἀλλ' ἀπὸ τῆς τοῦ πράγματος ἐκβάσεως συλλογίζεται. οὐκ ἐτόλμησε δὲ ἀποφήνασθαι, ὅτι οὐκ ἀνθρώπινόν ἐστιν, οὐδὲ ὅτι ἐκ Θεοῦ. ἐπειδὴ εἰ εἶπεν, ὅτι ἐκ Θεοῦ, ἀντέλεγον ἄν. εἰ δὲ ἐξ ἀνθρώπων, πρόχειροι πάλιν εἰς τὸ ἐπαναστῆναι ἐγίνοντο. διὰ τοῦτο αὐτοὺς περιμεῖναι τὸ τέλος κελεύει, E εἰπὼν, ἀπόστητε. οἱ δὲ ἀπειλοῦσι πάλιν, εἰδότες μὲν ὅτι οὐδὲν ἀνύουσι· ποιοῦντες δὲ τὸ αὐτῶν. τοιοῦτον γὰρ ἡ κακία, ἀδυνάτοις πολλάκις ἐπιχειρεῖ. [μετὰ δὲ τοῦτον ἀνέστη Ἰούδας.] ταῦτα τοῖς [τοῦ] Ἰωσήπου βιβλίοις ἐγκύψαντες μαθήσεσθε ἀκριβέστερον. ἐκεῖνος γὰρ τὴν τούτων ἱστορίαν συντάττων ἀκριβῶς ἱστορεῖ. [εἶδες] ἡλίκον ἐτόλμησεν εἰπεῖν ὅτι ἐκ Θεοῦ, ὅτε λοιπὸν ἀπὸ τῶν πραγμάτων τὴν πίστιν ἔλαβεν; [ὄντως] πολλὴ ἡ παῤῥησία· πολὺ τὸ ἀπροσωπόληπτον. ἐπείσθησαν δὲ αὐτῷ φησι. καὶ προσκαλεσάμενοι τοὺς Ἀποστόλους, δείραντες ἀπέλυσαν A αὐτούς. ᾐδέσθησαν τὴν δόξαν τοῦ ἀνδρός. διὸ καὶ τοῦ ἀνελεῖν μὲν τοὺς Ἀποστόλους ἀφίστανται· μαστίξαντες δὲ μόνον αὐτοὺς ἀπολύουσιν. οἱ μὲν οὖν ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ κατηξιώθησαν ἀτιμασθῆναι. πόσων σημείων τοῦτο οὐ θαυμασιώτερον; οὐδαμοῦ γέγονεν ἐπὶ τῶν παλαιῶν τοῦτο· ἐπεὶ καὶ Ἱερεμίας ἐμαστίχθη διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ τῷ Ἠλίᾳ ἠπείλησαν, καὶ τοῖς ἄλλοις. ἀλλ' ἐνταῦθα, καὶ ἀπὸ τούτου οὐκ ἀπὸ τῶν σημείων B μόνον τὴν δύναμιν ἐπεδείκνυντο τοῦ Θεοῦ. οὐκ εἶπεν ὅτι οὐκ ἤλγουν· ἀλλ' ὅτι καὶ ἀλγοῦντες ἔχαιρον. πόθεν δῆλον; ἐκ τῆς μετὰ ταῦτα παῤῥησίας. οὕτως ἐνέστησαν ἀεὶ καὶ μετὰ τὰς πληγὰς κηρύττοντες. διὸ καὶ τοῦτο δηλῶν, ἐν τῷ ἱερῷ, φησὶ, καὶ κατ' οἶκον, οὐκ ἐπαύοντο διδάσκοντες καὶ εὐαγγελιζόμενοι Ἰησοῦν Χριστόν. ἐν δὲ ταῖς ἡμέραις ταύταις. ποίαις ἡμέραις; ὅτε ταῦτα ἐγίνετο· ὅτε C μάστιγες· ὅτε ἀπειλαί· ὅτε ἐπληθύνοντο οἱ μαθηταὶ, τότε γογγυσμὸς γίνεται. ἀπὸ τοῦ πλήθους δὲ τάχα συνέβη. οὐ γάρ ἐστιν ἀκρίβειαν ἐν πλήθει εἶναι. καὶ πολὺς ὄχλος τῶν ἱερέων ὑπήκουε τῇ πίστει. τοῦτο αἰνιττομένου ἐστὶ καὶ δεικνύντος, ὅτι ἀφ' ὧν ὁ κατὰ Χριστοῦ θάνατος ἐσκευάσθη, πολλοὶ ἀπὸ τούτων πιστεύουσιν. ἐγένετο, φησὶ, γογγυσμὸς ὅτι παρεθεωροῦντο ἐν τῇ διακονίᾳ τῇ καθημερινῇ αἱ χῆραι αὐτῶν. ἄρα καθημερινὴ διακονία ἦν ταῖς χήραις. καὶ ὅρα D πῶς, καὶ τοῦτο διακονίαν καλεῖ, καὶ οὐ ταχέως ἐλεημοσύνην· ἅμα καὶ τοὺς διδόντας, καὶ τοὺς λαμβάνοντας διὰ τούτου ἐπαίρων. τοῦτο οὐ κακίας ἦν, ἀλλὰ τοῦ πλήθους ἴσως ῥᾳθυμία. διὰ τοῦτο [καὶ] προὔθηκεν αὐτὸ εἰς μέσον. οὐ μικρὸν γὰρ κακὸν ἦν, ἵνα ταχέως διορθωθῇ. ὁρᾷς πῶς καὶ ἐν ἀρχῇ τὰ κακὰ οὐχὶ ἔξωθεν μόνον ἦν, ἀλλὰ καὶ ἔσωθεν; σὺ δὲ μὴ τοῦτο μόνον ἴδῃς ὅτι διωρθώθη, ἀλλ' ὅτι μέγα κακὸν ἦν. ἐπισκέ-E ψασθε, ἀδελφοὶ, ἄνδρας ἐξ ὑμῶν ἑπτά. οὐκ οἰκείᾳ γνώμῃ πράττουσιν, ἀλλὰ [πρότερον] ἀπολογοῦνται τῷ πλήθει. οὕτω καὶ νῦν γίνεσθαι ἔδει. οὐκ ἔστι, φησὶ, ἀρεστὸν καταλιπόντας ἡμᾶς τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις. πρῶτον τὸ ἄτοπον τίθησι, δεικνὺς ὡς οὐκ ἐνὸν μετὰ ἀκριβείας ἀμφότερα γίνεσθαι· ἐπεὶ καὶ ὅτε τὸν Ματθίαν χειροτονεῖν ἔμελλον, πρῶτον τὴν χρείαν δεικνύουσι τοῦ πράγματος, ὅτι τι ἔλιπεν εἷς,

καὶ

καὶ ἔδει γενέσθαι δώδεκα, καὶ ἐνταῦθα τὴν χρείαν ἐδήλωσαν, καὶ οὔτε πρότερον ἐποίησαν, ἀλλὰ περιέμειναν γενέσθαι τὸν γογγυσμὸν, οὔτε μὴν ἠνέσχοντο ἐπὶ πολὺ τοῦτο συμβῆναι. καὶ ὅρα, τὴν κρίσιν αὐτοῖς ἐπιτρέπουσι, καὶ τοὺς πᾶσιν ἀρέσκοντας καὶ ὑπὸ πάντων μαρτυρουμένους ἐκείνους προβάλλονται. ὅτε μὲν οὖν τὸν Ματθίαν ἔδει προβάλλεσθαι, δεῖ, ἔλεγον, τῶν συνελθόντων ἡμῖν ἀνδρῶν ἐν παντὶ τῷ χρόνῳ· ἐνταῦθα δὲ οὐχ οὕτως. οὐ γὰρ τοιοῦτον ἦν τὸ πρᾶγμα. διὸ καὶ οὐ κλήρῳ αὐτὸ ἐπέτρεψαν. οὔτε πάλιν δυνάμενοι αὐτοὶ ἐκλέξαι πνεύματι κινούμενοι τοῦτο ποιοῦσιν· ἀλλ᾽ ἀπὸ τοῦ τῶν πολλῶν μαρτυρίας τὸ δοκοῦν μᾶλλον ἱστῶσιν. ἄλλως δέ· τὸ μὲν ὁρίσαι τὸν ἀριθμὸν καὶ χειροτονῆσαι, καὶ τὸ ἐν χρείᾳ τοιαύτῃ αὐτοὶ ποιοῦνται· τὸ δὲ ἑλέσθαι τοὺς ἄνδρας ἐκείνοις ἐπιτρέπουσιν, ἵνα μὴ δόξωσιν αὐτοὶ χαρίζεσθαι. ἐπεὶ καὶ ὁ Θεὸς Μωσῇ ἐπιτρέπει ἑλέσθαι πρεσβυτέρους οὓς οἶδε. καὶ γὰρ σοφίας πολλῆς δεῖ ἐν ταῖς τοιαύταις οἰκονομίαις. μὴ γὰρ δὴ νομίσητε [ὅτι] ἐπεὶ λόγον οὐκ ἐγκεχείρισται, ὅτι οὐ χρείαν ἔχει σοφίας ὁ τοιοῦτος· χρήζει γὰρ καὶ πολλῆς. ἡμεῖς δέ, φησι, τῇ προσευχῇ καὶ τῇ διακονίᾳ τοῦ λόγου προσκαρτερήσομεν. καὶ ἀρχόμενοι καὶ τελευτῶντες ἀπολογοῦνται. προσκαρτερήσομεν, φησιν. οὕτω γὰρ ἔδει, οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν· ἀλλὰ προσκαρτερεῖν. καὶ ἤρεσε, φησιν, ὁ λόγος ἐνώπιον παντὸς τοῦ πλήθους. καὶ τοῦτο τῆς αὐτῶν σοφίας ἄξιον. πάντες ἐπῄνεσαν τὸ λεχθέν· οὕτως ἦν συνετόν. καὶ ἐξελέξαντο, φησι· πάλιν αὐτοὶ ἐκλέγονται· Στέφανον ἄνδρα πλήρη πνεύματος καὶ πίστεως ἁγίου, καὶ Φίλιππον καὶ Πρόχορον, καὶ Νικάνορα, καὶ Τίμωνα, καὶ Παρμενᾶν, καὶ Νικόλαον, Προσήλυτον Ἀντιοχέα. οὓς ἔστησαν ἐνώπιον τῶν ἀποστόλων. καὶ προσευξάμενοι ἐπέθηκαν αὐτοῖς τὰς χεῖρας. [ἐκ τούτου δῆλον] ὅτι ἀφώρισαν αὐτοὺς τοῦ πλήθους, καὶ αὐτοὶ ἕλκουσιν, οὐχ οἱ ἀπόστολοι ἄγουσιν. ὅρα πῶς οὐκ ἔστι περιττὸς ὁ συγγραφεύς. οὐ γὰρ λέγει πῶς· ἀλλ᾽ ἁπλῶς ὅτι ἐχειροτονήθησαν διὰ προσευχῆς. τοῦτο γὰρ ἡ χειροτονία ἐστίν. ἡ χεὶρ ἐπίκειται τοῦ ἀνδρός· τὸ δὲ πᾶν ὁ Θεὸς ἐργάζεται, καὶ ἡ αὐτοῦ χείρ ἐστιν ἡ ἁπτομένη τῆς κεφαλῆς τοῦ χειροτονουμένου, ἐὰν ὡς δεῖ χειροτονῆται. καὶ ὁ λόγος φησὶ τοῦ Θεοῦ ηὔξανε, καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν. οὐχ ἁπλῶς εἶπε τοῦτο· ἀλλ᾽ ἵνα δείξῃ ὅση τῆς ἐλεημοσύνης ἡ ἰσχὺς καὶ τῆς διατάξεως, καὶ μέλλει λοιπὸν διηγεῖσθαι τὰ κατὰ Στέφανον. διὸ καὶ τὰς αἰτίας αὐτῶν προτίθησι. καὶ πολλοί, φησι, τῶν ἱερέων ὑπήκουον τῇ πίστει. ἐπειδὴ γὰρ εἶδον τὸν ἄρχοντα καὶ διδάσκαλον ταῦτα ἀποφηνάμενον, ἀπὸ τῶν ἔργων λοιπὸν τὴν πεῖραν ἐλάμβανον. καὶ θαυμάσαι ἄξιον, πῶς οὐκ ἐσχίσθη τὸ πλῆθος ἐν τῇ αἱρέσει τῶν ἀνδρῶν· πῶς οὐκ ἀπεδοκιμάσθησαν ὑπ᾽ αὐτῶν οἱ ἀπόστολοι. ὁποῖον δὲ ἄρα ἀξίωμα εἶχον οὗτοι, καὶ ποίαν ἐδέξαντο χειροτονίαν, ἀναγκαῖον μαθεῖν. ἆρα τὴν τῶν διακόνων; καὶ μὴν τοῦτο ἐν ταῖς ἐκκλησίαις οὐκ ἔστιν· ἀλλὰ τῶν πρεσβυτέρων ἐστὶν ἡ οἰκονομία. καίτοι οὐδέπω οὐδεὶς ἐπίσκοπος ἦν, ἀλλ᾽ οἱ ἀπόστολοι μόνον. ὅθεν οὔτε διακόνων, οὔτε πρεσβυτέρων οἶμαι τὸ ὄνομα εἶναι δῆλον καὶ φανερόν· ἀλλὰ τέως εἰς τοῦτο ἐχειροτονήθησαν. καὶ οὐχ ἁπλῶς ἐνεχειρίσθησαν ἀλλ᾽ ἐπεύξαντο αὐτοῖς γενέσθαι δύναμιν. ὅρα δέ μοι εἰ ἑπτὰ ἀνδρῶν ἐδέησεν εἰς τοῦτο, τοσαῦτα ἴσως ἐπέρρει χρήματα· τοσούτων χηρῶν πλῆθος ἦν. ἄρα οὐχ ἁπλῶς αἱ εὐχαὶ ἐγίνοντο· ἀλλὰ μετὰ πολλῆς τῆς σχολῆς· καὶ τοῦτο ὥσπερ τὸ κήρυγμα οὕτως ἤνυετο. τὰ γὰρ πλείω ταύταις ἤνυον. οὕτω τὰ πνευματικὰ ἐπελέγοντο· οὕτω καὶ πρὸς ἀποδημίας ἐστέλλοντο. οὕτως ἐνεχειρίσθησαν οὗτοι τὸν λόγον. καὶ οὐ λέγει οὐδὲ ἐπαίρει αὐτούς· ἀλλ᾽ ὅτι τὸ δοθὲν ἀφεῖναι ἔργον, οὐκ ἀρεστόν. οὕτως ἦσαν ἀπὸ Μωσέως παιδευθέντες μὴ πάντα αὐτοὶ μεταχειρίζειν. [διὰ τοῦτο καὶ ὁ Παῦλος] μόνον τῶν πτωχῶν φησιν ἵνα μνημονεύωμεν. πῶς δὲ καὶ προῆγον τούτους [μάνθανε·] ἐνήστευον· [προσεκαρτέρουν εὐχῇ. τοῦτο καὶ νῦν γίνεσθαι ἔδει.] οὐχ ἁπλῶς δὲ πνευματικοὺς [φημι] ἀλλὰ πνεύματος πλήρεις καὶ φιλοσοφίας φέρειν κατηγορίας χηρῶν. τί γὰρ ὄφελος, ὅταν μὴ κλέπτηται μὲν, ἀπολλύηται δὲ πάντα; ἢ θρασὺς ᾖ καὶ παροξύνηται; καὶ ταύτῃ δὲ θαυμαστὸς ἦν ὁ Φίλιππος. περὶ γὰρ αὐτοῦ φησι· „καὶ εἰσελθόντες εἰς „τὸν οἶκον Φιλίππου τοῦ εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ᾽ αὐτῷ. ὁρᾷς οὐδὲν ἀνθρωπίνως διοικούμενον; καὶ ἐπληθύνετο ὁ ἀριθμὸς τῶν μαθητῶν ἐν Ἱερουσαλήμ· ἐν Ἱεροσολύμοις ἐπεδίδου τὸ πλῆθος. τὸ θαυμαστὸν, ἔνθα ἐσφάγη ὁ Χριστὸς, ἐκεῖ ηὔξετο τὸ κήρυγμα. καὶ οὐ μόνον οὐκ ἐσκανδαλίσθησάν τινες τῶν μαθητῶν, ὁρῶντες τοὺς μὲν ἀποστόλους μαστιζομένους, τοὺς δὲ ἀπελαύνοντας· ἄλλους τὸ πνεῦμα πειράζοντας, ἑτέρους [δὲ] γογγύζοντας· ἀλλὰ μάλιστα καὶ προσετίθετο τῶν πιστευσάντων ὁ ἀριθμός. οὕτως ἀπὸ τοῦ περὶ Ἀνανίαν συμβάντος ἐσωφρονίσθησαν, καὶ πλείων ὁ φόβος αὐτοῖς γέγονεν. ὅρα δέ μοι πῶς ἐπιδίδου τὸ πλῆθος. μετὰ τοὺς πειρασμοὺς τότε ἐπέδωκεν, οὐχὶ πρὸ τούτου. σκόπει δὲ καὶ πόσῃ φιλανθρωπίᾳ τοῦ Θεοῦ. ἐξ ἐκείνων γὰρ τῶν ἀρχιερέων

& oportebat fieri duodecim. Etiam hic utilitatem ostendunt, sed hoc non fecerunt in principio, sed expectarunt, usque dum oriretur murmur, neque etiam expectaverunt, ut hoc supra modum fieret. Vide quod judicium ipsis permiserunt, & præferunt eos, qui omnibus placent, & ab omnibus testimonium habent. Itaque quum Matthias præferendus esset: *Oportet*, dicebant, *ut ex his viris qui fuerunt nobiscum omni tempore*: hic autem non sic. Non enim erat tale negotium. Ideo & hoc non permiserunt sorti, neque quum possent ipsi spiritu moti eligere, hoc faciunt: sed magis statuunt quod multorum testimoniis approbatur. Nam definire numerum, & ordinare, etiam hoc sibi vendicant. Eligere autem viros illis permittunt, ut ne videantur ipsi in gratiam quorundam agere. Quoniam & Deus Mosi permittit eligere viros, quos ipse sciebat. Etenim sapientia multa opus est in hujusmodi dispensationibus. Profectò non est existimandum, quoniam rationem non reddiderunt, ideo non opus esse talibus sapientia. Magna enim indigent. *Nos autem*, inquit, *orationi, & ministerio Verbi incumbemus*. Et incipiendo, & finiendo rationem reddunt. *Incumbemus*, inquit. Sic enim oportebat non simpliciter, neque sine opera, sed cum perseverantia incumbere. *Et placuit*, inquit, *sermo coram omni populo*. Et hoc illorum sapientiæ congruebat. Omnes dictum laudabant, & sic sapientia declarabatur. *Elegerunt*, inquit. Iterum illi eligunt, *Stephanum virum plenum fide ac Spiritu Sancto, & Philippum, & Prochorum, & Nicanorem, Timonem, & Parmenam & Nicolaum Proselytum Antiochenum, quos statuerunt coram Apostolis, & quum orassent, imposuerunt illis manus*. Ex hoc manifestum quod segregaverunt illos à multitudine. Et illi trahunt, non Apostoli ducunt. Vide quomodo conscriptor non est superfluus. Non enim dicit quo modo: sed simpliciter quod ordinati sunt per preces. Hoc enim est χειροτονία, id est, ordinatio. Manus viro superponitur, totum autem Deus operatur: & illius est manus, quæ ejus qui ordinatur, caput contingit, si quemadmodum oportet, ordinatur. *Et sermo*, inquit, *Dei crevit, & multiplicatus est numerus discipulorum*: Non simpliciter hoc dixit, sed ut ostendat, quanta sit vis eleemosynæ ac ordinis benè instituti. Et quoniam narraturus est posteà de Stephano, ideo & causas illorum præmittit. *Et multi*, inquit, *sacerdotes obediebant fidei*. Quoniam enim videbant principem ac doctorem hæc affirmasse, ex operibus jam periculum faciebant. Et admiratione dignum est, quod populus non scindebatur in electione virorum: quomodo Apostoli ab illis non reprobati sunt. Quantam autem dignitatem habuerunt hi, & qualem acceperunt ordinationem, necessarium erit discere. Nunquid eam quæ est diaconorum? Et profectò hoc in Ecclesiis non est. sed presbyterorum est hæc dispensatio, tametsi nullus adhuc esset Episcopus, sed Apostoli soli: unde neque diaconorum, neque presbyterorum nomen esse opinor, quod clarum ac manifestum? sed tunc in hoc fuerunt ordinati. Et non frigidè ac simpliciter potestas eis concredita, sed apprecabantur, ut fieret illis hæc potestas. Vide autem oro si septem viris in hoc opus erat, tantæ fortassis affluebant opes, tótque viduarum erat multitudo. Itaque non simpliciter preces fiebant, sed cum multa attentione: & hoc fiebat, sicut prædicatio: plura etiam illis perficiebant. Sic & spiritalia adnumerabantur, sic & ad profectiones mittebantur, sic hi sermonem in manus acceperunt. Et non dicit, neque extollit illos: sed quod non placitum, opus datum relinquere. Ita erant à Mose eruditi, ne omnia tractent. Propter hoc & Paulus inquit: *Tantum ut memores pauperum essemus*. Disce autem, quomodo & antecesserunt hos: Jejunabant, intenti erant precibus. Hoc etiam nunc fieri oportebat. Non autem simpliciter spirituales, sed spiritu & philosophiâ plenos dixit, ostendens quod magna philosophia ferebant accusationem viduarum. Quæ enim utilitas, quando non per furtum, sed nihilominus cuncta pereunt, si dispensator vel temerarius sit & exacerbetur? Etenim hoc nomine etiam Philippus admirabilis erat. De illo enim dicit: *Et quum ingressi in domum Philippi Evangelistæ, qui unus erat septem, mansimus apud illum*. Vides nihil humano more dispensari. *Et crescebat numerus discipulorum in Hierusalem*. In Hierosolymis crescebat multitudo. Mirabile, ibi occisus est Christus, & illic crevit prædicatio, & non solum non sunt offensi quidam ex discipulis, videntes Apostolos quidem flagellari, alios autem fugari, alios spiritus tentare, alios obmurmurare, sed & sic credentium numerus augebatur, ita emendabatur, ex eo quod Ananiæ acciderat, & major timor illis fiebat. Vide autem oro, quomodo creverit multitudo: post tentationes tunc crevit, non anteà. Considera autem quanta & benignitas Dei, ex illis enim principibus sacerdotum, qui

Supr. 1, 16.
Num. 16, 9.
Gala. 2, 10.
Infr. 21, 8.
Supr. 5, 5.

qui ad cædem turbam exasperarant, qui talia clamarant, & dixerant: *Alios salvos fecit, seipsum salvum facere nequit.* Matt. 27, 42. *Ex his multi*, inquit, *obediebant fidei.* Illius igitur & nos fiamus imitatores. *Suscepit illos, & non emisit.* Ita & nos, inimicos qui innumera nobis mala fecerunt, beneficiis afficiamus: si quidem habere volumus bona, illis exhibeamus, ne benefaciendo prætereamus. Si enim mala ferenda, dum impletur illorum furor, multò magis etiam si benefacimus. Hoc enim illo non est minus. Non est enim idem benefacere inimico: & majora voluisse pati, vel velle, ab hoc etiam ad illa veniemus. Hæc dignitas est discipulorum Christi. Crucifixerant illum, qui ad benefaciendum illis venerat, discipulos illius flagellarant, & postea in eundem cum discipulis honorem ducit, & similiter sua illis communicavit. Imitatores fiamus oro Christi. In hoc decet imitari illum. Hoc æqualem facit Deo. Hoc plus est quam humanum. Vacemus eleemosynæ. Hæc pædagoga & magistra illius philosophiæ est. Qui didicit misereri ejus qui in calamitate, discet etiam non reminisci malorum sibi irrogatorum, ac inimicis benefacere poterit. Discamus proximorum malis confringi, & compati, & discemus etiam illorum mala ferre. Illum interrogemus, qui etiam malè erga nos affectus est, an non condemnet seipsum, an non velit resipiscere, an non totum esse dicat iræ vel pusillanimitatis, vel miseriæ, an velit esse is qui contumeliam ferat, & sileat, & non contumeliam inferens ac insaniens, & admiratus passum abeat. Ne putes, quod hoc contemptibiles facit. Contumelia afficere non tam venerabiles facit, atque contumelias ferre. Ille enim est contumeliosus, hic verò Philosophus: & ille quidem homine pejor, hic verò Angelis par. Licet enim minor fuerit eo qui contumeliam fecerit: attamen si voluisset, potens fuisset ulcisci. Et aliter; Etiam ab omnibus misericordiam consequetur hic quidem, ille verò exosus erit. Quid igitur? Nonne hinc etiam ille multò melior erit: illum enim ut insanientem, hunc verò ut prudentem observabunt omnes. Quando igitur cogeris, ut aliquem crimineris, dic ad illum: Non possum illi maledicere. Timeo enim, ne fortè sit talis: maximè quidem in mente ne dicas, sed neque alteri, ne in hoc cum Deo pugnes. Si videris vituperari quendam, adjuva. Dic; passionis, non viri verba sunt, dic: iræ, non amici, insaniæ, non animæ. Hæc cogitemus de unoquoque peccato. Ne expectes accendi ignem, sed anteà comprime, ne exacerbes bestiam, sed neque exacerbari sinas: non enim poteris illum compescere si flamma accendatur. Quid enim dixit, Insipiens & stulte? Utri igitur verè imputatur, dicenti ne an audienti: nam ille quidem licèt insipiens, sapiens ac philosophus habebitur. Uter insipiens dic oro, is ne qui alteri dicit ea quæ non sunt, an is qui neque sic movetur: nam si sapientiæ est, etiam si movearis non moveri, magnæ utique insipientiæ est, si non movearis quem plagis affici: nondum dico, quis locus pœnæ repositus sit his qui talia opprobrant & maledicunt. Sed cur, ignobilem & ex ignobilibus, & vilem ac ex vilibus dixit: Iterum in seipsum convertit opprobrium: nam ille quidem venerabilis apparet ac reverendus: hic verò vilis. Talia enim tanquam opprobrium proferre, generis vilitatem inquam, animæ est revera parvæ. Qui autem magnus & admirabilis erit, utpote qui nihil tale sentit, sic afficitur quasi audivisset, quod haberet aliquid præcellens. At adulterium ac alia dicet? Hic & ridere oportebat. Quando enim lacessitur qui non est conscius, non habet locum ira. Cogitantes autem & quæ in medium producat verba, neque sic oportet dolere, id quod postea unusquisque discere poterit. Hoc jam revelavit. Deinde omnibus se fide indignum exhibuit, utpote nesciens proximorum mala tegere, & seipsum magis confundit, quam alium, & in totum portum impegit, pœnas sibi ipsi graves ascivit futuri judicii. Non enim hunc ut illum aversantur omnes, qui tegenda revelat. Tu autem ne dixeris ea quæ nosti, sed sile, si vis bonum nomen habere, non enim subvertes quæ dicta sunt, ac teges, sed etiam aliud facies bonum. Non enim jam facies contra teipsum ferri sententiam. Jam quispiam tibi maledicit? dic tu: Si omnia nosset, non hæc sola dixisset. Admirati estis cum stupore quod dixi? atqui imitari oportet. Ideo enim omnia hæc quæ ab exteris dicta sunt diximus, non quòd non habeamus innumera talia in scripturis. Sed quod magis hi possunt confundere, quoniam & scriptura novit ad confusionem loqui, sicut quando dicit,

τῶν πρὸς φόνον τοὺς ὄχλους παροξυνάντων, τῶν τοιαῦτα βοώντων καὶ λεγόντων, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. ἐκ τούτων πολλοί, φησίν, ὑπήκουον τῇ πίστει. αὐτοῦ τοίνυν καὶ ἡμεῖς γενώμεθα μιμηταί. προσεδέξατο αὐτούς, καὶ οὐκ ἐξέβαλεν. οὕτω τοὺς ἐχθροὺς ἀμειβώμεθα, τοὺς τὰ μυρία ἡμᾶς ἐργασαμένους δεινά. ὅπερ ἂν ἔχωμεν ἀγαθὸν αὐτοῖς παρέχωμεν· μὴ παρέλθωμεν αὐτοὺς εὐποιοῦντες. εἰ γὰρ τὸ παθεῖν κακῶς, ἐμπλῆσαί ἐστι τὸν θυμὸν αὐτῶν, πολλῷ μᾶλλον τὸ εὐποιῆσαι. τοῦτο γὰρ ἔλαττον ἐκείνου. οὐκ ἔστι γὰρ ἴσον εὐποιῆσαι ἐχθρὸν, καὶ μείζονα θελῆσαι παθεῖν ἢ βούλεται. ἀπὸ τούτου καὶ ἐπ' ἐκεῖνα ἥξομεν. τοῦτο ἀξίωμα τῶν τοῦ Χριστοῦ μαθητῶν. ἐσταύρωσαν αὐτὸν ἐλθόντα ἐπὶ εὐεργεσίᾳ τῇ αὐτῶν· τοὺς μαθητὰς αὐτοῦ ἐμάστιξαν, καὶ μετὰ ταῦτα εἰς τὴν αὐτὴν αὐτοὺς ἄγει τοῖς μαθηταῖς τιμήν, ὁμοίως αὐτοῖς μεταδίδους τῶν αὐτοῦ. μιμηταὶ γενώμεθα παρακαλῶ τοῦ Χριστοῦ. κατὰ τοῦτο ἔστι μιμήσασθαι αὐτόν· τοῦτο ἴσον ποιεῖ τῷ Θεῷ· τοῦτο μεῖζον ἢ κατὰ ἄνθρωπόν ἐστιν. ἐχώμεθα τῆς ἐλεημοσύνης. αὕτη παιδαγωγὸς καὶ διδάσκαλος ἐκείνης τῆς φιλοσοφίας ἐστίν. ὁ μαθὼν ἐλεεῖν τὸν ἐν συμφορᾷ, μαθήσεται καὶ μὴ μνησικακεῖν. ὁ μαθὼν τοῦτο, καὶ ἐχθροὺς εὐεργετεῖν δυνήσεται. μάθωμεν καταχλᾶσθαι τοῖς τῶν πλησίον κακοῖς, καὶ μαθησόμεθα καὶ τὰ κακὰ αὐτῶν φέρειν. αὐτὸν ἐρωτήσωμεν τὸν κακῶς ἡμᾶς διατιθέντα, εἰ μὴ καταγινώσκει ἑαυτοῦ, εἰ μὴ ἤθελε φιλοσοφεῖν, εἰ μὴ θυμοῦ τὸ πᾶν εἶναί φησιν, εἰ μὴ μικροψυχίας, εἰ μὴ ταλαιπωρίας· εἰ μὴ βούλεται τῶν ὑβριζομένων εἶναι καὶ σιγώντων, ἀλλὰ μὴ τῶν ὑβριζόντων καὶ μαινομένων· εἰ μὴ θαυμάσας ἄπεισι τὸν παθόντα. μὴ δὴ νομίσῃς, ὅτι τοῦτο εὐκαταφρονήτους ποιεῖ. οὐδὲν οὕτως εὐκαταφρονήτους ποιεῖ, ὡς τὸ ὑβρίζειν· οὐδὲν οὕτως αἰδεσίμους, ὡς τὸ ὑβριζομένους φέρειν. ὁ μὲν γάρ ἐστιν ὑβριστής, ὁ δὲ φιλόσοφος· καὶ ὁ μὲν ἀνθρώπου χείρων, ὁ δὲ ἀγγέλων ἴσος. κἂν τε γὰρ ἐλάττων ἦν τοῦ ὑβρίζοντος, καὶ ὅμως ἐβούλετο, δυνατὸς ὑπῆρχεν ἀμύνασθαι. ἄλλως δέ· καὶ ἐλεεῖται μὲν παρὰ πάντων οὗτος· ἐκεῖνος δὲ μισεῖται. τί οὖν; οὐκ ἐντεῦθεν [ἄρα] πολλῷ βελτίων ἔσται οὗτος; τῷ μὲν γὰρ ὡς μαινομένῳ, τούτῳ δὲ ὡς νοῦν ἔχοντι προσέξουσιν ἅπαντες. ὅταν οὖν κατηγορῆσαί τινα ὑπό τινος ἀναγκάζῃ, εἰπὲ πρὸς αὐτόν· οὐ δύναμαι αὐτὸν εἰπεῖν κακῶς· δέδοικα γὰρ μή πως οὐκ ἦν τοιοῦτος. μάλιστα μὲν ἐν διανοίᾳ μὴ εἴπῃς· ἀλλὰ μηδὲ πρὸς ἄλλον. μὴ ἐντύχῃς κατὰ τούτου τῷ Θεῷ. ἂν ἴδῃς κακῶς ἀκούοντα, ἄμυνον· εἰπέ, τοῦ πάθους ἐστὶ τὰ ῥήματα, οὐ τοῦ ἀνδρός· εἰπέ, τῆς ὀργῆς, οὐ τοῦ φίλου· τῆς μανίας, οὐ τῆς ψυχῆς. ταῦτα λογιζώμεθα ἐφ' ἑκάστου τῶν ἁμαρτημάτων. μὴ περιμείνῃς ἀναφθῆναι τὸ πῦρ· ἀλλὰ πρὸ τούτου κατάσχε. μὴ παροξύνῃς τὸ θηρίον, ἀλλὰ μηδὲ παροξυνθῆναι συγχωρήσῃς. οὐκ ἔτι γὰρ κύριος εἶ κατασχεῖν, ἂν ἡ φλὸξ ἀναφθῇ. τί γὰρ εἶπεν; ἀνόητε καὶ μωρέ; τίνι οὖν ὑπεύθυνος τῷ ῥήματι· ὁ ἀκούων, ἢ ὁ λέγων; ὁ μὲν γὰρ, κἂν σφόδρα σοφὸς ᾖ, μωροῦ δόξαν ἔλαβεν· ὁ δὲ κἂν ἀνόητος ᾖ, σοφοῦ καὶ φιλοσόφου. τίς ἀνόητος εἰπέ μοι· ὁ ἑτέρῳ προσφέρων τὰ οὐκ ὄντα, ἢ ὁ μηδὲ οὕτω κινηθείς; εἰ γὰρ τὸ μηδὲ κινηθέντα κινεῖσθαι, φιλοσοφίας· τὸ μηδὲ κινοῦντος πλήττεσθαι, πόσης ἀνοίας; οὔπω λέγω ποῖος ἀπόκειται τιμωρίας τόπος τοῖς τὰ τοιαῦτα ὀνειδίζουσι καὶ βλασφημοῦσι τὸν πλησίον. ἀλλὰ τί; ἄτιμον καὶ ἐξ ἀτίμων, καὶ εὐτελῆ καὶ ἐξ εὐτελῶν εἶπε; πάλιν εἰς ἑαυτὸν τὸ ὄνειδος περιέτρεψεν. ὁ μὲν γὰρ τίμιος φανεῖται καὶ αἰδέσιμος· ὁ δὲ εὐτελὴς ὄντως. τὸ γὰρ τὰ τοιαῦτα εἰς τάξιν ὀνείδους προφέρειν· γένους εὐτέλειαν λέγω· μικρᾶς ὄντως ψυχῆς· ὁ δὲ μέγας καὶ θαυμαστὸς ἔσται, ἅτε οὐδὲν ἡγούμενος τὸ τοιοῦτον, ἀλλ' οὕτω διακείμενος ὡς ἂν εἰ ἤκουεν ὅτι ἔχει τι τῶν ἄλλων διαφέρον. ἀλλὰ μοιχὸν καὶ τὰ ἄλλα ἐρεῖ; ἐνταῦθα καὶ γελᾶν χρή. ὅταν γὰρ τὸ συνειδὸς μὴ βάλληται, οὐδὲ καιρὸν ἂν ἔχοι ὁ θυμός. ἐννοήσαντας δὲ [καὶ] τίνα ἐξάγει εἰς μέσον πονηρὰ καὶ μιαρὰ ῥήματα, οὐδὲ οὕτως ἀλγεῖν χρή. ὅπερ γὰρ ἔμελλε μετὰ ταῦτα ἕκαστος μαθήσεσθαι, τοῦτο ἤδη ἐξεκάλυψεν, ἑαυτὸν λοιπὸν ἄπιστον πᾶσι κατέστησεν, ἅτε οὐκ εἰδότα συγκαλύπτειν τὰ τοῦ πλησίον κακά, καὶ ἑαυτὸν μᾶλλον ᾔσχυνεν ἢ ἕτερον, καὶ πάντα λιμένα προσέκρουσε, τὰς εὐθύνας ἐποίησεν ἑαυτῷ φοβερὰς τοῦ μέλλοντος κριτηρίου. οὐ γὰρ οὕτω τοῦτον ὡς ἐκεῖνον ἀποστραφήσονται πάντες, ἅπερ ἐκκαλύψαι οὐκ ἐχρῆν ἀπαμφιάσαντα. σὺ δὲ μηδὲν εἴπῃς ὧν σύνοιδας, ἀλλὰ σίγησον εἰ βούλει τὴν λαμπρὰν δόξαν λαβεῖν. οὐ γὰρ μόνον ἀνατρέψεις τὰ λεχθέντα, οὐδὲ καλύψεις, ἀλλὰ καὶ ἕτερον ἐργάσῃ καλόν. οὐκέτι ποιήσεις γὰρ κατὰ σαυτοῦ τὴν ψῆφον ἐνεχθῆναι. ὁ δεῖνά σε κακῶς λέγει; εἰπὲ σύ· εἰ πάντα ᾔδει, οὐκ ἂν τοσαῦτα εἶπε μόνα. ἐθαυμάσατε καὶ ἐξεπλάγητε τὸ λεχθέν; ἀλλὰ μιμεῖσθαι χρή. διὰ γὰρ τοῦτο πάντα ὑμῖν τὰ ἔξωθεν εἰρημένα λέγομεν, οὐχ ὡς οὐκ ἐχουσῶν μυρία τοιαῦτα τῶν γραφῶν· ἀλλ' ὡς μᾶλλον ἐντρέψαι δυναμένων τούτων. ἐπεὶ καὶ ἡ γραφὴ οἶδε πρὸς ἐντροπὴν λέγειν, ὡς ὅταν λέγῃ·

οὐχὶ

οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν; ὁ δὲ προφήτης Ἱερεμίας τοὺς τοῦ Ῥηχὰβ υἱοὺς παρήγαγεν εἰς μέσον, τὴν πατρικὴν ἐντολὴν παραβῆναι μὴ καταδεξαμένους. οὕτω κακῶς ἡ περὶ Μαρίαν τὴν Μωσέως, καὶ τὴν κόλασιν αὐτῆς εὐθέως ἀπῄτησε, καὶ οὐδὲ ὅσον μαθεῖν ἴσως, ὅτι ἀδίκως ἔτυχε, συνεχώρησεν. ἀλλ᾿ οὐχ ἡμεῖς οὕτως· ἀλλὰ τοῦτο μάλιστα βουλόμεθα πάντας μαθεῖν, ὅτι οὐκ ἀζήμιος ταῦτα παρῆλθεν. μάχεται ἕως ἐπὶ γῆς πνέομεν; οὐκ ἔνι μάχην ἐκ μιᾶς συστῆναι μοίρας. τὰς μαινομένας ἂν ἐξ ἑκατέρου τοῦ μέρους ἐλαύνῃς, μᾶλλον παροξυνεῖς· ἂν δὲ ἐκ δεξιᾶς ἢ ἐξ ἀριστερᾶς, ἔσβεσας τὸν θυμόν. ὁ τύπτων ἂν μὲν ἔχῃ τὸν μὴ δεχόμενον, μᾶλλον ἐπαίρεται· ἂν δὲ δέχηται, μᾶλλον ἐκλύεται, καὶ εἰς αὐτὸν ἡ πληγὴ περιτρέπεται. οὐ γὰρ οὕτως ἐκλύει τὴν δύναμιν ὁ ἀνταγωνιστοῦ ἄνθρωπος παγκρατιάζειν εἰδώς, ὡς ἄνθρωπος ὑβριζόμενος, καὶ μὴ ἀνθυβρίζων. αἰσχυνθεὶς γὰρ ἐκεῖνος λοιπὸν ἄπεισι καὶ καταγνωσθείς· πρῶτον μὲν ἐκ τοῦ συνειδότος, δεύτερον δὲ παρὰ τῶν ὁρώντων ἁπάντων. καὶ παροιμία δέ τις ἐστιν, ὅτι δὴ ὁ τιμῶν ἑαυτὸν τιμᾷ. ἄρα καὶ ὁ ὑβρίζων ἑαυτὸν ὑβρίζει. οὐδεὶς ἡμᾶς ἀδικῆσαι δυνήσεται, πάλιν ἐρῶ, ἐὰν μὴ ἡμεῖς ἑαυτούς· οὔτε πένητά μέ τις ἐργάσεται, ἐὰν μὴ ἐγὼ ἐμαυτόν. φέρε γάρ, οὕτω συλλογισώμεθα. ἔστω μοι ψυχὴ πτωχή, καὶ πάντες κενούτωσαν εἰς ἐμὲ τὰ χρήματα· τί οὖν; ἕως ἂν ἐκείνη μὴ μεταβάληται, πάντα μάτην. ἔστω μοι ψυχὴ μεγάλη, καὶ πάντες λαμβανέτωσαν τὰ χρήματα· τί οὖν; ἕως ἂν ἐκείνην μὴ ποιήσῃς πτωχήν, οὐδὲν βλάβος. ἔστω μοι βίος ἀκάθαρτος, καὶ πάντες τἀναντία λεγέτωσαν περὶ ἐμοῦ, τί οὖν; κἂν γὰρ λέγωσιν, ἀλλ᾿ οὐχὶ καὶ ἐν διανοίᾳ ταῦτα ψηφίζονται. πάλιν ἔστω μοι βίος καθαρός, καὶ πάντες τἀναντία λεγέτωσαν, καὶ τί οὖν; ἐν γὰρ τῷ συνειδότι ἑαυτῶν καταγνώσονται. οὐ γὰρ δὴ πεπεισμένοι λέγουσιν. ὥσπερ γὰρ ταῖς εὐφημίαις οὐ δεῖ προσέχειν, οὕτως οὐδὲ ταῖς κατηγορίαις. καὶ τί λέγω ταῦτα; οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαί ποτε δυνήσεται, οὐδὲ κατηγορίᾳ τινὶ περιβαλεῖν, ἐὰν βουλώμεθα. ἴδωμεν δὲ καὶ οὕτως. ἑλκέτω τις εἰς δικαστήριον· συκοφαντείτω, εἰ βούλει, καὶ τὴν ψυχὴν ἐκφερέτω· καὶ τί οὖν, εἰ μικρὸν παρ᾿ ἀξίαν ταῦτα πάθοις; οὐκοῦν μὲν ἂν αὐτὸ κακόν φησιν. αὐτὸ μὲν οὖν οὐ κακόν, τὸ μὴ κατ᾿ ἀξίαν παθεῖν; ἀλλὰ τὸ κατ᾿ ἀξίαν δεῖ, εἴποι τις πάλιν. φιλόσοφός τις τῶν ἔξωθεν, ὡς ἤκουσεν ὅτι ὁ δεῖνα ἀπέθανε, καί τις εἶπεν αὐτῷ τῶν μαθητῶν· οἴμοι ὅτι ἀδίκως· ἐκεῖνος ἐπιστραφείς, ἀλλὰ τί, ἔφη, δικαίως ἤθελες; καὶ Ἰωάννης δὲ οὐχὶ ἀδίκως ἀπέθανε; τίνα οὖν μᾶλλον ἐλεεῖς, τὸν δικαίως ἀποθνήσκοντα, ἢ τὸν οὐχ οὕτως; οὐχὶ τοῦτον μὲν ταλανίζεις, ἐκεῖνον δὲ καὶ θαυμάζεις; τί οὖν ἠδίκηται ἄνθρωπος, καὶ ἀπ᾿ αὐτοῦ τοῦ θανάτου κερδάνας μεγάλα, οὐ μόνον οὐδὲν βλαβείς; εἰ μὲν γὰρ ἀθάνατον ὄντα θνητὸν ἐποίει, ἴσως ἂν βλάβη ἦν· εἰ δὲ θνητὸν ὄντα, καὶ ἀπὸ τῆς φύσεως μικρὸν ὕστερον τὸν θάνατον ἐκδέξασθαι μέλλοντα, ἔφθασεν οὗτος μετὰ δόξης τοῦτο ἐπαγαγών, τί βλάβος; ἔστω ἡμῖν ἡ ψυχὴ ῥυθμιζομένη καλῶς, καὶ βλάβος οὐδὲν ἔσται ἔξωθεν. ἀλλ᾿ οὐκ εἶ ἐν δόξῃ; καὶ τί τοῦτο; ὅπερ γὰρ ἐπὶ τῶν χρημάτων ἐστί, τοῦτο καὶ ἐπὶ τῆς δόξης. ἂν γὰρ ὦ μεγαλοπρεπής, οὐ δεήσομαι οὐδενός· ἂν δὲ κενόδοξος, ὅσῳ ἂν ἐπιτύχω, τοσούτῳ μείζονος δεήσομαι. τότε δὲ μάλιστα λαμπρὸς ἔσομαι καὶ μείζονος ἀπολαύσομαι δόξης, εἰ καταφρονήσω δόξης. ταῦτα οὖν εἰδότες, καὶ χάριν ἔχωμεν τῷ τοιαύτην ἡμῖν χαρισαμένῳ ζωὴν Χριστῷ τῷ Θεῷ ἡμῶν, καὶ μετίωμεν αὐτὸν εἰς δόξαν αὐτοῦ. ὅτι αὐτῷ πρέπει ἡ δόξα σὺν τῷ ἀνάρχῳ Πατρὶ καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A *Nonne & Ethnici hoc faciunt?* Propheta autem Hieremias filios Rechab in medium adduxit, paternum mandatum prævaricari nequaquam volentes. Maledicebat Maria Mosen & ab illa statim expetiit pœnam, neque concessit tanto tempore, quanto disci poterat, injustum est. At nos non sic, sed hoc maximè volumus omnes discere, quod non absque pœna abiit. Quamdiu de terra spiramus, non potest ex una solùm parte constare bellum. Trahes enim insani rica

B ex utraque parte, imò exacerbaris, sive à dextra, sive à sinistra. Extinxisti furorem. Qui verberat, siquidem habuerit eum qui non patitur, magis extollitur. Si autem patientem, magis destruitur, & in ipsum plaga convertitur. Non enim sic subvertit antagonistæ vim homo certaminum peritus, sicut homo qui injuriâ afficitur, & non vicissim contumelias infert. Confusus enim ille, deinde abit & condemnatus. Primum quidem à conscientia: Secundum au-

C tem ab omnibus qui vident. Et proverbium quoddam est: Qui honorat, seipsum honorat: ita qui contumelia afficit, seipsum contumelia afficit. Nullus nos poterat injuria afficere iterum dico, nisi nosmetipsos: pauperem me quis faciet, nisi ego meipsum? Age sic consideremus: Sit mihi anima pauper, & omnes in me pecunias erogent, quid inde? donec illa non mutuetur, omnia in vanum sunt. Sit mihi anima magna, & cuncti accipiant pecunias meas, quid inde? donec illam

D non feceris pauperem, nullum certè damnum. Sit mihi vita impura, & omnes contraria dicant de me: quid hoc? licèt dicant, sed non etiam in mente suffragiis confirmant. Iterum sit mihi vita munda, & omnes contraria dicant. Et quid inde? Nam in conscientia sua se condemnant. Non enim persuasi dicunt. Nam quemadmodum non oportet celebritati credere, sic etiam neque accusationi: quid dico hæc? nullus nobis insidiari unquam poterit, neque accusatione ulla circundare si vo-

E luerimus. Videamus autem & sic trahat quis ad forum ac calumnietur, si vis etiam efferat. Et quid hoc, si paulisper præter dignitatem hæc feras? Igitur hoc quidem istud malum est, quod propter meritum pateris? Sed cur? meritò ne oportebat? Dicant quid iterum. Philosophus quidam exterus ubi audivit, quod quidam mortuus est, & quidam discipulorum dixit illi, Væ mihi quia injustè: Ille conversus, sed quid dicebat, justè ne voluisses? At Joannes, nonne injustè mortuus est? Cui igi-

A tur magis etiam misereris, ei ne qui justè mortuus, an ei qui injustè? nonne hunc quidem miserum dicis, illum autem & admiraris? Quid igitur injuria affectus est homo, ab illa morte non solum magnum lucrum faciat, sed & nihil læditur: nam siquidem ex immortali fecisset mortalem, fortassis detrimentum esset. Si autem mortalem & in hac natura paulò pòst moriturum, accelerat ut cum gloria mortem amplectatur, quid damni? Sit nobis anima quæ bene composita, & nullum foris

B secus erit damnum. Sed non es in gloria? Et quid hoc? nam quod est in pecuniis, hoc etiam est in gloria. Si enim fuero magnificus, nullo opus erit. Si autem vanæ gloriæ cupidus, quò plus continget, hoc plus desiderabo: tunc autem, maximè clarus ero, & majore gloria fruar, si contempsero gloriam. Hæc igitur scientes & gratiam habeamus Christo Deo, qui talem vitam nobis largitus est, & ambiamus illum in gloriam illius: Quia ipsum decet gloria cum æterno Patre & Sancto illius

C Spiritu, in secula seculorum, Amen.

Mat. 6. Jer. 35. Num. 12.

ΟΜΙΛΙΑ ιε'.

Στέφανος δὲ πλήρης πίστεως καὶ δυνάμεως ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ.

ΟΡΑ πῶς καὶ ἐν τοῖς ἑπτὰ ἦν τις προέχων, καὶ τὰ πρωτεῖα εἶχεν. εἰ γὰρ καὶ ἡ χειροτονία κοινή, ἀλλ᾿ ὅμως οὗτος ἐπεσπάσατο χάριν πλείονα. πρὸ τούτου δὲ οὐκ ἐποίει σημεῖα, ἀλλ᾿ ὅτε δῆλος γέγονεν· ἵνα δειχθῇ, ὅτι οὐκ ἀρκεῖ μόνη ἡ χάρις, ἀλλὰ δεῖ καὶ τῆς χειροτονίας. ὥστε προσθήκη πνεύματος ἐγένετο. εἰ δὲ καὶ πρὸ τούτου πλήρεις πνεύματος ἦσαν· ἀλλὰ τοῦ ἀπὸ τοῦ λουτροῦ. ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς. πάλιν ἀνάστασιν τὸν παροξυσμὸν αὐτῶν λέγει καὶ τὴν ὀργήν. [ὅρα καὶ] ἐνταῦθα πολὺ τὸ πλῆθος· μᾶλλον δὲ πῶς ἕτερον τῆς κατηγορίας τὸ σχῆμα. ἐπειδὴ γὰρ ἐκώλυσεν αὐτοὺς Γαμαλιὴλ μηδὲν ὑπὲρ ἐκείνους ἐγκαλεῖν, ἑτέραν κατηγορίαν εἰσάγουσιν. ἀνέστησαν δέ τινες, φησί, τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων καὶ Κυρηναίων καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας,

HOMILIA XV.

Stephanus autem plenus fide & virtute, faciebat prodigia & signa magna in populo.

D

VIde, quo modo etiam in illis septem unus cæteris præferebatur, & primatum habebat. Nam quamvis communis omnium ordinatio, attamen ille majorem sibi conciliarat gratiam. Ante illud tempus nullum fecerat signum, at ubi manifestatus est, ut ostendatur non sufficere solam gratiam, sed opus etiam ordinatione, ut Spiritus sancti augmentum fiat.

E Quod si & ante pleni spiritu, at id à lavacro. *Surrexerunt autem quidam ex synagoga.* Iterum vocat surrectionem, illorum exacerbationem & iram. Vide & hoc loco magnam multitudinem, imò aliam accusationis figuram. Nam postquam Gamaliel illos prohibuerat, ne quid contra illos attentent, aliam accusationem inducunt: *Surrexerunt autem quidam eorum ex synagoga quæ dicebatur Libertinorum, & Cyrenæorum, & Alexandrinorum, & eorum qui à Cilicia & Asia,*

disputantes cum Stephano, & non poterant resistere sapientiæ & spiritui quo loquebatur: tunc subornarunt viros, dicentes: audivimus illum loquentem blasphema verba contra Mosem ac Deum. Ut accusationem instituant, contra Deum, inquit, & contra Mosem loquitur. Idcirco & disputabant, ut cogerent illum dicere aliquid. At ille postea apertius loquutus est. Et forsitan solùm dicebat quiescere legem, vel non dicebat quidem, sed insinuabat: quoniam si dixisset manifestè, non opus fuisset viris subornatis, nec etiam falsis testibus. Variæ autem synagogæ erant Libertinorum, & Cyrenensium. Sed Cyrenenses quidem ultra Alexandrinos siti sunt, qui & illic pro consuetudine quæ tunc erat, habebant synagogas: fortassis autem illic manserunt, ne cogerentur continuò migrare. *Libertini* autem, qui à Romanis libertate donati erant, sic appellabantur. Porrò quemadmodum illic morabantur hospites multi, ita & synagogas habebant multas, in quibus oportebat & legem legi, & preces fieri. Tu autem consideres velim quo modo & hic, dum cogitur, docere attentat, & illi iterum per signa in invidiam non solùm moventur, sed quoniam & legis cognitione superior erat, illisque intolerabilis, falsos quoque testes constituunt. Non volunt eum simpliciter occidere, sed & cum suffragio, ut & gloriam ipsorum infament, & illis relictis sic ad alios veniant, hac ratione perterrentes etiam illos: Qui etiam non dixerunt, quod loquatur, sed *quod non cessat loqui*, aucta sicque accusatione. *Commoveruntque presbyteros & scribas, atque invadentes corripuerunt eum, & adduxerunt concilium, statueruntque falsos testes, dicentes: Homo iste non cessat loqui verba blasphema contra locum & legem. Non cessat*, inquit, quasi ille faciat opus, per hoc manifestantes: *Audivimus enim eum dicentem, Jesus Nazareaus iste demolietur locum hunc, & mutabit mores quos tradidit nobis Moses.* Jesus, inquit, Nazarenus magno cum contemptu, *demolietur locum hunc, & mutabit mores.* Hoc etiam Christum accusantes, dicebant:
Matth. 27, 40. *Qui destruis templum Dei?* Multa enim illis erat reverentia erga templum, utpote & juxta illud habitare volentibus, & erga nomen Mosis. Et vide quo modo duplex accusatio. *Demolietur*, inquit, *locum, & mutabit mores.* Non solùm autem duplex, sed & amara, & plena periculis. *Et quum inspexissent illum omnes qui erant in concilio, viderunt faciem illius quasi faciem Angeli.* Sic possunt & qui in minore gradu sunt clarescere. Et quid oro hic minus habebat Apostolis? nonne signa operatus est? nonne magnam dicendi libertatem præ se tulit? *Viderunt faciem illius quasi faciem Angeli*, inquit. Hoc igitur erat gratia, hoc & Mosis gloria erat. Videtur autem mihi Deus illum fecisse tantæ gratiæ ac amabilem, ut statim aspectu terruerit illos. Possunt enim facies & spirituali gratia plenæ esse, & desiderantibus desiderabiles, & odio habentibus reverendæ ac terribiles. Vel hoc dixit ut causam propter quam passi sunt illum concionari.

Cap. VII. *Dixit autem princeps sacerdotum: Num hæc ita se habent?* Vides quo modo cum mansuetudine rogat, atque sine molestia. Ea propter & ille benignis verbis incipit: *Viri fratres & patres, audite, Deus gloriæ apparuit patri nostro Abrahæ, cùm esset in Mesopotamia, priusquam moraretur in Charran.* Statim ab initio opinionem illorum tollit, & per ea quæ dicit, absque suspicione instruit, nihil esse quodammodo templum illud, & instituta, nec victuros illos prædicationem, Deúmq; semper omnia facere, nullo egentem instrumento. Vide itaq; in his pulchrè contexi concionem, & demonstrari, quod qui fruantur magna misericordia, diversis Deum retalient, & alioqui impossibilia attentent. *Deus*
Gen. 21,1. *gloriæ apparuit patri nostro Abrahæ, & dixit ad illum: Egredere de terra tua, & veni in terram quam monstravero tibi.* Et templum nondum erat, & sacrificium nondum erat, & Dei conspectum assequutus fuit Abraham, licèt etiam progenitores haberet Persas, & in aliena terra esset. Et quare in principio vocat Deum *gloriæ Deum?* quoniam ignobiles gloriosos fecit, & ut doceat, quod si illos glorificavit, multò magis ipsos. Vides quo modo illos à corporalibus abducit & à loco primum, quoniam de loco sermo erat. Si *gloriæ Deus*, manifestum quod non opus habet nostrâ gloriâ, neque ea quæ est per templum. Ipse enim est fons gloriæ: ne igitur putetis hac ratione ipsum glorificari, & quomodo, inquit, scriptura hoc non dicit de patre Abrahami? Quia non est multiloqua in his quæ non multum necessaria. Hoc solum nos docuit, quod videns abire filium, ierit cum eo: Quod autem amplius non enarravit, eo quod mortuus est, non multò posteaquam habitavit in Charris. *Exi à cognatione tua.* Hic ostendit quod non sunt filii Abrahæ. Quo modo? quia ille credulus erat: ipsi autem increduli.

συζητοῦντες τῷ Στεφάνῳ, καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ πνεύματι ᾧ ἐλάλει. τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσέα καὶ τὸν Θεόν. ἵνα τὴν κατηγορίαν συστήσωσι, κατὰ τοῦ Θεοῦ, φησὶ, καὶ κατὰ Μωσέως λαλεῖ. διὰ τοῦτο [καὶ] συνεζήτουν, ἵνα ἀναγκάσωσιν αὐτὸν εἰπεῖν. ὁ δὲ γυμνότερον λοιπὸν διελέγετο, καὶ τὸ παύειν ἴσως ἔλεγε τὸν νόμον μόνον· ἢ οὐκ ἔλεγε μὲν, ᾐνίττετο δέ. ἐπεὶ εἰ ἔλεγε φανερῶς, οὐκ ἔδει τῶν ὑποβλήτων ἀνδρῶν οὐδὲ τῶν ψευδομαρτύρων. διάφοροι δὲ αἱ συναγωγαὶ ἦσαν, Λιβερτίνων καὶ Κυρηναίων. ἀλλὰ Κυρηναῖοι μὲν, οἱ ἐπέκεινα Ἀλεξανδρείας εἰσίν· οἳ καὶ ἐκεῖ κατὰ τὰ ἔθη εἶχον συναγωγάς· ἴσως δὲ καὶ ἐκεῖ ἔμενον, ἵνα μὴ ἀναγκάζωνται συνεχῶς ἀποδημεῖν. Λιβερτῖνοι δὲ, οἱ Ῥωμαίων ἀπελεύθεροι οὕτω καλοῦνται. ὥσπερ δὲ ᾤκουν ἐκεῖ πολλοὶ ξένοι· οὕτω καὶ συναγωγὰς εἶχον ὅπου ἔδει τὸν νόμον ἀναγινώσκεσθαι καὶ εὐχὰς γίνεσθαι. σὺ δέ μοι σκόπει, πῶς καὶ οὗτος ἀναγκαζόμενος διδάσκειν ἐπιχειρεῖ· κἀκεῖνοι πάλιν διὰ τὰ σημεῖα εἰς φθόνον οὐ μόνον κινοῦνται, ἀλλ' ἐπεὶ καὶ λόγῳ ἐκράτει καὶ ἀφόρητος ἦν αὐτοῖς, ψευδομάρτυρας συνιστῶσιν. οὐκ ἐβούλοντο γὰρ ἁπλῶς ἀναιρεῖν, ἀλλὰ μετὰ ψήφου, ἵνα καὶ τὴν δόξαν αὐτοῦ βλάψωσι. καὶ ἐκείνους ἀφέντες ἐπὶ τούτους ἔρχονται, ὡς ταύτῃ καταπληξόμενοι κἀκείνους· οἳ καὶ οὐκ εἶπον, ὅτι λαλεῖ, ἀλλ' οὐ παύεται λαλῶν, αὔξοντες τὴν κατηγορίαν. συνεκίνησάν τε τοὺς πρεσβυτέρους καὶ τοὺς γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον, ἔστησάν τε μάρτυρας ψευδεῖς λέγοντας· ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου καὶ τοῦ νόμου. οὐ παύεται φησὶν, ὡς ἔργον αὐτὸ ποιούμενον διὰ τούτου δηλοῦντες. ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Ἰησοῦς, φησὶν, ὁ Ναζωραῖος, καὶ ὀνειδιστικῶς. καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη. τοῦτο καὶ τοῦ Χριστοῦ κατηγοροῦντες ἔλεγον· ὁ καταλύων τὸν ναὸν τοῦ Θεοῦ. πολλὴ γὰρ ἦν αὐτοῖς [ἡ] εὐλάβεια περί τε τὸν ναὸν, ἅτε καὶ μετοικεῖν βουλομένοις, περί τε τὸ ὄνομα Μωσέως. καὶ ὅρα πῶς διπλῆ ἡ κατηγορία. καταλύσει φησὶ τὸν τόπον καὶ ἀλλάξει τὰ ἔθη. οὐ μόνον δὲ διπλῆ, ἀλλὰ καὶ πικρὰ καὶ κινδύνων γέμουσα. καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. οὕτως ἐστὶ καὶ ἐν ἐλάττονι ὄντας βαθμῷ λάμπειν. τί γὰρ, εἰπέ μοι, τῶν ἀποστόλων οὗτος ἔλαττον εἶχεν; οὐχὶ σημεῖα εἰργάσατο; οὐ πολλὴν ἐπεδείξατο τὴν παῤῥησίαν; εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου φησί. τοῦτο ἄρα ἡ χάρις ἦν· τοῦτο καὶ ἡ δόξα Μωσέως ἦν. ἐπιχαρίεντα [δὲ] αὐτὸν δοκεῖ μοι ποιῆσαι ὁ Θεὸς, τάχα ἐπεὶ ἔμελλε λέγειν ἐρεῖν, καὶ ἵνα εὐθέως τῇ προσόψει καταπλήξῃ αὐτούς. ἔστι γὰρ, ἔστι καὶ πρόσωπα χάριτος γέμοντα πνευματικῆς, ἐπέραστα τοῖς ποθοῦσιν εἶναι, καὶ αἰδέσιμα τοῖς μισοῦσι καὶ φοβερά. ἢ καὶ ὡς αἰτίαν τοῦτο εἶπεν, δι' ἣν ἠνέσχοντο τῆς δημηγορίας αὐτοῦ.

Τί δαὶ ὁ ἀρχιερεύς; εἰ ἄρα φησὶ ταῦτα οὕτως ἔχει; ὁρᾷς πῶς μετ' ἐπιεικείας ἡ ἐρώτησις, καὶ οὐδὲν τέως φορτικὸν ἔχουσα; διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ προσηνείας ἄρχεται τῶν ῥημάτων, καί φησιν· ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατε. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. εὐθέως ἐκ τοῦ προοιμίου τὴν δόξαν αὐτῶν ἀναιρεῖ καὶ κατασκευάζει, δι' ὧν φησιν ἀνυπόπτως, ὅτι τὸ οὐδέν ἐστιν ὁ ναὸς δήπου αὐτὸς, οὐδὲ τὰ ἔθη. καὶ ὅτι οὐ πείσονται τοῦ κηρύγματος. καὶ ὅτι ἀμηχάνων ἀεὶ ὁ Θεὸς πάντα ποιεῖ καὶ κατασκευάζει. ὅρα οὖν διὰ τούτων ὑφαινομένην τὴν δημηγορίαν καὶ [ἀποδεικνύουσαν,] ὅτι πολλῆς ἀπολαύσαντες [ἀεὶ] φιλανθρωπίας, τοῖς ἐναντίοις τὸν εὐεργέτην ἠμείψαντο, καὶ τοῖς ἀδυνάτοις ἐπιχειροῦσιν. ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ πατρὶ ἡμῶν Ἀβραὰμ, καὶ εἶπε πρὸς αὐτόν· ἔξελθε ἐκ τῆς γῆς σου καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. καὶ ναὸς οὐκ ἦν, καὶ θυσία οὐκ ἦν, καὶ θείας ὄψεως ἠξιοῦτο Ἀβραάμ. καὶ προγόνους Πέρσας εἶχε, καὶ ἐν ἀλλοτρίᾳ γῇ ἦν. καὶ τί δήποτε ἀρχόμενος, τὸν Θεὸν τῆς δόξης Θεὸν ἐκάλεσεν; ἐπειδὴ τοὺς ἀτίμους ἐνδόξους πεποίηκε· καὶ ἵνα διδάξῃ, ὅτι εἰ ἐκείνους ἐδόξασε, πολλῷ μᾶλλον αὐτούς. ὁρᾷς πῶς αὐτοὺς ἀπάγει τῶν σωματικῶν, καὶ ἀπὸ τοῦ τόπου πρῶτον, ἐπειδὴ περὶ τόπου ὁ λόγος ἦν; ὁ Θεὸς τῆς δόξης· εἰ δόξης Θεὸς, εὔδηλον ὅτι οὐ δεῖται τῆς παρ' ἡμῶν δόξης, οὐδὲ τῆς διὰ τοῦ ναοῦ. αὐτὸς γάρ ἐστιν ἡ τῆς δόξης πηγή. μὴ [τοίνυν] νομίσητε ταύτῃ δοξάζειν αὐτόν. καὶ πῶς φησιν ἡ γραφὴ τοῦτο λέγει περὶ τοῦ πατρὸς Ἀβραάμ; ὅτι οὐκ ἔστι περὶ τὰ μὴ σφόδρα ἀναγκαῖα περιττή. ὃ μὲν γὰρ ἦν χρήσιμον μαθεῖν, τοῦτο μόνον ἡμᾶς ἐδίδαξεν, ὅτι ἀπὸ τῆς ὄψεως τοῦ υἱοῦ συνεξῆλθεν αὐτῷ· τὸ δὲ πλεῖον τούτου παρέλιπεν ἀδιήγητον, διὰ τὸ ταχέως ἀποθανεῖν μετὰ τὸ κατοικῆσαι αὐτὸν ἐν Χαῤῥάν. ἔξελθε ἐκ τῆς συγγενείας σου. ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰσὶν οὗτοι τέκνα τοῦ Ἀβραάμ. πῶς; ὅτι ἐκεῖνος πειθήνιος ἦν. οὗτοι δὲ ἀπειθεῖς. μᾶλ-

λον

λον δὲ ἐξ ὧν ποιεῖ κελευόμενος μανθάνομεν, ὅτι ἐκεῖνος μὲν τοὺς πόνους ὑπέμεινεν· οὗτοι δὲ τοὺς καρποὺς δρέπονται, καὶ ὅτι πάντες οἱ πρόγονοι ἐν κακουχίᾳ. Καὶ ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαῤῥάν, κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε, καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ οὐδὲ βῆμα ποδός. Ὅρα πῶς αὐτοὺς ἀπὸ τῆς γῆς ἀνάγει. Οὐ γὰρ εἶπε, δώσει· ἀλλ' οὐκ ἔδωκε, δηλῶν ὅτι πάντα παρ' ἐκείνου καὶ οὐδὲν παρ' αὐτῶν. Ἦλθε γὰρ καὶ συγγένειαν ἀφεὶς καὶ πατρίδα. Διὰ τί οὖν οὐκ ἔδωκεν; ὅτι τύπος ἦν ἑτέρας γῆς, καὶ ἐπηγγείλατο δοῦναι αὐτὴν αὐτῷ. Ὁρᾷς, ὅτι οὐχ ἁπλῶς πάλιν τὸν λόγον ἀναλαμβάνει; Οὐκ ἔδωκεν αὐτῷ φησι, καὶ ἐπηγγείλατο καὶ τῷ σπέρματι αὐτοῦ μετ' αὐτόν, οὐκ ὄντος αὐτῷ τέκνου. Πάλιν τὸ δυνατὸν ἐντεῦθεν δείκνυται τοῦ Θεοῦ [καὶ] τὸ ἐξ ἀμηχάνων πάντα ποιεῖν. Τὸν γὰρ ἐν Περσίδι καὶ τοσοῦτον ἀπέχοντα, τοῦτον ἔφησε κύριον τῆς Παλαιστίνης ποιήσειν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἀτενίσαντες εἰς αὐτόν, φησιν, εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. Πόθεν ἡ χάρις τοῦ Στεφάνου ἐπλεόνασεν; ἆρ' οὐκ ἀπὸ τῆς πίστεως; εὔδηλον ὅτι. Ἐμαρτύρησε γὰρ αὐτῷ ἄνω ὅτι πλήρης πίστεως ἦν. Ἔστι δὲ χάριν ἔχειν καὶ οὐκ ἐν ἰάσεσι. Διὸ καὶ ὁ Ἀπόστολος· ᾧ μὲν χάρισμα δίδοταί φησιν ἰαμάτων· ἄλλῳ δὲ λόγος σοφίας. Ἐντεῦθεν δέ μοι δοκεῖ καὶ ἐπίχαριν αὐτὸν εἶναι αἰνίττεσθαι, τῷ λέγειν εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου. Ὃ καὶ Βαρνάβας μαρτυρεῖται. Ὅθεν τοὺς ἀπλάστους τε καὶ ἀπονήρους μάλιστα ἴσμεν θαυμαζομένους, καὶ τούτους μᾶλλον ἐπιχαρίτας ὄντας. Τότε ὑπέβαλον ἄνδρας λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα. Ἐπὶ μὲν τῶν ἀποστόλων ἔλεγον, ὅτι τὴν ἀνάστασιν κατήγγελλον, καὶ ὅτι πολὺς ὄχλος ὑπέῤῥει· ἐνταῦθα δέ, ὅτι ἐθεράπευον. [ὢ τῆς ἀνοίας!] ὑπὲρ ὧν εὐχαριστεῖν ἔδει, ὑπὲρ τούτων ἐμέμφοντο· καὶ τοὺς διὰ τῶν ἔργων κρατοῦντας, προσεδόκων κρατήσειν διὰ τῶν λόγων. Ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίουν, καὶ ἀεὶ εἰς λόγους αὐτοὺς ἐνέβαλλον. Ἁρπάσαι γὰρ αὐτοὺς ἁπλῶς ᾐσχύνοντο, οὐδὲν ἔχοντες ἐγκαλεῖν. Καὶ ὅρα [πῶς] οὐδὲ αὐτοὶ οἱ δικάζοντες μαρτυροῦσιν· ἠλέγχθησαν γὰρ ἄν· ἀλλ' ἁπλῶς ἑτέρους μισθοῦνται, ἵνα μὴ δόξῃ ἐπηρείας εἶναι τὸ πρᾶγμα. Τὸ αὐτὸ γενόμενον ἴδοι τις ἂν καὶ ἐπὶ τοῦ Χριστοῦ. Εἶδες τοῦ κηρύγματος τὴν δύναμιν, καὶ πῶς οὐχὶ μαστιζομένων μόνον, ἀλλὰ καὶ λιθαζομένων κρατεῖ, οὐδὲ εἰς δικαστήριον ἀγομένων, ἀλλὰ καὶ ἐλαυνομένων πάντοθεν; ἐντεῦθεν καὶ ψευδομαρτυρούντων αὐτῶν, οὐ μόνον οὐκ ἐκράτουν, ἀλλ' οὐδὲ ἀντιστῆναι ἴσχυον, καίτοι σφόδρα ἀναίσχυντοι ὄντες. Οὕτως αὐτοὺς κατὰ κράτος εἷλε, καὶ ταῦτα πολλὰ προστιθέντας ἀπίθανα, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ. Οὐ καὶ πάντα πρὸς θάνατον ἐπεράνθη τὸν αὐτοῦ, ὡς ἐντεῦθεν δῆλον γενέσθαι πᾶσιν, ὅτι οὐκ ἦν ἀνθρωπίνη ἡ μάχη, ἀλλὰ Θεοῦ πρὸς ἀνθρώπους. Σκόπει δὲ καὶ τί φασιν οἱ στήσαντες ψευδομάρτυρας ὑπὸ τῆς φονικῆς συναρπάσαντες αὐτὸν εἰς τὸ συνέδριον· ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσέα καὶ τὸν Θεόν. Ὦ ἀναίσχυντοι! πράγματα ποιεῖτε βλάσφημα εἰς Θεόν, καὶ οὐ φροντίζετε· καὶ Μωσέως φροντίζειν προσποιεῖσθε; Διὰ τοῦτο προσεκεῖτο Μωσῆς, ἐπειδὴ τὰ τοῦ Θεοῦ οὐ σφόδρα αὐτοῖς ἔμελε, καὶ ἄνω καὶ κάτω Μωσέως μέμνηνται. Ὁ Μωσῆς λέγοντες οὗτος ὃς ἐξήγαγεν ἡμᾶς, τὸ εὐρίπιστον τοῦ ὄχλου ἀνερεθίζοντες. Καὶ τί; πῶς ἄνθρωπος βλάσφημος ἂν περιεγένετο; πῶς δὲ καὶ ὁ οὕτω βλάσφημος, σημεῖα ἐποίει τοιαῦτα ἐν τῷ λαῷ; ἀλλὰ τοιοῦτον ἡ βασκανία, ἐκφρόνους τοὺς ἁλόντας ποιοῦσα, ὡς μηδὲ ἃ βλέπουσι συνορᾶν. Ἀκηκόαμεν αὐτοῦ φησι λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν καὶ τὸν Θεόν· καὶ πάλιν, οὗτος ὁ ἄνθρωπος οὐ παύεται ῥήματα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου καὶ τοῦ νόμου, καὶ μετὰ προσθήκης, ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Οὐκέτι [ὁ] Θεός. Ὁρᾷς πῶς ἐπὶ ἀνατροπῇ πολιτείας καὶ ἀσεβείας αὐτοῦ κατηγοροῦσιν; ὅτι δὲ οὐκ ἦν τοῦ τοιαῦτα λέγειν καὶ θρασύς, παντί που δῆλον, οὕτως ἥμερος καὶ ἀπὸ τοῦ προσώπου ἦν. Ἔνθα μὲν οὖν οὐκ ἐσυκοφάντουν, οὐδὲν τοιοῦτόν φησιν ἡ γραφή. Ἐπεὶ δὲ [τὸ πᾶν] ἐνταῦθα συκοφαντία ἐστίν, εἰκότως αὐτὴν διορθοῦται ὁ Θεὸς καὶ δι' αὐτῆς τῆς ὄψεως. Ἄρα οἱ ἀπόστολοι οὐκ ἐσυκοφαντοῦντο, ἀλλ' ἐκωλύοντο· οὗτος δὲ συκοφαντεῖται. Διὰ [τι] τοῦτο [καὶ] πρὸ πάντων ἡ ὄψις ἀπολογεῖται. [Τάχα] τοῦτο καὶ τὸν ἱερέα ἐντρέψειν. Εἰπὼν δὲ ὅτι ἐπηγγείλατο, δείκνυσι τὴν ἐπαγγελίαν πρὸ τοῦ τόπου γεγενημένην, πρὸ τῆς περιτομῆς, πρὸ θυσίας, πρὸ τοῦ ναοῦ, καὶ ὅτι κατὰ τὸ ἀκὸς οὗτοι οὐκ ἔλαβον οὐδὲ περιτομήν, οὐδὲ νόμον, ἀλλὰ τῆς ὑπακοῆς μόνης μισθὸς ἦν ἡ γῆ. Ἀλλ' οὐδὲ τῆς περιτομῆς δοθείσης, ἡ ἐπαγγελία πληροῦται. Καὶ ὅτι τύποι ἦσαν. Καὶ τὸ τὴν πατρίδα ἀφεῖναι τοῦ Θεοῦ καλοῦντος καὶ συγγένειαν· ἐκείνη γὰρ

A Imò jubens discere ex his quæ faciebat, quod ille quidem labores sustinuit: ipsi verò fructus metant, & quod omnes progenitores fuerint in variorum malorum tolerantia. *Et egressus ex terra Chaldæorum habitavit in Charram, & illinc postquam mortuus est pater suus fecit habitare illum in terra hac, in qua vos quidem nunc habitatis. Et non dedit illi hæreditatem in illa, neque vestigium pedis.* Vide quo modo illos à terra abducit. Non enim dixit, Dabit: sed, *non dedit*: ma-
B nifestans quod omnia ab illo & nihil ab ipsis. Venit enim relicta cognatione ac patria. Quare igitur non dedit? quia figura erat alterius terræ, & *promisit se eam daturum illi.* Vides quod non simpliciter iterum sermonem resumit. *Non dedit*, inquit, *illi, & promisit etiam semini illius post eum, quum non esset illi filius.* Iterum potentia Dei hinc ostenditur, & quod absque omni adminiculo omnia facere queat. Eum enim qui in Perside erat, ac tantum aberat, dixit se Palæsti-
C næ Dominum facturum. Sed iterum videamus quæ dicta: *Et intuentes in eum omnes*, inquit, *videbant faciem illius quasi faciem Angeli.* Unde in Stephano gratia illa florebat? nunquid à fide? manifestum quod supra testimonium accepit, quia *fide plenus erat.* Fieri autem potest, ut fidem quis habeat absque sanationum gratia. *Nam alii quidem data est gratia sanationum: alii vero sermo sapientiæ.* Hic autem mihi videtur insinuare illum fuisse facie amabilem, dicendo: *vide-* 1. Cor. 12, 9.
D *bant faciem illius quasi faciem Angeli*, quod & de Barnaba testificantur. Unde scimus simplices & innocentes in admiratione esse, maximè si tam gratioso vultu sint. *Tunc subornarunt viros dicentes: Audivimus illum dicentem verba blasphema.* De Apostolis quidem dicebant, quòd resurrectionem annunciarint, & quod multa turba affluat. Hic autem quod & sanabantur. O insipientiam! pro quibus oportebat gratias agere, pro his redarguebantur, & iis qui re i-
E psa prævalebant, prævalituros se verbis confidebant. Id quod & Christo faciebant, & semper ad sermones illos se convertebant. Erubescebant enim ita simpliciter illos rapere, nihil habentes, quod objicerent. Et vide quo modo neque illi testificantur, qui judicabant, reprehensi enim fuissent, sed simpliciter alios conducunt, ut ne videatur violentum opus. Id quod etiam Christo fecisse eos quis viderit. Vidisti prædicationis vim, & quo modo dum flagellaban-
A tur, & lapidabantur, prævalet, atque etiam dum ad tribunal ducuntur, & undique fugantur? Hinc & falsis testibus non solùm non prævalent, sed neque hi obsistere valebant, quamvis valde impudentes: sic illos violenter capit, idque cùm multa non persuasibilia & inconvenientia, sicut & contra Christum afferrent, nihil omittentes quod ad mortem illius faciebat, ut omnibus manifestum fieret non esse humanum bellum, sed Dei cum hominibus. Considera au-
B tem & quid dicant hi qui statuebant falsos testes, hi qui sanguinaria mente illum in concilium rapuerant. *Audivimus illum dicentem verba blasphema contra Mosem ac Deum.* O impudentes! opera facitis blasphema contra Deum, & non curatis, & Mosis curam vobis esse simulatis? Idcirco illis datus est Moses, quia ea quæ Dei non valde ipsis curæ erant, semper autem Mosi meminerunt: *Moses*, dicentes, *ille qui eduxit nos*, ambiguæ fidei populum irri-
C tantes. Jam quomodo homo blasphemus vinceret? quomodo autem & sic blasphemus signa faceret talia in populo? At tanta res est invidia, stultos efficiens captos, ut neque contueantur quæ vident. *Audivimus illum*, inquit, *loquentem verba blasphema contra Mosem ac Deum*: & iterum: *Hic homo non cessat loqui contra locum sanctum, & legem*, adjicientes: *Quæ tradidit nobis Moses.* Non jam dicit Deus. Vides quomodo illum ob aversam & turbatam
D rempublicam impietatis accusant? Quòd autem non potuerit ille talia loqui, nec fuerit tam audax, omnibus est manifestum, tam mitis erat, atque adeò in facie cernebatur. Igitur ubi quidem non calumniabantur, nihil tale inquit scriptura. Quoniam autem totum hoc loco calumnia est, meritò illam corrigit Deus, atque adeo ipso aspectu. Itaque Apostoli non patiebantur calumniam, sed prohibebantur: hic autem & calumniam fert, propter hoc
E & ante omnia facies ipsa defendit ac excusat. Fortassis hoc & pontificem terruerat. (Ut autem dixit, quod promiserat, ostendit promissionem ante locum factam, ante circumcisionem, ante sacrificium, ante templum, & quod hi ut par fuisset, non acceperant neque circumcisionem, neque legem, sed terra obedientiæ solius merces erat: sed neque circumcisione data promissio impletur. Et quod figura fuerit, etiam patriam relinquere

ac

ac cognationem, Deo jubente. Illa enim patria quoquò duxerit Deus. & hæreditatem hic non accepit. Et quod si quis diligenter inquirat, Persæ sunt Judæi. Et hic disce, quod absque signis obedire oportet Deo, licèt gravia quædam contingant. Quoniam & Patriarcha etiam relicto sepulchro paterno ac omnibus obtemperavit Deo. Si autem illius pater non fuit ei socius profectionis in Palæstinam, eo quòd infidelis erat, multò magis pueri non erunt socii ac participes, licèt magnam partem viæ eant, si patris virtutem non fuerint imitati. *Et promisit ut illam daret illi ac semini ejus*, inquit, *post illum*. Magna etiam hic Dei misericordia ostenditur, ac Abrahæ fides, quòd obedit quum non esset illi filius. Hoc ostendit obedientiam ac fidem. Quamvis ea quæ facta, diversum monstrabant; utputa, quod postquam venissent, non habuit vestigium pedis: id sanè fidei contrarium erat. Hæc considerantes etiam nos, quæ scilicet promiserit Deus, recipiamus etiam si adversa fuerint ea quæ fiunt, quamvis nobis non sunt adversa, sed valde congrua. Nam ibi quidem, si fuerint promissiones, & contraria fierent, revera sunt adversa: apud nos autem secus: nam hic quidem afflictionem dixit, illic verò refrigerium. Cur confundimus tempora, cur quæ sursum sunt, infrà facimus? Tribularis dic oro, quia in paupertate agis, & turbaris propterea? ne turberis, turbatione enim dignum foret, si illic tribulandus esses. Hæc enim tribulatio refrigerii causa est. *Infirmitas ista*, inquit, *non est ad mortem*. (Joh. 11.4.) Illa tribulatio pœna, hæc disciplina & correctio. Certamen est in præsenti tempore, unde & opus est pugillatione, bellum est ac prælium: nullus in prælio quærat delicias, nullus pro divitiis solicitus sit, pro uxore nullus curam gerat, sed unus unum solum videat, ut inimicos vincat. Hoc & nos faciamus, & si vicerimus & redierimus cum triumpho, omnia nobis dabit Deus. Hoc solum nobis curæ sit, quo modo vincamus diabolum, imò non nostri studii opus est, sed divinæ gratiæ totum est. Unum nobis curæ sit, quomodo conciliemus nobis illius gratiam, ut trahamus ad nos favorem illum. *Si Deus pro nobis, quis contra nos?* (Rom. 8.31.) inquit. Unum solum nobis curæ sit, quo modo hic nobis non efficiatur inimicus, ut non avertat nos. Non tribulari malum, sed peccare malum est: id fuerit grave, etiam in præsenti. Quo modo enim putas conscientias nostras morderi? An hoc non quovis tormento fuerit pejus? Vellem diligenter interrogare eos qui in malis vivunt, nunquamne, si in mentem veniant illis sua peccata, tremant, formident, doleant & beatos dicant jejunantes in montibus, & philosophiæ deditos: vis refrigerium invenire illic? fer hic tribulationem propter Christum. nihil huic refrigerio par. gaudebant Apostoli dum flagellarentur. Paulus hoc admonet, dicens: *Gaudete in Domino*: (Phil. 4.4.) & quomodo potest quis gaudere, ubi vincula, ubi tormenta, ubi tribunalia? maximè in hoc gauderi potest. Quo modo autem, disce. Qui nihil sibipsi conscius est, plurimum lætabitur. Ita ut quò majorem dixeris tribulationem, hoc majorem dicas voluptatem. Dic obsecro mihi, miles qui plurimis vulneribus impetitur, & resistit: nónne cum magna redit voluptate, vulnera ut testimonium libertatis habens, fulgoris & claritudinis? Et si posses erumpere in vocem illam quam Paulus protulit: *Stigmata Jesu porto*: (Gal. 6. 7.) poteris magnus fieri, & clarus, ac probatus. sed non est persequutio? Sta contra gloriam: & si dixerit quis contrarium aliquid, ne timeas dici malus propter Christum. Sta contra tyrannidem superbiæ, sta contra iræ pugnam, sta contra concupiscentiæ tormentum. Et hæc stigmata sunt ac tormenta. Quid majus illis tormentis? nunquid si anima dolet ac uritur? nam illic quidem licèt corpus dividitur, hic autem totum illius est. Circa illam dolor quando irascitur vel invidet, vel aliud quiddam facit, imò patitur: non enim est facere, sed pati, irasci, vel invidere. Unde & passiones animæ dicuntur, & vulnera, & cicatrices. Revera passio est, & passione difficilius. Cogitate, qui irascimini, quod patiendo hoc facitis. Itaque non patitur, qui non irascitur. Vides quod qui contumelia afficitur, non patitur: sed is qui contumelia afficit, id quod & jam dixi. Quod enim patitur, manifestum est ex eo, quod à passione sic vocetur. Passiones enim ab ira nascuntur, hebetatio visus, stupor, & innumera alia mala. Sed puerum contumelia affecit, inquit, sed ministrum: ne putes esse infirmitatem, quod non & ipse hoc possis facere: dic enim mihi: Bene factum ne est? non opinor quod dicas. Igitur ne feceris quod non bene factum.

πατρὶς, ἔνθα ἂν ἡγῆται Θεός· καὶ τὴν κληρονομίαν ἐνταῦθα μὴ λαβεῖν· καὶ ὅτι εἴ τις ἀκριβῶς ἐξετάζοι, Πέρσαι εἰσὶν οἱ Ἰουδαῖοι· καὶ ὅτι χωρὶς σημείων πείθεσθαι δεῖ τῷ Θεῷ λέγοντι, κἂν δεινά τινα συμβαίνῃ· ἐπεὶ καὶ ὁ πατριάρχης καὶ τὸν τάφον καταλιπὼν τὸν πατρῷον καὶ πάντα, ἐπείθετο τῷ Θεῷ. εἰ δὲ ὁ τούτου πατὴρ οὐκ ἐκοινώνησεν αὐτῷ τῆς ἐπὶ Παλαιστίνην ἀποδημίας τῷ ἄπιστος εἶναι· πολλῷ μᾶλλον τὰ παιδία οὐ κοινωνήσουσι, κἂν ἐπὶ πολὺ ἔλθωσι τῆς ὁδοῦ, τὴν τοῦ πατρὸς μὴ ζηλώσαντα ἀρετήν. καὶ ἐπηγγείλατο αὐτὴν δοῦναι αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ, φησὶ, μετ' αὐτόν. πολλὴ ἐνταῦθα καὶ τοῦ Θεοῦ ἡ φιλανθρωπία δείκνυται, καὶ τοῦ Ἀβραὰμ ἡ πίστις. τὸ γὰρ, οὐκ ὄντος αὐτῷ τέκνου πείθεσθαι, τοῦτο δείκνυσι [καὶ] τὴν ὑπακοὴν καὶ τὴν πίστιν· καί τοι γε τὰ γινόμενα τοὐναντίον ἐδείκνυον, μετὰ τὸ ἐλθεῖν οὐκ εἶχε βῆμα ποδός· ταῦτα οὐκ εἶχεν· ἅπερ ἐναντία ἦν τῇ πίστει. ταῦτα [οὖν] κατανοοῦντες καὶ ἡμεῖς, ἅπερ ἂν ἐπαγγέλληται ὁ Θεὸς, δεχώμεθα, κἂν [πως] ἐναντία ᾖ τὰ γινόμενα· καί τοι ἐφ' ἡμῶν οὐκ ἔστιν ἐναντία, ἀλλὰ καὶ σφόδρα ἀκόλουθα. ἔνθα μὲν γὰρ ἂν ὦσιν ὑποσχέσεις, ὅταν τὰ ἐναντία γίνηται, ἐναντία ἐστὶν ὄντως· ἐφ' ἡμῶν δὲ τοὐναντίον. ἐνταῦθα μὲν θλῖψιν εἶπεν· ἐκεῖ δὲ ἄνεσιν. τί συγχέομεν τοὺς καιρούς; τί τὰ ἄνω κάτω ποιοῦμεν; θλίβῃ, εἰπέ μοι, ὅτι ἐν πενίᾳ διάγεις καὶ θορυβῇ διὰ τοῦτο; μὴ θορυβοῦ. θορύβου γὰρ ἄξιον, εἰ ἐκεῖ μέλλοις θλίβεσθαι. αὕτη γὰρ ἡ θλῖψις, ἀνέσεως αἰτία. ἡ ἀσθένεια αὕτη, φησὶν, οὐκ ἔστι πρὸς θάνατον. ἐκείνη ἡ θλῖψις κόλασις· αὕτη παιδεία καὶ διόρθωσις. ἀγών ἐστιν ὁ παρὼν καιρός. οὐκοῦν τοῦ πυκτεύειν χρεία. πόλεμός ἐστι καὶ μάχη. οὐδεὶς ἐν πολέμῳ ζητεῖ ἄνεσιν· οὐδεὶς ἐν πολέμῳ ζητεῖ τρυφήν· οὐδεὶς ὑπὲρ χρημάτων μεριμνᾷ· ὑπὲρ γυναικὸς οὐδεὶς φροντίζει· ἀλλ' εἰς ἓν ὁρᾷ μόνον, ὅπως περιγένοιτο τῶν ἐχθρῶν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν· καὶ ἂν περιγενώμεθα καὶ ἐπανέλθωμεν μετὰ τροπαίων, πάντα ἡμῖν ὁ Θεὸς δώσει. τοῦτο μόνον ἡμῖν σπουδαζέσθω, πῶς περιγενώμεθα τοῦ διαβόλου· μᾶλλον δὲ οὐ τῆς ἡμετέρας τὸ πρᾶγμα σπουδῆς, ἀλλὰ τῆς τοῦ Θεοῦ χάριτός ἐστι τὸ πᾶν. ἓν ἡμῖν σπουδαζέσθω, ὅπως ἐπισπασώμεθα αὐτοῦ τὴν χάριν· ὅπως ἑλκύσωμεν πρὸς ἑαυτοὺς τὴν ῥοπὴν ἐκείνην. εἰ ὁ Θεὸς ὑπὲρ ἡμῶν, τίς καθ' ἡμῶν, φησίν; ἓν μόνον σπουδάζωμεν, ὅπως οὗτος ἡμῖν μὴ ἐχθρὸς γένηται, ὅπως ἡμᾶς μὴ ἀποστραφῇ. οὐ τὸ θλίβεσθαι κακὸν, ἀλλὰ τὸ ἁμαρτάνειν κακόν. ἡ χαλεπὴ θλῖψις τοῦτό ἐστι, κἂν ἐν τρυφῇ διάγωμεν. οὐ λέγω ἐν τῷ μέλλοντι, ἀλλὰ καὶ ἐν τῷ παρόντι. πῶς γὰρ οἴει τὸ συνειδὸς ἡμῶν δάκνεσθαι; ποίας βασάνου οὐκ εἶναι χεῖρον; ἐβουλόμην μετὰ ἀκριβείας ἐρωτῆσαι τοὺς ἐν τοῖς κακοῖς ζῶντας, εἰ μηδέποτε εἰς ἔννοιαν ἔρχονται τῶν οἰκείων ἁμαρτημάτων· εἰ μὴ τρέμουσιν. εἰ μὴ δεδοίκασιν· εἰ μὴ ὀδυνῶνται· εἰ μὴ μακαρίζουσι τοὺς ἐν νηστείᾳ, τοὺς ἐν ὄρεσι, τοὺς ἐν φιλοσοφίᾳ ζῶντας. βούλει ἄνεσιν εὑρεῖν ἐκεῖ; θλίβηθι ἐνταῦθα διὰ τὸν Χριστὸν, οὐδὲν ταύτης τῆς ἀνέσεως ἴσον. ἔχαιρον οἱ ἀπόστολοι μαστιζόμενοι. Παῦλος τοῦτο παραινεῖ λέγων· χαίρετε ἐν Κυρίῳ. καὶ πῶς ἔνι χαίρειν φησὶν ἔνθα δεσμά· ἔνθα βάσανοι· ἔνθα δικαστήρια; μάλιστα ἐνταῦθα χαίρειν ἔνι. πῶς δὲ ἔνι χαίρειν ἔνθα ταῦτα, [μάνθανε.] ὁ μηδὲν ἑαυτῷ συνειδὼς, μέγα πως ἡσθήσεται. ὥστε ὅσῳ ἂν εἴπῃς τὴν θλῖψιν, τοσούτῳ λέγεις τὴν ἡδονήν. εἰπὲ γάρ μοι, ὁ μυρία τραύματα λαβὼν στρατιώτης καὶ ἱστάμενος, ἆρ' οὐχὶ μετὰ πολλῆς ἐπανήξει τῆς ἡδονῆς, παῤῥησίας ὑπόθεσιν ἔχων τὰ τραύματα; λαμπρευθήσεταί τε καὶ εὐδοκιμήσειας; καὶ σὺ ἂν δυνηθῇς ῥῆξαι τὴν φωνὴν ἐκείνην, ἣν Παῦλος, ὅτι τὰ στίγματα τοῦ Ἰησοῦ βαστάζω, δυνήσῃ μέγας γενέσθαι καὶ λαμπρὸς καὶ εὐδόκιμος. ἀλλ' οὐκ ἔστι διωγμός; στῆθι πρὸς δόξαν. κἂν εἴπῃ τις ἐναντίον τι, μὴ φοβηθῇς ἀκοῦσαι κακῶς διὰ Χριστόν. στῆθι πρὸς τύφου τυραννίδα· στῆθι πρὸς θυμοῦ μάχην· στῆθι πρὸς ἐπιθυμίας βάσανον. καὶ ταῦτα στίγματά ἐστι· καὶ αὗται βάσανοι. τί τὸ πλέον ἐκείνων τῶν βασάνων; [ἆρ'] οὐχ ὅτι ἡ ψυχὴ ἀλγεῖ καὶ καίεται; ἐκεῖ μὲν γὰρ κἂν καὶ τὸ σῶμα μερίζεται· ἐνταῦθα δὲ, τὸ πᾶν αὐτῆς ἐστι. περὶ αὐτῆς ἡ ὀδύνη ὅταν ὀργίζηται, ὅταν βασκαίνῃ, ὅταν τι τοιοῦτον ποιῇ, μᾶλλον δὲ ὅταν πάσχῃ. οὐ γὰρ ποιεῖν τοῦτό ἐστιν, ἀλλὰ πάσχειν· τὸ ὀργίζεσθαι· τὸ φθόνον ἔχειν. διὰ τοῦτο καὶ πάθη καλεῖται ψυχῆς, καὶ τραύματα, καὶ ὠτειλαί. οὕτως γὰρ πάθος ἐστι, καὶ πάθους χαλεπώτερον. ἐννοήσατε οἱ ὀργιζόμενοι, ὅτι πάθει ταῦτα ποιεῖτε. οὐκοῦν ὁ μὴ ὀργιζόμενος οὐ πάσχει. ὁρᾷς ὅτι ὁ ὑβριζόμενος οὐ πάσχει, ἀλλ' ὁ ὑβρίζων, ὅπερ ἔφην [καὶ] ἤδη; ὅτι γὰρ πάσχει, δῆλον μὲν καὶ ἀπὸ τοῦ πάθος καλεῖσθαι τὸ τοιοῦτον· δῆλον δὲ καὶ ἐκ τοῦ σώματος. ταῦτα γὰρ ἀπὸ ὀργῆς τίκτεται τὰ πάθη, ἀμβλυωπία, παραπληξία, καὶ μυρία ἕτερα. ἀλλὰ τὸν παῖδα ὕβρισε, φησίν· ἀλλὰ τὸν οἰκέτην. μὴ νομίσῃς εἶναι ἀσθένειαν τὸ μὴ καὶ αὐτὸς τοῦτο ποιῆσαι. εἰπὲ γάρ μοι· καλῶς γέγονεν; οὐκ οἶμαι εἰπεῖν. οὐκοῦν μὴ ποιήσῃς τὸ μὴ καλῶς γινόμενον.

εἶδα

οἶδα εἶναι ἐν τοῖς τοιούτοις αἱ ὀργαὶ τίκτονται. τί οὖν, ἂν καταφρονῇ, φησίν· ἂν πάλιν εἴπῃ, ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον. πρᾳότητι ὀργὴ λύεται. προσελθὼν ἐγκάλεσον. ὑπὲρ μὲν γὰρ τῶν εἰς ἡμᾶς οὐδὲ τοῦτο ποιεῖν χρή. ὑπὲρ δὲ τῶν ἄλλων, καὶ ἀνάγκη τοῦτο δὴ ποιεῖν. μὴ ἰδίαν ὕβριν νομίσῃς τὸ τὸν παῖδα ὑβρισθῆναι· κἂν ἀλγῇς ὑπὲρ ἐκείνου, μὴ ὡς αὐτὸς ὑβρισθείς. οὐ γὰρ ἐπειδὴ ὁ παῖς κακῶς ἔπαθεν, ὑβρίσθης σύ· ἀλλ' ὁ ποιήσας κακῶς. σβέσον τὴν μάχαιραν τὴν ὀξεῖαν· ἐν τῇ θήκῃ κείσθω. ἂν ἔχωμεν αὐτὴν γυμνήν, πολλάκις καὶ οὐκ ὄντος καιροῦ χρησόμεθα ἑλκόμενοι ὑπ' αὐτῆς. ἂν δὲ ᾖ κεκρυμμένη, κἂν χρεία γένηται, σβεσθήσεται ἡ ὀργή. ὑπὲρ αὐτοῦ οὐ βούλεται ἡμᾶς ὀργίζεσθαι ὁ Χριστός. ἄκουσον γὰρ τί φησι πρὸς τὸν Πέτρον· „Ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὴν θήκην· καὶ σὺ ὑπὲρ παιδὸς ὀργίζῃ; δίδαξον καὶ τὸν παῖδα φιλοσοφεῖν· εἰπὲ αὐτῷ τὰ τοῦ δεσπότου παθήματα· μίμησαί μου τὸν διδάσκαλον. ὅτε ἔμελλον καὶ αὐτοὶ ἀτιμάζεσθαι, οὐκ εἶπεν, ἐγὼ ἐκδικήσω· ἀλλὰ τί; Ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· οὐκοῦν φέρετε γενναίως. οὐ γὰρ ἐμοῦ βελτίους ὑμεῖς. ταῦτα καὶ σὺ πρὸς τὸν υἱὸν καὶ τὸν παῖδα εἰπέ· οὐκ εἶ τοῦ δεσπότου σου βελτίων. ἀλλὰ χήρας εἶναι δοκεῖ τὰ ῥήματα τῆς φιλοσοφίας. οἴμοι ὅτι λόγῳ παραστῆσαι οὐκ ἔνι, ὡς ὑπὸ τῆς πείρας αὐτῆς διδαχθῆναι ἔδει. καὶ ἵνα μάθῃς, ἐν μέσῳ δύο ἑστὼς διαμαχομένων, γενοῦ τῆς μερίδος τῶν ἀδικουμένων, καὶ μὴ τῶν ἀδικούντων, ἂν μὴ παρὰ σαυτῷ τὰ νικητήρια ἴδῃς· ἂν μὴ λαμπροὺς λάβῃς στεφάνους. ὅρα πῶς ὑβρίζεται ὁ Θεός, καὶ πῶς ἀποκρίνεται „πρᾴως, καὶ ἡμέρως. Ποῦ ἐστί φησιν, Ἄβελ ὁ ἀδελφός σου; καὶ τί ἐκεῖ„νος; Μὴ φύλαξ ἐγώ εἰμι τοῦ ἀδελφοῦ μου; τί αὐθαδέστερον τούτου, κἂν παρά γε υἱοῦ ἤκουσεν ἄν τις; εἰ γὰρ παρὰ ἀδελφοῦ, οὐχ ὕβριν ἂν ἡγήσατο τὸ πρᾶγμα; ἀλλ' ὁ Θεὸς πάλιν ἡμέρως ἀποκρίνεται· Φω„νὴ αἵματος τοῦ ἀδελφοῦ σου, φησί, βοᾷ πρός με. ἀλλ' ὁ Θεὸς ἀνώτερός ἐστιν ὀργῆς φησιν. ἀλλὰ διὰ τοῦτο κατῆλθεν ὁ τοῦ Θεοῦ υἱός, ἵνα σε Θεὸν ποιήσῃ κατὰ δύναμιν τὴν ἀνθρωπίνην. ἀλλ' οὐ δύναμαι φησίν, ἄνθρωπος ὤν. οὐκοῦν φέρε ἀνθρώπους σοι παραγάγωμεν· καὶ μή με νομίσῃς Παῦλον ἐρεῖν μηδὲ Πέτρον· ἀλλά τινας τῶν ἐλαττόνων καὶ σφόδρα κατωτέρω. τὸ παιδάριον Ἠλεί, τὴν Ἄνναν ὕβρισε, λέγον· Περίελε τὸν οἶνόν σου. τί τούτου ὑβριστικώτερον; τί οὖν ἐκείνη; Γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι. οὐδὲν ὄντως θλίψεως ἴσον. φιλοσοφίας μήτηρ ἐστίν. ἡ αὐτὴ δὲ αὕτη, καὶ τὴν ἀντίζηλον αὐτῆς ἔχουσα, οὐχ ὕβρισεν αὐτήν· ἀλλὰ τί; πρὸς τὸν Θεὸν καταφεύγει, καὶ εὐχομένη οὐδὲ μέμνηται αὐτῆς· οὐδὲ λέγει, ἐπειδὴ ὀνειδίζει με ὁ δεῖνα, ἐπάμυνόν μοι. οὕτω φιλόσοφος ἦν ἡ γυνή. αἰσχυνθῶμεν οἱ ἄνδρες, καί τοι ἴστε ὅτι ζήλου ἴσον οὐδέν. ὁ τελώνης ὑβρισθεὶς παρὰ τοῦ Φαρισαίου, οὐκ ἀνθύβρισε, καίτοιγε εἰ ἐβούλετο ἠδύνατο· ἀλλὰ φιλοσόφως ἤνεγκε λέγων, Ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ. ὁ Μεμφιβάαλ ὑπὸ τοῦ δούλου κατηγορηθείς, καὶ συκοφαντηθείς, οὐδὲν οὔτε εἶπεν, οὔτε ἔπραξεν εἰς αὐτόν τι πονηρόν· οὐδὲ ἐπὶ τοῦ βασιλέως αὐτοῦ. βούλει καὶ πόρνης ἀκοῦσαι φιλοσοφίαν; ἄκουσον τοῦ Χριστοῦ λέγοντος, ἡνίκα ταῖς θριξὶν „αὐτῆς τοὺς πόδας ἀπέμασσε· Τελῶναι καὶ πόρναι προάγουσιν ὑ„μᾶς εἰς τὴν βασιλείαν. εἶδες αὐτὴν ἑστῶσαν, καὶ δακρύουσαν, καὶ τὰ οἰκεῖα ἁμαρτήματα ἀπολουμένην; ὅρα πῶς καὶ πρὸς „τὸν Φαρισαῖον οὐκ ὠργίσθη ὀνειδιζομένη. Εἰ ᾔδει γάρ, φησιν, „ὅτι ἁμαρτωλός ἐστιν αὕτη ἡ γυνή, οὐκ ἂν εἴασεν αὐτήν. καὶ οὐκ εἶπε, πρὸς αὐτόν· τί γάρ, εἰπέ μοι; σὺ καθαρὸς ἀπὸ ἁμαρτημάτων εἶ; ἀλλὰ πλέον ἔπασχε· πλέον ὠδύρετο [καὶ] θερμότερα τὰ δάκρυα ἠφίει. εἰ δὲ γυναῖκες, καὶ τελῶναι, καὶ πόρναι φιλοσοφοῦσι, καὶ ταῦτα πρὸ τῆς χάριτος, τίνος ἐσόμεθα ἡμεῖς ἄξιοι συγγνώμης, μετὰ τὴν τοσαύτην χάριν θηρίων μᾶλλον ἐκπολεμούμενοι, δάκνοντες καὶ λακτίζοντες; οὐδὲν αἴσχιον θυμοῦ· οὐδὲν ἀτιμότερον· οὐδὲν δεινότερον· οὐδὲν ἀηδέστερον· οὐδὲν βλαβερώτερον. ταῦτα λέγω, οὐχ ἵνα πρὸς ἄνδρας ὦμεν ἥμεροι μόνον, ἀλλὰ κἂν γυνὴ λάλος ᾖ, ἵνα φέρῃς. ἔστω σοι παλαίστρα, καὶ γυμνάσιον ἡ γυνή. πῶς γὰρ οὐκ ἄτοπον, γυμνάσια μὲν ἀναδέχεσθαι οὐδὲν κέρδος ἔχοντα, ἔνθα θλίβομεν σῶμα· γυμνάσια δὲ μὴ ποιεῖν οἴκαδε, καὶ πρὸ τῶν ἀγώνων στέφανον ἡμῖν παρέχοντα; ὑβρίζει ἡ γυνή; μὴ γένῃ σὺ γυνή. γυναικῶδες γὰρ τὸ ὑβρίζειν. νόσος ἐστὶ ψυχῆς. ἐλάττωμά ἐστι. μὴ νομίσῃς ἀνάξιόν σου εἶναι ὅτ' ἂν ἡ γυνὴ ὑβρίσῃ. ἀνάξιον, ὅτ' ἂν σὺ μὲν ὑβρίζῃς, ἐκείνη δὲ φιλοσοφῇ· τότε ἀσχημονεῖς· τότε ὑβρίσθης. ἂν δὲ ὑβρισθεὶς ἐνέγκῃς, τῆς ἰσχύος τῆς σῆς πολλὴ ἡ ἐπίδειξις. οὐ τὰς γυναῖκας ἐνάγων εἰς ὕβρεις ταῦτα λέγω· μὴ γένοιτο· ἀλλ' εἴ που καὶ συμβαίνῃ κατὰ σατανικὴν πείρασιν, ἵνα φέρητε· ἀνδρῶν ἐστι τὸ φέρειν τῶν ἰσχυρῶν τοὺς ἀσθενεῖς. κἂν οἰκέτης ἀντείπῃ, φιλοσόφησον σύ. μὴ τί ἐκεῖνος ἄξιός ἐστιν ἀκοῦσαι εἴπῃς ἢ πράξῃς· ἀλλὰ τί δεῖ σε καὶ ποιῆσαι, καὶ εἰπεῖν·

A Scio quot in talibus iræ nascuntur. Quid igitur, inquit, si contemnat, si iterum dicat? argue, increpa, obsecra, mansuetudine ira solvitur, ut accesseris, accusa: nam in his quidem quæ erga nos, neque hoc faciendum, sed pro aliis & necessitate. Ne propriam contumeliam putes, quòd filius contumelia afficiatur: & si doleas pro illo, ne tanquam ipse contumelia affectus. Non enim quoniam puer malè habet, tu contumelia affectus es, sed is qui malefecit. Restingue B iram, acutus gladius in vagina condatur. Si habuerimus illum nudum, sæpe etiam ubi non est opus, illo utemur, ab ipso tracti. Si autem fuerit occultatus, etiam si opus fuerit, extinguetur ira. Pro illis non vult nos irasci Christus: audi enim quid dicat ad Petrum: *Converte gladium tuum in vaginam*, & tu pro puero irasceris? Doce etiam puerum philosophiam, dic illi passiones Domini: imitare meum magistrum. Quando ignominia aspergendi erant, non dixit, ulC ciscar: sed quid? *Si me persequuti sunt, & vos persequentur.* Igitur ferte fortiter, non enim estis meliores me: & tu ad puerum & servum dic: Non es Domino tuo melior. Sed viduæ verba philosophica ista videntur. Heu mihi, quod sermone non licet hoc persequi, ut rem ipsam experiamini: & ut discas: In medio duorum simul certantium stans, sis à parte eorum qui injuriam patiuntur, & non injuria afficiunt, si non apud teipsum triumphos videas, si non claras accipias D coronas. Vide quomodo contumelia afficitur Deus, & quam mansuetè respondet: *Ubi est*, inquit, *Abel frater tuus?* Et quid ille? *Num custos ego sum fratris mei?* Quid hoc pertinacius, licèt hoc à filio audisset quis? nam si à fratre, nónne quis dixerit esse ignominiam? At Deus iterum mansuetè respondet: *Vox sanguis fratris tui*, inquit, *clamat ad me.* At Deus, inquit aliquis, iræ non est obnoxius. Sed propter hoc descendit filius Dei, ut te Deum faciat, juxta humanas E vires. Sed non possum, inquit, quum homo sim. Itaque homines tibi adducamus: Et ne putes me tibi dicere Petrum ac Paulum, sed quosdam illis multò inferiores: puer Heli, Annam contumelia affecerat, dicens: *Digere vinum tuum.* Quid hoc contumeliosius? Quid igitur illa? *Mulier in amaro die ego sum.* Nihil revera afflictioni par, Philosophiæ mater est. Ista etiam æmulam habens, non affecit illam contumelia. Sed quid? ad Deum confugit, & orans illius nec meA minit, neque dicit, quoniam opprobriis affecit me quidam, ultor meus esto: adeò Philosophiæ assueta erat. Confundamur viri, quamvis scitis quod zelo nihil par sit. Telones contumelia affectus à Pharisæo, non retulit contumelias, quamvis potuisset, si quidem voluisset. Sed animo philosophico tulit, dicens: *Propitius esto mihi peccatori.* Memphibaal à servo accusatus, & calumniam passus, neque dixit, neque fecit illi aliquid mali, neque de rege ipso. Vis & scorti auB dire philosophiam? audi Christum dicentem, quando capillis pedes illius tersit: *Telonæ & meretrices præcedunt vos in regno.* Vidisti illam stantem ac lachrymantem, & sua crimina abluentem. Vide quo modo & contra Pharisæum non irata fuit, quum confunderetur. *Si sciret*, inquit, *quòd peccatrix est mulier ista, non permisisset illam.* Et non dixit ad illum: Cur nam, dic? Tu ne à peccatis mundus es? Sed C magis patiebatur, magis plorabat, plus calidarum lachrymarum emittebat. Si autem mulieres & telonæ, ac meretrices philosophabantur, idque faciebant ante gratiam: qua erimus nos venia digni post tantam gratiam, magis quam ipsæmet belluæ debellantes, mordentes, recalcitrantes: nihil fœdius furore, nihil vilius, nihil gravius, nihil insanius, nihil nocentius. Hæc dico non solùm ut cum viris simus mansueti, sed etiam si mulier loquax sit, ut feras. Sit tibi palæstra ac gymnasium mulier. Quomodo enim non absurdum, gymD nasia ferre nihil lucri afferentia, ubi affligimus corpus: gymnasia autem non facere domi, quæ nobis coronas etiam ante agones suppeditant? Contumelia afficit mulier: ne fias tu mulier. Muliebre enim est contumelia afficere: Infirmitas est animæ, delictum est, ne putes indignum te esse, quando mulier contumelia te afficit: indignum quidem, quando tu contumelia afficis, illa verò philosophatur: tunc turpiter te geris, tunc contumelia afficis. Si E autem contumelia affectus feras, erit roboris tui magnum indicium. Non hæc loquor ut mulieres inducam ad contumelias, absit: sed quando Satana impugnante contingat, ut feratis. Fortium virorum est ferre infirmos, licèt minister contradicat, philosophare tu: non quod meretur audire dicas vel facias, sed quod oportet te etiam facere ac dicere.

Matth. 26, 52.
Joh. 15, 20.
Gen. 4, 9.
1. Reg. 1, 14.
Luc. 18, 10.
2. Reg. 16, 2.
Matth. 21, 31.
Luc. 7, 39.

K Nun-

Nunquam puellam contumelia afficiens, verbum turpe efferas: nunquam ministrum, scelestum dicas. Ille non contumelia affectus est, sed tu. In seipso eum qui irascitur, non est possibile manere purum, quemadmodum neque pelagus quod fluctibus movetur, vel fontem, luto in illo alicubi illapso: sic omnia permiscentur, sic omnia sursum ac deorsum moventur. Licèt percusseris, licèt disruperis vestem, tu majus damnum sustinueris. Nam illi quidem circa corpus & circa vestes plaga, tibi circa animam: illam dissecuisti, illam vulnerasti: aurigam equis subjecisti, supinum trahi fecisti. Et idem fit, sicut si auriga alteri succenseat, patiatur trahi, quamvis verberes, quamvis moneas, & quicquid facias absque ira & furore: Si enim verberans medicus est peccantis, quomodo poterit curare alium, seipsum prius affligens? Si quis, dic oro medicus iverit ut curet alium, prius manum suam sauciarit, prius oculos excæcarit, numquid illum curabit? Minimè: Sic & tu, licèt verberes, licèt admoneas. Munda videant oculi tui, ne turbes mentem, alioqui quomodo medicina erit? Non est possibile in eadem tranquillitate esse, qui non irascitur, & qui irascitur. Cur igitur doctore à se deturbato, ita loqueris humi jacenti? Non vides judices, qui judicaturi consident in sede ac habitu decente? Ita & tu fac: orna animam vestitu judiciario. Illa est mansuetudo, & tunc in sede judex sedeto. Sed non terrebitur, inquit? imò terrebitur: tunc si justa dicas, furori imputabit minister: si autem cum mansuetudine, seipsum condemnabit: proficientem autem te suscipiet Deus, ut sic possis æterna bona assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac sancto Spiritui sit gloria, in secula seculorum, Amen.

A μηδέποτε κόρην ὑβρίζων, αἰσχρὸν ῥῆμα ἐκβάλῃς· μηδέποτε οἰκέτην μιαρὸν εἴπῃς. ἐκεῖνος οὐχ ὑβρίσθη, ἀλλὰ σύ. οὐκ ἔστιν ἐν ἑαυτῷ εἶναι τὸν ὀργιζόμενον, ὥσπερ οὐδὲ πέλαγος κυμαινόμενον· ἢ πηγὴν μένειν καθαρὰν, βορβόρου ποθὲν ἐμπεσόντος αὐτῇ. οὕτω πάντα ἀναμίξ· μᾶλλον δὲ οὕτω πάντα ἄνω καὶ κάτω γίνεται. κἂν τυπτήσῃς, κἂν διαρρήξῃς τὸν χιτωνίσκον, σὺ μείζονα τὴν βλάβην ὑπέμεινας. ἐκείνῳ μὲν γὰρ περὶ τὸ σῶμα, καὶ περὶ B τὴν ἐσθῆτα ἡ πληγή· σοὶ δὲ περὶ τὴν ψυχήν. ἐκείνην διέτεμες· ἐκείνην ἔτρωσας· τὸν ἡνίοχον ἔβαλες ἀπὸ τῶν ἵππων κάτω· ὕπτιον συρῆναι παρεσκεύασας. καὶ ταυτὸν γίνεται, οἷον ἐὰν ἡνίοχος ἑτέρῳ ὀργιζόμενος ἕλοιτ' ἂν συρῆναι. κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, κἂν ὁτιοῦν ποιῇς, ὀργῆς χωρὶς, καὶ θυμοῦ. εἰ γὰρ ὁ ἐπιπλήττων ἰατρός ἐστι τοῦ ἁμαρτάνοντος, πῶς ἂν δυνήσεται θεραπεῦσαι ἕτερον, ἑαυτὸν πρότερον κακώσας, ἑαυτὸν μὴ θεραπεύων; εἴ τις, εἰπέ μοι, C ἰατρὸς πορεύοιτο ἕτερον θεραπεύειν, πρότερον τὴν χεῖρα τραυματίσας τὴν ἑαυτοῦ, πρότερον τοὺς ὀφθαλμοὺς πηρώσας, οὕτω ποιεῖται ἐκείνου τὴν ἰατρείαν; οὐχί, φησιν. οὕτω καὶ σύ· κἂν ἐπιπλήττῃς, κἂν νουθετῇς, καθαροὶ βλεπέτωσάν σου οἱ ὀφθαλμοί. μὴ θολώσῃς τὸν νοῦν, ἐπεὶ πῶς ἡ θεραπεία γένηται; οὐκ ἔστιν ἐν τῇ αὐτῇ γαλήνῃ εἶναι, ἀόργητον ὄντα καὶ ὀργιζόμενον. τί τὸν διδάσκαλον ἀπὸ τοῦ θρόνου καταστρέψας, οὕτω διαλέγῃ τῷ χαμαὶ D κειμένῳ; οὐχ ὁρᾷς τοὺς δικάζοντας, οἳ ὅταν μέλλωσι κρίνειν, καθέζονται ἐπὶ τοῦ θρόνου, καὶ ἐν σχήματι τῷ πρέποντι; οὕτω καὶ σὺ ποίησον, κόσμησον τὴν ψυχὴν ἐσθῆτι δικαστικῇ. αὕτη δέ ἐστιν ἡ ἐπιείκεια· καὶ τότε ἐπὶ τοῦ θρόνου δικαστὴς κάθισον. ἀλλ' οὐ φοβηθήσεται, φησί. μᾶλλον φοβηθήσεται. τότε κἂν δίκαια λέγῃς, τῷ θυμῷ λογιεῖται ὁ οἰκέτης, ἂν δὲ μετ' ἐπιεικείας, ἑαυτοῦ καταγνώσεται· τὸ δὲ προηγούμενον, ἀποδέξεταί σε ὁ Θεὸς, καὶ οὕτω δυνήσῃ E τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι [καὶ οἰκτιρμοῖς] καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

HOMILIA XVI.

Loquutus autem est sic Deus: Quod erit semen illius peregrinum in terra aliena, & in servitutem redigent illud, & affligent quadringentis annis: & gentem cui servient, ego judicabo, dixit Deus: & post hoc egredientur, & servient mihi in loco isto.

Vide ante quot annos promissio & promissionis modus, & nusquam sacrificium, nusquam circumcisio. Hic ostendit Deum permisisse illos graviter affligi, & non reliquisse afflictos impunitos. *Gentem autem cui servient, judicabo ego, dixit Deus.* Vides? qui promisit, qui dedit terram, prius mala permittit: sic & nunc, licèt regnum promiserit, tentationibus exerceri sinit. Si hic post quadringentos annos libertas, quid mirum si idem in regno fiat? Nihilominus quod Deus promiserat præstitit, nec potuit sermonem illius ut falsum redarguere tempus, tametsi non vulgarem tulissent servitutem. Cæterum non est contentus punire illos, sed & bona his promittit. Mihi autem videtur, quod velit illis etiam beneficia quæ acceperant in memoriam reducere. *Et dedit illi testamentum circumcisionis, & sic genuit Isaac.* Hic posteà contexit: *& circumcidit quidem illum die octavo. Et Isaac Jacob, & Jacob duodecim patriarchas, & patriarchæ qui æmulabantur, Joseph vendiderunt in Ægyptum.* Hoc & in Christo factum est. Etenim illius figura erat Joseph. Ideò insinuans historiam per totum enarrat: quum enim nihil haberent quod illi objicerent, sed venientem ut cibum illis afferret, malè tractarunt: & vide etiam hoc loco iterum promissionem magnam, attamen completur. *Et erat Deus cum illo*, hoc & pro illis: *Et eripuit illum ex omnibus tribulationibus suis.* Hoc loco ostendit quòd nescienter cooperati sunt, ut impleatur prophetia: & quòd ipsi authores fuerunt, & mala in ipsos reciderunt. *Et dedit illi gratiam ac sapientiam coram Pharaone rege Ægypti.* Gratiam dedit, idque apud barbarum virum, servo captivo, fratres quidem vendiderant, ille autem emerat. *Facta est autem fames in omni terra Ægypti, & Chanaan, & tribulatio magna, nec inveniebant cibos patres nostri. Cum audisset autem Jacob frumenta esse in Ægypto,*

ΟΜΙΛΙΑ ιϛ'.

A Ἐλάλησε δὲ οὕτως ὁ Θεὸς [λέγων·] ὅτι ἔσται τὸ σπέρμα αὐτοῦ πάροικον ἐν γῇ ἀλλοτρίᾳ, καὶ δουλώσουσιν αὐτὸ καὶ κακώσουσιν ἔτη τετρακόσια, καὶ τὸ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ, εἶπεν ὁ Θεός. καὶ μετὰ ταῦτα ἐξελεύσονται, καὶ λατρεύσουσί μοι ἐν τῷ τόπῳ τούτῳ.

B ΟΡΑ πρὸ πόσων ἐτῶν ἡ ἐπαγγελία καὶ ὁ τῆς ἐπαγγελίας τρόπος, καὶ οὐδαμοῦ θυσία, οὐδαμοῦ περιτομή. ἐνταῦθα δείκνυσιν ὅτι αὐτοὺς ἀφῆκε κακῶς πάσχειν, καὶ οὐκ ἀτιμωρητὶ ταῦτα ἔσται. τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγὼ εἶπεν ὁ Θεός. ὁρᾷς; ὁ ἐπαγγειλάμενος, ὁ δοὺς τὴν γῆν, πρότερον τὰ κακὰ συγχωρεῖ· οὕτω καὶ νῦν, οἷς καὶ βασιλείαν ἐπηγγείλατο, ἀλλ' ἀφίησιν ἐγγυμνάζεσθαι τοῖς πειρασμοῖς. εἰ ἐνταῦθα μετὰ τετρακόσια ἔτη ἡ ἐλευθερία, τί θαυμαστὸν ἐπὶ τῆς βασιλείας εἰ τὸ αὐτὸ γίνεται; ὅμως γοῦν C ἐποίησε, καὶ οὐκ ἴσχυσεν ὁ χρόνος ὡς ψευδῆ ἐλέγξαι τὸν λόγον· καίτοι οὐ τὴν τυχοῦσαν δουλείαν ὑπέμειναν. οὐ μέχρι δὲ μέχρι τῆς τιμωρίας τῶν ἐκείνων ἔστη, ἀλλὰ καὶ αὐτοῖς χρηστὰ ἐπαγγέλλεται. ἐμοὶ δὲ δοκεῖ διὰ τούτων αὐτοὺς καὶ ἀναμιμνήσκειν τῆς εὐεργεσίας ἧς ἔτυχον. καὶ ἔδωκεν αὐτῷ διαθήκην περιτομῆς, καὶ οὕτως ἐγέννησε τὸν Ἰσαάκ. ἐνταῦθα [λοιπὸν] καθυφαίνει· καὶ περιέτεμεν αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ· καὶ ὁ Ἰσαὰκ τὸν Ἰακὼβ, καὶ ὁ Ἰακὼβ τοὺς δώδεκα πατριάρχας. καὶ οἱ πατριάρχαι D ζηλώσαντες τὸν Ἰωσὴφ, ἀπέδοντο εἰς Αἴγυπτον. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονε. καὶ γὰρ αὐτοῦ τύπος Ἰωσήφ. διὸ καὶ αἰνιττόμενος, τὴν ἱστορίαν δι' ὅλου ἐπέξεισιν. οὐδὲν γὰρ ἔχοντες ἐγκαλεῖν, ἀλλ' ἐλθόντα ἐπὶ τροφὴν τὴν αὐτῶν, κακῶς διέθηκαν. καὶ ὅρα ὅτι καὶ ἐνταῦθα πάλιν ἐπαγγελία μακρὰ, καὶ ὅμως τέλος λαμβάνει. καὶ ἦν ὁ Θεὸς μετ' αὐτοῦ. τοῦτο καὶ ὑπὲρ αὐτῶν· καὶ ἐξείλατο αὐτὸν ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. ἐνταῦθα δείκνυσιν ὅτι οὐκ εἰδότες συνήργησαν τῇ προφη- E τείᾳ, καὶ ὅτι αὐτοὶ αἴτιοι ἐγένοντο, καὶ τὰ κακὰ εἰς αὐτοὺς περιέτρεψεν. καὶ ἔδωκεν αὐτῷ χάριν, καὶ σοφίαν ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου. χάριν ἔδωκε καὶ ταῦτα ἐπὶ βαρβάρου ἀνδρὸς, τῷ δούλῳ, καὶ αἰχμαλώτῳ· [ὃν οἱ μὲν] ἀδελφοὶ ἀπέδοντο, ἐκεῖνος δὲ ἐτίμησεν. ἐγένετο δὲ λιμὸς ἐφ' ὅλην τὴν γῆν Αἰγύπτου, καὶ Χαναὰν, καὶ θλῖψις μεγάλη, καὶ οὐχ εὕρισκον χορτάσματα οἱ πατέρες ἡμῶν. ἀκούσας δὲ Ἰακὼβ ὄντα σῖτα ἐν Αἰγύπτῳ, ἐξαπέ-

ἐξαπέστειλε τοὺς πατέρας ἡμῶν πρῶτον, καὶ ἐν τῷ δευτέρῳ ἀνεγνωρίσθη Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ. κατῆλθον ὠνησόμενοι, καὶ ἐκείνου ἐν χρείᾳ κατέστησαν. τί οὖν αὐτός; οὐ μέχρι τούτου τὴν φιλανθρωπίαν ἐπεδείξατο, ἀλλὰ τῷ Φαραὼ ἐγνώρισε, καὶ αὐτοὺς κατήγαγε. καὶ φανερὸν ἐγένετο τῷ Φαραὼ τὸ γένος τοῦ Ἰωσήφ. ἀποστείλας δὲ Ἰωσὴφ, μετεκαλέσατο τὸν πατέρα αὐτοῦ Ἰακὼβ, καὶ πᾶσαν τὴν συγγένειαν ἐν ἑβδομήκοντα, καὶ πέντε ψυχαῖς. κατέβη δὲ Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς, καὶ οἱ πατέρες ἡμῶν, καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ ὠνήσατο Ἀβραὰμ τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὸρ τοῦ Συχέμ. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. πάλιν ἄλλη ἀνελπιστία· πρώτη μὲν ὁ λιμός· δευτέρα, τὸ ἐμπεσεῖν εἰς χεῖρας τοῦ ἀδελφοῦ· καὶ τρίτη, τὸ ἀναιρεῖσθαι ψῆφον κελευσθῆναι ὑπὸ τοῦ βασιλέως. καὶ ὅμως διεσώθησαν ἀπὸ τούτων ἁπάντων. εἶτα τὸ εὐμήχανον δεικνὺς τοῦ Θεοῦ, φησίν· ἐν ᾧ καιρῷ ἐγεννήθη Μωυσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ· καὶ ἐκεῖνο θαυμαστὸν, ὅτι ὑπὸ ἀδελφῶν ἐπράθη· ἀλλὰ τοῦτο θαυμαστότερον, ὅτι βασιλεὺς ἔτρεφεν αὐτὸν τὸν μέλλοντα καθαιρεῖν αὐτοῦ τὴν ἀρχὴν, αὐτὸς ὁ μέλλων ἀπόλλυσθαι. ὁρᾷς πανταχοῦ τῶν νεκρῶν σχεδὸν διατυπουμένην τὴν ἀνάστασιν; καί τοι οὐκ ἔστιν ἴσον αὐτόν τι τὸν Θεὸν ποιεῖν, καὶ ἀπὸ προαιρέσεως ἀνθρωπίνης [τι] γίνεσθαι. ταῦτα γοῦν οὐκ ἀπὸ προαιρέσεως ἀνθρωπίνης ἦν. καὶ ἦν δυνατὸς ἐν λόγῳ, καὶ ἔργῳ. τοῦτο εἶπεν, κἀκεῖνον σωτῆρα, καὶ τούτους περὶ τὸν εὐεργέτην ἀγνώμονας δεικνύς. καθάπερ οὖν τότε ὑπὸ τοῦ κακῶς παθόντος τοῦ Ἰωσὴφ ἐσώθησαν· οὕτω καὶ νῦν ὑπὸ τοῦ κακῶς παθόντος ἐσώθησαν, τοῦ Μωυσέως, λέγω. τί γὰρ εἰ μὴ ἀνεῖλον αὐτὸν τῷ πράγματι; τῷ λόγῳ ἀνεῖλον ὥσπερ κἀκεῖνοι; καὶ ἐκεῖνοι μὲν ἐκ τῆς αὐτῶν εἰς ἀλλοδαπὴν, καὶ ξένην ἀπέδοντο· οὗτοι δὲ ἐκ τῆς ἀλλοτρίας εἰς ἀλλοτρίαν φυγαδεύουσι· καὶ ἐκεῖ μὲν τροφὴν ἀποφέροντα, ἐνταῦθα δὲ συμβουλεύοντα δι' ὧν ἔσονται μετὰ Θεοῦ. οὕτως ἀληθὲς, καὶ ἐκ τῶν νῦν οἰκονομουμένων ἐκεῖνο τὸ ὑπὸ τοῦ Γαμαλιὴλ εἰρημένον, ὅτι ἐὰν ᾖ ἐκ τοῦ Θεοῦ, οὐ δύνασθε καταλῦσαι αὐτό. σὺ δὲ τοὺς ἐπιβουλευομένους τῆς τῶν ἐπιβουλευόντων αἰτίους σωτηρίας γινομένους μανθάνων, ἐκπλάγηθι τοῦ Θεοῦ τὸ εὐμήχανον καὶ τὴν σύνεσιν. εἰ μὴ γὰρ ἐκεῖνοι ἐπεβουλεύθησαν, οὐκ ἂν οὗτοι ἐσώζοντο. λιμὸς ἦν· καὶ οὐκ ἀνάλωσεν αὐτούς. καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ δι' ἐκείνου ἐσώθησαν. τοῦ προσδοκηθέντος ἀπολωλέναι. πρόσταγμα βασιλικὸν, καὶ οὐκ ἠφάνισεν αὐτούς· ἀλλὰ τότε μᾶλλον ηὔξησε τὸ πλῆθος, ὅτε ἐκεῖνος ἀπέθανεν ὁ εἰδὼς αὐτούς. τὸν σωτῆρα αὐτῶν ἠβουλήθησαν ἀνελεῖν, καὶ οὐδὲ οὕτως ἴσχυσαν. ὁρᾷς ὅτι δι' ὧν ὁ διάβολος ἐπιχειρεῖ καταλύσειν τὴν ἐπαγγελίαν τοῦ Θεοῦ, διὰ τούτων ηὔξησε; τοῦτο καὶ αὐτοὺς ἥρμοττε τότε εἰπεῖν, ὅτι εὐμήχανός ἐστιν ὁ Θεὸς καὶ ἀναγαγεῖν ἡμᾶς δυνατὸς ἐντεῦθεν. τὸ γὰρ εὐμήχανον τοῦ Θεοῦ μάλιστα τοῦτο [ἦν,] ὅτι καὶ ἐν τῇ ἀποστροφῇ ηὔξησε τὸ ἔθνος, δουλευόμενον, καὶ κακούμενον, καὶ ἀναιρούμενον. τὸ μέγα τῆς ἐπαγγελίας τοῦτο ἐστιν. εἰ γὰρ ἐπὶ τῆς αὐτῶν ηὔξησεν, οὐχ οὕτω θαυμαστὸν ἦν. καὶ οὐδὲ μικρὸν χρόνον ἐπὶ τῆς ἀλλοτρίας ἦσαν, ἀλλὰ τετρακόσια ἔτη. ἐντεῦθεν μανθάνομεν ὅτι φιλοσοφίαν ἐπεδείξαντο μεγάλην. καὶ γὰρ οὐχ ὡς δεσπόται δούλοις αὐτοῖς ἐχρῶντο, ἀλλ' ὡς ἐχθροὶ, καὶ τύραννοι, διὸ καὶ προεῖπεν, ὅτι ἐν ἐλευθερίᾳ ἔσονται μεγάλῃ· τοῦτο γάρ ἐστι τὸ, λατρεύσουσί μοι· καὶ ὅτι ἐνταῦθα ἐπανελεύσονται· καὶ [οὐκ] ἀτιμωρητί. καὶ ὅρα πῶς δοκεῖ μέν τι χαρίζεσθαι τῇ περιτομῇ, οὐδὲν δὲ δίδωσιν· ἔγε ἡ μὲν ἐπαγγελία πρὸ ταύτης, αὕτη δὲ μετὰ ταῦτα. καὶ οἱ πατριάρχαι, φησὶ, ζηλώσαντες. ἔνθα οὐ βλάπτει, χαρίζεται αὐτοῖς. πατριάρχας δέ φησι τοὺς προγόνους· ἐπειδὴ καὶ ἐν τούτοις μέγα ἐφρόνουν. ἄλλως δὲ καὶ δείκνυσιν ὅτι οἱ ἅγιοι οὐχὶ ἐκτὸς ἦσαν θλίψεως· ἀλλὰ καὶ ἐν αὐταῖς ὄντες μέσαις ταῖς θλίψεσι, βοηθείας ἐτύγχανον. αἱ δὲ οὐ μόνον οὐκ ἔλυον, ἀλλὰ καὶ συνέπραττον τοῖς θλίβουσιν, ὀφείλοντες μᾶλλον αὐτὰς διακόπτειν. ὥσπερ οὖν οὗτοι τὸν Ἰωσὴφ ἐνδοξότερον ἐποίησαν ἀποδόμενοι· οὕτως ὁ βασιλεὺς τὸν Μωυσῆν, κελεύσας ἀναιρεῖσθαι τὰ παιδία. εἰ μὴ γὰρ ἐκέλευσεν, οὐκ ἂν τοῦτο ἐγένετο. καὶ σκόπει Θεοῦ κηδεμονίαν. ἐκεῖνος φυγαδεύει τὸν Μωυσῆν· ὁ δὲ οὐ κωλύει, τὸ μέλλον οἰκονομῶν, ἵνα [ἐκεῖ] τῆς ὄψεως τύχῃ ἀξιούμενος. οὕτω καὶ τὸν δοῦλον τὸν πραθέντα ἐκεῖ ποιεῖ βασιλέα, ἔνθα ἐνόμιζεν δοῦλος εἶναι. ὥσπερ δὲ οὗτος ἐκεῖ βασιλεύει, ἔνθα αὐτὸν ἐπώλησαν· οὕτω καὶ ὁ Χριστὸς ἐν τῷ θανάτῳ τὴν δύναμιν ἐπιδείκνυται. τοῦτο οὐχὶ τιμῆς μόνον ἦν, ἀλλὰ καὶ τοῦ θαρρεῖν τῇ οἰκείᾳ δυνάμει. [ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα.] καὶ κατέστησεν αὐτὸν ἡγούμενον ἐπ' Αἴγυπτον, καὶ ὅλον τὸν οἶκον αὐτοῦ. ὅρα διὰ λιμὸν οἷα κατασκευάζει. ἐν ἑβδομήκοντα, καὶ πέντε ψυχαῖς κατέβη, φησὶ, Ἰακὼβ εἰς Αἴγυπτον, καὶ ἐτελεύτησεν αὐτὸς καὶ οἱ πατέρες ἡμῶν, καὶ μετετέθησαν εἰς Συχὲμ, καὶ ἐτέθησαν ἐν τῷ μνήματι ὃ ὠνήσατο Ἀβραάμ,

A *misit patres nostros primùm: & cùm iterum misisset eos, agnitus est Joseph à fratribus suis.* Descenderunt empturi, & illius opera uti coacti sunt. Quid igitur ille? non solùm misericordiam declaravit, sed etiam Pharaoni notos fecit, & illos deduxit: *Et innotuit Pharaoni genus Joseph. Misso autem nuncio Joseph, accersivit patrem suum Jacob, & omnem cognationem suam in animabus septuagintaquinque. Et descendit Jacob in Ægyptum, defunctusq; est ipse & patres nostri, & translati sunt* B *in Sichem, & positi sunt in monumento quod emerat Abraham à filiis Hemor filii Sichem. Cùm autem appropinquaret tempus promissionis, de qua juraverat Deus Abrahæ, crevit populus, & multiplicatus est in Ægypto, donec surgeret rex alius qui nesciebat Joseph.* Iterum alia desperatio, prima quidem fames: secunda autem incidisse in manus fratris: tertia, pronunciari sententiam à rege ut interficiantur: attamen in his omnibus servati sunt. Deinde omnipotentiam Deus ostendens, inquit: C *In quo tempore natus est Moses, & erat gratus Deo:* Et illud miraculum quòd à fratribus venundatus: sed hoc magis mirum, quòd rex educavit illum, is qui periturus erat, illum qui regno dejecturus erat. Vide ubique mortuorum resurrectionem quodam modo præfigurari, quamvis non sit idem Deum facere aliquid, & humano arbitrio quid fieri. Hæc sanè non humana dispositione fiebant. Hoc dixit, & illum servatorem, & hos erga benefactorem ingratos ostendens. Igi- D tur quemadmodum tunc à Joseph qui mala passus est servati sunt: ita & nunc ab eo qui malè tractatus erat, Moseh dico, servati fuerunt. Quid enim quòd non occiderunt re ipsa? Sermone certè occiderunt sicut illi. Et illi quidem, suam alienam & ignotam terram vendiderunt: hi verò ex aliena in alienam fugarunt. Et illi quidem afferentem cibum: hi autem consulentem ea per quæ Deo placentia facerent. Ita verum etiam ex his quæ nunc dispensantur, illud quod à Gamaliele E dictum: *Quod si fuerit ex Deo, non potestis illud dissipare:* Tu autem dicens eos qui insidiantur, authores salutis fieri insidiantibus, obstupesce Dei omnipotentiam ac sapientiam: nam si illi non fuissent insidiati, hi non fuissent servati. Fames erat, & non consumpsit illos. Et non solùm non perdidit, sed & per illam servati fuerunt ab eo quòd expectabant, perituros se. Præceptum regium non perdidit illos, sed magis auxit multitudinem, quando ille mortuus est qui cognoscebat eos. A Servatorem suum volebant occidere, & neque sic potuerunt. Vides quòd per quæ diabolus attentet impedire promissionem Dei, per ea creverit? Hoc & illos tunc decebat dicere, quod omnia Deo facilia sunt, & nos poterit hinc reducere. Hoc enim divinæ potentiæ erat, in tanta regis indignatione gentem crescere, quæ serviebat, affligebatur, trucidabatur: hæc magnitudo promissionis erat. Si enim in terra sua crevissent, non tam mirabile fuisset. Et non parvo tempore in aliena ter- B ra fuerunt, sed *quadringentis annis.* Hinc discimus, quòd magnam Philosophiam præ se tulerint. Etenim non sicut servis Domini illis utebantur, sed ut hostes ac tyranni. Ideo & prædixit, quod in libertate magna futuri sint. Hoc enim est: *Servient mihi*, & quòd inde regrediuntur, & non sine ultione. Et vide, quomodo videtur quidem aliquid circumcisioni concedere: nihil autem tribuit, quandoquidem promissio illam quidem præcessit, ipsa autem sequuta est. Et *Patriarchæ*, in- C quit, *qui æmulabantur.* Hic non incommodat illos, sed gratificatur: Patriarchas autem vocat progenitores, quoniam & de illis gloriabantur. Et aliter: Ostendit quòd sancti non fuerint tribulationum expertes, & quum essent in mediis illis tribulationibus, auxilium consecuti sunt, & illæ non solùm non perdebant, sed etiam cooperabantur, quum deberent magis impedire. Itaque quemadmodum Joseph clariorem reddiderunt vendentes, ita rex Mosem, quum jussisset occidi filios: D Nam si non jussisset, non fuisset hoc factum. Et vide providentiam Dei. Ille fugat Mosem, Deus autem non prohibet, quod futurum erat dispensans, ut illic Dei aspectus dignus fieret: sic & servum venditum illic facit regem, ubi putabatur servus esse. Quemadmodum autem hic illic regnat, ubi eum emerant, ita & Christus in morte virtutem declaravit. Hoc non solùm honoris erat, sed ut etiam sua virtute fidat. Sed videamus iterum quæ dicta: *Et constituit eum præfectum super Ægyptum,* Gen. 41. E *& totam domum suam.* Vide per famem qualia efficit, in *septua-* 40. *ginta & quinque animabus* descendit, inquit, Jacob in Ægyptum: *Defunctúsque est ille & patres nostri, & translati sunt in Sichem. & posuerunt in monumento quod emerat Abraham,*

pretio pecuniæ à filiis Hemor filii Sichem. Ostendit quod neque sepulturæ Domini fuerint. *Ut autem appropiavit tempus promissionis, quam juravit Deus Abrahæ, crevit populus, & multiplicatus est in Ægypto, donec surrexit rex alius, qui nesciebat Joseph.* Vide quòd neque in tot annis eos auxit, sed quando appropiaturus erat finis, quamvis jam quadringenti anni præteriti erant ac plures in Ægypto. Itaque mirabile hoc est. *Hic circumveniens genus nostrum, afflixit patres nostros ut exponerent infantes suos, ne essent fœtus eorum vitales.* Circumveniens, inquit, insinuando clandestinam cædem: ideo & subdidit hoc, dicens. *Ut exponerent infantes*
Exod. 1, 22. Ib. 2, 1, 2.
suos. *Quo tempore natus est Moses, & ἀστεῖος, id est, gratus erat Deo.* Hoc mirabile, quod futurus præfectus, neque post hæc neque ante hoc, sed in ipso medio furore nascitur, *& educatur mensibus tribus in domo patris:* quando igitur humana spem omnem negant, etiam *abjecerunt illum*, tunc divina dispensatio clarè fulsit. *Expositum autem illum sustulit filia Pharaonis, & eum nutrivit sibi pro filio.* Nusquam templum, nusquam sacrificium, quum tantæ dispensationes factæ sunt. Et enutritus est in domo barbarica: *& institutus est Moses in omni sapientia Ægyptiorum: erat autem potens in verbis ac operibus.* Mihi videtur cum incipiebat esse admirabilis. Quomodo quadraginta annis fuit illic, & non deprehensus est ex circumcisione, imò quomodo securè agentes sua despiciunt & hic, & Joseph, ut & alios servent? *Ut autem*
Exod. 2, 11.
impletum est illi quadraginta annorum tempus ascendit in cor ejus, ut inviseret fratres suos, filios Israel: & quum vidisset quendam injustè affligi, ultus est, & fecit vindictam pro eo qui affligebatur, percusso Ægyptio: putabat autem intelligere fratres suos, quod Deus per manum suam det illis salutem: illi autem non intellexerunt. Vide quomodo adhuc non videtur esse molestus, sed tanta concionatur, & adhuc audire illum patiuntur: ita illos gratia vultus trahebat. *Putabat*, inquit, *intelligere fratres suos*, & quum re ipsa declararet se esse præfectum illum, attamen neque sic intellexerunt. Vides quomodo cum mansuetudine loquitur, & quomodo demonstrata in illum ira, ostendit in hoc mansuetudinem. *Et sequente die visus est illis litigantibus, & redegit eos in concordiam, dicens: Viri, fratres estis, cur vos invicem læditis? Cæterum is qui injuriam faciebat proximo, repulit eum, dicens: Quis te constituit principem ac judicem super nos? Nunquid interficere me vis, sicut interfecisti heri Ægyptium?* Eadem mente & con-
Joh. 19, 15.
tra Christum videntur dicere: *Non habemus Regem, nisi Cæsarem.* Sic mos semper fuit Judæis, quum beneficia acciperent. Vidisti insipientiam, salvaturum se accusant, dum di-
Exod. 2, 15.
cunt: quomodo occidisti heri Ægyptium? *Et fugit Moses ad dictum hoc, & factus est advena in terra Madian, ubi generavit duos filios.* Fugit, & neque fuga dispensationem sistit, quemadmodum neque mors. *Et expletis annis quadraginta, apparuit illi in deserto montis Sina Angelus Domini in flammeo incendio rubi.* Vides quomodo neque tempore sistitur dispensatio? quum exul esset ac peregrinus, multúmque temporis in terra aliena fecisset, ita ut etiam duos filios generasset, quum non expectaret ultra reditum, tunc Angelus ipsi apparet. Filium Dei *Angelum* vocat, sicut & hominem. Et ubi apparet? in deserto, non in templo. Vides quanta fiunt miracula, & nusquam templum, nusquam sacrificium. Et neque hoc loco in deserto simpliciter, sed in rubo. *Moses autem ut conspexit, admiratus est visum. Porrò quum accederet ut attenderet, facta est ad eum vox Domini: Ego sum Deus patrum tuorum, Deus Abraham, Deus Isaac, & Deus Jacob:* Non solùm hic ostendit, quòd apparens illi Angelus, fuerit magni consilii Angelus, sed ostendit etiam quantam misericordiam Deus per apparitionem fecerit. *Tremefactus autem Moses non audebat attendere: dixit autem illi Dominus: Solve calceamentum pedum tuorum, locus enim in quo stas, terra sancta est.* Nusquam templum, & locus sanctus est apparitione & efficacia Christi, multò admirabilius hoc, quàm locus in sanctis sanctorum. Illic enim nunquam apparuit sic Deus, nunquam tremefactus est sic Moses. Vidisti misericordiam? vide tandem solicitudinem. *Videns vidi afflictionem populi mei*, inquit, *in Ægypto, & gemitum illorum audivi, & descendi ut eripiam eos. Et nunc veni, & mittam te in Ægyptum.* Vide quomodo ostendit, quòd per beneficia, & per pœnas, & per miracula adduxit illos. Illi autem semper iidem manserunt. Sic hinc discimus, quod ubiq; præsens est Deus. Hæc audientes & nos, in afflictionibus ad illum confugiamus. Nam & *gemitum illorum*, inquit, *audivi.* Nō simpliciter dixit, audivi, sed propter calamitates.

A τιμῆς ἀργυρίου παρὰ τῶν υἱῶν Ἐμμὼρ τοῦ Συχέμ. δείκνυσιν ὅτι οὐδὲ μέχρι ταφῆς κύριοι ἦσαν. καθὼς δὲ ἤγγιζεν ὁ χρόνος τῆς ἐπαγγελίας ἧς ὤμοσεν ὁ Θεὸς τῷ Ἀβραὰμ, ηὔξησεν ὁ λαὸς, καὶ ἐπληθύνθη ἐν Αἰγύπτῳ, ἄχρις οὗ ἀνέστη βασιλεὺς ἕτερος ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. ὅρα οὐδὲ ἐν τοῖς τοσούτοις ἔτεσιν αὐτοὺς αὔξει, ἀλλ' ὅτε ἔμελλεν ἐγγίζειν τὸ τέλος· καίτοι ἤδη τετρακόσια ἔτη ἦν παρελθόντα, καὶ πλείονα ἐν Αἰγύπτῳ. τὸ γοῦν θαυμαστὸν τοῦτό ἐστιν. οὗτος φησι, κατασοφισά-"
B μενος τὸ γένος ἡμῶν, ἐκάκωσε τοὺς πατέρας ἡμῶν τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη αὐτῶν εἰς τὸ μὴ ζωογονεῖσθαι. κατασοφισάμενος" εἶπεν, αἰνιττόμενος τὸν λάθρα ἀναιρεῖν. οὐ γὰρ ἐβούλετο φανερῶς αὐτοὺς ἀναιρεῖν. διὸ καὶ ἐπήγαγε τοῦτο δηλῶν, τοῦ ποιεῖν ἔκθετα τὰ βρέφη. ἐν ᾧ καιρῷ ἐγεννήθη Μωϋσῆς, καὶ ἦν ἀστεῖος τῷ Θεῷ. τοῦτο" θαυμαστὸν ὅτι ὁ προστάτης μέλλων ἔσεσθαι, οὐδὲ μετὰ ταῦτα οὐδὲ πρὸ τούτου, ἀλλ' ἐν αὐτῷ μέσῳ τῷ θυμῷ τίκτεται, καὶ ἀνατρέφεται μῆνας"
C τρεῖς ἐν τῷ οἴκῳ τοῦ πατρός. ὅτε τοίνυν τὰ ἀνθρώπινα ἀπηλπίσθη" καὶ ἔρριψαν αὐτὸν, τότε τοῦ Θεοῦ ἡ οἰκονομία ἐδείχθη διαλάμπουσα. ἐκτεθέντα δὲ αὐτὸν, ἀνείλετο ἡ θυγάτηρ Φαραὼ, καὶ ἀνεθρέψατο" αὐτὸν ἑαυτῇ εἰς υἱόν. οὐδαμοῦ ναὸς· οὐδαμοῦ θυσία τοσούτων οἰκονο-" μιῶν γινομένων. καὶ ἀνετράφη ἐν οἴκῳ βαρβαρικῷ, καὶ ἐπαιδεύθη" Μωϋσῆς πάσῃ σοφίᾳ Αἰγυπτίων. ἦν δὲ δυνατὸς ἐν λόγοις, καὶ" ἔργοις. ἐμοὶ θαυμάζεσθαι ἄρχεσθαι, πῶς τεσσαράκοντα ἔτη ἦν ἐκεῖ,
D καὶ οὐχ ἑάλω ἐκ τῆς περιτομῆς· μᾶλλον δὲ πῶς ἐν ἀσφαλείᾳ ὄντες τὰ αὐτῶν παρορῶσι καὶ οὗτος, καὶ ὁ Ἰωσὴφ, ἵνα καὶ ἑτέρους σώσωσιν. ὡς δὲ ἐπληροῦτο αὐτῷ τεσσαρακονταετὴς χρόνος, ἀνέβη ἐπὶ τὴν καρδίαν" αὐτοῦ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἰδών τι-" να ἀδικούμενον ἠμύνατο, καὶ ἐποίησεν ἐκδίκησιν τῷ καταπονου-" μένῳ πατάξας τὸν Αἰγύπτιον. ἐνόμιζε δὲ συνιέναι τοὺς ἀδελφοὺς αὐ-" τοῦ ὅτι ὁ Θεὸς διὰ χειρὸς αὐτοῦ δίδωσιν αὐτοῖς σωτηρίαν· οἱ δὲ οὐ"
E συνῆκαν. ὅρα πῶς τέως οὐ δοκεῖ φορτικός· ἀλλὰ τοσαῦτα δημηγορεῖ, καὶ ἀκούειν ἀνέχονται· οὕτως αὐτοὺς τῇ τοῦ προσώπου χάριτι εἷλκεν. ἐνόμιζε, φησὶ, συνιέναι τοὺς ἀδελφούς. καίτοι διὰ τῶν ἔργων ἡ προστασία ἐγένετο, καὶ οὐκ ἦν συνιέναι ἐνταῦθα χρεία· ἀλλ' ὅμως οὐδὲ οὕτως συνῆκαν. ὁρᾷς πῶς μετ' ἐπιεικείας διαλέγεται, καὶ πῶς δείξας τὸν θυμὸν εἰς ἐκεῖνον, δείκνυσι τὸ ἥμερον ἐπὶ τούτου; τῇ τε ἐπιού-" σῃ ἡμέρᾳ, ὤφθη αὐτοῖς μαχομένοις, καὶ συνήλασεν αὐτοὺς εἰς εἰ-"
A ρήνην εἰπών· ἄνδρες, ἀδελφοί ἐστε, ἵνα τί ἀδικεῖτε ἀλλήλους;" ὁ δὲ ἀδικῶν τὸν πλησίον, ἀπώσατο αὐτὸν εἰπών· τίς σε κατέστησεν" ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς; μὴ ἀνελεῖν με σὺ θέλεις ὃν τρόπον" ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ἀπὸ τῆς αὐτῆς γνώμης ταῦτα καὶ πρὸς" τὸν Χριστὸν φαίνονται, λέγοντες· οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. οὕτως ἔθος ἀεὶ τοῖς Ἰουδαίοις καὶ εὐεργετουμένοις. εἶδες ἄνοιαν; τὸν μέλλοντα σώζειν αὐτοὺς διαβάλλουσι, διὸ ὧν φασιν, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον. καὶ ἔφυγε Μωϋσῆς ἐν τῷ λόγῳ τούτῳ, καὶ"
B ἐγένετο πάροικος ἐν γῇ Μαδιὰμ, οὗ ἐγέννησεν υἱοὺς δύο. φεύγει, καὶ" οὐδὲ ἡ φυγὴ ἵστησι τὴν οἰκονομίαν, ὥσπερ οὐδὲ ὁ θάνατος. καὶ" πληρωθέντων ἐτῶν τεσσαράκοντα, ὤφθη αὐτῷ ἐν τῇ ἐρήμῳ τοῦ ὄρους" Σινᾶ, ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς βάτου. ὁρᾷς πῶς οὐδὲ χρόνῳ διακόπτεται ἡ οἰκονομία; ὅτε γὰρ φυγὰς ἦν, ὅτε ξένος, ὅτε πολὺν χρόνον ἐπὶ τῆς ἀλλοτρίας πεποίηκεν, ὡς καὶ παῖδας ποιῆσαι δύο, ὅτε οὐκέτι προσεδόκησεν ἀναστρέφειν, τότε ἄγγελος αὐτῷ ἐπι-
C φαίνεται. τὸν υἱὸν τοῦ Θεοῦ ἄγγελον καλεῖ, καθάπερ καὶ ἄνθρωπον. καὶ ποῦ φαίνεται; ἐν τῇ ἐρήμῳ, οὐκ ἐν ναῷ· ὁρᾷς πόσα γίνεται θαύματα, καὶ οὐδαμοῦ ναὸς· οὐδαμοῦ θυσία; καὶ οὐδὲ ἐνταῦθα ἐν τῇ ἐρήμῳ ἁπλῶς, ἀλλ' ἐν τῇ βάτῳ. ὁ δὲ Μωϋσῆς ἰδὼν, ἐθαύμασε τὸ ὅραμα." προσερχομένου δὲ αὐτοῦ κατανοῆσαι, ἐγένετο φωνὴ Κυρίου. οὐ καὶ φωνῆς ἠξιώθη. ἐγὼ ὁ Θεὸς τῶν πατέρων σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς" Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ· οὐ μόνον ἐνταῦθα δείκνυσιν, ὅτι ὁ ὀφθεὶς
D αὐτῷ ἄγγελος ἦν ὁ μεγάλης βουλῆς ἄγγελος· ἀλλὰ δείκνυσι, καὶ τὴν φιλανθρωπίαν ὅσην ἐποιεῖτο ὁ Θεὸς διὰ τῆς ἐπιφανείας. ἔντρομος" δὲ γενόμενος Μωϋσῆς, οὐκ ἐτόλμα κατανοῆσαι. εἶπε δὲ αὐτῷ ὁ Κύ-" ριος· λῦσον τὸ ὑπόδημα τῶν ποδῶν σου. ὁ γὰρ τόπος ἐν ᾧ ἕστηκας," γῆ ἁγία ἐστίν. οὐδαμοῦ ναὸς, καὶ ὁ τόπος ἅγιος τῇ ἐπιφανείᾳ, καὶ ἐνεργείᾳ τοῦ Χριστοῦ, πολλῷ θαυμασιώτερον οὗτος τοῦ τόπου ἐν τοῖς ἁγίοις τῶν ἁγίων. ἐκεῖ γὰρ οὐδαμοῦ ἐφάνη οὕτως ὁ Θεός· οὐδαμοῦ οὕτως ἔντρο-
E μος γέγονε Μωϋσῆς. εἶδες τὴν φιλανθρωπίαν; ὅρα λοιπὸν καὶ τὴν κηδεμονίαν. ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου, φησὶ, τοῦ ἐν Αἰ-" γύπτῳ. καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ κατέβην ἐξελέσθαι αὐ-" τούς. καὶ νῦν δεῦρο ἀποστελῶ σε εἰς Αἴγυπτον. ὅρα πῶς δείκνυ-" σιν, ὅτι καὶ δι' εὐεργεσιῶν, καὶ διὰ κολάσεων, καὶ διὰ θαυμάτων ἐπήγετ' αὐτούς· οἱ δὲ οἱ αὐτοὶ ἦσαν. οὕτως ἐντεῦθεν μανθάνομεν, ὅτι πανταχοῦ πάρεστιν ὁ Θεός. ταῦτα ἀκούοντες καὶ ἡμεῖς, ἐν ταῖς θλίψεσι πρὸς αὐτὸν καταφεύγωμεν. καὶ τοῦ στεναγμοῦ γὰρ αὐτῶν, φησὶν, ἤκουσα. οὐχ ἁπλῶς εἶπεν, ἤκουσα, ἀλλὰ διὰ τὰς συμφοράς.

εἰ δὲ

εἰ δέ τις λέγοι, καὶ τίνος ἕνεκεν αὐτοὺς εἴασε κακωθῆναι οὕτως; ἀκουέτω, ὅτι μάλιστα μὲν ἐν παντὶ δικαίῳ αἱ κακώσεις αἴτιαι μισθῶν γίνονται· ἢ καὶ διὰ τοῦτο αὐτοὺς ἀφῆκε κακωθῆναι, ἵνα τὴν αὐτοῦ δύναμιν καὶ ἐντεῦθεν δείξῃ διαλάμπουσαν, κἀκείνους δὲ ἀφ' ὧν ἐκακοῦντο εἰς πάντα παιδεύσῃ φιλοσοφεῖν. ὅρα γοῦν, ὅτε ἦσαν ἐν τῇ ἐρήμῳ, οὐ μόνον ἐλιπάνθησαν, ἐπαχύνθησαν, ἐπλατύνθησαν· ἀλλὰ καὶ ἐγκατέλιπον τὸν Θεόν. πανταχοῦ γὰρ ἡ ἄνεσις, „ἀγαπητὲ, κακόν. διὰ τοῦτο καὶ ἐξ ἀρχῆς τῷ Ἀδὰμ ἔλεγεν· ἐν „ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου. ἵνα τοίνυν ἐκ τῆς πολλῆς κακώσεως εἰς ἄνεσιν ἐλθόντες μὴ ὑβρίσωσι, θλίβεσθαι αὐτοὺς συγχωρεῖ. μέγα γὰρ ἡ θλίψις ἀγαθόν. καὶ ὅτι ἀγαθὸν, ἄκουε τοῦ Δαβὶδ λέγοντος· ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με. εἰ δὲ τοῖς μεγάλοις καὶ θαυμαστοῖς ἀνδράσι μεγάλη ἡ θλίψις, πολλῷ μᾶλλον ἡμῖν. εἰ βούλεσθε δὲ καὶ αὐτὴν ἐφ' ἑαυτῆς τὴν θλίψιν ἐξετάσωμεν. ἔστω τις χαίρων σφόδρα καὶ γεγηθὼς, καὶ διαχεόμενος· τί ἀσχημονέστερον; τί ἀνοητότερον τούτου; ἔστω τις ἀλγῶν καὶ ἀθυμῶν· τί τούτου φιλοσοφώτερον; διὰ τοῦτο „καὶ ὁ σοφὸς παραινεῖ, λέγων· κρεῖττον εἰς οἰκίαν πένθους εἰσ„ελθεῖν, ἢ εἰς οἰκίαν γέλωτος. τάχα καὶ διαμωκᾶσθε τὰ λεγόμενα; πλὴν ἴδωμεν οἷος ἦν ὁ Ἀδὰμ ἐν παραδείσῳ; καὶ οἷος μετὰ ταῦτα ἦν· οἷος ἦν ὁ Κάϊν πρὸ τούτου, καὶ οἷος ἦν μετὰ ταῦτα. οὐχ ἕστηκεν ἐπὶ τῆς οἰκείας ἕδρας ἡ ψυχή· ἀλλ' ὥσπερ ὑπό τινος πνεύματος αἴρεται τῆς ἡδονῆς καὶ κουφίζεται, οὐδὲν ἔχουσα βέβαιον. καὶ γὰρ καὶ πρὸς ἐπαγγελίας ἐστὶν εὔκολος, καὶ πρὸς ὑποσχέσεις πρόχειρος, καὶ πολὺς ὁ σάλος τῶν λογισμῶν. ἐντεῦθεν ἄκαιρος γέλως· φαιδρότης οὐκ ἔχουσα λόγον· ῥημάτων ὕθλος πολὺς καὶ περιττός. καὶ τί λέγω τοὺς ἄλλους; τῶν ἁγίων ἕνα προχειρισώμεθα, καὶ ἴδωμεν τίς μὲν ἦν ἐν ἡδονῇ ζῶν, τίς δὲ πάλιν ἐν ἀθυμίᾳ. βούλεσθε οὖν τὸν Δαβὶδ ἴδωμεν; ὅτε τοίνυν οὗτος ἐν ἡδονῇ ἦν καὶ ἐν χαρᾷ, ἀπὸ τῶν πολλῶν τροπαίων, ἀπὸ τῆς νίκης, ἀπὸ τῶν στεφάνων, ἀπὸ τῆς τρυφῆς, „ἀπὸ τοῦ θαρρεῖν, ὅρα οἷα, καὶ εἶπε, καὶ ἐπραξεν· ἐγὼ δὲ εἶπα „ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. ἐπειδὴ δὲ „ἐν θλίψει γέγονεν, ἄκουσον τί λέγει· καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέ„ληκά σε, ἰδοὺ ἐγώ· ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. τί τούτων φιλοσοφώτερον τῶν ῥημάτων, ὅ, τι ἂν ᾖ τῷ Θεῷ, φησὶ, φί„λον, ταύτῃ ἔστω. καὶ πάλιν τῷ Σαοὺλ ἔλεγεν· εἰ δὲ Κύριος ἐπι„σείει σε ἐπ' ἐμὲ, ὀσφρανθείη ἡ θυσία σου. καὶ τότε μὲν ἐν θλίψει ὢν, καὶ ἐχθρῶν ἐφείδετο· πρὸ δὲ τούτου, οὐδὲ φίλων, οὐδὲ τῶν ἠδικηκότων οὐδέν. πάλιν ὁ Ἰακὼβ, ὅτε ἐν θλίψει γέγονεν, ἔλεγεν· „ἐὰν δῷ μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι. καὶ ὁ τοῦ Νῶε υἱὸς, πρὸ μὲν τούτου, οὐδὲν τοιοῦτον ἐποίησεν· ἐπειδὴ δὲ ἐθάρρησεν ὑπὲρ τῆς σωτηρίας, ἀκούεις οἷος γέγονεν ὑβριστής. καὶ ὁ Ἐζεκίας, ὅτε μὲν ἦν ἐν θλίψει, ὅρα οἷα ἐποίει ὑπὲρ τῆς σωτηρίας· σάκκον γὰρ περιεβάλετο, καὶ εἰς γῆν ἐκάθισεν· ἐπειδὴ δὲ γέγονεν ἐν ἡδονῇ, ἔπεσεν ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ. διὰ τοῦτο „καὶ Μωϋσῆς παραινεῖ λέγων· φαγὼν, καὶ πιὼν, καὶ ἐμπλησθεὶς, „μνήσθητι Κυρίου τοῦ Θεοῦ σου· ἀπόκρημνος γάρ ἐστιν ὁ τόπος ὁ τῆς τρυφῆς, καὶ λήθην τοῦ Θεοῦ ἐμποιεῖ. ὅτε ἐθλίβοντο οἱ Ἰσραηλῖται, πολλῷ πλείους ἐγίνοντο· ἐπειδὴ δὲ αὐτοὺς εἴασε, τότε πάντες ἀπώλοντο. καὶ τί λέγω ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα; ἴδωμεν ἀφ' ἡμῶν εἰ δοκεῖ. ἡμῶν ὅτ' ἂν εὐπραγίᾳ ὦσιν οἱ πλείους, τετυφωμένοι γίνονται, πᾶσιν ἐχθροὶ, ὀργίλοι, τῆς ἐξουσίας παρούσης· ἀφαιρεθείσης δὲ, ἥμεροι, ταπεινοὶ, πρᾶοι, τῆς οἰκείας φύσεως εἰς ἔννοιαν ἔρχονται. καὶ ὅτι οὕτως ἔχει, δείκνυσι καὶ ὁ Δαβὶδ, λέγων· ἐκρά„τησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος. ἐξελεύσεται, ὡς ἐκ „στέατος ἡ ἀδικία αὐτῶν. ταῦτα δή μοι εἴρηται, ἵνα μὴ ἐκ παντὸς τρόπου τὴν χαρὰν ζητῶμεν. καὶ πῶς, φησὶν, ὁ Παῦλος λέγει, χαίρετε πάντοτε; οὐχ ἁπλῶς εἶπε, χαίρετε· ἀλλὰ προσέθηκεν, ἐν Κυρίῳ. αὕτη μεγίστη χαρά. τοιαύτην [καὶ] οἱ ἀπόστολοι ἔχαιρον. χαρὰ κέρδος φέρουσα, ἡ ἀπὸ δεσμωτηρίων, ἡ ἀπὸ μαστίγων, ἡ ἀπὸ διωγμῶν, ἡ ἀπὸ τοῦ κακῶς ἀκούειν, ἡ ἀπὸ τῶν λυπηρῶν πάντως ἔχουσα τὴν ἀρχὴν, καὶ τὴν ῥίζαν, καὶ τὴν ὑπόθεσιν. ὅθεν καὶ εἰς χρηστὸν ἅπαντα τέλος. ἡ δὲ τοῦ κόσμου, τοὐναντίον· ἄρχεται μὲν ἀπὸ τῶν ἡδέων, τελευτᾷ δὲ εἰς τὰ λυπηρά. οὐδὲ ἐγὼ κωλύω χαίρειν κατὰ Κύριον· ἀλλὰ καὶ σφόδρα παραινῶ. ἐμαστίζοντο οἱ Ἀπόστολοι, καὶ ἔχαιρον· ἐδέδεντο, καὶ εὐχαρίστουν· ἐλιθάζοντο, καὶ ἐκήρυττον. ταύτην καὶ ἐγὼ βούλομαι τὴν χαράν. ἀπ' οὐδενὸς σωματικοῦ τὴν ἀρχὴν ἔχει, ἀλλ' ἀπὸ πραγμάτων πνευματικῶν. οὐκ ἔστι τὸν κατὰ κόσμον χαίροντα, ὁμοῦ καὶ κατὰ Θεὸν χαίρειν.

A Si autem quis diceret, & cujus gratia illos permisit affligi sic? audiat, quod omnibus maximè justis afflictiones mercedum causæ fiunt: nónne & propter hoc illos dimisit affligi, ut illius virtutem & hinc ostendat clarescere, & illos ea per quæ affliguntur, per omnia philosophari erudiant? Vide igitur, quando erant in solitudine, non solùm incrassati sunt, impinguati sunt, dilatati sunt, sed & dereliquerunt Deum. Ubique enim remissio malum est dile-B ĉte. Idcircò & initio Adæ dicebat: *In sudore vultus tui vescêris pane tuo*: ut igitur, ne quum ex afflictione multa in remissionem venerint, contumelia afficiant, permittit illos affligi. Magnum enim bonum est afflictio, & quod bonum, audi Davidem, dicentem: *Bonum mihi, quia humiliasti me.* Si autem, magni & admirabiles viri sunt in magna tribulatione, multò magis nos. Si voluetitis autem, ipsam per se examinabimus afflictionem. Stet C quis gaudens multùm, & lætabundus ac risus effusioris, quid turpius, quid insipientius illo? Stet quis dolens & mœrens, quid illo magis philosophicum? Idcircò & sapiens admonet, dicens: *Melius est in domum luctus ingredi, quam in domum risus*: forsan & irridebis quæ dicuntur: veruntamen videamus qualis fuerit Adam in paradiso, & qualis posteà: qualis erat Cain ante hoc, & qualis posteà. Non stat in sua sede animus, sed quemadmodum D à quodam spiritu tollitur, à voluptate & alleviatur, nihil habens firmum. Enimverò & ad promissiones est facilis, & ad pollicendum pronus, & magna est turbatio rationum. Hinc intempestivus risus. Hilaritas non habens rationem, verborum magna & superflua nugacitas. Et quid dico alios? sanctorum unum in manus accipiamus, & videamus quis quidem in voluptate vixerit, quis autem & in mœrore. Vultis igitur Davidem videamus? Quando igitur hic E in voluptate erat ac in gaudio propter multos triumphos, victorias, coronas, delicias, ac fiduciam, vide qualia & dixit, & operatus est. *Ego autem dixi in abundantia mea, non movebor in æternum.* Postquàm autem affligi cœpit, audi quid dicat: *Et si dixerit mihi, Nolui te, ecce ego, faciat mecum quod placitum coram ipso.* Quid his verbis magis philosophicum? quidquid Deo magis fuerit gratum, ita fiat. Et iterum Sauli dicebat: *Si autem Do-A minus commoverit te contra me, adoratum sit sacrificium tuum.* Et tunc quidem quum esset in tribulatione, etiam parcebat amicis. Ante delicias nihil injustè, nihilque inhumaniter agebat. Item Jacob quum in afflictione esset, dicebat: *Si dederit mihi Dominus panem ad comedendum, & vestem ad amiciendum.* Et filius Noë ante hoc nihil tale fecerat: ubi autem de salute fidentior factus est, audis quam factus sit contumeliosus. Et Ezechias quum esset B in tribulatione, vide qualia faciebat pro salute. *Saccum enim induit, & in terra sedit.* Ubi autem in deliciis esse cœpit, cecidit præ altitudine cordis sui. Idcirco & Moses admonet, dicens: *Comedens & bibens, & impletus memor sis Domini Dei tui.* Præceps enim est locus deliciarum, & oblivionem Dei affert. Quando tribulabantur Israëlitæ, multo plures fiebant: quando autem illos dimisit, tunc omnes peribant: Et quid dico veterum C exempla? Videamus de nostris si placet. Ex nostris multi, qui inflati sunt in felicitate agentes, omnibusque fiunt hostes, ac iracundi: ubi autem præsens facultas fuerit ablata, mansueti, humiles, mites, veniunt in cogitationem suæ naturæ. Et quod sic habet, ostendit etiam David, dicens: *Tenuit illos superbia in finem, egredietur tanquam ex adipe injustitia eorum.* Hæc sanè antè dicta sunt, ut ne omnibus modis gaudium quæramus. Et quomodo au-D tem Paulus dixit, *Gaudete semper*? Non simpliciter dixit, Gaudete: Sed adpositum est, *in Domino.* Istud maximum gaudium est: tali & Apostoli gaudebant, gaudium lucrum afferens, quòd à vinculis, quòd à flagellis, quòd à persecutionibus, quòd ab oblocutionibus, quod à mœstis omnibus habet principium, & radicem, & occasionem, Unde & in bonum finem occurrunt. Quod autem à mundo, secus se habet: nam incipit quidem à suavibus, E desinit autem in tristitiam. Neque ego prohibuerim gaudere juxta Dominum, sed & valde admonuerim. Flagellabantur Apostoli, & gaudebant: vinciebantur, & gratias agebant: lapidabantur, & prædicabant. Hoc & ego velim gaudium, quod à nullo corporali habet initium, sed à spiritualibus rebus. Non est possibile quod hi qui secundum mundum gaudent, simul & juxta Deum gaudeant.

Gen. 3, 19. Psal. 118, 71. Eccl. 7, 3. Psal. 29, 7. 2. Reg. 15, 26. 1. Reg. 26, 19. Gen. 28, 20. 4. Reg. 19. Deut. 6, 11. Psal. 72, 6. Phil. 4, 4.

K 4 Omnis

Digitized by Google

Omnis enim qui juxta mundum gaudet, in divitiis gaudet, in deliciis, in vana gloria, in potentia, in arrogantia. Qui autem secundum Deum gaudet, in ignominia quæ propter illum, in paupertate, in opum carentia, in jejunio, in humilitate. Vides quot contraria argumenta. Quotquot extra gaudium sunt hîc, & mœroris sunt expertes: & quotquot extra mœrorem hîc, etiam extra voluptatem. Et revera hæc sunt quæ faciunt verum gaudium, quoniam illa solum habent nomen gaudii, totum autem in mœrore situm est. Quantum mœroris superbos habet, quomodo dum insolenter alios irridet, in suo facto impeditur: parat autem innumeras sibiipsi contumelias, magnum odium, magnas inimicitias, magnam invidiam, magnam invidentiam: nam licèt à majoribus contumelia afficiatur, dolet: & si non contrà omnes surgat, mordetur. Humilis autem, in multa est voluptate, à nullo expectans honorem. Itaque siquidem honoratus fuerit, gaudet: si autem non honoratur, non dolet, sed diligit quod non honoratus est. Itaque in eo quod non quærit honorem, & honoratur, magna voluptas est. Illic autem contrario modo fit, & quærit honorem, & non honoratur. Non similiter autem gaudet honore qui quærit, & qui non quærit. Hic quantumcunque acceperit, nihil se accepisse putat: ille autem ut minimum dederis, accipit quasi universum acceperit. Iterum qui in deliciis est, innumeras habet difficultates: etiam si facilè & quasi ex fontibus ipsi commoda affluant, attamen formidat mala quæ ex deliciis veniunt ac futuri incertitudinem. Hic autem semper securus est ac in voluptate, qui assuescit seipsum in tenuitate victus. Non enim ideo seipsum censet miserum, quod non particeps est mensæ lautioris: Quàm delicatè agit, non formidans incertitudinem futurorum. Quæ autem ex deliciis sint gravia, nullus ignorat: necessarium autem & nunc dicere: Duplex bellum est, corporis, inquam, & animæ: duplex hyems, duplices morbi. Et non hoc solum, sed etiam quod insanabiles & magnas afferunt hæc calamitates. At non habet id mali frugalitas, sed duplex sanitas est, duplicia bona. *Somnus sanitatis*, inquit, *in interna mediocritate*. Semper enim quod mediocritatem custodit, amabile est: quod verò modum non servat, injucundum. Vide enim: Scintillæ parvæ magnam lignorum congeriem impone, & non jam ignis erit fulgidus, sed fumum videbis valdè insuavem. Viro valdè forti, & magno impone sarcinam vires ejus excedentem, & videbis cum sarcina humi jacêre. Magnum onus injice in navim, & grave facies naufragium. Tale autem quiddam est & voluptas. Sicut enim in navibus supra modum oneratis, magna turbatio est nautarum, gubernatoris, ejus qui in prora est, eorum qui ascendunt malum, qui superiora quidem projiciunt in mare, quæ autem inferiora perdunt: sic sanè & hoc loco: nam quæ superius sunt, evomunt: alia autem inferius. Et seipsos corrumpentes liberantur. Quod sanè turpius est omnibus, quia ipsum os usum recipit postrematum partium, & fit illis ignominiosius. Si autem in ore tanta turpitudo, cogita in anima quid? Etenim illic omnia procellæ, omnia tenebræ, multa rationum confusio, quæ apprehendunt, quæ affligunt, lingua ipsa injuriam clamante. Hinc & ipsa ventris mancipia se invicem arguunt, ægrè ferunt, student ut internum stercus abjiciant, attamen & postquàm abjecerint, neque sic turbatio quiescit. Sed & febres hinc & morbi. Etiam, inquit, morbosi sunt & turpes. Sermo frustrà hæc pertractat, & morbos nobis enumerat. Infirmus enim sum ego, & laceror ego, & deformis sum ego, qui non habeo quod edam. Hos autem in deliciis agentes est videre benè affectos, lascivos, gaudentes, gestari in equis. Væ mihi, lamentis enim digna sunt verba hæc. Eos enim qui podagra laborant, & in bigis feruntur, & alligatos, unde videmus dic oro? Et si non rem putarent contumeliosam, & cum contumelia hæc disputarentur, jam & nominatim percenserem illos. At sunt quidam, ajunt, qui & benè habent. Quoniam non solùm deliciis adhibiti sunt, sed etiam laboribus: alioqui da mihi hominem qui pinguescit, & laboribus caret ac jacet, nihilque laborat, sanum: sed non invenies: nam licet sexcentorum medicorum turba adveniat, à morbis illum nequaquam liberare poterunt: neque enim hoc natura sinit. Porrò ego & medicorum sermonem afferam: non quicquid in ventrem mittitur, fit alimentum: quoniam neque in alimenti natura est ut totum alere queat, sed partem dividit in secessum, partem in alimentum. Itaq; da congrua, conficientur, & suam accipient regionem, & quod sanum ac utile, in suum regreditur locum:

Sir. 31, 20.

Πᾶς γὰρ ὁ κατὰ κόσμον χαίρων, ἐπὶ πλούτῳ χαίρει, ἐπὶ τρυφῇ, ἐπὶ δόξῃ καὶ δυναστείᾳ, ἐπὶ ἀλαζονείᾳ· ὁ δὲ κατὰ Θεὸν, ἐπὶ ἀτιμίᾳ τῇ δι' αὐτὸν, ἐπὶ πενίᾳ, ἐπὶ ἀκτημοσύνῃ, ἐπὶ νηστείᾳ, ἐπὶ ταπεινοφροσύνῃ. ὁρᾷς ὅτι ἐναντίαι αἱ ὑποθέσεις; ὅσοι ἔξω χαρᾶς εἰσιν ἐνταῦθα, καὶ λύπης· [καὶ] ὅσοι ἔξω λύπης ἐνταῦθα, καὶ ἡδονῆς· καὶ ὄντως ταῦτά ἐστι τὰ ποιοῦντα ἀληθῆ χαράν, ἐπεὶ ἐκεῖνα ὄνομα μόνον ἔχει χαρᾶς, τὸ δὲ πᾶν ἐν λύπῃ κεῖται. πόσην ἀνίαν ὁ ἀλαζὼν ἔχει; πῶς διακόπτεται ἐν αὐτῷ τῷ ἀλαζονεύεσθαι, μυρίας ἑαυτῷ μηχανώμενος ὕβρεις, πολύ τε μῖσος, μεγάλην τὴν ἀπέχθειαν, πολὺν τὸν φθόνον, πολλὴν τὴν βασκανίαν; κἂν γὰρ παρὰ τῶν μειζόνων ὑβρισθῇ, ἀλγεῖ· κἂν μὴ πάντων κατεξαναστῇ, δάκνεται. ὁ δὲ ταπεινὸς, ἐν πολλῇ ἐστι τῇ ἡδονῇ, παρ' οὐδενὸς προσδοκῶν τιμήν· ἂν μὲν [οὖν] τιμηθῇ, ἥδεται· ἂν δὲ μὴ τιμηθῇ, οὐκ ἤλγησεν, ἀλλ' ἀγαπᾷ ὅτι οὐκ ἐτιμήθη. ἄρ' οὖν ἐν τῷ μὴ ζητοῦντα τιμᾶν, καὶ τιμᾶσθαι, πολλὴ ἡ ἡδονή. ἐκεῖ δὲ τοὐναντίον· καὶ ζητεῖ τιμὴν, καὶ οὐ τιμᾶται. οὐχ ὁμοίως δὲ ἥδεται τιμῇ ὁ ζητῶν, καὶ ὁ μὴ ζητῶν· οὗτος ὅσον ἂν λάβῃ, οὐδὲν ἡγεῖται εἰληφέναι· ἐκεῖνος κἂν τὸ μικρὸν δῷς, ὡς τὸ πᾶν εἰληφὼς δέχεται. πάλιν ὁ τρυφῶν μυρία πράγματα ἔχει· κἂν ἐξ εὐκολίας, καὶ ὥσπερ ἀπὸ πηγῶν αὐτῷ τὰ τῆς περιουσίας ἐπιρρέῃ, τὰ ἀπὸ τῆς τρυφῆς δεινὰ δέδοικε, καὶ τὸ ἄδηλον τοῦ μέλλοντος. οὗτος δὲ ἀεὶ ἐν ἀσφαλείᾳ ἐστὶ καὶ ἐν ἡδονῇ, ἐθίσας ἑαυτὸν ἐν λιτότητι διαίτης. οὐ γὰρ οὕτως ἑαυτὸν ταλανίζει ὅτι μὴ μετέχει τραπέζης πολυτελοῦς, ὡς τρυφᾷ τὸ τοῦ μέλλοντος ἄδηλον μὴ δεδοικώς. τὰ δὲ ἐκ τῆς τρυφῆς ὅσα δεινὰ, οὐδεὶς ἀγνοεῖ, ἀναγκαῖον δὲ καὶ νῦν εἰπεῖν. διπλοῦς ὁ πόλεμος, τοῦ σώματος, λέγω, καὶ τῆς ψυχῆς· διπλοῦς ὁ χειμών· διπλᾶ τὰ νοσήματα· καὶ οὐ τοῦτο μόνον· ἀλλ' ὅτι καὶ ἀνίατα, καὶ μεγάλας φέρουσι ταῦτα τὰς συμφοράς. ἀλλ' οὐχ ἡ εὐτέλεια τοῦτο· ἀλλὰ διπλῆ ἡ ὑγεία. διπλᾶ τὰ ἀγαθά· ὕπνος ὑγείας φησὶν, ἐν ἐντέρῳ μετρίῳ. πανταχοῦ γὰρ τὸ μὲν σύμμετρον ποθεινὸν, τὸ δὲ ἄμετρον οὐκέτι. ἐπεὶ γὰρ σπινθῆρι μικρῷ πολλῶν ξύλων ἐπιθὲς φορτίον, καὶ οὐκέτι πῦρ τὸ λαμπρὸν, ἀλλὰ καπνὸν ὄψει σφόδρα ἀηδῆ. ἀνδρὶ λίαν ἰσχυρῷ καὶ μεγάλῳ φορτίον ἐπιθὲς τὸ τὴν ἰσχὺν ὑπερβαῖνον, καὶ ὄψει μετὰ τοῦ φορτίου χαμαὶ κείμενον, καὶ ἐρριμμένον. πολὺν τὸν φόρτον ἔμβαλε τῷ πλοίῳ, καὶ χαλεπὸν ἐργάσω τὸ ναυάγιον. τοιοῦτόν τι καὶ ἡ τρυφή ἐστι. καθάπερ γὰρ ἐπὶ τῶν ὑπεράντλων πλοίων, πολὺς ὁ θόρυβος τῶν ναυτῶν, τοῦ κυβερνήτου, τοῦ πρωρέως, τῶν ἐπιβατῶν, τὰ μὲν ἄνωθεν ῥιπτόντων εἰς τὸ πέλαγος, τὰ δὲ κάτωθεν· οὕτω δὴ καὶ ἐνταῦθα, τὰ μὲν ἄνωθεν ἐμοῦντες, τὰ δὲ κάτωθεν, καὶ ἑαυτοὺς διαφθείροντες ἀπαλλάττονται· καὶ τὸ δὴ πάντων αἴσχιστον, ὅτι αὐτὸ τὸ στόμα τὴν χρείαν ἀναλαμβάνει τῶν ἐσχάτων μορίων, καὶ γίνεται ἐκείνων ἀτιμότερον. εἰ δὲ ἐν τῷ στόματι τοσαύτη ἀσχημοσύνη, ἐννόησον ἐν τῇ ψυχῇ. καὶ γὰρ ἐκεῖ πάντα γνόφος, πάντα θύελλα, πάντα σκότος, πολλὴ τῶν λογισμῶν σύγχυσις· πιεζομένων, θλιβομένων, τῆς ψυχῆς αὐτῆς τὴν ἐπήρειαν βοώσης. ἐντεῦθεν καὶ αὐτοὶ οἱ γαστριζόμενοι ἀλλήλους αἰτιῶνται, δυσχεραίνουσι, σπεύδουσι τὴν ἔνδον ἀποῤῥῖψαι κόπρον. ὅμως καὶ μετὰ τὸ ῥῖψαι, οὐδὲ οὕτως ὁ σάλος παύεται. ἀλλὰ καὶ πυρετοὶ ἐντεῦθεν καὶ νόσοι. ναὶ φησι, νοσοῦσι καὶ ἀσχημονοῦσι· λόγος εἰκῇ ταῦτα διεξιὼν καὶ νόσους ἡμῖν καταλέγων· νοσῶ γὰρ ἐγὼ, καὶ ἀσθενῶ ἐγὼ καὶ ἀσχημονῶ ἐγὼ, ὁ μὴ ἔχων φαγεῖν. τούτους δὲ τοὺς τρυφῶντας, ἔστιν εὐπαθοῦντας ἰδεῖν, σφριγῶντας, χαίροντας, φερομένους ἐφ' ἵππων. οἴμοι. θρήνων γὰρ ἄξια ταῦτα τὰ ῥήματα. τοὺς δὲ ποδαλγιῶντας· τοὺς ἐπὶ δίφρων φερομένους· τοὺς καταδεσμουμένους, πόθεν ὁρῶμεν, εἰπέ μοι; καὶ εἰ μὴ τὸ πρᾶγμα ὕβριν ἐνόμιζον, καὶ ἐν διασυρμῷ με ταῦτα λέγειν ἡγοῦντο, ἤδη ἂν καὶ ὀνόματι παρήγαγον αὐτούς. ἀλλ' εἰσί τινες οἳ καὶ ὑγιαίνουσι, φησίν. ἐπειδὴ μὴ μόνον τρυφῇ προσανέχουσιν, ἀλλὰ καὶ πόνοις. ἐπεὶ δός μοι ἄνθρωπον διαπαντὸς πιαινόμενον, ἀνενέργητον κείμενον μηδὲν ποιοῦντα, ἰδοῦ ὑγιαίνοντα. ἀλλ' οὐκ ἂν εὕροις. κἂν γὰρ μυρίων ἰατρῶν πλῆθος συνέλθῃ, ἐξελεῖν αὐτὸν οὐ μὴ δυνηθῇ τῶν νοσημάτων, διηνεκῶς γαστριζόμενον. οὐδὲ γὰρ ἔχει τὸ πρᾶγμα φύσιν. ἐγὼ δὲ καὶ ἰατρικὸν ὑμῖν ἐρῶ λόγον. τὸ εἰς τὴν γαστέρα καταβαλλόμενον, οὐ τὸ πᾶν γίνεται τροφή· ἐπεὶ μηδὲ ἐν αὐτῇ τῇ τῆς τροφῆς φύσει τὸ πᾶν ἐστι τρόφιμον· ἀλλ' ἔστι τὸ μὲν αὐτῆς, εἰς διαχώρησιν μεριζόμενον, τὸ δὲ εἰς τροφήν. ἂν μὲν οὖν σύμμετρα δῷς, τελείως κατεργασθῇ, οὕτω γίνεται, καὶ τὴν οἰκείαν ἔλαβε χώραν. καὶ τὸ μὲν ὑγιὲς καὶ χρηστὸν εἰς τὸν οἰκεῖον ἀνέδραμε τόπον·

τὸ

τὸ δὲ περιττὸν, καὶ ἄχρηστον ὑπεξῆλθε, καὶ ἐξεχώρησεν· ἂν δὲ πλῆθος, καὶ ὅσον αὐτοῦ τρόφιμον, καὶ τοῦτο γίνεται βλαβερόν. ὡς ἐπὶ ὑποδείγματος δὲ τοῦτον [ἢ] ἐρῶ, ἵνα σαφέστερον ὃ λέγω ὑμῖν γένηται. τοῦ σίτου τὸ μέν ἐστι σεμίδαλις· τὸ δὲ ἄλευρον· τὸ δὲ πίτυρον. ἂν μὲν οὖν ἡ μύλη λάβῃ ἃ δύναται ἀλέσαι, ἀπέκρινε ταῦτα πάντα· ἂν δὲ πλέον ἐπιβάλῃς, πάντα συγκέχυται. πάλιν ὁ οἶνος ἂν τῆς προσηκούσης κατεργασίας τύχῃ καὶ τῆς τῶν ὡρῶν κράσεως, πρότερον μὲν πάντα ὁμοῦ γίνεται· μετὰ δὲ ταῦτα, τὸ μὲν αὐτοῦ εἰς τρύγα ὑφιζάνει, τὸ δὲ εἰς ἀφρὸν ἀνατρέχει· τὸ δὲ μένει ἀπόλαυσις τῶν μετεχόντων, καὶ τοῦτό ἐστι τὸ χρηστὸν, καὶ οὐκ ἄν ποτε ταχέως οὗτος τραπείη· πρότερον δὲ οὔτε οἶνός ἐστιν, οὔτε τρὺξ, πάντων μιχθέντων. οὕτω καὶ ἐπὶ τῆς θαλάττης ἴδοι τις ἂν, ὅταν ὑπερβολὴ χειμῶνος γένηται. καθάπερ οὖν τότε τοὺς ἰχθύας ὁρῶμεν νεκροὺς ἐπιπλέοντας τοὺς ὑπὸ τοῦ ψύχους εἰς τὸν βυθὸν δῦναι μὴ δυνηθέντας· οὕτω δὴ καὶ ἐφ' ἡμῶν γίνεται. ὅταν γὰρ πολὺς ἄνωθεν ἐπιῤῥεύσῃ τῆς λαιμαργίας ὁ ὑετὸς, πάντα ἀνακινήσας, νεκροὺς ἐπιπλέειν ποιεῖ τοὺς λογισμοὺς τοὺς τέως ὑγιαίνοντας, καὶ ἐν ἡμῖν ἠρεμοῦντας. ἐπεὶ οὖν ἐκ τοσούτων ὑποδειγμάτων ἡμῖν ἀποδέδεικται πολλὴ ἡ βλάβη, παυσώμεθα μακαρίζοντες τούτους ἐφ' οἷς ταλανίζειν ἐχρῆν. δακρύοντες δὲ ἑαυτοὺς ἐφ' οἷς μακαρίζειν ἔδει, καὶ τὴν αὐτάρκειαν ἀγαπῶμεν· ἢ οὐκ ἀκούετε καὶ ἰατρῶν λεγόντων, ὅτι ἔνδεια μήτηρ ὑγείας· ἐγὼ δὲ οὐχὶ τῆς σωματικῆς ὑγείας μητέρα τὴν ἔνδειαν εἶναι, ἀλλὰ καὶ τῆς ψυχῆς λέγω. » ταῦτα καὶ Παῦλος βοᾷ ὁ ὄντως ἰατρὸς, ἔχοντες, λέγων, δια- » τροφὰς καὶ σκεπάσματα, τούτοις ἀρκεσθησόμεθα. πειθώμεθα τοίνυν αὐτῷ, ἵνα ὑγιαίνοντες πράττωμεν ἃ δεῖ ποιεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ ιζ´.

Τοῦτον τὸν Μωϋσῆν ὃν ἠρνήσαντο εἰπόντες, Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς, τοῦτον ὁ Θεὸς ἀρχηγὸν, καὶ λυτρωτὴν ἀπέστειλε σὺν χειρὶ ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ.

ΣΦΟΔΡΑ οὗτος κατάλληλον πρὸς τὴν προκειμένην ὑπόθεσιν. τοῦτον τὸν Μωϋσῆν φησι. τοῦτον. ποῖον; τὸν κινδυνεύσαντα ἀπολέσθαι· τὸν ὑπ' αὐτῶν ἐξουθενηθέντα. ὃν ἠρνήσαντο εἰπόντες τίς σε κατέστησεν ἄρχοντα; καθάπερ καὶ τῷ Χριστῷ ἔλεγον, οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. τοῦτον ὁ Θεὸς ἀρχηγὸν, καὶ λυτρωτὴν ἀπέστειλε σὺν χειρὶ ἀγγέλου τοῦ εἰπόντος αὐτῷ, ἐγώ εἰμι ὁ Θεὸς Ἀβραάμ. ἐνταῦθα καὶ τὰ γινόμενα θαύματα διὰ Χριστοῦ δείκνυσι γεγενῆσθαι. οὗτος, τουτέστιν, ὁ Μωϋσῆς. καὶ ὅρα πῶς δείκνυσιν αὐτὸν λαμπρὸν » [τὰ ἑξῆς.] ἐξήγαγεν αὐτοὺς ποιήσας τέρατα καὶ σημεῖα ἐν γῇ » Αἰγύπτῳ, καὶ ἐν ἐρυθρᾷ θαλάσσῃ, καὶ ἐν τῇ ἐρήμῳ ἔτη τεσσαρά- » κοντα. οὗτός ἐστι Μωϋσῆς, ὁ εἰπὼν τοῖς υἱοῖς Ἰσραὴλ προφήτην ὑμῖν » ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· τουτέστιν· ἐξουθενημένον, ἐπιβουλευθέντα. καὶ γὰρ ἠβουλήθη καὶ τοῦτον ἀνελεῖν Ἡρώδης, καὶ ἐν Αἰγύπτῳ διεσώθη, καθάπερ καὶ ἐκεῖνος παιδίον ὢν » ἐπεβουλεύετο. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ » μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ ἐν τῷ ὄρει Σινᾶ, καὶ τῶν πατέρων » ἡμῶν, ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν. πάλιν οὐδαμοῦ ναός· οὐδαμοῦ θυσία. μετὰ τοῦ ἀγγέλου, φησὶν, ἐδέξατο δοῦναι λόγια ζῶντα ἡμῖν. ἐνταῦθα δείκνυσιν, ὅτι οὐχὶ σημεῖα ἐποίησε μόνον· ἀλλὰ καὶ νόμον ἔδωκεν ὥσπερ ὁ Χριστός. καθάπερ οὖν οὗτος πρῶτον σημεῖα ποιεῖ, καὶ τότε νομοθετεῖ· οὕτω δὴ καὶ ὁ Χριστός. ἀλλ' οὐκ ἤκουσαν αὐτοῦ μαθόντες ἀεὶ ἀπειθεῖν. μετὰ τὰ σημεῖα, μετὰ τὰ θαύματα τὰ ἐν τεσσαράκοντα ἔτεσι. καὶ οὐ τοῦτο μόνον· ἀλλὰ καὶ τοὐναντίον ἐπεδεί- » ξαντο· ὃ καὶ δηλῶν ἐπήγαγεν, ᾧ οὐκ ἠθέλησαν ὑπήκοοι γενέσθαι οἱ » πατέρες ἡμῶν, ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς » Αἴγυπτον εἰπόντες τῷ Ἀαρών· ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται » ἡμῶν. ὁ γὰρ Μωϋσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου οὐκ » οἴδαμεν τί γέγονεν αὐτῷ. καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, » καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν » χειρῶν αὐτῶν. ἔστρεψε δὲ ὁ Θεὸς, καὶ παρέδωκεν αὐτοὺς λατρεύειν τῇ » στρατιᾷ τοῦ οὐρανοῦ. καθὼς γέγραπται ἐν βίβλῳ τῶν προφητῶν· μὴ » σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ » ἐρήμῳ οἶκος Ἰσραήλ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄ- » στρον τοῦ θεοῦ ὑμῶν Ῥεφφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐ- » τοῖς. καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. τὸ, παρέδωκεν, ἐνταῦθα, » εἴασέν ἐστιν. ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν τοῖς πατράσιν ἡμῶν ἐν τῇ ἐρήμῳ· » καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσεῖ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν » ἑωράκει. καὶ σκηνῆς οὔσης, θυσίαι οὐκ ἦσαν. ὅτι δὲ οὐκ ἦσαν, ὁ προφήτης δῆλον ποιεῖ τοῦτο λέγων· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι; ἡ σκηνὴ τοῦ μαρτυρίου ἦν, καὶ οὐδὲν ὠφέλησεν αὐτοὺς, ἀλλ' ἀνηλίσκοντο.

A quòd autem superfluum & inutile, excernetur & abscedet. Si autem multitudo ciborum sumatur, etiam quod in illis ad alendum utile, fiet damnosum: pro exemplo dicam, ut manifestius quod dico vobis, fiat: Frumentum aliud est simılago, aliud farina, aliud furfur. Itaque si mola accipiat, quæ potest pinsere, hæc omnia discernit. Si autem plura immiseris, omnia confunduntur. Iterum vinum si congruam concoctionem habeat, ac temporum temperiem, prius quidem B totum simul fit: post hæc autem pars in fœcem desidet, pars in spumam recurrit: eo autem quod manet, frui possumus. Et hoc est utile, & nunquam facilè hoc vertetur: prius autem neque vinum est, neque fex, dum omnia mixta sunt. Hoc & in mari viderit quis, quando magna tempestas oritur, pisces videmus mortuos adnantes, eos præ frigore in profundum descendere non valentes. Ita & apud nos fit. Quando enim sæpè refluit voracitatis pluvia, omnia commovet, mor- C tuas annare facit cogitationes, quæ jam sanæ sunt, & in nobis quiescunt. Itaque quoniam ex tantis exemplis, vobis relinquitur magnum damnum, cessemus beatos dicere eos, quos deplorare oportebat, & lachrymari vos, propter ea, propter quæ beatos vos dicere oportebat, & frugalitatem diligamus. An non auditis, & medicos dicentes: Indigentia, mater est sanitatis? ego autem non corporalis sanitatis matrem indigentiam dixerim, sed animæ potius. Hæc Paulus clamat D verè medicus: *Habentes*, inquit, *alimenta & tegumenta, his contenti simus.* (1.Tim.6,8.) Obtemperemus igitur illi, ut sani existentes faciamus quæ oportet facere; in Christo Jesu Domino nostro, cum quo Patri & Spiritui sancto simul, gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA XVII.

E *Hunc Mosem, quem negarunt hi qui dixerunt: Quis te constituit Principem & judicem super nos? Hunc Deus Principem ac redemptorem misit cum manu Angeli, qui apparuit illi in rubo.*

ARgumento proposito multum congruit quod dicit *Hunc Mosem.* Qualem *hunc?* eum qui plurimum periclitabatur, qui ab illis contemptus erat, quem negaverant, A qui dixerant: *Quis te constituit principem?* quemadmodum & Christo dicebant: *Non habemus Regem, nisi Cæsarem.* (Exod. 2. Joh.19,15.) *Hunc Deus Principem ac Redemptorem misit cum manu Angeli, qui dixerat illi, Ego sum Deus Abrahæ.* (Exod.3,14.) Hic & miracula quæ facta sunt, per Christum facta esse ostendit. Hic, id est Moses. Hoc loco vide quo pacto clarum ostendunt eum quæ sequentur. *Eduxit illos factis signis ac prodigiis in terra Ægypti, & in mari rubro, & in eremo annis quadraginta. Hic est* (Deut.18,18.) B *Moses, qui dixit filiis Israël: Prophetam excitabit vobis Dominus Deus ex fratribus vestris, sicut me:* hoc est, contemptum, & insidiis appetitum. Etenim volebat & hunc tollere Herodes, & in Ægypto servatus est, quemadmodum & ille quum esset puellus, insidiis expositus fuit: *Hic est qui fuit in congregatione in solitudine cum Angelo, qui loquutus est illi in monte Sina, & cum patribus nostris, accepit eloquia viva, ut daret nobis.* (Exod.2.) Iterum nusquam Templum, nusquam Sacrificium. *Cum An-* C *gelo*, inquit, *ut daret nobis eloquia viva.* Hic ostendit, quod non fecit signa solùm, sed etiam legem dedit Christus. Itaque quemadmodum hic primum signa facit, & deinde legem ponit, sic etiam Christus. At non audiverunt illum, qui semper soliti fuerunt inobedientes esse: etiam post hæc signa, post miracula, post quadraginta annos. Et non hoc solùm, sed contrarium declararunt, quod & manifestans adjecit: *Cui noluerunt obedientes esse patres nostri, sed repulerunt, & aversi* (Exod.32,& seq.) D *sunt corde suo in Ægyptum, dicentes ad Aaron: Fac nobis deos qui præcedant nos. Mosi enim illi qui eduxit nos de terra Ægypti, nescimus quid acciderit. Et vitulum fecerunt in diebus illis, & obtulerunt sacrificia idolo, & lætati sunt in operibus manuum suarum. Convertit se autem Deus, & tradidit illos ut servirent militiæ cœli, sicut scriptum est in libro Prophetarum: Num victimas & sacrificia obtulistis mihi annis quadraginta in deserto domus Israël? Et accepistis tabernaculum Moloch, & sidus Dei* E *vestri Remphan, figuras quas fecistis ut adoretis eas, & transferam vos ultra Babylonem. Tradidit*, hoc loco idem est quod permisit. *Tabernaculum testimonii erat patribus nostris in deserto, sicut ordinaverat illis loquens ad Mosem, ut faceret illud secundum formam quam viderat.* Et quum tabernaculum esset, sacrificia non erant. Quòd autem non fuerint, Propheta manifestum facit, dicens: *Num victimas & sacrificia obtulistis mihi.* Tabernaculum testimonii erat, & nihil proderat, sed consumebatur,

neque

neque ante hoc illis signa, neque post hæc profuerunt ali- A
quid. *Quod & induxerunt, qui successerunt patres nostri.*
Vides quod illic locus sanctus est, ubi Deus fuerit: propter
hoc enim & in deserto dixit, ut locum loco comparet. De-
inde beneficium: *Et induxerunt*, inquit, *patres nostri qui
successerunt cum Iesu in possessionem Gentium earum quas ex-
pulit Deus à facie patrum nostrorum, usq; ad dies David, qui
invenit gratiam coram Deo, & petiit ut inveniret tabernacu-
lum Deo Iacob.* Petivit ædificare David, sed non conces- B
sum est illi magno & mirabili, sed ædificat abjectus ille Sa-
lomon. Propter hoc dicit: *Salomon autem ædificavit illi do-
mum, at non altissimus in manufactis templis habitat.* Mon-
stratum quidem hoc etiam per ea quæ jam dicta: monstrat
autem & per vocem Propheticam. Sicut & Propheta dicit:
Esa.66,1. *Cœlum mihi sedes, & terra scabellum pedum meorum. Et
qualem domum ædificabitis mihi? dicit Dominus: vel quis lo-
cus quietis meæ? Nonne manus mea fecit hæc omnia?* Ne ad- C
miremini, inquit, si iis qui illius detrectant regnum Chri-
stus benefacit, quandoquidem & in Mose hoc factum est.
Et non simpliciter illos eruit, sed etiam in deserto agentes.
Vides quod propter illos & illa signa? Itaque qui cum Deo
loquutus est, qui mirè servatus, qui tanta fecit ac potuit,
ostendit quod omnino impleri oporteat Prophetiam: & non
est sibiipsi contrarius. Sed videamus iterum quæ dicta sunt:
Hic est, inquit, *Moses qui dixit: Prophetam vobis suscitabit Do-* D
minus sicut meipsum. Huc opinor Christus respexisse, quum
Joh 4,22. diceret: *Ex Iudæis salus est*, seipsum insinuans: *Hic est qui factus
est in deserto, cum Angelo qui sibi loquebatur.* Ecce iterum illum
ostendit legem dedisse, quandoquidem cum illo erat in congre-
gatione in deserto. Hic autem & magni miraculi quod in monte
contigit, memor est. *Qui accipit eloquia viva ut daret nobis.*
Ubique mirabilis Moses: Maximè autem quando lex ferenda
erat. Quid sunt *eloquia viva?* vel Prophetias dicit, vel ea quo- E
rum fides per sermones monstrabatur. Deinde crimen est in
Patriarchis, post signa & miracula, post accepta eloquia vi-
va, *ei noluerunt*, inquit, *obedientes esse.* Benè autem elo-
quia dicit, ostendens etiam eloquia esse non viva, de quibus
& Ezechiel dicit, sicut quando dicit: *Et dedi vobis præcepta*
Eze.20,25. *non bona*, Ad talia igitur respiciens, dicit *eloquia viva. Sed
repulerunt & conversi sunt corde suo in Ægyptum.* Illuc inge-
miscebant, illuc clamabant, unde Deum invocabant: *Et* A
dixerunt ad Aaron, fac nobis Deos qui antecedant nos. O in-
sipientiam! Fac, inquit, *ut præcedant nos.* Quò? *In Ægyptum.*
Vides quomodo à moribus Ægyptiorum avelli non poterant?
Quid dicis? Non expectas eum qui eduxit, sed negas bene-
ficium & benefactorem fugas? Et vide quomodo contumelia
Exod.12. afficiunt. *Mosi enim illi*, inquit, *qui eduxit nos è terra Æ-
gypti.* Nusquam Dei nomen, sed omnia Mosi adscribunt.
Et ubi quidem illos gratos esse oportebat, Mosen in medium B
adducunt: ubi autem legi obediendum erat, non jam Mo-
sem. Insuper dixit: Quòd ascendit ut legem acciperet: illi
autem non manserunt quadraginta diebus. *Fac nobis Deos.*
Sic insanierunt, non dixerunt Deum, sed Deos, quia nesciunt
quæ dicunt: *Et fecerunt vitulum in diebus illis, & obtulerunt
sacrificia idolo.* Vidisti magnam insipientiam? Ubi apparuit
Deus Mosi, illi vitulum faciunt: *Et lætabantur*, inquit, *in
operibus manuum suarum.* Propter quæ oportebat se abscon- C
dere, in illis lætabantur. Et quid mirum, quandoquidem
ignoratis Christum, ubi & Deum, & Mosem tot signis mon-
stratum? Illi autem non solùm ignorarunt, sed etiam convi-
ciis & contumeliis affecerunt, dum idolum faciunt. *Con-
vertit se autem Deus, & tradidit illos, ut serviant militiæ cæli.*
Hinc posteà & mores reliqui, hinc sacrificia. Isti primum
fecerunt sacrificia idolis. Hoc & David assignans dicit: *Et*
Ps.105,19. *fecerunt vitulum in Choreb, & adorarunt sculptile.* Quoniam D
ante hoc nusquam sacrificii nomen, sed præcepta viva, & elo-
quia viva: nusquam sacrificia, sed miracula & signorum osten-
siones. *Sicut scriptum est in libro Prophetarum*: hoc testi-
monium non simpliciter adduxit, sed ut ostendat non esse opus
Am 5,25. sacrificiis. Et vide quid, *num victimas & sacrificia obtulistis mihi
in deserto quadraginta annis, & accepistis tabernaculum Moloch,
& sidus Dei vestri Rempham, figuras quas fecistis, ut adoraretis eas?*
Cum emphasi usus est verbo. Quod autem dicit, hunc sensum E
habet. Non potestis dicere, quòd ex eo quod mihi sacrificastis
etiam illis sacrificastis, idque in solitudine, ubi maximè illis præ-
sidebat. *& assumpsistis tabernaculum Moloch.* Causa sacrificiorum
ista fuit: *Et transferam vos ultra Babylonem.* Sic & captivitas ac-
cusatio malitiæ est. Et quomodo tabernaculum, inquit, testimonii?

A οὔτε δὲ πρὸ τούτου αὐτοὺς τὰ σημεῖα, οὔτε μετὰ ταῦτα ὠφέλησέ τι. ἣν καὶ "
εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ἡμῶν. ὁρᾷς, ὅτι ἐκεῖ τόπος "
ἅγιός ἐστιν, ἔνθα ἂν ᾖ [ὁ] Θεός; διὰ τοῦτο καὶ ἐν τῇ ἐρήμῳ εἶπεν, ἵνα τό-
πον τόπῳ συγκρίνῃ. εἶτα ἡ εὐεργεσία. καὶ εἰσήγαγον, φησί, δια- "
δεξάμενοι οἱ πατέρες ἡμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν "
ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν ἕως τῶν ἡμερῶν Δα- "
βίδ. ὃς εὗρε χάριν ἐνώπιον τοῦ Θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα "
B τῷ Θεῷ Ἰακώβ. ᾐτήσατο οἰκοδομεῖν ὁ Δαβίδ, καὶ οὐ λαμβάνει ὁ μέ- "
γας, ὁ θαυμαστός· ἀλλ' οἰκοδομεῖ ὁ ἀπερριμμένος [ὁ] Σολομών.
διὰ τοῦτό φησι· Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον ἀλλ' οὐχ ὁ ὕψι- "
στος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ. ἐδείχθη μὲν τοῦτο καὶ διὰ τῶν "
ἤδη λεχθέντων. δείκνυται δὲ διὰ φωνῆς προφητικῆς. καὶ ὅπως, ἄκουε
τῆς ἑξῆς. καθὼς καὶ ὁ προφήτης λέγει, ὁ οὐρανός μοι θρόνος, ἡ δὲ "
γῆ ὑποπόδιον τῶν ποδῶν μου. καὶ ποῖον οἶκον οἰκοδομήσετέ μοι; λέγει "
C Κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου [ἐστίν;] οὐχὶ ἡ χείρ "
μου ἐποίησε ταῦτα πάντα; μὴ θαυμάζετε, φησιν, εἰ τοὺς παραι- "
τουμένους αὐτοῦ τὴν βασιλείαν ὁ Χριστὸς εὐεργετεῖ, εἴγε καὶ ἐπὶ Μωϋ-
σέως τοῦτο γέγονε. καὶ οὐχ ἁπλῶς αὐτοὺς ἐξείλετο, ἀλλὰ καὶ ἐν τῇ ἐρή-
μῳ διάγοντας. ὁρᾷς ὅτι δι' αὐτοὺς καὶ ἐκεῖνα τὰ σημεῖα; ὁ τῷ Θεῷ
οὖν διαλεχθείς· ὁ ἐκ παραδόξου σωθείς, ὁ τοσαῦτα ἐργασάμενος
καὶ δυνηθείς, δείκνυσιν ὅτι πάντως πληρωθῆναι δεῖ τὴν προφητείαν,
D καὶ οὐκ ἐναντιοῦται ἑαυτῷ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. οὗτός
ἐστί, φησι Μωϋσῆς, ὁ εἰπών, προφήτην ὑμῖν ἀναστήσει Κύριος ὡς
ἐμέ. πρὸς τοῦτο οἶμαι τὸν Χριστὸν εἰπεῖν ἀναφέροντα, ἐκ τῶν Ἰουδαίων ἡ
σωτηρία ἐστίν, ἑαυτὸν αἰνιττόμενον. οὗτός ἐστιν ὁ γενόμενος ἐν τῇ ἐρή-
μῳ μετὰ τοῦ ἀγγέλου τοῦ λαλοῦντος αὐτῷ. ἰδοὺ πάλιν αὐτὸν δείκνυσι τὸν
νόμον δεδωκέναι, εἴγε μετ' αὐτοῦ ἦν ἐν τῇ ἐκκλησίᾳ ἐν τῇ ἐρήμῳ.
ἐνταῦθα δὲ καὶ θαύματος ὑπομιμνήσκει μεγάλου τοῦ ἐν τῷ ὄρει
E γεγενημένου. ὃς ἐδέξατο λόγια ζῶντα δοῦναι ἡμῖν. πανταχοῦ θαυμα-
στὸς ὁ Μωϋσῆς, καὶ [πλέον] ὅτε νομοθετεῖν ἔδει. τί ἐστι λόγια ζῶντα;
ἤτοι ὧν τὸ τέλος διὰ λόγων ἐδείκνυτο· ἤτοι τὰς προφητείας λέ-
γει. εἶτα τὸ ἔγκλημα τέως ἐπὶ τοὺς πατριάρχας, μετὰ τὰ σημεῖα, καὶ
τὰ θαύματα, μετὰ τὸ λαβεῖν λόγια ζῶντα, ᾧ οὐκ ἠθέλησαν, φη-
σιν, ὑπήκοοι γενέσθαι. καλῶς δὲ λόγια ζῶντα εἶπεν, ἵνα δείξῃ ὅτι εἰ-
σὶ καὶ οὐ ζῶντα. περὶ ὧν καὶ Ἰεζεκιὴλ φησιν· ὡς ὅταν λέγῃ· καὶ ἔδωκα
ὑμῖν προστάγματα οὐ καλά. πρὸς τὰ τοιαῦτα οὖν εἶπε τὸ ζῶντα.
A ἀλλ' ἀπώσαντο καὶ ἐστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον· ἔνθα
ἔστενον· ἔνθα ἐβόων· ὅθεν τὸν Θεὸν ἐκάλουν. καὶ εἶπον τῷ Ἀαρών· ποί-
ησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν. ὢ τῆς ἀνοίας! ποίησον, φη-
σιν, ἵνα προπορεύσωνται ἡμῶν. ποῦ; εἰς Αἴγυπτον. ὁρᾷς πῶς δυσ-
αποσπάστως εἶχον τῶν ἐθῶν τῶν Αἰγυπτιακῶν; τί λέγεις; οὐκ ἀνα-
μένεις τὸν ἐξαγαγόντα· ἀλλὰ ἀρνῇ τὴν εὐεργεσίαν, καὶ τὸν εὐεργέτην
φεύγεις; καὶ ὅρα πῶς ὑβρίζουσιν. ὁ γὰρ Μωσῆς οὗτος, φησίν, ὃς ἐξ-
B ήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου. οὐδαμοῦ Θεοῦ ὄνομα, ἀλλὰ πάντα τῷ
Μωϋσεῖ ἐπέγραφον. καὶ ἔνθα μὲν αὐτοὺς εὐχαριστεῖν ἦν, Μωϋσῆν φέ-
ρουσιν εἰς μέσον· ἔνθα δὲ πειθαρχῆναι νόμῳ, οὐκ ἔτι Μωϋσῆν ἄγουσι.
καὶ μὴν εἶπεν, ὅτι ἀνέβη ὥστε λαβεῖν τὸν νόμον. οἱ δὲ οὐδὲ τεσσαράκον-
τα ἡμέρας ὑπέμειναν. ποίησον ἡμῖν θεούς. οὐκ εἶπον Θεόν, ἀλλὰ
θεούς. οὕτως ἀνεβακχεύθησαν, οἱ οὐδὲ ἴσασιν ἃ λέγουσι. καὶ ἐμοσχο-
ποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίας τῷ εἰδώλῳ.
C εἶδες ἀνοίας ὑπερβολήν; ἔνθα ἐφάνη Θεὸς τῷ Μωϋσεῖ μοσχοποιοῦ-
σιν οὗτοι καὶ θύουσι, καὶ εὐφραίνοντο, φησιν, ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν. ἐφ' οἷς ἔδει ἐγκαλύπτεσθαι, ἔχαιρον. καὶ τί θαυμαστόν, εἴγε
ἀγνοεῖτε Χριστόν, ὅπου καὶ τὸν Μωϋσέα, καὶ τὸν Θεὸν τὸν δειχθέντα διὰ
τοσούτων σημείων. οἱ δὲ οὐκ ἠγνόησαν μόνον, ἀλλὰ καὶ ὕβρισαν ἑτέ-
ρας, τῷ εἴδωλα ποιῆσαι. ἔστρεψε δὲ ὁ Θεός, καὶ παρέδωκεν αὐτοὺς λα-
τρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ. ἐντεῦθεν λοιπὸν τὰ ἔθη ταῦτα, ἐντεῦ-
D θεν αἱ θυσίαι· αὐτοὶ πρῶτον ἐποίησαν θυσίας τοῖς εἰδώλοις. τοῦτο
καὶ Δαβὶδ ἐπισημαινόμενος λέγει· καὶ ἐποίησαν μόσχον ἐν Χωρήβ,
καὶ προσεκύνησαν τῷ γλυπτῷ, ἐπεὶ πρὸ τούτου οὐδαμοῦ θυσίας ὄνο-
μα, ἀλλὰ προστάγματα ζῶντα, καὶ λόγια ζῶντα· οὐδαμοῦ τελε-
ταί, ἀλλὰ θαύματα καὶ σημείων ἐπιδείξεις. καθὼς γέγραπται ἐν
βίβλῳ τῶν προφητῶν, ἐνταῦθα τὴν μαρτυρίαν οὐχ ἁπλῶς παρήγα-
γεν, ἀλλ' ἵνα δείξῃ τὸ μὴ εἶναι χρείαν θυσιῶν. καὶ ὅρα τί φησι. μὴ
E σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρή-
μῳ; καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν
Ῥεφφάν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς. ἐμφατικῶς
ἐχρήσατο τῇ λέξει. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἔχετε εἰπεῖν,
ὅτι ἀπὸ τοῦ ἐμοὶ θύειν κἀκείνοις ἐθύετε· καὶ ταῦτα ἐν τῇ ἐρήμῳ,
ἔνθα μάλιστα αὐτῶν προειστήκει. καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολόχ· ἡ αἰτία τῶν θυσιῶν αὕτη. καὶ μετοικιῶ ὑμᾶς
ἐπέκεινα Βαβυλῶνος. οὕτω καὶ ἡ αἰχμαλωσία κατηγορία τῆς κακίας. καὶ πῶς ἡ σκηνή, φησίν, ἦν τοῦ μαρτυρίου;

[ἀλλὰ]

[ἀλλὰ] διὰ τοῦτο ἦν, ἵνα μάρτυρα τὸν Θεὸν ἔχωσιν. οὐκοῦν εἰς τοῦτο μόνον ἦν· κατὰ τὸν τύπον γάρ, φησί, τὸν δειχθέντα σοι ἐν τῷ ὄρει, ὥστε ἐν τῷ ὄρει ἡ ὑπογραφὴ γέγονε. καὶ αὕτη δὲ ἐν τῇ ἐρήμῳ περιφορητὴ ἦν, καὶ οὐκ ἐν τόπῳ κειμένη. μαρτυρίου δὲ σκηνήν, οὐκ ἄλλης τινὸς χάριν, ἢ τῶν θαυμάτων καὶ τῶν προσταγμάτων καλεῖ. ὅμως γοῦν καὶ αὕτη, καὶ ἐκεῖνοι οὐκ εἶχον ναόν. ἄρα καὶ τὸν τύπον αὐτοῦ αὐτὸς ὁ ἄγγελος ἔδωκεν. ἕως τῶν ἡμερῶν, φησί, Δαβίδ. ὥστε οὐκ ἦν ναὸς ἄχρι τότε· καίτοι καὶ τὰ ἔθνη ἐξέωσε. περὶ ὧν, φησίν· ὧν ἐξῶσεν ὁ Θεὸς ἀπὸ προσώπου τῶν πατέρων ἡμῶν. τοῦτο δὲ εἶπε, δεικνὺς πάλιν ὅτι οὐκ ἦν τότε ναός. τί λέγω; τοσαῦτα θαύματα, καὶ οὐδαμοῦ ναός· οὕτω καὶ πρώτη ἡ σκηνή, καὶ οὐδαμοῦ ναός. καὶ ᾐτήσατο εὑρεῖν χάριν ἐνώπιον τοῦ Θεοῦ. ᾔτησε καὶ οὐκ ᾠκοδόμησεν. οὕτως οὐκ ἦν μέγα τι ὁ ναός, εἰ καὶ ἐνόμισάν τινες μέγαν εἶναι τὸν Σολομῶντα τῷ τὸν ναὸν οἰκοδομῆσαι, διὰ τοῦτο καὶ τοῦ πατρὸς αὐτοῦ προετίθεσαν. ὅτι δὲ οὐχὶ βελτίων ἦν τοῦ πατρός, ἀλλ' οὐδὲ ἰσότιμος, μόνον δὲ ἀπὸ τῆς τῶν πολλῶν ὑπολήψεως, δῆλον αὐτὸ ἐποίησεν ἐπαγαγών· ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης φησίν· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. οὐδὲ γὰρ ταῦτα ἄξια Θεοῦ, εἴγε ποιήματά ἐστιν, εἴγε τῆς χειρὸς αὐτοῦ ἔργα. ὅρα πῶς αὐτοὺς κατὰ μικρὸν ἀνήγαγε. δείκνυσι γὰρ διὰ τοῦ προφήτου, ὅτι οὐδὲ ταῦτα ἔξεστι Θεοῦ ἄξια λέγειν. καὶ τίνος ἕνεκεν, φησίν, ἐνταῦθα καταφορικῶς τῷ λόγῳ κέχρηται; πολλὴ ἦν ἡ παρρησία, μέλλοντος αὐτοῦ ἀποθνήσκειν. καὶ γὰρ καὶ τοῦτο οἶμαι αὐτὸν ἐξ ἀποκαλύψεως εἰδέναι. Σκληροτράχηλοι καὶ ἀπερίτμητοι ταῖς καρδίαις, καὶ τοῖς ὠσί. καὶ τοῦτο προφητικόν. οὐδὲν αὐτοῦ ἴδιον. Ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ πατέρες ὑμῶν καὶ ὑμεῖς. ὅτε οὐκ ἐβούλετο θυσίας εἶναι, ὑμεῖς ἐθύετε· ὅτε οὐκ ἤθελε δοῦναι ὑμῖν προστάγματα, ἐπεσπάσασθε· ὅτε ἐλάβετε, ἠμελήσατε. πάλιν ὅτε εἱστήκει ὁ ναός, εἴδωλα ἐθεραπεύετε· ὅτε βούλεται χωρὶς ναοῦ θεραπεύεσθαι, τὸ ἐναντίον ποιεῖτε. ὅρα, οὐκ εἶπε, τῷ Θεῷ ἀντιπίπτετε, ἀλλὰ τῷ πνεύματι. οὕτως οὐδὲ μίαν οἶδε διαφοράν. καὶ τὸ μεῖζον, ὡς οἱ πατέρες ὑμῶν, φησί, καὶ ὑμεῖς. οὕτω καὶ ὁ Χριστὸς ὠνείδιζεν, ἐπειδὴ μεγάλα ἀεὶ ἐπὶ τοῖς πατράσιν ηὔχουν. τίνα τῶν προφητῶν οὐκ ἐδίωξαν οἱ πατέρες ὑμῶν, καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου; ἔτι τοῦ δικαίου λέγει, βουλόμενος αὐτοὺς καταστεῖλαι. οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε. δύο αὐτοῖς ἐγκαλεῖ, ὅτι τε ἠγνόησαν, καὶ ὅτι ἐφόνευσαν. οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. τί ἐστι τοῦτο; τινές φασι, τὸν ὑπὸ ἀγγέλων λέγει διαταχθέντα. οὐκ ἔστι δέ. ποῦ γὰρ ἄγγελοι νόμον ἐφάνησαν διατάττοντες; ἀλλὰ διαταχθέντα νόμον λέγει, τὸν ἐγχειρισθέντα αὐτῷ δι' ἀγγέλου τοῦ ὀφθέντος αὐτῷ ἐν τῇ βάτῳ. μὴ γὰρ ἄνθρωπος ἦν; οὐδὲν οὖν θαυμαστὸν τούτους ἐκεῖνα ποιήσαντας, φησί, καὶ ταῦτα ποιῆσαι. εἰ τοὺς καταγγείλαντας ἀνείλετε· πολλῷ μᾶλλον αὐτόν. [ἐνταῦθα] καὶ Θεῷ καὶ ἀγγέλοις, καὶ τοῖς προφήταις, καὶ τῷ πνεύματι, καὶ πᾶσι δείκνυσιν ἀπειθοῦντας, καθὼς καὶ ἑτέρωθι, φησίν, ἡ γραφή· Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν. ἐπειδὴ τοίνυν ἀντιποιούμενοι λόγῳ τοῦ νόμου, ἔλεγον· εἰς Μωσῆν βλασφημεῖ. ὁ δὲ δείκνυσιν, ὅτι αὐτοὶ βλασφημοῦσι [μᾶλλον,] οὐ μόνον εἰς Μωσῆν, ἀλλὰ καὶ εἰς Θεόν, καὶ ὅτι αὐτοὶ ἄνωθεν τοιαῦτα ποιοῦσι· καὶ ὅτι αὐτοὶ τὰ ἔθη κατέλυσαν· καὶ ὅτι οὐ χρεία τούτων λοιπόν· καὶ ὅτι ἐγκαλοῦντες, καὶ λέγοντες Μωσῇ ἐναντιοῦσθαι αὐτόν, αὐτοὶ τῷ πνεύματι ἠναντιοῦντο, καὶ οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ φόνου· καὶ ἄνωθεν εἶχον τὴν ἔχθραν. ὁρᾷς ὅτι καὶ Μωσῇ, καὶ πᾶσι δείκνυσιν ἐναντιουμένους αὐτούς, καὶ τὸν νόμον μὴ φυλάττοντας; καίτοιγε Μωσῆς εἶπε, προφήτην ὑμῖν ἀναστήσει Κύριος· καὶ οἱ ἄλλοι δὲ τοῦτον ἐλεύσεσθαι προὔλεγον· καὶ ὁ προφήτης λέγων, ποῖον οἶκον οἰκοδομήσετέ μοι; καὶ πάλιν· μὴ σφάγια καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα; τοῦτο παρρησία ἀνδρὸς τὸν σταυρὸν ἔχοντος. μιμώμεθα τοίνυν καὶ ἡμεῖς ταύτην, εἰ καὶ πολέμου οὐκ ἔστι καιρός, ἀλλὰ παρρησίας καιρός ἐστιν. ἐλάλουν γάρ, φησίν, ἐν τοῖς μαρτυρίοις σου, ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. ἂν τοίνυν Ἕλλησι συμπλεκώμεθα, οὕτως αὐτοὺς ἐπιστομίζωμεν, χωρὶς θυμοῦ, χωρὶς τραχύτητος. ἂν μὲν γὰρ μετὰ θυμοῦ τοῦτο ποιῶμεν, οὐκ ἔτι παρρησία, ἀλλὰ πάθος εἶναι δοκεῖ· ἂν δὲ ἐπιεικῶς, οὕτως ἐστὶν αὕτη παρρησία. οὐ γὰρ δυνατὸν ὁμοῦ κατὰ ταὐτὸ [καὶ] κατόρθωμα εἶναι καὶ ἐλάττωμα. ἡ παρρησία, κατόρθωμα· ὁ θυμός, ἐλάττωμα. δεῖ τοίνυν ἡμᾶς εἰ μέλλομεν παρρησίαν ἔχειν, καθαροὺς εἶναι τοῦ θυμοῦ, ἵνα μὴ ἐκείνῳ τις λογίσηται τὰ ῥήματα. κἂν δίκαια λέγῃς μετὰ θυμοῦ, τὸ πᾶν ἀπώλεσας· κἂν παρρησιάζῃ, κἂν νουθετῇς, κἂν ὁτιοῦν πράττῃς. ὅρα τὸν ἄνδρα τοῦτον οὐ μετὰ θυμοῦ διαλεγόμενον. οὐ γὰρ δὴ ὕβριζεν· ἀλλὰ προφητικοὺς αὐτοὺς ἀνεμίμνησκε λόγους.

A Sed propter hoc erat, ut testem Deum habeant. Igitur ad hoc solum erat. *Secundum figuram enim*, inquit, *monstratam in monte*, & ita in monte depictio facta est. Istud autem in solitudine circumgestabatur, & in loco non erat situm. *Testimonii* autem *tabernaculum*, non aliam ob causam quàm propter miracula & præcepta. Porrò & istud & illi non habebant Templum, sed figuram illam Angelus ille dedit. *Usque ad dies*, inquit, *David*. Usque: Tunc B igitur non erat Templum, quamvis etiam Gentes expulsæ essent. De quibus dicit: *Quas expulit Deus à facie patrum nostrorum*. Hoc autem dicens ostendit quod tunc non erat Templum. Quid dico, tanta miracula, & nusquam Templum? Sic, & primum Tabernaculum, & nusquam Templum. *Et petivit ut inveniret gratiam coram Deo*. petivit & non extruxit. Sic non erat magnum quid Templum: quamvis putaverunt quidam Salomonem magnum esse, quia ex- C truxit Templum, qui propter hoc & patri suo illum prætulerunt. Quòd autem non melior fuerit patre, sed neque par, solùm autem juxta quorumdam opinionem, manifestavit id adjiciens: *Sed neque qui celsus est, habitat in Templis manufactis, sicut Propheta dicit: Cælum mihi sedes: terra autem scabellum pedum meorum*. Neque enim hæc digna Deo, quandoquidem facturæ sunt, & manus illius opera. Vide quomodo illos paulatim abducit, ostendens enim per Pro- D phetam, quòd indignum sit hæc de Deo dicere. Et cujus gratia hîc metaphorico usus est sermone? Magna dicendi libertas erat in morituro. Etenim opinor illud etiam ex revelatione cognovisse: *Dura cervice & incircumcisis labiis ac auribus*. Etiam hoc propheticum est; neque illius proprium. *Vos semper Spiritui sancto resistitis, sicut patres vestri, & vos*. Quando nolebat esse sacrificia, vos sacrificabatis: quando noluit vobis dare præcepta, requirebatis: quando accepistis, E neglexistis. Iterum quando stabat Templum, idolis serviebatis: quando vult absque Templo sibi serviri, iterum contrarium facitis. Non dixit: Deo resistitis, sed *spiritui*. Sic nullum fecit in personis discrimen. Et quod majus, *Sicut patres vestri*, inquit, *& vos*. Ita & Christus opprobravit, quoniam semper magna crepabant de Prophetis: *Quem Prophetarum non sunt persequuti patres vestri? Et occiderunt eos qui prædixerunt de adventu justi*. Adhuc *Justi* dicit, volens illos comprimere. A *Cujus nunc vos proditores & occisores fuistis*. Duo illis improperat, & quod ignorarunt, & quòd occiderunt. *Qui scilicet accepistis legem per dispositiones Angelorum, nec servastis*. Quid est hoc? Quidam putant eum dicere: illam quæ ordinata fuit ab Angelis. Non est autem sic: ubi enim Angeli apparuerunt, ordinantes legem? Sed *dispositam legem* dicit eam, quæ illi tradita fuit per Angelum qui illi apparuit in rubo. Nónne homo erat? Nihil igitur mirabile eos qui illa B fecerant, & hæc facere. Si eos qui denuntiarant occidistis, multò magis illum. Hic & Deo, & Angelis, & spiritui, & prophetis, & omnibus ostendit inobedientes. Sicut & alio in loco inquit scriptura, *Domine, Prophetas tuos occiderunt & altaria tua subverterunt*. Igitur illi verbis simulantes se observantes legis dixerunt: *In Mosem blasphemavit*. Ille autem ostendit, quòd ipsi potius non blasphemant solùm in Mosen, sed etiam in Deum, & quòd illi antea similia fece- C rint, & dissiparint instituta, & quòd non opus illis, & quod improperantes & dicentes se Mosi contrarium, ipsi Spiritui sancto contrarii fuerunt: & non simpliciter, sed etiam cum cæde, & iterum habuerunt inimicitias. Vides quòd & Mosi & omnibus ostendit illos esse contrarios, legemque non servare. Quamvis sanè Moses dixisset: *Prophetam vobis suscitabit Dominus*, & alii hunc venturum prædixerunt. Et propheta, dicens: *Qualem mihi domum ædificabitis?* Et iterum: *Num* D *victimas & sacrificia obtulistis mihi annis quadraginta?* Hæc erat libertas viri in dicendo, qui crucem ferebat. Imitemur igitur & nos illam, tametsi non sit tempus belli: *Loquebar enim*, inquit, *de testimoniis tuis in conspectu Regum, & non confundebar*. Si igitur commisceamur cum Gentibus, sic illorum obturemus ora absque ira & absque asperitate. Nam siquidem cum furore hoc fecerimus, non jam fiducia, sed affectio esse videtur. Si autem mansuetè, tunc est vera lo- E quendi libertas. Non enim possibile est simul idem secundum seipsum & bonum opus esse ac delictum. Dicendi libertas bonum opus est: furor, delictum. Igitur nos liberè dicturos, mundos à furore esse oportet, ut ne illi imputentur verba: licèt justa cum furore dicas, totum perdideris etiam si liberè loquaris, etiam si moneas, etiam si quodvis operatus fueris. Vide virum illum non cum furore loqui. Neque enim contumelia affecit, sed illos Prophetici sermonis admonuit.

3. Reg. 19. 10.

Psal. 118. 46.

Nam quod ex furore non fuerit loquutus, ostendebat, quando in cruciatibus pro illis orabat, & dicebat: *Ne statuas illis peccatum hoc.* Adeò non irascebatur illis, sed dolebat pro illis, & mordebatur hæc dicens, quoniam & de facie illius ideò dicebat: *Viderunt faciem illius quasi Angeli*; ut illos attraheret. Puri igitur ab ira simus. Non habitat Spiritus sanctus, ubi furor. Maledictus furibundus. Nihil sani potest ingredi, ubi egreditur furor. Nam sicut in tempestate maris magnus est tumultus, magnus clamor, & nec ad tempus potest quis philosophari: Sic neque in ira. Sed si quid philosophicum vel dicendum, vel faciendum, oportet prius in portu esse. Non vides quomodo quando voluerimus de aliquibus necessariis loqui, locos à turbatione mundos observamus, ibi tranquillitas, ibi silentium, ut ne expellamur? Si autem qui foris est tumultus impedit, multò magis interna turbatio. Et si orat quis frustra orat cum ira hoc faciens: etsi tacet, iterum simile est: etsi comedat, etiam sic damnum habet: & si bibat, etsi sedeat, etsi surgat, etsi eat, etsi dormiat: nam & in somniis talia imaginantur. Quid in iracundo non turpe? oculi insuaves, os distortum, membra tremula, lingua infrænis, nullique parcens, mens stupida, figura indecens, multa insuavitas. Vide oro dæmoniacorum oculos & ebriorum, & insanientium, quid differunt inter se? Nónne nihil est quam insania? Quid enim si ad tempus hoc fit: nam & insaniens ad tempus detinetur. Hoc autem quid pejus? & non confunduntur in defensione. Nesciebam, inquit, quid dixi. Et quare nesciebas hoc, homo rationalis: rationem habens? Quare ea quæ brutorum sunt facis, sicut equus ferox ab ira & furore raptus? Profectò defensio hæc crimen meretur. Utinam scisses quæ dixisses. Iræ verba sunt, inquit, non mea. Quomodo illius? Etenim ira non habet robur, nisi à te accipiat. Quasi quis dixerit, manus sunt, non mea vulnera. Cui putas maximè opus esse ira, nónne bello & prælio? Sed & illic si quid cum ira fit, totum perit ac corrumpitur. Maximè certantes convenit non irasci, maximè eos qui contumelia afficiuntur, convenit non irasci. Et quomodo certandum est, inquit? ratione ac mansuetudine. Certamen enim est ex adverso stare. An non vides & bella legibus & ordinationibus & temporibus definita? Ira enim nihil est quam irrationalis impetus. Nihil autem

3.Reg.18.21 requirit: per id quod ratione caret, geri potest. Quoniam & hic talia loquebatur, & non irascebatur. Et Helias di-

Num.21,10 cebat: *Quousque claudicatis in utrasque coxas?* & non irascebatur. Et *Phinees occidebat*, & non irascebatur. Ira enim non permittit videre, sed quasi in nocturna pugna omnia ligat, & oculos, & aures, & trahit quoquò voluerit. Liberemur igitur ab hoc dæmone, incipientem illum compescamus. Sigillum tanquam frænum impone pectori. Canis impudens est ira, sed discat audire legem. Nónne si canis ita in caula ferox sit, ut non obediat imperanti pastori, neque illius vocem agnoscat, omnia pereunt ac corrumpuntur? Cùm ipsis ovibus pascitur, sed si illas depascitur, inutilis est ac occiditur. Si didicerit te audire, ale canem, utilis est contra fures, contra latronum principem latrans, non contra oves, neque contra familiares. Si non audiet, omnia corrumpit. Si didicerit contemnere, omnia perdit. Quod igitur in te est mansuetum, ne consumat, sed custodiat ira & pinguefaciat: custodiet autem, & in magna securitate servire faciet; si malas & pollutas cogitationes conficiat, si diabolum persequatur undequaque. Sic mansuetudo servatur, quando nunquam imputamus malum quiddam proximo. Sic venerabiles efficimur, quando non solemus esse impudentes. Nihil enim ita impudentem facit, sicut mala conscientia. Quare scorta impudentia sunt? Quare virgines pudibundæ? Nónne illa propter peccatum, hæ propter continentiam? Nihil sic enim impudentem facit, atque peccatum. At, dicet quis, quod & de contrario erubescitur: Nam illum de se desperare, alium autem impudentiorem perfrictæque frontis effi-

Prov.18,3. cit. Qui enim de se desperat, audax fit. *Impius enim*, inquit, *si in profundum malorum ingressus fuerit, contemnit.* Qui autem impudens & roboris expers fuerit, sic audax & pertinax efficitur. Vis discere, ut mansuetudo consumatur? Quando malæ cogitationes illam perdomuerint, quamvis & hoc contingat, quia non stat canis multum latrans. Neque sic desperandum. Est enim & nobis fundibula ac lapis. Scitote quod dicitur: Est nobis & lancea, & pera, & sica, qua custodiemus cogitationes illæsas. Si canis aduletur quidem ovibus, ferociat autem contra externos & vigilet,

A ὅτι γὰρ οὐκ ἦν θυμοῦ, ἔδειξεν ὅτε κακῶς ἔπασχε [τότε] ὑπὲρ αὐτῶν εὐχόμενος καὶ λέγων· μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. οὕτως οὐκ ὀργιζόμενος αὐτοῖς, ἀλλὰ ἀλγῶν ὑπὲρ αὐτῶν, καὶ δακνόμενος ταῦτα ἐφθέγγετο. ἐπεὶ καὶ περὶ τῆς ὄψεως διὰ τοῦτο εἶπεν, ὅτι εἶδον τὸ πρόσωπον αὐτοῦ ὡσεὶ πρόσωπον ἀγγέλου, ἵν᾽ αὐτοὺς ἐφελκύσηται. καθαροὶ τοίνυν θυμοῦ ὦμεν. οὐ κατοικεῖ τὸ πνεῦμα τὸ ἅγιον ἔνθα θυμός. ἐπικατάρατος ὁ θυμώδης· οὐκ ἔστιν οὐδὲν ὑγιὲς προελθεῖν B ὅθεν θυμὸς ἔξεισι. καθάπερ γὰρ ἐν χειμῶνι θαλαττίῳ, πολὺς ὁ θόρυβος, μεγάλη ἡ κραυγή, καὶ οὐκ ἂν ἔχοι τις καιρὸν φιλοσοφεῖν· οὕτως οὐδὲ ἐν θυμῷ. [ἀλλ᾽] εἰ μέλλει τι φιλοσοφεῖν ἢ λέγειν ἢ παιδεύεσθαι ψυχή, ὀφείλει πρότερον ἐν λιμένι εἶναι. οὐχ ὁρᾷς, πῶς, ὅταν βουλώμεθα περί τινων ἀναγκαίων διαλεχθῆναι, τόπους θορύβου καθαροὺς παρατηρούμενοι, ἔνθα ἡσυχία, ἔνθα γαλήνη, ἵνα μὴ ἐκκρουώμεθα; εἰ δὲ ὁ ἔξωθεν ἐκκρούει θόρυβος, πολλῷ μᾶλλον ἡ ἔνδον ταραχή. κἂν εὔ- C χηταί τις, εἰκῇ εὔχεται μετ᾽ ὀργῆς καὶ θυμοῦ τοῦτο ποιῶν· κἂν φθέγγηται, καταγέλαστος ἔσται· κἂν σιγᾷ, πάλιν ὁμοίως· κἂν ἐσθίῃ, καὶ οὕτως ἐβλάβη· κἂν πίῃ, κἂν καθέζηται, κἂν στήκῃ, κἂν βαδίζῃ, κἂν καθεύδῃ. καὶ γὰρ ἐν τοῖς ὀνείροις τοιαῦτα φαντάζεται. τί γὰρ τῶν τοιούτων οὐκ ἄτοπον; ὀφθαλμοὶ ἀηδεῖς· στόμα διεστραμμένον· μέλη κεκινημένα καὶ οἰδαίνοντα· γλῶσσα ἀκρατής, καὶ οὐδενὸς φειδομένη· διάνοια ἐξεστηκυῖα· σχῆμα ἀπρεπές· πολλὴ ἡ ἀηδία. ἰδέ μοι τῶν δαιμο- D νώντων τοὺς ὀφθαλμούς, καὶ τῶν μεθυόντων, καὶ μαινομένων, τί διεστήκασιν ἀλλήλων; οὐχὶ μανία τὸ πᾶν ἐστι; τί γὰρ εἰ πρὸς καιρὸν τοῦτο γίνεται; καὶ γὰρ ὁ μαινόμενος, πρὸς καιρὸν κατέχεται. τούτου δὲ τί χεῖρον; καὶ οὐκ αἰσχύνονται ἐπὶ τῇ ἀπολογίᾳ· οὐκ ᾔδειν, φησί, τί εἶπον. καὶ διατί μὴ ᾔδεις; οὐ τοῦτο ὁ λογικὸς ἄνθρωπος, ὁ λογισμὸν ἔχων; διατί τὰ τῶν ἀλόγων ποιεῖς, καθάπερ ἵππος ἄγριος ἀπὸ θυμοῦ, καὶ ὀργῆς συναρ- E παγείς; καὶ μὴν ἡ ἀπολογία ἐγκλήματος ἀξία. εἴθε γὰρ ᾔδεις ἃ ἔλεγες. τοῦ θυμοῦ, φησίν, ἐστι τὰ ῥήματα, οὐκ ἐμά. πῶς ἐκείνου; καὶ μὴν ὁ θυμὸς οὐκ ἔχει ἰσχὺν ἂν μὴ παρὰ σοῦ λάβῃ. ὥσπερ ἂν εἴποι τις, τῆς χειρός ἐστιν, οὐκ ἐμὰ τὰ τραύματα. τί οὖν μάλιστα δεῖται θυμοῦ; οὐχὶ πόλεμον καὶ μάχην; ἀλλὰ καὶ ἐκεῖ ἂν μετὰ θυμοῦ τι γένηται, τὸ πᾶν διέφθαρται καὶ ἀπόλωλε. μάλιστα γὰρ τοὺς μαχομένους θυμοῦσθαι οὐ χρή. μάλιστα τοὺς ὑβρίζοντας θυμοῦσθαι οὐ χρή. καὶ πῶς ἔνι μάχεσθαι, φησίν; A λόγῳ, ἐπιεικείᾳ. μάχη γάρ ἐστι τὸ ἐξεναντίας στῆναι. ἢ οὐχ ὁρᾷς καὶ τούτους τοὺς πολέμους νόμῳ καὶ διατάξει καὶ καιροῖς ὡρισμένους; θυμὸς γὰρ οὐδέν ἐστιν, ἢ ὁρμὴ ἄλογος. ἀλόγου δὲ οὐδὲν λογικὸν γενέσθαι δυνατόν· ἐπεὶ καὶ οὗτος τοιαῦτα ἐφθέγγετο, καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Ἠλίας ἔλεγεν, ἕως πότε χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; καὶ οὐκ ἐθυμοῦτο. καὶ ὁ Φινεὲς ἔσφαξε, καὶ οὐκ ἐθυμοῦτο. ὁ γὰρ θυμὸς οὐκ ἀφίησιν ἰδεῖν, ἀλλὰ καθάπερ ἐν νυκτομαχίᾳ πάντα συνδήσας, καὶ B ὀφθαλμοὺς καὶ ὦτα οὕτως ἄγει, ὅποι περ ἂν ἐθέλῃ. ἀπαλλαγῶμεν οὖν τούτου τοῦ δαίμονος· ἀρχόμενον αὐτὸν καταστέλλωμεν· τὴν σφραγῖδα ἐπιθῶμεν τῷ στήθει καθάπερ τινὰ χαλινόν. κύων ἐστὶν ἀναιδὴς ὁ θυμός. ἀλλὰ μαθέτω ἀκούειν τοῦ νόμου. ἂν ἡ κύων ἐν ποίμνῃ οὕτως ἄγριος, ὡς μὴ πείθεσθαι προστάττοντι τῷ βουκόλῳ, μηδὲ ἐπιγινώσκειν αὐτοῦ τὴν φωνήν, πάντα ἀπόλωλε καὶ διέφθαρται. μετὰ τῶν προβάτων νέμεται· ἀλλ᾽ ἐὰν ἀπογεύηται τῶν προβάτων, ἄχρηστός ἐστι καὶ C κατασφάττεται. εἰ ἔμαθεν ἀκούειν σου, θρέψον τὴν κύνα· χρήσιμός ἐστι κατὰ τῶν λύκων, κατὰ τῶν πειρατῶν, κατὰ τοῦ λῃστάρχου ὑλακτοῦσα, οὐ κατὰ προβάτων, οὐδὲ κατὰ οἰκείων. ἂν μὴ ἀκούῃ, πάντα διαφθείρει· ἂν μάθῃ καταφρονεῖν, πάντα ἀπολλύει. τὸ τοίνυν ἥμερον τὸ ἐν σοὶ μὴ ἀναλισκέτω, ἀλλὰ φυλαττέτω ὁ θυμὸς καὶ πίον ποιείτω. φυλάξει δὲ καὶ ἐν ἀσφαλείᾳ πολλῇ νέμεσθαι καταστήσει, ἂν τοὺς μιαροὺς λογισμοὺς καὶ τοὺς πονηροὺς καταναλίσκῃ, ἂν τὸν διάβολον διώκῃ πανταχόθεν. D οὕτως ἐπιείκεια διασώζεται, ὅταν μηδαμοῦ τῷ πλησίον κακόν τι λογιζώμεθα. οὕτως αἰδέσιμοι γινόμεθα, ὅταν μὴ μανθάνωμεν ἀναισχυντεῖν. οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς πονηρὸν συνειδός. διατί αἱ πόρναι ἀναίσχυντοί εἰσι; διατί αἱ παρθένοι αἰσχυντηλαί; οὐκ ἀπὸ τῆς ἁμαρτίας ἐκεῖναι; οὐκ ἀπὸ τῆς σωφροσύνης αὗται; οὐδὲν γὰρ οὕτως ἀναίσχυντον ποιεῖ, ὡς ἁμαρτία. καὶ μὴν τοὐναντίον, φησί, καταισχύνει. καὶ τὸν καταγνόντα ἑαυτοῦ τότε ἀπηρυθριασμένον, καὶ ἰταμώτερον ἐργάζεται. ὁ γὰρ ἀπογνοὺς ἑαυτοῦ, θρασὺς γίνεται. ἀσεβὴς γάρ, φησιν, E ἐλθὼν εἰς βάθος κακῶν, καταφρονεῖ. ὁ δὲ ἀναίσχυντος, καὶ ἰταμὸς ἂν εἴη· ὁ δὲ ἰταμός, καὶ θρασύς. βούλει μαθεῖν πότε ἀναλίσκεται ἐπιείκεια; ὅταν πονηροὶ λογισμοὶ αὐτὴν διαμασῶνται. ἀλλ᾽ εἰ καὶ τοῦτο συμβαίνει, ὅτι μὴ ὁ κύων ἔστηκε μέγα ὑλακτῶν, οὐδὲ οὕτως ἀπογινώσκειν χρή. ἔστι γὰρ ἡμῖν καὶ σφενδόνη, καὶ λίθος· ἴστε τὸ λεγόμενον· ἔστιν ἡμῖν καὶ δόρυ, καὶ μάνδρα, καὶ σηκός, ἐν ᾧ φυλάξομεν τοὺς λογισμοὺς ἀσινεῖς. ἂν ὁ κύων σαίνῃ μὲν τὰ πρόβατα, ἀγριαίνῃ δὲ κατὰ τῶν ἔξω καὶ ἀγρυπνῇ,

οὕτ

τοῦτο ἀρετὴ κυνός· κἂν λιμώττῃ, μὴ γεύεσθαι τῶν προβάτων· κἂν ἐν πλησμονῇ ᾖ, μὴ φείδεσθαι τῶν λύκων. τοιοῦτον καὶ ὁ θυμὸς· κἂν δάκνηται, τῆς ἐπιεικείας μὴ ἀφίστασθαι· κἂν ἐν ἡσυχίᾳ ᾖ, διεγείρεσθαι πρὸς τοὺς πονηροὺς λογισμούς. καὶ τὸν μὲν οἰκεῖον καὶ πλήττοντα μὴ καταλιμπάνειν, ἀλλ' ἐπιγινώσκειν· τὸν δὲ ἀλλότριον καὶ σαίνοντα λυμαίνεσθαι. σαίνει ὁ διάβολος πολλάκις ὡς ὁ κύων· ἀλλὰ γνώτω πᾶς ὅτι ἀλλότριός ἐστιν. οὕτω δὴ καὶ ἡμεῖς τὴν ἀρετὴν, κἂν λυπῇ, σαίνωμεν· καὶ τὴν κακίαν, κἂν εὐφραίνῃ, ἀποστρεφώμεθα. μὴ γινώμεθα χείρους τῶν κυνῶν, οἳ μαστιζόμενοι καὶ ἀγχόμενοι οὐκ ἀφίστανται· ἂν δὲ αὐτοὺς καὶ τρέφῃ ὁ ἀλλότριος, πῶς οὐ μᾶλλον βλάψουσιν; ἔστιν ὅτε χρήσιμος ὁ θυμός· ἀλλ' ὅταν ὑλακτῇ κατὰ τῶν ἀλλοτρίων. τί ἐστιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῇ; ἀντὶ τοῦ, μὴ ἄμυνε σαυτῷ, μηδὲ ἐκδίκει. ἂν ἕτερον ἴδῃς ἀπολλύμενον, ὄρεξον χεῖρα. οὐκ εἰκῆ θυμὸς λοιπὸν τοῦτό ἐστιν, ὅταν τῆς οἰκείας συμπαθείας ἀπηλλαγμένος ᾖς. ἔλαβεν ὁ Δαβὶδ τὸν Σαοὺλ, καὶ οὐκ ἐθυμώθη, οὐδὲ ἐνέπηξε τὸ δόρυ τὸν ἐχθρὸν λαβὼν, ἀλλ' ἠμύνατο τὸν διάβολον. ὁ Μωϋσῆς, ὅτε μὲν ἀλλότριον ἀδικοῦντα εἶδε, καὶ ἀνεῖλεν· ὅτε δὲ οἰκεῖον, οὐκ ἔτι· ἀλλὰ τοὺς μὲν ἀδελφοὺς κατήλλαττεν, ἐκείνους δὲ καὶ ἀπωθεῖτο. καίτοι πρᾳότατον αὐτὸν ἡ γραφὴ μαρτυρεῖ· ἀλλ' ὅμως ἦν καὶ διεγηγερμένος. ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' ἔνθα μὲν πρᾳότητα ἐπιδείκνυσθαι χρὴ, πάντων θηρίων ἐσμὲν ἀγριώτεροι· ἔνθα δὲ διεγερθῆναι, πάντων νωθέστεροι καὶ ὑπνηλότεροι. ἐπεὶ οὖν οὐκ εἰς δέον κεχρήμεθα τοῖς ἐν ἡμῖν, διὰ τοῦτο καὶ εἰς οὐδὲν δέον ὁ βίος ἡμῶν ἀναλοῦται. οὕτω καὶ ἐν σκεύεσιν, ἐὰν ἄλλῳ ἄλλως χρήσηταί τις, τὰ πάντα ἀπόλλυσιν· ἐπεὶ ἂν μάχαιραν λαβών τις, ἔνθα αὐτῇ χρῆσθαι δεῖ μὴ χρῷτο, ἀλλὰ τῇ χειρὶ τοῦτο ποιοῖ, οὐδὲν πλέον ἐργάσεται· ὥσπερ καὶ ὁ ἔνθα τῇ χειρὶ χρήσασθαι χρὴ τὴν μάχαιραν μεταχειρίζων, πάντα ἂν ἀπολέσειεν. οὕτω δὴ καὶ ἰατρὸς, ἔνθα ἂν τέμνειν δέῃ μὴ τέμνων, καὶ ἔνθα ἂν μὴ χρὴ τέμνων, πάντα διαφθείρει. διὸ παρακαλῶ, ἡμεῖς εἰς καιρὸν χρώμεθα τῷ πράγματι. θυμοῦ γὰρ καιρὸς οὐδαμοῦ, ὅταν ἑαυτοῖς βοηθῶμεν· ἂν δὲ ἑτέρους διορθῶσαι χρὴ, τότε μάλιστα αὐτῷ χρῆσθαι δεῖ, ἵνα ἑτέρους ἐξαρπάσωμεν. οὕτω καὶ ἰσόθεοι ἐσόμεθα, τὸ ἀόργητον πανταχοῦ διατηροῦντες, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ ιη'.

Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον τοὺς ὀδόντας ἐπ' αὐτόν.

ΠΩΣ οὐκ ἔλαβον ἐκ τῶν εἰρημένων ἀφορμὴν εἰς τὸ ἀνελεῖν αὐτὸν, ἀλλ' ἐπιμαίνονται καὶ ζητοῦσιν αἰτίαν, θαυμάσαι ἄξιον. οὕτως ἀεὶ ἐν κακοῖς εἰσιν οἱ ἀδικοῦντες. καθάπερ οὖν οἱ ἀρχιερεῖς ἀποροῦντες ἔλεγον· τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; οὕτω δὴ καὶ οὗτοι διεπρίοντο. καὶ μᾶλλον ὁ θυμωθῆναι ὀφείλων ἐκεῖνος ἦν, ὁ μηδὲν μὲν ἀδικήσας, τὰ δὲ τῶν ἠδικηκότων παθὼν καὶ συκοφαντούμενος. ἀλλ' οἱ συκοφάνται μᾶλλον ἐλέγχονται καὶ ταύτῃ. οὕτως ἀληθὲς ὅπερ ἀεὶ ἔλεγον· ὅτι τὸ ποιεῖν κακῶς, τοῦτό ἐστι τὸ πάσχειν κακῶς. καίτοι αὐτὸς οὐδὲν ἐσυκοφάντησεν, ἀλλ' ἀπέδειξεν. οὕτως ὅταν ὑβριζώμεθα ἐν οἷς οὐ συνειδαμεν, οὐδὲν πάσχομεν. ἐβούλοντο μὲν οὖν ἀνελεῖν· ἀλλ' οὐ ποιοῦσι τοῦτο, αἰτίαν θέλοντες εὔλογον περιθεῖναι τῷ τολμήματι. τί οὖν; ἡ ὕβρις οὐκ ἦν εὔλογος; οὐκ ἦν αὐτοῦ [ἡ] ὕβρις, ἀλλὰ τοῦ προφήτου κατηγορία· ἢ ἑκόντες καὶ ἀνεβάλλοντο, ὥστε μὴ δόξαι διὰ τὰ εἰς αὐτοὺς αὐτὸν ἀνελεῖν, ὥσπερ οὖν καὶ τὸν Χριστὸν, ἀλλὰ δι' ἀσέβειαν. τοῦτο δὲ εὐσεβείας ἦν τὸ ῥῆμα. διὸ μετὰ τοῦ ἀνελεῖν ἐπιχειροῦντες, καὶ τὴν δόξαν αὐτοῦ βλάψαι, διεπρίοντο. ἐφοβοῦντο γὰρ μὴ πάλιν καινόν τι περὶ αὐτὸν ἄλλο γένηται. εἶτα ὅπερ ἐπὶ τοῦ Χριστοῦ ποιοῦσι, τοῦτο καὶ ἐπὶ τοῦ Στεφάνου. καὶ καθάπερ ἐκεῖ, ἐπειδὴ εἶπεν, ὄψεσθε ἐκ δεξιῶν τῆς δυνάμεως τὸν υἱὸν τοῦ ἀνθρώπου καθήμενον, βλασφημίαν τὸ πρᾶγμα ἔλεγον, καὶ μάρτυρας τοὺς ὄχλους ἐποίουν· οὕτω δὴ καὶ ἐνταῦθα. ἐκεῖ διέρρηξαν τὰ ἱμάτια· ὧδε τὰ ὦτα συνέχον. » Ὑπάρχων δὲ πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ, καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. κράξαντες δὲ φωνῇ μεγάλῃ, συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτὸν, καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν. καὶ μὴν εἰ ἐψεύσατο, ὡς μαινόμενον ἔδει ἀφεῖναι· ὁ δὲ οὕτως εἶπε, βουλόμενος αὐτοὺς ἐπαγαγέσθαι. καὶ ἐπειδὴ εἰπὼν περὶ τοῦ θανάτου μόνον, περὶ ἀναστάσεως οὐδὲν διελέχθη, καὶ τοῦτο λοιπὸν εὐκαίρως προστίθησι τὸ δόγμα. οὕτω δὲ αὐτῷ λέγει φανῆναι ὥς που διέξεισιν, ἵνα κἂν οὕτω δέξωνται τὸν λόγον,

A virtus est canis : & licet esuriat, non tangat oves : & licet satur sit, non parcat lupis. Talis & ira sit, licet irritetur, mansuetudinem non amittat : licet quieta sit, contra malas cogitationes insurgat. Suum Dominum etiam percutientem non relinquat, sed agnoscat : alienum autem etiam adulantem impetat. Adulatur diabolus, sæpe sicut canis, sed sciant omnes alienum esse. Sic sanè & nos virtuti, etiam si onerosa sit, applaudamus, & malitiam etiamsi exhilaret, aversemur. B Ne sim° deteriores canibus, qui flagellati & constricti non desciscunt. Si illos autem & pascat alienus, quomodo non magis nocebunt ? Est aliquando utilis ira, sed quando latrat contra alienos. Quid est, qui irascitur fratri suo temerè ? Hoc est: ne ulciscere teipsum, neque vindictam exige : si alium videris pereuntem, porrige manum : non ultra id tunc erit ira, quando à tua compassione liber fueris. Accepit David Saulem, & non iratus fuit : neque infixit lanceam suscepto inimico, sed C ultus est diabolum. Moses quando alienum injustè agere vidit, etiam occidit : quando autem cognatum, non item, sed fratres conciliavit, ab illis autem & repulsus est : tametsi mitissimum illum scriptura testetur, nihilominus erat etiam vivax & alacer. Nos autem non sic, sed ubi mansuetudinem declarare oportebat, omnibus bestiis sumus ferociores: ubi autem severos esse, omnibus segniores. Igitur quoniam his quæ in nobis sunt non utimur ut oportet, propter hoc etiam vita nostra D quam ut oportet instituitur. Sicut & in vasis si alio aliter utatur quis quàm oportet, omnia perdit: ut si quis accepto gladio non utatur ut oportet, sed manu hoc faciat, nihil ampliùs operabitur, & si ubi manu utendum, gladium adhibeat, omnia perdiderit. Sic certè & medicus, non incidens ubi oportet, & ubi non oportet incidens, omnia corrumpit. Ideò oro ut re hac tempestivè utamur. Iræ autem tempus nunquam, quando nosipsos juvamus: si autem alii corrigendi sunt, tunc ea utendum maximè, ut alios eripiamus. Ita & Deo æquales E erimus, per omnia soliciti, ne iræ simus obnoxii, & futura bona consequemur ; gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri, simul ac Spiritui sancto sit gloria, imperium nunc, & semper, & in secula seculorum, Amen.

1. Reg. 26, 10

Exo. 2, 13.

HOMILIA XVIII.

A *His autem auditis dissecabantur in cordibus suis, & stridebant dentibus in illum.*

ADmiratu dignum est, quomodo ex dictis illis non acceperunt occasionem occidendi illum. Ita semper malè habent ii qui injustè agunt. Itaque quemadmodum summi Sacerdotes secum perplexi, dicebant : *Quid faciemus hominibus istis ?* Ita sanè & isti *dissecantur.* Et profectò ille erat qui B succensere debebat, qui nihil quidem injustè egerat, passus autem est calumniam ac vim ab injustè agentibus. Cæterùm calumniatores magis arguuntur etiam hac ratione. Sic verum est id quod semper dicebam. Malè agere est verè malè pati, quamvis ille nihil perperam fecerit, sed virtutem suam demonstrarit. Ita quando contumelia afficimur, dum non sumus malè conscii, nihil patimur. Itaque volebant quidem C occidere, sed hoc non faciunt, eò quòd causam honestam suo facinori prætexere cupiebant. Quid igitur ? An non erat magna qua redarguebat contumelia ? Non illius erat contumelia, sed sic accusabat Propheta : Nónne sponte etiam remorabantur, ne videantur propterea illum occidere, quemadmodum scilicet & Christum, sed propter impietatem ? Hoc autem quod Stephanus loquebatur, pietatis erat verbum. Igitur attentantes etiam illius famam perdere cum morte, dissecaD bantur. Timebant enim ne iterum novi quippiam circa illum fieret. Deinde quod cum Christo fecerunt, id & cum Stephano. Et sicut illic postquam dixit : *Videbitis à dextris virtutis filium hominis sedentem* : blasphemiam esse dicebant, & testes turbas faciebant : ita etiam hoc loco. Illic disruperunt vestimenta, hic aures continebant. *Quum autem esset plenus Spiritu sancto, intentis in cœlum oculis, vidit gloriam Dei & Jesum stantem à dextris Dei ; & ait ; Ecce video cœlos apertos,* E *& filium hominis stantem à dextris Dei. Exclamantes autem voce magna, continuerunt aures suas, & impetum fecerunt unanimiter in eum, & ejectum eum civitate lapidabant.* Profectò si mentitus esset, ut insaniens relinquendus erat : ille autem sic loquens, volebat illos doceri. Et postquam dixit de morte solùm, & de resurrectione nondum dixit, etiam hoc posteà opportunè addidit dogma. Ita autem dicit sibi apparuisse, sicut alicubi tractat, ut & sic accipiant sermonem, qui

Supr. 4, 16.

Matt. 26, 64.

qui quoniam dixerat illum sedere, molestum illis erat. nunc istum de Resurrectione sermonem movet, & inquit *illum stare*. Ab hoc tempore conjecto, & faciem illius glorificatam. Deus enim quum sit misericors per quæ insidiabantur illi, iisdem volebat provocare siquidem nihil amplius factum esset: *Et ejectum extra civitatem lapidabant*. Iterum extra civitatem mors, quemadmodum de Christo. Et in ipsa morte confessio, & prædicatio divulgabatur: *Ac testes deposuerunt vestimenta ad pedes adolescentis, qui vocabatur Saulus, & lapidabant Stephanum invocantem ac dicentem: Domine Jesu Christe, accipe spiritum meum*. Hoc ostendit simul ac docet illos, quod non perit. *Et positis genibus, clamavit voce magna: Domine, ne statuas illis peccatum hoc*. Quemadmodum defendens; quod nec priora ex ira dixerit, inquit, *Domine*, volens hac quoque ratione conciliare illos: nam remittere iram ac furorem cedere, puramque ab affectione servare animam, valde acceptum facit sermonem.

Cap. VIII. *Saulus autem consenserat in necem ejus. Facta est autem in illa die persecutio magna adversus Ecclesiam quæ erat Hierosolymis, & omnes dispersi sunt per regiones Judææ, & Samariæ præter Apostolos*. Non temere contigit hæc persecutio, sed singulari dispensatione. Vides quomodo iterum tentationes permittit Deus fieri? Sed vide oro, hinc etiam quomodo dispensantur res. In admiratione fuerunt propter signa, flagellati nihil passi sunt, versati sunt in regionibus, crevit sermo, posteà permittit prohibitionem fieri magnam, & fit persecutio non vulgaris, ut ita simul & hos fugent. Timebant enim audaciores illos factos, ut omnibus manifestum existeret, quod homines fuerunt qui timebantur ac fugerent. Ut enim ne tu post hæc dicas, quod per gratiam solùm benè egerint, licet persecutionem paterentur, & permissi sunt etiam ipsi fieri timidiores, ac illi audaciores. *Et omnes dispersi sunt præter Apostolos*; inquit. Itaque non frustra dixi, dispensatione quadam factam persecutionem. Si enim non facta esset, neque discipuli dispersi essent: *Curaverunt autem ana Stephanum viri religiosi, & fecerunt planctum magnum super illo*. Vel nondum erant perfecti, vel quod tanta gratia præditus erat, ideo *& plangunt illum*. Simul autem hic ostendit illos homines fuisse, non solùm metus, sed etiam luctus & planctus. Quis enim non plorasset videns illum mansuetum agnum lapidari, & jacere mortuum? Justum illi epitaphium statuit Evangelista. Et *positis genibus* quum dixisset, *clamassetque voce magna: Et fecerunt planctum magnum super illo*. Sed videamus iterum quæ dicta sunt: *Quum esset autem plenus Spiritu sancto, intentis in cælum oculis vidit gloriam Dei, & Jesum stantem à dextris Dei, ac dixit: Ecce video cælos apertos; & continebant aures suas, & impetum fecerunt unanimiter in illum*. Quamvis aliàs accusatione hæc digna sint, nihilominus cogita quomodo eum qui talia signa fecerat, qui omnes sermone vicerat, qui talia dixerat, suscipientes, sicut volebant, furorem suum impleverunt. *Ac testes posuerant vestimenta sua ad pedes adolescentis, qui dicebatur Saulus*. Vide quàm diligenter ea quæ ad Paulum pertinent narrantur, ut tibi monstret opus Dei, quod posteà factum est cum illo: jam autem ille non solùm non credit, sed & plurimis illum manibus homicidarum mittit. Ideò & hoc manifestans dicebat: *Saulus verò consenserat in necem ejus*. Non simpliciter autem orat beatus hic, sed cum attentione: *Positis*, enim inquit, *genibus*. Unde divina illius & mors facta est. Nam huc usque permissum erat animabus in inferno esse. *Omnes autem dispersi sunt per regiones Judææ & Samariæ*. Absque metu ac liberè posteà Samariæ se committunt, tametsi audierant: *In viam Gentium ne abieritis*. (Matt. 10, 6.) Veruntamen de Apostolis non dicit, ostendens quod & hac ratione adduci volentes Judæos, civitatem non reliquerunt, velut & aliis fierent audaciæ authores. *Saulus verò devastabat Ecclesiam per singulas domos, trahensque viros ac mulieres tradebat in custodiam*. Magna insania, & quod ille solus erat, & quod in domus ingrediebatur, ita animam suam pro lege dabat. *Rapiens*, inquit, *viros ac mulieres*. Vide & licentiam & contumeliam, & insaniam. Omnes quos assequebatur plurimis malis afficiebat, utpote à cæde factus audacior. *Illi igitur dispersi peragrabant annuntiantes sermonem: Philippus autem ut descendit in civitatem Samariæ, prædicavit illis Christum. Intendebant autem turbæ unanimiter his quæ à Philippo dicebantur, audientes signa quæ faciebat. Spiritus enim immundi è multis qui ab illis tenebantur exibant, clamantes voce magna. Multi autem paralytici ac claudi sanati sunt, & factum est gaudium magnum in illa civitate. Vir autem quidam nomine Simon, qui ante in ea civitate artem*

A ὅς, ἐπειδὴ τὸ εἰπεῖν καθῆσθαι φορτικὸν αὐτοῖς ἦν, τέως τὸ περὶ τῆς ἀναστάσεως κινεῖ λόγον, καί φησιν αὐτὸν ἑστάναι. ἀπὸ τούτου στοχάζομαι καὶ τὸ πρόσωπον αὐτοῦ δεδοξάσθαι. ὁ γὰρ Θεὸς φιλάνθρωπος ὢν, δι' ὧν ἐπεβούλευον ἐκεῖνοι, δι' αὐτῶν ἐβούλετο αὐτοὺς ἐκκαλέσασθαι, εἰ καὶ μηδὲν πλέον ἐγένετο. καὶ ἐκβαλόντες ἔξω τῆς πόλεως, ἐλιθοβόλουν. πάλιν ἔξω τῆς πόλεως [ὁ θάνατος,] ὥσπερ ἐπὶ τοῦ Χριστοῦ· καὶ ἐν αὐτῷ τῷ θανάτῳ ἡ ὁμολογία καὶ τὸ κήρυγμα [διαγγελλόμενον.] καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου B καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον [τὸν Θεὸν] καὶ λέγοντα· Κύριε Ἰησοῦ Χριστὲ, δέξαι τὸ πνεῦμά μου. δεικνύντος ὁμοῦ τοῦτο καὶ διδάσκοντος αὐτοὺς ὅτι οὐκ ἀπόλλυται. καὶ θεὶς τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ, Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, ὥσπερ ἀπολογούμενος, ὅτι οὐδὲ τὰ πρότερα θυμοῦ ἦν, φησὶ, Κύριε· ἢ καὶ βουλόμενος αὐτοὺς ταύτῃ ἐπισπάσασθαι. τὸ C γὰρ ἀφεῖναι μὲν τὸν θυμὸν καὶ τὴν ὀργὴν τῷ φόνῳ, καθαρὰν δεῖξαι δὲ τὴν ψυχὴν τοῦ πάθους, εὐπαράδεκτον ἐποίει τὸν λόγον.

Σαῦλος δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ἐγένετο δὲ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ διωγμὸς μέγας ἐπὶ τὴν ἐκκλησίαν τὴν ἐν Ἱεροσολύμοις. οὐχ ἁπλῶς ἐστὶν ὁ διωγμὸς, ἀλλ' οἰκονομικῶς δοκεῖ μοι συμβῆναι. καὶ πάντες διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας, πλὴν τῶν Ἀποστόλων. ὁρᾷς πῶς πάλιν πειρασμοὺς συγ- D χωρεῖ ὁ Θεὸς γίνεσθαι; ἀλλ' ἴδε μοι ἐντεῦθεν, καὶ ὅπως οἰκονομεῖται τὰ πράγματα. ἐθαυμάσθησαν διὰ τὰ σημεῖα, μαστιχθέντες οὐδὲν ἔπαθον, κατέστησαν ἐπὶ τῶν χωρῶν, ηὔξετο ὁ λόγος· λοιπὸν συγχωρεῖ κώλυμα γενέσθαι μέγα, καὶ γίνεται διωγμὸς οὐχ ὁ τυχὼν, ὥστε ὁμοῦ καὶ τούτους φυγεῖν. ἐφοβοῦντο γὰρ θρασυτέρους αὐτοὺς γινομένους, καὶ πᾶσι δῆλον ὑπάρξαι ὅτι ἄνθρωποι ἦσαν οἱ φοβούμενοι καὶ φεύγοντες. ἵνα γὰρ μὴ σὺ μετὰ ταῦτα λέγῃς ὅτι χάριτι μόνον κατώρθουν, κἂν ἐδιώκοντο, καὶ αὐτοὶ δειλότεροι γεγόνασι, καὶ ἐκεῖνοι θρασύτεροι. καὶ E πάντες διεσπάρησαν πλὴν τῶν ἀποστόλων, φησί. οὐκ ἄρα μάτην εἶπον, ὅτι οἰκονομίας ὁ διωγμὸς ἦν. εἰ μὴ γὰρ γέγονεν, οὐκ ἂν οἱ μαθηταὶ διεσπάρησαν. συνεκόμισαν δὲ τὸν Στέφανον ἄνδρες εὐλαβεῖς, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ. ἢ οὔπω ἦσαν τέλειοι· ἢ ὅτι ἐπίχαρις ἦν καὶ αἰδέσιμος. διὸ καὶ κόπτονται αὐτόν. ἅμα δὲ τοῦτο δείκνυσι καὶ ἀνθρώπους αὐτοὺς ὄντας, οὐχ ὁ φόβος μόνον, ἀλλὰ καὶ ἡ λύπη, καὶ ὁ κοπετός. τίς γὰρ οὐκ ἂν ἔκλαυσεν ὁρῶν τὸν ἥμερον ἐκεῖνον τὸν ἀμνὸν A λιθοβολούμενον γινόμενον καὶ κείμενον νεκρόν; ἱκανὸν αὐτῷ ἐπιτάφιον διεξῆλθεν ὁ Εὐαγγελιστὴς, καὶ θεὶς τὰ γόνατα εἰπὼν, καὶ κράξας φωνῇ μεγάλῃ, καὶ ἐποιήσαντο κοπετὸν μέγαν ἐπ' αὐτῷ· ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ὑπάρχων πλήρης πνεύματος ἁγίου, ἀτενίσας εἰς τὸν οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ· καὶ εἶπεν· ἰδοὺ θεωρῶ τοὺς οὐρανοὺς ἀνεῳγμένους. καὶ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ' αὐτόν. καίτοι πῶς ταῦτα κατηγορίας ἄ- B ξια· ἀλλ' ὅμως τὸν σημεῖα τοιαῦτα ἐργασάμενον, τὸν πάντων περιγενόμενον τῷ λόγῳ, τὸν τοιαῦτα διαλεγόμενον, λαβόντες ὥσπερ ἐβούλοντο, οὕτω τὸν θυμὸν τὸν ἑαυτῶν ἐπλήρουν. οἱ δὲ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου. ὅρα πῶς ἀκριβῶς τὰ περὶ τοῦ Παύλου διηγεῖται, ἵνα σοι δείξῃ τὸ ὑπ' αὐτῷ ἔργον Θεοῦ γενόμενον μετὰ ταῦτα. τέως δὲ οὐ μόνον ἐκεῖνος οὐ πιστεύει, ἀλλὰ καὶ μυρίαις αὐτὸν χερσὶ βάλλει τῶν φονέων· διὸ καὶ τοῦτο δηλῶν λέγει· Σαῦλος C δὲ ἦν συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. οὐχ ἁπλῶς δὲ εὔχεται ὁ μακάριος οὗτος· ἀλλὰ μετὰ προσοχῆς. θεὶς γάρ, φησι, τὰ γόνατα. ὅθεν θεῖος αὐτῷ καὶ ὁ θάνατος γέγονε. μέχρι [γὰρ] τούτου συνεχώρητο ταῖς ψυχαῖς ἐν τῷ ᾅδῃ εἶναι. πάντες δὲ διεσπάρησαν κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας. ἀδεῶς ἐπιμίγνυνται τῇ Σαμαρείᾳ λοιπὸν, εἰ ἀκούσαντες, εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. πλὴν δὲ τῶν ἀποστόλων λέγει, δεικνὺς ὅτι καὶ ταύτῃ προσάγεσθαι βουλόμενοι τοὺς Ἰουδαίους τὴν πόλιν οὐκ D ἀπέλιπον, ἵνα καὶ ἑτέροις γένωνται θάρσους αἴτιοι. Σαῦλος δὲ ἐλυμαίνετο τὴν ἐκκλησίαν κατὰ τοὺς οἴκους εἰσπορευόμενος, σύρων τε ἄνδρας καὶ γυναῖκας παρεδίδου εἰς φυλακήν. πολλὴ ἡ μανία, τὸ καὶ μόνον αὐτὸν εἶναι, τὸ καὶ εἰς τοὺς οἴκους εἰσιέναι. οὕτω τὴν ψυχὴν αὐτοῦ ἐδίδου ὑπὲρ τοῦ νόμου. σύρων, φησὶν, ἄνδρας καὶ γυναῖκας. ὅρα καὶ τὴν παῤῥησίαν, καὶ τὴν ὕβριν, καὶ τὴν μανίαν. τοὺς ἐμπίπτοντας ἅπαντας μυρίοις ἐνετίθει κακοῖς, ἅτε ἀπὸ τῆς σφαγῆς ταύτης θρασύτερος γεγονώς. E οἱ μὲν οὖν διασπαρέντες, διῆλθον εὐαγγελιζόμενοι τὸν λόγον. Φίλιππος δὲ κατελθὼν εἰς πόλιν τῆς Σαμαρείας, ἐκήρυσσεν αὐτοῖς τὸν Χριστόν· προσεῖχόν τε οἱ ὄχλοι τοῖς λεγομένοις ὑπὸ τοῦ Φιλίππου ὁμοθυμαδὸν, ἐν τῷ ἀκούειν αὐτοὺς, καὶ βλέπειν τὰ σημεῖα ἃ ἐποίει. πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο· πολλοὶ δὲ καὶ παραλελυμένοι, καὶ χωλοὶ ἐθεραπεύθησαν. καὶ ἐγένετο χαρὰ μεγάλη ἐν τῇ πόλει ἐκείνῃ.

ἀνὴρ

„ ἀνὴρ δέ τις ὀνόματι Σίμων προϋπῆρχεν ἐν τῇ πόλει μαγεύων, καὶ „ ἐξιστῶν τὸ ἔθνος τῆς Σαμαρείας, λέγων εἶναί τινα ἑαυτὸν μέγαν, „ ᾧ προσεῖχον πάντες ἀπὸ μικροῦ ἕως μεγάλου, λέγοντες· οὗτός „ ἐστιν ἡ δύναμις τοῦ Θεοῦ ἡ μεγάλη. ἴδε μοι καὶ ἕτερον πειρασμὸν „ τὸν τοῦ Σίμωνος. προσεῖχον δὲ αὐτῷ, φησὶ, οἱ ὄχλοι, διὰ τὸ ἱκανῷ „ χρόνῳ ταῖς μαγείαις ἐξεστηκέναι αὐτούς. ὅτε δὲ ἐπίστευσαν τῷ Φι„ λίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόμα„ τος Ἰησοῦ Χριστοῦ, ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες. [ὁ δὲ Σίμων „ καὶ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς ἦν προσκαρτερῶν τῷ Φι„ λίππῳ εὐαγγελιζομένῳ τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ καὶ τοῦ ὀνόματος „ Ἰησοῦ Χριστοῦ. ἐβαπτίζοντο ἄνδρες τε καὶ γυναῖκες.] ὁ δὲ Σίμων καὶ „ αὐτὸς ἐπίστευσε, καὶ βαπτισθεὶς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ. „ θεωρῶν δὲ δυνάμεις μεγάλας καὶ σημεῖα γινόμενα, ἐξίστατο. ἀκού„ σαντες δὲ οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ὅτι δέδεκται ἡ Σαμάρεια „ τὸν λόγον τοῦ Θεοῦ, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην. οἵτινες „ καταβάντες προσηύξαντο περὶ αὐτῶν ὅπως λάβωσι Πνεῦμα ἅγιον. „ οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός· μόνον δὲ βεβαπτι„ σ[μέν]οι ὑπῆρχον εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. τότε ἐπετίθουν τὰς „ [χεῖρ]ας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον. ἰδὼν δὲ Σίμων, „ ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα „ τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα, λέγων· δότε κἀμοὶ τὴν „ ἐξουσίαν ταύτην, ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ Πνεῦμα „ ἅγιον. πῶς οὖν, φησι, πνεῦμα οὐκ ἔλαβον οὗτοι; πνεῦμα ἔλαβον τὸ τῆς ἀφέσεως· τὸ δὲ τῶν σημείων οὔπω ἦσαν λαβόντες. καὶ ὅτι τοῦτό ἐστι, καὶ τὸ τῶν σημείων πνεῦμα οὐκ ἔλαβον, ὅρα πῶς ἰδὼν ὁ Σίμων προσῆλθε τοῦτο αἰτῶν. εἰ καὶ ἐνίσχυσε δὲ τότε μάλιστα ὁ διωγμὸς, ὅμως ὁ Θεὸς πάλιν αὐτοὺς ἐξείλετο ἐπιτειχίσας αὐτοῖς τὰ σημεῖα. οὐ μὴν ὁ θάνατος δὲ Στεφάνου ἔσβεσεν ἐκείνων τὸν θυμὸν, ἀλλ' ἐπέτεινε μᾶλλον· διὸ καὶ σκορπίζονται οἱ διδάσκαλοι, ὥστε πλείονα γενέσθαι τὴν μαθητείαν. ἀλλ' ὅρα καὶ πάλιν διαδεχόμενα αὐτοὺς τὰ χρηστὰ καὶ ἐν χαρᾷ ὄντας. χαρὰ γάρ, φησιν, ἐγένετο ἐν τῇ πόλει μεγάλη· καίτοι καὶ κοπετὸς ἐγένετο μέγας. οὕτως εἴωθε ποιεῖν ἀεὶ ὁ Θεὸς, καὶ τοῖς λυπηροῖς τὰ εὐφραίνοντα μιγνύναι, ἵνα καὶ μᾶλλον θαυμάζηται. ἀφ' ἱκανοῦ δὲ χρόνου τὸ νόσημα ἦν Σίμωνι. διὸ οὐδὲ οὕτως αὐτοῦ ἀπαλλάττεται. πῶς δαὶ αὐτὸν καὶ ἐβάπτισεν; ὥσπερ καὶ τὸν Ἰούδαν ὁ Χριστὸς ἐξελέξατο. οὗτος θεωρῶν σημεῖα γινόμενα, ἐξίστατο μὲν, οὐ τολμᾷ δὲ τὴν χάριν τῶν σημείων αἰτῆσαι· ἐπειδὴ ᾔδει οὔπω λαβόντας οὐδὲ τοὺς ἄλλους. πῶς οὖν αὐτὸν οὐκ ἀνεῖλον, ὥσπερ Ἀνανίαν καὶ Σάπφειραν; ὅτι καὶ τὸ παλαιὸν ὁ τὰ ξύλα συλλέξας ἀναιρεθεὶς εἰς ἑτέρων σωφρονισμὸν, οὐκέτι ἕτερος τὸ αὐτὸ πέπονθεν. οὕτω καὶ νῦν Πέτρος ποιεῖ, καὶ κολάσας ἐκείνους, τοῦτον οὐ κολάζει, ἀλλά φησι πρὸς αὐτόν· τὸ „ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνό„ μισας διὰ χρημάτων κτᾶσθαι. καὶ διατί οὐκ ἦσαν οὗτοι λαβόντες Πνεῦμα ἅγιον βαπτισθέντες; ἤτοι τῷ μὴ δοῦναι, Φιλίππου τοῦτο τιμῶντος τάχα τοὺς ἀποστόλους· ἤτοι τῷ μὴ ἔχειν χάρισμα τοιοῦτον. τῶν ἑπτὰ γὰρ ἦν. ὅπερ καὶ μᾶλλόν ἐστιν εἰπεῖν. ὅθεν μοι δοκεῖ οὗτος ὁ Φίλιππος τῶν ἑπτὰ εἶναι, ὁ Στεφάνου δεύτερος. διὸ καὶ βαπτίζων πνεῦμα τοῖς βαπτιζομένοις οὐκ ἐδίδου. οὐδὲ γὰρ εἶχεν ἐξουσίαν. τοῦτο γὰρ τὸ δῶρον μόνων τῶν δώδεκα ἦν. σκόπει δέ· ἐκεῖνοι οὐκ ἐξῄεσαν, ᾠκονομήθη τούτους ἐξελθεῖν, οἳ καὶ ὕστεροι τῆς χάριτος, διὰ τὸ μήπω λαβεῖν Πνεῦμα ἅγιον. δύναμιν [μὲν] γὰρ ἔλαβον ποιεῖν σημεῖα· οὐχὶ δὲ καὶ πνεῦμα διδόναι ἑτέροις. [ἄρα] τοῦτο ἦν τῶν ἀποστόλων ἐξαίρετον. ὅθεν καὶ τοὺς κορυφαίους, οὐκ ἄλλους τινὰς, ἔστιν ἰδεῖν τοῦτο ποιοῦντας. ἰδὼν δέ, φησι, Σίμων ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον. οὐκ ἂν [οὕτως] εἶπεν, εἰ μὴ αἰσθητόν τι ἐγίνετο. τοῦτο καὶ Παῦλος ἐποίησεν, ὅτε ταῖς γλώσσαις ἐλάλουν. εἶδες τὴν μιαρίαν τοῦ Σίμωνος; χρήματα προσήνεγκε· καίτοι οὐκ εἶδεν αὐτοὺς χρημάτων αὐτὸ ποιοῦντας. ὥστε οὐκ ἦν ἀγνοίας τὸ πρᾶγμα, ἀλλὰ πειράζοντος καὶ βουλομένου κατηγορίας προβαλεῖν. διὰ τοῦτο „ καὶ ἀκούει· οὐκ ἔστι σοι μερὶς, οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ „ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐναντίον τοῦ Θεοῦ. πάλιν τὰ ἐν τῇ „ διανοίᾳ εἰς μέσον ἄγει, ἐπειδὴ ἐκεῖνος λανθάνειν ἐνόμιζε. με„ τανόησον οὖν ἀπὸ τῆς κακίας σου ταύτης, καὶ δεήθητι τοῦ Κυρίου, εἰ ἄρα „ ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. εἰς γὰρ χολὴν πικρίας καὶ „ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. ἀποκριθεὶς δὲ Σίμων εἶπε· „ δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ πρὸς τὸν Κύριον, ὅπως μηδὲν ἐπέλθῃ „ ἐπ' ἐμὲ ὧν εἰρήκατε. ἔδει ἀπὸ καρδίας μετανοῆσαι, ἔδει κλαῦσαι· ὁ δὲ ἀφοσιοῦται μόνον τοῦτο ποιῶν. εἰ ἄρα ἀφεθήσεταί σοι τοῦτο, εἶπεν, οὐχ ὡς οὐ συγχωρηθέντος ἂν αὐτῷ εἰ ἔκλαυσεν, ἀλλ' ἔθος καὶ τοῖς προφήταις μόνον ἀπαγορεύειν, καὶ μὴ λέγειν, ἐὰν δὲ τόδε ποιήσῃς, συγχωρηθήσεταί σοι, ἀλλ' [ὅτι] πάντως ἔσται ἡ τιμωρία. σὺ δέ μοι θαύμασον καὶ πῶς ἐν καιρῷ συμφορᾶς οὐκ ἀμελοῦσιν, ἀλλὰ τοῦ κηρύγματος ἔχονται. καὶ πῶς καθάπερ

A *exercuerat magicam, ac gentem dementaret Samariæ, dicens se esse quempiam magnum, cui auscultabant omnes à minimo usque ad maximum, dicentes: Hic est virtus Dei, quæ vocatur magna.* Vide oro & aliam tentationem, quæ est à Simone. *Auscultabant autem ei*, inquit, *eo quòd multo tempore magicis artibus dementasset eos: quum verò credidissent Philippo evangelizanti de regno Dei, deque nomine Jesu Christi, baptizabantur viri simul ac mulieres: tunc Simon & ipse credidit. Et quum baptizatus esset,* B *adhærebat Philippo, [evangelizanti de regno Dei, deque nomine Jesu Christi. Baptizabantur viri simul & mulieres. Tunc Simon & ipse credidit, & cùm baptizatus esset, adhærebat Philippo,] videnśque signa & virtutes viri, stupens admirabatur. Quum autem audissent Apostoli qui erant Hierosolymis, quod recepisset Samaria Verbum Dei, miserunt ad illos Petrum & Joannem: qui quum descendissent, oraverunt pro ipsis, ut acciperent Spiritum sanctum: nondum enim in quenquam illorum illa-* C *psus fuerat, sed baptizati tantum erant sub nomine Christi Jesu. Tunc imponebant manus super illos, accipiebántque Spiritum sanctum. Quum vidisset autem Simon, quod per impositionem manuum Apostolorum daretur Spiritus sanctus, obtulit eis pecunias, dicens: Date & mihi potestatem, ut cuicunque imposuero manus, accipiat Spiritum sanctum.* Quomodo, inquit, Spiritum sanctum illi non receperant? Spiritum acceperant remissionis, spiritum autem signorum non receperant. Et quod D hoc sit quod spiritum signorum non acceperint, vide quomodo hoc cernens Simon accessit & petiit. Quamvis autem tunc maximè flagrabat persecutio, attamen Deus iterum illos eripuerat, signa illis ut murum præponens. Porrò mors Stephani illorum furorem non restrinxerat, sed magis auxerat: ideo & disperguntur discipuli, ut doctrina amplius propagetur. Et vide iterum etiam bona illos accipere & in gaudio esse. *Magnum enim*, inquit, *gaudium factum est in civitate,* E quamvis & luctus magnus factus esset. Ita semper facere solet Deus, & tristibus læta miscere, ut in majori admiratione sint. Multo autem jam tempore morbo obnoxius erat Simon, unde neque sic ab illo liberatur. Quomodo autem illum & baptizavit? quemadmodum Christus & Judam elegerat. Hic videns signa quæ fiebant, obstupescit quidem, non audet autem gratiam signorum petere, quandoquidem videbat etiam alios non accepisse. Igitur quomodo non occiderunt, sicut Ananiam & Saphiram? quia etiam olim is qui in sabbato ligna collegerat, A occisus est, ut alii erudirentur: neque posteà alius idem passus est. Sic & nunc Petrus facit, & punitis illis hunc non punit, sed dicit ad eum: *Pecunia tua tecum sit in perditionem, quia donum Dei putasti pecuniis possideri.* Et quare non acceperunt Spiritum sanctum, ii qui baptizarentur? Vel forsan quia Philippus in hoc Apostolos brevi venturos honorabat, vel quod hoc donum non habebat. Erat enim ex septem illis: id quod magis videtur dicendum. Unde mea sententia hic Philippus unus ex septem erat B secundus à Stephano. Ideo & baptizans Spiritum sanctum non dabat, neque enim facultatem habebat. Hoc enim donum solorum Apostolorum erat. Considera autem quod illi non egressi erant: dispensatum autem est ut ii egrederentur, qui & gratia posteriores erant, propter hoc quod nondum acceperant Spiritum sanctum. Nam virtutem quidem acceperant faciendi signa, non autem dandi aliis Spiritum sanctum. Igitur hoc erat in Apo- C stolis singulare. Unde & præcipuos & non alios videmus hoc facere. *Ut autem vidit*, inquit, *Simon quod per impositionem manuum Apostolorum datus est Spiritus sanctus.* Non sic dixisset, nisi & sensibile quiddam factum esset. Hoc & Paulus fecit, quando linguis loquebantur. Vidisti scelus Simonis? pecunias attulit, quamvis non vidisset pecuniarum gratia illum hoc facere, unde non ignorantiæ opus erat, sed tentantis, & volentis accusationem quærere. Propter hoc & audit: *Non est tibi pars, neque hæreditas in verbo* D *hoc. Cor enim tuum non est rectum coram Deo.* Iterum quæ occulta in animo erant, affert in medium, quoniam ille occultum esse putavit. *Resipisce igitur à malitia tanta, & ora Dominum si fortasse remittatur tibi cogitatio cordis tui. In felle enim amaritudinis, & colligatione injustitiæ video te esse. Respondens autem Simon dixit: Orate vos pro me ad Dominum, ut nihil eorum quæ dixistis eveniat in me.* Oportebat illum toto corde pœnitentiam agere, oportebat plorare. Ille autem obiter hoc faciebat: *Si fortasse remittatur tibi hoc,* E dixit, non quod non dimissum esset illi si plorasset, sed mos etiam prophetis est solum denegare, & non dicere: Si autem hoc feceris, condonabitur tibi, sed quod omnino erit pœna futura. Tu autem hoc admirare, quomodo in tempore calamitatis nihil negligunt, sed prædicationi incumbunt. Et quodammodo sic ut sub Mose per comparationem fiunt miracula, ita etiam

Abundant ista quæ obelis interclusa sunt, sicut & in Græco.

Major & minor in Ecclesia potestas.

hoc

hoc loco. Magia erat, attamen manifesta hæc signa erant, quamvis nullum oportebat esse illic dæmoniacum, quandoquidem multo tempore dementarat illos: quoniam autem multi dæmoniaci, multi paralytici, illa non erant vera. Philippus autem non signis solum, sed & verbis illos adducebat de regno & Christo loquens. At *Simon*, inquit, *baptizatus, Philippo*, non fidei gratia, sed ut & ipse talis fieret, *adhærebat. Ut autem illi descenderunt, oraverunt pro illis, ut accipiant Spiritum Sanctum. Nondum enim erat illapsus cuiquam: tunc imposuerunt manus super illos, & acceperunt Spiritum Sanctum.* Vides quod non simpliciter hoc fit, sed multa opus est virtute, ut detur Spiritus Sanctus? non enimidem est allequi remissionem peccatorum, & accipere virtutem illam. *Ut autem vidit Simon, quòd per impositionem manuum Apostolorum datus est Spiritus Sanctus, obtulit illis pecunias.* Nunquid alios vidit hoc facere? nunquid non putavit illos esse ejus cujus oportebat esse mentis? Ideo benè Petrus & rem *donum* vocat, dicens: *Argentum tuum tecum sit in perditionem, quoniam existimasti donum Dei pecuniis possideri.* Vides ubique puros à pecuniis. *Non est tibi pars neque hæreditas in sermone hoc, cor enim tuum non est rectum coram Deo.* Atque ita per malitiam omnia fecit, at simplicem esse oportebat. *Resipisce igitur, nam in felle amaritudinis & colligatione injustitiæ video te esse.* Magnæ iræ verba sunt: non punit autem illum, ut ne postea necessitatis sit fides, ut ne res crudelis esse videatur, ut ea quæ pœnitentiæ, introducat, vel etiam quod sufficiebat ad correctionem, arguisse & dixisse ea quæ in corde erant: nam in eo quod dicit, *Orate vos pro me*: simul confitetur ac ostendit. Vide quomodo quamvis sceleſtus ille esset, redargutus tamen credidit, quemadmodum & humilis factus, quando iterum redargutus est. Videns signa quæ fiebant, obstupuit, ostendens mendacium fuisse quicquid ipse faciebat. Non, accessit, dixit, sed *obstupuit*. Et cur nam illud statim non facit? Putavit posse latere, putabat artem esse quod fiebat. Ubi autem non potuit latere Apostolos, accessit. *Spiritus enim immundi è multis qui ab illis tenebantur exibant clamantes voce magna.* Hoc egrediendi signum manifestum erat, signa verò magorum contrario modo se habebant. *Multi autem paralytici & claudi sanati sunt.* Non erat hoc loco deceptio, sed ambulabant, & vivaciter agebant, ut oportebat. *Auscultabant autem illi omnes, dicentes: Hic est virtus Dei.* Hoc loco impletur quod à

Matt. 13,22 Christo dictum: *Multi venient pseudochristi, & pseudoprophetæ in nomine meo.* Quare non statim illum redarguerunt? contenti erant quod seipsum condemnabat. Etenim & hoc doctrinæ erat: quoniam autem resistere non poterat, simulat,

Exo. 8,19. quemadmodum & dicebant: *Hoc digitus est Dei.* Ut autem ne iterum in oblivionem veniat, & obscurus fit, ideo & adhæret Philippo, & non separabatur. Tu autem velim consideres quanta dispensentur per mortem Stephani. Disperguntur per regiones Judææ ac Samariæ, evangelizant verbum, prædicant Christum: Signa perficiunt, paulò pòst accipiunt hi donum. Hoc duplex signum erat. Tunc enim illis dari, & huic tunc non dari, maximum signum erat. *Et illi quidem testificati & locuti sermonem Dei, regressi sunt Hierusalem, & multis oppidis Samaritanorum evangelizabant.* Bene sic dixit: *Testificati.* Testificantur enim fortasse propter illum, ne decipiantur, ut posteà securiores fiant, ne propter inexperientiam sæpè simul rapiantur. Regressi sunt in Hierusalem. Quare iterum abeunt illuc? ibi tyrannis, ibi principium malorum, ibi qui maximè clamabant. Sicut in bellis duces faciunt, & non relinquunt laborantem belli partem, idem & illi faciunt. Vide non primò venientes in Samariam Apostolos, sed discipulos qui persecutionem patiebantur. Sicut & apud Christum Apostoli emittuntur ad eos qui jam ex Samaritanis crediderant. *Auditis autem illis*, inquit, *Apostoli miserunt ad illos Petrum & Joannem.* Quare nam mittuntur? ut illos à Magia liberet, & ita illis doctrinam quam primùm à Christo acceperant, in memoriam reducerent. Oportebat igitur adversarium petere, ut accipiat Spiritum sanctum: at ille quoniam hoc ei non erat curæ, sed ut det aliis petit, quamvis illi non acceperint hunc, ut ita dent. Sed volebat hic Philippo esse clarior, qui inter discipulos erat. *Argentum tuum sit tecum in perditionem.* Non imprecantis, sed erudientis sunt hæc verba: Quoniam enim illo non est usus ut oportebat. Tibi, inquit, sit, qui talis es, quasi diceret quis: Cum voluntate hac tua simul pereat, quod tam parum sentis de dono Dei, quod sperasti omnino humanum esse negotium: non est hoc.

A ἐπὶ Μωσέως ἀπὸ συγκρίσεως ἐγίνετο τὰ θαύματα· οὕτω δὴ καὶ ἐνταῦθα. μαγεία ἦν, καὶ ὅμως φανερὰ ταῦτα τὰ σημεῖα ἦν· καί τοι οὐδένα ἔδει εἶναι ἐκεῖ δαιμονῶντα, εἴγε ἱκανῷ χρόνῳ ἦν ταῖς μαγείαις ἐξεστακὼς αὐτούς. ἐπειδὴ δὲ πολλοὶ οἱ δαιμονῶντες, πολλοὶ οἱ παραλυτοι, ἐκεῖνα οὐκ ἀλήθεια ἦν. οὗτος δὲ οὐχὶ σημείοις μόνον, ἀλλὰ καὶ λόγῳ αὐτοὺς προσῆγε, περὶ βασιλείας καὶ Χριστοῦ διαλεγόμενος. ὁ δὲ Σίμων φησὶ βαπτισθεὶς, ἦν προσκαρτερῶν τῷ Φιλίππῳ· οὐ πίστεως ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι τοιοῦτος [προσεκαρτέρει.] οἱ δὲ καταβάντες, προσηύξαντο περὶ αὐτῶν ὅπως λάβωσι Πνεῦμα ἅγιον· οὐδέπω γὰρ ἦν ἐπ' οὐδενὶ αὐτῶν ἐπιπεπτωκός. τότε ἐπετίθουν τὰς χεῖρας ἐπ' αὐτοὺς, καὶ ἐλάμβανον Πνεῦμα ἅγιον. ὁρᾷς ὅτι οὐχ ἁπλῶς, ἀλλὰ πολλῆς ἔδει δυνάμεως ὥστε δοῦναι Πνεῦμα ἅγιον; οὐ γάρ ἐστιν ἴσον ἀφέσεως τυχεῖν, καὶ λαβεῖν δύναμιν τοιαύτην. θεασάμενος δὲ Σίμων, ὅτι διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τῶν ἀποστόλων δίδοται τὸ Πνεῦμα τὸ ἅγιον, προσήνεγκεν αὐτοῖς χρήματα. μὴ γὰρ τοὺς ἄλλους εἶδε τοῦτο ποιοῦντας; μὴ γὰρ Φίλιππον; μὴ γὰρ ἐνόμιζεν αὐτοὺς οὐκ εἰδέναι μεθ' οἵας διανοίας προσῆλθε; διὸ καλῶς Πέτρος καὶ δωρεὰν καλεῖ τὸ πρᾶγμα λέγων· τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι. ὁρᾷς πανταχοῦ καθαροὺς αὐτοὺς χρημάτων ὄντας; οὐκ ἔστι σοι μερὶς οὐδὲ κλῆρος ἐν τῷ λόγῳ τούτῳ. ἡ γὰρ καρδία σου οὐκ ἔστιν εὐθεῖα ἐνώπιον τοῦ Θεοῦ.

D ὥστε ἀπὸ τῆς κακίας πάντα ἔπραττε, καὶ μὴν ἀφελῆ ἔδει εἶναι. μετανόησον οὖν. εἰς γὰρ χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας θεωρῶ σε ὄντα. πολλοῦ θυμοῦ τὰ ῥήματα. οὐ κολάζει δὲ αὐτὸν, ἵνα μὴ λοιπὸν ἀνάγκης ἡ πίστις ᾖ, ἵνα μὴ τὸ πρᾶγμα ὠμὸν εἶναι δόξῃ, ἵνα τὰ τῆς μετανοίας εἰσαγάγῃ· ἢ καὶ ὅτι ἤρκει εἰς διόρθωσιν τὸ ἐλέγξαι, τὸ τὰ ἐν τῇ καρδίᾳ εἰπεῖν, τὸ ἐκεῖνον ἐμελέγξαι ὅτι ἑάλω. τῷ γὰρ εἰπεῖν, ὅτι δεήθητε ὑμεῖς ὑπὲρ ἐμοῦ, τοῦτό ἐστιν ὁμολογοῦντος ὁμοῦ καὶ δεικνύντος. ὅρα πῶς, καί τοι μιαρὸς ὢν ὅμως ὅτε ἠλέγχθη, τότε

E ἐπίστευσεν, ὥσπερ καὶ ταπεινὸς γέγονεν ὅτε πάλιν ἠλέγχθη. θεωρῶν σημεῖα γινόμενα ἐξίστατο, [δεικνὺς τὸ πᾶν ψεῦδος.] οὐ προσῆλθεν, εἶπεν, ἀλλ' ἐξίστατο. καὶ τί δήποτε ἐκεῖνο εὐθὺς οὐ ποιεῖ; ἐνόμιζε δυνάμενος λανθάνειν· ἐνόμιζε τέχνην εἶναι τὸ πρᾶγμα. ἐπειδὴ δὲ οὐκ ἴσχυσε λαθεῖν τοὺς ἀποστόλους, προσῆλθε. πολλῶν γὰρ ἐχόντων πνεύματα ἀκάθαρτα, βοῶντα φωνῇ μεγάλῃ ἐξήρχετο. τοῦτο τοῦ ἐξελ-

A θεῖν σημεῖον φανερὸν, τὰ δὲ τῶν μάγων ἀπεναντίας. μᾶλλον γὰρ ἐκεῖνοι καὶ ἐδέσμουν. πολλοί τε παραλελυμένοι καὶ χωλοὶ ἐθεραπεύθησαν. οὐκ ἦν ἐνταῦθα ἀπάτη· περιπατῆσαι γὰρ ἔδει καὶ ἐνεργῆσαι. προσεῖχον δὲ αὐτῷ πάντες, λέγοντες· οὗτός ἐστιν ἡ δύναμις τοῦ Θεοῦ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ εἰρημένον· πολλοὶ ἐλεύσονται ψευδόχριστοι καὶ ψευδοπροφῆται ἐπὶ τῷ ὀνόματί μου. διατί δὲ οὐκ εὐθέως αὐτὸν ἤλεγξαν; ἠρκέσθησαν τῷ καταγνῶναι αὐτὸν ἑαυτοῦ. καὶ γὰρ καὶ τοῦτο διδασκαλίας ἦν. ἐπειδὴ δὲ ἀντιστῆναι οὐκ ἴσχυσεν,

B ὑποκρίνεται ὥσπερ καὶ οἱ μάγοι ὅτε ἔλεγον· τοῦτο δάκτυλός ἐστι Θεοῦ. ἵνα δὲ μὴ καὶ ἀπολαθῇ πάλιν, διὰ τοῦτο καὶ προσεκαρτέρει τῷ Φιλίππῳ, καὶ οὐκ ἐχωρίζετο. σὺ δέ μοι σκόπει ὅσα οἰκονομεῖται διὰ τοῦ θανάτου τοῦ Στεφάνου. διασπείρονται κατὰ τὰς χώρας τῆς Ἰουδαίας καὶ Σαμαρείας· εὐαγγελίζονται τὸν λόγον· κηρύττουσι τὸν Χριστόν· σημεῖα ἐπιτελοῦσι· μετὰ μικρὸν λαμβάνουσι τὴν δωρεὰν οὗτοι· τοῦτο διπλοῦν σημεῖον ἦν. τότε γὰρ ἐκείνοις δοῦναι, τότε τούτῳ μὴ δοῦναι,

C σημεῖον μέγιστον ἦν. οἱ μὲν οὖν διαμαρτυράμενοι καὶ λαλήσαντες τὸν λόγον τοῦ κυρίου, ὑπέστρεψαν εἰς Ἱεροσόλυμα, καὶ πολλὰς κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. καλῶς οὕτως εἶπε, διαμαρτυράμενοι. διαμαρτύρονται γὰρ ἴσως δι' αὐτὸν, ἵνα μὴ ἀπατῶνται· ἵνα λοιπὸν ἐν ἀσφαλείᾳ ὦσιν· ἵνα μὴ ἐξ ἀπειρίας πολλάκις συναρπαγῶσιν. ὑπέστρεψαν εἰς Ἱεροσόλυμα διατί πάλιν ἀπίασιν ἐκεῖ, ἔνθα ἡ τυραννὶς ἦν, ἔνθα ἡ ἀρχὴ τῶν κακῶν· ἔνθα οἱ μά-

D λιστα φονῶντες; καθάπερ ἐν τοῖς πολέμοις οἱ στρατηγοὶ ποιοῦσι, καὶ τὸ πονοῦν τοῦ πολέμου μέρος καταλαμβάνουσι· τὸ αὐτὸ καὶ οὗτοι ἐργάζονται. ὅρα πάλιν οὐχὶ προηγουμένως ἐρχομένους εἰς Σαμάρειαν, ἀλλὰ διωκομένους τοὺς μαθητάς. ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ, καὶ τοὺς ἀποστόλους πρὸς τοὺς πιστεύσαντας ἤδη τῶν Σαμαρειτῶν λοιπὸν ἐξαποστελλομένους. ἀκούσαντες δέ φησιν οἱ ἐν Ἱεροσολύμοις ἀπόστολοι, ἀπέστειλαν πρὸς αὐτοὺς Πέτρον καὶ Ἰωάννην. τί δήποτε ἀποστέλλονται;

E ὥστε ἀπαλλάξαι μαγείας αὐτούς· ὥστε τῆς διδαχῆς ἀναμνῆσαι ἣν παρὰ Χριστοῦ ἔμαθον, ὅτε πρῶτον ἐπίστευσαν. δέον οὖν τοὐναντίον αἰτῆσαι, ἵνα λάβῃ Πνεῦμα ἅγιον· ὁ δὲ ἐπειδὴ οὐκ ἔμελεν αὐτῷ τούτου, ἵνα διδῷ ἑτέροις αἰτεῖ. καί τοι ἐκεῖνοι οὐκ ἔλαβον οὕτω ὥστε διδόναι· ἀλλ' ἤθελεν οὗτος Φιλίππου γενέσθαι λαμπρότερος, ὁ ἐν τοῖς μαθηταῖς ὤν. τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν. [οὐκ ἐπαρωμένου ταῦτά ἐστιν, ἀλλὰ παιδεύοντος,] ἐπειδὴ [γὰρ] εἰς δέον αὐτῷ οὐκ ἐχρήσατο, σοὶ, φησὶν, ἔστω τῷ τοιούτῳ. ὡς ἂν εἴποι τις. συναπόλοιτο μετὰ τῆς προαιρέσεώς σου· [ὅτι] οὕτω μικρὰ φρονεῖς περὶ τῆς δωρεᾶς τοῦ Θεοῦ· ὅτι προσεδόκησας ὅλως ἀνθρώπινον εἶναι τὸ πρᾶγμα.

οὐκ

ἔστι τοῦτο. εἰ γὰρ προσῆλθεν ὡς ἔδει προσελθεῖν, κἂν ἀπεδέχθη κἂν ὡς λοιμὸς οὐκ ἠλάθη. ὁρᾷς ὅτι ὁ μικρὰ περὶ μεγάλων φανταζόμενος διπλᾶ ἁμαρτάνει; δύο τοίνυν αὐτῷ κελεύει· μετανόησον καὶ δεήθητι, εἰ ἄρα ἀφεθήσεταί σοι ἡ ἐπίνοια τῆς καρδίας σου. οὕτως ἦν ἐπινοήσας τι πονηρόν. διὰ τοῦτο καὶ εἶπεν εἰ ἄρα ἀφεθήσεταί σοι, ὅτι ᾔδει ἀδιόρθωτον ὄντα. ὁ δὲ πάλιν δέδοικε τὸ πλῆθος, καὶ φοβεῖται ἀρνήσασθαι. καί τοι εἰ μὴ ἐθορυβήθη, εἶπεν ἂν ὅτι οὐκ ᾔδειν, ὅτι ἀφελῶς ἐποίησα· ἀλλ' ἐξεπλάγη. πρώτῳ μὲν ἐκείνῳ, ὅτι ἑάλω τοῖς σημείοις· δευτέρῳ δὲ τούτῳ, τὰ ἐν τῇ διανοίᾳ αὐτοῦ φανερὰ γενέσθαι. διὰ τοῦτο μακρὰν [καὶ] ἀπῄει λοιπὸν εἰς τὴν Ῥώμην, ὡς οὐ φθάνοντος ἐκεῖ τοῦ ἀποστόλου· πολλάς τε, φησὶ, κώμας τῶν Σαμαρειτῶν εὐηγγελίσαντο. ὅρα πῶς καὶ αἱ ὁδοὶ αὐτοῖς ἔμπρακτοι ἦσαν. ἀλλ' οὐχ ἁπλῶς ἐποιοῦντο αὐτάς. τοιαύτας καὶ ἡμᾶς ἀποδημίας ἔδει ποιεῖσθαι. καὶ τί λέγω ἀποδημίας; πολλοὶ κώμας ἔχουσι καὶ χωρία, καὶ οὐ μέλει αὐτοῖς οὐδὲ ποιοῦνταί τινα λόγον· ἀλλ' ὅπως μὲν βαλανεῖον γένοιτο, καὶ ὅπως τὰ τιμήματα ἐπιτεθείη, καὶ ὅπως αὐλαὶ, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται· ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκέτι. καὶ σὺ μὲν ἂν ἀκάνθας παρὰ τὴν ἄρουραν ἴδῃς, τέμνεις, καίεις, ἀφανίζεις, ὥστε τὴν γῆν ἀπαλλάξαι τῆς ἐντεῦθεν λύμης· ὁρῶν δὲ αὐτοὺς τοὺς γεωργοὺς ἀκανθῶν γέμοντας, καὶ οὐκ ἐκτέμνων, οὐ δέδοικας καὶ φρίττεις, εἰπέ μοι, τὸν μέλλοντά σε ὑπὲρ τούτων ἀπαιτεῖν λόγον; οὐ γὰρ ἐχρῆν ἕκαστον τῶν πιστῶν ἐκκλησίαν οἰκοδομεῖν; διδάσκαλον λαμβάνειν πρὸς τὸ συναίρεσθαι; πρὸ πάντων τοῦτο σκοπεῖν ὅπως ἅπαντες εἶεν Χριστιανοί; πῶς, εἰπέ μοι, Χριστιανὸς ἔσται ὁ γεωργὸς, ὁρῶν σε οὕτως ἀμελοῦντα τῆς αὐτοῦ σωτηρίας; οὐ δύνασαι ποιῆσαι σημεῖα καὶ πεῖσαι; οἷς ἔχεις πεῖσον· φιλανθρωπίᾳ, προστασίᾳ, ἡμερότητι, κολακείᾳ, τοῖς ἄλλοις ἅπασι. καὶ ἀγορὰς μὲν καὶ βαλανεῖα ποιοῦσιν οἱ πολλοὶ, ἐκκλησίας δὲ οὐχί· καὶ πάντα μᾶλλον, ἢ τοῦτο. διὸ παρακαλῶ καὶ ἀντιβολῶ καὶ χάριν αἰτῶ, μᾶλλον δὲ καὶ νόμον τίθημι, ὥστε μηδένα ὀφθῆναι ἔρημον ἐκκλησίας χωρίον ἔχοντα. μή μοι εἴπῃς, πλησίον ἐστίν· ἐκ γειτόνων ἐστί· πολλή ἐστιν ἡ δαπάνη, οὐ πολλὴ ἡ πρόσοδος. εἴ τι ἔχεις εἰς πένητας ἀναλῶσαι, ἐκεῖ ἀνάλωσον. βέλτιον ἐκεῖ ἢ ἐνταῦθα. θρέψον διδάσκαλον· θρέψον διάκονον καὶ ἱερατικὸν σύστημα. ὡς ἂν εἰ γυναῖκα ἀγαγὼν, ἢ νύμφην, ἢ δοὺς θυγατέρα, οὕτω τῇ ἐκκλησίᾳ διάκεισο. προῖκα ἐπίδος αὐτῇ. οὕτω σοι εὐλογίας τὸ χωρίον πληρωθήσεται. τί γὰρ οὐκ ἔσται ἐκεῖ τῶν ἀγαθῶν; μικρὸν εἰπέ μοι τὴν ληνὸν εὐλογεῖσθαι; μικρὸν ἐξ ὅλων τῶν καρπῶν τῶν σῶν τὸν Θεὸν πρότερον ἀπόμοιραν καὶ ἀπαρχὰς λαμβάνειν; πρὸς εἰρήνην τῶν γεωργούντων τοῦτο χρήσιμον. αἰδέσιμος ἔσται καὶ ὁ πρεσβύτερος λοιπὸν, καὶ πρὸς ἀσφάλειαν τοῦ χωρίου συμβαλεῖται τοῦτο. εὐχαὶ ἐκεῖ διηνεκεῖς διὰ σέ· προσφορὰ καθ' ἑκάστην κυριακήν· οἷόν ἐστιν εἰς θαῦμα μεῖζον, τοὺς τάφους μὲν ἑτέρους οἰκοδομῆσαι λαμπροὺς, ἵνα οἱ μετὰ ταῦτα ἀκούωσιν ὅτι ὁ δεῖνα ᾠκοδόμησε, σὲ δὲ ἐκκλησίας ἀναστῆσαι; ἐννόησον ὅτι μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας σὺ τὸν μισθὸν ἕξεις ὁ ἀναστήσας θυσιαστήριον τοῦ Θεοῦ. εἰπὲ γάρ μοι εἰ βασιλεύς σοι ἐκέλευσεν οἰκοδομῆσαι οἰκίαν, ἵνα ἐκεῖ καταλύοι· οὐκ ἂν πάντα ἐποίησας; νῦν οὖν βασίλειά ἐστι τοῦ Χριστοῦ τῆς ἐκκλησίας ἡ οἰκοδομή. μὴ τὸ ἀνάλωμα ἴδῃς, ἀλλὰ τὸν καρπὸν λόγισαι. γεωργοῦσιν ἐκεῖνοι τὴν γῆν, σὺ γεώργησον αὐτῶν τὰς ψυχάς. φέρουσί σοι καρποὺς ἐκεῖνοι, σὺ εἰς τὸν οὐρανὸν αὐτοὺς ἀνάγαγε. ὁ τὴν ἀρχὴν δοὺς, οὗτος καὶ τῶν ἄλλων αἴτιος πάντων. [ἄρα καὶ] σὺ αἴτιος ἔσῃ τῶν κατηχουμένων ἐκεῖ, τῶν ἐν τοῖς χωρίοις τοῖς πλησίον. καί τοι τὰ μὲν βαλανεῖα, μαλακωτέρους ποιεῖ τοὺς γεωργούς· τὰ καπηλεῖα, τρυφηλοτέρους· ἀλλ' ὅμως ποιεῖτε ταῦτα διὰ δόξαν. αἱ ἀγοραὶ καὶ αἱ πανηγύρεις πάλιν ἰταμούς· τὰ δὲ ἐνταῦθα, πᾶν τοὐναντίον. ἡλίκον γάρ ἐστιν ἰδεῖν πρεσβύτερον εἰς ἐκεῖνα βαδίζοντα τοῦ Ἀβραὰμ, πολιὸν, ἀνεζωσμένον καὶ σκάπτοντα, καὶ αὐτουργοῦντα; τί τοῦ ἀγροῦ ποθεινότερον ἐκείνου; ἐνταῦθα μείζων ἡ ἀρετή. οὐκ ἔστιν ἀσέλγεια ἐκεῖ, ἀλλ' ἀπελήλαται· οὐκ ἔστι μέθη καὶ τρυφὴ, ἀλλ' ἐξώρισται· οὐκ ἔστι κενοδοξία, ἀλλ' ἔσβεσται· τὸ τῆς εὐνοίας πλέον ἐκεῖ διαλάμπει· διὰ τὴν ἀφέλειαν. οἷόν ἐστιν ἀπελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ εἰδέναι ὅτι αὐτὸς αὐτὸν ᾠκοδόμησε, καὶ ῥῖψαι ἑαυτὸν ὕπτιον, καὶ μετὰ τὴν αἰώραν τὴν σωματικὴν, καὶ λυχνικοῖς καὶ ἑωθινοῖς ὕμνοις παραγενέσθαι, ὁμοτράπεζον ἔχειν τὸν ἱερέα, συνομιλοῦντα εὐλογίας ἀπολαύειν, ἑτέρους ὁρᾶν ἐρχομένους ἐκεῖ; τοῦτο τεῖχος· τοῦτο ἀσφάλεια ἀγροῦ· οὗτός ἐστιν ὁ ἀγρὸς περὶ οὗ φησιν· „ὀσμὴ ἀγροῦ πλήρους ὃν εὐλόγησε Κύριος. εἰ καὶ χωρὶς τούτου καλὸς ὁ ἀγρὸς διὰ τὴν ἡσυχίαν, διὰ τὸ ἀπραγμοσύνης γέμειν· ὅταν καὶ τοῦτο ἔχῃ, τίνι οὐκ ἔσται ἴσος; ἀγρὸς γὰρ ἐκκλησίαν ἔχων, τῷ παραδείσῳ ἔοικε τοῦ Θεοῦ. οὐκ ἔστιν ἐκεῖ κραυγή· οὐκ ἔστι θόρυβος· οὐκ ἐχθροὶ διάφοροι· οὐχ αἱρέσεις· πάντας φίλους ἐστὶν ἰδεῖν· τῶν αὐτῶν δογμάτων κοινωνούς. ἄγει σε εἰς φιλοσοφίαν ἡ ἡσυχία; λαβών σε ἀπὸ τῆς φιλοσοφίας ταύτης ὁ πρεσβύτερος, θεραπεύσει εὐκόλως.

A Itaque siquidem accessisset sicut oportebat accedere, & si acceptus esset, & si ut perniciosus fuisset, non latuisset. Vides quod parva de magnis sentiens duplicia peccat? Duo igitur illi præcipit, *Resipisce & ora, si forte remittatur tibi cogitatio cordis tui.* Ita erat cogitans malum quiddam: propter hoc & dixit, *Si forte remittatur tibi*, quia sciebat incorrigibilem esse. At ille iterum timuit multitudinem, & metuit negare. At si non turbatus fuisset, dixisset se nescivisse & imprudenter egisse, sed B obstupefactus fuit: primum quidem quod captus erat signis: secundo quod manifestabatur cor ejus. Propterea procul postea abiit, nempe Romam, eo quod Apostoli illuc non præveneratit. *Et multis oppidis Samaritanorum evangelizabant.* Vide quomodo & itinera illis negotium afferebant, at non temere proficiscebantur. Tales etiam nos oportebat profectiones facere. Et quid dico profectiones? multi oppida habent ac prædia, & non est illis curæ: sed quomodo balnea fiant: C & ut pretia crescant, & ut aulæ ac domicilia extruantur, multum soliciti sunt: quomodo autem animæ colantur, non item. Et tu quidem si sentes juxta sulcum videris, secas, uris, perdis: & sic terram liberas a suo incommodo. Videns autem illos agros plenos spinis, non desecas? Non times & horres, dic oro, quod de hoc rationem redditurus sis? Num opus est, ut unusquisque fidelium ædificet Ecclesiam? & ut credat simul, etiam doctior fit? Nunquid ante omnia hoc considerandum, D ut omnes sint Christiani? Quomodo dic mihi, Christianus erit agricola, videns te sic suam negligere salutem? Non potes facere signa, & persuadere iis quibus illi persuaserunt, misericordia utere, cura, mansuetudine, affabilitate, aliisque omnibus. Ac fora quidem ac balnea faciunt multi, Ecclesias autem non item, & omnia magis quam has. Ideo oro ac supplico, & gratiam peto, imo & legem pono, ut nullus qui habet villam, appareat carere Ecclesia. Ne mihi dixeris E prope est, in vicina est, magnus est sumptus, non magnum commodum: si quid habes insumendum in pauperes, illuc insume, melius illuc quam ibi, educa magistrum, educa diaconum & sacerdotalem ordinem. Quasi ducta uxore vel sponsa, vel data virgine, sic erga Ecclesiam affectus es, dotem adscribe illi, ita tibi benedictionis prædium multiplicabitur. Quid enim non erit illic bonorum? Parum ne est oro torcular benedici? parum ne est Deum ex omnibus frugibus ac decimis A prius partem ac decimas accipere? Ad pacem agricolarum hoc utile. Venerabilis erit & presbyter postea, & ad securitatem agri conducet. Preces illic perpetuæ propter te, laudes & synaxes propter te, oblatio per singulos dies dominicos. Quid magis mirandum, quod alii extruunt clara sepulchra, ut posteri audiant quod ille construxit, an quod tu Ecclesias excitas? Cogita quod usque ad Christi adventum mercedem habiturus B sis qui altare Dei excitaturus es. Dic enim oro, si rex tibi præcepisset domum extruere, ut illic habitet, nónne omnia fecisses? Nunc igitur regia est Christi Ecclesiæ constructio, ne sumptum spectes, sed fructum computa. Illi colunt terram, tu cole illorum animas: illi tibi ferunt fructus, tu illos infer in cœlos. Qui initium dedit, hic & omnium aliorum causa est. Igitur & te authore illic erudientur initiandi, ii qui agro tuo vicini, quum balnea quidem molliores reddant agricolas, institoriæ officinæ C delicatiores, attamen facitis hæc propter gloriam. Forum & prætoria publica faciunt impudentes: Hic autem omnia secus fiunt. Quale enim fuerit, videre senem, ad exemplum Abrahæ incedentem, canum, accinctum, & fodientem, & ipsum operantem, quid illo agro desiderabilius? Hic major est virtus. Non est lascivia illic, sed abacta est: non est ebrietas, ac voluptas, sed eliminata est: non vana gloria, sed extincta est, plus illic fulget benevolentiæ propter simplicitatem. Quanta res est D abire & ingredi in domum Dei, & videre quod ipse illam extruxerit, & quiescere in villa securum, & habere deambulationem servientem corpori, & matutinis vespertinisque hymnis esse præsentem, ac simul prandentem sacerdotem, simul conservantem, benedictione frui, & alios videre illuc venientes? Hoc fuerit in murum ac securitatem agri. Hic est ager, de quo dicit: *Odor agri pleni cui benedixit Dominus*: Gen. 27, 27 quamvis & præter hoc bona sit villa, propter quietem, propter E abundantiam otii, quod si templum accesserit, quid illi comparabitur? Villa enim habens Ecclesiam, Paradiso Dei comparatur. non est illic clamor, non est turbatio, non varii inimici, neque sectæ, omnes licet videre amicos, & participes eorundem dogmatum. Ducit te in philosophiam, ab hac philosophia accipiens te presbyter curabit facilè: nam

nam hic quæcunque edixerimus, forum excutit: illic autem quæcunque audieris, fixa habebis in mente. Alius in agro eris per illum, & illis præsidebit ac erit custos & ut adsint, & ut componant seipsos. Unde autem est & sumptus, dic mihi? Fac jam parvam domum pro templo, qui sequetur te faciet porticum, qui post illum aliam adjiciet, & sic tibi imputabitur totum. Tu das parum, & totius accipis mercedem. Igitur initium facito, fundamentum jacito, imò mutuum adhortemini, ut certetis in hac re. Nunc autem domus in quibus paleam & frumentum, & omnia talia reponi oportet, facilè extruunt: ubi autem colligere oportet animarum fructus, minimè curant: sed coguntur multis stadiis ire, & magnas profectiones facere, ut in Ecclesiam abeant. Quantum autem est bonum cum multa quiete in Ecclesiam sacerdotem venire, ut accedat Deum, & pro ea quotidie oret ad Dominum? Parum est dic oro in sanctis oblationibus nomen tuum semper referri, & quotidie pro villa preces ad Deum fieri? Quantum tibi & ad alia hoc conducit? Contingit quosdam ex vicinis habitare, & habere curatores. Ad te igitur pauperem non dignabitur ullus horum venire: ac presbyterum fortassis vocabis, & mensæ participem facies. Vides quanta inde erunt bona? Erit tunc villa ab omni suspicione libera, nullus homicidii, nullus furti accusabit, neque aliquid suspicabitur. Habent & aliam consolationem, sive morbus, sive mors accidat. Non simpliciter, neque fortuitò etiam amicitiæ fiunt eorum qui illuc eunt, & congregationes erunt multò aliis cœtibus suaviores: non solum autem congregationes, sed & illi qui præsunt, per presbyterum sunt magis reverendi. Omnino audis quod Hierusalem olim aliis civitatibus honoratior fuerit: sed non simpliciter, verùm propter pietatem quæ tunc prævaluerat. Propterea ubi colebatur Deus. Nihil est mali, multa securitas erit & apud Deum & apud homines. Etiam oro, ne obiter, sed alacriter opus in

Jer. 15, 19. manus suscipiatis. *Qui enim educit preciosum à vili, quasi os Dei erit*, qui tot animabus tam præsentibus quam futuris, usque ad adventum Christi prodest, quantam gratiam apud Deum habebit? Præsidium extrue contra diabolum. Hoc enim Ecclesia. Illinc impetum faciant manus ad laborem, priùs extendentur in precibus, tunc abeant ad opus, unde erit corporis robur, ita erit agricolatio, ita omnia mala erunt foris: non potest voluptas verbis tradi, quamdiu opere nondum fuerit suscepta. Ne hoc videris quod nullam habeat accessionem ac commodum: nam si hoc feceris, nihil facies, si non putas tibi utilitatem prædio majorem accedere, si non sic affectus es, non operaberis, si non opus hoc cogitas tuis omnibus præferendum. Quid hac utilitate majus, animas in aream quæ est in cœlo inducere? Hei mihi, quòd nescitis quantum sit lucrifacere animas! Audi quid dicat ad Petrum Christus; *Si diligis me,*

Joh. 21, 18. *pasce oves meas.* Si oves regias videns, vel equorum armentum, apud stabulum non habere quæ proponantur, accipies ipse, & extrues stabulum & equile, vel præficies pastorem, quantis te remuneraturus est rex? nunc ovile Christi congregas, & pastorem præficis, & non putas magnum quiddam te facere? Quid dico? Si quis scandalizarit etiam unum, tantas pœnarum minas audit, qui tot servat non servabitur? nam quale postea habebit peccatum? etiam si habuerit, non delebit illud? A pœna ejus qui scandalum dederit, disce præmium ejus qui servat. Si non curæ esset Deo etiam unius animæ salus, non tam irasceretur ob illius perditionem. Hæc igitur scientes, curam habeamus operis spiritualis, & me unusquisque vocet, & nos pro viribus simul operabimur. Et si quidem tres fuerint Domini, in commune conferant: si autem unus, & aliis vicinis suadeat? tantum ut hoc corrigatis soliciti sitis, ut ubique benè placentes Deo æterna bona consequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui Sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

A ἐνταῦθα μὲν γὰρ ὅσα ἂν λέγωμεν, ἡ ἀγορὰ ἐκκρούει· ἐκεῖ δὲ ἅπερ ἂν ἀκούσῃς, πεπηγότα ἕξεις ἐν τῇ διανοίᾳ. ἕτερος ἐν τῷ ἀγρῷ ἔσῃ δι' ἐκείνου. καὶ ἐκείνων δὲ προστήσεται, καὶ ἔσται φύλαξ, τῷ τε παρεῖναι, τῷ τε ῥυθμίζειν αὐτούς. πόσον δέ ἐστι καὶ τὸ ἀνάλωμα; εἰπέ μοι; ποίησον τέως μικρὸν οἶκον ἐν τάξει ναοῦ· ὁ μετὰ σὲ ποιήσει στοάν· ὁ μετ' ἐκεῖνον ἕτερα προσθήσει· καὶ οὕτω σοι λογισθήσεται τὸ πᾶν. σὺ δίδως μικρὸν, καὶ τοῦ παντὸς λαμβάνεις τὸν μισθόν. οὐκοῦν

B ἀρχὴν ἐπίθες, θεμέλιον κατάβαλε [μᾶλλον δὲ] ἀλλήλους παρακαλέσατε· ἅμιλλαν ποιήσασθε τοῦ πράγματος. νῦν δὲ ἔνθα μὲν ἄχυρα καὶ σῖτον καὶ πάντα τὰ τοιαῦτα ἀποθέσθαι δεῖ, εὐκόλως οἰκοδομοῦσιν· ἔνθα δὲ συλλεγῆναι χρὴ ψυχῶν γεννήματα, οὐδαμῶς φροντίζουσιν, ἀλλ' ἀναγκάζονται μυρίους σταδίους βαδίζειν, καὶ μακρὰς ἀποδημίας στέλλεσθαι, ἵνα εἰς ἐκκλησίαν ἀπίωσιν. ὅσον δὲ ἐστιν ἀγαθὸν μετὰ πολλῆς ἡσυχίας ἐν τῇ ἐκκλησίᾳ τὸν ἱερέα παραγί-

C νεσθαι, ἵνα προστῇ [τῷ] Θεῷ καὶ λέγῃ ὑπὲρ τῆς κώμης καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τοῦ κεκτημένου. μικρόν ἐστιν, εἰπέ μοι, τὸ καὶ ἐν ταῖς ἁγίαις ἀναφοραῖς ἀεὶ τὸ ὄνομά σου ἐγκεῖσθαι, καὶ καθ' ἑκάστην ἡμέραν ὑπὲρ τῆς κώμης εὐχὰς γίνεσθαι πρὸς τὸν Θεόν; πόσον σοι καὶ εἰς τὰ ἄλλα τοῦτο λυσιτελεῖ; συμβαίνει τινὰς ἐκ γειτόνων οἰκεῖν καὶ ἐπιτρόπους· πρὸς σὲ μὲν οὖν τὸν πένητα, οὐκ ἀξιώσει τις ἐκείνων οὐδὲ ἐλθεῖν· τὸν δὲ πρεσβύτερον ἴσως [καὶ] καλέσει, καὶ τραπέζης κοινωνὸν

D ποιήσει. [ὁρᾷς] πόσα ἐντεῦθεν γενήσεται καλά; πάσης ἔσται τέως ἡ κώμη πονηρᾶς ὑποψίας ἐλευθέρα· οὐδεὶς ἀνδροφονίας· οὐδεὶς κλοπῆς ἕνεκεν ἐγκαλέσει, οὐδεὶς τοιοῦτον οὐδὲν ὑποπτεύσει. ἔχουσι καὶ ἑτέραν παραμυθίαν, ἂν νόσος παρακολουθήσῃ, ἂν θάνατος. οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχε, καὶ αἱ φιλίαι γίνονται τῶν ἐκεῖ παρ' ἀλλήλοις ἰόντων. καὶ αἱ σύνοδοι δὲ γενήσονται πολλῷ τῶν ἐν ταῖς πανηγύρεσιν ἡδίους. οὐ μόνον δὲ αἱ σύνοδοι, ἀλλὰ καὶ αὐτοὶ οἱ προεστῶτες διὰ τὸν

E πρεσβύτερον αἰδεσιμώτεροι ἔσονται. πάντως ἀκούεις ὅτι τὰ Ἱεροσόλυμα παρὰ τὰς ἄλλας πόλεις τιμιώτερα ἦν παρὰ τοῖς παλαιοῖς· ἀλλ' οὐχ ἁπλῶς, ἀλλὰ διὰ τὴν τότε κρατοῦσαν εὐσέβειαν. διὰ τοῦτο ἔνθα τιμᾶται Θεὸς, οὐδέν ἐστι πονηρόν· ὥσπερ πάλιν ἔνθα οὐ τιμᾶται, οὐδὲν ἀγαθόν. πολλὴ ἀσφάλεια ἔσται καὶ παρὰ ἀνθρώποις. ναὶ παρακαλῶ, μὴ παρέργως ἀλλὰ προθύμως τοῦ πράγματος ἀντιλάβεσθε. εἰ γὰρ ὁ ἐξάγων τίμιον ἐξ ἀναξίου ὡς στόμα τοῦ Θεοῦ ἔσται, ὁ τοσαύ-

A τας ψυχὰς τάς τε οὔσας, τάς τε ἐσομένας ἕως τῆς τοῦ Χριστοῦ παρουσίας ὠφελῶν καὶ ἀνακτώμενος, πόσης οὐκ ἀπολαύσεται εὐνοίας παρὰ τοῦ Θεοῦ; φρούριον κατασκεύασον κατὰ τοῦ διαβόλου. τοῦτο γάρ ἐστιν ἡ ἐκκλησία. ἐκεῖθεν ὁρμάτωσαν αἱ χεῖρες εἰς κάματον· πρῶτον ἀνατεινέτωσαν αὐτὰς εἰς εὐχὰς, καὶ τότε ἀπίτωσαν εἰς τὴν ἐργασίαν. οὕτως ἔσται αὐτοῖς ἰσχὺς σώματος· οὕτως ἔσται ἡ γεωργία πολλή· οὕτω πάντα ἐκτὸς ἔσται τὰ κακά. οὐκ ἔστι τὴν ἡδονὴν τὴν

B ἐντεῦθεν λόγῳ παραστῆσαι, ἕως ἂν ἔργῳ μὴ γένηται. μὴ τοῦτο ἴδῃς, εἰ οὐδεμίαν ἔχει πρόσοδον. ὅλως εἰ οὕτω ποιεῖς, μὴ ποιήσῃς· εἰ μὴ νομίζεις πρόσοδον λαμβάνειν παντὸς τοῦ χωρίου μείζονα· εἰ μὴ οὕτω διάκεισαι, μηδὲ ἐργάσῃ· εἰ μὴ ὑπὲρ πάντα προστῆναί σου ὑπολαμβάνεις τὸ ἔργον τοῦτο. τί τῆς προσόδου ταύτης μεῖζον, τοῦ εἰς τὴν ἅλω τὴν ἐν οὐρανῷ εἰσαγαγεῖν ψυχάς; οἴμοι ὅτι οὐκ ἴστε πόσον ἐστὶ τὸ κερδᾶναι ψυχάς. ἄκουε τί φησι πρὸς [τὸν] Πέτρον ὁ Χριστός· εἰ φιλεῖς

C με, ποίμαινε τὰ πρόβατά μου. εἰ πρόβατα βασιλικὰ θεασάμενος ἢ ἵππων ἀγέλην παρὰ τὸ σηκὸν μὴ ἔχειν εἰς ἐπιβολὴν προκείμενα, λαβὼν αὐτὸς σηκόν τε ᾠκοδόμησας καὶ ἱππῶνα ἢ καὶ ποιμένα ἐπέστησας, τίνι οὐκ ἄν σε ἠμείψατο ὁ βασιλεύς; νῦν τὸ ποίμνιον τοῦ Χριστοῦ συνάγεις καὶ ποιμένα ἀφιστᾷς· καὶ οὐχ ἡγῇ μέγα τι ἐργάζεσθαι; τί λέγω; εἰ ὁ σκανδαλίζων καὶ ἕνα, ἀπειλὴν ἔχει τοσαύτην ὑποστῆναι τιμωρίαν· ὁ σώζων τοσούτους, εἰπέ μοι, οὐχὶ σω-

D θήσεται; εὔδηλον ὅτι. ποίαν ἕξει γὰρ λοιπὸν ἁμαρτίαν· ἢ κἂν ἔχοι, οὐκ ἐξαλείψει ταύτην; ἀπὸ τῆς τιμωρίας τοῦ σκανδαλίζοντος, μάθε τὸ ἔπαθλον τοῦ σώζοντος. εἰ μὴ περιεσπούδαστον ἦν τῷ Θεῷ καὶ μιᾶς ψυχῆς σωτηρία, οὐκ ἂν τοσαύτην ὀργὴν ἐποίησεν αὐτοῦ [ἡ ἀπώλεια.] ταῦτα οὖν εἰδότες, ἐχώμεθα ἤδη τοῦ ἔργου τούτου τοῦ πνευματικοῦ, καὶ ἐμὲ καλεσάτω ἕκαστος, καὶ ἡμεῖς συναντιληψόμεθα τὰ δυνατά. καὶ εἰ μὲν τρεῖς εἶεν οἱ κεκτημένοι, ἐκ συνεισφορᾶς ποιεί-

E τωσαν· εἰ δὲ εἷς, καὶ τοὺς ἄλλους ἀναπειθέτω τοὺς πλησίον. μόνον τοῦτο κατορθῶσαι σπουδάσατε παρακαλῶ, ἵνα πάντοθεν εὐαρεστοῦντες τῷ Θεῷ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν. χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ

ΟΜΙΛΙΑ Λ. ιθ.

A Ἄγγελος δὲ κυρίου ἐλάλησε πρὸς Φίλιππον λέγων· ἀνάστηθι καὶ πορεύου πρὸς μεσημβρίαν, ἐπὶ τὴν ὁδὸν τὴν καταβαίνουσαν ἀπὸ Ἱερουσαλὴμ εἰς Γάζαν, αὕτη ἐστὶν ἔρημος. καὶ ἀναστὰς ἐπορεύθη.

Ἐμοὶ δοκεῖ ταῦτα ὡς ἐν Σαμαρείᾳ προστάττεσθαι. ὅτι ἀπὸ Ἱεροσολύμων οὐ πρὸς μεσημβρίαν τις ἄπεισιν, ἀλλὰ πρὸς ἄρκτον. ἀπὸ δὲ Σαμαρείας, πρὸς μεσημβρίαν. αὕτη ἐστὶν ἔρημος. τοῦτο λέγει, ὥστε μὴ φοβηθῆναι τὴν Ἰουδαίων τὴν ἐπίστασιν. καὶ οὐκ ἠρώ- B τησε διατί· ἀλλ' ἀναστὰς ἐπορεύθη. καὶ ἰδού, φησιν, ἀνὴρ Αἰθίοψ εὐνοῦχος δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων, ὃς ἦν ἐπὶ πάσης τῆς γάζης αὐτῆς, ὃς ἐληλύθει προσκυνήσων εἰς Ἱερουσαλήμ. ἦν δὲ ὑποστρέφων καὶ καθήμενος ἐπὶ τοῦ ἅρματος αὐτοῦ, καὶ ἀνεγίνωσκε τὸν προφήτην Ἡσαΐαν. μεγάλα ἐγκώμια τὰ περὶ τούτου εἰρημένα· εἴγε καὶ ἐν Αἰθιοπίᾳ μένων, καὶ τοσούτοις κυκλούμενος πράγμασι, καὶ ἑορτῆς οὐκ οὔσης, καὶ ἐν τῇ δεισιδαίμονι πόλει C ὤν, ἤρχετο προσκυνήσων εἰς Ἱερουσαλήμ. πολλή τε ἡ σπουδή, ὅτι καὶ καθήμενος ἐπὶ τοῦ ὀχήματος ἀνεγίνωσκε. εἶπε δὲ τὸ πνεῦμα τῷ Φιλίππῳ, πρόσελθε καὶ κολλήθητι τῷ ἅρματι τούτῳ. προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος Ἡσαΐαν τὸν προφήτην, καὶ εἶπεν· ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; ὁ δὲ εἶπε· πῶς γὰρ ἂν δυναίμην, ἐὰν μή τις ὁδηγήσῃ με; ὅρα πάλιν ἄλλην εὐλάβειαν. τίνα ταύτην; [ὅτι] οὐκ εἰδὼς ἀνεγίνωσκεν· εἶτα μετὰ τὸ ἀνα- D γνῶναι ἐξετάζει. παρεκάλεσε δὲ τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. ἡ δὲ περιοχὴ τῆς γραφῆς ἣν ἀνεγίνωσκεν ἦν αὕτη· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος. οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ. ἀποκριθεὶς δὲ ὁ εὐνοῦχος τῷ Φιλίππῳ εἶπε, δέομαί σου περὶ τίνος ὁ προφήτης τοῦτο λέγει; περὶ E ἑαυτοῦ, ἢ περὶ ἑτέρου τινός; ἀνοίξας δὲ ὁ Φίλιππος τὸ στόμα αὐτοῦ, καὶ ἀρξάμενος ἀπὸ τῆς γραφῆς ταύτης, εὐηγγελίσατο αὐτῷ τὸν Ἰησοῦν. ὁρᾷς πῶς οἰκονομεῖται τὰ κατ' αὐτόν; πρότερον ἀναγινώσκει καὶ ἀγνοεῖ· εἶτα ἀναγινώσκει αὐτὴν τὴν περιοχήν, ἔνθα ἦν τὸ πάθος καὶ ἡ ἀνάστασις καὶ ἡ δωρεά. ὡς δὲ ἐπορεύοντο κατὰ τὴν ὁδόν, ἦλθον ἐπί τι ὕδωρ. καί φησιν ὁ εὐνοῦχος, ἰδοὺ ὕδωρ, τί κωλύει με βαπτισθῆναι; εἶδες προθυμίαν; εἶδες ἀκρίβειαν; ἐκέλευσέ τε στῆναι τὸ ἅρμα, καὶ A κατέβησαν εἰς τὸ ὕδωρ ἀμφότεροι, ὅ,τε Φίλιππος καὶ ὁ εὐνοῦχος, καὶ ἐβάπτισεν αὐτόν. ὅτε δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπασε τὸν Φίλιππον, καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι ὁ εὐνοῦχος. ἐπορεύετο γὰρ τὴν ὁδὸν αὐτοῦ χαίρων. διατί φησιν ἥρπασεν αὐτὸν πνεῦμα κυρίου; διότι ἔμελλε καὶ ἄλλας πόλεις διελθεῖν καὶ εὐαγγελίσασθαι. ὥστε οὖν ὕστερον αὐτὸν θαυμασθῆναι τοῦτο ἐγίνετο. ὥστε μὴ ἀνθρώπινον τὸ περὶ αὐτὸν, ἀλλὰ θεῖον νομίσαι. Φίλιππος δὲ B εὑρέθη εἰς Ἄζωτον, καὶ διερχόμενος εὐηγγελίσατο τὰς πόλεις πάσας, ἕως τοῦ ἐλθεῖν αὐτὸν εἰς Καισάρειαν. καὶ ἐκ τούτου δῆλον, ὡς οὗτος τῶν ἑπτά ἐστι. καὶ γὰρ καὶ ὕστερον ἐκεῖ εὑρίσκεται ἐν Καισαρείᾳ. συμφερόντως οὖν ἥρπασεν αὐτὸν τὸ πνεῦμα, ἐπεὶ ἠξίωσεν ἂν καὶ συναπελθεῖν αὐτῷ ὁ εὐνοῦχος. [ὃν] καὶ ἐλύπησεν ἂν ἐκεῖνος, ἀνανεύσας καὶ ἀρνησάμενος οὐδέπω καιροῦ ὄντος. εἶδες ἀγγέλους συναντιλαμβανομένους τῷ κηρύγματι· καὶ αὐτοὺς μὲν οὐ κηρύττοντας, τούτους δὲ καλοῦντας; τὸ δὲ θαυμαστὸν καὶ ἐντεῦθεν δείκνυται. ὅπερ γὰρ πάλαι C σπάνιον ἦν καὶ μόλις ἐγίνετο, τοῦτο ἐνταῦθα μετὰ πολλῆς γίνεται ἀφθονίας. ἄλλως δέ· καὶ προαναφώνησίς τις τὸ γεγονὸς ἦν τοῦ τοὺς ἀλλοφύλους κρατῆσαι αὐτούς. καὶ γὰρ τὸ τῶν πιστευόντων ἀξιόπιστον, ἱκανὸν τοὺς μανθάνοντας πεῖσαι πρὸς τὸν ἴσον καὶ αὐτοὺς ζῆλον διαναστῆναι. διὰ τοῦτο γοῦν καὶ ἐπορεύετο χαίρων, ὥστε εἰ ἠπίστατο, οὐκ ἂν ἥσθη. τί δαὶ ἐκώλυε, φησι, πάντα αὐτὸν ἀκριβῶς μαθεῖν καὶ ἐν τῷ ὀχήματι ὄντα; καὶ μάλιστα ἐν ἐρήμῳ; ὅτι οὐκ ἦν τὸ πρᾶγμα ἐπίδειξις. ἀλλ' D ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. καὶ ἰδοὺ ἀνὴρ Αἰθίοψ εὐνοῦχος, φησι, δυνάστης Κανδάκης τῆς βασιλίσσης Αἰθιόπων. ἐκ τούτου δῆλον ὡς ὑπὸ ταύτης ἤρχετο. καὶ γὰρ γυναῖκες ἐκράτουν τὸ παλαιὸν, καὶ οὗτος ἦν νόμος παρ' αὐτοῖς. οὕτως οὐκ ᾔδει Φίλιππος τίνος ἕνεκεν παρεγένετο εἰς τὴν ἔρημον, ὅτι καὶ οὐκέτι ἄγγελος, ἀλλὰ τὸ πνεῦμα αὐτὸν ἁρπάζει. οὐδὲν δὲ τούτων οὔτε ὁρᾷ εὐνοῦχος ἀτελὴς ἔτι ὤν· ἢ ὅτι καὶ ταῦτα οὐ τοῖς σωματικωτέροις, ἀλλὰ τοῖς πνευματικωτέροις ἐστίν, οὔτε μὴν E ἃ Φίλιππος ἐκδιδάσκεται μανθάνει. καὶ διατί μὴ ἐκείνῳ φαίνεται ὁ ἄγγελος καὶ ἄγει αὐτὸν πρὸς Φίλιππον; ὅτι ἴσως οὐκ ἂν ἐπείσθη, ἀλλὰ καὶ ἐξεπλάγη μόνον. ὅρα τὴν τοῦ Φιλίππου φιλοσοφίαν. οὐ κατηγόρησεν· οὐκ εἶπεν, ἀγνοεῖς· ἐγώ σε διδάξω. οὐκ εἶπεν· ἐγὼ ταῦτα ἀκριβῶς οἶδα· οὐκ ἐκολάκευσε, καὶ εἶπεν αὐτῷ, μακάριος εἶ ἀναγινώσκων. οὕτως ἦν καὶ θρασύτητος ἐκτὸς καὶ κολακείας τὸ ῥῆμα, καὶ μᾶλλον κηδεμονικοῦ καὶ φιλανθρώπου. ἔδει γὰρ αὐτὸν αἰ-

HOMILIA XIX.

Angelus autem Domini locutus est ad Philippum, dicens: Surge, & vade Meridiem versus, ad viam quæ descendit à Hierusalem in Gazam, hæc est deserta: & surgens abiit.

Videntur mihi conscripta, de eo qui à Samaria, non qui à Hierosolymis vadit. A Hierosolymis enim non itur ad Meridiem, sed ad Septentrionem. A Samaria autem ad Meridiem est iter. *Ista est solitudo.* Hoc dicit, atque adeo ut non terreatur Judæorum seditione. Et non interrogavit Quare? sed surgens abiit. *Et ecce*, inquit, *vir Æthiops Eunuchus potens Candaces reginæ Æthiopum, qui erat præfectus omni thesauro ejus, & venerat adoraturus in Hierusalem. Revertebatur autem, & sedebat in curru suo, legebatque Prophetam Esaiam.* Magnis laudibus prædicatur ille, quandoquidem & ille in Æthiopia manens, & tantis occupatus negotiis, & cum non esset festus dies, agerétque in superstitiosa civitate, *venit adoraturus Hierusalem.* Magnáque diligentia erat, quia etiam in curru sedens legebat. *Dixit autem spiritus Philippo: Accede & adhære currui huic. Ut autem accurrit Philippus, audivit illum legentem Esaiam Prophetam, & dixit: Nunquid intelligis, quæ legis? At ille dixit: Quomodo possem, nisi quis viam ostenderit?* Vide iterum aliam pietatem. Et quam pietatem? quia nesciens legebat, & postquam legerat, inquirebat. *Rogavitq; Philippum ut ascenderet, sideretq; secum. Continentia autem scripturæ quam legebat, hæc erat: Tanquam ovis ad occisionem ductus est, & sicut agnus coram tondente se mutus sic non aperuit os suum. In humilitate ipsius judicium ejus sublatum est. Generationem autem ejus quis enarrabit? quoniam tollitur de terra vita ejus. Respondens autem Eunuchus Philippo dixit, Obsecro te de quo Propheta dicit hoc, de se, an de alio quopiam? Aperiens autem Philippus os suum, & incipiens à scriptura ista, prædicavit illi Jesum.* Esa.53.7. Vide quomodo res cum illo gerantur, primum legit ac ignorat, deinde legit illud potissimum capitulum, in quo & passio & resurrectio, ac donum docebantur. *Et dum irent per viam, venerunt ad quandam aquam. Et ait Eunuchus: Ecce aqua, quid prohibet me baptizari?* Vidisti alacritatem? vidisti diligentiam? *Jussitq; stare currum, & descenderunt in aquam ambo Philippus & Eunuchus, & baptizavit illum: ubi autem ascenderunt ab aqua, Spiritus Domini rapuit Philippum, & non vidit illum ultrà Eunuchus: ibat enim per viam suam gaudens.* Quare, inquit, *tulit illum Spiritus Domini?* eo quòd & per alias civitates transiturus erat ac annunciaturus. Factúmque est hoc, ut postea in admiratione sit, & ita, ne humanum aliquid de illo, sed divinum existimes. *Philippus autem inventus est in Azoto, & pertransiens evangelizabat civitatibus cunctis donec veniret Cæsaream.* Et ex hoc manifestum, quod hic unus ex septem fuerit. Etenim & postea illic invenitur in Cæsarea. Utiliter igitur rapuit spiritus, alioqui rogasset Eunuchus, ut simul cum illo proficiscatur, quem ille cum nondum tempus esset, renuens ac negans contristasset. Vidisti Angelos cooperantes prædicationi, & ipsos quidem non prædicantes, hos autem vocantes? Hoc autem mirabile etiam hic ostenditur, nam quod olim rarum erat & vix fiebat, id hic perquam liberaliter fit. Et aliter: Prædictum erat illos dominaturos alienigenis: quod fideles sunt fide digni, sufficit obedientiæ assuetos etiam ipsos in similem zelum excitari: propter hoc sanè & *gaudens ibat*, atque adeo si nescivisset, non esset gavisus. Quid autem prohibuisset, inquit, omnia illum diligenter discere, & in curru existentem, maximè in deserto? quia res hæc non agebatur ad ostentationem. Sed videamus iterum quæ lecta sunt. *Et ecce Æthiops, Eunuchus*, inquit, *præfectus Candaces reginæ Æthiopum.* Ex hoc manifestum, quod ab ea terra venerat. Nam olim & mulieres imperabant, veteri quadam lege. Sic nesciebat Philippus quare venisset in solitudinem, quia & non jam Angelus, sed spiritus illum rapit. Nihil autem horum Eunuchus adhuc imperfectus videt, vel quod & hæc non corporis, sed spiritualibus oculis spectanda sint: neque etiam quæ Philippus edocebatur, discit. Et quare non ipsi apparet Angelus, & ipsum ducit ad Philippum? Quia fortassis non obedisset, sed solum perterritus fuisset. Vide Philippi philosophiam. Non calumniatus est, non dixit, Ignoras, ego te docebo: non dixit, Ego hæc accuratè scio; nec adulatus est, dicens: Beatus es hæc legens, ita à temeritate ac adulatione verbum alienum erat, sed curam se gerere & misericordem esse declarabat: oportebat etiam illum interrogare,

oportebat illum desiderare. Est autem hoc manifestè insinuantis, se scire hoc quod ille nesciebat, dum dixit: *Nunquid intelligis ea quæ legis*, & simul ostendit magnum in his latere thesaurum. Sed vide ut sapienter Eunuchus excusat, *Quomodo enim*, inquit, *possem, si quis mihi viam non indicet?* Non vidit in habitum, non dixit: Tu quis es, non redarguit, non insolenter locutus est. non dicit se scire, sed fatetur ignorantiam, ideo & discit, monstrat vulnus medico. Simul agnoscebat quod & ille sciebat, & docere volebat. Vidit alienum à fasto, neque enim claro habito vestitus erat. Ita erat audiendi avidus, & sermonibus attentebat. Quia & in ipso implebatur, *Qui quærit, invenit.* (Matth.7,8.) *Obsecravit autem*, inquit. *Philippum, ut ascenderet & sederet cum ipso.* Vidisti diligentiam? vidisti desiderium? orat ut ascendat, ac secum sedeat. Sic nesciebat quid esset illi dicturus, sed simpliciter putabat se prophetiam quandam auditurum. Major autem hic honor est, quod non simpliciter ascendere facit, sed etiam orat. Ut autem hic accurrisset Philippus, audivit illum legentem: & cursus signum est volentis aliquid dicere, & lectio studii. In eo enim legebat tempore, quo Solis calor ferventior. Continentia autem ista erat: *Sicut ovis ad occisionem ductus est.* Ex hoc illius in discendo cupiditatis indicium erat, quod Prophetam aliis sublimiorem in manibus habebat. Ideo non cum severitate illi enarrat, sed mansuetè, imò neque sic loquitur prius, donec interrogatus est, donec ille obsecravit. Quemadmodum istud iterum faciens, inquit: *Oro de quo Propheta dicit hoc?* Mihi videtur quod nesciebat quod de aliis dicunt Prophetæ: vel si non hoc, nesciebat quod de aliis ut de seipsis loquantur. Confundamus & pauperes & opulenti illum quæstorem. *Deinde venerunt ad aquam*, inquit: *Ecce aqua.* Id erat animæ valde flagrantis. *Quid prohibet me baptizari?* Vides illius concupiscentiam. Non dicit, Baptiza me, neque silet. Sed medium quiddam inter desiderium & accipiendi pronitatem loquitur, dicens: *Quid prohibet me baptizari.* Vide quomodo absoluta dogmata habuit. Etenim Propheta omnia continebat, incarnationem, passionem, resurrectionem, judicium futurum. Quæ sanè magnum illi desiderium ingenerabant. Confundamini, quotquot nondum illuminati estis. *Et jussit*, inquit, *stare currum.* Simul dixit & imperavit. *Ut autem ascenderunt ab aqua, Spiritus Domini rapuit, Philippum.* Benè, ut divinum ostendatur quod factum, & ut ne putetur homo vulgaris. *Et ivit*, inquit, *viam suam gaudens.* Hoc dixit ostendens quod contristatus esset, si cognovisset. Itaque præ multo gaudio, quamvis spiritum consecutus, neque videbat præsentia. *Et inventus est*, inquit, *in Azoto.* Multum hinc & Philippus lucratus est. Nam id quod audivit de Prophetis, de Abacuc, de Ezechiele ac aliis, vidit in se quoque fieri, qui in minimo tempore expertus sit multum itineris se confecisse, quandoquidem *in Azoto* inventus est, & illic postea stat ubi etiam illum evangelizare oportebat.

Cap.IX. *Saulus autem adhuc spirans minas ac cædem adversus discipulos Domini, accessit ad principem Sacerdotum, & petiit ab eo Epistolas, quas perferret Damascum ad Synagogas, ut si quos invenisset ejus viæ seu viros seu mulieres, vinctos duceret Hierusalem.* Opportunè de zelo Pauli hic disserit, ut ostendat quod medio zelo vehebatur, nondum satiatus cæde Stephani, neque persecutione Ecclesiæ impletus ac dispersione, *accedit ad principem Sacerdotum*, ubi impletur quod à Christo ad discipulos dictum: Joh.16,2. *Quia venit hora, quod omnis qui occidit vos, arbitratur se obsequium Deo offerre.* Hic igitur sic faciebat, non ut Judæi, absit: nam quod zelo faciebat, manifestum ex eo quod in exteras civitates abibat. Illi autem etsi ea quæ in Hierosolymis curabant, solùm ut gloriam obtinerent. Quare autem *in Damascum* ibat? magna civitas erat ac regia: timebat igitur ne & illa civitas præveniretur. Et videre licet desiderium ac ardorem, quomodo legitimè operatus est: non enim accedit ad principem, sed ad Pontificem, petit adeo epistolas ab illo, ut quotquot inveniret esse in via. *Viam* eos qui credebant vocat, qui apud omnes sic tunc nominabantur, fortassis ob hoc quòd viam secabant ferentem in cœlum. Quare autem non accepit potestatem illic puniendi illos, sed in Hierusalem ducit? ut ita cum majore potestate ibi pœnam de illis sumat. Et vide quali periculo seipsum committebat, attamen & sic timet ne quid mali patiatur. Sanè propter hoc & illos secum accipit, ut videntiùs quotquot viros ac mulieres inveniret, vinctos adduceret in Hierusalem. Et aliter: Etiam per viam ostendere spiritus voluit omnibus suum totum esse, ita illi non operabantur hoc. Et vide illum etiam in ἄλλως τε καὶ διὰ τῆς ὁδοῦ πᾶσιν αὐτοῖς δεῖξαι ἐβούλετο αὐτὸ τὸ πᾶν

A τῆσαι οὐδὲ αὐτὸν πεῖσαι. ἐμφαίνοντος δέ ἐστιν ὡς εἶδεν, ὅτι οὐκ ᾔδει ἐκεῖνος τὸ εἰπεῖν· ἆρά γε γινώσκεις ἃ ἀναγινώσκεις; καὶ ἅμα δεικνύντος πολὺν τὸν θησαυρὸν ἐγκείμενον. ἀλλ' ὅρα πῶς συνετῶς καὶ ὁ εὐνοῦχος ἀπολογεῖται· πῶς γὰρ ἄν, φησι, δυναίμην ἐὰν μή τις ὁδηγήσῃ με; οὐκ εἶδεν εἰς τὸ σχῆμα· οὐκ εἶπε, σὺ τίς εἶ; οὐκ ἐμέμψατο· οὐκ ἀλαζονεύεται· οὐ λέγει εἰδέναι, ἀλλ' ὁμολογεῖ ἀγνοεῖν, διὸ καὶ μανθάνει, ἐπιδείκνυσι τὸ τραῦμα τῷ ἰατρῷ. συνεώρα B ὅτι καὶ οἶδε ταῦτα, καὶ βούλεται διδάξαι. εἶδε τὸ ἄτυφον. οὐδὲ γὰρ λαμπρὸν ἐπεφέρετο σχῆμα. οὕτως ἦν φιλήκοος καὶ τοῖς λόγοις προσέχων· [ὅτι] καὶ τὸ, ὁ ζητῶν εὑρίσκει, ἐπ' αὐτοῦ ἐπληροῦτο. παρεκάλεσε δέ, φησι, τὸν Φίλιππον ἀναβάντα καθίσαι σὺν αὐτῷ. εἶδες τὴν σπουδήν; εἶδες τὸν πόθον; παρακαλεῖ ἀναβάντα συγκαθίσαι αὐτῷ. οὕτως οὐκ ᾔδει τί ἔμελλεν αὐτῷ ἐρεῖν· ἀλλ' ἐνόμιζεν ἁπλῶς προφητείαν τινὰ ἀκούσεσθαι. καὶ αὕτη δὲ μείζων τιμή, τὸ μὴ ἁπλῶς ἀνα- C γαγεῖν, ἀλλὰ παρακαλέσαντα. προσδραμὼν δὲ ὁ Φίλιππος, ἤκουσεν αὐτοῦ ἀναγινώσκοντος. καὶ ὁ δρόμος σημεῖον βουλομένου εἰπεῖν, καὶ ἡ ἀνάγνωσις σπουδῆς. ἐν τούτῳ γὰρ ἀνεγίνωσκε καιρῷ, ἐν ᾧ σφοδρότερον ποιεῖ τὸ καῦμα ὁ ἥλιος. ἡ δὲ περιοχὴ ἦν αὕτη· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. καὶ τοῦτο αὐτοῦ δεῖγμα τῆς φιλομαθείας, τὸ τὸν προφήτην τοῦτον μετὰ χεῖρας ἔχειν τῶν ἄλλων ὄντα ὑψηλότερον. διὸ καὶ οὐ μετὰ σφοδρότητος αὐτῷ διηγεῖται, ἀλλ' ἡμέρως D μᾶλλον· δὲ οὐδὲ οὕτω φθέγγεται πρότερον, ἕως ὅτε ἠρωτήθη, ἕως ἐκεῖνος παρεκάλεσεν. ὥσπερ τὸ αὐτὸ πάλιν ποιῶν φησι· δέομαί σου, περὶ τίνος ὁ προφήτης λέγει τοῦτο; ἐμοὶ δοκεῖ οὐκ ᾔδει, ὡς περὶ ἄλλων λέγουσιν οἱ προφῆται· ἢ εἰ μὴ τοῦτο, ὅτι περὶ ἑαυτῶν διαλέγονται ἐν ἑτέρῳ προσώπῳ, ἠγνόει. αἰσχυνθῶμεν καὶ πένητες καὶ πλουτοῦντες ἐκεῖνον τὸν ταμίαν. εἶτα ἦλθον ἐπί τι ὕδωρ καί φησιν, ἰδοὺ ὕδωρ. σφόδρα ψυχῆς τοῦτο ἐκκαιομένης. τί κωλύει με βαπτισθῆναι; ὁρᾷς αὐτοῦ E τὴν ἐπιθυμίαν; οὐ λέγει, βάπτισόν με· οὔτε σιωπᾷ· ἀλλ' ἀμέσον τι καὶ τῆς ἐπιθυμίας καὶ τῆς εὐλαβείας φθέγγεται, λέγων· τί κωλύει με βαπτισθῆναι; ὅρα πῶς τὰ δόγματα ἀπηρτισμένα εἶχε. καὶ γὰρ ὁ προφήτης πάντα περιεῖχε, τὴν σάρκωσιν, τὸ πάθος, τὴν ἀνάστασιν, τὴν ἀνάληψιν, τὴν κρίσιν τὴν μέλλουσαν. ἃ δὴ καὶ πολλὴν τὴν ἐπιθυμίαν αὐτοῦ μάλιστα ἐνεποίησαν. αἰσχύνθητε ὅσοι ἀφώτιστοι τυγχάνετε. καὶ ἐκέλευσε, φησι, στῆναι τὸ ἅρμα. ἅμα εἶπε καὶ ἐπέταξε πρὶν ἢ ἀκοῦσαι. ὡς A δὲ ἀνέβησαν ἀπὸ τοῦ ὕδατος, πνεῦμα κυρίου ἥρπασε τὸν Φίλιππον. καλῶς, ἵνα θεῖον δειχθῇ τὸ γινόμενον· καὶ ἵνα μὴ νομίσῃ ὅτι ἄνθρωπός ἐστιν ἁπλῶς. καὶ ἐπορεύετο, φησι, τὴν ὁδὸν αὐτοῦ χαίρων. τοῦτο εἰπὼν, δηλοῦντος ὅτι ἐλυπήθη ἂν εἰ ἔγνω· οὕτως ὑπὸ τῆς πολλῆς χαρᾶς, καίτοι πνεύματος καταξιωθεὶς, οὐδὲ ἑώρα τὰ παρόντα. καὶ εὑρέθη φησὶν εἰς Ἄζωτον. μέγα ἐντεῦθεν καὶ ὁ Φίλιππος ἐκέρδαινεν. ὅπερ γὰρ ἤκουσε περὶ τῶν προφητῶν, περὶ Ἀμβακοὺμ, περὶ Ἰεζεκιὴλ καὶ τῶν ἄλλων, εἶδεν ἐπ' αὐτοῦ γινόμενον, ὡς ἐν ἀκαρεῖ δείκνυται πολλὴν ὁδὸν ἀπελ- B θών, εἴγε ἐν Ἀζώτῳ εὑρέθη, καὶ ἐκεῖ λοιπὸν ἵσταται, ἔνθα αὐτὸν καὶ εὐαγγελίσασθαι ἔδει.

Σαῦλος δὲ ἔτι ἐμπνέων ἀπειλῆς καὶ φόνου εἰς τοὺς μαθητὰς τοῦ κυρίου, προσελθὼν τῷ ἀρχιερεῖ, ᾐτήσατο παρ' αὐτοῦ ἐπιστολὰς εἰς „Δαμασκὸν πρὸς τὰς συναγωγὰς, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄν- „τας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ. „εὐκαίρως παρενέβαλε τὰ περὶ τοῦ ζήλου τοῦ Παύλου, ἵνα δείξῃ ὅτι ἐν μέ- C σῳ τῷ ζήλῳ εἵλκετο. οὐδέπω γὰρ κορεσθεὶς τῷ φόνῳ Στεφάνου, οὐδὲ ἐμπλησθεὶς τῷ διωγμῷ τῆς ἐκκλησίας καὶ τῇ διασπορᾷ, πρόσεισι τῷ ἀρχιερεῖ. ἐνταῦθα πληροῦται τὸ παρὰ τοῦ Χριστοῦ πρὸς τοὺς μαθητὰς εἰρημένον, ὅτι ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς δόξῃ λατρείαν „προσφέρειν τῷ θεῷ. οὗτος μὲν οὖν οὕτως ἐποίει, οὐχ ὡς Ἰουδαῖοι, μὴ „γένοιτο. ὅτι γὰρ ζήλῳ ἐποίει, δῆλον ἐκ τοῦ καὶ εἰς τὰς ἔξω πόλεις ἀπιέναι. ἐκεῖνοι δὲ, οὔτε καὶ τῶν ἐν Ἱεροσολύμοις ἐφρόντισαν· ἀλλ' ὥστε ἐ- D γένοντο μόνου τοῦ τιμῆς ἀπολαύειν. διατί δὲ εἰς Δαμασκὸν ἐπορεύετο; μεγάλη ἡ πόλις ἦν· βασιλικὴ ἦν. ἐφοβεῖτο μὴ καὶ ἐκείνη προκαταληφθῇ. καὶ ὅρα τὸν πόθον καὶ τὴν σφοδρότητα πῶς νομικῶς ἔπραττεν. οὐ προσέρχεται ἄρχοντι, ἀλλὰ τῷ ἀρχιερεῖ· αἰτεῖ ἐπιστολὰς παρ' αὐτοῦ, ὅπως ἄν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας. ὁδὸν τοὺς πιστεύοντας καλεῖ. ὃν παρὰ πᾶσιν οὕτως ὠνομάζοντο τάχα διὰ τὸ τὴν ὁδὸν τέμνειν τὴν εἰς οὐρανὸν φέρουσαν. διατί δὲ μὴ λαβὼν ἐξουσίαν ἐκεῖ τιμωρήσασθαι αὐτοὺς, E ἀλλ' εἰς Ἱεροσόλυμα ἄγει; ὥστε μετὰ πλείονος τῆς ἐξουσίας ἐνταῦθα τὰς τιμωρίας ποιήσασθαι. καὶ ὅρα οἵῳ κινδύνῳ ἐπιρρίπτει ἑαυτόν, ὅμως καὶ οὕτω φοβεῖται μήτι πάθῃ κακόν. διὰ τοῦτο γοῦν καὶ ἄλλους λαμβάνει μεθ' ἑαυτοῦ, τὸν φόβον τάχα ὑποτεμνόμενος. ἢ καὶ ἵνα μετὰ πολλῶν αὐτὸς πολλοὺς λαμβάνῃ, ὅπως θαρσαλεώτερον οὓς ἂν εὕρῃ ἄνδρας τε καὶ γυναῖκας δεδεμένους ἀγάγῃ ἐν Ἱερουσαλήμ· ὄν. οὕτως ἐκεῖνοι οὐκ ἐσπούδαζον τοῦτο. καὶ ὅρα αὐτὸν εἰς φυλακὴν ἐμβάλλοντα

ἐμβάλλειν καὶ περὶ τούτου. ἐκεῖνοι μὲν οὖν οὐκ ἴσχυσαν· οὗτος δὲ ἴσχυσεν ἀπὸ τῆς προθυμίας. Ἐν δὲ τῷ πορεύεσθαι, ἐγένετο αὐτὸν ἐγγίζειν τῇ Δαμασκῷ. καὶ ἐξαίφνης περιήστραψεν αὐτὸν φῶς ἀπὸ τοῦ οὐρανοῦ, καὶ πεσὼν ἐπὶ τὴν γῆν, ἤκουσε φωνῆς λεγούσης αὐτῷ, Σαοὺλ, Σαοὺλ τί με διώκεις; Διατί μὴ ἐν Ἱεροσολύμοις; διατί μὴ [γέγονεν] ἐν Δαμασκῷ, ὥστε μὴ ἐξεῖναι ἄλλους ἄλλως αὐτὸ διηγήσασθαι, ἀλλ' αὐτὸς ἀξιόπιστος ἦ διηγούμενος ὁ διὰ τοῦτο ἀπιών. τοῦτο γοῦν λέγει, καὶ πρὸς Ἀγρίππαν ἀπολογούμενος. πάσχει δὲ καὶ τὰς ὄψεις, διότι ἡ ὑπερβολὴ τοῦ φωτὸς πλήττειν εἴωθε. μέτρα γὰρ ἔχουσιν οἱ ὀφθαλμοί. λέγεται δὲ καὶ φωνῆς ὑπερβολὴ κωφοὺς ποιεῖν καὶ ἀποπλήγας. ἀλλὰ τοῦτον μόνον ἐπήρωσε, καὶ ἔσβεσεν αὐτοῦ τὸν θυμὸν τῷ φόβῳ, ὥστε αὐτὸν ἀκοῦσαι τὰ λεγόμενα. Σαοὺλ Σαοὺλ, φησὶ, τί με διώκεις; οὐ λέγει αὐτῷ, πίστευσον, οὐδὲ ἄλλο τι τοιοῦτον οὐδὲν, ἀλλ' ἐγκαλεῖ μόνον. οὐχὶ γὰρ τοῦτο, φησὶ, δι' ὧν ἐγκαλεῖ· τί παρ' ἐμοῦ μέγα ἢ μικρὸν ἠδικημένος ταῦτα ποιεῖς; εἶπε δέ. τίς εἶ, Κύριε; τέως ὡμολόγησεν ἑαυτὸν δοῦλον. ὁ δὲ Κύριος εἶπεν. ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. ὡσεὶ ἔλεγε· μὴ νομίσῃς πρὸς ἀνθρώπους εἶναί σοι τὸν πόλεμον. οἱ δὲ συνόντες αὐτῷ, τῆς φωνῆς μὲν τοῦ Παύλου ἤκουσαν, οὐδένα δὲ ἐθεώρουν πρὸς ὃν ἀπεκρίνατο. εἰκότως. τῶν γὰρ ἐλαττόνων αὐτοὺς ἐποίησεν ἀκροατάς. εἰ γὰρ τῆς φωνῆς ἤκουσαν ἐκείνης, κἂν ἠπίστησαν· τὸν δὲ Παῦλον ὁρῶντες ἀποκρινόμενον, ἐθαύμαζον. ἀλλὰ ἀνάστηθι, καὶ εἴσελθε εἰς τὴν πόλιν, καὶ λαληθήσεταί σοι, τί σε δεῖ ποιεῖν. ὅρα πῶς οὐκ εὐθέως πάντα αὐτῷ ἀποκαλύπτει, ἀλλὰ μόνον προμαλάττει αὐτοῦ τὴν διάνοιαν· καὶ δι' ὧν παρακελεύεται, δίδωσιν αὐτῷ χρηστὰς ἐλπίδας, καὶ ὅτι ἀναβλέψει. οἱ δὲ ἄνδρες οἱ συνοδεύοντες αὐτῷ, εἱστήκεισαν ἐνεοί· ἀκούοντες μὲν τῆς φωνῆς, μηδένα δὲ θεωροῦντες. ἠγέρθη δὲ ὁ Σαῦλος ἀπὸ τῆς γῆς, ἀνεῳγμένων τε τῶν ὀφθαλμῶν αὐτοῦ, οὐδένα ἔβλεπε. χειραγωγοῦντες δὲ αὐτὸν εἰσήγαγον εἰς Δαμασκόν. τὸ λάφυρον τοῦ διαβόλου, τὰ σκεύη αὐτοῦ, καθάπερ πόλεώς τινος ἢ Μητροπόλεως ληφθείσης εἰσάγουσι. καὶ τὸ δὴ θαυμαστὸν, αὐτοὶ οἱ πολέμιοι, καὶ ἐχθροὶ εἰσήγαγον αὐτὸν πάντων ὁρώντων. καὶ ἦν ἡμέρας τρεῖς μὴ βλέπων, καὶ οὐκ ἔφαγεν, οὐδὲ ἔπιε. τί τούτου ἴσον γένοιτ' ἄν; ἀντίρροπος τῆς ἐπὶ Στεφάνου ἀθυμίας παράκλησις ἡ Παύλου προσαγωγὴ γίνεται, ἔχουσα μὲν καὶ αὐτόθεν παραμυθίαν, τὸ οὕτως αὐτὸν ἀπελθεῖν. λαβοῦσα δὲ καὶ ταύτην, καὶ αἱ Σαμαρειτῶν δὲ κῶμαι προσαχθεῖσαι, μεγίστην παρέσχον παράκλησιν. καὶ διατί, φησὶ, μὴ ἐξ ἀρχῆς τοῦτο γέγονεν, ἀλλὰ μετὰ ταῦτα; ἵνα δειχθῇ ὅτι ὄντως ἀνέστη ὁ Χριστός. ὁ γὰρ ἐλαύνων αὐτὸν, καὶ ἀπιστῶν αὐτοῦ τῇ τελευτῇ, καὶ τῇ ἀναστάσει, καὶ τοὺς μαθητὰς αὐτοῦ διώκων, οὗτος πόθεν, εἰπέ μοι, ἂν ἐπίστευσεν, εἰ μὴ πολλὴ ἦν τοῦ σταυρωθέντος ἡ ἰσχύς; ἔστω, ἐκεῖνοι αὐτῷ ἐχαρίζοντο· τί ἐρεῖς πρὸς τοῦτον; ἄλλως δέ· διὰ τοῦτο μετὰ τὴν ἀνάστασιν προσῆλθε, καὶ οὐκ εὐθέως, ἵνα σαφέστερος αὐτοῦ δειχθῇ ὁ πόλεμος. ὁ γὰρ οὕτω μαινόμενος, ὡς καὶ αἵματα ἐκχεῖν, καὶ εἰς δεσμωτήρια ἐμβάλλειν, ἀθρόον πιστεύει. οὐκ ἤρκει τὸ μὴ συγγενέσθαι τῷ Χριστῷ, ἀλλ' ἔδει καὶ πολεμηθῆναι σφοδρῶς ὑπ' αὐτοῦ τοὺς πιστούς. καὶ οὐδεμίαν κατέλιπεν ὑπερβολὴν μανίας· πάντων σφοδρότερος οὗτος ἦν. ἐπειδὴ δὲ ἐπηρώθη, τότε τῆς δεσποτείας αὐτοῦ τὰ τεκμήρια καὶ τῆς φιλανθρωπίας γνωρίζει. ἢ καὶ ἵνα μή τις εἴπῃ, ὅτι ὑπεκρίνατο. πῶς γὰρ ὁ αἱμάτων ἐπιθυμῶν, ὁ τοῖς ἱερεῦσι προσελθὼν, ὁ εἰς κινδύνους ἑαυτὸν ἐπιρρίπτων, καὶ τοὺς ἔξω ἐλαύνων καὶ τιμωρούμενος; οὗτος οὖν μετὰ ταῦτα πάντα τὴν δεσποτείαν ὁμολογεῖ. διατί δὲ οὐκ ἔνδον ἐν τῇ πόλει περιηστράφθη τῷ φωτὶ, ἀλλὰ πρὸ αὐτῆς; ὅτι οὐκ ἂν ἐπίστευσαν οἱ πολλοὶ, ἀλλὰ καὶ ἐχλεύασαν ἄν. ὅπου γε καὶ ἐκεῖ ἄνωθεν ἐνεχθείσης φωνῆς ἀκούοντες ἔλεγον, ὅτι βροντή ἐστιν. οὗτος δὲ ἀξιόπιστος ἦν ἀπαγγέλλων μᾶλλον τὰ αὐτοῦ. καὶ δεδεμένος εἰσήγετο, οὐ περικειμένων αὐτῷ δεσμῶν, καὶ εἷλκεν αὐτὸν τὸν προσδοκήσαντα τοὺς ἄλλους ἕλξειν. τίνος δὲ ἕνεκεν οὐκ ἔφαγεν, οὐδὲ ἔπιε; κατεγίνωσκεν ἑαυτοῦ ἐπὶ τοῖς γινομένοις· ἐξωμολογεῖτο· ηὔχετο· παρεκάλει τὸν Θεόν. εἰ δὲ λέγοι τις ἀνάγκης εἶναι τὸ πρᾶγμα· καὶ γὰρ ὁ Ἐλύμας τὸ αὐτὸ ἔπαθεν, ἐροῦμεν, ναὶ ἔπαθεν, ἀλλ' ἔμεινεν ὡς εἶχε. πῶς οὖν οὐκ ἠναγκάσθη; καὶ τί ἀναγκαστικώτερον τοῦ σεισμοῦ τοῦ ἐπὶ τῆς ἀναστάσεως, τῶν στρατιωτῶν τῶν ἀπαγγειλάντων; τῶν σημείων τῶν ἄλλων; τοῦ ἰδεῖν αὐτὸν ἀναστάντα; ἀλλ' οὐκ ἔστι ταῦτα ἀναγκαστικὰ, ἀλλὰ διδακτικά. Ἰουδαῖοι διατί οὐκ ἐπίστευσαν ταῦτα ἀκούοντες; ὅτι ἠλήθευε, δῆλον ἦν. οὐ γὰρ ἂν μετέθετο μὴ γενομένου τούτου, ὥστε πάντας πιστεῦσαι ἔδει, τῶν τὴν ἀνάστασιν αὐτοῦ κηρυξάντων. οὐχ ἧττον ἦν, μᾶλλον δὲ καὶ ἀξιοπιστότερος, ἀθρόον μεταβεβλημένος. οὐ συνεγένετό τινι τῶν πιστῶν, ἀλλ' ἐν Δαμασκῷ μετεβάλετο· μᾶλλον δὲ πρὸ τῆς Δαμασκοῦ τοῦτο ἔπαθεν. ἐρωτῶ τὸν Ἰουδαῖον· πόθεν, εἰπέ μοι, μετεβλήθη Παῦλος; τοσαῦτα σημεῖα εἶδε, καὶ οὐ μετεβλήθη· ὁ διδάσκαλος αὐτοῦ μετεβλήθη, καὶ οὗτος οὐ μετεβλήθη. τίς ἔπεισεν αὐτόν; μᾶλλον δὲ τίς ἀθρόον τοσαύτην ἐνέβαλεν αὐτῷ προθυμίαν, ὡς καὶ ἀνάθεμα εὔξασθαι γενέσθαι ὑπὲρ τοῦ Χριστοῦ;

carceres conjicientem. Igitur illi quidem infirmi erant, hic autem pro alacritate sua erat potens. *Et cum iter faceret, contigit ut appropiaret Damasco, & subito circumfulguravit eum lux de cœlo: collapsusq; in terram, audivit vocem dicentem sibi, Saul, Saul, quid me persequeris?* Quare hoc non est factum in Damasco? Ita ut non possent istud alii aliter narrare, sed ille fide dignus ut narret qui propter hoc abierat. Hoc sanè dicit, & Agrippæ rationem reddens: laborat autem & visu, eo quod excellens lumen gravare solet. Habent enim suas mensuras oculi. Dicitur autem excellens sonus surdos facere ac attonitos, sed hunc solùm excæcavit, & terrore suo furorem extinxit, ita ut audiret et ille ea quæ dicebantur: *Saul, Saul, quid me persequeris?* Non dicit illi, Crede, neque aliud tale quippiam, sed crimen objicit. Quid mali, quod aut magnum, aut parvum tibi feci, quod hæc facis? *Dixit autem: Quis es, Domine?* Jam confessus est se esse servum. *Dominus autem dixit: Ego sum Jesus, quem tu persequeris.* Quasi dicat, Ne putes tibi cùm hominibus solis esse certamen. *Qui autem cum illo erant, vocem quidem Pauli audierunt, nullum autem videbant cui responderet.* Meritò: nam illos minorum rerum fecit auditores. Nam si vocem illam audissent, nec credidissent, & Paulum videntes respondere admirati sunt. *Sed surge, & ingredere in civitatem, & dicetur tibi quid debeas facere.* Vide quomodo non statim omnia illi revelat, sed solum illius mentem præmitigat: & dum præcipit quid ei faciendum, statim bonam illi spem dat, quòd iterum visurus sit: *Viri autem illi qui erant ei comites itineris, stabant attoniti, audientes quidem vocem, neminem tamen videntes. Surrexit autem Saulus è terra, apertisq; oculis neminem videbat, sed manu ducentes illum introduxerunt Damascum.* Spolium diaboli, vasa ejus quasi capta civitate ac Metropoli quadam introducunt. Et quid hoc mirum? Illi hostes, & inimici introducunt illum omnibus videntibus. *Paulus spolium diaboli.* *Et erat tribus diebus non videns, ac non comedit, neq; bibit.* Quid huic comparabimus? Consolatio ista adducto Paulo compensabat mœrorem quem è morte Stephani conceperant. Et erat etiam inde gratum, quod ille sic abierat. Sic, & Samaritanorum civitates adductæ, inde multum recreatæ sunt. Et quare, dicit quis, hoc non factum est ab initio, sed postea? Ut ostendatur quòd verè surrexit Christus. Qui enim persequebatur illum, & non credebat illius mortem ac resurrectionem, etiam discipulos illius persequens: hic quánam ratione credidisset, nisi magna fuisset crucifixi virtus? Esto illi obtemperent, quid diceres ad hunc? Et aliter: propterea post Resurrectionem accessit, & non statim, ut manifestius illius videatur certamen. Qui enim sic insanit, ut & sanguinem effundat, & in carcerem conjiciat, statim credit. Non suffecerat quod non fuerat cum Christo, sed oportebat & vehementer oppugnari ab illo fideles, neque unam insaniæ excellentiam omittebat. Omnibus hic acrior erat: ubi autem excæcatus est, tunc dominationis & misericordiæ illius conjecturas agnoscit. Vel etiam ne quis dicat, quod simularit: quomodo enim de eo qui sanguinarius, & qui sacerdotes accesserat, qui periculis se exposuerat, & etiam exteros afflixerat ac punierat, hoc sentiendum? Hic igitur post hæc omnia dominationem confitetur. Quare autem non in ipsa civitate circumfulguravit illum lux, sed ante illam? quia multi non credidissent, sed irrisissent potius, quandoquidem, & suprà cum audivissent vocem, dicebant: *Tonitru est.* Hic autem fide dignus erat referens quæ sibi acciderant. Et ligatus introductus est, non circumpositis illi vinculis, & trahebant illum qui sperabat se alios tracturum. Quare autem *non comedit neq; bibit?* compungebat se propter ea quæ fecerat, confitebatur, precabatur, orabat Deum. Si autem dixerit quis, hanc rem fuisse coactam, interrogabimus, num & *Elymas* non istud ipsum passus fuerit. Etiam, sed mansit ut habebat. Quomodo igitur non coactus est? & quid magis cogere poterat terræmotu qui fuerat in resurrectione, & militibus qui multa alia signa renunciabant, quàm si vidissent illum qui resurrexerat? At non sunt illa compulsiva, sed docentia. Judæi quare non crediderunt hæc audientes? quod vera dixit, manifestum erat. Numquid conversus esset hoc non facto? atque ita omnes credere oportebat. Non minor erat his qui resurrectionem prædicarant, imò fide dignior erat, cùm converteretur: non præsens apud aliquem fidelem, sed in Damasco convertebatur, imò antè Damascum hoc passus est. Rogo Judæum, unde, dic oro, mutatus est Paulus? tanta signa vidit, & mutatus non est? Quis persuasit illi? imò quis repentè illi immisit tantam alacritatem, ut & anathema optarit fieri pro Christo? Joh. 12, 29. Infr. 13, 8.

M 2 mani-

manifesta est rerum veritas, sed ut dixi, confundamur jam quod Eunuchus illuminatur, & legit. Videtis quomodo erat in magistratu, inque divitiis, & neque in via quievit? Qualis igitur erat ille cùm esset domi, cum sic in itinere otium non admitteret? Qualis erat in nocte? Quotquot estis in dignitatibus audite, & imitemini humilitatem ac pietatem. Quamvis reverteretur domum, non intra se dixit: Redeo in patriam, illic accipio lavacrum, ut fiunt multorum frivola verba. Non opus habebat signis ac prodigiis, per solum Prophetam credulus factus est. Propter hoc plangit seipsum Paulus, dicens: *At propter hoc misericordiam consecutus sum, quia ignorans feci in incredulitate, & ut in me primo monstraret Jesus Christus omnem longanimitatem.* (1.Tim.1,13.) Dignum profectò mirari Eunuchum illum, non viderat Jesum Christum, non viderat signum. Ultrà videbat quis status Hierosolymis, & credidit Philippo. Unde igitur talis factus est? Solicita erat anima illius, attendit scripturis, vacavit lectionibus; cum & latro viderit signa, & magi viderint stellam: hic autem nihil tale viderat, & credidit. Tanta res est, ac tam utilis scripturarum lectio. Quid igitur Paulus? An non legem meditabatur? sed mihi videtur hic quod oportebat remisisse, propter ea quæ prius dixi, ubique volente Judæos conciliare Christo: nam si mentem habuissent, nihil ita profuisset eis atque hoc. Nam hoc plus momenti habebat ad conciliandos eos, quàm signa & omnia alia. Itaque quemadmodum nihil ita solet offendere crassiores. Vides igitur dispersis Apostolis Deum operari signa? Criminabantur Judæi Apostolos, conjiciebant in custodiam, adhuc Deus miracula facit. Et quomodo, vide: educere è carcere, illius signum erat: ducere Philippum, illius signum erat: Paulum adduci, illius signum erat: monstrare se Stephano, illius signum erat. Et considera quomodo Paulus quidem honoratur, & quomodo Eunuchus. Huic & Christus apparet forsan propter duritiam, & quod non aliter persuasus esset. In his miraculis & nos conversati, dignos exhibeamus nosipsos. Multi nunc etiam Ecclesiam ingressi, ignorant quæ dicuntur. Eunuchus autem & in foro, & in curru vectus lectioni scripturarum attendebat. Sed neque vos hoc agitis, nullus enim vestrum in manibus habet librum, sed omnia potius quam librum. Quare autem non videt illum antequam egressus è Hierosolymis, sed posteà? Non oportebat illum videre cum exigeret Apostolos, eò quod infirmus adhuc, neque anteà sic erat facile, sicut quando Propheta illum erudivit. Ita & nunc si quis vestrum voluerit attendere Prophetis, non opus habebit signis. Et si placet, ipsam prophetiam videamus quid dicat. *Sicut ovis ad occisionem ductus est, & in humiliatione illius judicium ejus sublatum est.* Hinc didicit quod crucifixus est, quod sublata à terra est vita illius, quod peccatum non fecit, quòd potuit & alios servare, quod generatio ejus inenarrabilis, quod petræ ruptæ sint: quòd mortui è sepulchris suscitati sunt. Imò hæc omnia dixit illi Philippus, solùm à Propheta sumpta occasione. Magna res profectò est scripturarum lectio. Sic illud impletur, quòd à Mose prædictum est: *Sedens & in lecto cubans, & exurgens ac ambulans memor esto Domini Dei tui.* (Deut.6,7.) Maximè enim viæ quando solitariæ fuerint, cogitationibus nostris dant locum, nullo obturbante Et hic in via credit, & Paulus in via. Sed hunc nullus trahit, sed Christus. Majus hoc erat, quàm quòd Apostoli agebant. Hoc autem majus, quoniam cum Apostoli essent in Hierosolymis, & nullus esset ex his in Damasco, ascendit illinc persuasus, qui non à Hierosolymis venerat persuasus: *epistolas enim ferebat*: ad hoc ut credentes ligaret, sicut medicus optimus, febre adhuc furente auxilium illi attulit Christus. Oportebat enim illum inter insanientes comprehendi, tunc potissimum concidit, & seipsum condemnavit, quod gravia attenderit. Jam iterum operæ precium fuerit sermonem, qui vestri gratia assumptus, resumi. Quare, dic oro, scripturæ? Quantum ad nos attinet, omnia sublata sunt. Quare Ecclesia? Defodi libros, forsan non tale crimen, non talis pœna. Si quis defoderit illos in stercore, & non audierit eos, non tam contumelia afficit, ut nunc fit. Quid autem hic fit, quod non audimus illos. Dic oro, utër-nam maximè contumelia afficit, qui silenti vel qui loquenti non respondet? Patet quòd qui loquenti. atque ita major nunc est contumelia, quando etiam loquentem non audis, major est contemptus. Judæi dicebant Prophetis: *Ne loquamini nobis vetera.* (1.Reg.2,3.) Vos autem pejus facitis. Ne loquamini, non facimus. Nam illi aversabantur eos, sed loquendo quasi speciem pietatis ex voce accipientes:

φανερὰ ἐστιν ἡ τῶν πραγμάτων ἀλήθεια· ἀλλ' [ὅμως] ὅπερ ἔφθην εἰπὼν, αἰσχυνθῶμεν, τὸν Εὐνοῦχον φωτιζόμενον, καὶ ἀναγινώσκοντα. ὁρᾶτε πῶς ἦν ἐν δυναστείᾳ; πῶς ἦν ἐν πλούτῳ, καὶ οὐδὲ ἐν ὁδῷ ἡσύχαζε; τίς ἦν ἄρα οὗτος μένων ἐπ' οἰκίας, μηδὲ ἐν ὁδοῖς ἀνεχόμενος σχολάζειν; τίς ἦν οὗτος ἐν νυκτί; ὅσοι ἐν ἀξιώμασιν ἐστὲ, ἀκούσατε, καὶ τὸ ἄτυφον, καὶ εὐλαβὲς μιμήσασθε. καί τοι μέλλων ἀπιέναι οἴκαδε, οὐκ εἶπε πρὸς ἑαυτόν· ἀπέρχομαι εἰς τὴν πατρίδα, ἐκεῖ λαμβάνω τὸ λουτρὸν, τὰ ψυχρὰ ῥήματα τῶν πολλῶν· οὐκ ἐδεήθη σημείων· οὐκ ἐδεήθη θαυμάτων· ἀπὸ τοῦ προφήτου μόνου ἐπίστευσε. διὰ ταῦτα πενθεῖ ἑαυτὸν ὁ Παῦλος, λέγων· ἀλλὰ διὰ τοῦτο ἠλεήθην, ὅτι ἀγνοῶν ἐποίησα ἐν ἀπιστίᾳ, καὶ ἵνα ἐν ἐμοὶ πρώτῳ ἐνδείξηται Ἰησοῦς Χριστὸς τὴν πᾶσαν μακροθυμίαν. ἄξιον ὄντως θαυμάσαι τὸν Εὐνοῦχον τοῦτον. οὐκ εἶδε τὸν Χριστόν· οὐκ εἶδε σημεῖον· εἶδε τὰ Ἱεροσόλυμα συνεστῶτα ἑώρα, καὶ ἐπίστευε τῷ Φιλίππῳ. πόθεν οὖν τοιοῦτος γέγονε; μεμεριμνημένη ἦν ἡ ψυχὴ αὐτοῦ· προσεῖχε γραφαῖς, ἐσχόλαζεν ἀναγνώσεσι. καί τοι καὶ ὁ λῃστὴς εἶδε σημεῖα, καὶ οἱ Μάγοι εἶδον ἀστέρα· οὗτος δὲ οὐδὲν εἶδε τοιοῦτον, καὶ ἐπίστευσε. τοσοῦτόν ἐστιν ἡ τῶν γραφῶν ἀνάγνωσις ὠφέλιμος. τί οὖν Παῦλος; οὐχὶ τὸν νόμον ἐμελέτα; ἀλλ' ἐμοὶ δοκεῖ οὗτος ἐπίτηδες ἀναβληθῆναι, δι' ἅπερ εἶπον προλαβὼν, πανταχόθεν βουλομένου ἐπισπάσασθαι τοὺς Ἰουδαίους τοῦ Χριστοῦ. εἰ γὰρ νοῦν εἶχον, οὐδὲν αὐτοὺς οὕτως ὠφέλει ὡς τοῦτο. τοῦτο γὰρ καὶ σημείων μᾶλλον, καὶ πάντων ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι· ὥσπερ οὖν οὐδὲν οὕτω σκανδαλίζειν εἴωθε τοὺς παχυτέρους. ὁρᾷς γοῦν μετὰ τὸν διασπορὰν τῶν Ἀποστόλων, καὶ τὸν Θεὸν ποιοῦντα τὰ σημεῖα. ἐνεκάλεσαν Ἰουδαῖοι τοῖς Ἀποστόλοις, ἐνέβαλον εἰς δεσμωτήριον· λοιπὸν ὁ Θεὸς θαυματουργεῖ. καὶ πῶς, ὅρα· τὸ ἐξενεγκεῖν ἀπὸ τῆς φυλακῆς, αὐτοῦ σημεῖον ἦν· τὸ ἀγαγεῖν Φίλιππον, αὐτοῦ σημεῖον ἦν· τὸ Παῦλον προσαγαγέσθαι, αὐτοῦ σημεῖον ἦν· τὸ δεῖξαι Στεφάνῳ ἑαυτὸν, αὐτοῦ σημεῖον ἦν. καὶ σκόπει πῶς μὲν τιμᾶται Παῦλος, πῶς δὲ ὁ Εὐνοῦχος. ἐνταῦθα καὶ ὁ Χριστὸς φαίνεται, ἴσως διὰ τὸ σκληρὸν, καὶ ὅτι οὐκ ἂν ἄλλως ἐπείσθη. τούτοις ἐνστρεφόμενοι καὶ ἡμεῖς τοῖς θαύμασιν, ἀξίους ἑαυτοὺς παρασκευάσωμεν. πολλοὶ νῦν οὐδὲ εἰς ἐκκλησίαν εἰσιόντες, οὐκ ἴσασι τὰ λεγόμενα· ὁ δὲ Εὐνοῦχος, καὶ ἐπ' ἀγορᾶς, καὶ ἐπὶ ὀχήματος φερόμενος, τῇ ἀναγνώσει τῶν γραφῶν προσεῖχεν. ἀλλ' οὐχ ὑμεῖς. οὐδεὶς γὰρ ὑμῶν βιβλίον ἔχει κατὰ χεῖρας· ἀλλὰ πάντα μᾶλλον ἢ τὸ βιβλίον. διατί δὲ μὴ πρὸ τῶν Ἱεροσολύμων ὁρᾷ αὐτὸν, ἀλλὰ μετὰ ταῦτα; οὐκ ἔδει αὐτὸν ἰδεῖν ἐλαυνομένους τοὺς ἀποστόλους διὰ τὸ ἀσθενὲς ἔτι· οὐδὲ πρότερον οὕτως ἦν εὔκολον, ὡς ὅτε ὁ προφήτης αὐτὸν κατήχησεν. οὕτω καὶ νῦν, εἴ τις [ὑμῶν] ἐθέλοι προσέχειν τοῖς προφήταις, οὐ δεήσεται σημείων. καὶ εἰ βούλεσθε, αὐτὴν τὴν προφητείαν ἴδωμεν τί φησιν. ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ἐν τῇ ταπεινώσει αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. ἐντεῦθεν ἔμαθεν ὅτι ἐσταυρώθη· ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν· ὅτι ἴσχυσε καὶ ἑτέρους σῶσαι· ὅτι ἡ γενεὰ αὐτοῦ ἀνεκδιήγητος· ὅτι πέτραι ἐρράγησαν· ὅτι τὸ καταπέτασμα ἐσχίσθη· ὅτι νεκροὶ ἐκ τῶν μνημείων ἠγέρθησαν· μᾶλλον δὲ ταῦτα πάντα εἶπεν αὐτῷ ὁ Φίλιππος, μόνον ὑπόθεσιν λαβὼν ἀπὸ τοῦ προφήτου. μέγα ὄντως ἡ τῶν γραφῶν ἀνάγνωσις. οὕτως ἐκεῖνο ἐπληροῦτο τὸ παρὰ τοῦ Μωϋσέως εἰρημένον· καθεζόμενος, καὶ κοιταζόμενος, καὶ διανιστάμενος, καὶ περιπατῶν, μέμνησο κυρίου τοῦ Θεοῦ σου. μάλιστα γὰρ αἱ ὁδοὶ, ὅταν ἔρημοι ὦσι, καὶ πρὸς τὰς ἐννοίας ἡμῶν καιρὸν διδόασιν, οὐδενὸς ὄντος τοῦ παρενοχλοῦντος. καὶ οὗτος ἐν ὁδῷ πιστεύει, καὶ Παῦλος ἐν ὁδῷ. ἀλλὰ τοῦτον οὐδεὶς ἕλκει, ἀλλ' ὁ Χριστός. μεῖζον ἢ κατὰ τοὺς ἀποστόλους τοῦτο ἦν· τὸ δὲ μεῖζον, ὅτι τῶν ἀποστόλων ὄντων ἐν Ἱεροσολύμοις, καὶ οὐδενὸς ὄντος ἐκ τούτων ἐν Δαμασκῷ, ἐπανῆκεν ἐκεῖθεν πεισθείς· καὶ οἱ ἐν Δαμασκῷ ᾔδεσαν, ὅτι οὐκ ἀπὸ Ἱεροσολύμων ἦλθε πεπεισμένος· ἐπιστολὰς γὰρ ἔφερεν, ὥστε δῆσαι τοὺς πιστεύοντας. καθάπερ ἰατρὸς ἄριστος, ἀκμάζοντος ἔτι τοῦ πυρετοῦ, τὸ βοήθημα αὐτῷ ἐπήγαγεν ὁ Χριστός. ἔδει γὰρ αὐτὸν [μεταξὺ] μαινόμενον καταληφθῆναι· τότε μάλιστα κατέπεσε, καὶ κατέγνω ἑαυτοῦ, ὡς δεινὰ τολμῶντος. ἀλλὰ πάλιν καλὸν πρὸς ὑμᾶς τὸν λόγον ἐπαναλαβεῖν. τίνος ἕνεκεν, εἰπέ μοι, αἱ γραφαί; τὸ γὰρ ὑμέτερον μέρος, πάντα ἀνῄρηται. τίνος ἕνεκεν ἐκκλησία; κατάχωσον τὰ βιβλία, τάχα οὐ τοιοῦτον κρίμα· οὐ τοιαύτη κόλασις. εἴ τις καταχώσειεν αὐτὰ ἐν κόπρῳ, καὶ μὴ ἀκούοι αὐτῶν, οὐχ οὕτως αὐτὰ ὑβρίζει, ὡς νῦν. τί γὰρ εἰπέ μοι τὸ ὑβριστικὸν ἐκεῖ; ὅτι αὐτὰ κατέχωσε. τί δαὶ ἐνταῦθα; ὅτι οὐκ ἀκούομεν αὐτῶν. εἰπέ μοι, τίς ποτε μάλιστα ὑβρίζεται· ὅταν σιωπῶντος μὴ ἀποκρίνηται, ἢ ὅταν λέγοντος; πάντως ὅταν λέγοντος. ὥστε μείζων ἡ ὕβρις νῦν, ὅταν καὶ φθεγγομένου μὴ ἀκούσῃς, μείζων ἡ καταφρόνησις. μὴ λαλεῖτε ἡμῖν, φησὶ, παλαιὰ [Ἰουδαῖοι] τοῖς προφήταις ἔλεγον. [ὑμεῖς δὲ χεῖρον ποιεῖτε, λέγοντες, μὴ λαλεῖτε, οὐ ποιοῦμεν.] ἐκεῖνοι μὲν οὖν ἀπέστρεφον αὐτοὺς, μηδὲ φθέγγεσθαι, ὡς ἀπὸ τῆς φωνῆς δεχόμενοί τινα εὐλαβείας ἀφορμήν.

ὑμεῖς δὲ ἐκ πολλῆς καταφρονήσεως, οὐδὲ τοῦτο ποιεῖτε. πιστεύσατε εἰ τὰ στόματα ὑμῶν ἐνεφράξατε τὰς χεῖρας ἐπιθέντες, οὐκ ἦν τοσαύτη ἡ ὕβρις ὅση νῦν. εἰπὲ γάρ μοι· ὁ ἀκούων καὶ μὴ πειθόμενος, μειζόνως καταφρονεῖ, ἢ ὁ μηδὲ ἀκούων; ἀλλὰ φέρε ἐπὶ ὕβρεως τὸ πρᾶγμα ἐξετάσωμεν. εἴ τις τὸν ὑβρίζοντα κατέχοι, καὶ ἐπιστομίζοι ὡς ἀλγῶν ταῖς ὕβρεσιν, ἕτερος δὲ μηδὲ φροντίζοι μηδὲ προσποιοῖτο, τίς μᾶλλον καταφρονεῖ; οὐχ οὗτος; ἐκεῖνος μὲν γὰρ ἐμφαίνει ὅτι πληγὴν δέχεται· οὗτος δὲ [μόνον] οὐχὶ τὸ στόμα ἐμφράττει τοῦ Θεοῦ. ἐφρίξατε τὸ ῥηθέν; ἀλλ' ἀκούετε, καὶ πῶς τοῦτο γίνεται. τὸ στόμα δι' οὗ ὁ Θεὸς φθέγγεται, στόμα ἐστὶ τοῦ Θεοῦ. καθάπερ γὰρ τοῦτο τὸ στόμα τῆς ψυχῆς ἡμῶν ἐστι, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα· οὕτω καὶ τὸ στόμα τῶν προφητῶν, στόμα ἐστὶ τοῦ Θεοῦ. ἀκούσατε καὶ φρίξατε. κοινὸς [διάκονος] ἕστηκεν ὁ διάκονος μέγα βοῶν καὶ λέγων, πρόσχωμεν· καὶ τοῦτο πολλάκις. ἐκείνη ἡ φωνή, κοινὴ τῆς ἐκκλησίας ἐστίν, ἣν οὗτος ἀφίησι. καὶ οὐδεὶς ὁ προσέχων. μετ' ἐκεῖνον ἄρχεται ὁ ἀναγνώστης τῆς προφητείας Ἡσαΐου· καὶ οὐδὲ οὕτω προσέχει τις· καίτοι προφητεία οὐδὲν ἀνθρώπινον ἔχει. εἶτα εἰς ἐπήχησεν ἐκφωνῶν λέγων, τάδε λέγει Κύριος· καὶ οὐδὲ οὕτω προσέχει τις. τί λέγω; φοβερά τινα διεξέρχεται καὶ φρικώδη. καὶ οὐδὲ οὕτως ἐστί τις ὁ προσέχων. ἀλλὰ τίς ὁ λόγος τῶν πολλῶν; ἀεί, φησί, τὰ αὐτὰ ἀναγινώσκεται. τοῦτο μάλιστα ὑμᾶς ἀπόλλυσιν. εἰ μὲν οὖν ᾔδειτε αὐτά, μάλιστα μὲν οὐδὲ οὕτως ἀπέχεσθαι ἔδει· ἐπεὶ καὶ ἐν τοῖς θεάτροις ἀεὶ τὰ αὐτὰ γίνεται, καὶ ὅμως οὐ λαμβάνετε κόρον. ποῖα τὰ αὐτὰ τολμᾷς εἰπεῖν, ὁ μηδὲ τῶν προφητῶν τὰ ὀνόματα εἰδώς; οὐκ αἰσχύνῃ λέγων μὲν διὰ τοῦτο μὴ ἀκούειν, ἐπειδὴ τὰ αὐτὰ ἀεὶ ἀναγινώσκεται; οὐκ εἰδὼς δὲ οὐδὲ τὰ ὀνόματα τῶν ἀναγινωσκομένων, καὶ ταῦτα ἀεὶ τὰ αὐτὰ ἀκούων; καὶ γὰρ σὺ ὡμολόγησας ὅτι τὰ αὐτὰ λέγεται. ἐγὼ εἰ ἔλεγον, εἰς κατηγορίαν προέφερον τοῦτο, σὲ ἐχρῆν ἐφ' ἑτέραν ἀπολογίαν ἐλθεῖν, μὴ ἐπὶ τὴν κατηγορίαν τὴν σήν. εἰπέ μοι, σὺ οὐ παραινεῖς τῷ υἱῷ τῷ σῷ; ἂν οὖν οὗτος εἴπῃ, ἀεὶ τὰ αὐτά, ἆρα οὐχ ἡγῇ ὕβριν εἶναι; τότε ἐχρῆν μὴ λέγειν τὰ αὐτά, ὅτε αὐτὰ καὶ ᾔδειμεν, καὶ διὰ τῶν ἔργων ἐπεδεικνύμεθα. μᾶλλον δὲ οὐδὲ τότε περιττὴ ἡ ἀνάγνωσις. οὐ Τιμόθεος ἦν; ἀλλ' ὅμως καὶ ἐκείνῳ γράφων ὁ Παῦλος ἔλεγε· πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει. οὐ γάρ ἐστιν, οὐκ ἔστιν ἐξαντληθῆναί ποτε τὸν νοῦν τῶν γραφῶν. πηγή τίς ἐστιν οὐκ ἔχουσα πέρας. εἶπον, ἠπατήθην, φησί, καὶ τότε ἀπέστη ἀπ' ἐμοῦ. βούλεσθε δείξω ὅτι οὐκ ἔστι τὰ αὐτά; πόσους νομίζετε εἰρηκέναι εἰς τὰ Εὐαγγέλια; ἀλλ' οὗτοι πάντες ξένως καὶ καινῶς εἶπον. ὅσῳ γὰρ ἄν τις αὐτοῖς ἐνδιατρίβῃ [τοσούτῳ] ὀξύτερον βλέπει, τοσούτῳ πλέον ὁρᾷ τὸ φῶς καθαρόν. ἰδοὺ πόσα λέγω; τί ἐστι προφητεία, εἴπατε, τί ἐστι διηγήματα; τί ἐστι παραβολή; τί ἐστιν ἀλληγορία; τί ἐστι τύπος; τί ἐστι σύμβολον; τί ἐστιν Εὐαγγέλια; τοῦτο δὴ μόνον ἀπόκριναί μοι τὸ φανερόν· διατί Εὐαγγέλια εἴρηται; καίτοι πολλάκις ἠκούσατε ὅτι τὰ Εὐαγγέλια οὐδὲν ἔχει σκυθρωπόν. ταῦτα δὲ πολλῆς γέμει σκυθρωπότητος· τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, φησί, καὶ ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει· τότε, διχοτομήσει αὐτόν, καὶ θήσει τὸ μέρος αὐτοῦ μετὰ τῶν ὑποκριτῶν· τότε, ἐρεῖ· οὐκ οἶδα ὑμᾶς, ἀπέλθετε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. ἆρα μὴ ἀπατῶμεν ἑαυτοὺς νομίζοντες ταῦτα ἑλληνιστὶ ὑμῖν λέγειν; ἢ οὐδὲν πρὸς ἡμᾶς τούτων; ὑμεῖς δὲ κεκώφωσθε, καὶ ὥσπερ ἀπόπληκτοι τυγχάνοντες κάτω κύπτετε. τὰ Εὐαγγέλια οὐδὲν ἔχειν δεῖ τῶν πρακτέων, ἀλλὰ μόνον ἀγαθὰ συμβουλεύειν· ταῦτα δὲ μυρία ἔχει πρακτέα. οἷα πέρ ἐστι καὶ τὰ τοιαῦτα· ἐὰν μή τις μισήσῃ αὐτοῦ τὸν πατέρα καὶ τὴν μητέρα, οὐκ ἔστι μου ἄξιος· καί, οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν· καί, θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ. καλά γε. οὐ γὰρ ταῦτα Εὐαγγέλια. τὸ γὰρ Εὐαγγέλιον τοῦτό ἐστι· τὰ διδόμενα ἔσται ἀγαθά· καθάπερ καὶ ἐν τῇ συνηθείᾳ φασὶ πρὸς ἀλλήλους οἱ ἄνθρωποι· τί μοι τῶν Εὐαγγελίων; ὁ πατήρ σου ἥξει· ἡ μήτηρ σου· οὐ λέγει, τόδε ποίησον. πάλιν εἰπέ μοι· τί διέστηκε ταῦτα τῶν προφητικῶν; διατί μὴ καὶ ἐκεῖνα Εὐαγγέλια λέγεται; καὶ γὰρ καὶ ἐκεῖνα τὰ αὐτὰ λέγουσιν· οἷον· ἁλεῖται ὡς ἔλαφος ὁ χωλός· Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις· δώσω ὑμῖν οὐρανὸν καινόν, καὶ γῆν καινήν. διατί μὴ καὶ ἐκεῖνα Εὐαγγέλια λέγεται; διατί μὴ καὶ ταῦτα προφητεία; εἰ δὲ μηδὲ τί ἐστιν Εὐαγγέλια εἰδότες οὕτω καταφρονεῖτε τῆς τῶν γραφῶν ἀναγνώσεως, τί ὑμῖν ἐρῶ; εἴπω καὶ ἕτερον· διατί τέσσαρα Εὐαγγέλια; διατί μὴ δέκα; διατί μὴ εἴκοσι; διατί μὴ πολλοὶ ἐπεχείρησαν συντάξασθαι Εὐαγγέλια; διατί μὴ εἷς; διατί οἱ μαθηταί; διατί οἱ μὴ μαθηταί; διατί δὲ ὅλως καὶ αἱ γραφαί; καίτοι γε τοὐναντίον, φησίν, ἡ παλαιά· δώσω ὑμῖν διαθήκην καινήν. ποῦ εἰσιν οἱ λέγοντες ἀεὶ τὰ αὐτά; εἰ ταῦτα ᾔδειτε, ὅτι κἂν μυρία ἔτη ζήσῃ ἄνθρωπος, οὐκ ἔστι τὰ αὐτά, οὐκ ἂν εἴπατε ταῦτα. πιστεύσατε. οὐκ ἐρῶ ὑμῖν οὐδὲν τούτων, οὐκ ἰδίᾳ, οὐ κοινῇ· ἀλλ' εἰ μέν τις εὕρῃ, ἐπινευσάτω· εἰ δὲ μή, ἐάσω. οὕτω γὰρ ὑμᾶς ἐποιήσαμεν ἀχρήστους ἀεὶ πάντα ἐξ ἑτοίμου

A vos autem præ multo contemptu nec hoc facitis. Credite si manibus injectis ora nostra obturaretis, non esset tanta contumelia, quanta nunc. Dic enim oro, qui audit ac non obedit, plus contemnit, quàm qui non audit? Agè causam illam de contumelia exquiramus. Si quis illum qui contumelia afficit contineat, & os obturet tanquam ægrè ferens contumelias, alius autem non curet neque afficiatur, uter magis contemnit? an non hic? Nam ille quidem declarat pa- B lam, quòd plagam accipit: hic autem quasi os obturet Dei. Horretis dictum, sed audi quomodo etiam hoc fit. Os per quòd Deus loquitur, os est Dei. Nam sicut hoc os, animæ nostræ est: quamvis anima non habeat os, ita & os Prophetarum est os Dei. Audite & horrescite. Stat minister, communis minister, alta voce clamat, ac dixit: Attendamus, & sæpius illam vocem clamat, hæc communis Ecclesiæ est, quàm ille emittit, & nullus attendit. Post illum incipit lector C Prophetiam Esaiæ, & neque sic attendit ullus, tametsi Prophetia nihil humanum habeat. Deinde auditori pronunciat, dicens: Hæc dicit Dominus, & neque sic attendit quis. Quid dico? Horrenda quædam, & terribilia pertractat, & neque sic est qui attendat. Verum quid dicunt plerique? Semper, ajunt, eadem leguntur. Hoc vos maximè perdit. Itaque siquidem scivissetis illa, neque sic oportebat ab illis recedere, quoniam & in theatris semper eadem fiunt, attamen non sa- D tiamini. Quæ eadem audes dicere? qui neque Prophetarum nomina scis? & non confunderis dicendo ideo non audienda, quoniam eadem semper leguntur? Etenim tu confessus es, quod eadem dicuntur. Ego, si hoc protulissem, te sic accusassem: te igitur oportebat ad aliam defensionem confugere, non ad hanc tuam accusationem. Dic oro, tu non admones filium tuum? Si igitur ille dicat, quod semper eadem inculcas: Nonne contumeliam esse putas? tunc non oportebat E eadem dicere, quando illa & scivissemus, & operibus declaremus: imò neque tunc superflua lectio. Attamen & illi Paulus scribens, dicebat: *Attende lectioni & adhortationi:* 1.Tim.4.13. non enim fieri potest, ut mentem scripturarum quis exhauriat. Fons enim est immensus: Dixerunt, Deceptus sum, inquit, & tunc recessit à me. Vultis ostendam quod non sunt hæc eadem? Quot putatis dixisse in Evangelia? sed hi omnes novè dixerunt. Quo magis enim quis versatur in illis, hoc clarius A videt, tantoque puriorem videt lucem. Ecce quanta dico. Quid est Prophetia, dixistis? quid sunt historiæ? quid est parabola? quid est allegoria? quid est typus? quid est symbolum? quid sunt Evangelia? Hoc unum dicite mihi, quare dicta sunt Evangelia? quamvis sæpè audieritis quod Evangelia nihil habent durum, hæc multa austeritate plena sunt. *Ignis illorum non extinguetur*, inquit, *& vermis non morietur.* Tunc *dissecabit illum, & ponet portionem ejus cum hypocritis*, tunc di- Mar.9.44. Matt.7.23. & 25.30. B cet: *Nescio vos, discedite à me qui operamini iniquitatem.* Igitur ne decipiamus nos ipsos, putantes hæc vobis more Græcanico dici. Nihilne hæc ad vos? vos autem surdi facti estis, & vultum dejicitis quasi attoniti essetis. Evangelia nihil habere debent quod operandum; sed solum bona consulant: hæc autem innumera habent, quæ facienda, qualia sanè sunt, & id genus: *Si quis non odio habet patrem suum ac matrem, non est me dignus.* Et, *Non veni mittere pacem super* Matth.10.14. C *terram, sed gladium.* Et, *afflictionem habebitis in mundo.* Joh.16.33. Bona scilicet. Numquid hæc sunt Evangelia? Evangelium enim hoc est. Hæc tibi erunt bona, quemadmodum & homines inter se dicere solent, ut tale quiddam. Pater tuus veniet vel mater tua. non dicunt: Hoc fac. Iterum dic mihi, quid differunt hæc à propheticis, quare non & illa dicuntur Evangelia? Etenim & illa eadem dicunt: exempli gratia, *Saliet ut cervus claudus. Dominus dabit verbum evangelizantibus. Dabo vobis cœlum* Psl 67.12. Esa.65.6. D *novum & terram novam.* Quare non & hæc dicuntur Evangelia? Quare non & hæc Prophetia? Si autem neque scientes quid sint Evangelia despicitis scripturarum lectionem, quid vobis dicam? Dicam quid & aliud. Quare non decem? quare non viginti? quare non multi aggressi sunt conscribere Evangelia? quare non unus? quare discipuli? quare hi qui non discipuli? quare etiam omnino scripturæ, quamvis contrarium dicit vetus: *Dabo vobis Testamentum novum.* Ubi sunt qui dicunt sem- Jer.31.31. E per eadem? Si hæc scivissetis quod licet homo plurimis annis vivat, non sunt eadem, non dixissetis hæc. Credite, neque hæc vobis dicerem, nec privatim, nec in communi: sed siquidem invenerit quis, annuam: si autem non, sinam. Sic enim vos fecerim inutiles semper omnia prompte dicentes,

& quando oportet non renitentes. Ecce habetis quæstiones sufficientes. Considerate, dicite causam. Quare Evangelia, quare non Prophetiæ, quare facienda in Evangeliis, & si hic definiat, alius quærat. Etiam conferte ea quæ ipsi inter vos excogitatis, deinde autem nos silebimus. Nam si dicta vobis nihil profuerint, multò magis neque si alia apposuerimus. Profectò haurimus in vas perforatum. Hinc etiam vobis major pœna. Igitur propter hoc silebimus: quod certè ne fiat, in vobis situm est. Si enim viderimus vestrum studium, fortassis iterum loquemur, ut & vos amplius probati sitis, & nos in vobis exhilaremur, in omnibus glorificantes Deum ac Patrem Domini nostri Jesu Christi, cui gloria & imperium, & magnificentia, & honor, cum ingenito Patre, ac sancto illius Spiritu, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XX.

Erat autem discipulus quidam in Damasco, Ananias nomine, & dixit ad illum Dominus in visione: Anania. At ille dixit: Ecce Domine. Dominus autem ad illum dixit: Surge, vade in vicum qui dicitur Rectus, & quære in domo Judæ Saulum nomine, Tarsensem. Ecce enim orat, & vidit in visione virum Ananiam nomine introeuntem, & imponentem sibi manus ut videat.

Quare-nam per nullum ex præcipuis Apostolis hunc vocavit, neque misit ad illius institutionem aliquem ex his? quoniam non oportebat illum per homines, sed per Christum, erudiri. Quoniam & hic docuit quidem illum nihil, baptizavit autem solum. Simul autem cum baptizaretur, accepit magnam Spiritus gratiam ob zelum & alacritatem plurimam. Quod autem & Ananias valde insignis fuerit, manifestum fit ex his quæ ad illum dicit, & quæ ille respondet, dum dicit: *Domine audivi ex multis de homine hoc, quanta mala fecerit sanctis tuis in Hierusalem.* Si igitur contra Dominum locutus est, multò magis si Angelus missus esset. Et propter hoc ante hunc, neque Philippus audit quid futurum, sed solùm videt Angelum, & nondum spiritus jubet accedere, & adhærere currui. Jam autem hoc loco metum illi minuit, & dicendo: *Ecce orat*: quasi hoc dicit: Cæcus est, & tu metuis? Ita & *Moses timet*. (Exod. 3, 12.) Unde magis verba sunt timentis, quàm non credentis. Et audi verba ipsa: *Domine, audivi à multis de viro hoc.* Quid dicis? Deus dicit, & tu dubitas? Sic nondum sciverunt potentiam Christi. *Et hic habet potestatem à summis Sacerdotibus, ut vinciat omnes qui invocant nomen tuum.* Unde hoc manifestum? Verisimile erat illos qui in timore erant, curiosiores fuisse. Non igitur hoc dicit, quasi nesciat Christus: sed dubitat quomodo hæc fiant, cum illa ita se habeant. Ita & alibi discipuli dicunt: *Quis potest salvari?* (Mat. 10, 26.) Et vide quod res gerantur, ut credat venturo. In somnio vidit, prædixit illi. *Orat*, inquit, igitur ne time. Et quare non dicit illi, quid factum sit? Erudit nos ne prædicemus opera nostra. Imò & timentem videns, neque sic dicit, Ne sis infidelis. Sed quid? *Surge, vade. Vidit enim in visione virum qui imposuit illi manus.* Ideò in visione, quia cæcus erat. Et neque miraculi excellentia rapuit discipulum; ita metuit. Attamen per illum, Paulum cum esset cæcus, videre Deus fecit. *Dixit autem Dominus ad illum. Vade, quia vas electionis mihi est hic, ut portet nomen meum coram Gentibus & regibus filiorum Israel. Ego enim monstrabo illi, quanta oporteat eum pro nomine meo pati.* Non solùm fidelis erit, inquit, sed & doctor, & magna dicendi libertate utetur. *Coram Gentibus ac Regibus.* Ita crescet doctrina, inquit, ut & populos & Reges omnes vincat. *Abiit autem Ananias & ingressus est in domum, & positis super illum manibus, dixit: Saul frater, Dominus misit me, Jesus qui apparuit tibi in via qua ibas, ut respicias, & implearis Spiritu sancto.* Statim illum familiarem facit nomine: *Jesus*, inquit, *qui apparuit tibi in via.* Porrò hoc non dixerat illi Jesus, sed à Spiritu sancto didicerat. *Et statim deciderunt ab oculis illius tanquam squamæ: viditq; statim, & surgens baptizatus est, & cibo sumpto convaluit.* Solùm illi manus imposuit, & statim squamæ ab oculis illius deciderunt. Has quidam dicunt cæcitatis illius fuisse causas. Et quare non excæcavit illius oculos? Hoc admirabilius erat. Nam & apertis oculis non videbat id quod patiebatur à lege, donec nomen appositum est Jesu. *Et statim*, inquit, *baptizatus est, & sumpto cibo convaluit.*

λέγοντες, καὶ ὅτε χρὴ οὐκ ἀνανεύοντες. ἰδοὺ ἔχετε ζητήματα ἱκανά. σκέψασθε, εἴπατε τὴν αἰτίαν. διὰ τί Εὐαγγέλια; διὰ τί μὴ προφῆται; διὰ τί τὰ πρακτέα ἐν τοῖς Εὐαγγελίοις; κἂν οὗτος ἀποκρίνηται, ἕτερος ζητείτω, καὶ τὰ παρ' ἑαυτῶν ἀλλήλοις συνεισφερέτω· λοιπὸν δὲ ἡμεῖς σιγησόμεθα. εἰ γὰρ τὰ εἰρημένα οὐδὲν ὑμᾶς ὤνησε, πολλῷ μᾶλλον οὐδ' ἂν ἕτερα προσθείημεν. οὕτως εἰς πίθον τετρυπημένον ἀντλοῦμεν, ὅθεν μείζων ὑμῖν [καὶ] ἡ κόλασις. οὐκοῦν διὰ τοῦτο σιγήσομεν. ὅπερ ἵνα μὴ γένηται, ὑμεῖς κύριοι. εἰ γὰρ θεασόμεθα ὑμῶν τὴν σπουδήν, ἴσως πάλιν ἐροῦμεν, ἵνα καὶ ὑμεῖς ἐπὶ πλέον εὐδοκιμῆτε, καὶ ἡμεῖς ἐφ' ὑμῖν εὐφραινώμεθα, ἐπὶ πᾶσι δοξάζοντες τὸν Θεόν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα, καὶ τὸ κράτος, καὶ ἡ μεγαλωσύνη, καὶ ἡ τιμή, σὺν τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ κ'.

Ἦν δέ τις μαθητὴς ἐν Δαμασκῷ ὀνόματι Ἀνανίας, καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος ἐν ὁράματι, Ἀνανία. ὁ δὲ εἶπεν, ἰδοὺ Κύριε. ὁ δὲ Κύριος πρὸς αὐτὸν εἶπεν· ἀναστὰς πορεύθητι ἐπὶ τὴν ῥύμην τὴν καλουμένην εὐθεῖαν. καὶ ζήτησον ἐν οἰκίᾳ Ἰούδα Σαῦλον ὀνόματι, Ταρσέα. ἰδοὺ γὰρ προσεύχεται, καὶ εἶδεν ἐν ὁράματι ἄνδρα Ἀνανίαν εἰσελθόντα καὶ ἐπιθέντα αὐτῷ χεῖρα ὅπως ἀναβλέψῃ.

Τί δήποτε οὐδένα τῶν κορυφαίων ἀποστόλων, οὔτε ἐκάλεσεν, οὔτε ἀπέστειλε πρὸς τὴν τοῦ Παύλου κατήχησιν; ὅτι οὐκ ἔδει δι' ἀνθρώπων ἐναχθῆναι, ἀλλὰ δι' αὐτοῦ τοῦ Χριστοῦ. ἐπεὶ καὶ οὗτος ἐδίδαξε μὲν αὐτὸν οὐδέν, ἐβάπτισε δὲ μόνον. ἅμα γοῦν τῷ βαπτισθῆναι, ἐπεσπάσατο πολλὴν τοῦ πνεύματος τὴν χάριν ἀπὸ τοῦ ζήλου, καὶ τῆς προθυμίας τῆς πολλῆς. ὅτι δὲ καὶ ὁ Ἀνανίας τῶν σφόδρα ἐπισήμων ἦν, δῆλον ἐξ ὧν ἐμφανίζεται, καὶ λέγει πρὸς αὐτόν, καὶ ἐξ ὧν πάλιν αὐτὸς ἀποκρίνεται λέγων· Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνθρώπου τούτου, ὅσα κακὰ ἐποίησε τοῖς ἁγίοις σου ἐν Ἱερουσαλήμ. εἰ τοίνυν πρὸς Κύριον ἀντεῖπε, πολλῷ μᾶλλον εἰ ἄγγελον ἔπεμψε. διὰ τοῦτο οὐδὲ πρὸ τούτου Φίλιππος ἀκούει τὸ ἐσόμενον, ἀλλὰ μόνον ὁρᾷ τὸν ἄγγελον, καὶ οὔπω τὸ πνεῦμα προσέταξε προσελθεῖν, καὶ κολληθῆναι τῷ ἅρματι. τέως δὲ ἐνταῦθα τὸν φόβον αὐτοῦ ὑποτέμνεται, καὶ μόνον οὐχὶ τοῦτο, φησί, τῷ εἰπεῖν, ἰδοὺ προσεύχεται, τυφλός ἐστι, καὶ σὺ δέδοικας; οὕτω καὶ Μωσῆς φοβεῖται, ὥστε τὰ ῥήματα φοβουμένου μᾶλλόν ἐστιν, οὐκ ἀπιστοῦντος. καὶ ἄκουε τῶν ῥημάτων αὐτῶν. Κύριε, ἀκήκοα ἀπὸ πολλῶν περὶ τοῦ ἀνδρὸς τούτου; τί λέγεις; ὁ Θεὸς λέγει, καὶ σὺ ἀμφιβάλλεις; οὕτως οὔπω ᾔδεσαν τὴν δύναμιν τοῦ Χριστοῦ. καὶ ὧδε ἔχει ἐξουσίαν παρὰ τῶν ἀρχιερέων δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. πόθεν τοῦτο δῆλον; εἰκὸς ἦν αὐτοὺς ἐν φόβῳ ὄντας περιεργάζεσθαι. οὐχ ὡς οὐκ εἰδότος οὖν τοῦ Χριστοῦ ταῦτα λέγει· ἀλλ' ἀπορῶν ὅτι τούτων ὄντων, πῶς δυνατὸν ταῦτα γενέσθαι. οὕτω καὶ ἀλλαχοῦ οἱ μαθηταὶ λέγουσι, τίς δύναται σωθῆναι; ἀλλ' ὅρα πῶς οἰκονομεῖται, ἵνα πιστεύσῃ τῷ ἐρχομένῳ. ἐν ὀνείρῳ εἶδε, προαπήγγειλεν αὐτῷ. προσεύχεται, φησίν. οὐκοῦν μὴ φοβοῦ. καὶ διὰ τί οὐ λέγει αὐτῷ τὸ κατόρθωμα τὸ γινόμενον; παιδεύων ἡμᾶς μὴ λέγειν ἡμῶν τὰ κατορθώματα. μᾶλλον δὲ καὶ φοβούμενον ἰδών, οὐδὲ οὕτως εἶπεν, οὐκ ἀπιστήσῃ· ἀλλὰ τί; ἀναστὰς πορεύθητι. εἶδε γὰρ ἐν ὁράματι ἄνδρα ἐπιθέντα αὐτῷ χεῖρας. διὰ τοῦτο ἐν ὁράματι, ἐπειδὴ πηρὸς ἦν. καὶ οὐδὲ τοῦ θαύματος ἡ ὑπερβολὴ εἷλε τὸν μαθητήν· οὕτως ἐφοβεῖτο. ὅμως δι' αὐτοῦ Παῦλον τυφλὸν ὄντα ἀναβλέψαι ὁ Θεὸς ἐποίησεν. εἶπε δὲ ὁ Κύριος πρὸς αὐτόν· πορεύου ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος, τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραήλ. ἐγὼ γὰρ ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. οὐ μόνον πιστεύσει, φησίν, ἀλλὰ καὶ διδάσκαλος, καὶ πολλῇ χρήσεται τῇ παρρησίᾳ. ἐνώπιον ἐθνῶν καὶ βασιλέων. οὕτως ἐπιδώσει ἡ διδασκαλία, φησίν, ὡς καὶ ἐθνῶν, καὶ βασιλέων ἁπάντων κρατῆσαι. ἀπῆλθε δὲ Ἀνανίας καὶ εἰσῆλθεν εἰς τὴν οἰκίαν, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τὰς χεῖρας εἶπε· Σαοὺλ ἀδελφέ, ὁ Κύριος ἀπέσταλκέ με, Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ ᾗ ἤρχου, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. εὐθέως αὐτὸν οἰκειοῦται τῷ ὀνόματι. Ἰησοῦς, φησίν, ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ. καὶ μὴν τοῦτο οὐκ εἶπεν αὐτῷ ὁ Χριστός· ἀλλ' ἀπὸ τοῦ πνεύματος ἔμαθε. καὶ εὐθέως ἀπέπεσον ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ὡσεὶ λεπίδες, ἀνέβλεψέ τε παραχρῆμα, καὶ ἀναστὰς ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσε. μόνον αὐτῷ τὰς χεῖρας ἐπέθηκε, καὶ εὐθέως τῶν ὀφθαλμῶν αὐτοῦ ἀπέπεσον αἱ λεπίδες. ταύτας τινές φασι τῆς πηρώσεως αὐτοῦ εἶναι αἰτίας. καὶ διὰ τί μὴ ἐπήρωσεν αὐτοῦ τοὺς ὀφθαλμούς; ὅτι τοῦτο παραδοξότερον ἦν. καὶ γὰρ ἀνεῳγμένων οὐκ ἔβλεπεν. ὅπερ ἔπαθεν ἐπὶ τοῦ νόμου ἕως τὸ ὄνομα ἐπετέθη τοῦ Ἰησοῦ. καὶ εὐθέως, φησίν, ἐβαπτίσθη, καὶ λαβὼν τροφὴν ἐνίσχυσεν.

ἄρα

ἄρα καὶ ἐξησθενηκὼς ἦν, ἀπό τε τῆς ὁδοιπορίας, ἀπό τε τοῦ φόβου, ἀπό τε τοῦ λιμοῦ, καὶ τῆς ἀθυμίας. βουλόμενος οὖν αὐτοῦ ἐπιτεῖναι τὴν ἀθυμίαν, τυφλὸν μένειν εἴασεν, ἕως ἦλθεν Ἀνανίας, καὶ ἵνα μὴ νομίσῃ φαντασίαν τις εἶναι τὴν πήρωσιν, διὰ τοῦτο αἱ λεπίδες. ἄρα οὐκ ἐδεήθη διδασκαλίας ἑτέρας, ἀλλὰ τὸ συμβὰν γέγονε διδασκαλία. "Ἐγένετο δὲ μετὰ τῶν ὄντων ἐν Δαμασκῷ μαθητῶν ἡμέρας τινάς, καὶ εὐθέως ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. ὅρα, εὐθέως διδάσκαλος ἦν ἐν ταῖς συναγωγαῖς. οὐκ ᾐσχύνετο τὴν μεταβολήν· οὐκ ἐδεδοίκει ἐν οἷς ἦν λαμπρὸς πρότερον ταῦτα καταλύων· οὐχ ἁπλῶς ἦν διδάσκαλος· ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς. οὕτως ἐκ προοιμίων θανατῶν ὁ ἄνθρωπος ἦν, καὶ πρὸς φόνους παρεσκευασμένος. ὁρᾷς οἷον γέγονε σημεῖον εἰς αὐτὸν ἐναργές; τούτῳ αὐτῷ καὶ πάντας ἐξέπληττε. διὸ καὶ τοῦτο δηλῶν ἐπάγει λέγων· "ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες, καὶ ἔλεγον· οὐχ οὗτός ἐστιν ὁ πορθήσας ἐν Ἱερουσαλὴμ τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; καὶ ὧδε εἰς αὐτὸ τοῦτο ἐλήλυθεν, ἵνα δεδεμένους ἀναγάγῃ ἐπὶ τοὺς ἀρχιερεῖς; Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο καὶ συνέχυνε τοὺς Ἰουδαίους τοὺς κατοικοῦντας ἐν Δαμασκῷ. συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός, ἅτε νομομαθὴς ὤν, ἐπεστόμιζεν αὐτούς, καὶ οὐκ εἴα φθέγγεσθαι. ἐνόμισαν ἀπηλλάχθαι τῶν ἐν τοῖς τοιούτοις διαλέξεως ἀπαλλαγέντες Στεφάνου, καὶ Στεφάνου σφοδρότερον εὗρον ἕτερον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Ἀνανίαν. οὐκ εἶπε πρὸς αὐτόν, διαλέχθητι καὶ κατήχησον αὐτόν. εἰ γὰρ εἰπών, ὅτι εὔχεται καὶ εἶδεν ἄνδρα ἐπιθέντα αὐτῷ τὰς χεῖρας, οὐκ ἐπείσθη· πολλῷ μᾶλλον εἰ τοῦτο εἶπεν. εἶδε, φησίν, ἐν ὁράματι, ὥστε οὐδὲ διαπιστήσει σοι. μὴ τοίνυν φοβηθῇς, ἀλλὰ πορεύου. οὕτως οὐδὲ Φίλιππος τότε τὸ πᾶν εὐθέως ἀκούει. ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος. ἐκ περιουσίας τὸν φόβον λύοντός ἐστι τοῦτο, καὶ θαρρεῖν πείθοντος· εἴγε οὕτω μέλλοι τὰ ὑπὲρ αὐτοῦ φρονεῖν, ὡς καὶ παθεῖν πολλά. εἰπὼν δέ, σκεῦος, ὥστε δεῖξαι ὅτι οὐκ ἔστι φυσικὴ αὐτοῦ ἡ κακία, ἐκλογῆς προσέθηκεν, ἵνα δηλώσῃ ὅτι καὶ δόκιμός ἐστι. τὸ δόκιμον γὰρ ἐκλεγόμεθα. μὴ δὴ νομίσῃ τις ταῦτα ἀκούων, ὅτι ἀπιστῶν τοῖς λεγομένοις ταῦτά φησιν Ἀνανίας, ἢ ἠπατῆσθαι νομίζων τὸν Χριστόν. μὴ γένοιτο· ἀλλὰ φοβούμενος καὶ τρέμων, οὐδὲ προσεῖχε τοῖς εἰρημένοις, ἀκούσας τὸ ὄνομα Παύλου. οὕτω προκατέλαβεν ὁ φόβος ἀπὸ τοῦ ὀνόματος αὐτοῦ τὴν ψυχήν· καί τι ἀκούσας ὅτι ἐτύφλωσεν αὐτόν, οὐδὲ θαρρεῖν. καὶ ὧδε εἰς αὐτό, φησί, τοῦτο ἐλήλυθεν, ὥστε δῆσαι πάντας τοὺς ἐπικαλουμένους τὸ ὄνομά σου. ὡσεὶ ἔλεγε· φοβοῦμαι μή ποτέ με εἰς Ἱεροσόλυμα ἀναγάγῃ. τί με εἰς τὸ στόμα ἐμβάλλεις τοῦ λέοντος; τί με τούτῳ προδίδως; φοβεῖται καὶ ταῦτα λέγει, ἵνα μάθωμεν πανταχόθεν τὴν ἀρετὴν τοῦ ἀνδρός. τὸ μὲν γὰρ παρὰ Ἰουδαίων ταῦτα λέγεσθαι, οὐδὲν θαυμαστόν· τὸ δὲ παρὰ τούτου, καὶ οὕτω φοβηθέντος, μέγιστον τεκμήριον τῆς τοῦ Θεοῦ δυνάμεως δείκνυται τοῦτο. Σαοὺλ ἀδελφέ. ἐνταῦθα καὶ ὁ φόβος γίνεται μέγας, καὶ ἡ ὑπακοὴ μείζων μετὰ τὸν φόβον. εἶτα ἐπειδὴ σκεῦος ἐκλογῆς εἶπεν, ἵνα μὴ εἴπῃς, τὸ πᾶν εἶναι Θεοῦ, [ἀπάγων σε τούτου,] προστίθησι τὸ ἑξῆς, λέγων· τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων, υἱῶν τε Ἰσραήλ. ἤκουσεν ὃ σφόδρα ἐπεθύμει ὁ Ἀνανίας, ὅτι καὶ κατὰ Ἰουδαίων στήσεται. διὸ καὶ οὐ μόνον χαρᾶς, ἀλλὰ καὶ θάρσους πληροῦται. ἐγὼ γάρ, φησιν, ὑποδείξω αὐτῷ ὅσα δεῖ αὐτὸν ὑπὲρ τοῦ ὀνόματός μου παθεῖν. προδηλωτικῶς ταῦτα εἴρηται, ἅμα καὶ ἐντρεπτικῶς. εἰ ἐκεῖνος μὲν πάντα πείσεται ὁ οὕτω μεμηνώς; αὐτὸς δὲ οὐδὲ βαπτίσαι αὐτὸν θέλει, ὅπως ἀναβλέψῃ· καλῶς ἔχει, φησίν· ἄφες αὐτὸν πεπηρῶσθαι, διὰ τοῦτο νῦν ἥμερος, ὅτι τυφλός ἐστι. τί με κελεύεις ἀνοῖξαι αὐτοῦ τοὺς ὀφθαλμούς; ἵνα πάλιν δήσῃ; ἀλλὰ μὴ φοβηθῇς τὸ μέλλον. τῇ γὰρ ἀνοίξει οὐ καθ' ἡμῶν, ἀλλ' ὑπὲρ ἡμῶν χρήσεται. πρὸς τὸ ὅπως ἀναβλέψῃ. εἶτα καὶ ταῦτα προστίθεται. μὴ φοβοῦ· οὐδὲν ἐργάσεται ὑμᾶς δεινόν, ἀλλὰ καὶ πείσεται πολλά. καὶ τὸ δὴ θαυμαστόν, ὅτι πρότερον πείσεται, καὶ τότε ἐμβήσεται εἰς τοὺς κινδύνους. Σαοὺλ ἀδελφέ· ὁ Ἰησοῦς ὁ ὀφθείς σοι ἐν τῇ ὁδῷ, ἀπέσταλκέ με. οὐκ εἶπεν, ὁ πηρώσας, ἀλλ' ὁ ὀφθείς σοι. οὕτως ἤδει μετριάζειν, καὶ οὐδὲν φθέγγεταί που ἀλαζονικόν. ὥσπερ οὖν ὁ Πέτρος ἔλεγεν ἐπὶ τοῦ χωλοῦ· "τί ἡμῖν προσέχετε ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν· οὕτω καὶ οὗτος, ὁ Ἰησοῦς ὁ ὀφθείς σοι. τῶν χειρῶν ἐπικειμένων ταῦτα ἐφθέγγετο, καὶ διπλῆ πήρωσις ἐλύετο. εἰπὼν δὲ ὅτι λαβὼν τροφὴν ἐνίσχυσεν, ἐδήλωσεν ὅτι παρειμένος ἦν, καὶ ἀπὸ τῆς ἀθυμίας τῆς ὑπὲρ τῆς πηρώσεως, καὶ ἀπὸ τοῦ λιμοῦ. οὐδὲ γὰρ ἠνείχετο πρότερον μεταλαβεῖν τροφῆς, ἕως ὅτε βαπτισθεὶς τῶν μεγάλων [εὐθὺς] ἔτυχε δωρεῶν. καὶ οὐ λέγει Ἰησοῦς ὁ σταυρωθείς· ὁ υἱὸς τοῦ Θεοῦ ὁ σημεῖα ποιῶν· ἀλλὰ τί; ὁ ὀφθείς σοι, ἀπὸ τῶν ἐκείνῳ γνωρίμων. ἐπεὶ καὶ ὁ Χριστὸς οὐδὲν πλέον προσέθηκεν· οὐδὲ εἶπεν, ἐγώ εἰμι ὁ σταυρωθείς, ὁ ἐγερθείς· ἀλλ' ὃν σὺ διώκεις. οὐκ εἶπεν, ὁ δεδιωγμένος, ἵνα μὴ δόξῃ ὡς ἐπενθυστιᾶν καὶ ἐπεγγελᾶν. ὁ ὀφθείς σοι, φησί, ἐν τῇ ὁδῷ. καὶ μὴν οὐκ ὤφθη,

A Igitur infirmus factus erat, & ex itinere, & ex metu, & ex jejunio, & ex tristitia. Volens igitur illius augeri tristitiam, cæcum manere permisit, donec venit Ananias, & ut ne quis putet cæcitatem phantasiam esse, propter hoc erant squamæ. Igitur non opus habebat alia doctrina: sed quod acciderat, doctrina erat. *Fuit autem Saul cum his qui Damasci erant discipulis diebus tribus, & statim prædicabat Christum, quod hic est filius Dei.* Vide, statim doctor factus est in sy- B nagogis, non erubescebat mutationem, neque formidabat destruere ea in quibus anteà clarescebat. Non simpliciter erat doctor, sed etiam in synagogis. Ita ab initiis homo erat & occidens, & ad cædes compositus. Vides, ut manifestum signum in illo factum. Hoc ipso & omnes obstupescere faciebat. Ideò & hoc manifestans addit, ac dicit: *Attoniti autem sunt omnes qui audierant ac dicebant: Nónne hic est qui expugnabat in Hierusalem invocantes in nomine hoc? & huc ideò* C *pervenis, ut ligatos ducat ad summos Sacerdotes? Saulus autem magis confortabatur, & confudit Judæos qui habitabant in Damasco, convincens quòd hic est Christus.* Utpote in lege edoctus obturabat illos, & non sinebat loqui. Liberati à Stephano, putarunt se liberatos ab hujus rei disputatione, & nunc alium invenerunt Stephano potentiorem. Sed videamus iterum ea quæ de Anania. Non dicit ad illum, Loquere ac doce illum. Nam si cum dixisset, *orat, & vidit virum impositis* D *illi manibus* non credit, multò magis si hoc dixisset: Vide, inquit, in visione. Et ita-ne de hac re dubites. Ne igitur timeas, sed vade. Sic neque Philippus tunc totum statim audiit: *Quia vas electionis mihi est hic.* Ita agit qui timorem omnem excutit, & fidere persuadet, quandoquidem de illo sensurus erat melius, quia & passurus erat. Ut autem dixit, *vas*: ostendit quòd non sit naturalis illius malitia. *Electionis*, addidit, quò ostendat, & probatum esse: nam quod probatum est, eli- E gimus. Ne igitur quis hæc audiens, putet quod non credens his quæ dicebantur, hæc dicat Ananias, vel putat deludi Christum. Absit. Sed timens ac tremens, neque attendebat dictis, audito nomine Pauli: ita corripuerat metus illius animam, vel solo nomine audito. Quamvis cùm audisset quod excæcasset illum, oportebat fidere. Et *huc ob istud ipsum*, inquit, *venit ut omnes invocantes nomen hoc ligaret.* Quasi diceret: Timeo ne fortasse me in Hierusalem ducat. Quid me projicis in os A leonis? Cur me huic prodis? Timet ac hæc dicit, ut discamus undique virtutem viri. Nam hoc à Judæis dici, haud mirum fuerit, at quod ab hoc, & tam territo, maximum esse indicium virtutis divinæ ostenditur. *Saul frater*; hic & timor factus est magnus, & obedientia major post timorem. Deinde postquam *vas electionis* dictus est, ut ne dicas totum esse Dei, abducens te ab hoc, apponit quod sequitur, dicens: *Ut portet nomen meum coram Gentibus, & Regibus filiisq́; Israël.* Audivit quod B valdè desideravit Ananias, quod & Judæis oppositurus se esset. Ideò & non solùm gaudio, sed & fiducia impletur. *Ego enim ostendam illi quæ oporteat illum pro nomine meo pati.* Hæc prædicit, simul inhortatur. Nam si ille omnia passurus est qui adeò insaniit, ille autem neque baptizare vult, ut videat: Benè habet, inquit, dimitte illum cæcum esse: propter hoc nunc mansuetus est, quia cæcus est: quid me jubes illius aperire oculos, ut iterum liget? At ne timeas futurum. Apertione enim C non contra nos, sed pro nobis opus erit, ad hoc ut respiciat. Insuper & hæc adjiciantur. *Ne timeas.* Nihil faciet vobis grave, sed etiam patietur multa. Et hoc sanè admirabile, quia prius patietur, & tunc incidet in pericula. *Saul frater, Dominus Jesus qui apparuit tibi in via, misit me.* Non dixit, Qui excæcavit, sed *qui apparuit.* Ita solebat modestè & nihil insolentius loqui. Igitur sicut Petrus curato cæco dicebat: *Quid* Supr. 3, 12. *in nos intenditis, quasi nostra virtute vel pietate fecerimus illum* D *ambulare.* Ita & hic *Jesus qui apparuit tibi*, cum imponeret manus, hæc loquebatur, & duplex cæcitas solvebatur. Ubi autem dixit quod sumpto cibo convaluit, declaravit quia infirmatus fuerit, nimio mœrore, cæcitate, timore & fame. Neque antea cibum sibi dari permittebat, donec baptizatus magnorum donorum particeps factus est. Et non dixit, Jesus crucifixus ille, filius ille Dei, qui signa fecit. Sed quid? *Ille qui apparuit tibi*: propter ea quæ illi nota erant: quoniam & Christ° E ipse nihil amplius apposuit, neque dixit, Ego sum crucifixus ille qui surrexi: sed *quem tu persequeris.* Non dixit, qui persecutionem passus sum: ut ne putetur, quasi per furorem ac risum assistat. *Qui apparuit tibi*, inquit, *in via.* Verumtamē non apparuit,

sed

sed per opera visus est, & volens sermonis molestiam adumbrare, statim addidit, *ut videas, & implearis Spiritu sancto.* Numquid quod factum erat improperabat? Non. Sed daturum se gratiam inquit. Mihi videtur, & hunc & Cornelium, statim cum dicerentur hæc ad illos, Spiritus sancti gratiæ factos esse participes: tametsi hic is qui dedit, non fuerit unus ex duodecim. Ita nihil vel humanum ex omnibus quæ in illo, vel per hominem factum est: sed Deus aderat, qui hoc faciebat. Interim autem & illum erudit, ut modeste se gerat, non ducens illum ad eximios Apostolos. Et ostendit quod nihil hoc loco humanum, neque tunc assecutus est spiritum qui faciebat signa, ut & sic fides illius ostendatur: non enim miracula fecit. *Et statim*, inquit, *in Synagogis prædicabat Christum, quod hic est filius Dei.* Non quod surrexit, prædicavit: neque quod vivat. Sed quid? Valde evidenter exponebat hoc dogma, *quod hic est filius Dei.* Qui autem hæc audiebant, adhuc in incredulitate perstabant. Oportebat autem non credere solùm, sed etiam obstupescere. Et quare-nam non simpliciter quod persecutor fuerit dicunt: sed quod expugnet invocantes nomen hoc? Valdè furibundum per hoc declarabant: & non dicebant Jesum, præ invidia, neque nomen audire sustinentes: ita erant exasperati. *Et huc propterea venit.* Non possumus dicere, inquit, quod prius cum Apostolis fuerit. Vide quomodo per multa testificatio fit, ipsum Paulum esse ex numero hostium. At ille non solum non confundebatur propter hoc, sed & gloriabatur. *Saulus autem magis corroborabatur & confundebat Judæos:* Hoc est, ora eorum obturabat. *Confirmans quod hic est Christus.* Docebat, inquit, doctor enim statim erat. *Ut autem impleti sunt dies, sat multi conspiraverunt Judæi, ut occiderent illum.* Judæi ad validum syllogismum redeunt. Non enim jam sycophantas & accusatores, & falsos testes inquirunt. Neque enim ultra illos ferunt. Nam quoniam videbant rem augeri, neque judicium adhibent. *Innotuerunt autem Saulo insidiæ illorum, observantes portas dies ac noctes, ut occidant illum.* Quare? quia signum hoc jam factum, præ omnibus intolerabile erat, etiam eo, quod quinque & tria millia crediderant, & in summa, omnibus. Et vide illum jam non gratia servari, sed humana sapientia, ut discas virtutem viri etiam absque miraculis clarescentis. *Discipuli autem acceperunt illum noctu, & dimiserunt per murum, submittentes in sporta.* Meritò, ut res suspicione careat. Quid igitur? Ut grave periculum effugiat. Numquid manet? Minimè. Sed vadens hinc, magis illos accendit. Nam quod verè crediderat, multi adhuc non credebant. Propter hoc post dies sat multos hoc fit. Quidnam hoc est? Verisimile illum nondum voluisse inde proficisci, multis forsan admonentibus. Ubi autem hæc didicit, tunc permisit discipulis suis. Etenim statim habebat discipulos. Hoc insinuans dicebat: *Præfectus Aretæ Regis custodiebat civitatem apprehendere me volens.* Et vide Evangelistam, nihil superbè dicentem, neque claritudinem Pauli dicentem, sed solum quod excitarunt Regem. Igitur illum solùm emiserunt, & nullum cum illo, idque perquam utiliter, ut ipse Apostolis in Hierusalem se ostendat, imò illi quidem emiserunt, ut deinde ipse sibi adesset & se servaret. Ipse verò contrarium faciens, ad insanientes statim transiit. Hoc est incendi: hoc est magis fervere. Et considera quomodo sequitur. A primo statim die servat præceptum quod audierant Apostoli: *Nisi quis tulerit crucem suam, & sequatur me.* Igitur qui post alios venerat, magis quàm alii fervebat: & opere implebat illud: *Cui dimittitur multum, magis diliget.* Unde quò posterius venit, hoc magis dilexit. Et propter hoc etiam priorem vitam suam suggillans, sæpe seipsum notabat, nihil satis esse putans ad priora occultanda. *Confirmans*, inquit, hoc est, cum mansuetudine docens. Et vide quod non dicunt illi, tu es qui expugnas, quare mutatus es? Confundebantur enim, sed inter seipsos dicebant. Dixisset enim, & multò justius: Hoc vos maximè docere oportebat, quoniam & apud Agrippam sic rationem reddit. Hunc imitemur oro, & nos, & contra omnia pericula simus parati. Et quomodo, inquit, ille fugit? Non erat opus timoris, sed custodiebat seipsum verbo. Si timidus fuisset, non venisset in Hierusalem, neque statim suscepisset doctrinam, remisisset alacritatem. Atqui non erat timidus, sed prudens, & temporis observator, edoctus passione Stephani. Proinde non putabat magnum mori pro prædicatione, nisi cum magno lucro hoc fiat: homo neque Christum videre volens, quem maximè

2.Cor.11, 32. · Matth. 10, 38. · Luc.7, 47.

ἀλλὰ διὰ πραγμάτων ὤφθη. καὶ θέλων συσκιάσαι τὸ φορτικὸν τοῦ λόγου, εὐθέως ἐπήγαγεν, ὅπως ἀναβλέψῃς καὶ πλησθῇς πνεύματος ἁγίου. οὐχὶ ἐλέγξαι συνειδὴ τὸ γεγενημένον; οὐ. ἀλλὰ δοῦναι τὴν δωρεὰν [φησίν.] ἐμοὶ δοκεῖ καὶ τοῦτον καὶ τὸν Κορνήλιον εὐθὺς λεγομένων τῶν πρὸς αὐτοὺς τοῦ πνεύματος μεταλαβεῖν· καίτοι γε ὁ διδοὺς οὐκ ἦν τῶν δώδεκα. οὕτως οὐδὲν ἀνθρώπινον πάντων τῶν ἐπ' αὐτῷ, οὐδὲ δι' ἀνθρώπου ἐγένετο, ἀλλ' ὁ Θεὸς παρῆν ὁ ταῦτα ποιῶν. ἅμα δὲ αὐτὸν καὶ μετριάζειν παιδεύει, οὐκ ἄγων αὐτὸν πρὸς τοὺς προκρίτους Ἀποστόλους. καὶ δείκνυσιν ὅτι οὐδὲν ἀνθρώπινον ἐνταῦθα. οὐ μὴν πνεύματος δὲ ἠξιώθη τοῦ ποιοῦντος τὰ σημεῖα, ἵνα καὶ οὕτως ἡ πίστις αὐτοῦ δειχθῇ. οὐ γὰρ θαύματα ἐποίησε. καὶ εὐθέως, φησίν, ἐν ταῖς συναγωγαῖς ἐκήρυσσε τὸν Χριστόν, ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οὐχ ὅτι ἀνέστη ἐκήρυξεν, οὐδὲ ὅτι ζῇ. ἀλλὰ τί; σφόδρα ἀκριβῶς τὸ δόγμα ἐξέθετο ὅτι οὗτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ. οἱ δὲ εἰς ἀπιστίαν λοιπὸν ἔρχονται ταῦτα ἀκούοντες, δέον οὐ πιστεύειν μόνον, ἀλλὰ καὶ ἐκπλήττεσθαι. καὶ τί δήποτε οὐχ ἁπλῶς ὅτι διώκτης ἦν λέγουσιν, ἀλλ' ὅτι ἐπόρθει τοὺς ἐπικαλουμένους τὸ ὄνομα τοῦτο; τὸ σφόδρα μανικὸν διὰ τούτου ἐμφαίνοντες. καὶ οὐκ εἶπον τὸν Ἰησοῦν· ἀπὸ τῆς βασκανίας οὐδὲ τὸ ὄνομα ἀκούειν ἀνεχόμενοι. οὕτως ἦσαν ἐκτεθηριωμένοι. καὶ ὧδε εἰς τοῦτο ἐλήλυθεν. οὐκ ἐχόμενον εἰπεῖν, φησίν, ὅτι τοῖς Ἀποστόλοις πρότερον συνεγένετο. ὅρα διὰ πόσων ὁμολογεῖται τῶν ἐχθρῶν τυγχάνων ὁ Παῦλος. ὁ δὲ οὐ μόνον οὐκ ᾐσχύνετο τούτοις, ἀλλὰ καὶ ἐνεβριμοῦτο. Σαῦλος δὲ μᾶλλον ἐνεδυναμοῦτο, καὶ συνέχυνε τοὺς Ἰουδαίους· τουτέστιν, ἐπεστόμιζεν, οὐκ εἴα τι εἰπεῖν. συμβιβάζων ὅτι οὗτός ἐστιν ὁ Χριστός. διδάσκων, φησί. διδάσκαλος γὰρ εὐθέως ἦν. ὡς δὲ ἐπληροῦντο ἡμέραι ἱκαναί, συνεβουλεύσαντο οἱ Ἰουδαῖοι ἀνελεῖν αὐτόν. ἐπὶ τὸν ἰσχυρὸν συλλογισμὸν ἔρχονται πάλιν οἱ Ἰουδαῖοι. οὐκ ἔτι γὰρ συκοφάντας, καὶ κατηγόρους, καὶ ψευδομάρτυρας ἐπιζητοῦσιν. οὐδὲ γὰρ ἔτι ἀνείχοντο τούτων· ἀλλὰ τί; λοιπὸν αὐτοὶ δι' ἑαυτῶν τοῦτο ἐργάζονται. ἐπειδὴ γὰρ εἶδον ἐπιτεινόμενον τὸ πρᾶγμα, οὐδὲ δικαστήριον καθίζουσιν. ἐγνώσθη δὲ τῷ Σαύλῳ ἡ ἐπιβουλὴ αὐτῶν. παρετήρουν τε τὰς πύλας ἡμέρας [τε] καὶ νυκτὸς ὅπως αὐτὸν ἀνέλωσι· διατί; ὅτι πάντων ἀφορητότερον ἦν αὐτοῖς τῶν ἤδη γεγενημένων σημείων· τῶν πεντακισχιλίων· τῶν τρισχιλίων· πάντων ἁπλῶς. καὶ ὅρα αὐτὸν τέως οὐ χάριτι σωζόμενον, ἀλλ' ἀνθρωπίνῃ σοφίᾳ· ἵνα μάθῃς τοῦ ἀνδρὸς τὴν ἀρετὴν καὶ χωρὶς σημείων λάμποντος. λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, καθῆκαν διὰ τοῦ τείχους, χαλάσαντες ἐν σπυρίδι. εἰκότως· ἵνα ἀνύποπτον ᾖ τὸ πρᾶγμα. τί οὖν; τοῦτον κίνδυνον διαφυγὼν, ἆρα ἵστατο; οὐδαμῶς· ἀλλ' ἀπέρχεται ἔνθα μειζόνως ἂν αὐτοὺς ἐξάψαι. ὅτι γὰρ ἀκριβῶς ἐπίστευσεν, ἄπιστον ἦν ἔτι τοῖς πολλοῖς. διὰ τοῦτο μεθ' ἡμέρας ἱκανὰς τοῦτο γίνεται. τί ποτε τοῦτό ἐστιν; εἰκὸς αὐτὸν μὴ βούλεσθαι τέως ἐξελθεῖν ἐκεῖθεν, πολλῶν ἴσως παραινούντων. ἐπειδὴ δὲ ἔμαθε, τότε ἐπέτρεψε τοῖς μαθηταῖς αὐτοῦ. καὶ γὰρ μαθητὰς εἶχεν εὐθέως. τοῦτο αἰνιττόμενος ἔλεγεν· ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν πιάσαι με θέλων. καὶ ὅρα τὸν Εὐαγγελιστὴν οὐδὲν φιλοτίμως λέγοντα· οὐδὲ λαμπρὸν δεικνῦντα τὸν Παῦλον· ἀλλὰ μόνον ὅτι ἐπήγειραν τὸν βασιλέα. μόνον οὖν αὐτὸν ἐξέπεμψαν, καὶ οὐδένα μετ' αὐτοῦ· καὶ τοῦτο δὲ συμφερόντως, ὥστε αὐτὸν φανῆναι τοῖς Ἀποστόλοις ἐν Ἱεροσολύμοις. μᾶλλον δὲ αὐτοὶ μὲν ἐξέπεμψαν, ὡς ἐκ τούτου λοιπὸν ἑαυτῷ τὴν σωτηρίαν πορίσασθαι· αὐτὸς δὲ τοὐναντίον πραττόμενος, εἰς τοὺς μαινομένους εὐθὺς ἐπεπήδησε. τοῦτό ἐστι πεπυρῶσθαι. τοῦτο μάλιστα ζεῖν. καὶ σκόπει πῶς ἀκολουθεῖ, ἐκ πρώτης ἡμέρας τηρῶν τὸ παράγγελμα ὅπερ ἤκουσαν οἱ Ἀπόστολοι. τὸ, ἐὰν μή τις ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι. τὸ τοίνυν ὕστερον αὐτὸν τῶν ἄλλων ἐλθεῖν, μᾶλλον αὐτὸν προθυμότερον ἐποίει. καὶ ἔργῳ ἐπληροῦτο ἐκεῖνο τό· ᾧ ἀφίεται πολὺ, μᾶλλον ἀγαπήσει. ὥστε ὅσῳ ἔσχατον ἦλθε, τοσούτῳ μᾶλλον ἠγάπησεν. διὰ τοῦτο καὶ τὸν πρότερον βίον ἑαυτῷ στηλιτεύων, καὶ πολλάκις ἑαυτὸν σίζων, οὐδὲν ἡγεῖτο ἱκανὸν εἶναι πρὸς τὸ τὰ πρότερα ἀποκρύψαι, συμβιβάζων, φησί· τουτέστι, μετ' ἐπιεικείας διδάσκων. καὶ ὅρα, οὐ λέγουσιν αὐτῷ, ὅτι σὺ εἶ ὁ πορθῶν· τί μεταβέβλησαι; ᾐσχύνοντο γάρ· ἀλλὰ πρὸς ἑαυτοὺς ἔλεγον. εἶπεν ἂν πολλῷ δικαιότερον, ὅτι τοῦτο μάλιστα ὑμᾶς διδάξαι ὀφείλει, ἐπεὶ καὶ πρὸς Ἀγρίππαν οὕτως ἀπολογεῖται. τοῦτον μιμώμεθα, παρακαλῶ, καὶ ἡμεῖς, καὶ πρὸς πάντας ἀμέλει κινδύνους παρατεταγμένοι. καὶ πῶς, φησίν, ἐκεῖνος φεύγει; οὐκ ἦν δειλίας τὸ πρᾶγμα· ἀλλ' ἐφύλαττεν ἑαυτὸν τῷ κηρύγματι, εἰ δειλὸς ἦν, οὐκ ἂν εἰς τὰ Ἱεροσόλυμα ἦλθεν· οὐκ ἂν εὐθέως ἀνεδέξατο τὴν διδασκαλίαν· καθυφῆκεν ἂν τῆς σφοδρότητος. ἀλλ' οὐκ ἦν δειλὸς, ἀλλὰ καὶ οἰκονομικὸς, ἐπαιδεύθη τῷ πάθει τοῦ Στεφάνου. διὸ οὐδὲν μέγα ἡγεῖτο τὸ ἀποθανεῖν ὑπὲρ τοῦ κηρύγματος, εἰ μὴ μετὰ πολλοῦ τοῦ κέρδους τοῦτο ἐργάσαιτο, ἄνθρωπος οὐδὲ τὸν Χριστὸν ἰδεῖν θέλων, ὃν μάλιστα πάντων ἐπόθει ἰδεῖν,

ἐπειδὴ

οὐδέπω ἀπήρτιστο αὐτῷ τὰ τῆς εἰς τοὺς ἀνθρώπους οἰκονομίας. τοιαύτην εἶναι χρὴ τὴν ψυχὴν τοῦ Χριστιανοῦ. ἀπὸ προοιμίων καὶ ἀπὸ βαλβῖδος αὐτοῦ ἐδείκνυτο ὁ χαρακτὴρ Παύλου· μᾶλλον δὲ καὶ πρὸ τούτου. ἐν οἷς γὰρ οὐ κατὰ γνῶσιν ἐποίει, ἀνθρωπίνῳ κινούμενος λογισμῷ διεπράττετο. εἰ γὰρ μετὰ τοσοῦτον χρόνον οὐκ ἤθελεν ἀναλῦσαι· πολλῷ μᾶλλον ἐν ἀρχῇ τῆς ἐμπορίας, ἄρτι τῶν λιμένων ἐξελθών. οὐκ ἐξαρπάζει δὲ αὐτὸν ὁ Χριστὸς τοῦ κινδύνου, ἀλλ᾽ ἀφίησιν, ἐπειδὴ βούλεται καὶ ἀνθρωπίνῃ συνέσει πολλὰ γίνεσθαι. ἄλλως δὲ ἀφίησιν, ἵνα μάθωμεν ὅτι καὶ αὐτοὶ ἄνθρωποι ἦσαν. καὶ ὅτι οὐ πανταχοῦ τὸ πᾶν ἡ χάρις ἐνήργει· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ξύλα ἁπλῶς ἐνομίσθησαν ἄν. διά τοι τοῦτο πολλὰ καὶ αὐτοὶ ᾠκονόμουν διὰ τῶν πραγμάτων. τοῦτο καὶ ἡμεῖς ποιῶμεν. καὶ οὕτω τῆς τῶν ἀδελφῶν ὀρεγώμεθα σωτηρίας. τοῦτο μαρτυρίου οὐκ ἔλαττον, μηδὲν παραιτήσασθαι παθεῖν διὰ τὴν τῶν πολλῶν σωτηρίαν· οὐδὲν οὕτως εὐφραίνει τὸν Θεόν. πάλιν ἐρῶ ὃ πολλάκις εἶπον. ἐρῶ δὲ, ἐπειδὴ σφόδρα αὐτὸ βούλομαι. ἐπεὶ καὶ ὁ Χριστὸς τὸ αὐτὸ ἐποίει, περὶ ἀφέσεως παραινῶν, καὶ λέγων· » ὅταν προσεύχησθε ὑμεῖς, ἀφίετε » εἴ τι κατά τινος ἔχετε. πάλιν τῷ Πέτρῳ διαλεγόμενος· οὐ λέγω » σοι, φησὶν, ὅτι ἄφες ἕως ἑπτάκις· ἀλλ᾽ ἕως ἑβδομηκοντάκις ἑπτά, καὶ διὰ τῶν ἔργων ἀφῆκε τὰ εἰς αὐτὸν πλημμελήματα. οὕτω δὴ καὶ ἡμεῖς, ἐπειδὴ ἴσμεν τοῦτο ὅρον Χριστιανισμοῦ ὄντα διαπαντὸς περὶ τούτου διαλεγόμεθα. οὐδὲν ψυχρότερον Χριστιανοῦ, ἑτέρους μὴ σώζοντος. οὐκ ἔχεις ἐνταῦθα πενίαν εἰπεῖν. ἡ γὰρ τὰ δύο καταβαλοῦσα λεπτὰ κατηγορήσει. καὶ Πέτρος ἔλεγεν· ἀργύριον καὶ χρυσίον οὐχ ὑπάρχει μοι· καὶ Παῦλος οὕτως ἦν πένης, ὡς καὶ πεινάσαι πολλάκις, καὶ τῆς ἀναγκαίας ἀπορῆσαι τροφῆς. οὐκ ἔχεις δυσγένειαν εἰπεῖν. καὶ γὰρ ἐκεῖνοι ἄσημοι ἦσαν, καὶ ἐξ ἀσήμων. οὐκ ἔχεις ἰδιωτείαν προβαλέσθαι· καὶ γὰρ ἐκεῖνοι ἀγράμματοι ἦσαν. κἂν δοῦλος ἦς, κἂν δραπέτης, δυνήσῃ τὰ παρὰ σαυτοῦ πληρῶσαι. ἐπεὶ καὶ ὁ Ὀνήσιμος τοιοῦτος ἦν. ἀλλ᾽ ὅρα πῶς καλεῖ αὐτὸν, καὶ εἰς πόσον ἄγει ἀξίωμα. ἵνα κοινωνῇ μοι, φησὶν, ἐν τοῖς δεσμοῖς μου. οὐκ ἔχεις ἀσθένειαν εἰπεῖν· ἐπεὶ καὶ Τιμόθεος τοιοῦτος ἦν, πυκνὰς ἔχων τὰς ἀσθενείας. ὅτι δὲ ἀσθενὴς ἦν, » ἄκουε· οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου, καὶ τὰς πυκνάς σου ἀσθενείας. δύναται ἕκαστος τὸν πλησίον ὠφελεῖν, ἐὰν θέλῃ τὰ παρ᾽ αὐτοῦ πληροῦν. οὐχ ὁρᾶτε τὰ δένδρα τὰ ἄκαρπα πῶς ἐστιν ἰσχυρά; πῶς καλά; εὐμήκη, λεῖα καὶ ὑψηλά; ἀλλ᾽ εἰ παράδεισον ἔχοιμεν, βουλοίμεθα ἂν ῥοιὰς, ἐλαίας ἔχειν καρπίμους πολλῷ μᾶλλον, ἢ ταῦτα. ἐκεῖνα γὰρ πρὸς τέρψιν εἰσὶν, οὐ πρὸς ὠφέλειαν· καὶ ἡ ὠφέλεια δὲ, μικρά τις ἐστί. τοιοῦτοί εἰσιν οἱ τὰ αὐτῶν μόνον σκοποῦντες. μᾶλλον δὲ οὐδὲ τοιοῦτοι. πρὸς γὰρ καῦσιν ἐπιτήδειοι οὗτοι· ἐπεὶ ἐκεῖνα καὶ πρὸς οἰκοδομὴν, καὶ πρὸς ἀσφάλειαν τῶν ἔνδον. τοιαῦται ἦσαν καὶ αἱ παρθένοι· ἁγναὶ μὲν καὶ κόσμιαι, καὶ σώφρονες· οὐδενὶ δὲ χρήσιμοι. διὸ καὶ κατακαίονται. τοιοῦτοί εἰσιν οἱ μὴ θρέψαντες τὸν Χριστόν. ὅρα γὰρ τούτων οὐδένα ἐγκαλούμενον ὑπὲρ τῶν οἰκείων ἁμαρτημάτων, οὐχ ὅτι ἐπόρνευσεν, οὐχ ὅτι ἐπιώρκησεν, οὐδὲν ὅλως· ἀλλ᾽ ὅτι ἑτέρῳ μὴ γέγονε χρήσιμος· τοιοῦτος ἦν ὁ τὸ τάλαντον κατορύξας, ἄληπτον παρεχόμενος μὲν βίον, ἑτέρῳ δὲ οὐκ ὢν χρήσιμος. πῶς ἐστι Χριστιανὸς ὁ τοιοῦτος, εἰπέ μοι; ἐὰν ζύμη ἀναφυρεῖσα ἀλεύρῳ μὴ μεταστήσῃ εἰς τὴν αὐτῆς ἕξιν τὸ πᾶν, ἆρα ζύμη τὸ τοιοῦτόν ἐστι; τί δαί, εἰ μὴ μύρον ἀναπλήσειε τῆς εὐωδίας τοὺς πλησιάζοντας, μύρον ἂν τοῦτο καλέσαιμεν; μὴ εἴπῃς ἀδύνατόν μοί ἐστιν ἑτέρους ἐπαγαγεῖν· ἂν γὰρ ᾖς Χριστιανὸς, ἀδύνατον τὸ μὴ οὕτω γενέσθαι. ὥσπερ γὰρ τὰ ἐν τῇ φύσει ἀναντίρρητά ἐστιν, οὕτω καὶ ταῦτα. ἐν γὰρ τῇ φύσει τοῦ Χριστιανοῦ κεῖται τὸ πρᾶγμα. μὴ ὕβριζε τὸν Θεόν. ἂν εἴπῃς ὅτι ὁ ἥλιος οὐ δύναται φαίνειν, ὕβρισας αὐτόν. ἂν εἴπῃς, ὅτι ὁ Χριστιανὸς οὐ δύναται ὠφελεῖν, ὕβρισας τὸν Θεὸν καὶ ψεύστην εἶπας. εὔκολον γὰρ τὸν ἥλιον μὴ θερμαίνειν, μηδὲ φαίνειν, ἢ τὸν Χριστιανὸν μὴ φωτίζειν· εὔκολον τὸ φῶς εἶναι σκότος, ἢ τοῦτο γενέσθαι. μὴ δὴ λέγε, ὅτι ἀδύνατον. ἀδύνατον γὰρ τοὐναντίον ἐστί. μὴ δὴ ὕβριζε τὸν Θεόν. ἂν τὰ καθ᾽ ἡμᾶς κατασκευάσωμεν καλῶς, πάντως ἔσται ἐκεῖνα, [καὶ] ὥσπερ φυσικόν τι πρᾶγμα ἕψεται. οὐκ ἔνι λαθεῖν φῶς Χριστιανοῦ· οὐκ ἔνι κρυβῆναι λαμπάδα οὕτω περιφανῆ. μὴ δὴ ἀμελῶμεν. ὥσπερ γὰρ ἀπὸ τῆς ἀρετῆς τὸ κέρδος εἴς τε ἡμᾶς, εἴς τε τοὺς ὠφελουμένους διαβαίνει· οὕτως ἀπὸ τῆς κακίας διπλῆ πάλιν ἡ ζημία, εἴς τε ἡμᾶς, εἴς τε τοὺς βλαπτομένους διαβαίνουσα. ἔστω τις, εἰ βούλει, ἰδιώτης μυρία παρά τινος παθὼν κακὰ, καὶ μηδεὶς ἐκεῖνον ἀμυνέσθω, ἀλλὰ καὶ εὐεργετείτω· πόσης τοῦτο διδασκαλίας οὐκ ἰσχυρότερον; πόσων λόγων; πόσων παραινέσεων; τίνα οὐχ ἱκανὸν σβέσαι θυμὸν, καὶ μαλάξαι; ταῦτ᾽ [οὖν] εἰδότες, ἐχώμεθα τῆς ἀρετῆς, ὡς οὐκ ἐνὸν ἑτέρως σωθῆναι, ἢ μετὰ τούτων τῶν κατορθωμάτων τὴν ἐνταῦθα ζωὴν διανύσαντας, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν ἐπιτύχωμεν.

omnium videre cupiebat, quoniam nondum suum erga homines ministerium impletum erat. Talem oportet esse Christiani animam. Statim ab initio & in janua ostendebatur Pauli effigies, imò & anteà per ea quæ non secundùm scientiam faciebat, sed humana ratione motus. Nam cum post tantum tempus *noluit dissolvi*, multo magis in initio negotiationis, Phil. 1,23. nuper è portu egressus. Non eripuit autem illum è periculo Christus, sed permittit: quoniam vult etiam humana industria pleraque fieri. Et aliter: Permittit, ut discamus quod & illi homines fuerint, & quod non ubique gratia operabatur: alioqui si hoc non fuisset, simpliciter habiti essent stipites, propter hoc & illi in multis dispensabant, & operabantur. Hoc & nos faciamus, & ita fratrum salutem optemus. Hoc non minus fuerit martyrio, nihil deprecari pati propter multorum salutem. Nihil adeo lætificat Deum. Iterum dicam, quod sæpe dixi, quoniam valde istud velim, quoniam & Christus faciebat, de remissione admonens ac dicens: *Quando oraveritis vos, remittite si quid contra aliquem habetis.* Iterum Petro loquens, inquit, *Non dico tibi, quod remittas solùm septies, sed usque septuagies septies.* Et operibus remisit, quæ in illum delicta sunt. Sic sanè & nos, quoniam scimus scopum Christianismi esse. Semper de illo loquimur. Nihil frigidius Christiano alios non servante. Non potes hic paupertatem dicere. Quæ enim *duo minuta* dederat, accusabit. Et Petrus dicebat: *Argentum & aurum non habeo.* Et Paulus ita erat pauper, quod & sæpe esurierit, & necessario alimento habuerit opus. Non potes ignobilitatem dicere, etenim etiam illi ignobiles fuerunt & ex ignobilibus. Non potes prætexere quod idiota sis, nam & illi erant illiterati. Licet servus sis, licet fugitivus, poteris quod tuum est implere: quandoquidem & Onesimus talis erat, sed vide quò illum vocet, & in quantam dignitatem provehat, *Ut communicet mihi*, inquit, *in vinculis.* Non potes infirmitatem dicere, quoniam & Timotheus talis erat, frequentes habens infirmitates. Quod autem infirmus fuerit, audi: *Vino modico utere propter stomachum tuum, & frequentes infirmitates tuas.* Potest unusquisque proximo suo prodesse: si volueris quod tuum est implere. Non videtis arbores steriles quod sint validæ, quomodo pulchræ, proceræ, leves, ac sublimes? At si hortum haberemus, vellemus malogranata, olivas habere frugiferas, & multò magis quàm illas. Illa enim ad voluptatem magis sunt, quàm ad utilitatem. Et utilitas autem parva quædam est. Tales sunt qui solùm considerant ea quæ sua sunt, imò neque tales, nam hæ ad incendium paratæ sunt, alioqui illa etiam ad ædificium, & ad rerum securitatem. Tales fuerunt etiam virgines, castæ quidem & ornatæ, ac modestæ: at nulli utiles, ideò & exuruntur. Tales sunt qui non aluerunt Christum. Vide enim horum nulli improperari sua peccata, non quòd scortati sint, non quòd pejerarint, nihil omnino, sed quòd alteri non fuerint utiles. Talis erat qui talentum defoderat, irreprehensibilem quidem exhibens vitam. Qui autem alii non est utilis, dic mihi: Quomodo erit Christianus? Si fermentum commixtum farinæ, non commutaverit totum in alium habitum: numquid fermentum est? Quid etiam si unguentum non implerit odore accedentes, unguentúmne dicemus? ne dicas, impossibile est mihi adducere alios. Nam si fueris Christianus, impossibile est ut non fiat. Nam sicut ea quæ in natura, contradictionem non habent, ita etiam hæc. Etenim in natura Christiani situm est hoc, ne afficias contumelia Deum. Si dixeris quòd Christianus non potest prodesse, contumelia affecisti Deum, & mendacem dixeris. Facilius enim est quòd sol non calefaciat, neque luceat, quàm Christianum non lucere. Facilius est lucem tenebras, quàm hoc fieri. Ne igitur dicas quod sit impossibile. Impossibile enim contrarium est. Ne igitur contumelia afficias Deum, si quod nostrum est rectè perfecerimus, omnia erunt illa, & quasi naturale quoddam opus sequetur. Non potest latere lux Christiani, non potest occultari lampas tam clara. Itaque ne simus negligentes. Etenim sicut à virtute lucrum erga nos, & ad eos qui utilitatem capiunt, transit: ita & à malitia duplex damnum, & in nos, & in eos qui offenduntur venit. Sit quispiam, si vis, idiota, innumera à quodam passus, & nullus illum ulciscatur, sed & benefaciat. Qua doctrina hoc non fuerit validius, quibus sermonibus, quibus admonitionibus: quem furorem extinguere, & suffocare non valeret? Itaque hoc scientes, possideamus virtutem, eo quòd non possumus aliter servari, quàm cum his bonis operibus hanc vitam perficientes, ut & futura bona assequamur;

Matt 5,23. Ibid. 18,21. Luc. 21,2. Supr. 3,6. Ad Philem v. 10. 1. Tim. 5,23.

gratia & misericordia Domini nostri Jesu Christi, cum quo A Patri simul sanctoque Spiritui, gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

HOMILIA XXI.

Ut autem Paulus venit Hierusalem, tentavit adhærere discipulis, & omnes timebant illum, non credentes quod esset discipulus. Barnabas autem apprehensum illum duxit ad Apostolos, & narravit illis quomodo in via viderit Dominum. B

Recte hoc loco dubitatur, quomodo in epistola quidem ad Galatas dicit: *Non abii Hierusalem, sed in Arabiam, & Damascum, & quod post tres annos ascenderit, ut videret Petrum.* Hic verò contrarium dicit quòd Barnabas duxerit illum ad Apostolos. Vel igitur hoc dicet, Non abii, ut moram facerem. Dicit enim illic, *non acquievi carni & sanguini, neque abii ad eos qui ante me erant Apostoli.* Vel si non hoc, quia insidiæ erant in Damasco, postquam ille venit ab Arabia, factum est, inquit. Deinde iterum ascendit postquam inde venisset. Sanè ipse non ad Apostolos, sed Discipulis adhærere tentabat, utputa non doctor, sed Discipulus existens. Igitur non propter hoc ascendit, ut abiret ad eos qui ante se, neque enim ab illis quiddam didicit. Vel hunc ascensum non dicit, sed relinquit: & cum sic esset, abiit in Arabiam, deinde venit in Damascum, posteà in Hierusalem, posteà in Syriam. Vel si non hoc, iterum sic ascendit in Hierusalem, deinde Damascum emissus, deinde in Syriam, posteà in Damascum iterum, mox in Cæsaream, & tunc per quatuordecim annos, fortè quando fratres adiit cum Barnaba. Vel si non hoc, aliud dicit tempus: historiographus enim multa succidit, & multa tempora congerit. Vide quomodo non est ambitiosus, neque narrat visionem illam, sed præterit. Iterum autem sic incipit, ac dicit: *Cum venisset autem in Hierusalem, tentavit adhærere discipulis, qui timebant illum.* Et ex hoc iterum fervorem Pauli ostendit, non ab Anania, neque ab his qui illic admirabantur eum, sed ab his, qui Hierosolymis erant: neque enim hoc humanæ expectationis erat. Et vide illum non ad Apostolos euntem propter modestiam, sed ad Discipulum existentem: nondum enim fide dignus putabatur. *Barnabas autem assumens illum duxit ad Apostolos, & narravit illis quomodo in via vidisset Dominum.* Barnabas ille mitis quidam, & mansuetus homo erat. Filium autem consolationis interpretari quis posset ex nomine: unde & amicus Paulo factus est. Quòd autem valdè utilis erat, & facilis, hoc ex his quæ in manibus, & quæ cum Joanne aguntur, manifestum est: & proptereà hic non metuit, sed narrat quomodo in via viderit Dominum, & quòd locutus sit illi, & quomodo in Damasco liberè egerit in nomine Domini Jesu. Verisimile enim quòd ille etiam in Damasco audierit de illo: Ideò & hæc tanquam præparatoria facit, operibus confirmans ea quæ dicta erant: *Et erat ingrediens & egrediens Hierusalem, & liberè loquens in nomine Jesu. Et loquebatur & disputabat cum Græcis,* quoniam Discipuli metuebant illum: Apostoli verò non credebant illi, proptereà metum illorum qui illic, tollit. *Loquebatur & disputabat cum Græcis.* Ἑλληνιστάς: Græcos dicit, qui Græcè loquebantur: idque valdè sapienter. Neque enim videre illum voluerunt Judæi: alii vero etiam *aggrediebantur, ut interficerent illum.* Magnæ alacritatis, victoriæque potentis hoc indicium erat, etiam illos valdè mœstos factos ob id quod acciderat. *Ut autem cognoverunt fratres, deducunt illum in Cæsaream.* Propter timorem hoc faciunt. Metuentes enim, ne posteà idem cum illo fiat, quod cum Stephano, *deducunt illum in Cæsaream, & emiserunt illum in Tarsum.* Licet propter metum, attamen emittunt: simul & prædicaturum, & securiorem futurum in sua patria. Vide autem oro, quomodo non omnia gratia fiunt, sed permittit illos Deus etiam propria sapientia multa moderari, ac facere humano more. Si enim ab ipso factum est hoc, multò magis ab illis. Permittit hoc ut ignavorum prætextum auferat. *Itaque Ecclesiæ per totam Judæam, & Samariam habentes pacem, ædificabantur, & ambulabant in timore Domini, & consolatione Spiritus sancti implebantur.* Ut igitur ne quis ex timore hoc factum putet, prius, ut habuerint Ecclesiæ, narrat, ostendens quod persecutionis tempore Hierosolymis erat: ubi autem res Ecclesiæ ubique in pace, tunc posteà & Hierusalem relinquit: adeò fervens & alacer erat.

Gal. 1,17. | v. 18. | Barnabas quid interpretatur.

ΟΜΙΛΙΑ κα'.

Παραγενόμενος δὲ ὁ Παῦλος εἰς Ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς, καὶ πάντες ἐφοβοῦντο αὐτὸν μὴ πιστεύοντες ὅτι ἐστὶ μαθητής. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον.

ΑΞΙΟΝ ἐνταῦθα διαπορῆσαι, πῶς ἐν μὲν τῇ πρὸς Γαλάτας φησὶν, ὅτι οὐκ ἀπῆλθεν εἰς Ἱεροσόλυμα, ἀλλ' εἰς Ἀραβίαν καὶ Δαμασκὸν, καὶ ὅτι μετὰ τρία ἔτη ἀνέβην εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον, καὶ ὅτι οὐδένα τῶν Ἀποστόλων εἶδον· ἐνταῦθα δὲ τοὐναντίον, ὅτι Βαρνάβας ἤγαγεν αὐτὸν πρὸς τοὺς Ἀποστόλους. ἢ τοίνυν τοῦτό φησιν, ὅτι οὐκ ἀπῆλθον ὥστε ἀναθέσθαι· λέγει γὰρ ἐκεῖ ὅτι οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, οὐδὲ ἀπῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους· ἢ εἰ μὴ τοῦτο, ὅτι ἡ ἐπιβουλὴ ἡ ἐν Δαμασκῷ, μετὰ τὸ ἐλθεῖν αὐτὸν ἀπὸ Ἀραβίας γέγονε, φησίν. εἶτα πάλιν ἡ ἄνοδος μετὰ τὸ ἐκεῖθεν ἐλθεῖν. αὐτὸς γοῦν οὐκ ἀπῆλθε πρὸς τοὺς Ἀποστόλους, ἀλλὰ τοῖς μαθηταῖς ἐπειρᾶτο κολλᾶσθαι, ἅτε οὐ διδάσκαλος ὢν, ἀλλὰ μαθητής. ἄρα οὐ διὰ τοῦτο ἀνῆλθεν, ἵνα πρὸς τοὺς πρὸ αὐτοῦ ἀπέλθῃ· οὐδὲ γὰρ παρ' αὐτῶν ἔμαθεν. ἢ ταύτην τὴν ἄνοδον οὐ λέγει, ἀλλ' ἀφίησιν, ὥστε εἶναι οὕτως· ἀπῆλθεν εἰς Ἀραβίαν, εἶτα ἦλθεν εἰς Δαμασκὸν, εἶτα εἰς Ἱεροσόλυμα, εἶτα εἰς Συρίαν. ἢ εἰ μὴ τοῦτο, πάλιν οὕτως· ὅτι ἀπῆλθεν εἰς τὰ Ἱεροσόλυμα, εἶτα εἰς Δαμασκὸν ἐξεπέμφθη, εἶτα εἰς Συρίαν, εἶτα εἰς Δαμασκὸν πάλιν, εἶτα εἰς Καισάρειαν, καὶ τότε διὰ δεκατεσσάρων ἐτῶν, ἴσως ὅτε τοὺς ἀδελφοὺς ἀνήγαγε μετὰ Βαρνάβα. ἢ εἰ μὴ τοῦτο, ἕτερον λέγει καιρόν. ὁ γὰρ ἱστοριογράφος πολλὰ ἐπιτέμνει, καὶ πολλοὺς συνάγει καιρούς. ὅρα πῶς οὐκ ἔστι φιλότιμος. οὐδὲ διηγεῖται τὴν ὄψιν ἐκείνην, ἀλλὰ παρατρέχει. πάλιν δὲ οὕτως ἄρχεται, καί φησι· Παραγενόμενος δὲ εἰς Ἱερουσαλὴμ, ἐπειρᾶτο κολλᾶσθαι τοῖς μαθηταῖς. οἱ δὲ ἐφοβοῦντο αὐτόν. καὶ ἀπὸ τούτου πάλιν τὸ θερμὸν τοῦ Παύλου δείκνυται· οὐκ ἀπὸ Ἀνανίου, οὐδὲ ἀπὸ τῶν θαυμαζόντων αὐτὸν ἐκεῖ· ἀλλὰ καὶ ἀπὸ τῶν ἐν Ἱεροσολύμοις. οὐ γὰρ ἦν τῆς προσδοκίας ἀνθρωπίνης ἐκεῖνο. καὶ ὅρα αὐτὸν οὐ πρὸς τοὺς Ἀποστόλους ἀπιόντα διὰ τὸ μετριάζειν, ἀλλὰ πρὸς τοὺς μαθητὰς, ἅτε μαθητὴν ὄντα. οὔπω γὰρ ἐνομίζετο ἀξιόπιστος εἶναι. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. ὁ Βαρνάβας οὗτος, ἐπιεικής τις καὶ ἥμερος ἄνθρωπος ἦν· υἱὸς δὲ παρακλήσεως τὸ ὄνομα ἑρμηνεύεται. ὅθεν καὶ φίλος τῷ Παύλῳ γέγονεν. ὅτι δὲ χρηστὸς ἦν σφόδρα καὶ εὐπρόσιτος, οὗτος καὶ ἐκ τῶν μετὰ χεῖρας, καὶ ἐκ τῶν κατὰ Ἰωάννην δῆλόν ἐστιν. ὅθεν οὗτος οὐ φοβεῖται, ἀλλὰ διηγεῖται πῶς ἐν τῇ ὁδῷ εἶδε τὸν Κύριον. καὶ ὅτι ἐλάλησεν αὐτῷ, καὶ πῶς ἐν Δαμασκῷ ἐπαρρησιάσατο ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. εἰκὸς αὐτὸν [γὰρ] καὶ ἐν Δαμασκῷ ἀκηκοέναι τὰ κατ' αὐτόν. διὸ καὶ ταῦτα ἐκείνων κατασκευαστικὰ ποιῶν, διὰ τῶν ἔργων ἐβεβαίωσε τὰ λεχθέντα. καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος, καὶ ἐκπορευόμενος ἐν Ἱερουσαλὴμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Ἰησοῦ, ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. ἐπεὶ οἱ μαθηταὶ ἐφοβοῦντο αὐτόν· οἱ δὲ Ἀπόστολοι οὐκ ἐπίστευον αὐτῷ, διὰ τοῦτο αὐτῶν ἐκεῖθεν λύει τὸ δέος· ἐλάλει τε καὶ συνεζήτει, φησὶ, πρὸς τοὺς Ἑλληνιστάς. Ἑλληνιστὰς τοὺς Ἑλληνιστὶ φθεγγομένους λέγει· καὶ τοῦτο σφόδρα σοφῶς. ἐκεῖνοι γὰρ οἱ ἄλλοι, οὐδὲ ἰδεῖν αὐτὸν ἠθέλησαν οἱ βαθεῖς Ἑβραῖοι· οἱ δὲ ἐπεχείρουν ἀνελεῖν αὐτόν. τῆς σφοδρότητος καὶ τοῦ κατὰ κράτος νίκης τοῦτο τεκμήριον, καὶ τοῦ σφόδρα λυπεῖσθαι τῷ γεγονότι. ἐπιγνόντες δὲ οἱ ἀδελφοὶ, κατήγαγον αὐτὸν εἰς Καισάρειαν. διὰ φόβον τοῦτο ποιοῦσι. φοβηθέντες γὰρ λοιπὸν μὴ ταυτὸν γένηται ὅπερ ἐπὶ Στεφάνου. κατάγουσιν αὐτὸν εἰς Καισάρειαν, καὶ ἐξαπέστειλαν αὐτὸν εἰς Ταρσόν. [εἰ καὶ διὰ φόβον, ὅμως ἀποστέλλουσιν·] ἅμα καὶ κηρύξοντα, καὶ ἐν ἀσφαλείᾳ ἐσόμενον αὐτὸν, ἅτε ἐν οἰκείᾳ πατρίδι. ὅρα δέ μοι πῶς οὐ πάντα χάριτι γίνεται, ἀλλὰ συγχωρεῖ αὐτοὺς ὁ Θεὸς, καὶ οἰκείᾳ σοφίᾳ οἰκονομεῖν πολλὰ καὶ ἀνθρωπίνως. εἰ γὰρ ἐπ' αὐτοῦ τοῦτο γέγονε, πολλῷ μᾶλλον ἐπ' αὐτῶν. συγχωρεῖ τοίνυν, ἵνα τῶν ῥαθύμων τὴν πρόφασιν ἐκκόψῃ. αἱ μὲν οὖν ἐκκλησίαι καθ' ὅλης τῆς Ἰουδαίας, καὶ Σαμαρείας εἶχον εἰρήνην, οἰκοδομούμεναι καὶ πορευόμεναι τῷ φόβῳ Κυρίου, καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. μέλλει περὶ Πέτρου λέγειν, καὶ ὅτι πρὸς τοὺς ἁγίους κάτεισιν. ἵν' οὖν μὴ φόβου τοῦτο νομίσῃ τις, πρότερον ὡς εἶχον αἱ ἐκκλησίαι διηγεῖται δεικνὺς ὅτι διωγμὸς ὅτε ἦν, ἐν Ἱεροσολύμοις ἦν· ὅτε δὲ πανταχοῦ ἐν ἀσφαλείᾳ τὰ τῆς ἐκκλησίας, τότε λοιπὸν καὶ τὰ Ἱεροσόλυμα ἀφίησιν. οὕτως ἦν θερμὸς ὁμοῦ καὶ σφοδρός.

Οὐ γὰρ ἐπειδὴ εἰρήνη ἦν, ἐνόμιζε μηδὲν δεῖσθαι τῆς αὐτοῦ παρουσίας. Καὶ διατί, φησὶ, τοῦτο ποιεῖ, καὶ ἔρχεται εἰρήνης οὔσης, καὶ μετὰ τὸ Παῦλον ἀπελθεῖν; ὅτι αὐτοὺς ᾔδοντο μάλιστα, ἅτε πολλάκις παραγενομένους, καὶ ὑπὸ τοῦ πλήθους θαυμασθέντας· ἐκείνου δὲ κατεφρόνουν, καὶ μᾶλλον πρὸς αὐτὸν ἠγρίαινον. Εἶδες πῶς εἰρήνη τὸν πόλεμον ἐνδέχεται; μᾶλλον δὲ, εἶδες τί ἐποίησεν ὁ πόλεμος ἐκεῖνος; διέσπειρε τοὺς τὴν εἰρήνην ποιοῦντας ἐπὶ τῆς Σαμαρείας· κατῃσχύνθη ὁ Σίμων ἐπὶ τῆς Ἰουδαίας· τὰ κατὰ Σαπφείραν γέγονεν. Οὐ τοίνυν ἐπεὶ εἰρήνη ἦν, ἐκλελυμένα τὰ πράγματα ἦν· ἀλλὰ τοιαύτη ἦν ἡ εἰρήνη, ὡς καὶ παρακλήσεως δεῖσθαι. Ἐγένετο δὲ Πέτρον διερχόμενον διὰ πάντων κατελθεῖν καὶ πρὸς τοὺς ἁγίους τοὺς κατοικοῦντας Λύδδαν. Καθάπερ τις στρατηγὸς περιῄει τὰς τάξεις ἐπισκοπῶν, ποῖον εἴη συγκεκροτημένον μέρος, ποῖον ἐν κόσμῳ, ποῖον τῆς αὐτοῦ δεῖται παρουσίας. Ὅρα πανταχοῦ αὐτὸν περιτρέχοντα, καὶ πρῶτον εὑρισκόμενον· ὅτε ἑλέσθαι ἔδει τὸν Ἀπόστολον, οὗτος πρῶτος· ὅτε διαλεχθῆναι τοῖς Ἰουδαίοις περὶ τοῦ μὴ μεθύειν· ὅτε θεραπεῦσαι τὸν χωλόν· ὅτε δημηγορῆσαι, οὗτος πρὸ τῶν ἄλλων ἐστίν· ὅτε πρὸς τοὺς ἄρχοντας, οὗτος· ὅτε πρὸς Ἀνανίαν· ὅτε ἀπὸ τῆς σκιᾶς ἰάσεις ἐγίνοντο, οὗτος ἦν. Καὶ ἔνθα μὲν ἦν κίνδυνος, οὗτος· καὶ ἔνθα οἰκονομία· ἔνθα δὲ γαλήνης τὰ πράγματα γέμει, κοινῇ πάντες· [οὕτως] οὐκ ἀπῄτει τιμὴν μείζονα. [πάλιν] ὅτε θαυματουργῆσαι ἔδει, αὐτὸς προπηδᾷ· καὶ ἐνταῦθα πάλιν οὗτος πονεῖ δι᾽ ἑαυτοῦ, καὶ ὁδοιπορεῖ. Εὗρε δὲ ἐκεῖ ἄνθρωπόν τινα Αἰνέαν ὀνόματι, ἐξ ἐτῶν ὀκτὼ κατακείμενον ἐπὶ κραβάττῳ, ὃς ἦν παραλελυμένος. Καὶ εἶπεν αὐτῷ ὁ Πέτρος· Αἰνέα, ἰᾶταί σε ὁ Χριστὸς, ἀνάστηθι καὶ στρῶσον σεαυτῷ. Καὶ εὐθέως ἀνέστη. [Καὶ] διατί μὴ ἀνέμεινε τὴν πίστιν τοῦ ἀνδρὸς, μηδὲ ἠρώτησεν εἰ βούλοιτο θεραπευθῆναι; μάλιστα μὲν οὖν καὶ πρὸς πολλῶν παράκλησιν ἐγένετο τὸ θαῦμα. Ἄκουε γοῦν καὶ τὸ κέρδος ὅσον. [Ἐπάγει γὰρ λέγων] Καὶ εἶδον πάντες οἱ κατοικοῦντες Λύδδαν καὶ τὸν Ἀσσάρωνα, οἵτινες ἐπέστρεψαν ἐπὶ τὸν Κύριον. Καλῶς οὕτως εἶπεν· ἐπίσημος γὰρ ἦν ὁ ἀνήρ. Ὅθεν καὶ ἔλεγχον δίδωσι τοῦ σημείου, [τὸ ἆραι τὸν κράββατον.] Οὐ γὰρ δὴ τῶν νοσημάτων ἀπήλλαξε μόνον, ἀλλὰ μετὰ τῆς ὑγιείας παρεῖχεν αὐτῷ καὶ ἰσχύν. Ἄλλως δέ· καὶ τότε οὔπω ἦσαν τεκμήρια τῆς οἰκείας παρασχόντες δυνάμεως· ὥστε εἰκότως οὐκ ἀπῄτει τὴν πίστιν ὁ ἀνήρ. Ὥσπερ οὐδὲ τὸν χωλὸν ἀπῄτησαν, καθάπερ οὖν ὁ Χριστὸς ἀρχόμενος τῶν σημείων οὐκ ἀπῄτει πίστιν· οὕτως οὐδὲ οὗτοι. Ἐν Ἱεροσολύμοις μὲν γὰρ εἰκότως ἡ πίστις αὐτῶν πρότερον ἀπῃτεῖτο· ὅθεν καὶ διὰ πίστιν ὅσοι συνείχοντο ἀσθενείαις, ταῖς ὁδοῖς ἐξετίθεντο, ἵνα ἐρχομένου δὴ Πέτρου, κἂν ἡ σκιὰ ἐπισκιάσῃ τινὶ αὐτῶν· πολλὰ γὰρ ἐγίνετο ἐκεῖ σημεῖα· ἐνταῦθα δὲ τοῦτο πρῶτον συμβαίνει. Τὰ μὲν γὰρ τῶν σημείων ὑπὲρ τοῦ τοὺς ἄλλους ἐπισπάσασθαι ἐγίνετο· τὰ δὲ ὑπὲρ τῆς τῶν πιστευόντων παρακλήσεως. Ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια ὀνόματι Ταβιθά, ἣ διερμηνευομένη λέγεται Δορκάς. Αὕτη ἦν πλήρης ἀγαθῶν ἔργων, καὶ ἐλεημοσυνῶν ὧν ἐποίει. Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. Λούσαντες δὲ αὐτὴν, ἔθηκαν ἐν ὑπερῴῳ. Ἐγγὺς δὲ οὔσης Λύδδης τῇ Ἰόππῃ, οἱ μαθηταὶ ἀκούσαντες ὅτι Πέτρος ἐστὶν ἐν αὐτῇ, ἀπέστειλαν δύο ἄνδρας παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. Διατί περιέμειναν ἀποθανεῖν; διατί μὴ ἔσκυλλον Πέτρον καὶ πρὸ τούτου; ἀνάξιον ἡγοῦντο λοιπὸν φιλοσοφοῦντες ὑπὲρ τῶν τοιούτων τοὺς μαθητὰς σκύλλειν, καὶ τοῦ κηρύγματος περισπᾷν· ἐπεὶ καὶ διὰ τοῦτο λέγει, ὅτι ἐγγὺς ἦν, ὥστε δόξαι ὅτι ἐν τάξει παρέργου τοῦτο ᾔτουν· μαθήτρια γὰρ ἦν. Προηγουμένως δὲ οὐκέτι. Ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς· ὃν παραγενόμενον ἀνήγαγον εἰς τὸ ὑπερῷον. Οὐ παρακαλοῦσιν, ἀλλ᾽ αὐτῷ ἐπιτρέπουσιν, ἵν᾽ ἐξ ἑαυτοῦ τὴν ζωὴν αὐτῇ χαρίσηται. Οὕτως ἐνταῦθα πληροῦται τὸ, Ἐλεημοσύνη ῥύεται ἐκ θανάτου. Καὶ παρέστησαν αὐτῷ πᾶσαι αἱ χῆραι κλαίουσαι, καὶ ἐπιδεικνύμεναι χιτῶνας, καὶ ἱμάτια, ὅσα ἐποίει μετ᾽ αὐτῶν οὖσα ἡ Δορκάς. Ἔνθα περιέκειτο τεθνηκυῖα, τὸν Πέτρον ἀνάγουσι, τάχα οἰόμενοι πρὸς φιλοσοφίαν αὐτῷ τι χαρίζεσθαι. Εἶδες πόση ἐπίδοσις γέγονεν; Οὐχ ἁπλῶς δὲ πρόσκειται τὸ ὄνομα τῆς γυναικὸς, ἀλλ᾽ ἵνα μάθωμεν ὅτι φερώνυμος ἦν, οὕτως ἐγρηγορυῖα καὶ νήφουσα, ὥσπερ Δορκάς. Πολλὰ γὰρ καὶ οἰκονομικῶς ὀνόματα τίθεται, ὡς πολλάκις πρὸς ὑμᾶς εἴπομεν. Πλήρης, φησὶν, ἦν ἀγαθῶν ἔργων ὧν ἐποίει. Μέγα τῆς γυναικὸς τὸ ἐγκώμιον, εἴγε ἀμφότερα οὕτως ἐποίει, ὡς ἀμφοτέρων εἶναι πεπληρωμένην. Δῆλον δὲ ὅτι πρότερον ἐκείνων, καὶ τότε τούτου ἐποιεῖτο τὴν ἐπιμέλειαν. Ὅσα ἐποίει, φησὶ, μετ᾽ αὐτῶν ἡ Δορκὰς οὖσα. Πολλὴ ἡ ταπεινοφροσύνη. Οὐ γὰρ ὥσπερ ἡμεῖς, ἀλλὰ κοινῇ πάντες ἦσαν, πολὺν τῆς ἐλεημοσύνης ποιούμενοι λόγον. Καὶ ἐκβαλὼν ἔξω πάντας ὁ Πέτρος, θεὶς τὰ γόνατα προσηύξατο. Καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβιθὰ, ἀνάστηθι. Ἡ δὲ ἤνοιξε τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε. Τί δήποτε πάντας ἐκβάλλει; ὥστε μὴ συγχυθῆναι τοῖς δάκρυσι, μηδὲ διαταραχθῆναι.

Non enim quoniam pax erat, putabat nihil opus suo adventu. Et propter quid, inquit, hoc facit & novit, cum esset pax, & postquam Paulus abiit? Quia istos verebantur maximè, utpote sæpius commendatos, & multitudini admirabiles, illum autem contemnebant, & magis in eum duri erant. Vidisti quomodo pax bellum secuta? Imò vidisti quid fecerit bellum istud? Dispersit pacem facientes per Samariam, confusus est Simon in Judæa, Sapphira punita est. Igitur non quia pax erat, remissiora erant negotia, sed talis erat pax, ut & consolatione haberet opus. *Factum est cum Petrus transires per omnes, descendit etiam ad sanctos qui habitabant in Lydda.* Quemadmodum dux in exercitu obambulans considerabat quæ pars sit coadunata, quæ ornata, quæ suo adventu egeat. Vide ubique illum circumcursare, & primum inveniri. Quando eligendus Apostolus, hic primus: quando loquendum Judæis, non Apostolos esse ebrios: quando curandus claudus, quando concionandum, hic præ aliis est: quando agendum contra Principes, quando contra Ananiam, quando ab umbra sanationes fiebant, hic erat. Et ubi quidem erat periculum, hic: & ubi moderatio: ubi autem tranquillitate res erant plenæ, communiter omnes. Sic non exigit honorem majorem. Iterum quando fieri miracula opus erat, ipse prosilit. Et hic iterum ipse per se laborat, ac iter facit. *Invenit autem illic hominem quendam Æneam nomine ab octo annis decumbentem in lecto, qui erat Paralyticus. & dixit illi Petrus, Ænea, sanet te Christus: Surge, & sterne tibi ipsi. Et statim surrexit.* Et quare non expectavit fidem viri, neque interrogavit, vis sanus fieri? Maximè igitur ad multorum consolationem factum est hoc miraculum. Itaque audi quantum lucrum. Subdit enim dicens: *Et viderunt omnes qui habitabant Lyddam, & Assaronem: quotquot conversi erant ad Dominum.* Benè sic dixit. Insignis enim erat vir, unde argumentum dat signi, ut tollat lectum. Etenim non solùm ab infirmitatibus liberavi, sed etiam cum sanitate vires contuli. Et aliter: Et tunc nondum indicia suæ virtutis exhibuerant: & ita meritò non exigebatur à viro fides. Itaque quemadmodum Christus, incipiens à signis non exigebat fidem, sic neque illi. Nam in Hierosolymis quidem, meritò fides illorum prius exigebatur, unde & propter fidem, quotquot morbis obnoxii erant, in viis exponebantur, nempe *ut venientis Petri vel umbra quempiam illorum obumbraret*, multa enim facta erant illic signa. Supr. 5. 15. Hic autem hoc primum contigit. Nam signa quædam fiebant, ut allicerentur alii, quædam verò pro credentium consolatione. *In Joppe autem erat discipula quædam nomine Tabitha, quæ si interpretetur quis, dicitur Dorcas. Itaque hæc plena operibus bonis, & eleemosynis quas faciebat. Factum est autem in diebus illis, quod cum ægrotasset illa, mortua est. Lotam autem illam posuerunt in Cœnaculo. Quia autem propè erat Lydda Joppe, audientes discipuli quod Petrus esset in illa, miserunt duos viros obsecrantes, ne differat venire usque ad se.* Quare expectavit ut moreretur? quare non & ante hoc Petrus rogatus? Indignum censebant, pro talibus discipulos solicitos esse, & à prædicatione avellere. Quoniam & propter hoc dicit, *propè erat*: & ita monstrat quod ut rem supervacaneam hoc petiissent. *Discipula enim erat. Surgens autem Petrus venit cum illis. quem, ut venit, adduxerunt in cœnaculum.* Non orant, sed illi permittunt, ut à seipso vitam illi concedat. Ita hic impletur, quod *eleemosyna liberat a morte.* Tob. 4. 11. *Et steterunt circa illum omnes viduæ plorantes, & monstrantes tunicas, & vestes quas fecerat Dorcas, cum esset cum ipsis.* Ducunt Petrum eò ubi sita erat mortua, fortasse putantes aliquid illi ad doctrinam dari. Vidisti quantum augmentum factum? Non simpliciter autem datum est nomen mulieri, sed ut discamus quod ferret nomen ita vigilans ac sobria, ut Dorcas. Multa enim nomina singulari dispensatione indita sunt, ut sæpe vobis dixi. *Plena erat*, inquit, *operibus bonis & eleemosynis quas faciebat.* Magnum mulieris encomium, quandoquidem utraque sic faciebat, ut utrisque plena esset: manifestum autem quod primum illorum, etiam tunc hujus faciebat diligentiam. *Quæ fecerat*, inquit, *cùm Dorcas adhuc esset cum ipsis.* Multa humilitas: non enim sicut nos agebant, sed communiter omnes erant: Magnam eleemosynæ faciebat rationem. *Ejectis autem foras omnibus, Petrus positis genua ac oravit, & conversus ad corpus dixit: Tabitha, surge. Illa autem aperuit oculos suos, & viso Petro resedit.* Curnam *omnes ejecit*? plane ne lachrymis conturbetur, néve confundatur.

Et positis genibus oravit. Hoc indicium erat attentæ, & ordinatæ orationis. *Et apprehensa*, inquit, *manu.* Hic ostendit per partem vitam, deinde virtutem quæ inducebatur: illam per verbum, hanc per manum, *Data autem illi manu excitavit illam, & vocatis sanctis ac viduis commendavit illam viventem.* Aliis quidem ad consolationem, quòd accepissent sororem, & quod vidissent. *Notum autem factum est per totam Joppen, & multi crediderunt in Dominum. Factum est autem cum mansisset ille sat multis diebus in Joppe apud Simonem quendam coriarium.* Vide humilitatem ac mansuetudinem Petri, quòd non apud hanc manet, neque apud alium quendam insignem, sed *apud coriarium*: per omnia nos in humilitatem inducens, & neque viliores confundi permittens, qui & propter hoc censuit transeundum, quoniam illius doctrinæ opus habebant credentes. Videamus iterum quæ supra dicta. *Tentabat*, inquit, *adhærere discipulis.* Non impudenter accessisse, sed submissè. *Discipulos* autem vocat etiam eos, qui non erant in choro duodecim, eo quòd omnes tum propter eximiam virtutem *discipuli* vocabantur. Erat enim manifesta illorum imago. *Et omnes timebant illum*, inquit. Vide quomodo metuebant discipuli, quomodo adhuc metus vigebat. *Barnabas autem apprehensum illum duxit ad Apostolos, & narravit illis.* Mihi videtur Barnabas anteà illi fuisse amicus. Ideò & omnia narrat quæ illi contigerant. Nihil autem horum ille dicit: Opinor autem quod & ad alios hoc non protulisset posteà, nisi quædam fuisset necessitas. Et erat cum illis ingrediens in Hierusalem, & liberè loquens in nomine Domini Jesu. Hoc & aliis dabat fiduciam. Vides, & illic, & ibi alios parantes, & urgentes ut ille obiret, nusquam divini miraculi gratia illum frui. Itaque sic illius ostenditur alacritas, atque adeo non videtur mihi terrestre iter facere, sed etiam navigasse: & id quoque singulari dispensatione fit, ut ipse, & illic prædicet. Unde & insidiæ ab illis, & quod in Hierusalem venit, similiter singulari dispensatione factum est, ut credibilia magis sint quæ ei acciderant. *Loquebaturque & disputabat cum Græcis. Et habentes*, inquit, *pacem Ecclesiæ ædificabantur, & ambulabant in timore Domini*: hoc est, creverunt, & etiam inter seipsas veram habebant pacem. Meritò: nam multum afflixerat eos externum bellum. *Et consolatione Spiritus sancti implebantur.* Consolabatur illos Spiritus, & per miracula, & per opera, & absque illis unumquemque per se. *Factum est autem cum Petrus transisset, ut descenderet in Lyddam. Invenit illic hominem decumbentem, ac dixit illi: Ænea, sanet te Jesus Christus.* Non hoc ostentantis, sed fidentis verbum est, quòd futurum esset. Mihi autem videtur quòd hic verbo credidit infirmus, & factus est sanus. Quod autem absque fastu sit, manifestum etiam ex sequentibus. Non enim dixit: In nomine Jesu. Verum ut signum magis istud narrat. *Viderunt autem qui habitabant Lydda, & conversi sunt ad Dominum.* Itaque non frustra dixi, ut persuaderentur, & consolationem acciperent, facta esse miracula. *In Joppe autem erat discipula quædam*, inquit, *nomine Tabetha. Factum est autem in diebus illis, quod illa infirma facta mortua est.* Vides ubique signa fieri? non simpliciter mortua est, sed cum diu infirma fuisset. Ideò & Petrum non vocant, donec defuncta est. Ubi verò audierunt discipuli, *miserunt obsecrantes ne differret transire usque ad ipsos.* Vide, per alios mittunt ac vocant. Ille autem obtemperat ac venit: neque pro indignitate habet vocatum esse. Tam magnum bonum est afflictio. Hoc conjungit animas nostras. Nusquam infirmitas illic, nusquam lamentum. *Lotam illam*, inquit, *posuerunt in cœnaculo.* Hoc est, omnia curarunt quæ solent apud mortuum fieri. *Surgens autem Petrus, venit cum illis, & ascendens in cœnaculum positis genibus oravit, conversusque ad corpus dixit: Tabetha, surge.* Non omnia permittit Deus eadem facilitate fieri. Hoc autem illis prodest. Non enim solum curabat salutem aliorum, sed etiam illorum. Enimvero qui tot curarat umbrâ nunc tanta

Supr. 5, 15.

facit ad excitandam illam. Interdum etiam fides accedentium cooperatur. Hanc igitur primam mortuam excitat, vocans nomine. Quæ & quasi *ex somno expergefacta*, *primum aperuit oculos: deinde statim conspecto Petro resedit*, & tandem contactu manus firmatur. Tu autem, oro, vide lucrum, quomodo iterum fructus sit, & non ad ostentationem. Sanè propter hoc & omnes foras ejicit, magistrum etiam in hoc imitans. Ubi enim lachrymæ, tale mysterium perfici non debet: imò ubi miracula, ibi abesse decet lachrymas.

καὶ θεὶς τὰ γόνατα προσηύξατο. τοῦτο δεῖγμα ἐπιτεταμένης εὐχῆς. καὶ κρατήσας, φησὶ, τῆς χειρός. ἐνταῦθα δείκνυσι κατὰ μέρος τὴν ζωὴν, εἶτα τὴν δύναμιν εἰσαγομένην· τὴν μὲν διὰ τοῦ ῥήματος· τὴν δὲ διὰ τῆς χειρός. δοὺς δὲ αὐτῇ χεῖρα, ἀνέστησεν αὐτήν. καὶ φωνήσας τοὺς ἁγίους καὶ τὰς χήρας, παρέστησεν αὐτὴν ζῶσαν· τοὺς μὲν εἰς παράκλησιν, ὅτι τε ἀπέλαβον τὴν ἀδελφὴν, καὶ ὅτι θαῦμα εἶδον· τοὺς δὲ εἰς προστασίαν. γνωστὸν δὲ ἐγένετο καθ' ὅλης τῆς Ἰόππης, καὶ πολλοὶ ἐπίστευσαν ἐπὶ τὸν Κύριον. ἐγένετο δὲ ἡμέρας ἱκανὰς μεῖναι αὐτὸν ἐν Ἰόππῃ παρά τινι Σίμωνι βυρσεῖ. ὅρα τὸ ἄτυφον τοῦ Πέτρου, καὶ τὸ ἐπιεικές· πῶς οὐ παρὰ ταύτῃ μένει, οὐδὲ παρὰ ἄλλῳ τινὶ τῶν ἐπισήμων, ἀλλὰ παρὰ βυρσεῖ, διὰ πάντων εἰς ταπεινοφροσύνην ἐνάγων· [καὶ] οὔτε τοὺς εὐτελεῖς αἰσχύνεσθαι ἀφιεὶς, οὔτε τοὺς μεγάλους ἐπαίρεσθαι. [ὃς καὶ διὰ τοῦτο ᾤετο δεῖν διελθεῖν, ἐπειδὴ τῆς αὐτοῦ διδασκαλίας ἐδέοντο οἱ πιστεύσαντες. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐπειρᾶτο, φησὶ, κολλᾶσθαι τοῖς μαθηταῖς. οὐκ ἀναισχύντως προσελθεῖν, ἀλλ' ὑπεσταλμένως. μαθητὰς δὲ καλεῖ, καὶ τοὺς μὴ τελοῦντας εἰς τὸν χορὸν τῶν δώδεκα· διὸ καὶ μαθηταὶ πάντες ἐκαλοῦντο τότε διὰ τὴν πολλὴν ἀρετήν. ἦν γὰρ ἡ εἰκὼν τῶν μαθητῶν δήλη. καὶ πάντες ἐφοβοῦντο αὐτὸν, φησίν. ὅρα πῶς ἐφοβοῦντο τοὺς κινδύνους· πῶς ἔτι τὸ δέος ἐνήκμαζε. Βαρνάβας δὲ ἐπιλαβόμενος αὐτὸν, ἤγαγε πρὸς τοὺς Ἀποστόλους, καὶ διηγήσατο αὐτοῖς. ἐμοὶ δοκεῖ ὁ Βαρνάβας ἄνωθεν αὐτῷ εἶναι φίλος· διὸ καὶ πάντα διηγεῖται τὰ κατ' αὐτόν. οὐδὲν δὲ τούτων αὐτὸς λέγει· οἶμαι δὲ ὅτι καὶ εἰς τοὺς ἄλλους οὐκ ἂν ἐξήνεγκεν ὕστερον, εἰ μή τις ἀνάγκη γέγονεν αὐτῷ. καὶ ἦν μετ' αὐτῶν εἰσπορευόμενος εἰς Ἱερουσαλὴμ, καὶ παρρησιαζόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ. τοῦτο καὶ τοῖς ἄλλοις ἐδίδου θαρρεῖν. ὁρᾷς καὶ ἐκεῖ καὶ ἐνταῦθα τοὺς ἄλλους προθυμουμένους, καὶ κατασκευάζοντας, ὥστε αὐτὸν ἀπελθεῖν, καὶ οὐδαμοῦ τίνος ἀπολαύοντα αὐτὸν θείας ῥοπῆς; οὕτω γοῦν αὐτῷ δείκνυται καὶ τὸ σφοδρόν. ὥστε οὐ διὰ γῆς ἐμοὶ δοκεῖ τὴν πορείαν αὐτὸν ποιεῖσθαι, ἀλλὰ καὶ ἐπλεύσεν. καὶ τοῦτο δὲ οἰκονομικῶς γίνεται, εἰς τὸ αὐτὸν καὶ ἐκεῖ κηρύξαι. ὅθεν καὶ αἱ ἐπιβουλαὶ ὑπὲρ αὐτοῦ, καὶ τὸ εἰς Ἱεροσόλυμα ἐλθεῖν οἰκονομικῶς· ἵνα μηδὲν ἄπιστον ᾖ τὰ κατ' αὐτόν. ἐλάλει τε καὶ συνεζήτει πρὸς τοὺς Ἑλληνιστάς. καὶ εἶχον, φησὶν, εἰρήνην αἱ ἐκκλησίαι οἰκοδομούμεναι, καὶ πορευόμεναι τῷ φόβῳ τοῦ Κυρίου. τουτέστιν· ηὔξησαν, καὶ τὴν εἰρήνην αὐτῶν ὄντως πρὸς ἑαυτὰς τὴν ὄντως εἰρήνην. εἰκότως. σφόδρα γὰρ αὐτοὺς ὁ πόλεμος ἐκάκωσεν ὁ ἔξωθεν. καὶ τῇ παρακλήσει τοῦ ἁγίου πνεύματος ἐπληθύνοντο. παρεκάλει αὐτοὺς τὸ πνεῦμα, καὶ διὰ τῶν θαυμάτων, καὶ διὰ τῶν ἔργων· καὶ χωρὶς δὲ τούτων, καὶ καθ' ἑαυτὸν ἕκαστον. ἐγένετο δὲ Πέτρον διερχόμενον, κατελθεῖν πρὸς Λύδδαν. εὗρε δὲ ἐκεῖ ἄνθρωπον παραλελυμένον, καὶ εἶπεν αὐτῷ· Αἰνέα, ἰᾶταί σε Ἰησοῦς ὁ Χριστός. οὐκ ἐπιδεικνυμένου τὸ ῥῆμα, ἀλλὰ θαρροῦντος ὅτι ἔσται. ἐμοὶ δὲ σφόδρα δοκεῖ ὅτι τούτῳ ἐπίστευσε τῷ ῥήματι ὁ ἀσθενῶν, καὶ γέγονεν ὑγιής. ὅτι δὲ ἄτυφος, καὶ ἐκ τῶν ἑξῆς δῆλον. οὐ γὰρ εἶπεν, ἐν τῷ ὀνόματι Ἰησοῦ· ἀλλ' ὡς σημεῖον μᾶλλον αὐτὸ διηγεῖται. εἶδον δὲ οἱ κατοικοῦντες Λύδδαν, καὶ ἐπέστρεψαν ἐπὶ Κύριον. ἄρα οὐ μάτην ἔλεγον, εἰς τὸ πεῖσαι καὶ παρακαλέσαι τὰ θαύματα ἐτελεῖτο. ἐν Ἰόππῃ δέ τις ἦν μαθήτρια, φησὶν, ὀνόματι Ταβηθά. ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἀσθενήσασαν αὐτὴν ἀποθανεῖν. εἶδες πανταχοῦ τὰ σημεῖα γινόμενα; οὐχ ἁπλῶς ἀπέθανεν ἡ Ταβηθὰ, ἀλλ' ἐν ἀρρωστίᾳ γενομένη. διὸ καὶ οὐ καλοῦσι Πέτρον, ἕως ὅτε ἐτελεύτησεν. ἀκούσαντες δὲ οἱ μαθηταὶ, ἀπέστειλαν παρακαλοῦντες μὴ ὀκνῆσαι διελθεῖν ἕως αὐτῶν. ὅρα, δι' ἑτέρων πέμπουσι καὶ καλοῦσιν· ὁ δὲ πείθεται καὶ ἥκει· οὐχ ὕβριν τὸ πρᾶγμα νομίζων τὸ κληθῆναι. οὕτω μέγα ἡ θλίψις ἀγαθόν. τοῦτο συγκροτεῖ τὰς ἡμετέρας ψυχάς. οὐδαμοῦ κοπετὸς ἐκεῖ· οὐδαμοῦ θρῆνος. λούσαντες αὐτὴν, φησὶν, ἔθηκαν ἐν ὑπερῴῳ· τουτέστι, τὰ ἐπὶ νεκρῷ πάντα ἐποίησαν. ἀναστὰς δὲ Πέτρος συνῆλθεν αὐτοῖς, καὶ ἀνελθὼν εἰς τὸ ὑπερῷον, θεὶς τὰ γόνατα προσηύξατο. καὶ ἐπιστρέψας πρὸς τὸ σῶμα εἶπε· Ταβηθὰ, ἀνάστηθι· οὐ πάντα συγχωρεῖ ὁ Θεὸς μετὰ τῆς αὐτῆς εὐκολίας τὰ σημεῖα ἐργάζεσθαι. τοῦτο δὲ αὐτοὺς ὠφέλει. οὐ γὰρ δὴ μόνον τῆς τῶν ἄλλων ἐφρόντιζε σωτηρίας, ἀλλὰ καὶ τῆς αὐτῶν. ὁ γοῦν τῇ σκιᾷ τοσούτους θεραπεύων, πῶς νῦν τοιαῦτα πρὸς τὸ ἐξαναστῆσαι ποιεῖ. ἔστι δὲ ὅπου καὶ ἡ πίστις τῶν προσιόντων συνήργει· ταύτην οὖν πρώτην νεκρὰν ἀνίστησι, καλῶν ἐξ ὀνόματος· ἡ καὶ ὥσπερ ἐξ ὕπνου ἐγερθεῖσα, πρῶτον ἤνοιξε τοὺς ὀφθαλμούς· εἶτα εὐθὺς ἰδοῦσα τὸν Πέτρον ἀνεκάθισε· καὶ τελευταῖον ἀπὸ τῆς χειρὸς τῆς ἁφῆς στηρίζεται. σὺ δέ μοι σκόπει τὸ κέρδος, πῶς πάλιν, καὶ τὸν καρπὸν οὐ πρὸς ἐπίδειξιν ὄντα. διὰ τοῦτο [γοῦν] καὶ ἐκβάλλει πάντας ἔξω· τὸν διδάσκαλον κἀν τούτῳ μιμούμενος. ἔνθα γὰρ δάκρυα, τοιοῦτον μυστήριον οὐ δεῖ τελεῖσθαι· μᾶλλον δὲ ἔνθα θαύματα, οὐ δεῖ δάκρυα παρεῖναι.

ἀκύ-

A ἀκούσατε παρακαλῶ· εἰ καὶ μὴ τοιοῦτόν τι γίνεται, ἀλλὰ καὶ ἐν τοῖς νῦν νεκροῖς μέγα τελεῖται μυστήριον. εἰπὲ δή μοι. εἰ καθημένων ἡμῶν ἔπεμψεν ὁ βασιλεύς τινα καλῶν εἰς τὰ βασίλεια, κλαίειν ἔδει καὶ θρηνεῖν; ἄγγελοι πάρεισιν ἐξ οὐρανῶν ἀπεσταλμένοι κἀκεῖθεν ἥκοντες, παρ' αὐτοῦ πεμφθέντες τοῦ βασιλέως τὸν σύνδουλον καλέσαι τὸν αὐτοῦ· καὶ σὺ κλαίεις; οὐκ οἶδας οἷον μυστήριόν ἐστι τὸ γινόμενον; πῶς φρικτὸν καὶ φοβερόν· καὶ ὕμνων ἄξιον ὄντως καὶ χαρᾶς; βούλει μαθεῖν, ἵνα εἰδῇς ὅτι οὐκ ἔστι δακρύων ὁ καιρός; τὸ τοῦ Θεοῦ σοφίας μέγιστόν ἐστι τοῦτο μυστήριον. ὥσπερ γάρ τινα οἰκίαν ἀφεῖσα πρόεισιν B ἡ ψυχὴ πρὸς τὸν ἑαυτῆς ἐπειγομένη δεσπότην· σὺ δὲ πενθεῖς; οὐκοῦν καὶ τικτομένου τοῦ παιδίου τοῦτο ποιεῖν ἐχρῆν· καὶ γὰρ τοῦτο τόκος ἐστὶν, ἐκείνου βελτίων. πρόεισι γὰρ ἐφ' ἕτερον φῶς. ἀπολύεται ὥσπερ ἀπὸ δεσμωτηρίου τινός· ὡς ἀπὸ ἀγῶνος ἔξεισι. ναί, φησιν; ἐπὶ μὲν τῶν εὐδοκίμων, καλῶς ταῦτα λέγεις. καὶ τί πρός σε ἄνθρωπε; σὺ γὰρ οὐδὲ ἐπὶ εὐδοκίμων τοῦτο ποιεῖς. εἰπὲ δή μοι· τί τοῦ παιδίου κατα- C γνῶναι ἔχοις ἂν τοῦ μικροῦ; τίνος ἕνεκεν πενθεῖς αὐτό; τί τοῦ νεοφωτίστου; καὶ γὰρ καὶ ἐκεῖνος εἰς τὸ αὐτὸ πρόεισι. τίνος [οὖν] ἕνεκεν πενθεῖς αὐτόν; οὐκ οἶδας, ὅτι καθάπερ ἥλιος καθαρὸς ἄνεισιν· οὕτω καὶ ψυχὴ σῶμα ἀπολείπουσα μετὰ καθαροῦ συνειδότος λαμπρὰ φαιδρύνεται; οὐχ οὕτω βασιλέα ἐπιβαίνοντα πόλεως μετὰ τοσαύτης ἐστὶ σιγῆς ἰδεῖν, ὡς ψυχὴν ἀφεῖσαν σῶμα, καὶ μετὰ ἀγγέλων ἀπιοῦσαν. ἐννόησον τίς ἐστιν ἡ ψυχή, ἐν οἵᾳ τότε ἐκπλήξει γίνεται· ἐν οἵῳ D θαύματι, ἐν οἵᾳ ἡδονῇ; τί πενθεῖς, εἰπέ μοι; μὴ γὰρ ἐπὶ ἁμαρτωλῶν τοῦτο μόνον ποιεῖς; εἴθε τοῦτο ἦν, καὶ οὐκ ἂν ἐκώλυσα τὰ πένθη. εἴθε τοιοῦτος ὁ σκοπὸς ἦν. οὗτος ὁ θρῆνος ἀποστολικός· οὗτος ὁ θρῆνος καὶ δεσποτικός. ἔκλαυσε γὰρ καὶ Ἰησοῦς τὴν Ἱερουσαλήμ. ἐβουλόμην τούτῳ διηρῆσθαι τῷ νόμῳ τὰ πένθη. ὅταν δὲ ἀνακαλούμενος ῥήματα λέγῃς, καὶ συνήθειαν, καὶ προστασίαν, οὐχὶ διὰ τοῦτο πενθεῖς, ἀλλὰ σκόπει; πένθησον, στέναξον τὸν ἁμαρτωλόν· καὶ ἐγὼ καταχέω δάκρυα· E καὶ ἐγὼ σοῦ μᾶλλον, ὅσῳ καὶ μείζονι τιμωρίᾳ ὑπεύθυνος ὁ τοιοῦτος. [καὶ] ἐγὼ θρηνήσω μετὰ τοιούτου σκοποῦ. οὐ σὲ δὲ μόνον τὸν τοιοῦτον δεῖ θρηνεῖν· ἀλλὰ καὶ τὴν πόλιν ἅπασαν, καὶ τοὺς ἀπαντῶντας, καθάπερ τοὺς ἐπὶ θάνατον ἀπαγομένους. ὄντως γὰρ θάνατος οὗτός ἐστι πονηρός, ὁ τῶν ἁμαρτωλῶν. ἀλλὰ τὰ ἄνω κάτω γέγονεν. οὗτος ὁ θρῆνος, καὶ φιλοσοφίας ἐστὶ, καὶ διδασκαλίαν ἔχει πολλήν. ἐκεῖνος δὲ μικροψυχίας. εἰ ἐθρηνοῦμεν τοῦτον τὸν θρῆνον ἅπαντες, ζῶν- A τας ἂν αὐτοὺς διωρθωσάμεθα. ὥσπερ οὖν εἰ κύριος ἦς φάρμακα ἐπενεγκεῖν κωλύοντα τὸν θάνατον ἐκεῖνον τὸν σωματικόν, ἐποίησας ἄν· οὕτω καὶ νῦν, εἰ [γε] τοῦτον ἐθρήνεις τὸν θάνατον, ἐκώλυσας ἂν καὶ ἐπὶ σοῦ, καὶ ἐπ' ἐκείνου τοῦτο γενέσθαι. νῦν δὲ αἴνιγμά ἐστι τὸ γινόμενον· κυρίους μὲν ὄντας, μὴ συγχωρῆσαι τοῦτον ἐπελθεῖν, ἀφεῖναι γενέσθαι· γενόμενον δὲ πενθεῖν. ὄντως θρήνων ἄξιοι, ὅταν παραστῶσι τῷ βήματι τοῦ Χριστοῦ, οἷα ἀκούσονται ῥήματα; οἷα πείσονται B πράγματα; εἰκῇ ἔζησαν οὗτοι· μᾶλλον δὲ οὐκ εἰκῇ, ἀλλὰ καὶ ἐπὶ κακῷ. καὶ ἐπὶ τούτων εὔκαιρον εἰπεῖν· Συμφέρον ἦν αὐτοῖς εἰ οὐκ ἐγεννήθησαν. τί γὰρ ὄφελος, εἰπέ μοι, τοσοῦτον ἀναλῶσαι χρόνον ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς; εἰ γὰρ εἰκῇ μόνον ἀνήλωτο, οὐκ ἂν ἤρκεσεν ἡ ζημία. εἰπέ μοι, εἴ τις μισθωτὸς γενόμενος εἴκοσι ἔτη κατακόπτοιτο εἰκῇ, οὐ κλαύσεται καὶ θρηνήσει, καὶ δόξει πάντων ἐλεεινότερος εἶναι; καὶ οὗτος πᾶσαν τὴν ζωὴν εἰκῇ κατέ- C κοψε; οὐδὲ μίαν ἡμέραν ἔζησεν ἑαυτῷ, ἀλλὰ τῇ τρυφῇ, τῇ ἀσελγείᾳ, τῇ πλεονεξίᾳ, τῇ ἁμαρτίᾳ, τῷ διαβόλῳ. τοῦτον οὖν οὐ θρηνήσομεν, εἰπέ μοι; οὐ πειρασόμεθα τῶν κινδύνων ἐξαρπάσαι; ἔστι γὰρ, ἔστιν, ἐὰν θέλωμεν κούφην αὐτῷ γενέσθαι τὴν κόλασιν. ἂν οὖν εὐχὰς ὑπὲρ αὐτοῦ ποιῶμεν συνεχεῖς· ἂν ἐλεημοσύνην διδῶμεν· κἂν ἐκεῖνος ἀνάξιος ᾖ, ἡμᾶς ὁ Θεὸς δυσωπηθήσεται. εἰ διὰ Παῦλον ἑτέρους διέσωσε, καὶ δι' ἄλλων φείδεται· πῶς οὐχὶ καὶ D δι' ἡμᾶς τὸ αὐτὸ τοῦτο ἐργάσεται; ἐκ τῶν ἐκείνου χρημάτων, ἐκ τῶν σῶν, ὅθεν ἂν θέλῃς βοήθησον· ἐπίσταξον ἔλαιον, μᾶλλον δὲ ὕδωρ. οὐκ ἔχει ἐλεημοσύνας οἰκείας ἐπιδείξασθαι, κἂν συγγενικάς. οὐκ ἔχει τὰς ὑπ' αὐτοῦ γεγενημένας, κἂν τὰς ὑπὲρ αὐτοῦ. οὕτω μετὰ παρρησίας αὐτὸν παραστήσεται τότε ἡ γυνή, λύτρον ὑπὲρ αὐτοῦ καταθεμένη. ὅσῳ πλειόνων γέγονεν ἁμαρτημάτων ὑπεύθυνος, τοσούτῳ μείζονος αὐτῷ δεῖ τῆς ἐλεημοσύνης. οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ὅτι οὐδὲ ἴσην ἔχει τὴν ἰσχὺν [νῦν,] ἀλλ' ἐλάττω πολλῷ. οὐ E γάρ ἐστιν ἴσον αὐτόν τινα ποιῆσαι, καὶ ἕτερον ὑπὲρ αὐτοῦ. ὡς οὖν ἐλάττονος οὔσης, οὕτω τῷ πλήθει μεγίστην ποιῶμεν αὐτήν. μὴ περὶ σήματα, μὴ περὶ ἐντάφια ἀσχολώμεθα. παράστησον χήρας· τοῦτο ἐντάφιον μέγιστον. εἰπὲ τοὔνομα· πάσας κέλευσον ὑπὲρ αὐτοῦ ποιεῖσθαι τὰς δεήσεις, καὶ τὰς ἱκετηρίας. δυσωπήσει τοῦτο τὸν Θεόν, εἰ καὶ μὴ ὑπ' αὐτοῦ, ἀλλὰ δι' αὐτὸν ἕτερος αἴτιος γίνεται τῆς ἐλεημοσύνης,

A Audite oro, quamvis non tale quiddam fit, sed in his qui nunc mortui, magnum perficitur Sacramentum. Dic autem oro, si sedentibus nobis mittat Rex quendam, vocans in regna: plorandúmne erit ac lachrymandum? Angeli è cœlo veniunt, illinc missi ab ipso Rege, ut conservum suum vocent, & tu ploras: Non vides quale Sacramentum est, quòd fit? quàm terribile ac horrendum, & verè hymnis ac gaudio dignum. Vis discere, ut scias quod non sit lachrymarum tempus? Hoc divinæ sapientiæ maximum est mysterium. Nam B quemadmodum domo sua relicta pergit anima ad suum festinans maritum ac Dominum, tu autem luges? Itaque & nato puero hoc facere oportebat. Etenim hic partus illo melior. Vadit enim ad aliam lucem, solvitur quasi à vinculo quodam, & quasi à certamine egreditur. Etiam, inquit, de probatissimis rectè, hæc dicit. Et quid ad te homo? Tu enim hoc neque apud probatissimos agis. Dic oro mihi, cur de puello poteris C desperare, cujus gratia luges illum? Cur nuper illum natum? Etenim sicut ille, ita & iste se habet. Quare igitur luges illum? Nescis quod sicut sol mundus ascendit, ita & anima relinquens corpus cum pura conscientia fulget clarè? Non cum tanto silentio videri potest Rex ascendens in civitatem, ut anima quæ reliquit corpus, & cum Angelis abit. Intellige quæ sit anima, in quanto tunc stupore sit, in quanta admiratione, & voluptate. Quid luges, dic oro? Non enim D in peccatoribus hoc solùm facis. Utinam hoc esset, & non prohiberem. luctus Apostolicus est hic luctus, & Dominicus. Ploravit enim & Jesus Hierusalem. Vellem hac lege discerni luctus. Luc. 19, 41.
Quando autem revocans naturam dicis, & consuetudinem, & curam: Nónne propter hoc luges? sed considera. Luge, plora peccatorem, & ego deducam lachrymas, & ego magis quam tu: quanto & majore supplicio obnoxius ille, & ego plorabo tali animo. E Non te autem solùm oportet plorare, sed & civitatem totam, & omnes occurrentes, tanquam eos qui ad mortem ducuntur. Verè enim mors illa mala est, mors peccatorum, & omnia confudit. Hic luctus sapientiæ est, multamque habet doctrinam? ille autem pusillanimitatis. Si sic luxissemus omnes viventes, illos emendassemus. Igitur si posses prohibere afferentem remedia, fecisses mortem illam corporalem: ita & nunc siquidem hanc luxisses mortem, prohibuisses certè & super illo fieri. Nunc autem ænigma est A quod fit, quum sint multi qui possent non permittere hunc accedere, & demittere ut fiat, ut autem facta fuerit, lugere. Verè lachrymis digni, quando assistent tribunali Christi, qualia audient verba? Quantas res patientur? Frustra vixerunt hi, immò non frustra, sed etiam in malum. Et de illis diceretur: *Utile erat illis si non fuissent nati.* Quæ enim Marc. 14, 21.
utilitas dic oro, tantum insumere tempus in malum tui ipsius B capitis? Nam si frustra solum insumptum esset, non satis fuisset damni. Dic oro, si quis mercenarius factus, viginti annos perdat, frustra non plorabit, & lachrymabitur, & videbitur omnium miserrimus? Et hic quantum vitæ frustra insumpsit, neque unum diem vixit sibi, sed voluptati, luxuriæ, avaritiæ, peccato, diabolo? Hoc igitur non plorabimus, dic oro? non tentabimus, nos ab his periculis eripere? Est enim si voluerimus illi leve facere suppli- C cium. Itaque si preces pro illo faciamus continuas, si eleemosynam damus, & si ille indignus sit, nobis Deus placatior erit. Si per Paulum alios servavit, & per alios aliis parcit: quomodo non & propter nos istue ipsum faciet? Ex Infr. 27, 24.
illius opibus, ex tuis, unde volueris, juva: instilla oleum, immo aquam: non potest suas eleemosynas ostentare, licet cognatorum. Non habet eas quæ factæ sunt à se, tametsi factas pro se. Ita cum fiducia illum deprecabitur tunc mulier, pretium redemptionis pro illo de- D ponens: quò pluribus peccatis fuit obnoxius, hoc magis opus est illi eleemosyna. Non propter hoc autem solùm, sed quod neque æqualem habet vim nunc, sed multò minorem. Non est autem par, quod quis ipse facit: & quod per alium facit. Itaque quum minor sit, ita multitudine maximam faciamus illam, non circa sepulchra occupati simus. Assiste viduas. Hæc erit sepulchralis cura maxima. Dic nomen. omnes jube pro E illo facere supplicationes, & preces, placabit hoc Deum, etiam si non ab ipso factum sit: sed propter illum alius author sit eleemosynæ. Et hoc

Et hoc dogma est divinæ misericordiæ. Viduæ circumstantes A & lachrymantes, non solùm à præsenti, sed etiam à futura possunt eripere morte. Multi etiam utilitatem acceperunt ex eleemosynis ab aliis pro se factis: nam licèt non perfectam, attamen consolationem quandam invenerunt. Quoniam si hoc non est, quomodo pueri servantur: quamvis certè illi nihil afferunt, sed parentes totum: & mulieribus donati sunt sæpius pueri? Multas nobis Deus salutis dedit vias, modò ne negligamus. Quid igitur si quis pauper fuerit, inquit? Ite- B rum dicam, multitudo eleemosynæ non ex his quæ dantur, judicatur solùm, sed etiam ex voluntate: Modò ne des minus quàm facultas tua potest, & totum exquisiveris. Quid igitur si solitarius fuerit, & peregrinus, & nullum habeat? Quare enim nullum habet, dic oro? Hoc illo dat pœnam, quod nullum ita amicum, ita virtute præditum habet. Itaque hoc fiet, ut licet ipsi non simus virtute præditi, curemus socios, & amicos virtute præditos habere, & mulierem & filium quasi C fructum quendam etiam per illos habentes, parvum quidem fructum habentes, attamen aliquem: si curaveris, non divitem, sed frugalem uxorem ducere, hac consolatione frueris. Similiter si operam dederis, ne divitem filium relinquas, sed pium, ac filiam honestam: & sic hac frueris consolatione, si hæc curaveris, & talis eris. Et hæc pars virtutis est, quod tales elegeris & amicos, & uxorem, ac filios. Non frustra eleemosynæ. Hæc omnia spiritus disposuit, volens ut nos D mutuum juvemus. Vide enim; utilitatem accipiet ille per te, & tu per illum, contemptis opibus inductus ad faciendum aliquid generosum: & tu illi salutis, ipse verò tibi eleemosynæ factus est author. Ne dubita, quia erit aliquis fructus suavis. Non simpliciter minister clamat, pro his qui defuncti sunt in Christo, & pro his qui illorum memoriam faciunt. Non Diaconus est qui talem illam vocem emittit, sed spiritus: non sanctus, inquam, sed donum. Quid dicis? In ma- E nibus est hostia, & omnia proposita sunt benè ordinata, adsunt Angeli, adsunt Archangeli, adest filius Dei, cum tanto horrore astant omnes, astant illi clamantes omnibus silentibus, & putas simpliciter hæc fieri? Igitur & alia simpliciter, & quæ pro Ecclesia, & quæ pro Sacerdotibus offeruntur, & quæ pro multitudine ac ubertate? Absit. Sed omnia cum fide fiunt. Quid putas pro martyribus offerri quod vocantur in illa hora, licet martyres sint, etiam pro martyribus magnus honor nominari Domino præsente, dum mors illa perficitur, & horrendum sacrificium, & ineffabilia Sacramenta. Nam quasi sedente rege quæcunque voluerit, perficit: ut autem surrexerit, quæcunque dicit, frustra dicit. Ita & nunc quamdiu proposita fuerint mysteria, omnibus honor maximus in memoria haberi. Vide enim: Annunciatur tunc Sacramentum horrendum quod pro mundo dedit seipsum Deus, cum illo miraculo tempestivè memor est ille eorum qui peccarunt. Sicut enim quando regum tropæa statuuntur, tunc celebrantur quidem, & quicunque victoriæ socii fuerunt: dimittuntur autem qui sunt in vinculis per illud tempus, qui nihil assequutus est, nihil obtinet: ita sanè & hic. Tropæorum & celebrandæ victoriæ tempus est. *Quoties enim*, inquit, *manducatis panem hunc, mortem Domini annunciate.* Itaque ne simpliciter accedamus, neque fortuitò hæc fieri putemus. Et aliter: Martyrum memores sumus, & hoc in fidem quod non mortuus adhuc est Dominus: idque quia devicit, & occidit mortem, signum factum esse illum mortuum. Hæc scientes consideremus, quantas consolationes possemus mortuis, pro monumentis, præstare: nempe eleemosynas, preces, orationes, ut & illi & nos assequamur promissa bona, gratia & misericordia unigeniti Filii, cum quo Patri simul sanctoque Spiritui gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

1. Cor. 11, 26.

A καὶ τοῦτο [δόγμα] τῆς τοῦ Θεοῦ φιλανθρωπίας ἐστί. χῆραι περιεστῶσαι καὶ δακρύουσαι, οὐχὶ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος δύνανται ἐξαρπάσαι θανάτου. πολλοὶ καὶ [ἐκ] τῶν ἐφ' ἑτέρων δι' αὐτοὺς γεγενημένων ἐλεημοσυνῶν ἀπώναντο. εἰ γὰρ καὶ μὴ τέλεον, ἀλλ' ὅμως παραμυθίαν εὗρόν τινα. ἐπεὶ εἰ μὴ τοῦτό ἐστι, πῶς τὰ παιδία σώζεται; καίτοιγε ἐκεῖ οὐδὲν αὐτὰ εἰσφέρει, ἀλλ' οἱ γονεῖς τὸ πᾶν· καὶ γυναιξὶν ἐχαρίσθη παιδία πολλάκις, οὐδὲν αὐτὰ εἰσε- B νεγκόντα. πολλὰς ἡμῖν ὁ Θεὸς τοῦ σώζεσθαι δέδωκεν ὁδούς, μόνον μὴ ἀμελῶμεν. τί οὖν, ἄν τις πένης ᾖ, φησί; πάλιν ἐρῶ, τὸ πολὺ τῆς ἐλεημοσύνης, οὐκ ἐκ τῶν διδομένων κρίνεται μόνον, ἀλλὰ καὶ ἐκ τῆς προαιρέσεως. μόνον μὴ δῷς ἔλαττον τῆς δυνάμεως, καὶ τὸ πᾶν ἐξήνυσας. τί οὖν, φησι. ἂν ἔρημος ᾖ καὶ ξένος, καὶ μηδένα ἔχῃ· διατί γὰρ μηδένα ἔχει, εἰπέ μοι; τοῦτο αὐτὸ δίδωσι δίκην, ὅτι μηδένα οὕτω φίλον, οὕτως ἐνάρετον ἔχει. τοῦτο οὖν γίνεται, ἵνα κἂν αὐτοὶ μὴ ὦμεν C ἐνάρετοι σπουδάζωμεν ἑταίρους, καὶ φίλους ἐναρέτους ἔχειν, καὶ γυναῖκα, καὶ υἱόν, ὡς καρπούμενοί τι καὶ δι' αὐτῶν· μικρὸν μὲν καρπούμενοι, καρπούμενοι δὲ ὅμως. ἂν σπουδάσῃς μὴ πλουτοῦσαν, ἀλλ' εὐλαβῆ γυναῖκα ἀγαγέσθαι, ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. [ὁμοίως] ἂν σπουδάσῃς μὴ πλουτοῦντα υἱὸν καταλιπεῖν, ἀλλ' εὐλαβῆ, καὶ θυγατέρα σεμνὴν, [καὶ οὕτω] ταύτης ἀπολαύσῃ τῆς παραμυθίας. ἂν ταῦτα σπουδάσῃς, καὶ αὐτὸς ἔσῃ τοιοῦτος, καὶ τοῦτο μέρος D ἀρετῆς, τὸ τοιούτους αἱρεῖσθαι, καὶ φίλους, καὶ γυναῖκα, καὶ παιδία. οὐκ εἰκῇ προσφοραὶ ὑπὲρ τῶν ἀπελθόντων γίνονται· οὐκ εἰκῇ ἱκετηρίαι, οὐκ εἰκῇ ἐλεημοσύναι. ταῦτα πάντα τὸ πνεῦμα διέταξε, δι' ἀλλήλων ἡμᾶς ὠφελεῖσθαι βουλόμενον. ὅρα [γάρ·] ὠφελεῖται ἐκεῖνος διὰ σοῦ, ὠφελῇ σὺ δι' ἐκεῖνον. καταφρονήσας χρημάτων προαχθεὶς ἐργάσασθαί τι γενναῖον. καὶ σὺ αἴτιος τῆς σωτηρίας, καὶ αὐτὸς σοι τῆς ἐλεημοσύνης γέγονεν αἴτιος. μὴ ἀμφίβαλλε ὅτι καρ- E πώσεταί τι χρηστόν. οὐχ ἁπλῶς ὁ διάκονος βοᾷ, ὑπὲρ τῶν ἐν Χριστῷ κεκοιμημένων, καὶ τῶν τὰς μνείας ὑπὲρ αὐτῶν ἐπιτελουμένων· οὐχ ὁ διάκονός ἐστιν ὁ ταύτην ἀφιεὶς τὴν φωνήν, ἀλλὰ τὸ πνεῦμα· [οὐ] τὸ ἅγιον, τὸ [δὲ] χάρισμα λέγω, τί λέγεις; ἐν χερσὶν ἡ θυσία, καὶ πάντα πρόκειται εὐτρεπισμένα· πάρεισιν ἄγγελοι, ἀρχάγγελοι· [πάρεστιν] ὁ υἱὸς τοῦ Θεοῦ, μετὰ τοσαύτης φρίκης ἑστήκασιν ἅπαντες· παρεστήκασιν ἐκεῖνοι βοῶντες πάντων σιγώντων· καὶ ἡγῇ ἁ- A πλῶς γίνεσθαι τὰ γινόμενα; οὐκοῦν καὶ τὰ ἄλλα ἁπλῶς· καὶ τὰ ὑπὲρ τῆς ἐκκλησίας, καὶ τὰ ὑπὲρ τῶν ἱερέων προσφερόμενα, καὶ τὰ ὑπὲρ τοῦ πληρώματος; μὴ γένοιτο· ἀλλὰ πάντα μετὰ πίστεως γίνεται. τί οἴει τὸ ὑπὲρ μαρτύρων προσφέρεσθαι· τὸ κληθῆναι ἐν ἐκείνῃ τῇ ὥρᾳ; κἂν μάρτυρες ὦσι· κἂν ὑπὲρ μαρτύρων, μεγάλη τιμὴ τὸ ὀνομασθῆναι τοῦ δεσπότου παρόντος· τοῦ θανάτου ἐπιτελουμένου ἐκείνου· τῆς φρικτῆς θυσίας· τῶν ἀφάτων μυστηρίων. καθάπερ γὰρ καθημέ- B νου τοῦ βασιλέως, ὅσα ἄν τις βούληται, ἀνύει· ἐγερθέντος δὲ ὅσα ἂν λέγῃ εἰκῇ ἐρεῖ· οὕτω καὶ τότε, ἕως ἂν πρόκειται τὰ τῶν μυστηρίων, πᾶσι τιμὴ μεγίστη τὸ μνήμης ἀξιοῦσθαι. ὅρα γάρ· καταγγέλλεται τότε τὸ μυστήριον τὸ φρικτὸν, ὅτι ὑπὲρ τῆς οἰκουμένης ἔδωκεν ἑαυτὸν ὁ Θεός· μετὰ τοῦ θαύματος ἐκείνου εὐκαίρως ὑπομιμνήσκει αὐτῶν τῶν ἡμαρτηκότων. καθάπερ γὰρ ὅταν ἐπινίκια τῶν βασιλέων ἄγηται, τότε εὐφημοῦνται μὲν καὶ ὅσοι τῆς νίκης ἐκοινώνησαν· ἀφίενται δὲ καὶ ὅσοι C ἐν δεσμοῖς εἰσι διὰ τὸν καιρόν· παρελθόντος δὲ τοῦ καιροῦ ὁ μὴ τυχὼν οὐκ ἔτι τινὸς ἀπολαύει· οὕτω δὴ καὶ ἐνταῦθα. τῶν ἐπινικίων οὗτος ὁ καιρός. ὁσάκις γὰρ ἄν, φησιν, ἐσθίητε τὸν ἄρτον τοῦτον, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε. μὴ δὴ ἁπλῶς προσίωμεν· μηδὲ ὡς ἔτυχε ταῦτα γίνεσθαι νομίζωμεν. ἄλλως δέ· μαρτύρων μεμνήμεθα. καὶ τοῦτο εἰς πίστιν, ὅτι οὐ τέθνηκεν ὁ Κύριος. καὶ τοῦτο τοῦ τεθανατῶσθαι τὸν θάνατον σημεῖον· τοῦ νεκρὸν αὐτὸν γεγενῆσθαι. ταῦτα εἰδότες, ἐπινοῶμεν ὅσας δυνάμεθα παραμυθίας τοῖς ἀπελθοῦσιν, ἀντὶ D δακρύων, ἀντὶ θρήνων, ἀντὶ μνημείων, τὰς ἐλεημοσύνας, τὰς εὐχάς, τὰς προσφοράς, ἵνα κἀκεῖνοι καὶ ἡμεῖς τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

E

ΟΜΙΛΙΑ κβ΄.

Ἀνὴρ δέ τις ἐν Καισαρείᾳ ὀνόματι Κορνήλιος ἑκατοντάρχης, ἐκ σπείρας τῆς καλουμένης Ἰταλικῆς, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ, ποιῶν ἐλεημοσύνας πολλὰς τῷ λαῷ, καὶ δεόμενος τοῦ Θεοῦ διὰ παντός, εἶδεν ἐν ὁράματι φανερῶς ὡσεὶ ὥρα ἐνάτῃ τῆς ἡμέρας, ἄγγελον Θεοῦ εἰσελθόντα πρὸς αὐτὸν καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. ὁ δὲ ἀτενίσας αὐτῷ καὶ ἔμφοβος γενόμενος, εἶπε· Τί ἐστι κύριε; εἶπε δὲ αὐτῷ· αἱ προσευχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ.

ΟΥΤΟΣ οὐκ ἔστιν Ἰουδαῖος, οὐδὲ ζῶν κατὰ τὸν νόμον· ἀλλ' ἤδη προειλήφει τὴν ἡμετέραν πολιτείαν. [καὶ] ὅρα δύο πιστεύοντας τέως· τόν τε εὐνοῦχον τὸν ἀπὸ τῆς Γάζης, καὶ τοῦτον, ἐν ἀξιώμασιν ὄντας ἀμφοτέρους, καὶ πολλὴν ὑπὲρ τούτων γινομένην σπουδήν. ἀλλὰ μὴ νομίσῃς, ὅτι διὰ τὰ ἀξιώματα. οὐ διὰ ταῦτα, μὴ γένοιτο· ἀλλὰ διὰ τὴν εὐλάβειαν. διὰ γοῦν τοῦτο καὶ τὰ ἀξιώματα τέθειται, ἵνα μείζων ἡ εὐλάβεια δειχθῇ. θαυμαστότερον [καὶ] γὰρ ὅταν ἐν πλούτῳ καὶ δυναστείᾳ τις ὢν τοιοῦτος ᾖ. ἀλλὰ μέγα ἐκείνου ἐγκώμιον τὴν τοσαύτην ἀποδημίαν στείλασθαι, καὶ τὸ μηδὲ καιροῦ τοιούτου ὄντος ἐν ὁδῷ ἀναγινώσκειν, καὶ τὸ ἐπὶ ὀχήματος φερόμενον τὸν Φίλιππον παρακαλεῖν, καὶ μυρία ἕτερα· μέγα καὶ τούτου, τὸ ἐλεημοσύνας ποιεῖν καὶ εὐχάς, καὶ εὐσεβῆ εἶναι ἐν ἀρχῇ τοιαύτῃ. διὸ καὶ ἀπὸ ταύτης τὸν ἄνδρα ποιεῖ γνώριμον. εἰκότως, ἵνα μή τις εἴπῃ ὅτι ψεύδεται τῶν γραφῶν ἡ ἱστορία. » ἐκ σπείρας, φησί, τῆς καλουμένης Ἰταλικῆς. σπεῖρά » ἐστιν, ὃ καλοῦμεν νῦν νούμερον. εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν » παντὶ τῷ οἴκῳ αὐτοῦ. ταῦτα λέγει, ἵνα μὴ νομίσῃς, ὅτι διὰ τὸ ἀξίωμα τὰ κατ' αὐτὸν οὕτως οἰκονομεῖται. ὅτε οὖν Παῦλον προσαχθῆναι ἔδει, οὐδαμοῦ ἄγγελος; ἀλλ' αὐτὸς ὁ κύριος φαίνεται· οὐδὲ πέμπει αὐτὸν πρὸς ἕνα τινὰ τῶν δώδεκα, ἀλλὰ πρὸς Ἀνανίαν. ἐνταῦθα δὲ τοὐναντίον· τὸν κορυφαῖον ἄγει, ὡς Φίλιππον πρὸς τὸν εὐνοῦχον, συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ, καὶ διδάσκων πῶς κεχρῆσθαι δεῖ τοῖς τοιούτοις. ἐπεὶ καὶ ὁ Χριστὸς αὐτὸς ἀπιὼν φαίνεται πολλάκις πρὸς τοὺς κακῶς πάσχοντας, καὶ δι' ἑαυτῶν προσιέναι μὴ δυναμένους. θέα δέ μοι κἀνταῦθα πάλιν ἐλεημοσύνης ἄλλο ἐγκώμιον, ὥσπερ ἐκεῖ διὰ τῆς Ταβηθᾶς. ἀνήρ, φησιν, εὐσεβὴς καὶ φοβούμενος τὸν Θεὸν σὺν παντὶ τῷ οἴκῳ αὐτοῦ. ἀκούσωμεν ὅσοι τῶν οἰκείων ἀμελοῦμεν. οὗτος δὲ καὶ στρατιωτῶν ἐπεμελεῖτο, ποιῶν τε ἐλεημοσύνας παντὶ τῷ λαῷ. » [οὕτω] καὶ τὰ δόγματα καὶ ὁ βίος αὐτῷ διώρθωτο. εἶδεν ἐν ὁρά- » ματι φανερῶς ὡσεὶ ὥρα ἐνάτῃ τῆς ἡμέρας ἄγγελον Θεοῦ εἰσελθόντα » πρὸς αὐτόν, καὶ εἰπόντα αὐτῷ, Κορνήλιε. διατί βλέπει τὸν ἄγγελον; καὶ τοῦτο εἰς πληροφορίαν Πέτρου· μᾶλλον δὲ οὐκ ἐκείνου, ἀλλὰ τῶν ἄλλων τῶν ἀσθενεστέρων. ἐνάτη δὲ ὥρα, ὅτε φροντίδων ἠφίετο, καὶ ἐν ἡ- » συχίᾳ ἦν, ὅτε ἐν εὐχαῖς καὶ ἐν κατανύξει. ἀτενίσας δὲ αὐτῷ καὶ ἔμ- » φοβος γενόμενος, εἶπεν. ὅρα τὸν ἄγγελον οὐκ εὐθέως λέγοντα ἃ λέγει, ἀλλὰ πρότερον λύοντα τὸν φόβον, καὶ τὴν διάνοιαν αὐτοῦ μετεωρίζοντα. καὶ γὰρ ἀπὸ τῆς ὄψεως φόβος ἐγένετο· ἀλλὰ φόβος σύμμετρος, ὅσον ἐπιστρέψαι μόνον, εἶτα τὰ ῥήματα τὸν φόβον ἔλυσε· μᾶλλον δὲ ὁ δι' αὐτῶν ἔπαινος τὸ τοῦ φόβου τραχὺ κατελέαινεν. ἄκουε δὲ καὶ » οἷα τὰ ῥήματα· αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου, ἀνέβησαν εἰς » μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. νῦν οὖν πέμψον εἰς Ἰόππην ἄνδρας, » καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. ἵνα μὴ ἐπ' ἄλλον ἔλθωσιν, οὐκ ἀπὸ τοῦ ἐπωνύμου μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τόπου » δηλοῖ τὸν ἄνδρα. καὶ αὐτός ἐστι ξενιζόμενος πρὸς Σίμωνά τινα βυρ- » σέα, ᾧ ἐστιν οἰκία παρὰ θάλασσαν. εἶδες πῶς τὰ ἀνακεχωρημένα τῶν πόλεων ἐδίωκον οἱ ἀπόστολοι, ἐρημίας ὄντες φίλοι καὶ ἡσυχίας; τί οὖν εἰ συνέβη καὶ ἄλλον εἶναι Σίμωνα καὶ βυρσέα; ἀλλ' εἶχε καὶ ἄλλο σημεῖον, τὸ παρὰ θάλασσαν οἰκεῖν. τὰ τρία δὲ οὐκ ἦν δυνατὸν συμπεσεῖν. [καὶ] οὐκ εἶπε, διατί; ἵνα μὴ ἐκλύσῃ αὐτόν· ἀλλὰ ἀφῆκεν, ὥστε ἐν ἐπιθυμίᾳ καὶ πόθῳ τῆς ἀκροάσεως γενέσθαι. ὡς δὲ » ἀπῆλθεν ὁ ἄγγελος ὁ λαλῶν τῷ Κορνηλίῳ, φωνήσας δύο τῶν οἰκετῶν » αὐτοῦ, καὶ στρατιώτην εὐσεβῆ τῶν προσκαρτερούντων αὐτῷ καὶ ἐξη- » γησάμενος αὐτοῖς πάντα, ἀπέστειλεν αὐτοὺς εἰς τὴν Ἰόππην. ὁρᾷς ὅτι οὐχ ἁπλῶς ταῦτα λέγει, ἀλλ' ὅτι καὶ οἱ προσκαρτεροῦντες αὐτῷ τοιοῦτοι ἦσαν, ἵνα δείξῃ; καὶ ἐξηγησάμενος αὐτοῖς πάντα φησίν. ὅρα τὸ ἄτυφον. οὐκ εἶπεν, καλέσατέ μοι Πέτρον· ἀλλ' ὥστε καὶ πεῖσαι, ἐξηγήσατο ἅπαντα. οὕτως οἰκονομικὸς ἦν. οὐ γὰρ ἠξίου ἀπὸ τοῦ ἀξιώματος αὐτὸν μεταπέμψασθαι. διὰ τοῦτο ἐξηγεῖται λοιπόν. τοσοῦτον ἦν μέτριος ὁ ἀνήρ· καίτοι οὐδὲν μέγα ἦν φαντασθῆναι περὶ ἀνδρὸς » καταγομένου παρὰ βυρσεῖ. τῇ δὲ ἐπαύριον ὁδοιπορούντων ἐκείνων » καὶ τῇ πόλει ἐγγιζόντων, ἀνέβη Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην. ὅρα πῶς τοὺς καιροὺς συνάγει τὸ πνεῦμα, καὶ οὔτε θᾶττον, οὔτε βραδύτερον ποιεῖ τοῦτο γενέσθαι. ἀνέβη, φησίν, ὁ Πέτρος

HOMILIA XXII.

Vir autem quidam in Cæsarea, nomine Cornelius, centurio, ex cohorte quæ appellatur Italica, pius ac timens Deum, cum omni domo sua, faciens eleemosynas multas populo, & orans Deum semper. Is vidit in visu manifestè, quasi hora diei nona, Angelum Dei introeuntem ad se, & dicentem sibi, Corneli. At ille intuens eum, timore correptus dixit, Quis es Domine? Dixit autem illi, Orationes tuæ & eleemosynæ tuæ ascenderunt in memoriam in conspectu Dei. Cap. X.

HIc non erat Judæus, neque juxta legem vivebat, sed prius nostro more vitam egerat. Et vide duos credere nunc, nempe *Eunuchum* à Gaza, & hunc, quum ambo sint in dignitatibus, magnámque pro illis habitam curam. Verùm ne putes, quod electi sint propter has dignitates. Minimè, sed propter pietatem. Sanè propter hoc dignitates positæ sunt, ut major pietas ostendatur. Mirabilius etenim, quando quis in divitiis & potentia agens talis fuerit. Jam magna illius laus, qui tantam peregrinationem susceperat, & neque per illud tempus lectionem intermittebat. Et Philippum quum in curru veheretur, orabat: & multa alia. Magna autem & hujus laus est, quod facit eleemosynas ac preces, & pius est in tanto principatu. Unde & à dignitate hac virum notum reddit. Et meritò ne quis dicat, scripturarum historiam fallere. *Ex coborte*, inquit, *quæ vocabatur Italica.* σπεῖρα cohors est, quæ nunc vocatur numerus. *Pius ac timens Deum, cum omni domo sua.* Hæc dicit, ne putes quod propter dignitatem illius talia facta sint. Itaque quando Paulum adduci oportebat, minimè Angelus, sed ipse Dominus apparet: neque mittit illum ad aliquem duodecim Apostolorum, sed ad Ananiam. Hic autem secus fit. Præcipuum adducit, sicut & Philippum, attemperans se illorum infirmitati, & docens quomodo talibus uti oporteat. Quoniam & Christus ipse, qui abiit, apparet sæpe iis qui graviter patiuntur, & per seipsos accedere non possunt. Vide autem, oro, hic iterum aliud eleemosynæ encomium, sicut illic in Tabetha, *Vir*, inquit, *pius & timens Deum cum omni domo sua*: Audiamus nos quotquot domesticos negligimus. Hic autem & militum curam gerebat, & *faciebat eleemosynam omni populo.* Sic & dogmata & vita illius recta fuerunt. *Vidit in visione manifestè, circiter horam nonam diei, Angelum Dei ingressum ad se, & dicentem sibi, Corneli.* Quare videt *Angelum*? Etiam hoc faciebat ad confirmationem majorem Petri, immo non illius, sed aliorum infirmorum. *Nona* autem *hora*, quando curæ dimittebantur, & quies erat, quando in precibus & compunctione. *Ut autem intuitus est illum, & trepidus factus est, dixit.* Vide Angelum non statim dicere ad quæ dicenda venerat, sed prius solvere metum, & mentem illius sublimia contemplantem. Etenim aspectu territus erat, sed metu moderato, & solum animadvertentem faciente. Mox verba metum solvunt, immo laus in illis dicta quæ formidinis asperitatem mitigabat. Audi autem & qualia verba? *Preces tuæ ac eleemosynæ tuæ ascenderunt in memoriam coram Deo. Itaque nunc mitte in Joppen, & voca Simonem qui agnominatur Petrus.* Ne ad alium veniant, non à solo cognomine, sed etiam à loco manifestat virum. *Et ille est qui hospitatur apud Simonem quendam coriarium, cui est domus apud mare.* Vidisti quomodo, quia diligebant solitudines ac silentium, in secretiores urbium partes ingressi sunt? Quid igitur si contigisset & alium Simonem esse eundémque coriarium? Unde & aliud signum habebat, quod *apud mare habitabat.* Vix autem possibile erat tria illa uni competere. Et non dixit, quare? ne contristet illum: sed relinquit illum, ita ut desiderium habeat audiendi illum. *Ubi verò abiit Angelus, qui locutus est Cornelio, quum vocasset duos servos suos, & militem pium, ex his qui manebant apud illum. & narrasset illis omnia, misit eos in Joppen.* Vides quod non simpliciter hæc dicit, sed ut ostendat, quod etiam hi qui cum illo, tales essent? *Et quum narrasset illis omnia, dixit.* Vide quam alienus est à fastu? Non dixit: vocate mihi Petrum: sed ita ut persuaderet, narravit omnia. Idque singulari ratione faciebat. Non enim volebat id sola authoritate præcipere & accersere: idcirco nunc narrat, tam moderatus erat vir: tametsi nihil magnum cogitari poterat de viro qui apud coriarium diverterat. *Sequenti autem die quum illi in via essent, ac civitati appropiarent, ascendit Petrus in superiorem partem domus, ut oraret circa horam sextam.* Vide quomodo spiritus connectit tempora, & neque citius neque tardius facit hoc. *Ascendit*, inquit, *Petrus in supe-*

Sup. 8, 26. E
Ibid.

in superiorem partem domus, ut oraret circa horam sextam, hoc est, seorsum, & in quiete, quasi in cœnaculo. *Et quum esuriret ac vellet sumere cibum, parantibus autem illis, irruit super eum mentis excessus, & vidit cœlum apertum.* Quid est ἔκστασις? Spiritualis, inquit, contemplatio facta est in illo: quasi diceret quis, anima excessit è corpore. *Et vidit cœlum apertum, & descendens ad se vas quoddam, velut linteum magnum, quatuor initiis alligatum, submitti è cœlo in terram, in quo erant omnia quadrupedia terræ, bestiæque & reptilia ac volatilia cœli. Et facta est vox ad illum, Surge Petre, macta & vescere. At autem Petrus, nequaquam Domine, quia nunquam edi quicquam commune vel immundum. Et vox iterum secundo ad eum: Quæ Deus purificavit, tu communia ne dixeris. Hoc autem factum est tertiò. Et rursum receptum est vas in cœlum.* Quidnam hoc est? Symbolum totius orbis fit. Homo ille præputium habebat, & nihil commune cum Judæis. Quoniam igitur accusaturi erant omnes Petrum, tanquam prævaricatorem, & hoc valde illis frequens erat, necessariò & tempestivè inquit, *Nunquam comedi.* Nunquid ipse timuerat? Absit. Sed spiritus ita moderabatur eum, ut defensionem habeat contra eos qui reprehensuri erant, quod & contradixerit: nam magna cura illam legem servabant. Ad gentes mittebatur. ut igitur & hi illum non accusent, sicut jam dixi: hæc singulari dispensatione contigerunt, vel etiam ne videatur spectrum quoddam esse, dixit: *Nequaquam Domine, quia nunquam idi commune vel immundum. Facta est autem vox ad illum: Quæ Deus purificavit, tu ne communia dicas.* Hoc videtur quidem ad illum dici, totum autem Judæis dicitur; nam si magister increpatur, multò magis hi. Itaque *linteum* hoc est, terra: *bestiæ* autem in illa, gentiles. *Macta* verò *& comede*, quod etiam illos accedere oporteat. *Tertiò* autem *fieri*, baptisma significat. *Minimè Domine, nunquam comedi commune vel impurum*, Et quare, inquit, contradixit: Ne quis dicat, quod tentaverit illum Deus

Gen. 22.2. sicut Abraham, quando *jussit ut filium hostiam offerret*, sicut &

Joh. 6,6. Philippum quando rogavit; *Quot habetis panes?* non ut discat,

Lev. 11,1. f. sed tentans illum. Quum & *in lege* Moses distinctè præceperat de mundis ac immundis, tam in terra quam in mari. Attamen neque sic sciebat, adeò apud seipsum hæsitat Petrus, quænam esset visio illa quam vidisset. *Et ecce viri qui missi erant a Cornelio, percontati de domo Simonis, astiterunt ad januam. Et vocantes, interrogabant, an Simon qui cognominaretur Petrus, illic haberet hospitium.* Quoniam admiraretur ac dubitaret Petrus, veniunt viri tempestivè dubitationem solventes. Quoniam & Josephum prius permisit turbari, & tunc Archangelum mittit. Facilè enim anima solutionem accepit, quæ prius dubitavit. Itaque non diutius permittitur hæsitare, neque anteà, sed commodissimo tempore. *Petro verò cogitante de visione, dixit spiritus ei; Ecce viri quærunt te: Surge itaque & descende, ac vade cum eis, nihil hæsitans, propterea quod ego misi illos.* Est hic & alia defensio Petri ad discipulos, ut discant, quod & hæsitarit didiceritque non hæsitandum. *Quia ego*, inquit, *illos misi.* Vide quanta spiritus facultas. Quod autem facit Deus, hoc spiritus dicitur facere. Verùm Angelus non sic. Sed primùm dicens: *Preces tuæ ac eleemosynæ tuæ*: tunc inquit, *mitte*: ut ostendat quod illinc missus sit. Spiritus autem, quoniam Dominus, *Ego illos misi. Descendens autem Petrus ad viros, dixit, ecce ego sum quem quæritis, ob quam causam adestis? Qui dixerunt: Cornelius Centurio, vir justus, ac timens Deum, & testimonium habens ab universa gente Judæorum, oraculo admonitus ab Angelo sancto, ut accerseret te in domum suam, & audiret verba abs te.* Dicunt laudes, ut persuadeant, quod & Angelus apparuit illi. *Intrò vocatos igitur eos excepit hospitio.* Vides unde initium fit gentium? A viro pio, qui operibus dignus est habitus. Nam si offenduntur Judæi quum talis fuerit: si non fuisset talis, quid non dixissent? Introductos, inquit, illos hospitio excepit. Vide quanta securitas. Intus vocat, ne quid grave eis accidat, & fidenter victitat cum illis. *Sequenti verò die Petrus profectus est cum illis, & quidam ex fratribus Ioppensibus comitati sunt eum. Postridie verò introierunt Cæsaream.* Nobilis erat vir, & in præclara degebat civitate, ideo apud illum omnia simul pulchrè geruntur, & à Judæa res accipit initium, utpote quæ non dormienti, sed vigilanti interdiu acciderit. *Circa horam enim nonam.* Ita seipsum attendebat. Sed videamus iterum quæ supra dicta: *Et dixit Angelus, Preces tuæ ac eleemosynæ tuæ ascenderunt in memoriam coram Deo.* Hinc manifestum quod per vocem

ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην· τουτέστι, κατ' ἰδίαν, καὶ ἐν ἡσυχίᾳ, ὡς ἂν ἐν ὑπερῴῳ. ἐγένετο δὲ πρόσπεινος, καὶ ἤθελε γεύσασθαι. παρασκευαζόντων δὲ ἐκείνων, ἐπέπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον. τί ἐστιν ἔκστασις; πνευματική, φησι, θεωρία γέγονεν αὐτῷ· τοῦ σώματος, ὡς ἂν εἴποι τις, ἐξέστη ἡ ψυχή. καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ καταβαῖνον ἐπ' αὐτὸν σκεῦός τι ὡς ὀθόνην μεγάλην, τέσσαρσιν ἀρχαῖς δεδεμένον καὶ καθιέμενον ἐπὶ τῆς γῆς, ἐν ᾧ ὑπῆρχε πάντα τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε. ὁ δὲ Πέτρος εἶπε· μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν ἢ ἀκάθαρτον. καὶ φωνὴ πάλιν ἐκ δευτέρου πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνελήφθη τὸ σκεῦος εἰς τὸν οὐρανόν. τί ποτε τοῦτό ἐστι; σύμβολον τῆς οἰκουμένης ἁπάσης τὸ πρᾶγμα γίνεται. ὁ ἄνθρωπος ἀκρόβυστος ἦν, καὶ οὐδὲν κοινὸν εἶχε πρὸς Ἰουδαίους. ἐπεὶ οὖν ἔμελλον αὐτοῦ κατηγορεῖν ἅπαντες ὡς παραβάτου, [καὶ] τοῦτο πάνυ αὐτοῖς προσεῖσται, ἀναγκαίως οἰκονομεῖται εἰπεῖν, οὐδέποτε ἔφαγον· οὐχ αὐτὸς δεδοικώς; μὴ γένοιτο, ἀλλ' ὑπὸ τοῦ πνεύματος, ὡς ἔφην, οἰκονομούμενος, ἵν' ἔχῃ ἀπολογίαν πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι καὶ ἀντεῖπε. πάνυ γὰρ αὐτοῖς ἔμελε τοῦ τὸν νόμον φυλάττεσθαι. εἰς ἔθνη ἐπέμπετο. ἵνα οὖν μὴ καὶ οὗτοι αὐτοῦ κατηγορῶσιν, ὡς ἔφθην εἰπών, ταῦτα οἰκονομεῖται. ἢ καὶ ἵνα μὴ δόξῃ φαντασία τις εἶναι, εἶπε, μηδαμῶς κύριε, ὅτι οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. ἐγένετο δὲ φωνὴ πρὸς αὐτόν· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δοκεῖ μὲν πρὸς αὐτὸν λέγεσθαι· τὸ δὲ πᾶν πρὸς Ἰουδαίους λέγεται. εἰ γὰρ ὁ διδάσκαλος ἐπιτιμᾶται, πολλῷ μᾶλλον οὗτοι; ἡ οὖν σινδών, τοῦτό ἐστιν ἡ γῆ· τὰ δὲ ἐν αὐτῇ θηρία, οἱ ἐξ ἐθνῶν· τὸ δὲ, θῦσον καὶ φάγε, ὅτι κἀκείνους δεῖ προσιέναι. τὸ δὲ τρίτον τοῦτο γενέσθαι, τὸ βάπτισμα δηλοῖ. μηδαμῶς κύριε, οὐδέποτε ἔφαγον κοινὸν ἢ ἀκάθαρτον. καὶ διατί, φησιν, ἀντεῖπεν; ἵνα μή τις εἴπῃ ὅτι ἐπείραζεν ὁ Θεὸς αὐτόν, ὥσπερ ἐπὶ τοῦ Ἀβραάμ, ὅτε ἐκέλευσε τὸν υἱὸν θυσίαν ἀνενεγκεῖν. ὡς ἐπὶ τοῦ Φιλίππου, ὅτε πόσους ἄρτους ἔχοιεν ὑπὸ τοῦ Χριστοῦ ἠρωτήθη· οὐχ ἵνα μάθῃ, ἀλλὰ πειράζων αὐτόν. καὶ μὴν ἐν τῷ νόμῳ περὶ καθαρῶν καὶ ἀκαθάρτων διεστείλατο Μωσῆς τῶν τε ἐν γῇ τῶν τε ἐν θαλάσσῃ· καὶ ὅμως οὐδὲ οὕτως ᾔδει. ὡς δὲ ἐν αὐτῷ διηπόρει ὁ Πέτρος, τί ἂν εἴη τὸ ὅραμα ὃ εἶδε, καὶ ἰδοὺ οἱ ἄνδρες οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου, διερωτήσαντες τὴν οἰκίαν τοῦ Σίμωνος, ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες, ἐπυνθάνοντο, εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται. θαυμαζομένῳ καθ' ἑαυτὸν καὶ διαπορoῦντι τῷ Πέτρῳ ἔρχονται οἱ ἄνδρες εὐκαίρως τὴν ἀπορίαν λύοντες. ἐπεὶ καὶ τὸν Ἰωσὴφ πρότερον εἴασε θορυβηθῆναι, καὶ τότε τὸν ἀρχάγγελον πέμπει. εὐκόλως γὰρ ἡ ψυχὴ δέχεται τὴν λύσιν, πρότερον ἐν ἀπορίᾳ γινομένη. οὔτε [οὖν] ἐπὶ πολὺ γίνεται αὐτῷ τὰ τῆς ἀπορίας, οὔτε πρὸ τούτου, ἀλλὰ περὶ τὸν καιρὸν τοῦ ἀρίστου. τοῦ δὲ Πέτρου διενθυμουμένου περὶ τοῦ ὁράματος, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἰδοὺ ἄνδρες ζητοῦσί σε. ἀλλὰ ἀναστὰς, κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς, μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. καὶ πάλιν αὕτη ἀπολογία Πέτρου πρὸς τοὺς μαθητάς, ἵνα μάθωσιν ὅτι καὶ διεκρίθη, καὶ ἐπαιδεύθη μηδὲν διακρίνεσθαι. ὅτι ἐγώ φησιν αὐτοὺς ἀπέσταλκα. ὅρα ὅση τοῦ πνεύματος ἡ ἐξουσία. ὃ δὲ ποιεῖ ὁ Θεός, τοῦτο λέγεται τὸ πνεῦμα ποιεῖν. ὁ μὲν οὖν ἄγγελος οὐχ οὕτως· ἀλλὰ πρῶτον εἰπών, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου, τότε, φησίν, ἀπόστειλον· ἵνα δείξῃ ὅτι ἐκεῖθεν ἀπεστάλη· τὸ δὲ πνεῦμα, ἐπεὶ κύριον, ἐγὼ αὐτοὺς ἀπέσταλκα. καταβὰς δὲ ὁ Πέτρος πρὸς τοὺς ἄνδρας, εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε. τίς ἡ αἰτία δι' ἣν πάρεστε; οἱ δὲ εἶπον· Κορνήλιος ὁ ἑκατοντάρχης, ἀνὴρ δίκαιος καὶ φοβούμενος τὸν Θεόν, μαρτυρούμενός τε ὑπὸ ὅλου τοῦ ἔθνους τῶν Ἰουδαίων, ἐχρηματίσθη ὑπὸ ἀγγέλου ἁγίου μεταπέμψασθαί σε εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἀκοῦσαι ῥήματα παρὰ σοῦ. λέγουσι τὰ ἐγκώμια, ὥστε πεῖσαι ὅτι καὶ ἄγγελος ὤφθη αὐτῷ. εἰσκαλεσάμενος οὖν αὐτοὺς ἐξένισεν. ὁρᾷς πόθεν ἡ ἀρχὴ γίνεται τῶν ἐθνῶν; ἀπὸ ἀνδρὸς εὐσεβοῦς, ἀξίου φανέντος ἀπὸ τῶν ἔργων. εἰ γὰρ καὶ τούτου γεγονότος, καὶ ὅμως σκανδαλίζονται· εἰ μὴ τοῦτο ἦν, τί οὐκ ἂν εἶπον Ἰουδαῖοι; εἰσκαλεσάμενος οὖν, φησίν, αὐτοὺς ἐξένισε. θέα πόση ἀσφάλεια. ὥστε μηδὲν αὐτοὺς παθεῖν δεινὸν εἰσκαλεῖται, καὶ μετὰ παῤῥησίας λοιπὸν συνδιαιτᾶται. τῇ δὲ ἐπαύριον ἀναστὰς ὁ Πέτρος, ἐξῆλθε σὺν αὐτοῖς, καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον αὐτῷ, καὶ τῇ ἐπαύριον εἰσῆλθον εἰς τὴν Καισάρειαν. ἐπίσημος ἦν ὁ ἀνήρ, ὡς ἐν ἐπισήμῳ πόλει τυγχάνων. διὸ καὶ ἐπ' αὐτῷ πάντα ὁμοῦ οἰκονομεῖται, καὶ ἀπὸ τῶν Ἰουδαίων ἀρχὴν λαμβάνει τὸ πρᾶγμα· οἷον τὸ μὴ ὑπνοῦντι ὀφθῆναι, ἀλλ' ἐγρηγορότι, τὸ ἐν ἡμέρᾳ. περὶ ἐνάτην γὰρ ὥραν· οὕτως ἑαυτῷ προσεῖχεν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ εἶπεν ὁ ἄγγελος, αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. ἐντεῦθεν δῆλον, ὅτι διὰ φωνῆς ἐκάλεσεν

ἐκάλεσεν ὁ ἄγγελος, καὶ οὕτως εἶδεν αὐτόν. ὡς εἰ μὴ ἐκάλεσεν, οὐδ' ἂν εἶδεν. οὕτω συνετέτακτο ἐπὶ τοῦ πράγματος ἐν ᾧ ἦν. καὶ μετάπεμψαι Σίμωνα τὸν καλούμενον Πέτρον. τέως ὅτι ἐπὶ χρηστοῖς αὐτὸν μετακαλέσεται ἐδήλωσε· ποίοις δὲ χρηστοῖς, οὐκ εἶπεν. οὕτως οὐδὲ Πέτρος λέγει τὸ πᾶν· ἀλλὰ πανταχοῦ ἐκ μέρους τὰ διηγήματα, ὥστε διεγείρειν τοὺς ἀκούοντας. οὕτω καὶ Φίλιππον καλεῖ μόνον εἰς τὴν ἔρημον. ἀνέβη δὲ Πέτρος ἐπὶ τὸ δῶμα προσεύξασθαι περὶ ὥραν ἕκτην, καὶ ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις, καὶ θεωρεῖ σκεῦός τι ὡς ὀθόνην. σκόπει ὅτι οὐδὲ ἡ πεῖνα ἠνάγκασεν αὐτὸν προσδραμεῖν τῇ ὀθόνῃ. ἵνα δὲ μὴ ἐν πλείονι ἀπορίᾳ ὁ Πέτρος ᾖ, ἀκούει λεγούσης φωνῆς· ἀναστὰς Πέτρε θῦσον καὶ φάγε. ἴσως ἐπὶ γόνατα κείμενος εἶδε τὴν ὀπτασίαν. ἐμοὶ δοκεῖ διὰ τὸ κήρυγμα ταύτην ἑωρακέναι. ὅτι δὲ καὶ θεῖον ἦν τὸ γινόμενον, δῆλον ἔκ τε τοῦ ἄνωθεν ἰδεῖν καταβαῖνον, ἔκ τε τοῦ ἐν ἐκστάσει γενέσθαι. τὸ δὲ καὶ φωνὴν ἐκεῖθεν ἐνεχθῆναι, καὶ τὸ τρὶς τοῦτο γενέσθαι, καὶ τὸν οὐρανὸν ἀνοιχθῆναι, καὶ τὸ ἐκεῖθεν ἥκειν, καὶ τὸ ἐκεῖ ἀναρπασθῆναι πάλιν, μέγα δεῖγμα τοῦ θεῖον εἶναι τὸ πρᾶγμα. διὰ τί δὲ τοῦτο γίνεται; διὰ τοὺς μετὰ ταῦτα οἷς μέλλει ἐξηγεῖσθαι. ἐπεὶ αὐτὸς ἤδη ἀκούσας ἦν, ὅτι εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ περιτομῆς ἐδεήθη καὶ θυσίας Παῦλος, πολλῷ μᾶλλον τότε ἐν ἀρχῇ τοῦ κηρύγματος ἀσθενεστέρων ὄντων αὐτῶν, τούτων ἐδεῖτο. καὶ ἰδοὺ οἱ ἄνδρες φησὶν οἱ ἀπεσταλμένοι ἀπὸ τοῦ Κορνηλίου ἐπέστησαν ἐπὶ τὸν πυλῶνα, καὶ φωνήσαντες ἐπυνθάνοντο εἰ Σίμων ὁ ἐπικαλούμενος Πέτρος ἐνθάδε ξενίζεται. ἅτε ὡς εὐτελῆ οἰκίαν κάτωθεν ἐπυνθάνοντο, οὐ τοὺς γείτονας ἠρώτων. τοῦ δὲ Πέτρου διενθυμουμένου, εἶπεν αὐτῷ τὸ πνεῦμα· ἀναστὰς κατάβηθι καὶ πορεύου μηδὲν διακρινόμενος, διότι ἐγὼ ἀπέσταλκα αὐτούς. ὅρα· οὐκ εἶπε, διὰ γὰρ τοῦτο τὸ ὅραμά σοι ὤφθη· ἀλλ', ἐγὼ αὐτοὺς ἀπέσταλκα, δεικνὺς ὅτι οὕτω δεῖ πείθεσθαι, εὐθύνας οὐκ ἀπαιτοῦντα. ἀρκεῖ γὰρ πρὸς πᾶσαν πληροφορίαν τὸ ἀκοῦσαι παρ' αὐτοῦ, τόδε ποίησον, τόδε λάλησον, καὶ μηδὲν πλέον ζητεῖν. καταβὰς δὲ Πέτρος εἶπεν· ἰδοὺ ἐγώ εἰμι ὃν ζητεῖτε. τί δήποτε οὐκ εὐθέως αὐτοὺς ἐδέξατο, ἀλλὰ πυνθάνεται; εἶδε στρατιώτας ὄντας τοὺς ἐπιστάντας. διὸ οὐχ ἁπλῶς ἐρωτᾷ, ἀλλὰ πρότερον ὁμολογήσας αὐτὸς εἶναι, τότε τὴν αἰτίαν πυνθάνεται τῆς ἀφίξεως, ἵνα μὴ νομισθῇ διὰ τοῦτο πυνθάνεσθαι, ὡς δὴ θέλων ἑαυτὸν κατακρύψαι. καὶ πυνθάνεται, ἵνα ἂν μὲν εὐθέως κατεπείγῃ, καὶ συνεξέλθῃ· ἂν δὲ μή, ἵνα ξενίσῃ. τίνος δὲ ἕνεκεν ἐκεῖνοι λέγουσι, μετεπέμψατό σε εἰς τὸν οἶκον αὐτοῦ; ὅτι τοῦτο αὐτοῖς ἐκέλευσε. τάχα δὲ καὶ ὡς ἀπολογούμενοι ὑπὲρ αὐτοῦ μονονουχὶ λέγουσι· μηδὲν καταγνῷς. οὐχ ὡς καταφρονῶν ἔπεμψεν· ἀλλ' ἐκελεύσθη οὕτως. „ὁ δὲ Κορνήλιος ἦν προσ„δοκῶν αὐτούς, φησί, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ, καὶ „τοὺς ἀναγκαίους φίλους. εἰκότως. οὐ γὰρ δίκαιον ἦν καὶ τοὺς συγγενεῖς καὶ τοὺς φίλους μὴ συνεπάγεσθαι. ἄλλως δὲ καὶ ἐκεῖ παρόντες μᾶλλον αὐτοῦ ἤκουσαν ἄν. εἴδετε πόση τῆς ἐλεημοσύνης ἡ δύναμις, καὶ ἐν τῇ προτέρᾳ διαλέξει καὶ ἐν ταύτῃ; ἐκεῖ μὲν θανάτου ἀπήλλαξε τοῦ προσκαίρου· αὕτη τοῦ αἰωνίου, [αὕτη] καὶ θύρας ἀνέῳξεν οὐρανοῦ. ὅρα δὲ πῶς περὶ πολλοῦ γεγένηται τὸ πιστεῦσαι Κορνήλιον, ὡς καὶ ἄγγελον πεμφθῆναι, καὶ πνεῦμα ἐνεργῆσαι, καὶ τὸν κορυφαῖον μεταπεμφθῆναι τῶν ἀποστόλων, καὶ ὄψιν φανῆναι τοιαύτην, καὶ μηδὲν ὅλως ἐλλειφθῆναι. πόσοι ἦσαν ἑκατόνταρχοι καὶ χιλίαρχοι καὶ βασιλεῖς, καὶ οὐδεὶς τούτων ἐπέτυχεν ὧν οὗτος; ἀκούσατε πάντες ὅσοι ἐν στρατείαις ἐστέ· ὅσοι βασιλεῦσι παρεστήκατε. εὐσεβὴς ἦν, φησί, καὶ φοβούμενος τὸν Θεόν, καὶ τὸ μεῖζον, ὅτι τοιοῦτος ἦν μετὰ παντὸς τοῦ οἴκου αὐτοῦ. οὕτως ἦν συγκεκροτημένος πρὸς τοῦτο καὶ διακείμενος, ὡς μὴ μόνον εὖ τίθεσθαι τὰ οἰκεῖα, ἀλλὰ καὶ ἐπὶ τῆς οἰκετείας τὸ αὐτὸ τοῦτο ποιεῖν. οὐ γὰρ ὡς ἡμεῖς, οἳ ὅπως μὲν ἡμῖν φοβεροὶ οἱ ὑπηρετοῦντες ὦσι, πάντα ποιοῦμεν· ὅπως δὲ εὐλαβεῖς, οὐκέτι. ἀλλ' οὐδὲ οὗτος οὕτως· ἀλλὰ μετὰ τῆς οἰκίας ἁπάσης τὸν Θεὸν ἐφοβεῖτο. οὐ μόνον ὥσπερ κοινὸς πατὴρ πάντων τῶν μετ' αὐτοῦ ὤν, ἀλλὰ καὶ τῶν ὑπ' αὐτὸν στρατιωτῶν. ἄκουε δὲ καὶ τί φασιν ἕτερον. ἀναγκαίως γὰρ πρόσκειται τό, μαρτυρούμενος ὑπὸ ὅλου τοῦ ἔθνους, ἵνα μηδεὶς εἴπῃ, τί γὰρ εἰ ἀκρόβυστος ἦν; καὶ ἐκεῖνοι, φησί, μαρτυροῦσιν αὐτῷ. ἄρα οὐδὲν ἐλεημοσύνης ἴσον· μᾶλλον δὲ οὕτω μεγάλη τοῦ πράγματος ἡ ἰσχύς, ὅταν ἐκ καθαρῶν προχέηται ταμιείων, ὡς τάγε προχεόμενα ἐξ ἀδίκων βόρβορον ἔοικεν ἀφιέναι τῇ πηγῇ· τὰ δὲ ἐκ δικαίων καρδιῶν, καθάπερ νᾶμα διειδές τε καὶ καθαρὸν ἐν παραδείσῳ ἡδὺ μὲν ἰδεῖν, ἡδὺ δὲ ἅψασθαι, λεῖόν τε καὶ ψυχρὸν ἐν μεσημβρίᾳ διδόμενον. οὕτως ἐστὶν ἡ ἐλεημοσύνη. παρὰ ταύτην τὴν πηγὴν οὐκ αἴγειροι καὶ πίτυες, οὐδὲ κυπάρισσοι, ἀλλ' ἕτερα τούτων πολλῷ βελτίω φυτὰ εὐμήκη εἰσί· φιλία Θεοῦ, ἔπαινος ἀνθρώπων, δόξα ἡ εἰς Θεόν, εὔνοια παρὰ πάντων, ἁμαρτημάτων ἀφανισμός, παρρησία πολλή, χρημάτων ὑπεροψία· ἐλεημοσύνη, δι' ἧς τὸ τῆς ἀγάπης τὸ φυτὸν τρέφεται. οὐδὲν γὰρ οὕτως ἀγάπην τρέφειν εἴωθεν, ὡς τὸ ἐλεήμονα εἶναί τινα. αὕτη τοὺς κλάδους εἰς ὕψος αἴρεσθαι ποιεῖ· αὕτη βελτίων πηγὴ τῆς ἐν τῷ παραδείσῳ· οὐκ εἰς τέσσαρας ἀρχὰς διαιρουμένη, ἀλλ' εἰς τὸν οὐρανὸν αὐτὸν ἀφικνουμένη· αὕτη τίκτει τὸν ποταμὸν ἐκεῖνον τὸν ἀλλόμενον

A vocavit Angelus, & ita vidit illum: quod si non vocasset, neque vidisset. Ita quibus vacabat, erat intentus. *Et accersi Simonem, qui Petrus cognominatur.* Jam quod ad utilia illum vocet, manifestavit: qualia autem utilia hæc, non addidit. Sic neque Petrus dicit totum. Sed ubique sunt succisæ narrationes, ut audientes excitent: sic & Philippum solum vocat in solitudinem. *Ascendit autem Petrus in superiorem partem domus, ut oraret circiter horam sextam, & cecidit super illum men-* B *tis excessus, & vidit vas quoddam quasi linteum.* Vide quod neque fames cogit illum accurrere ad linteum. Ut autem non diu hæsitet, audit vocem dicentem, *Surge Petre, macta, & ede.* Forsan positis genibus orabat ac videbat visionem. Mihi videtur propter prædicationem hanc visam esse. Quòd autem & divinum fuerit quod videbat, quia supernè id quod videbat, descendebat: & quod vox inde afferebatur, & ter fiebat, & cœlum aperiebatur, & quod illinc veniebat, & il- C luc rapiebatur, maximum autem indicium erat divinè fieri. Quare autem hoc fit? Propter eos quibus erat narraturus: Quia ipse jam audierat: *In viam gentium ne abieritis.* Matt.10,5. Et ne mireris. Si enim circumcisione & sacrificio Paulus habebat opus, multò magis tunc in principio prædicationis, quum essent adhuc infirmiores, illis egebat. *Et ecce viri, inquit, missi à Cornelio astabant ad januam, & vocantes, rogabant an Simon qui cognominatur Petrus, illic habeat hospitium?* eo quod D vilis domus erat, intrà rogabant, non vicinos. *Petro autem cogitante, dixit ei spiritus; Surge, descende, & vade, nihil hæsitans, eo quod ego misi illos.* Vide, non dixit, Propter hoc enim visio apparuit tibi: sed *ego misi illos*: ostendens quod sic persuadere debent non exacturi pœnas. Sufficit enim illi ad omnem probationem, audire ab illo, Fac hoc, loquere hoc: & nihil amplius quærere. *Descendens autem Petrus dixit, Ecce ego sum quem quæritis*: Cur nam non statim illos suscipit, sed E quærit? Vidit milites esse qui astabant. Ideo non simpliciter rogat sed prius confessus esse se quem quærebant, quærit causam adventus, ut ne putetur propter hoc quærere, quasi velit seipsum occultare. Et rogat ut si quidem opus, statim festinet, & simul eat. Si autem minus, ut hospitio excipiat. Quare autem illi dicunt, *Accersit te in domum suam?* quia hoc illis præcepit. Fortassis autem & quasi rationem pro illo dantes dicunt: Ne desperes, non quasi contemnens misit, sed A præcepit sic. *Cornelius autem expectabat illos, convocatis cognatis suis & necessariis amicis.* Meritò: non enim justum fuisset etiam cognatos & amicos non simul adduci. Et aliter, & illic præsentes magis quàm illi audissent. Vidistis quanta eleemosynæ virtus, & in priore, & in præsenti sermone. Illic à temporali morte liberati, hic ab æterna, & janus aperuit cœli. Vide etiam quanti fecerit quod credat Cornelius, ut & Angelus missus, & B spiritus operatus, & princeps Apostolorum accersitus, visionemque talem vidit, & nihil omnino intermissum est. Quot fuerunt Centuriones & Chiliarchi & reges, & nullus horum assequutus est quæ ille? Audite omnes qui in militia estis, qui regibus assistitis: *Pius erat*, inquit, *ac timens Deum*, Et quod majus, *Talis erat cum omni domo sua.* Ita erat huic rei intentus ac affectus, ut non solùm sua benè constitueret, sed etiam in C ministris suis istuc ipsum faceret. Non enim sicut nos qui omnia facimus ut nobis timendi sint ministri, at pii non ita. Et hic non sic, sed *cum omni domo sua Deum timebat*: non solùm enim quasi communis pater eorum qui cum ipso erant, sed etiam militum qui ei suberant. Audi autem & quid aliud dicunt. Necessariò enim appositum est, quòd *testimonium habebat ab omni populo*, ne quis dicat: Quid enim, licet præputium D habeat: *Et illi*, inquit, *testimonium ei dant.* Igitur nihil eleemosynæ par est. immo tam magna rei virtus est, quando ex penuariis puris profunditur, ut ea quæ ex injustis promuntur, comparentur luto, immisso in fontem; quæ autem ex justo lucro, flumini, quod pellucidum & purum in horto, dulce quidem aspectu, dulce etiam contactu, dans lene ac frigidum in meridie. Juxta hunc fontem, non pini & quercus, neque cypressi: sed plantæ illic mul- E tò proceriores, amor Dei, laus hominum, gloria quæ in Deo, benevolentia ab omnibus, peccatorum abolitio, multa fiducia, opum contemptus. Eleemosyna autem, per quam charitatis planta nutritur. Nihil enim ita charitatem fovere solet, ac dum quis se misericordem exhibet. Hic ramos in sublime erigi facit: Hic melior fons eo qui est in paradiso, non in quatuor divisus initia, sed in cœlum ipsum surgit. Hic parit flumen illud quod salit

in vitam æternam, in hunc si mors inciderit, tanquam flamma A à fonte consumitur: sic, ubi irroratit, magna operatur bona. Hic ignis flumen extinguit, ut scintilla. Hic vermen ita suffocat, ut nihil fiat. Qui illum habet, non stridet dentibus. Ab aqua ista si irrorat in vincula, solvit ea, si in caminos inciderit, totos extinguit. Itaque quemadmodum in horto fons non nunc quidem profundit flumina, nunc vero arescit, alioqui non esset jam fons, sed semper scaturit, ita & noster, semper largius profundit flumen in eos, qui maxime indigent B misericordia, ut maneat fons. Hoc hilarem facit eum qui accipit. Hoc eleemosyna est, non solum emittere flumen rapidum, sed etiam limpidum. Si vis quasi ex fontibus tibi impluı Dei oleum, & tu fontem habe. Nihil illi par. Si tu hujus fontis aperueris ora, fontis Dei talia erunt ora, ita ut omnium abyssum vincant. Occasionem solam quærit à vobis accipere Deus, & profundit ex penuariis suis bona. quando insumit, quando sumptus facit tunc ditescit, tunc abundat: magnum C illius fontis os, purum ejus flumen ac limpidum, si hunc non obturbaveris, neque illum. Nulla sterilis stet apud illum arbor, ut ne humorem illius absumat. Habes divitias, ne planta salices illuc. Talis est enim voluptas, multa insumit: & nullum in se ostendit fructum, sed perdit: ne plantes populum, ne tiliam, neque aliam talem quandam, quæ sumptum quidem postulant, fructum verò negant. Tales sunt vestium deliciæ, pulchræ aspectu, cæterum inutiles. Imple arboribus omnia D utilia, planta in pauperum manibus quæcunque volueris, nihil hac terra pinguius, quamvis parva sit capacitas manús, attamen in ipsum pervenit cœlum arbor quæ plantatur. Jam quod plantatur in terra, licet non modò, attamen post centum annos tandem peribit. Quid plantas arbores, quibus non fruèris? Priusquàm fruaris, præripit te mors. Hæc arbor quando mortuus fueris, fructum tibi afferet. Si plantas, ne in gastrimargiæ plantes ventre, ut ne in secessum fructus exeat. sed planta E in utero afflicti & jejunantis, ut saliat in cœlum fructus. Refocilla pauperis animam quæ in angustiis est, ut ne spaciosam tuam arctes. Non vides quod arbores quæ sine fine ac modo rigantur, à radice corrumpuntur: quæ autem cum modo, crescunt. Sic sanè & tu, ne tuum ipsius ventrem supra modum riges, ne corrumpatur radix arboris, pota sitientem, ut fructum ferat. Quæ in tempore rigantur, non corrumpit sol: quæ autem absque modo, corrumpit. Talis enim solis est natura. Ubique malum, ubi non est mediocritas. Ideo demamus aliquid cu- A piditati, ut & nos assequamur quæ cupimus. In summis locis fontes dicuntur nasci. Igitur simus & nos animæ sublimes, & statim misericordia diffluet. Non potest enim fieri, summam animam non etiam misericordem esse, & misericordem non esse summam. Itaque contemnens divitias, radice malorum superior est. Fontes in solitudinibus sunt magna ex parte. Et nos animam à turbulentia educamus, & scaturiet apud nos eleemosyna. Fontes quò magis purgantur, clariores fiunt. B Sic sanè & nos, quò magis insumemus, tantò magis bona scaturient. Qui fontem habet, non timet. Si igitur & nos habuerimus eleemosynam fontem, non timebimus. Etenim ad potum, ad rigationem, ad ædificium, ad omnia nobis utilis est hic fons. Nihil fonte hoc melius, non solet ille ebrietatem inducere. Melius talem habere fontem, quam auri fontes fluentes aureis glebis: Melior quæ hoc fert aurum, anima. Non C enim in hæc regna, sed in ea quæ sursum sunt, aurum simul concedit, ornatúsque fit Ecclesiæ Dei. Ex hoc auro gladius efficitur spiritus, gladius per quem draco abscecatur. Ex hoc fonte lapides promanant preciosi, qui ad caput assumuntur regis. Ne igitur negligamus tantas divitias, sed inferamus eleemosynam cum largitate, ut consequamur misericordiam Dei, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri D simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

A νον εἰς ζωὴν αἰώνιον· εἰς ταύτην θάνατος ἐμπεσὼν, καθάπερ σπινθὴρ ἀναλίσκεται ἀπὸ τῆς πηγῆς. οὕτως ὅπουπερ ἂν ἐπιστάξῃ, μεγάλα ἐργάζεται ἀγαθά. αὕτη τοῦ πυρὸς τὸν ποταμὸν σβέννυσιν ὡς σπινθῆρα· αὕτη τὸν σκώληκα οὕτως ἀποπνίγει ὡς οὐδέν. ὁ ταύτην ἔχων, οὐ βρύχει τοὺς ὀδόντας. ἀπὸ τοῦ ὕδατος ταύτης ἂν ἐπιστάξῃ εἰς τὰ δεσμὰ, διαιρεῖ αὐτά· κἂν εἰς τὰς καμίνους ἐμπέσῃ, πάσας σβέννυσιν. ὥσπερ οὖν ἡ ἐν παραδείσῳ πηγὴ, οὐ νῦν μὲν προχεῖ νάB ματα, νῦν δὲ ξηραίνεται· ἐπεὶ οὐκ ἂν εἴη λοιπὸν πηγὴ, ἀλλ' ἀεὶ ἀναβλύζει· οὕτω καὶ ἡ ἡμετέρα, ἀεὶ δαψιλέστερον προχείτω τὸ νᾶμα πρὸς τοὺς μάλιστα ἐπιδεομένους ἐλέους, ἵνα μένῃ πηγή. τοῦτο ἱλαρὸν ποιεῖ τὸν λαμβάνοντα· τοῦτο ἐλεημοσύνη. μὴ σφοδρὸν μόνον προχεῖσθαι τὸ νᾶμα, ἀλλὰ καὶ διειδές. εἰ βούλει, ὥσπερ ἐκ πηγῶν, σοι ἐπομβρεῖν τοῦ Θεοῦ τὸ ἔλεον, καὶ σὺ πηγὴν ἔχε. οὐδὲν ταύτης ἴσον. ἂν σὺ ταύτης τῆς πηγῆς ἀνοίξῃς τὰ στόματα, τῆς πηγῆς τοῦ Θεοῦ τοιαῦτα C ἔσαι τὰ στόματα, ὥστε πᾶσαν ἄβυσσον νικῆσαι. ἀφορμὴν ζητεῖ μόνον παρ' ἡμῶν λαβεῖν ὁ Θεὸς, καὶ προχεῖται ἐκ τῶν ταμιείων αὐτοῦ τὰ ἀγαθά. ὅταν ἀναλίσκῃ, ὅταν δαπανᾷ, τότε πλουτεῖ, τότε εὐπορεῖ. μέγα ἐκείνης τὸ στόμα τῆς πηγῆς· καθαρὸν τὸ αὐτοῦ νᾶμα καὶ διειδὲς, ἂν μὴ ταύτην ἀποφράξῃς, οὐδὲ ἐκείνην. μηδὲν ἄκαρπον ἑστηκέτω παρ' αὐτῷ δένδρον, ἵνα μὴ τὴν ἰκμάδα αὐτοῦ καταναλώσῃ. ἔχεις χρήματα; μὴ φύτευε αἰγείρους ἐκεῖ. τοιοῦτον γὰρ ἡ τρυφή. πολλὰ D ἀναλίσκει· καὶ οὐδὲν δείκνυσιν ἐν ἑαυτῇ, ἀλλὰ ἀπόλλυσι τὸν καρπόν. μὴ φυτεύσῃς πτελέαν, μὴ πίτυν, μηδὲ ἄλλο τι τῶν τοιούτων, τῶν ἀναλισκόντων μὲν, οὐδαμοῦ δὲ χρησίμων. τοιοῦτον γὰρ ἡ τῶν ἱματίων τρυφὴ, ἰδεῖν μόνον καλὸν, οὐδαμοῦ δὲ χρήσιμον. ἀναδενδράδων πλήρωσον· πάντα τὰ κάρπιμα φύτευσον. ἐν ταῖς τῶν πενήτων χερσὶν ἅπερ ἂν θέλῃς. οὐδὲν ταύτης λιπαρώτερον τῆς γῆς· καί τοι μικρόν ἐστι τὸ διάστημα τῆς χειρός. ἀλλ' ὅμως πρὸς αὐτὸν φθάνει τὸν οὐρανὸν τὸ φυτευόμενον δένδρον, καὶ βέβαιον ἕστηκε. τοῦτο ἐστὶ φυτεῦσαι. τὸ μὲν γὰρ E φυτευόμενον ἐν τῇ γῇ, κἂν μὴ νῦν, μετὰ ἑκατὸν ἔτη ἀπόλλυται. τί φυτεύεις δένδρα ὧν οὐκ ἀπολαύσῃ; ἀλλὰ πρὶν ἢ ἀπολαύσῃς ὁ θάνατος ἐπελθὼν προαρπάζει σε; τοῦτο τὸ δένδρον ὅταν ἀποθάνῃς, τότε σοι δίδωσι τὸν καρπόν. εἰ φυτεύεις, μὴ ἐν τῇ τῆς γαστριμαργίας φυτεύσῃς κοιλίᾳ, ἵνα μὴ εἰς ἀφεδρῶνα ὁ καρπὸς ἐμῇ· ἀλλὰ φύτευσον ἐν τεθλιμμένῃ νηδύϊ, ἵνα πηδήσῃ πρὸς τὸν οὐρανὸν ὁ καρπός. ἀνάπαυσον τὴν στενοχωρουμένην ψυχὴν τοῦ πένητος, ἵνα μὴ τὴν εὐρύA χωρον θλίψῃς τὴν σήν. οὐχ ὁρᾷς ὅτι τὰ ποτιζόμενα τῶν δένδρων ἀμέτρως ἀπὸ τῆς ῥίζης σήπεται; τὰ δὲ μετὰ συμμετρίας, αὔξεται; οὕτω δὴ καὶ σύ· μὴ τὴν σαυτοῦ ποτίσῃς ἀμέτρως γαστέρα, ἵνα μὴ σαπῇ ἡ ῥίζα τοῦ δένδρου. πότισον τὴν διψῶσαν, ἵνα καρπὸν ἐνέγκῃ· τὰ συμμέτρως ποτιζόμενα οὐ σήπει ὁ ἥλιος, τὰ δὲ ἀμέτρως, σήπει. τοιαύτη γὰρ ἡ τοῦ ἡλίου φύσις. πανταχοῦ ἡ ἀμετρία κακόν. διὸ προσκόψωμεν αὐτὴν, ἵνα καὶ ἡμεῖς τύχωμεν ὧν αἰτοῦμεν. ἐν τοῖς ὑψηλοτάτοις χωρίοις αἱ πηγαὶ λέγονται τίκτεσθαι. οὐκοῦν γενώμεθα ὑψηλοὶ καὶ ἡB μεῖς τὴν ψυχὴν, καὶ ταχέως ἡ ἐλεημοσύνη ῥεύσει. οὐ γάρ ἐστι τὴν ὑψηλὴν ψυχὴν, μὴ καὶ ἐλεήμονα εἶναι, καὶ τὴν ἐλεήμονα, μὴ καὶ ὑψηλήν. ὁ γοῦν χρημάτων ὑπερορῶν, τῆς ῥίζης ἀνώτερός ἐστι τῶν κακῶν. αἱ πηγαὶ ἐν ἐρημίαις εἰσὶν ὡς τὰ πολλὰ, καὶ ἡμεῖς τὴν ψυχὴν τῆς πολυοχλίας ἐξαγάγωμεν, καὶ πηγάσει παρ' ἡμῖν ἡ ἐλεημοσύνη. αἱ πηγαὶ ὅσῳ ἂν καθαίρωνται, ἀφθονώτεραι γίνονται. οὕτω δὴ καὶ ἡμεῖς, ὅσῳ C ἀναλώσωμεν, τοσούτῳ καὶ βλαστάνει τὰ καλά. ὁ πηγὴν ἔχων, οὐ δέδοικεν. ἂν τοίνυν καὶ ἡμεῖς ἔχωμεν τὴν ἐλεημοσύνης πηγὴν, οὐ φοβηθησόμεθα. καὶ γὰρ πρὸς ποτὸν, πρὸς ἄρδειαν, πρὸς οἰκοδομὴν, πρὸς πάντα ἡμῖν χρήσιμος αὕτη ἡ πηγή. οὐδὲν τοῦ πόματος τούτου βέλτιον, οὐκ οἶδεν αὕτη μέθην ἐργάσασθαι. βέλτιον τοιαύτην ἔχειν πηγὴν, ἢ χρυσοῦ πηγὰς ἐπιρρεούσας. πάσης χρυσίτιδος γῆς βελτίων ἡ τοῦτον φέρουσα τὸν χρυσὸν ψυχή. οὐ γὰρ εἰς ταῦτα τὰ βασίλεια, D ἀλλὰ τὰ ἄνω ἡμῖν συγχωρεῖ ὁ χρυσὸς, κόσμος γίνεται τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ· ἀπὸ τούτου τοῦ χρυσοῦ ἡ μάχαιρα κατασκευάζεται τοῦ πνεύματος· ἡ μάχαιρα δι' ἧς ὁ δράκων ἀποτέμνεται. ἀπὸ ταύτης τῆς πηγῆς οἱ λίθοι προέρχονται οἱ τίμιοι, οἱ περὶ τὴν κεφαλὴν τοῦ βασιλέως. μὴ δὴ ἀμελῶμεν τοσούτου πλούτου, ἀλλ' εἰσφέρωμεν τὴν ἐλεημοσύνην μετὰ δαψιλείας, ἵνα τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, ᾧ πᾶσα E δόξα, τιμὴ καὶ κράτος ἅμα τῷ ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ κγ.

Τῇ δὲ ἐπαύριον ἀναστὰς, φησὶν, ὁ Πέτρος, ἦλθε σὺν αὐτοῖς. καί τινες τῶν ἀδελφῶν τῶν ἀπὸ Ἰόππης συνῆλθον εἰς τὴν Καισάρειαν. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς, συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους.

Μετὰ τὸ ξενίσαι τοὺς ἄνδρας, ἐξέρχεται σὺν αὐτοῖς. καλῶς. πρότερον φιλοφρονεῖται, ἅτε ἀπὸ καμάτου ὄντας αὐτοὺς, καὶ οἰκείους ἑαυτῷ, εἶτα λοιπὸν καὶ συνέξεισι. τῇ δὲ ἐπαύριον, φησὶν, ἀναστὰς ὁ Πέτρος, ἦλθε σὺν αὐτοῖς. καί τινες τῶν ἀδελφῶν. οὐ μόνος, ἀλλὰ καὶ ἄλλοι ἔρχονται μετ' αὐτοῦ· καὶ τοῦτο οἰκονομικῶς, ὥστε εἶναι μάρτυρας μετὰ ταῦτα, ὅτ' ἀπολογεῖσθαι δέοι Πέτρον. ὁ δὲ Κορνήλιος ἦν προσδοκῶν αὐτοὺς συγκαλεσάμενος τοὺς συγγενεῖς αὐτοῦ καὶ τοὺς ἀναγκαίους φίλους. τοῦτο φίλου, τοῦτο θεοσεβοῦς, ἐν τοῖς τοιούτοις ἀγαθοῖς πρὸ πάντων ποιεῖσθαι κοινωνοὺς τοὺς ἀναγκαίους φίλους. εἰκότως τούτους συγκαλεῖ, οἷς ἐθάῤῥει ἀεὶ περὶ τοιούτων διασκεπτόμενος μάλιστα, ἃ περιττὸν τέως ἦν πρὸς ἄλλους ἐξενεγκεῖν. ἐμοὶ δὲ καὶ φίλοι καὶ συγγενεῖς παρ' αὐτοῦ δοκοῦσιν ἐῤῥυθμίσθαι. ὡς δὲ ἐγένετο εἰσελθεῖν τὸν Πέτρον, συναντήσας αὐτῷ ὁ Κορνήλιος, πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. ὁ δὲ Πέτρος ἤγειρεν αὐτὸν λέγων· ἀνάστηθι. καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι. τοῦτο ποιεῖ, τὸ ταπεινὸν αὐτοῦ δεικνὺς, καὶ παιδεύων τοὺς ἄλλους, καὶ τῷ Θεῷ εὐχαριστῶν, καὶ δηλῶν εἰ καὶ ἐκελεύσθη, ὅμως οἴκοθεν πολλὴν εἶχε τὴν εὐλάβειαν. τί οὖν ὁ Πέτρος; ἀνάστηθι, καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι. ὁρᾷς πῶς πρὸ τῶν ἄλλων οὗτοι αὐτοὺς παιδεύουσι, μηδὲν μέγα περὶ ἑαυτῶν φαντάζεσθαι; καὶ συνομιλῶν αὐτῷ εἰσῆλθε. καὶ εὑρίσκει συνεληλυθότας πολλοὺς, καὶ ἔφησε πρὸς αὐτούς· ὑμεῖς ἐπίστασθε, ὡς ἀθέμιτόν ἐστιν ἀνδρὶ Ἰουδαίῳ κολλᾶσθαι ἀλλοφύλῳ. ὅρα, εὐθέως περὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας διαλέγεται, καὶ δείκνυσιν ὅτι μεγάλα αὐτοῖς ἐχαρίσατο ἀγαθά. οὐ μόνον δὲ τοῦτο θαυμάζειν ἐνταῦθα ἔνι, ὅτι τοιαῦτα διαλέγεται· ἀλλ' ὅτι πῶς ὁμοῦ καὶ μεγάλα καὶ φθέγγεται, καὶ μετριάζει. οὐ γὰρ εἶπεν, ἄνθρωποι μηδενὶ καταξιοῦντες κολλᾶσθαι ἤλθομεν πρὸς ὑμᾶς· ἀλλὰ τί· ὑμεῖς ἐπίστασθε, ὁ Θεὸς τοῦτο ἐκέλευσε, φησι, παράνομον εἶναι κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. εἶτα ἵνα μὴ ἐπ' αὐτῷ τὴν χάριν θῇ, ἐπάγει· καὶ ἐμοὶ ὁ Θεὸς ἔδειξε μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. τοῦτο προστίθησιν, ἵνα μὴ δόξῃ κολακεύειν αὐτόν. διὸ καὶ ἀναντιῤῥήτως ἦλθον μεταπεμφθείς. ἵνα μὴ νομίσωσιν ὅτι εἰ καὶ παρανομία ἦν τὸ πρᾶγμα, ἀλλ' ἄρχων ἦν, διὰ τοῦτο ἐπήκουσεν, ἀλλὰ τὸ πᾶν τῷ Θεῷ λογίσωνται, οὐ μόνον οὐ κολλᾶσθαι, ἀλλ' οὐδὲ προσέρχεσθαι ἐξόν φησι. πυνθάνομαι οὖν τίνι λόγῳ μετεπέμψασθέ με. οὐκ ἀγνοῶν πυνθάνεται. ᾔδει γὰρ τὸ πᾶν ὁ Πέτρος ἀπὸ τοῦ ὁράματος· ἤκουσε δὲ καὶ παρὰ τῶν στρατιωτῶν· ἀλλὰ βούλεται πρῶτον αὐτοὺς ὁμολογῆσαι καὶ ὑπευθύνους ποιῆσαι τῇ πίστει. τί οὖν ὁ Κορνήλιος; οὐκ εἶπεν, οὐ γὰρ εἶπόν σοι οἱ στρατιῶται; ἀλλ' ὅρα πῶς [πρᾴως καὶ] ταπεινῶς; ἀπὸ τετάρτης ἡμέρας μέχρι ταύτης τῆς ὥρας ἤμην νηστεύων, καὶ τὴν ἐνάτην ὥραν προσευχόμενος ἐν τῷ οἴκῳ μου, καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ, καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχὴ, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ. καὶ τὴν ἐνάτην ὥραν, φησὶ, προσευχόμενος. τί ἐστι τοῦτο; ἐμοὶ δοκεῖ καὶ καιροὺς ὡρικέναι ἑαυτῷ βίου ἀκριβεστέρου. καὶ ἐν ἴσαις ἡμέραις. διὰ γὰρ τοῦτο εἶπεν, ἀπὸ τετάρτης ἡμέρας. ὅρα πόσον ἐστὶν εὐχή. ὅτε ἐπέδωκεν εἰς εὐλάβειαν, τότε φαίνεται αὐτῷ ὁ ἄγγελος. αὕτη μία ἡμέρα· καὶ ἣν ἀπῆλθον οἱ πεμφθέντες, μία· καὶ ἣν ἦλθον, πάλιν μία· καὶ τῇ τετάρτῃ ἐφάνη, ὡς εἶναι δευτέραν μεθ' ἣν προσηύξατο. καὶ ἰδοὺ ἀνὴρ ἔστη ἐνώπιόν μου ἐν ἐσθῆτι λαμπρᾷ. οὐ λέγει ἄγγελον, οὕτως ἐστὶν ἄτυφος. καί φησι· Κορνήλιε, εἰσηκούσθη σου ἡ προσευχή· καὶ αἱ ἐλεημοσύναι σου ἐμνήσθησαν ἐνώπιον τοῦ Θεοῦ. πέμψον οὖν εἰς Ἰόππην, καὶ μετακάλεσαι Σίμωνα, ὃς ἐπικαλεῖται Πέτρος. οὗτος ξενίζεται ἐν οἰκίᾳ Σίμωνος βυρσέως παρὰ θάλασσαν, ὃς παραγενόμενος λαλήσει σοι. ἐξ αὐτῆς οὖν ἔπεμψα πρὸς σέ· σύ τε καλῶς ἐποίησας παραγενόμενος, νῦν οὖν πάντες ἡμεῖς ἐνώπιον τοῦ Θεοῦ πάρεσμεν, ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. διὰ τοῦτο εἶπε, τίνι λόγῳ μετεπέμψασθέ με, ἵνα ταῦτα οὕτως εἴπῃ τὰ ῥήματα. ἀνοίξας δὲ Πέτρος τὸ στόμα εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. τουτέστιν· ἄν τε ἀκρόβυστός ἐστιν, ἄν τε ἐμπερίτμητος. τοῦτο καὶ Παῦλος δηλῶν, οὐ γάρ ἐστι προσωποληψία παρὰ τῷ Θεῷ, λέγει. νῦν οὖν πάρεσμεν πάντες ἡμεῖς, φησιν, ἐνώπιον τοῦ Θεοῦ· ὅρα ὅση ἡ πίστις, ὅση ἡ εὐλάβεια. ᾔδει ὅτι οὐδὲν ἀνθρώπινον εἶπεν ὁ Πέτρος, ὁ Θεὸς ἔδειξέ μοι, εἰπών. διὸ καὶ τὸ πάρεσμεν ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ, λέγει. τί οὖν.

HOMILIA XXIII.

Sequenti verò die surgens Petrus, profectus est cum illis. Quidam autem fratres Joppenses comitati illum, simul ingressi sunt in Cæsaream: Cornelius verò expectabat illum, vocatis cognatis & necessariis amicis suis.

Postquam hospitaliter tractavit viros, profectus est cum illis. Bene, prius benevolum se illis præbet, utpote ex itinere fatigatis, & familiares sibi reddidit, & tum tandem proficiscitur. *Sequenti vero die*, inquit, *surgens Petrus, profectus est cum illis. Quidam autem fratres Joppenses.* Non solus, sed & alii veniunt cum eo, id quod singulari ordinatione contigit, ut essent posteà testes, quando Petro opus defensione esset. *Cornelius verò expectabat illum vocatis cognatis & necessariis amicis suis.* Hoc amici officium, hoc pii, in talibus bonis necessarios amicos facere socios. Meritò hos convocat, quibus fidebat, & cum quibus de talibus semper egerat, quæ frustra cum aliis tractasset. Mihi autem videntur amici & cognati ab ipso fuisse instituti. *Ubi verò advenit Petrus, occurrens Cornelius illi, & cadens ad pedes, adoravit. Petrus autem erexit illum, dicens: Surge, nam & ego homo sum.* Hoc faciens, humilitatem suam ostendit, & alios docuit, Deóque gratias agit, ac declarat quòd licèt jussus sit, tamen & per se multam habeat promtitudinem. Quid igitur Petrus? *Surge, nam & ego homo sum.* Vides quomodo præ aliis illos docent, nihil de se magnum sentire. *Et ingressus colloquebatur cum illo, & inveniebat multos qui simul aderant, dixitque ad illos: Vos scitis quòd non est fas hominem Judæum adhærere alienigenæ.* Vide ut statim de divina misericordia disserit, monstrans quod magna illis bona Deus concesserit. Non solùm autem hoc admirabile hic est, quod talia disserit, sed quòd aliquo modo simul & sublimia loquitur, & modestiæ rationem habet. Non enim dixit, Non dignamur accedere aliquos homines, & venimus ad te. Sed quid? *Vos scitis quod Deus hoc jussit*, inquit, *injustum esse adhærere vel accedere alienigenam.* Deinde ut ne in illo gratiam statuat, subdit: *Et mihi Deus ostendit nullum communem vel immundum dicendum hominem.* Hoc apponit ne videatur adulari homini. *Ideo & absque contradictione veni accersitus*: Ne putarent, quod, quamvis in hoc legem prævaricaretur, quia Centurio esset, veniat; totum Deo imputat. Non solùm non adhærere, sed neque accedere liceat, inquit. Obedio igitur sermoni quo me vocastis. Sciebat enim Petrus totum ex visione, sed primùm vult illos confiteri, & fidei mancipare. Quid igitur Cornelius? non enim dixit: Nónne dixerunt tibi milites: sed vide quàm mansuetè ac humiliter. *A quarto die usque in hanc horam eram jejunans, & nona hora orans in domo mea. Et ecce vir stetit coram me in me vestitu splendido. Et inquit, Corneli, exaudita est oratio tua, & eleemosyna tua ascenderunt in memoriam coram Deo. Et nona hora*, inquit, *orans.* Quid est hoc? Mihi videtur & tempora vitæ religiosæ sibi constituisse. Et in aliquot diebus: propter hoc enim dixit, *A quarto die.* Vide, quanta sit oratio, quando addixit se pietati, tunc apparet illi Angelus. Ille unus dies erat: & quando abierunt missi, iterum unus: & quando venerunt, iterum unus: & quarto die apparuit, ita ut sit secundus dies post quem oraverat. *Et ecce vir stetit coram me in vestitu splendido.* Non dicit Angelum, adeò alienus erat à fastu. Et inquit: *Corneli, exaudita est oratio tua, & eleemosyna tua in memoria habitæ sunt coram Deo. Mitte igitur Joppen, & accerse Simonem qui cognominatur Petrus. hic agit hospitem in domo Simonis coriarii juxta mare: qui ubi advenerit, loquetur tibi. Ex hac igitur hora misi ad te, Tu autem benefecisti qui adveneris. Nunc ergo omnes nos coram Deo adsumus, ut audiamus omnia quæcunque tibi præcepta sunt à Deo.* Idcirco dixit, *qua ratione accersistis me*, ut hæc sic dicat verba. *Aperiens autem Petrus os, dixit: In veritate comperio quòd non est personarum acceptor Deus? sed in omni gente qui timet illum, & operatur justitiam, acceptus illi est.* Hoc est, sive præputiatus sit, sive circumcisus. Hoc & Paulus manifestans; *Non enim est personarum acceptio apud Deum*, dicit. Rom. 2.11. *Nunc igitur adsumus omnes*, inquit, *coram Deo*, Vide quanta fides, quanta pietas. Sciebat Petrum nihil humani dicturum, quum dixisset: *Deus monstravit mihi. Ideo & assumus ut audiamus omnia quæ præcepta sunt tibi à Deo*, dicit. Quid igitur? Nun-

Nunquid acceptus illi est is qui in Perside agit? Si fuerit dignus, A hac ratione acceptus erit ut assequatur fidem. Hinc etiam Eunuchum ex Æthiopia non despexit. Et quid, dicet quis, dicis de his qui Deum colunt & despecti sunt? Absit. Nullus qui Deum colit, despicitur. Non enim possibile est, ut quis ulla in gente despiciatur unquam. *In omni enim*, inquit, *gente, qui timet Deum, & operatur justitiam.* *Justitiam* vocat omnem virtutem. Vides ut deprimat illius arrogantiam ne sublime de se sentiat, dicendo, *In omni gente qui timet Deum, acceptus illi est.* Quasi di- B cat, nullum repellit, omnes admittit credentes. Deinde ut ne putentur esse inter abjectos, adjicit: *Sermonem quem misit filiis Israel, evangelizantem pacem per Jesum Christum, hic est omnium Dominus.* Hæc dicit propter præsentes, ut & illis persuadeat. Idcirco facit & Cornelium loqui. *Sermonem*, inquit, *quem misit filiis Israel.* Vide, dat his privilegium, mox & illos testes adhibet, dicens. *Vos scitis verbum quod factum est per totam Judæam, quod incepit à Galilæa post baptisma quod prædicavit Joannes.* C Quod sic habeat, ex sequentibus firmat: *Jesum Nazarenum quomodo unxerit illum Deus in Spiritu sancto & virtute.* Non dixit, Scitis Jesum. Nesciebant enim, sed quæ ab illo facta erant, pertractat. *Qui ambulavit benefaciendo & sanando omnes oppressos à diabolo.* Hinc ostendit multas cæcitates diabolicas & corruptiones corporis ab illo factas. *Quia Deus erat cum illo.* Iterum humilia loquitur, non simpliciter opinor, sed propter humanitatem. *Et nos testes omnium quæ fecit, tam in regione Judæorum, quam* D *in Hierusalem. Quem & interemerunt suspensum in ligno.* Hic passionem prædicat. *Hunc Deus suscitavit tertio die, & posuit illum ut manifestus fieret, non omni populo, sed testibus his qui præordinati erant a Deo, nobis scilicet qui comedimus & bibimus cum illo post resurrectionem à mortuis.* Hoc maximum resurrectionis argumentum est. *Et præcepit nobis prædicare populo & testificari, quod ipse est qui definitus est à Deo judex vivorum ac mortuorum.* Magnum etiam hoc ut demonstret fide dignos. At ille etiam te- E stimonium adhibet, dicens: *Huic omnes prophetæ testimonium perhibent, quod remissionem peccatorum accepturus sit per nomen illius, omnis qui credit in illum.* His quid post hæc futurum prædicebatur: quod ut corroboraret, prophetas tempestivè testes adhibet. Sed videamus iterum ea quæ de Cornelio dicta. *Misit*, inquit, *in Joppem, ut accerserent Petrum.* Omnino venturum credidit, & propterea mittit. *Et colloquens cum illo*, dicit, *intravit.* Quidnam *colloquens*? hæc opinor loquens, quæ scilicet A anteà dicta sunt: & *quum cecidisset ad pedes, adoravit.* Vide sermonem ab adulatione alienum, & per omnia humilitate plenum. Hinc dignus monstratur & ille Eunuchus. *Jussit enim*, inquit, *Philippum ut ascendat & sedeat in curru*, quamvis nesciret quis esset. Vides mores sine fastu? Tu autem, oro, considera quomodo Petrus divinam suam loquendi audaciam ostendit, dicendo, *Vos scitis quod non licet.* Et quare non dixit statim *linteum*? quia erat valde alienus à vana gloria, nam dicit quidem quod missus erat B à Deo, quomodo autem, non item: sed quando oportebat, tunc dixit: *Vos scitis quod non licet Judæo adhærere vel accedere ad alienigenam.* Ita erat expers vanæ gloriæ. *Vos scitis*, hoc dicens, etiam illorum sententiam admittit. Quid igitur Cornelius? *Assumus*, inquit, *coram Deo, ut audiamus omnia hæc quæ tibi præcepta a Deo*: non dixit, coram homine, sed *coram Deo*, ostendens sic oportere accedere servos Dei. Vidistis mentem excitatam & vigilem? vidistis illis omnibus dignum? *Aperiens autem*, inquit, C *os, dixit: In veritate comperio quòd non est acceptor personarum Deus.* Hoc & ad Judæos præsentes defendendi gratia dicebat. Habiturus enim ad illos sermonem, hoc tanquam defensionem præmittit. Quid igitur? num anteà personarum acceptor erat? Absit, quia & antea sic erat. *Omnis enim qui timet Deum, & operatur justitiam*, inquit, *acceptus illi erit.* Hoc & Paulus scribens di-

Rom 2,14. cit. *Quando enim Gentes legem non habentes, natura quæ legis sunt* D *faciunt*: etiam dogma adhibet, & instructionem. Nam si magos & Eunuchum non despexit, neque latronem, neque meretricem: multò magis eos qui faciebant justitiam & volebant, omnino non despiciet. Cur igitur, quod sunt humani & faciles homines, & credere nolunt? Ecce causam dixisti, quod nolunt. Et aliter: *Justum* hic dicit non simpliciter benignum & humanum, sed eum qui operatur justitiam, hoc est, eum qui in omnibus virtute præditus est. Quis igitur talis est, ut habeat timorem ut oportet? solus Deus novit. Vide quomodo erat hic acceptus. Mox ut E audivit etiam obedivit. At dicet quis, Etiam nunc nemo est qui non obediret adveniente Angelo? At nunc multò majora sunt signa quam hæc fuerunt, & nihilominus increduli multi.

A ἆρα δεκτὸς αὐτῷ ἐστιν ὁ ἐν Περσίδι; ἂν ᾖ ἄξιος, ταύτῃ δεκτὸς ἔσται τῷ καταξιωθῆναι τῆς πίστεως. ἐντεῦθεν καὶ τὸν ἐξ Αἰθιοπίας εὐνοῦχον οὐ παρεῖδε. καὶ τί, φησὶν, ἂν εἴποις περὶ τῶν θεοσεβῶν καὶ περιοφθέντων; ἄπαγε· οὐδεὶς περιορᾶται θεοσεβής. οὐ γάρ ἐστιν, οὐκ ἔστι περιοφθῆναί τινα τῶν τοιούτων ποτέ. ἐν παντὶ ἔθνει, φησὶν, ὁ φοβούμενος τὸν Θεὸν καὶ ἐργαζόμενος δικαιοσύνην. δικαιοσύνην, τὴν πᾶσαν ἀρετὴν οὕτω καλεῖ. ὁρᾷς πῶς καταστέλλει αὐτοῦ τὸ φρόνημα, τῷ εἰπεῖν ἐν παντὶ ἔθνει ὁ φο- B βούμενος [τὸν Θεὸν] δεκτὸς αὐτῷ ἐστιν; ὡσεὶ ἔλεγεν· οὐδένα ἀπωθεῖται, πάντας προσίεται τοὺς πιστεύοντας. εἶτα ἵνα μὴ δόξωσιν ἐν τάξει ἀπερριμμένων εἶναι, ἐπάγει· τὸν λόγον ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτός ἐστι πάντων κύριος. ταῦτα λέγει διὰ τοὺς παρόντας, ἵνα καὶ ἐκείνους πείσῃ. διὰ τοῦτο προσκατασκευάζει καὶ τὸν Κορνήλιον εἰπεῖν. τὸν λόγον, φησὶν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραήλ. ὅρα, τούτοις δίδωσι τέως τὸ ἐξαίρετον. εἶτα καὶ αὐτοὺς μάρτυρας C ἐπάγεται, λέγων· ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης. ὅτι οὕτως ἔχει, τοῦτο καὶ ἀπὸ τῶν ἑξῆς βεβαιοῖ. Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲθ, ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς ἐν Πνεύματι ἁγίῳ, καὶ δυνάμει. οὐκ εἶπεν, ἴστε Ἰησοῦν· οὐδὲ γὰρ ᾔδεσαν, ἀλλὰ τὰ ὑπ' αὐτοῦ εἰργασμένα διέξεισιν. ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. ἐντεῦθεν δείκνυσι πολλὰς πηρώσεις D διαβολικὰς καὶ διαστροφὰς σώματος ὑπ' ἐκείνου γινομένας. ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ. πάλιν ταπεινὰ φθέγγεται, οὐχ ἁπλῶς οἶμαι, ἀλλὰ διὰ τὸ ἀνθρώπινον. καὶ ἡμεῖς μάρτυρες πάντων ὧν ἐποίησεν ἔν τε τῇ χώρᾳ τῶν Ἰουδαίων καὶ [ἐν] Ἱερουσαλήμ. καὶ ὑμεῖς φησὶ καὶ ἡμεῖς. ὃν καὶ ἀνεῖλον κρεμάσαντες ἐπὶ ξύλου. ἐνταῦθα τὸ πάθος κηρύττει. τοῦτον ὁ Θεὸς ἤγειρε τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν, οἵτινες συνεφάγομεν καὶ συνεπίομεν αὐτῷ μετὰ τὸ E ἀναστῆναι αὐτὸν ἐκ νεκρῶν. τοῦτο τεκμήριον τῆς ἀναστάσεως μέγιστον. καὶ παρήγγειλεν ἡμῖν κηρύξαι τῷ λαῷ καὶ διαμαρτύρασθαι, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ τοῦ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. μέγα καὶ τοῦτο πρὸς τὸ δεῖξαι ἀξιοπίστους. ὁ δὲ καὶ μαρτυρίαν ἐπάγει λέγων· τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν, ἄφεσιν ἁμαρτιῶν λαβεῖν διὰ τοῦ ὀνόματος αὐτοῦ πάντα τὸν πιστεύοντα εἰς αὐτόν. τοῦτο τοῦ μέλλοντος ἔσεσθαι μετὰ ταῦτα προαναφώνησις. ἣν δὴ καὶ βε- A βαιῶν, τοὺς προφήτας εὐκαίρως μάρτυρας ἐπάγει. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ κατὰ τὸν Κορνήλιον. ἀπέστειλε, φησὶν, εἰς Ἰόππην μετακαλέσασθαι τὸν Πέτρον. ἐπίστευσε [γὰρ] ὅτι πάντως ἥξει. διὸ καὶ ἀποστέλλει. καὶ συνομιλῶν, φησὶν, εἰσῆλθε. τί ἆρα ὁμιλῶν; ταῦτα οἶμαι φθεγγόμενος, ἅπερ ἔμπροσθεν εἴρηται. καὶ πεσὼν ἐπὶ τοὺς πόδας προσεκύνησεν. ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον, πανταχοῦ καὶ ταπεινότητος γέμοντα. ἐντεῦθεν ἄξιος δείκνυται καὶ ἐκεῖνος ὁ B εὐνοῦχος. ἐκέλευσε γὰρ τῷ Φιλίππῳ ἀναβῆναι καὶ καθίσαι ἐπὶ τὸ ὄχημα· καίτοι οὐκ εἰδὼς ὅστις ἐστὶν ἢ ἀπὸ τῆς ἀπαγγελίας μόνον τοῦ προφήτου. οὗτος δὲ καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας. εἶδες ἦθος ἄτυφον; σὺ δέ μοι σκόπει πῶς δείκνυσι Πέτρος θείαν αὐτοῦ τὴν παρρησίαν, τῷ λέγειν· ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστι; καὶ διατί μὴ εἶπε τὴν σινδόνα εὐθέως; ὅτι ἀκενόδοξος ἦν σφόδρα. ὅτι μὲν γὰρ ἀπέσταλται ὑπὸ τοῦ Θεοῦ, λέγει· τὸ δὲ πῶς, οὐκ ἔτι, ἀλλ' ὅτε ἀνάγκη C γέγονεν, ὅτε καὶ εἶπεν· ὑμεῖς ἐπίστασθε ὡς ἀθέμιτόν ἐστιν Ἰουδαίῳ κολλᾶσθαι ἢ προσέρχεσθαι ἀλλοφύλῳ. οὕτως ἦν πόρρω κενοδοξίας. ὑμεῖς ἐπίστασθε, τοῦτο λέγων καὶ τὴν ἐκείνων κατασκευάζεται γνώμην. τί δαὶ Κορνήλιος; πάρεσμεν, φησὶν, ἐνώπιον τοῦ Θεοῦ ἀκοῦσαι πάντα τὰ προστεταγμένα σοι ὑπὸ τοῦ Θεοῦ. οὐκ εἶπεν, ἐνώπιον ἀνθρώπου, ἀλλὰ Θεοῦ, δεικνὺς, ὅτι οὕτω δεῖ προσέρχεσθαι τοῖς τοῦ Θεοῦ δούλοις. εἴδετε διάνοιαν διεγηγερμένην; εἴδετε πῶς ἄξιος ἦν πάντων τούτων; D ἀνοίξας δὲ, φησὶ, Πέτρος τὸ στόμα εἶπεν· ἐπ' ἀληθείας καταλαμβάνομαι, ὅτι οὐκ ἔστι προσωπολήπτης ὁ Θεός. τοῦτο καὶ πρὸς τοὺς παρόντας Ἰουδαίους ἀπολογούμενος ἔλεγε. μέλλων γὰρ πρὸς αὐτοὺς μεταχειρίζειν τὸν λόγον, ὥσπερ ἀπολογίαν προτέραν τίθησι. τί οὖν; πρὸ τούτου προσωπολήπτης ἦν; μὴ γένοιτο. ἐπεὶ καὶ πρὸ τούτου οὕτως ἦν. πᾶς ὁ φοβούμενος καὶ ἐργαζόμενος [φησὶ] δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστι. τοῦτο καὶ Παῦλος γράφων λέγει. ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῇ. καὶ δόγμα εἰσάγει καὶ πολιτείαν. E εἰ γὰρ μάγους οὐ παρεῖδεν οὐδὲ Αἰθίοπα, οὐδὲ λῃστὴν, οὐδὲ πόρνην, πολλῷ μᾶλλον τοὺς ἐργαζομένους δικαιοσύνην καὶ βουλομένους πάντως οὐ παρόψεται. τί οὖν, ὅσοι εἰσὶν ἐπιεικεῖς καὶ ἥμεροι ἄνθρωποι, καὶ πιστεῦσαι οὐ βούλονται; εἶδες σὺ τὴν αἰτίαν εἰπὼν, ὅτι οὐ βούλονται. ἄλλως δὲ ἐπιεικῆ ἐνταῦθα οὐ τὸν πρᾶον λέγει, ἀλλὰ τὸν δικαιοσύνην ἐργαζόμενον, τουτέστι τὸν ἐν πᾶσιν ἐνάρετον. ὅστις τοιοῦτός ἐστιν, ὥστε ἔχειν τοῦ Θεοῦ τὸν φόβον ὡς χρή. τὸν δὲ τοιοῦτον ὁ Θεὸς οἶδε μόνος. ὅρα πῶς ἦν οὗτος δεκτός. ἅμα ἤκουσε, καὶ ἐπείσθη. καὶ νῦν εἰ ἄγγελος ἦλθε, φησὶν, ἐπείσθη ἂν ἕκαστος ὅστις ἂν ᾖ. ἀλλὰ πολλῷ τὰ νῦν σημεῖα ἐκείνων ἐστὶ μείζονα, καὶ ὅμως ἀπιστοῦσι πολλοί. ἵνα

εἶτα ἄρχεται τῆς διδασκαλίας, καὶ τηρεῖ τὴν εὐγένειαν τοῖς Ἰουδαίοις. Τὸν λόγον, φησὶν, ὃν ἀπέστειλε τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην. οὗτός ἐστι κύριος πάντων. πρῶτον περὶ τῆς κυριότητος αὐτοῦ διαλέγεται, καὶ σφόδρα ὑψηλῶς [ὡς ἔφην,] ἐπειδὴ καὶ πρὸς ψυχὴν εἶχεν ὑψηλὴν ἤδη γινομένην [καὶ] πάντα θερμῶς δεχομένην τὰ ὑπ' αὐτοῦ παρεγγυώμενα. εἶτα κατασκευάζων πῶς κύριος ἁπάντων, ἐπάγει καὶ λέγει· ὃν ἀπέστειλεν εὐαγγελιζόμενος· τουτέστιν, ἐπ' ἀγαθοῖς καλοῦντα, οὐ κρίσιν ἐπάγοντα. ἐντεῦθεν δείκνυσιν, ὅτι οὗτος ἀπὸ Θεοῦ Ἰουδαίοις πρῶτον ἀπεστάλη. εἶτα ἀφ' ὧν κατώρθωσε καθ' ὅλης τῆς Ἰουδαίας τοῦτο συναποδείκνυσι καὶ λέγει· ὑμεῖς οἴδατε τὸ γενόμενον ῥῆμα καθ' ὅλης τῆς Ἰουδαίας· καὶ τὸ θαυμαστὸν, ἀρξάμενον ἀπὸ τῆς Γαλιλαίας μετὰ τὸ βάπτισμα ὃ ἐκήρυξεν Ἰωάννης. πρότερον εἶπεν αὐτοῦ τὸ κατόρθωμα, καὶ τότε θαρρεῖ περὶ τῆς αὐτοῦ πατρίδος εἰπεῖν. Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. οὕτως ᾔδει ὅτι σκάνδαλον ἡ πατρίς. ὡς ἔχρισεν αὐτὸν ὁ Θεὸς Πνεύματι ἁγίῳ καὶ δυνάμει. πάλιν κατασκευή. ἵνα γὰρ μή τις εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον; ἐπάγει λέγων· ὃς διῆλθεν εὐεργετῶν καὶ ἰώμενος πάντας τοὺς καταδυναστευομένους ὑπὸ τοῦ διαβόλου. εἶτα μετὰ τῶν ἀγαθῶν ὧν ἐποίησε δείκνυσι καὶ τὴν δύναμιν ὅτι πολλή. ὅπου γὰρ τοῦ διαβόλου περιγίνεται, πολλή τις ἐστὶ καὶ μεγάλη. καὶ ἡ αἰτία, ὅτι ὁ Θεὸς ἦν μετ' αὐτοῦ φησιν. διὰ τοῦτο καὶ Ἰουδαῖοι οὕτως ἔλεγον· οἴδαμεν ὅτι ἀπὸ τοῦ Θεοῦ ἐλήλυθας διδάσκαλος. οὐδεὶς γὰρ ταῦτα τὰ σημεῖα δύναται ποιεῖν, ἂν μὴ ᾖ ὁ Θεὸς μετ' αὐτοῦ. εἶτα ὅτε ἔδειξεν ὅτι ἀπὸ Θεοῦ ἀπεστάλη, τότε λέγει ὅτι ἀνῃρέθη. ἵνα μή τι ἄτοπον φαντασθῇς. ὁρᾷς αὐτοὺς οὐδαμοῦ κρύπτοντας τὸν σταυρὸν, ἀλλὰ μετὰ τῶν ἄλλων τιθέντας καὶ τὸν τρόπον; ὃν καὶ ἀνεῖλον, φησὶ, κρεμάσαντες ἐπὶ ξύλου. καὶ ἔδωκεν αὐτὸν ἐμφανῆ γενέσθαι, οὐ παντὶ τῷ λαῷ, ἀλλὰ μάρτυσι τοῖς προκεχειροτονημένοις ὑπὸ τοῦ Θεοῦ ἡμῖν. καίτοι γε αὐτὸς αὐτοὺς ἐξελέξατο. ἀλλὰ καὶ τοῦτο ἀνατίθησι τῷ Θεῷ. τοῖς προκεχειροτονημένοις, φησίν. ὅρα πόθεν τὴν ἀνάστασιν βεβαιοῦται· ἀπὸ τοῦ φαγεῖν. διατί δὲ μηδὲν ἀναστὰς ἐποίησε σημεῖον, ἀλλ' ἔφαγε καὶ ἔπιεν; ὅτι καὶ αὐτὴ ἡ ἀνάστασις καθ' ἑαυτὴν μέγα σημεῖον ἦν. ταύτης δὲ οὐδὲν οὕτως εἰς ἀπόδειξιν μεῖζον, ὡς τὸ φαγεῖν καὶ πιεῖν. διαμαρτύρασθαι, φησίν. ἐνταῦθα καὶ φοβερῶς εἶπεν, ἵνα μὴ ἔχωσιν εἰς ἄγνοιαν καταφυγεῖν. καὶ οὐκ εἶπεν, ὅτι αὐτός ἐστιν ὁ υἱὸς τοῦ Θεοῦ, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐφόβει, ὅτι αὐτός ἐστιν ὁ ὡρισμένος ὑπὸ Θεοῦ κριτὴς ζώντων καὶ νεκρῶν. εἶτα ἡ κυρία κατασκευὴ, καὶ ἀπὸ τῶν προφητῶν. μεγάλην γὰρ εἶχον δόξαν ἐκεῖνοι. τούτῳ πάντες οἱ προφῆται μαρτυροῦσιν. ὅτε τῷ φόβῳ κατέσεισε, τότε ἐπάγει τὴν συγχώρησιν. οὐ παρ' αὐτοῦ λεγομένην, ἀλλὰ παρὰ τῶν προφητῶν. καὶ τὸ μὲν φοβερὸν, παρ' αὐτοῦ· τὸ ἥμερον δὲ, ἀπὸ τῶν προφητῶν. ὅσοι μὲν οὖν τῆς ἀφέσεως ἐτύχετε ταύτης, ὅσοι τῆς πίστεως κατηξιώθητε, μαθόντες τῆς δωρεᾶς τὸ μέγεθος, παρακαλῶ, σπουδάσατε μὴ ὑβρίσαι εἰς τὸν εὐεργέτην. ἐτύχομεν γὰρ ἀφέσεως οὐχ ἵνα χείρους γενώμεθα, ἀλλ' ἵνα ἀμείνους πολλῷ καὶ βελτίους. μηδεὶς τοίνυν εἴπῃ, ὅτι ὁ Θεὸς αἴτιος ἡμῖν τῶν κακῶν, μὴ κολάσας μηδὲ τιμωρησάμενος. εἰπὲ γάρ μοι· ἂν ἄρχων λαβὼν φονέα ἀφῇ, τῶν μετὰ ταῦτα φόνων αὐτὸς αἴτιος εἶναι κρίνεται; οὐδαμῶς. καὶ πῶς αὐτοὶ τὰς ἀθέους γλώσσας διδόντες ὑβρίζειν τὸν Θεὸν, δι' ὧν τολμῶμεν, οὐ δεδοίκαμεν οὐδὲ φρίττομεν; τί γὰρ οὐκ ἐροῦσι; τί δαὶ οὐ φθέγγονται; αὐτὸς αὐτοῖς ἐπέτρεψε, φησίν. ἐχρῆν γὰρ ἀξίους ὄντας κολάσαι, οὐ τιμᾶν, οὐδὲ στεφανοῦν· οὐ τῶν πρωτείων μεταδιδόναι, ἀλλὰ κολάζειν καὶ τιμωρεῖσθαι. ὁ δὲ μηδέν τι τούτων αὐτοῖς ποιῶν, ἀλλ' ἀντὶ τούτων καὶ τιμῶν, τοιούτους αὐτοὺς ἀπεργάζεται. μὴ, δέομαι καὶ ἀντιβολῶ· μηδεὶς ταύτην περὶ ἡμῶν ἀφῇ τὴν φωνήν. βέλτιον κατορυγῆναι μυριάκις, ἢ ταῦτα τὸν Θεὸν ἀκοῦσαι δι' ἡμᾶς. εἶπον αὐτῷ καὶ Ἰουδαῖοι· ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις ἐγείρων αὐτὸν, σῶσον σεαυτόν. καὶ πάλιν· εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβα ἀπὸ τοῦ σταυροῦ. ἀλλὰ ταῦτα ἐκείνων χαλεπώτερα. ἵν' οὖν μὴ ἐξῇ δι' ἡμᾶς πονηρίας αὐτὸν διδάσκαλον λέγεσθαι, μηδὲ αὐτοὶ τούτῳ τῷ βλασφημεῖσθαι ὑπόδικοι τῇ κολάσει γενώμεθα· δι' ὑμᾶς [γάρ] φησι τὸ ὄνομά μου βλασφημεῖται ἐν τοῖς ἔθνεσι· τἀναντία ποιήσωμεν λέγεσθαι, ἀξίως τοῦ καλοῦντος πολιτευόμενοι, καὶ τῷ τῆς υἱοθεσίας προσιόντες βαπτίσματι. οὕτως γὰρ μεγάλη τοῦ βαπτίσματος ἡ δύναμις, ἄλλους ἀντ' ἄλλων ποιεῖ τοὺς μεταλαχόντας τῆς δωρεᾶς· οὐκ ἀφίησιν εἶναι ἀνθρώπους τοὺς ἀνθρώπους. ποίησον τὸν Ἕλληνα πιστεῦσαι ὅτι μεγάλη τοῦ πνεύματος ἡ δύναμις· ὅτι μετέπλασεν· ὅτι μετερρύθμισε. τί τὰς ἐσχάτας ἀναπνοὰς ἀναμένεις, ὡς δραπέτης, ὡς κακοῦργος, ὡς οὐκ ὀφείλων τῷ Θεῷ ζῆσαι; τί ὡς πρὸς ἀπηνῆ τινα καὶ ὠμὸν ἔχων δεσπότην οὕτω διάκεισαι; τί ψυχρότερον; τί ταλαιπωρότερον τῶν τότε λαβόντων τὸ φώτισμα; φίλον σε ἐποίησεν ὁ Θεὸς, καὶ πάντων ἠξίωσε τῶν ἀγαθῶν,

A Deinde doctrinam incipit, & Judæis nobilitatem servat. *Sermonem*, inquit, *quem misit filiis Israel, evangelizantem pacem, hic est Dominus omnium.* Primùm de dominatione illius differit, multumque sublimiter. Quia ad hominem loquebatur eximium jam factum, & alacriter suscipientem omnia quæ à se afferebantur. Deinde præparans sermonem quomodo Dominus omnium, addit ac dicit, *Quem misit evangelizantem*, hoc est, ad bona vocantem, non judicium intentantem. Hinc B ostendit quod hic à Deo Judæis primùm missus est: deinde ab his quæ per totam Judæam facta sunt, hoc simul ostendit & dicit, *Vos scitis verbum quod factum est per totam Judæam.* Etiam hoc mirabile, *quum incepit à Galilæa post baptisma quod prædicavit Joannes.* Prius dixit ipsius opus, & tunc fidenter loquitur de ejus patria, dicendo, *Jesum à Nazareth.* Sciebat enim quod patria offendebat. *Quomodo unxerit eum Deus Spiritu Sancto & virtute.* Iterum præparat, ut ne quis dicat, C unde hoc manifestum, addit dicens, *Qui ambulavit benefaciendo & sanando omnes oppressos à diabolo.* Posteà cum bonis quæ fecerat, ostendit etiam potentiam quod plurima esset ac magna. Et causa, *Quia Deus erat cum illo*, inquit. Propter hoc & Judæi sic dicebant, *Scimus quod à Deo venisti, magister: nullus enim hæc signa potest facere, nisi Deus sit cum illo.* Deinde ubi ostendit quod à Deo missus, tunc dicit quod occisus est, ne quid absurdum imagineris. Vides illos nusquam occultare D crucem, sed cum aliis & modum ponere. *Quem & occiderunt*, inquit, *suspensum in ligno. Et posuit illum ut manifestus fieret non omni populo, sed testibus qui præordinati à Deo, nobis.* Quamvis ipse illos elegerat, attamen & hoc refert in Deum. *His qui præordinati*, inquit. Vides unde resurrectionem stabilit, *à comedendo.* Quare autem non resurgens fecit signum, sed *comedit, ac bibit?* Quia & resurrectio ipsa per se magnum signum erat. Nihil autem ad ostendendam illam majus, quam E *comedere ac bibere. Testificari* inquit. Hinc etiam cum terrore dixit, ne possent ad ignorantiam confugere: & non dixit, Hic est filius Dei, sed quod maximè illos terrebat, *Hic est præfinitus à Deo judex vivorum ac mortuorum.* Deinde valida est argumentatio & à prophetis. Illi enim in magna existimatione habebantur. *Huic omnes prophetæ testimonium dant.* Postquam timore concussit, tunc & addit veniam, non ab illo, sed A à prophetis dictam. Et hoc quod terrebat, ab illo dictum: quod autem blandius erat, à prophetis sumptum. Quotquot hanc remissionem assequuti, quicunque fidem hanc adepti estis, scitote doni magnitudinem: obsecro, date operam ne benefactorem contumelia afficiatis. Obtinuimus enim remissionem, ut ne deteriores efficiamur, sed multò meliores ac præstantiores. Nullus igitur dicat, Deus nobis author malorum est, dum non punit, nec B vindicat. Dic enim oro, si princeps apprehensum homicidam, liberum dimittat: nunquid judicatur esse author sequentium homicidiorum? Minimè. Et quomodo audemus hoc impiis linguis permittere ut blasphement? non reveremur, nec horremus? Quid enim non dicunt? quid non loquuntur? Ipse illis permisit, ajunt. Eos enim qui pœna digni erant, non oportebat aut honorare, aut coronare aut primatu evehere, sed punire ac ul- C cisci? At ille nihil horum illis faciens, sed pro his etiam honorans, tales illos efficit. Oro & obsecro, ne sic loquamini, nullus hanc vocem de nobis emittat. Satius fuerit sexcenties defodi, quàm Deum audire talia per nos. Dicebant ad illum & Judæi: *Qui destruis templum, & in tribus diebus illud excitas, salva teipsum.* & iterum: *Si filius Dei es, descende de cruce.* At hæ blasphemiæ illis multò graviores. Absit igitur, ne dicatur à no- D bis Deus malitiæ doctor, ne sic blasphemando ipsi efficiamur & digni suppliciis. *Propter vos*, inquit, *nomen meum blasphematur in gentibus.* Demus operam, ut alia de nobis dicantur, viventes ut decet illum qui nos vocavit, & eos qui adoptionis filiorum baptisma acceperunt. Profectò magna est baptismatis virtus: Participes doni alios ex aliis facit. Non sinit esse homines, homines. Fac ut credat Paganus, quia magna est spiritus potentia ut transformet, morésque compositos reddat. Cur E expectas extremam respirationem, sicut fugitivus, sicut malefactor, sicut non debens Deo vivere? Quare sic afficeris, quasi inhumanum & crudelem quendam dominum sortitus sis? Quid frigidius, quid inferius his qui illuminationem non accipiunt? Amicum te fecit Deus, & omnibus dignatus est bonis;

Joan. 3. 2.

Mat. 27. 40

Rom. 2. 24

ut & ipse facias ea quæ amici sunt. Dic oro mihi, si mulrio A quempiam contumeliis & innumeris probris profcideris, & in illius incideris manus, ille autem pro his omnibus te honoret, & omnia sua communicet, & inter amicos quum contumelia affectus sit, nihilominus te coronet, & dicat quod habeat ut germanum filium, deinde statim moritur, nonne damnum putasses? nonne dixisses, Vellem illum vivere, ut possem rependere; ut rependam, ut ne ingratus videar erga benefactorem? Jam si hoc homini facimus, ubi autem Deo debitor B es, vis abire ac mori, ne benefactori propter tot dona rependas? Quin potius tunc te illi adjunge, quando potes paria rependere. Cur fugis? cur tremis? cur metuis? Etiam, inquit: sed non possum me continere à vitiis. Igitúrne impossibilia præcepit tibi Deus? Hinc omnia confusa sunt: propter hoc mundus corruptus est, quod nullius scopus est vivere juxta Deum. Proinde catechumeni hoc curantes, nullum studium collocant in emendanda vita. Qui verò jam illuminati, alii quidem, quoniam quum C parvuli essent, baptisma susceperunt: alii verò quum infirmi, carent alacritate vivendi juxta Deum, & neque illi studiosi sunt. Qui autem & sani baptizati sunt, etiam ipsi parvam diligentiam præ se ferunt, & principio quidem præsentes valde fervidi sunt, posteà autem & ipsi ignem extinxerunt. Nunquid non potes negotiari? nunquid ab uxore te secludo? interdico tibi fornicationem: nunquid juberis patrimonium dissipare? abjice avaritiam & rapinam, nunquid cogeris D ut omnia eroges? Pauca quædam ex his quæ tibi abundant,

2.Cor.8,14. petuntur ab indigis. *Abundantia nostra*, inquit, *illorum inopiæ subveniat.* Et neque hoc persuademus. Non enim cogimus jejunare, prohibemus autem inebriari, & ventri indulgere. Ista amputemus quæ fœditatem tibi afferunt, quæ etiam ante gehennam jam sunt fugienda, & odio digna. Etiam ipse hoc fateris: num oblectari & gaudere simpliciter decet? sed non fœdè nec indignè. Quid times? quid terreris? quid tremis? Ibi nuptiæ, E ibi opum possessio, ibi convenientes cibi, & quænam peccati occasio? Sanè exteri diversa imperant, & obedientes inveniunt. Non enim ex his quæ suppetunt, exigunt, sed dicunt, Tantum dare oportebit, etiam si prætexas paupertatem, neque sic desistunt: Christus autem non sic, sed jubet ex his dare quæ habes, & in primo te ordine constituam. Iterum illi, Si vis ajunt, clarescere, relinquito patrem, matrem, cognatos, & sedulus adsis in aula regia, in laboribus, in miseriis, in A servitute, in variis occupationibus, & innumera ferens mala: Christus autem non sic, sed sis in domo cum uxore, cum pueris, & illos ipsos institue, & bonis moribus instrue, ut quietam & sine periculis vitam agas. Etiam, inquit, sed ille opes pollicetur? Atqui hic noster regnum, immo, &

Matt.6,33. cum hoc opes. *Quærite enim*, inquit, *regnum cœlorum, & hæc omnia adjicientur vobis.* Et ille quidem, neque in

Psal.36,25. augmenti partem: hic autem etiam purè concedit. *Junior* B *fui*, inquit, *etenim senui, & non vidi justum derelictum, neque semen ejus quærens panes.* Incipiamus igitur virtutes, ponamus initium, apprehendamus illam duntaxat, & videbis qualia bona. Nunquid enim absque labore illa operaris, quòd dum hæc aggredi oportet, mollior & ignavior es? Etiam, inquit, illa absque labore, hæc verò cum labore. Absit, minimè ita est: sed si verum dicere oportet, illa cum labore, & hæc absque labore multo si velle- C mus perficiuntur. Oro igitur ne abhorreamus à sacris mysteriis. Ne hoc spectes, quòd is qui antè illuminatus, hoc est, baptizatus, improbus factus est: & à spe sua excidit, & teipso segnior fias. Quoniam & inter milites videmus quosdam militia non ut oportet fungi, quosdam verò insignes ac præstantes esse, & non attendimus, sed bene operantes imitamur. Apud illos considera, quot post baptisma Angeli pro hominibus facti sunt. Timete, quoniam incerti sumus, D quid posteà futurum si nunc fuerimus negligentes. *Sicut fur*

2.Pet.3,10. *in nocte, ita veniet mors*: Neque simpliciter sicut fur, sed dormientibus nobis insidiatur, desidésque apprehensos abducit. Idcirco incertum voluit Deus esse quanto tempore duraturi simus, ut expectatione incerta, virtutem amplexemur semper. At misericors est, inquit. Quandiu frigidum hoc & ridiculum verbum ducimus? Ego non quod misericors sit Deus dico solum & ibi sermonem sisto, sed quod nihil sit misericor- E dius illo, & quod utiliter omnia quæ nobiscum sunt, dispensat. Quot vides per omnem ætatem elephantiasi laborare, quot item à prima ætate oculis orbos usque in senectam, & alios posteà excæcatos, alios egestate premi, alios in vinculis, alios in metalli fodinis simul contumulari, alios in bello interimi? Non sunt hæc misericordiæ opera, dic oro? non posset hæc si vellet prohibere? sed sinit. Etiam, inquit. Tu autem

A ἵνα καὶ αὐτὸς ἐπιδείξῃ τὰ τοῦ φίλου. εἰπὲ δή μοι, εἰ τὰ μεγάλα ἠδικήκεις εἴς τινα καὶ ὑβρίσας, καὶ μυρίοις αὐτὸν ὀνείδεσι περιβαλὼν ἐνέπεσες εἰς τὰς χεῖρας τοῦ ὑβρισθέντος· ὁ δὲ ἀντὶ τούτων ἐτίμησέ τε καὶ τῶν αὐτοῦ μετέδωκεν ἁπάντων, καὶ ἐν τοῖς φίλοις ἐφ' ὧν ὑβρίσθη ἐπὶ τούτων σε ἐστεφάνωσε, καὶ ἔφησεν ὡς υἱὸν ἔχειν γνήσιον, εἶτα ἀπέθανεν, οὐκ ἂν ζημίαν τὸ πρᾶγμα ἐνόμισας; οὐκ ἂν εἶπες, ἐβουλόμην αὐτὸν ζῶντα εἶναι, ἵνα δυνηθῶ ἀποδοῦναι τὰς ἀμοιβάς; ἵνα ἀμείψω- B μαι; ἵνα μὴ κακὸς φανῶ περὶ τὸν εὐεργέτην; εἶτα ἐπ' ἀνθρώπου μὲν οὕτως· ἐπὶ δὲ τοῦ Θεοῦ σπουδάζεις ἀπελθεῖν, ἵνα μὴ ἀμείψῃ τὸν εὐεργέτην τῶν τοσούτων δωρεῶν; καὶ μὴν τότε πρόσελθε, ὅτε αὐτὸν δύνασαι τοῖς ἴσοις ἀμείψασθαι. τί φεύγεις; ναί φησιν· ἀλλ' οὐ δύναμαι φυλάξαι. οὐκοῦν τὰ ἀδύνατα ἐπέταξεν ὁ Θεός; ἀπὸ τούτου πάντα ἀνατέτραπται· ἀπὸ τούτου τὰ τῆς οἰκουμένης διέφθαρται, ὅτι οὐδεὶς οὐδενὶ σκοπὸς κατὰ Θεὸν ζῆν. οἱ μὲν οὖν κατηχούμενοι οὐ τοῦτο σπουδάζοντες, οὐδεμίαν C ποιοῦνται ἐπιμέλειαν ὀρθοῦ βίου· οἱ δὲ ἤδη φωτισθέντες, οἱ μὲν ἐπεὶ παῖδες ὄντες τοῦτο ἔλαβον, οἱ δὲ ἐν ἀρρωστίᾳ, καὶ ἀνενεγκόντες, ἐπειδὴ μὴ εἶχον προθυμίαν τινὰ ζῆσαι διὰ Θεόν, οὐδὲ οὕτω σπουδαῖοι γίνονται· οἱ δὲ ἐν ὑγιείᾳ λαβόντες ὀλίγην ταύτην καὶ αὐτοὶ ἐπιδείκνυνται, καὶ πρὸς τὸ παρὸν διατεθέντες θερμοί, μετὰ ταῦτα καὶ οὗτοι τὸ πῦρ ἔσβεσαν. μὴ γὰρ οὐκ ἔνι πράγμασι χρῆσθαι; μὴ γὰρ τῆς γυναικός σε εἴργω; πορνείας σε ἀπείργω. μὴ γὰρ τῆς τῶν χρημάτων ἀπολαύσεως; πλεο- D νεξίας καὶ ἁρπαγῆς. μὴ γὰρ ἀναγκάζω πάντα κενῶσαι; ὀλίγα ἀπὸ τῶν ὄντων δοῦναι τοῖς δεομένοις. τὸ ὑμῶν περίσσευμα, φησίν, εἰς τὸ ἐκείνων ὑστέρημα. καὶ οὐδὲ οὕτω πειθόμεθα. μὴ γὰρ νηστεύειν βιαζόμεθα; μεθύειν κωλυόμεθα καὶ γαστρίζεσθαι. ταῦτα περιαιρούμεθα, ἃ αἰσχύνην σοι φέρει· ἃ καὶ πρὸ τῆς γεέννης ἐντεῦθεν ἐστὶ φευκτὰ καὶ μισητά, καὶ αὐτὸς εἶναι συνομολογεῖς. μὴ γὰρ ἥδεσθαι καὶ χαίρειν; ἀλλὰ μὴ αἰσχρῶς μηδὲ ἀναξίως. τί δέδοικας; τί φοβῇ; τί τρέμεις; ἐνθάδε E γάμος· ἐνθάδε χρημάτων ἀπόλαυσις· ἐνθάδε τροφὴ σύμμετρος. ποία ἁμαρτίας ὑπόθεσις; καὶ μὴν οἱ ἔξωθεν τὰ ἐναντία ἐπιτάττουσι, καὶ ἀκούονται. οὐ γὰρ ἀπὸ τῶν ὄντων ἀπαιτοῦσιν, ἀλλὰ λέγουσι, τοσόνδε δοῦναι δεῖ. κἂν προβάλλῃ πενίαν, οὐδὲ οὕτως ἀφίενται. ὁ δὲ Χριστὸς οὐχ οὕτως· ἀλλ', ἀφ' ὧν ἔχεις δός, καὶ εἰς τὴν πρώτην καταλέξω τάξιν. πάλιν ἐκεῖνοι· εἰ βούλει, φησίν, εὐδοκιμεῖν, κατάλιπε πατέρα, μητέρα, συγγενεῖς, οἰκείους, καὶ προσεδρεύε τοῖς βασιλείοις, κοπτόμενος, ταλαιπωρούμενος, δουλεύων, ἀσχημονῶν, A μυρία πάσχων κακά. ὁ δὲ Χριστὸς οὐχ οὕτως, ἀλλ' ἔσο ἐν τῇ οἰκίᾳ μετὰ τῆς γυναικός, μετὰ τῶν παίδων, καὶ αὐτὰ ταῦτα διάπλαττε καὶ ῥύθμιζε τὸν ἀπράγμονα βίον ζῆν καὶ ἀκίνδυνον. ναί φησιν· ἀλλ' ἐκεῖνος χρήματα ἐπαγγέλλεται; ἀλλ' οὗτος βασιλείαν· μᾶλλον δὲ καὶ χρήματα μετὰ ταύτης. ζητεῖτε γάρ, φησί, τὴν βασιλείαν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν. καὶ ἐκεῖνος μέν, οὐδὲ ἐν προσθήκης μέρει· οὗτος δὲ καὶ προηγουμένως. νεώτερος ἐγενόμην φησί· καὶ γὰρ B ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον, οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. ἀρξώμεθα τοίνυν τῆς ἀρετῆς· [θῶμεν προοίμιον·] ἐπιλαβώμεθα αὐτῆς μόνον, καὶ ὄψει οἷα τὰ ἀγαθά. μὴ γὰρ ἀπονητὶ ἐκεῖνα κατορθοῖς, ὅτι πρὸς ταῦτα μαλακίζῃ; ναί φησιν· ἐκεῖνα ἀπονητί, ταῦτα δὲ μετὰ πόνου. ἄπαγε· οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλ' εἴ τι δεῖ τἀληθὲς εἰπεῖν, ἐκεῖνα μᾶλλον πόνοις συνέζευκται καὶ μετὰ πόνου πλείονος κατορθοῦται· ταῦτα δὲ ἂν ἐθέλωμεν, ῥᾳδίως. C μὴ δὴ ἀποπηδῶμεν τῶν θείων μυστηρίων παρακαλῶ· μὴ τοῦτο ἴδῃς ὅτι πρὸ σοῦ φωτισθεὶς φαῦλος γέγονε, καὶ τῆς ἐλπίδος ἐξέπεσε τῆς αὐτοῦ, καὶ ὀκνηρότερος σαυτοῦ γένῃ. ἐπεὶ καὶ ἐν τοῖς στρατιώταις ὁρῶμεν, τοὺς μὲν οὐκ εἰς δέον χρωμένους τῇ στρατείᾳ, τοὺς δὲ εὐδοκιμοῦντας· καὶ οὐ τοῖς ῥᾳθύμοις προσέχομεν, ἀλλὰ τούτους ζηλοῦμεν τοὺς κατορθοῦντας. πρὸς τούτους, ἐννόησον ὅσοι μετὰ τὸ φώτισμα ἄγγελοι ἀντὶ ἀνθρώπων γεγόνασι. φοβήθητε τὸ τοῦ μέλλοντος ἄ- D δηλον. ὡς κλέπτης ἐν νυκτί, οὕτως ἔρχεται ὁ θάνατος. οὐδὲ ἁπλῶς ὡς κλέπτης· ἀλλὰ καθευδόντων ἡμῶν ἐπιτίθεται, καὶ ῥᾳθυμοῦντας λαβὼν ἄπεισι. διὰ τοῦτο ἄδηλον ἐποίησε τὸ μέλλον ὁ Θεός, ἵνα ἀεὶ τῇ τῆς προσδοκίας ἀδηλίᾳ ἐν ἀρετῇ διάγωμεν. ἀλλὰ φιλάνθρωπός ἐστι, φησί; μέχρι πότε τὸ ψυχρὸν τοῦτο ῥῆμα καὶ καταγέλαστον λέγομεν; ἐγὼ οὐχ ὅτι φιλάνθρωπός ἐστιν ὁ Θεὸς λέγω μόνον, καὶ παύομαι· ἀλλ' ὅτι οὐδὲν φιλανθρωπό- E τερον αὐτοῦ· καὶ ὅτι χρησίμως ἅπαντα τὰ καθ' ἡμᾶς οἰκονομεῖ. πόσους ὁρᾷς ἐν ἡλικίᾳ πάσῃ ἐλέφαντι διάγοντας; πόσους ἀπὸ πρώτης ἡλικίας τυφλώττοντας μέχρι γήρως; ἄλλους ἐν πηρώσει μετὰ ταῦτα γινομένους; ἄλλους ἐν πενίᾳ; ἄλλους ἐν δεσμοῖς ἑτέρους ἐν μετάλλοις; ἄλλους ὁμοῦ καταχωσθέντας; ταῦτα οὐκ ἔστι φιλανθρωπίας εἰπέ μοι; ταῦτα οὐκ ἐδύνατο κωλῦσαι εἰ ἠθέλησεν; ἀλλ' ἀφίησι. ναί, φησί. σὺ δὲ

εἰπέ

εἰπέ μοι, διατί εἰ ἐκ πρώτης ἡλικίας τυφλοί; οὐκ ἐρῶ, ἕως ἂν ὑπόσχῃ μοι ὅτι φωτίζῃ, ὅτι φωτισθεὶς, βιοῖς ὀρθῶς. οὐ θέμις σοι τὰ τοιαῦτα ἐκκαλύπτειν. οὐ γὰρ διὰ μόνης τέρψεώς ἐστιν ὁ λόγος. κἂν γὰρ τοῦτο λύσωμεν, ἕτερον ἐπεισέρχεται ζήτημα. ἄβυσσος γάρ ἐστι ζητημάτων ἡ γραφή. ὥστε μὴ μόνον ἐθίζετε ἑαυτοὺς πρὸς τὴν λύσιν ζητεῖν· ἐπεὶ οὐδέποτε στησόμεθα ζητοῦντες. ἰδοὺ γὰρ ἂν τοῦτο λύσω, μυρίας νιφάδας ἐπιδεικνύω ζητημάτων. ὥστε μανθάνομεν μᾶλλον ζητεῖν, ἢ τὰ ζητηθέντα λύειν. οὔτε γὰρ ἐὰν λύσωμεν, πάντως ἐλύσαμεν· ἀλλὰ κατὰ ἀνθρώπινον λογισμὸν, οἰκεία τῶν τοιούτων λύσις. ἡ πίστις ἐστὶ, τὸ εἰδέναι ὅτι πάντα δικαίως καὶ φιλανθρώπως ὁ Θεὸς καὶ συμφερόντως ποιεῖ· ὅτι καταλαβεῖν αὐτοῦ τὸν λόγον οὐκ ἔνι. μία λύσις αὕτη, καὶ ταύτης ἀμείνων ἑτέρα οὐκ ἔστι. τί γὰρ εἰπέ μοι τῆς λύσεως ἔργον; [πάντως] μηκέτι ζητεῖν τὸ λυθέν. κἂν τοῦτο πείσῃς σαυτὸν, ὅτι προνοίᾳ Θεοῦ τὰ πάντα διοικεῖται, τὰ μὲν συγχωροῦντος δι' ὃν οἶδε λόγον, τὰ δὲ ἐνεργοῦντος, ἀπηλλάγης τοῦ ζητεῖν καὶ τῆς λύσεως τὸ κέρδος ἔλαβες. ἀλλ' ἐπανιωμεν εἰς τὸ προκείμενον. ἐπεὶ οὖν ὁρᾷς τοσούτους ἐν κολάσεσι· ταῦτα δὲ ὁ Θεὸς συγχωρεῖ πάντα, χρῆσαι τῇ ὑγείᾳ τοῦ σώματος εἰς τὴν ὑγείαν τῆς ψυχῆς. ἀλλ' ἐρεῖς, τί μοι χρεία πόνων καὶ ταλαιπωρίας, ἐξὸν ἀπονητὶ πάντα ἀπολαῦσαι; μάλιστα μὲν οὐδὲ δῆλον τοῦτό ἐστι. συμβαίνει γὰρ οὐ μόνον ἀπονητὶ μὴ ἀπολαῦσαι, ἀλλὰ καὶ ἀπελθεῖν πάντα ἔχοντα. πλὴν εἰ καὶ τοῦτο δῆλον, οὐδὲ οὕτως ἀνεκτὸς ὁ λόγος. εἰς ἀγῶνας εἵλκυσεν, ὅπλα κεῖται χρυσᾶ· δέον λαβεῖν αὐτὰ καὶ μεταχειρίσασθαι· σὺ δὲ βούλει ἀδόξως σωθῆναι καὶ μηδὲν ἀγαθὸν ἐργάσασθαι. εἰπέ μοι, εἰ πόλεμος συνειστήκει, καὶ ὁ βασιλεὺς παρῆν· καὶ τοὺς μὲν ἴδοις εἰς μέσας τὰς φάλαγγας τῶν πολεμίων ἐμπεσόντας, καὶ κατακόπτοντας καὶ τραυματίας ἐργαζομένους μυρίους, ἑτέρους μονομαχοῦντας, ἄλλους ἐφ' ἵππων ὀρχουμένους καὶ ἐπαινουμένους ὑπὸ τοῦ βασιλέως, θαυμαζομένους, κροτουμένους, στεφανουμένους· ἑτέρους δὲ πάλιν ἀγαπητὸν ἡγουμένους εἰ μηδὲν πάθοιεν κακὸν, καὶ τὴν ἐσχάτην τάξιν φυλάττοντας καὶ καθημένους· εἶτα μετὰ τὴν τοῦ πολέμου λύσιν, τοὺς μὲν καλουμένους δεξιουμένους τὰς μεγάλας δωρεὰς, ἀνακηρυττομένους· ἐκείνων δὲ οὐδὲ τοὔνομα δῆλον γινόμενον, ἀλλὰ μέχρι τῆς σωτηρίας αὐτοῖς τὴν τῶν ἀγαθῶν ἀντίδοσιν οὖσαν· τίνων ἂν ἠθέλησας γενέσθαι; εἰ γὰρ λίθινος ἦς, εἰ καὶ ἀναισθήτων καὶ ἀψύχων νωθέστερος, οὐκ ἂν ἐπεθύμησας ἐκείνων γενέσθαι μυριάκις; ναὶ, δέομαι καὶ ἀντιβολῶ. εἰ γὰρ πίπτειν πολεμοῦντα ἔδει, οὐκ ἐχρῆν προθύμως τοῦτο ἑλέσθαι; οὐχ ὁρᾷς τοὺς ἐν τοῖς πολέμοις τούτοις πίπτοντας, πῶς εἰσι λαμπροί; πῶς ἔνδοξοι; καίτοι θάνατον ἀποθνήσκουσι, μεθ' ὃν οὐκ ἔστι τιμηθῆναι παρὰ τοῦ βασιλέως. ἐπὶ δὲ ἐκείνου τοῦ πολέμου, οὐδὲν τοιοῦτον· ἀλλὰ πάντως παραστήσῃ τοὺς μώλωπας ἔχων. οὓς γένοιτο πάντας ἡμᾶς ἐπιδεῖξαι καὶ χωρὶς διωγμῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ κδ΄.

Ἔτι λαλοῦντος τοῦ Πέτρου τὰ ῥήματα ταῦτα, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπὶ πάντας τοὺς ἀκούοντας τὸν λόγον, καὶ ἐξέστησαν οἱ ἐκ περιτομῆς πιστοὶ ὅσοι συνῆλθον τῷ Πέτρῳ, ὅτι καὶ ἐπὶ τὰ ἔθνη ἡ δωρεὰ τοῦ ἁγίου Πνεύματος ἐκκέχυται. ἤκουον γὰρ αὐτῶν λαλούντων γλώσσαις, καὶ μεγαλυνόντων τὸν Θεόν.

ΘΕΑ τοῦ Θεοῦ τὴν οἰκονομίαν. οὐκ ἀφῆκεν ἀπαρτισθῆναι τὸν λόγον, οὐδὲ ἐκ προστάγματος Πέτρου γενέσθαι τὸ βάπτισμα· ἀλλ' ἐπειδὴ τὴν διάνοιαν αὐτῶν ἔδειξαν θαυμαστὴν οὖσαν, καὶ τῆς διδασκαλίας ἀρχὴ γέγονε, καὶ ἐπίστευσαν ὅτι πάντως τὸ βάπτισμα ἄφεσίς ἐστιν ἁμαρτημάτων, τότε ἐπῆλθε τὸ πνεῦμα. τοῦτο δὲ γίνεται προοικονομοῦντος ἀπολογίαν μεγάλην τῷ Πέτρῳ τοῦ Θεοῦ. οὐχ ἁπλῶς δὲ τὸ πνεῦμα λαμβάνουσιν, ἀλλὰ γλώσσαις ἐλάλουν, ὅπερ [καὶ] ἐξέπληγε τοὺς συνελθόντας. τί δήποτε δὲ οὕτως οἰκονομεῖται τὸ πρᾶγμα; διὰ τοὺς Ἰουδαίους. καὶ γὰρ πάνυ ἀπεχθῶς εἶχον πρὸς αὐτό. διὸ πανταχοῦ τοῦ Θεοῦ τὸ πᾶν γίνεται. καὶ ὁ Πέτρος σχεδὸν ἁπλῶς πάρεστι παιδευόμενος ὅτι δεῖ λοιπὸν αὐτοὺς ἅψασθαι τῶν ἐθνῶν· καὶ ὅτι δι' αὐτὸ δεῖ γενέσθαι τοῦτο. καὶ μὴ θαυμάσῃς. ὅπου γὰρ μετὰ τοσαῦτα, καὶ ἐν Καισαρείᾳ, καὶ ἐν Ἱεροσολύμοις, ἀμφισβήτησις γίνεται, τί οὐκ ἂν ἐγεγόνει εἰ μὴ ταῦτα παρηκολούθησε. διὰ τοῦτο καὶ μεθ' ὑπερβολῆς ταῦτα γίνεται. ὅρα δὲ πῶς καὶ ὁ Πέτρος λαβὼν ἀφορμὴν ἀπολογεῖται. ὅτι δὲ μετὰ τὴν ἀφορμὴν ἀποκρίνεται, ἄκουε τοῦ εὐαγγελιστοῦ διηγουμένου καὶ λέγοντος· τότε ἀπεκρίθη Πέτρος· » μή τι τὸ ὕδωρ κωλῦσαι δύναταί τις, τοῦ μὴ βαπτισθῆναι τούτους, » οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον, ὡς καὶ ἡμεῖς; εὐθὺς πῶς τὸ πρᾶγμα ἀνήνεγκε, [καὶ] πῶς ὠδίνει ἐξενεγκεῖν τοῦτο· οὕτω [πάλαι] τὴν γνώμην ταύτην εἶχε. μή τι τὸ ὕδωρ, φησὶ, κωλῦσαι δύναταί τις;

A dic oro. Quare qui à prima ætate cæci? Non dicam, donec pollicearis mihi quod illumineris, quod illuminatus vivas rectè, non licet mihi talia invulgare. Neque enim voluptatis gratia fermo est: nam licèt hanc solvam, alia tamen succedet quæstio. Abyssus enim quæstionum scriptura est. Unde non solum docet ut assuefiamus quærere ut quædam solvantur, sed etiam ut non quærantur. Quoniam quæstionum nullus erit finis. Ecce enim si hanc solvero, mille acervos ostendam quæstionum: adeoque B discimus magis quærere quàm quæsita solvere. Neque enim si solverimus, omnino solvimus. Sed juxta humanam rationem propria horum solutio. Fides est scire, quod omnia justè & misericorditer Deus ac utiliter facit. Quia possibile non est quod ratio illa capiat. Una hæc solutio est, & hac non est alia melior. Quod enim, dic mihi, solutionis opus? omnino ne ultrà quæras quod solutum est. Et si hoc tibi ipsi persuaseris, quod providentia Dei omnia dispensentur, alia quidem per- C mittens ob causam sibi cognitam, alia verò operans, liberaberis à quæstionibus, & solutionis lucrum acceperis. Redeamus autem ad institutum. Igitur quoniam vides tot in suppliciis, hæc autem omnia permittit Christus, utere sanitate corporis in sanitatem animæ. Sed dices, Quid mihi opus laboribus & ærumnis, licet absque labore omnia perficere? Hoc sanè minimè manifestum est. Contingit enim non solum absque labore non absolvi, sed & mori omnia habentem. Veruntamen & hoc D manifestum. Neque hic sermo tolerabilis est. In certamen traxit, arma posita sunt aurea, opus est ut illa in manus accipias. Si autem vis sine gloria servari, & nihil boni operari, dic oro, si bellum insurgat & rex adsit, & alios quidem videas in medias turmas hostium irruere, & multa vulnera recipere, variáque facere: alios autem in singulare certamen descendere & pugnare, alios in equos se recipere, & laudari à rege, cum admiratione ac plausu & coronis: Alios verò iterum, si nihil patian- E tur mali, in extremo ordine sedere & quiescere: deinde finito bello, illos quidem vocari ut recipiant donaria magna, & celebrentur: horum autem ne mentionem quidem, sed salutem illis pro retributione bonorum esse: ex quorum numero esse velles? nam si lapideus esses, si & insensatis & inanimatis ignavior, nonne ex illorum numero multis nominibus magis esse velles? Profectò oro & supplico, nam si etiam pugnantes cadere oporteat, nonne dignum ut hoc cum alacritate eligant? Nónne vi- A des eos qui in bellis istis cadunt, quam sint clari & nobiles, etiam si moriantur, & ultrà à rege suo non possint honorari? Longè autem aliter evenit in hoc bello: assiste cicatrices habens, quas concedatur nobis omnibus ostendere, etiam absque persecutionibus, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

B

HOMILIA XXIV.

Adhuc loquente Petro verba hæc, cecidit Spiritus sanctus super omnes qui audiebant sermonem, & obstupuerunt qui ex circumcisione erant fideles, quotquot venerant cum Petro, quòd etiam super gentes donum Spiritus sancti effusum esset: audiebant C *enim illos loquentes linguis, & magnificantes Deum.*

VIde dispensationem Dei: non permisit absolvi sermonem, neq; ex præcepto Petri fieri baptismu: sed ubi exhibuerant se mente admirabili, quamvis doctrinæ principium esset, & crediderunt omnino baptisma esse remissionem peccatorum, tunc advenit spiritus. Hoc autem fiebat, Deo magnam defensionem Petro hac dispensatione afferente. Non simpliciter autem spiri- D tum accipiunt, sed *linguis loquebantur*, id quod & obstupefecit eos qui simul venerant. Ita cúrnam res hæc sic constituta? propter Judæos. Etenim illis hoc valde molestum erat. Ideo hoc totum Deus agit, & Petrus ferè simpliciter adest, ut discat quod oporteat posthac illos accedere ad gentes. Et quod propter hoc oportebat illud fieri, ne miteris. Ubi enim post tanta, etiam in Cæsarea & in Hierosolymis controversia fit, quid non factum esset, nisi hæc si- E mul accidissent? Idcirco hæc cum excellentia quadam fiebat. Vide autem quomodo & Petrus accepta occasione excusat. Quod autem post occasionem respondet audi evangelistam narrantem ac dicentem. *Tunc respondit Petrus: Nunquid aquam prohibere poterit quis, ut non baptizentur hi, qui scilicet Spiritum sanctum acceperunt, sicut & nos?* Vidisti quò causam retulit? & quomodo laboravit, ut hoc enunciaret, hanc dudum sibi mentem fuisse? *Nunquid aquam*, inquit, *prohibere quis poterit?*

Ferè

Ferè enim hoc est contradicentis prohibentibus & dicentibus, quod non oportet hoc fieri. Totum factum est, inquit, quod magis necessarium fuit baptisma, quo & nos baptizati sumus. *Imperavit illos baptizari in nomine Jesu Christi.* Postquam pro se rationem reddidit, tunc præcepit baptizari, docens illos re ipsa. Adeò molestum erat Judæis, & propter hoc prius se defendit, quamvis res ipsæ clamarent, & tunc præcepit. *Tunc rogaverunt illum, ut maneret per dies aliquot.* Hinc posteà meritò etiam bona fiducia illic permanet.

Cap. XI. *Audierunt autem Apostoli & fratres qui erant per Judæam, quòd & gentes accepissent Verbum Dei. Et quando ascendit Petrus in Hierusalem, expostularunt cum illo hi qui ex circumcisione erant, dicentes: Ad homines præputium habentes ingressus es, & comedisti cum illis.* Post hæc contendebant *hi qui ex circumcisione erant*, non Apostoli. Quid est διεκρίνοντο, expostularunt? Offendebantur, inquit, non parum, & vide quid prætexant: non dicunt, Quare annunciasti, sed, *quare simul edisti?* At Petrus non in hoc frigido dicto motabatur. Revera enim frigidum erat, sed in magno illo, dicens, *Si spiritus participes fuerunt & illi, quomodo hoc non erat communicandum?* Quomodo igitur in Samaritanis hoc non factum est, sed contrarium? Etenim non solùm ante baptisma factum non est, sed neque post baptisma, & non indignati sunt, sed magis re audita miserunt aliquos in hoc opus. Verum neque istud objiciunt: sciebant enim quod divinæ gratiæ esset, sed *quare simul edisti*, dicunt. Et aliter: Magnum & ferè infinitum discrimen erat inter Samaritanos & gentes. Vel etiam singulari dispensatione accidit illum reprehendi, ut hi discant, non enim rem obiter Petrus narravit. Vide autem quàm alienus sit à fastu & vana gloria. *Incipiens enim Petrus*, inquit, *exposuit illis per ordinem dicens: Ego eram in civitate Joppe orans.* Et non dicit quare, vel qua occasione. *Et videbam in raptu mentis visionem, descendere vas quoddam, sicut linteum magnum quatuor initiis demissum è cælo, & venit usque ad me. In quod intentis oculis consideravi, & vidi quadrupedia terræ, & bestias, & reptilia, & volatilia cæli. Audivi autem vocem dicentem mihi: Surge, Petre, macta, & occide.* Quid per hæc dicere vult? Sufficiebat, inquit, vel hoc persuasisse, spectatum esse linteum, veruntamen & vox adhibita est. *Dicebam autem, Minimè Domine, quia commune vel immundum nunquam intravit in os meum.* Vides? Feci, inquit, quod meum: dicebam quod nunquam comedi. Hoc ad id quod dicebant illi, *Ingressus es & simul edisti cum illis*, respondit, non autem ad Cornelium, neque enim necesse erat. *Respondit autem mihi secundò vox de cælo: Quæ Deus mundavit, tu ne communia dixeris. Hoc autem factum est tertiò. Et iterum rapta sunt omnia sursum in cælum, & ecce mox tres viri astiterunt ad domum in qua eram, missi à Cæsarea ad me.* Narrat ea quæ necessaria erant, alia verò obticet: immo per hæc & alia probat: & vide quomodo rationem reddit, & non vult doctoris authoritate uti, sciebat enim quod quò modestius loqueretur, hoc magis eis prodesset. *Nunquam ingressum est*, inquit, *in os meum commune vel immundum.* Et sic totum negotium defendebatur. *Et ecce mox tres viri astabant ad domum in qua eram. Dixit autem mihi spiritus, ut irem cum illis nihil hæsitans.* Vides quod spiritus est legislatio? *Venerunt autem mecum & sex illi fratres.* Quid humilius Petro, qui ad hoc etiam fratrum adhibet testimonium? *Venerunt autem mecum sex fratres, & ingressi sumus in domum viri, & annunciavit nobis, quomodo viderit Angelum in domum suam missum, & dicentem sibi: Mitte in Joppen viros, & accerse Simonem qui cognominatur Petrus, qui loquetur verba ad te, per quæ salvus eris tu & omnis domus tua.* Et non dixit ea quæ ab Angelo dicta erant Cornelio, *Orationes tuæ & eleemosynæ tuæ ascenderunt in memoriale coram Deo.* Ne scilicet illis tribuat, utpote nihil magnum habentibus. *Loquetur verba ad te, per quæ salvus eris tu & omnis domus tua.* Vides quomodo festinat propter id quod dixi: Et nihil de humanitate viri dicit. Igitur quum spiritus missus sit, & Deus miserit, & illinc per Angelum evocatus sit, hinc urgeat & solvat differentiam rerum quid faciendum erat. At nihil horum dicit, sed à posteriore confirmat, quod & juxta illud testimonium sit omni controversia carens. Et quare dicit? Non hoc factum est solum ex superabundanti, adeo ut demonstretur etiam initium non ab Apostolo. Si autem sua sponte motus illuc profectus esset, nihilque horum accidisset, plurimum perculsi ac attoniti facti fuissent. Et sic iterum illorum mentem capit, dicens ad illos, qui scilicet Spiritum sanctum acceperunt sicut & nos. Et iterum. *Quumque inciperem ego loqui, delapsus est Spiritus sanctus super illos, sicut & super nos in initio.* Et non est hoc contentus, sed & verbi dominici mentionem facit.

A σχεδὸν γὰρ ὥσπερ ἐπεμβαίνοντός ἐστι τοῖς κωλύουσι καὶ λέγουσιν ὅτι οὐ χρὴ τοῦτο γενέσθαι. τὸ πᾶν γέγονε, φησί, τὸ ἀναγκαιότερον γέγονε, τὸ βάπτισμα, ὃ [καὶ] ἡμεῖς ἐβαπτίσθημεν. Προσέταξέ τε αὐτοὺς βαπτισθῆναι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ. μετὰ τὸ ἀπολογήσασθαι, τότε αὐτοῖς προσέταξε βαπτισθῆναι, παιδεύων αὐτοὺς διὰ τῶν πραγμάτων. τοσοῦτον ἀπεχθῶς εἶχον οἱ Ἰουδαῖοι. διὰ τοῦτο πρότερον ἀπολογεῖται, καί τοι τῶν πραγμάτων βοώντων, καὶ τότε προσέταξε.
B Τότε ἠρώτησαν αὐτὸν ἐπιμεῖναι ἡμέρας τινάς. ἐντεῦθεν εἰκότως καὶ θαῤῥεῖ λοιπὸν καὶ ἐπιμένει.

Ἤκουσαν δὲ οἱ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ οἱ ὄντες κατὰ τὴν Ἰουδαίαν, ὅτι καὶ τὰ ἔθνη ἐδέξαντο τὸν λόγον τοῦ Θεοῦ. καὶ ὅτε ἀνέβη Πέτρος εἰς Ἱεροσόλυμα, διεκρίνοντο πρὸς αὐτὸν οἱ ἐκ περιτομῆς λέγοντες· ὅτι πρὸς ἄνδρας ἀκροβυστίαν ἔχοντας εἰσῆλθες, καὶ συνέφαγες αὐτοῖς. μετὰ ταῦτα διεκρίνοντο οἱ ἐκ περιτομῆς, οὐχ οἱ ἀπόστολοι. τί
C ἐστι διεκρίνοντο; ἐσκανδαλίζοντο, φησίν, οὐ μικρῶς. καὶ θέα τί προβάλλονται. οὐ λέγουσι, διατί κατήγγειλας; ἀλλά, διατί συνέφαγες; ὁ δὲ Πέτρος, οὐ πρὸς τοῦτο ἵσταται τὸ ψυχρόν· ψυχρὸν γὰρ ὄντως ἦν· ἀλλὰ πρὸς ἐκεῖνο τὸ μέγα, λέγων· ὅτι εἰ πνεύματος μετέλαβον καὶ αὐτοί, πῶς τούτου μεταδοῦναι οὐκ ἦν; πῶς οὖν ἐπὶ τῶν Σαμαρειτῶν τοῦτο οὐ γέγονεν, ἀλλὰ τοὐναντίον; καὶ γὰρ οὐ μόνον πρὸ τοῦ βαπτίσματος οὐκ ἐγένετο, ἀλλ' οὐδὲ μετὰ τὸ βάπτισμα· καὶ οὐκ ἠγα-
D νάκτησαν, ἀλλὰ μᾶλλον ἀκούσαντες ἔπεμψαν ἐπὶ τοῦτο αὐτό. ἀλλ' οὐδὲ ἐνταῦθα τοῦτο ἐγκαλοῦσιν· ᾔδεισαν γὰρ ὅτι θείας χάριτος ἦν. ἀλλὰ διατί συνέφαγες; ἄλλως δὲ πολὺ καὶ ἄπειρον τὸ διάφορον Σαμαρειτῶν καὶ ἐθνῶν. ἢ καὶ οἰκονομικῶς γίνεται τὸ ἐγκληθῆναι αὐτόν, ἵν' οὗτοι μάθωσιν. οὐ γὰρ ἂν ἁπλῶς Πέτρος εἶπεν. ὅρα δὲ αὐτοῦ τὸ ἄτυφον καὶ ἀκενόδοξον. Ἀρξάμενος γάρ, φησι, Πέτρος, ἐξετίθετο αὐτοῖς καθεξῆς λέγων· ἐγὼ ἤμην ἐν πόλει Ἰόππῃ προσευχόμενος.
E καὶ οὐ λέγει διατί, οὐδὲ ἐπὶ ποίᾳ προφάσει. Καὶ εἶδον ἐν ἐκστάσει ὅραμα, καταβαῖνόν τι σκεῦος ὡς ὀθόνην μεγάλην τέσσαρσιν ἀρχαῖς καθιεμένην ἐκ τοῦ οὐρανοῦ, καὶ ἦλθεν ἄχρις ἐμοῦ. εἰς ἣν ἀτενίσας κατενόουν, καὶ εἶδον τὰ τετράποδα τῆς γῆς, καὶ τὰ θηρία, καὶ τὰ ἑρπετά, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ. ἤκουσα δὲ φωνῆς λεγούσης μοι· ἀναστὰς Πέτρε, θῦσον καὶ φάγε. τί διὰ τούτων εἰπεῖν βούλεται; ἱκανὸν ἦν, φησι, καὶ τοῦτο πεῖσαι, τὸ θεάσασθαι τὴν ὀθόνην· πλὴν ἀλ-
A λὰ καὶ φωνὴ προσετέθη. Εἶπον δέ· μηδαμῶς κύριε, ὅτι κοινὸν ἢ ἀκάθαρτον οὐδέποτε εἰσῆλθεν εἰς τὸ στόμα μου. ὁρᾷς; τὸ ἐμὸν ἐποίησα, φησίν· εἶπον, ὅτι οὐδέποτε ἔφαγον. τοῦτο, πρὸς ὃ ἔλεγον ἐκεῖνοι, ὅτι εἰσῆλθες καὶ συνέφαγες αὐτοῖς. τοῦτο δὲ πρὸς Κορνήλιον οὐ λέγει. οὐ γὰρ ἦν ἀνάγκη. Ἀπεκρίθη δέ μοι ἐκ δευτέρου φωνὴ ἐκ τοῦ οὐρανοῦ· ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου. τοῦτο δὲ ἐγένετο ἐπὶ τρίς, καὶ πάλιν ἀνεσπάσθη ἅπαντα εἰς τὸν οὐρανόν. καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες
B ἐπέστησαν ἐπὶ τὴν οἰκίαν ἐν ᾗ ἤμην, ἀπεσταλμένοι ἀπὸ Καισαρείας πρός με. ἅπερ ἀναγκαῖα ἦν διηγεῖται· τὰ ἄλλα δὲ σιωπᾷ· μᾶλλον δὲ διὰ τούτων καὶ αὐτὰ κατασκευάζει. καὶ ὅρα πῶς ἀπολογεῖται, καὶ οὐκ ἀξιοῖ τῷ τοῦ διδασκάλου ἀξιώματι κεχρῆσθαι. ᾔδει γὰρ ὅτι ὅσῳ ἐπιεικέστερον φθέγγεται, τοσούτῳ μᾶλλον αὐτοὺς χειροῦται. Οὐδέποτε εἰσῆλθε, φησιν, εἰς τὸ στόμα μου κοινὸν ἢ ἀκάθαρτον. οὕτως οἰκονομίας πᾶσα ἦν ἡ ἀπολογία. Καὶ ἰδοὺ ἐξαυτῆς τρεῖς ἄνδρες ἐπέστησαν
C τῇ οἰκίᾳ ἐν ᾗ ἤμην. εἶπε δέ μοι τὸ πνεῦμα συνελθεῖν αὐτοῖς μηδὲν διακρινόμενον. ὁρᾷς ὅτι πνεύματος ἡ νομοθεσία; ἦλθον [δὲ] σὺν ἐμοὶ καὶ οἱ ἓξ ἀδελφοὶ οὗτοι. τί γένοιτ' ἂν ταπεινότερον Πέτρου; ὃς ἀπὸ ταύτης καὶ τὴν ἀδελφῶν τὴν μαρτυρίαν προβάλλεται. Συνῆλθον δέ μοι οἱ ἓξ ἀδελφοί, καὶ εἰσήλθομεν εἰς τὴν οἰκίαν τοῦ ἀνδρός. ἀπήγγειλε δὲ ἡμῖν πῶς εἶδε τὸν ἄγγελον ἐν τῷ οἴκῳ αὐτοῦ σταθέντα καὶ εἰπόντα αὐτῷ· ἀπόστειλον εἰς Ἰόππην ἄνδρας, καὶ μετάπεμψαι Σίμωνα Πέτρον, ὃς
D λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. καὶ οὐκ εἶπε τὰ παρὰ τοῦ ἀγγέλου ῥηθέντα τῷ Κορνηλίῳ· αἱ εὐχαί σου καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν εἰς μνημόσυνον ἐνώπιον τοῦ Θεοῦ, ἵνα μὴ προσῇ αὐτοῖς· [ἀλλ', ἅπερ οὐδὲν εἶχον μέγα, λαλήσει ῥήματα πρός σε, ἐν οἷς σωθήσῃ σὺ καὶ πᾶς ὁ οἶκός σου. ὁρᾷς πῶς δι' ὅπερ ἔφην ἐπείγεται]; καὶ οὐδὲν λέγει περὶ τῆς ἐπιεικείας τοῦ ἀνδρός. τοῦ πνεύματος τοίνυν πεμφθέντος, τοῦ Θεοῦ κελεύσαντος, διὰ τοῦ ἀγγέλου ἐκεῖθεν
E καλέσαντος; ἐντεῦθεν ὠθεῖτο, λύοντος τὴν διαφορὰν τῶν πραγμάτων· τί ποιῆσαι ἔδει; ἀλλ' οὐ λέγει τούτων οὐδέν· ἀλλ' ἀπὸ τοῦ ὑστέρου ἰσχυρίζεται. ὃ καὶ κατ' αὐτὸ ἀναμφισβήτητον ἦν μαρτύριον. καὶ διατί, φησι, μὴ τοῦτο γέγονε μόνον; ἐκ περιουσίας παρὰ τοῦ Θεοῦ, ἵνα δειχθῇ καὶ ἡ ἀρχὴ οὐ παρὰ τοῦ ἀποστόλου. εἰ δὲ αὐτόματος ἀπῆλθεν, οὐδενὸς τούτων γινομένου, πάνυ ἂν ἐπλήγησαν. ὡς ἄνωθεν αὐτῶν τὴν διάνοιαν οἰκειοῖ λέγων πρὸς αὐτούς, οἵτινες τὸ Πνεῦμα τὸ ἅγιον ἔλαβον ὡς καὶ ἡμεῖς. καὶ πάλιν· ἐν δὲ τῷ ἄρξασθαί με λαλεῖν, ἐπέπεσε τὸ Πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς, ὥσπερ καὶ ἐφ' ἡμᾶς ἐν ἀρχῇ· καὶ οὐκ ἀρκεῖται τούτῳ, ἀλλὰ καὶ ῥήματος ἀναμιμνήσκει τοῦ κυρίου. ἐμνήσθην

δὲ τοῦ

„ τοῦ ῥήματος Κυρίου ὡς ἔλεγεν· Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς „ δὲ βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ. ὥστε οὐδὲν καινότερον γέγονεν, ἀλλ' ὅπερ προεῖπεν. ἀλλ' οὐκ ἔδει βαπτίσαι φησί· ἀπηρτισμένον γὰρ τὸ βάπτισμα τοῦ πνεύματος αὐτοῖς ἐπιπέπτωκεν. [διὰ τοῦτο] οὐ λέγει, ἐκέλευσα πρότερον αὐτοὺς βαπτισθῆναι· ἀλλὰ τί; μήτι τὸ ὕδωρ κωλῦσαι δύναταί τις τοῦ μὴ βαπτισθῆναι τούτους; ἐκ τούτου δεικνὺς ἑαυτὸν οὐδὲν ποιήσαντα. ὅπερ τοίνυν ἐσχήκαμεν ἡμεῖς, ἔλαβον ἐκεῖνοι. εἰ οὖν τὴν ἴσην δωρεάν, φησιν, ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον Ἰησοῦν, ἐγὼ τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεόν; ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξῃ τὰ στόματα, διὰ τοῦτο προσέθηκε τὴν ἴσην δωρεάν. ὁρᾷς πῶς οὐκ ἀφίησιν αὐτοὺς ἔλαττον ἔχειν πιστεύσαντας ἅπαξ; τὴν ἴσην δωρεὰν ἔδωκεν αὐτοῖς ὁ Θεὸς ὡς καὶ ἡμῖν πιστεύσασιν ἐπὶ τὸν Κύριον. ὥστε αὐτὸς καθαίρει αὐτούς. καὶ οὐ λέγει ὑμῖν· ἀλλ', ἡμῖν, λεαίνων καὶ ταύτῃ τὸν λόγον. τί τοίνυν ἀνάξιον „ πεπόνθατε, ὅταν ἡμεῖς αὐτοὺς κοινωνοὺς λέγωμεν; ἀκούσαντες δὲ ταῦ„ τα, ἡσύχασαν καὶ ἐδόξασαν τὸν Θεὸν λέγοντες· ἄραγε καὶ τοῖς ἔθνε„ σιν ὁ Θεὸς τὴν μετάνοιαν ἔδωκεν εἰς ζωήν; ὁρᾷς πῶς ἀπὸ τῆς δημηγορίας τοῦ Πέτρου τὸ πᾶν γέγονε καλῶς ἀπαγγείλαντος τὰ γεγενημένα; [διὸ καὶ] ἐδόξαζον τὸν Θεὸν, ὅτι τὴν μετάνοιαν καὶ αὐτοῖς ἔδωκεν· [οὕτως] ἐταπεινώθησαν ἀπὸ τούτων τῶν λόγων. ἐντεῦθεν ἀνεῴχθη ἡ θύρα πρὸς τὰ ἔθνη λοιπόν. ἴδωμεν δὲ, εἰ δοκεῖ, ἄνωθεν τὰ εἰρημένα. οὐκ εἶπεν, ὅτι διεκρίθη Πέτρος, ἀλλ' οἱ ἐκ περιτομῆς. ἐπειδὴ αὐτὸς ᾔδει τὸ κατασκευαζόμενον. καὶ μὴν ἐκεῖνο ἐχρῆν θαυμάσαι, πῶς καὶ αὐτοὶ ἐπίστευσαν. ὅτε μὲν οὖν ἤκουσαν ὅτι ἐπίστευσαν, οὐδὲν ἔπαθον· ἀλλ' ὅτε ὁ Θεὸς ἐχαρίσατο τὸ πνεῦμα· ὅτε ὁ Πέτρος ἐξετίθει τὴν ἑαυτοῦ ἔκστασιν λέγων· ὁ Θεὸς ἔδειξέ μοι μηδένα κοινὸν ἢ ἀκάθαρτον λέγειν ἄνθρωπον. οὕτως ἄνωθεν ᾔδει τοῦτο. [διὸ] καὶ προκατασκευάζει τὸν λόγον τὸν ὑπὲρ τῶν ἐθνῶν, δεικνὺς ὅτι οὐδὲ ἔθνη λοιπὸν ἦν τῆς πίστεως παραγινομένης. οὐδὲν θαυμαστὸν τοίνυν, εἰ πρὸ τοῦ βαπτίσματος τὸ πνεῦμα ἔλαβον· καὶ ἐφ' ἡμῶν τοῦτο γέγονεν. ἐνταῦθα δείκνυσιν ὁ Πέτρος, ὅτι οὐδὲ ὡς οἱ λοιποὶ ἐβαπτίσθησαν, ἀλλὰ πολλῷ βέλτιον. διὰ τοῦτο δὲ οὕτως ἐκ περιουσίας οἰκονομεῖται, ἵνα μηδὲν ἔχωσι λέγειν· ἀλλὰ κἂν οὕτως ἴσους αὐτοῖς νομίσωσι. καὶ ἠρώτησαν αὐτόν, φησιν, ἐπιμεῖναι. ὁρᾷς πῶς οὐκ εἰκαίως πρὸς αὐτὸν διέκειντο; εἶδες τὸν ζῆλον οἷον εἶχον ὑπὲρ τοῦ νόμου; οὐ τὸ ἀξίωμα Πέτρου ᾐδέσθησαν· οὐ τὰ γινόμενα σημεῖα· οὐ τὸ κατόρθωμα ὅσον ἦν τὸ δέξασθαι τὸν λόγον; ἀλλ' ὑπὲρ τῶν μικρῶν ἐκείνων διεκρίνοντο. εἰ γὰρ μηδὲν τούτων ἦν, οὐκ ἤρκει τὸ κατόρθωμα. ἀλλ' οὐκ ἀπολογεῖται οὕτω Πέτρος· συνετὸς γὰρ ἦν· μᾶλλον δὲ οὐ τῆς συνέσεως αὐτοῦ ἦν, ἀλλὰ τοῦ πνεύματος τὰ ῥήματα. καὶ δείκνυσι διὰ τῆς ἀπολογίας ἑαυτὸν μὲν οὐδαμοῦ αἴτιον, πανταχοῦ δὲ τὸν Θεόν. καὶ μονονουχὶ πρὸς αὐτοὺς τοῦτο λέγει· ἐν ἐκστάσει με γενέσθαι αὐτὸς ἐποίησεν. ἐγὼ γὰρ ἁπλῶς προσευχόμενος ἤμην. τὸ σκεῦος αὐτὸς ἔδειξεν, ἐγὼ ἀντεῖπον· πάλιν αὐτὸς εἶπε, καὶ οὐδὲ οὕτως ἤκουσα. τὸ πνεῦμα ἐκέλευσεν ἀπελθεῖν, καὶ ὅμως ἀπελθὼν οὐκ ἐπέδραμον. εἶπον ὅτι ὁ Θεὸς ἔπεμψέ με· καὶ μετὰ ταῦτα οὐδὲ οὕτως ἐβάπτισα, ἀλλὰ πάλιν ὁ Θεὸς τὸ πᾶν εἰργάσατο. ἄρα ὁ Θεὸς αὐτοὺς ἐβάπτισεν, οὐκ ἐγώ. καὶ οὐκ εἶπε, τούτων γεγονότων ἁπάντων, οὐκ ἔδει τὸ ὕδωρ προσαχθῆναι λοιπόν; ἀλλ' ὡς οὐδενὸς λείποντος, ἐγὼ τίς ἤμην, φησὶ, κωλῦσαι τὸν Θεόν; βαβαὶ οἵα ἡ ἀπολογία· οὐ γὰρ εἶπε, ταῦτα οὖν εἰδότες ἡσυχάζετε· ἀλλὰ τί; δέχεται αὐτῶν τὴν ὁρμὴν, καὶ ἐγκαλοῦσιν ἀπολογεῖται· τίς ἤμην δυνατὸς κωλῦσαι τὸν Θεὸν [λέγων;] σφόδρα ἐντρεπτικῶς καὶ βαρέως χρησάμενος τῇ ἀπολογίᾳ· οὐκ ἠδυνάμην κωλῦσαι· ὅθεν λοιπὸν φοβηθέντες, ἡσύχασαν καὶ ἐδόξαζον τὸν Θεόν. οὕτω καὶ ἡμᾶς χρὴ ἐν τοῖς τῶν πλησίον ἀγαθοῖς δοξάζειν τὸν Θεόν, ἀλλ' οὐκ ἐπηρεάζειν, καθάπερ οἱ πολλοὶ τῶν νεοφωτίστων ἐπηρεάζουσιν, ὅταν ἄλλους ἴδωσι φωτισθέντας καὶ εὐθὺ ἀπιόντας. δοξάζειν δεῖ τὸν Θεὸν, καὶ ὅτι μένειν οὐ συγχωρεῖ. ὥστε καὶ σὺ ἐὰν θέλῃς, μείζονα ἔλαβες δωρεάν. οὐ κατὰ τὸ φώτισμα λέγω· ἡ γὰρ αὐτή ἐστι κοινὴ καὶ σοὶ καὶ ἐκείνῳ· ἀλλὰ κατὰ τὸ λαβεῖν προθεσμίαν εὐδοκιμήσεως. ἐκεῖνος ἐνεδύσατο τὴν στολὴν καὶ οὐκ ἀφέθη ἐμπομπεῦσαι ἐν αὐτῇ· σοὶ πολλὴν ἔδωκεν ἐξουσίαν ὁ Θεὸς χρήσασθαι τοῖς ὅπλοις εἰς δέον, καὶ λαβεῖν αὐτῶν ἐντεῦθεν τὴν πεῖραν. ἐκεῖνος ἄπεισι τῆς πίστεως μόνον ἔχων τὸν μισθόν· σὺ ἕστηκας ἐν τῷ σταδίῳ τῶν ἔργων δυνάμενος λαβεῖν πολλὰς τὰς ἀμοιβὰς, καὶ τοσοῦτον ἐκείνου φανῆναι λαμπρότερος, ὅσον ὁ ἥλιος τοῦ μικροτάτου ἀστέρος· ὅσον ὁ στρατηγὸς τοῦ ἐσχάτου στρατιώτου· μᾶλλον δὲ ὅσον ὁ βασιλεύς. σαυτὸν τοίνυν αἰτιῶ· μᾶλλον δὲ μὴ αἰτιῶ, ἀλλὰ διόρθου ἀεί. οὐ γὰρ ἀρκεῖ τὸ αἰτιάσασθαι· ὀξέως ἀναμαχέσασθαι. κατεβλήθης; δεινὰ ἔπαθες; ἀνάστηθι, ἀνάκτησαι σαυτόν· ὅτι ἐν τῷ σταδίῳ ἕστηκας· ἔτι τὸ θέατρον συνέστηκεν. οὐχ ὁρᾷς πόσοι καταπαλαισθέντες ὕστερον ἀνεμαχέσαντο; μόνον μὴ ἑκὼν καταπέσῃς. μακαρίζεις τὸν ἀπελθόντα; πολλῷ μᾶλλον μακάριζον σαυτόν. ἀφέθη ἁμαρτημάτων ἐκεῖνος; ἀλλ' ἐὰν θέλῃς, σὺ οὐ μόνον τὰ ἁμαρτήματα ἀπονίψῃ, ἀλ-

A *Recordatus autem sum Verbi Domini quod dixit: Joannes quidem baptizavit aqua, vos autem baptizabimini Spiritu sancto.* Supr 1.5. Atque ita nihil novi accidit, sed id quod anteà prædixit. Sed non oportebat, inquiet aliquis, baptizari eos, quia jam venerat in eos Spiritus sanctus. Propter hoc non dicit, jussi illos baptizari: Sed quid? *Nunquid aquam prohibere quis potest, ut non baptizetur?* Ex hoc demonstrat sese nihil fecisse. Igitur id quod habebamus nos, acceperunt illi. *Itaq; si par donum,*
B inquit, *dedit illis Deus sicut & nobis qui credidimus in Dominum Jesum, ego quis eram potens prohibere Deum?* Ut ex abundanti illorum obturet ora, propter hoc adjecit, *par donum.* Vides quomodo eos qui semel crediderunt, non sinit minus habere. *Par donum dedit illis Deus, sicut & nobis, qui credidimus in Dominum Jesum.* Et ita ipse purgat illos, & non dicit vobis, sed *nobis*, mitigans etiam hac ratione sermonem. Quid igitur indignum passi estis, quando nos illos socios dicamus?
C *Auditis autem illis quieverunt, & glorificaverunt Deum dicentes: Igitur & gentibus Deus pœnitentiam dedit ad vitam.* Vides quomodo ex concione Petri bene omnia narrantis totum fuit? Ideo & glorificarunt Deum, quod pœnitentiam etiam illis dedit. Ita humiliati sunt ab his sermonibus, hinc postea apertum est ostium veniendi ad gentes. Videamus autem si placet iterum quæ dicta sunt. Non dixit quod expostularit Petrus, sed hi *qui ex circumcisione*, quoniam ipse sciebat quod
D parabatur. Etenim illud oportebat admirari, quomodo & illi credidissent. Itaque ubi audierunt, ot creduli facti sunt, nihil sunt passi. Verùm quando Deus largitus est spiritum, quando Petrus exposuit suam visionem dicens: *Deus ostendit mihi nullum communem vel immundum dicere hominem.* Propterea & pro gentibus sermonem instruit, quòd posthac habita fide neque gentes futuræ sint. Igitur non est mirum, si ante baptisma acceperunt spiritum. Et in nobis hoc factum est. Hic osten-
E dit Petrus, quod neque sicut reliqui baptizati fuerint, sed multò melius. Propter hoc autem sic ex abundantia res geruntur, ut nihil dicere possint, sed ut sibi pares habeant. *Et rogaverunt,* inquit, *illum, ut maneret.* Vides quomodo non vulgariter erga illum affecti fuerunt? vidisti zelum quem habebant pro lege? non dignitatem Petri reveriti sunt, non facta signa, non opus illud magnum, susceptum esse verbum, sed propter parva illa expostulabant. Si enim nihil horum fuisset, non suffecisset bo-
A num opus? At non sictationem reddit Petrus. Intelligens enim ac prudens erat, sed non erant prudentiæ illius, imò spiritus verba. Et ostendit in apologia sua se nequaquam authorem, sed omnino Deum, & tantùm non illos sic affatur: Ipse me fecit in raptu mentis constitui, ego enim simpliciter orabam: ipse vas ostendit, ego contradicebam: ipse rursus dixit, & neque sic audivi: Spiritus jussit abire. & abiens non accurri: dicens quòd Deus misit me, & post hæc neque sic baptizavi, sed iterum Deus
B totum fecit. Igitur Deus illos baptizavit, non ego. Et non dixit, his omnibus factis, nónne oportebat posthac apponi aquam, sed quasi nihil reliquum: *Ego quis eram*, inquit, *ut prohiberem Deum?* Papæ, qualis defensio! Non enim dixit, Hæc igitur scientes tacete & quiescite, sed quid? fert illorum impetum, & improperantibus rationem reddit. *Qui eram potens prohibere Deum?* Valde graviter ac admonitione usus defendit se. Non poteram prohibere. Unde postea territi tacue-
C runt & glorificarunt Deum. Sic & nos oportet in bonis proximorum glorificare Deum, & non insultare, sicut faciunt quidam ex his qui nuper illuminati sunt, quando alios vident baptizari, & mox ex hac vita migrare. Glorificare oportet Deum, etiam quòd manere non concedit. Et ita etiam tu si volueris, majus acceperis donum, non loquor secundum quòd illuminatus est. Hoc enim tuum & illius donum par est, sed quod accepisti privilegium nobilitatis? Ille indutus est stola, & non est ei
D permissum cum illa in turba esse spectabilem. Tibi magnam potestatem dedit Deus, nempe uti armis ut oportet, adeoque illa probare quantum valeant. Ille migrat solùm fidei habens mercedem, Tu stas in stadio operum, & potes accipere multas retributiones, & in tantum illo apparere clarior, quantum sol stellis minimis, quantum dux belli postremo milite: imo quantum rex. Igitur teipsum explora, imò non explora, sed rectè operare semper. Non enim sufficit seipsum accusare, opus est ut
E & certes: calumniam passus es, gravia passus es, surge, repara teipsum. Adhuc in stadio stas, adhuc theatrum solutum non est. Non vides, quot certando defatigati posteà iterum certarunt? Tantum ne voluntarius succumbas. Beatum dicis eum qui mortuus est, multò magis beatum teipsum dicas. Solutus est ille à peccatis, sed si tu volueris, non solum lavabere à peccatis, sed

P etiam

etiam bona opera habiturus es, id quod illi non est possibile. Concessum est nobis, ut reparemus nosipsos. Magna pœnitentiæ remedia sunt. Nullus seipsum condemnet. Ille revera desperatione dignus, qui de seipso desperat, ille nullam salutis spem habet. Non grave est venisse in profundum malorum, sed manere ibi postquam veneris. Non impium est venisse in profundum malorum, sed contemnere postquam eò veneris. Propter quod debebas solicitus esse dic oro, magis contemnis? vulnera tanta habens cecidisti? Nullum animæ vulnus insanabile, sicut in corpore multa sunt talia. Et pro illis quidem quæ in corpore multa sunt talia. Et pro illis quidem quæ in corpore, nullum laborem detrectamus, pro his autem quæ in anima curandis desides sumus. Non vides latronem, quàm brevi tempore correctus est? Non vides martyres, quàm brevi tempore opus totum absolverunt? Sed nunc non est martyrii tempus, atqui certaminum tempus est, quod sæpius dixi, si vellemus. *Qui enim piè vivere volunt in Christo, persequutionem patientur*: & si non ab hominibus, certè à dæmonibus: semper persequutionem patiuntur, qui piè vivunt. Sanè & gravior est persecutio. Et primùm ab ipsis maximè deliciis, hanc ferunt qui non sobrii sunt. Num parvam putas esse persequotionem in deliciis? Hæc omnium difficillima est, hæc & persequutione gravior. Nam quasi copiosus amnis animam deliciæ resolvunt. Et sicut se habent æstas ac hyems, ita persequutio & deliciæ. Ut autem plenius cognoscas ita rem habere, considera sic: Somnum immittit voluptas animæ, ignaviam & oscitantiam mox ingenerat, undique affectiones excitat, fastum armat, armat voluptatem, armat iram, invidiam, vanæ gloriæ studium, æmulationem. At in persequutione nihil horum interturbare valet, sed timor ingressus, quasi flagello quodam, percusso cane, omnes affectiones ne gry quidem sonare sinit. Quis in persequutione vanæ gloriæ vacare potest? quis voluptatibus deditus esse? nullus, sed tremor magnus ac timor magnam tranquillitatem afferunt, & placidum portum efficiunt, animam piam reddunt. Audivi aliquando patres nostros dicere: Nobis autem non contingat, non enim iubemur petere tentationem: In persequutione priscorum licebat videre Christianos veros. Nullus enim curabat opes, nullus mulierem, nullus pueros, nullus domum, nullus patriam, unum omnibus erat studium suam servare animam. Alii quidem in sepulchris & monumentis, alii verò in solitudinibus latebant. Non solùm autem viri, sed mulieres teneræ ac delicatæ tunc occultabantur, cum perpetuo fame pugnantes. Considera, num desiderium aliquod sumptuum vel deliciarum, veniret in mentem mulieri in fovea latenti & expectanti ministeam ut cœnulam afferat, timentique ne deprehendatur, & quasi in camino quodam jacenti: nunquid cogitaret, quid deliciæ, quid totus mundus? Vides nunc majorem esse persequutionem, invadentibus nos undique affectionibus tanquam bestiis? Nunc est gravis persequutio, vel ob hoc, quòd non putatur esse persequutio. Etenim etiam hanc difficultatem habet bellum, quòd pax putatur, ut ne contra illud arma sumamus; vel insurgamus, nullus formidat, nullus tremit. Si autem non creditis, rogate gentiles qui persequuntur, unde fit quòd res Christianorum accuratius gerantur, unde omnes clariores. Parva horum erat tunc multitudo, magnæ autem virtutum divitiæ cernebantur. Quæ enim utilitas dic oro, multum esse fœnum, præsentes esse lapides preciosos, etiam numerum omnem excedentes? at vera multitudo est in probatione virtutis. Helias unus erat, sed mundus hic erat indignus illo, atqui mundus innumera millia sunt, imò non sunt innumera millia, quando neq; vel uni tot adæquantur. *Melior unus faciens voluntatem Domini, quàm innumeri prævaricatores.* Hoc & sapiens quidam insinuans alicubi sic inquit: *Ne desideres multitudinem filiorum inutilium.* Hi etiam blasphemiam magis inurunt Deo, quàm si nunquam fuissent Christiani. Quid mihi opus multitudine? Alimentum amplius igni. Hoc & ex corporibus cognoveris, quòd melior congruus cibus cum sanitate, quàm cum molestia deliciæ. Hoc alimentum illo amplius, hoc alimentum, illud morbus. Hoc & in bello viderit quis, melius esse decem peritos belli, & decem viros quam innumeros imperitos. Hi enim præter hoc quòd nihil operantur, etiam alios qui operantur, morantur. Hoc & in navi invenerit quis, utiliores esse duos nautas navigare scientes, quam magnam imperitorum multitudinem. Hi enim & navigium submergunt. Hæc dico, non quòd molesta sit multitudo vestra, sed quod vellem omnes esse probos, & non confidere multitudinis numero. Multò plures ingrediuntur gehennam, sed majus illa est regnum, etiamsi paucos habeat. Sicut arena maris erat multitudo populi,

2 Tim. 3, 12.

Sir. 16, 1. 3.

A Ἀλλὰ καὶ κατορθώματα ἕξεις, ὅπερ ἐπ' ἐκείνου οὐ δυνατόν. ἔξεστιν ἡμᾶς ἀναλέσασθαι ἑαυτούς. μεγάλα τῆς μετανοίας τὰ φάρμακα. μηδεὶς ἀπογινωσκέτω ἑαυτοῦ. ἐκεῖνος ὄντως ἀπογνώσεως ἄξιος, ὁ ἀπογινώσκων ἑαυτοῦ. ἐκεῖνος οὐκ ἔτι σωτηρίας ἔχει ἐλπίδας. οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν δεινὸν, ἀλλὰ τὸ μεῖναι μετὰ τὸ ἐλθεῖν· οὐ τὸ εἰς βάθος κακῶν ἐλθεῖν ἀσεβὲς, ἀλλὰ τὸ καταφρονῆσαι μετὰ τὸ ἐλθεῖν. δι' ὃ ὀφείλεις μεριμνᾶν, εἰπέ μοι, μᾶλλον καταφρονεῖς; B τραύματα τοσαῦτα ἔχων ἀνέπεσες; οὐδέν ἐστι ψυχῆς ἀνίατον τραῦμα· ἀλλ' ἐπὶ μὲν σώματος, πολλὰ τοιαῦτα· ἐπὶ δὲ τῆς ψυχῆς, οὐδέν. καὶ ὑπὲρ ἐκείνων μὲν οὐ διαλιμπάνομεν κάμνοντες· ὑπὲρ δὲ τούτων ῥᾳθυμοῦμεν. οὐχ ὁρᾷς τὸν λῃστὴν, πῶς ἐν βραχεῖ χρόνῳ κατώρθωσεν; οὐχ ὁρᾷς τοὺς μάρτυρας, πῶς ἐν βραχεῖ τὸ πᾶν ἤνυσαν; ἀλλ' οὐκ ἔστιν ἄρτι μαρτυρίου καιρός; ἀλλ' ἀγώνων ἐστὶ καιρὸς, ὃ πολλάκις εἶπον, εἰ βουλοίμεθα. οἱ γὰρ θέλοντες, φησὶν, εὐσεβῶς ζῆν C ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται, οἱ εὐσεβῶς ζῶντες ἀεὶ διώκονται· κἂν μὴ παρὰ ἀνθρώπων, ἀλλὰ παρὰ δαιμόνων. ὃς δὴ καὶ χαλεπώτερός ἐστι διωγμός. καὶ πρῶτον ὑπ' αὐτῆς μάλιστα τῆς ἀνέσεως τοῦτον ὑπομένουσιν οἱ μὴ νήφοντες. ἢ μικρὸν οἴει διωγμὸν, ἐν ἀνέσει εἶναι; οὗτος πάντων ἐστὶ βαρύτερον, οὗτος καὶ διωγμοῦ χεῖρον. καθάπερ γὰρ ῥεῦμα ἐπιρρέον ἡ ἄνεσις χαυνοῖ τὴν ψυχήν· καὶ ὅπερ ἐστὶ θέρος καὶ χειμὼν, τοῦτο διωγμὸς καὶ ἄνεσις. ἵνα δὲ μάθῃς ἐκ περιουσίας ὅτι χείρων οὗτος D ὁ διωγμὸς, σκόπει ἐντεῦθεν. ὕπνον καταχεῖ τῇ ψυχῇ· χάσμην πολλὴν καὶ ῥᾳθυμίαν ἐμποιεῖ· τὰ πάθη διεγείρει πάντοθεν, ὁπλίζει τῦφον· ὁπλίζει ἡδονήν· ὁπλίζει θυμὸν, βασκανίαν, κενοδοξίαν, ζῆλον. ἀλλ' ἐν διωγμῷ, τούτων οὐδὲν ἐνοχλεῖν δύναται· ἀλλ' ὁ φόβος ἐπεισελθὼν, καθάπερ τινὶ μάστιγι σφοδρᾷ κύνα ὑλακτοῦντα πλήξας, ταῦτα πάντα τὰ πάθη οὐδὲ γρύξαι ἐᾷ. τίς ἐν διωγμῷ κενοδοξῆσαι δύναται; τίς ἐν ἡδονῇ γενέσθαι; οὐδείς· ἀλλὰ τρόμος πολὺς καὶ φόβος, E πολλὴν τὴν γαλήνην ἐργαζόμενος· εὔδιον τὸν λιμένα παρασκευάζων, τὴν ψυχὴν εὐλαβῆ ποιῶν· ἤκουσά ποτε πατέρων τῶν ἡμετέρων λεγόντων· ἐφ' ἡμῶν γὰρ μὴ γένοιτο, κελευόμεθα γὰρ μὴ αἰτεῖν πειρασμόν· ὅτι κατὰ τὸν διωγμὸν τὸν παλαιὸν, ἦν ἰδεῖν ὄντως Χριστιανοὺς ἄνδρας. οὐδεὶς [γὰρ] χρημάτων ἐφρόντιζεν, οὐδεὶς γυναικὸς, οὐδεὶς παίδων, οὐδεὶς οἰκίας, οὐδεὶς πατρίδος. μία πᾶσιν ἦν σπουδὴ, τὴν ψυχὴν περισῶσαι ἑαυτῶν, οἱ μὲν ἐν μνήμασι καὶ τάφοις, οἱ δὲ ἐν A ἐρημίαις ἐκρύπτοντο. οὐ μόνον δὲ ἄνδρες· ἀλλὰ καὶ γυναῖκες ἁπαλαὶ καὶ τρυφεραὶ τότε ἐκρύπτοντο, διηνεκεῖ μαχόμεναι λιμῷ. ἐννόησον οὖν, εἴ τις πολυτελείας ἢ τις τρυφῆς ἐπεισῆλθεν ἄν ποτε πόθος γυναικὶ παρὰ λάρνακι κρυπτομένῃ καὶ περιμενούσῃ τὴν θεραπαινίδα ὅπως ἔλθῃ κομίζουσα δεῖπνον, καὶ φοβουμένῃ μήπως ἁλῷ, [καὶ] καθάπερ ἐν καμίνῳ τῷ τάφῳ κειμένῃ· ἆρα γὰρ ἐνεθυμεῖτο οἷα γέγονέ ποτε τρυφή; οἷα κόσμος ὅλος ἐστίν; ὁρᾷς ὅτι νῦν ἐστι B μᾶλλον ὁ διωγμὸς, καθάπερ θηρίων τῶν παθῶν ἐπιτιθεμένων ἡμῖν πάντοθεν; νῦν ἐστιν ὁ χαλεπὸς διωγμός· ταύτῃ δὲ καὶ ὅτι οὐδὲ νομίζεται εἶναι διωγμός. καὶ γὰρ καὶ τοῦτο ἔχει τὸ χαλεπὸν οὗτος ὁ πόλεμος, ὡς εἰρήνη νομίζεται, ἵνα μὴ ὁπλιζώμεθα κατ' αὐτοῦ, μηδὲ διανιστώμεθα, οὐδεὶς δέδοικεν· οὐδεὶς τρέμει. εἰ δὲ ἀπιστεῖτε, τοὺς Ἕλληνας ἐρωτήσατε, τοὺς διώκοντας· πότε τὰ τῶν Χριστιανῶν ἀκριβέστερα; πότε δοκιμώτεροι πάντες. εἰς ὀλίγον μὲν περιειστήκει τότε τὸ C πλῆθος· εἰς πολὺ δὲ ἀρετῆς πλοῦτον [ἦν.] τί γὰρ ὄφελος, εἰπέ μοι, πολὺν εἶναι χόρτον, παρὸν λίθους εἶναι τιμίους; οὐκ ἐν τῷ πλήθει τοῦ ἀριθμοῦ. ἀλλ' ἐν τῇ δοκιμότητι τῆς ἀρετῆς τὸ πλῆθός ἐστιν. ὁ Ἠλίας εἷς ἦν· ἀλλ' ὁ κόσμος οὐκ αὐτοῦ ἀντάξιος. καὶ μὴν ὁ κόσμος μυριάδες εἰσίν· ἀλλ' οὐκ εἰσὶ μυριάδες, ὅταν μὴ πρὸς τὸν ἕνα ἐξισῶνται. κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μύριοι παράνομοι. τοῦτο καί τις σοφὸς αἰνιττόμενος οὕτω πως, φησί. μὴ ἐπιθύμει πλῆθος τέκνων ἀχρήστων. οὗτοι καὶ βλασφημίαν προστρί- D βονται τῷ θεῷ μᾶλλον, ἢ εἰ μὴ ἦσαν Χριστιανοί. τί μοι δεῖ πλήθους; τροφὴ πλείων τῷ πυρί. τοῦτο καὶ ἐκ τοῦ σώματος γνοίης ἄν· ὅτι βελτίων σύμμετρος τροφὴ μετὰ ὑγιείας, ἢ τρυφὴ μετὰ κακώσεως. αὕτη πλείων ἐκείνης ἡ τροφή. τοῦτο τροφὴ, ἐκεῖνο νόσος. τοῦτο καὶ ἐν πολέμῳ ἴδοι τις ἄν. βέλτιον εἶναι δέκα ἐμπείρους καὶ γενναίους ἄνδρας, ἢ μυρίους ἀπείρους. οὗτοι πρὸς τῷ μηδὲν ἐργάσασθαι, καὶ τοὺς ἐργαζομένους ἐγκόπτουσι. τοῦτο καὶ ἐπὶ πλοίου εὕροι τις ἄν, βέλτιον E εἶναι δύο ναύτας ἐμπείρους, ἢ μυρίον πλῆθος ἀπείρων. οὗτοι γὰρ καὶ τὸ πλοῖον καταδύουσι. ταῦτα λέγω, οὐχὶ πρὸς τὸ πλῆθος ὑμῶν ἀπεχθῶς ἔχων· ἀλλὰ βουλόμενος πάντας εἶναι δοκίμους, καὶ μὴ τῷ πλήθει θαρρεῖν. πολλῷ πλείους εἰσὶν οἱ εἰς τὴν γέενναν εἰσιόντες· ἀλλὰ μείζων αὐτῆς ἐστιν ἡ βασιλεία, κἂν ὀλίγους ἔχῃ. ὡς ἡ ἄμμος τῆς θαλάσσης ἦν τὸ πλῆθος τοῦ λαοῦ·

ἀλλ'

ἀλλ' εἷς ἔσωζεν αὐτούς. εἷς ἦν ὁ Μωσῆς, καὶ πάντων μείζονα ἴσχυσεν. εἷς ἦν ὁ Ἰησοῦς, καὶ τῶν ἑξακοσίων χιλιάδων πλέον ἠδυνήθη. μὴ τοῦτο σπουδάζωμεν ὅπως πολλοὶ γένωνται μόνον, ἀλλὰ [καὶ] περὶ τούτου, ὅπως δόκιμοι. ὅταν τοῦτο κατασκευασθῇ, τότε κἀκεῖνο. οὐδεὶς οἰκίαν εὐρύχωρον πρῶτον βούλεται ποιῆσαι· ἀλλὰ πρῶτον ἰσχυρὰν καὶ δόκιμον, καὶ τότε εὐρύχωρον. οὐδεὶς βάλλει θεμέλια ἵνα καταγελασθῇ. πρῶτον τοῦτο ζητῶμεν, καὶ τότε ἐκεῖνο. τούτου ὄντος, εὔκολον κἀκεῖνο ἔσται· ἐκείνου δὲ οὐκ ὄντος, τοῦτο κἂν ᾖ, οὐδὲν ὄφελος. ὅταν μὲν γὰρ ᾖ τῶν δυναμένων ἐν ἐκκλησίᾳ λάμψαι, ταχέως ἔσται καὶ πλῆθος· τούτων δὲ οὐκ ὄντων, τὸ πλῆθος οὐδέποτε ἔσται δόκιμον. πόσους οἴεσθε ἐν τῇ πόλει τῇ ἡμετέρᾳ εἶναι τοὺς σωζομένους; ἐπαχθὲς μέν ἐστιν ὃ μέλλω λέγειν· ἐρῶ δὲ ὅμως. οὐκ ἔστιν ἐν τοσαύταις μυριάσιν ἑκατὸν εὑρεῖν τοὺς σωζομένους· ἀλλὰ καὶ ὑπὲρ τούτων ἀμφισβητῶ. πόση γάρ, εἰπέ μοι, κακία ἐν τοῖς νέοις; πόση ῥᾳθυμία ἐν τοῖς γεγηρακόσιν; οὐδεὶς ὡς χρὴ ἐπιμέλειαν ἔχει τοῦ παιδὸς τοῦ ἑαυτοῦ. οὐδεὶς ἔχει ζῆλον πρεσβυτέρων ἰδὼν μιμήσασθαι. τὰ ἀρχέτυπα ἠφάνισται. διὰ τοῦτο οὐδὲ οἱ νέοι γίνονται θαυμαστοί. μή μοι ἐκεῖνο λέγε ὅτι πολυοχλοῦμεν. τοῦτο ψυχρῶν ἀνθρώπων ἐστί. καὶ ἐπὶ μὲν ἀνθρώπων, εἰκότως ἂν τοῦτο λέγοιτο· ἐπὶ δὲ Θεοῦ, τοῦ οὐ δεομένου ἡμῶν, οὐκ ἔτι. ὅτι δὲ καὶ ἐκεῖ ψυχρόν ἐστι τὸ ῥῆμα ἄκουσον. ὁ πολλοὺς ἔχων οἰκέτας, ἂν διεφθαρμένους αὐτοὺς ἔχῃ, ὅσα πείσεται δεινά. καὶ ἐπὶ μὲν τοῦ μηδένα ἔχοντος τοῦτο δοκεῖ εἶναι τὸ δεινόν, ὅτι οὐχ ὑπηρετεῖται· ἐπὶ δὲ τοῦ τοὺς πονηροὺς ἔχοντος, καὶ ἑαυτὸν προσαπολλύει μετ' ἐκείνων, καὶ μείζων ἡ ζημία. τοῦ γὰρ ἑαυτῷ διακονεῖν πολλῷ χαλεπώτερον τὸ καὶ ἑτέρους πυκτεύειν καὶ πόλεμον ἀναδέχεσθαι. ταῦτα λέγω, ἵνα μή τις τὴν ἐκκλησίαν θαυμάζῃ διὰ τὸ πλῆθος· ἀλλ' ἵνα σπουδάζωμεν αὐτὴν δόκιμον ἐργάσασθαι, ἵνα ἕκαστος τοῦ οἰκείου προνοῇ μέλους· οὐχὶ τῶν φίλων, οὐδὲ τῶν συγγενῶν, ὅπερ ἀεὶ λέγω, οὐδὲ τῶν γειτόνων· ἀλλὰ καὶ ὥστε τοὺς ξένους ἐφέλκεσθαι. οἷον, εὐχὴ γίνεται, κεῖνται πάντες νέοι ψυχροὶ καὶ γέροντες. καθάρματα μᾶλλον οἱ νέοι γελῶντες, ἀνακαγχάζοντες διαλεγόμενοι· καὶ γὰρ καὶ τοῦτο ἤκουσα γινόμενον, καὶ ἀλλήλους σκώπτοντες ἐπὶ γόνατα κείμενοι. σὺ παρεστηκὼς ὁ νέος ἢ ὁ πρεσβύτης ἐπίπληξον ἂν ἴδῃς· ἐγκάλεσον σφοδρότερον· οὐκ ἀνεχόμενον, τὸν διάκονον κάλεσον· ἀπείλησον· τὰ παρὰ σαυτοῦ ποίησον· καὶ ἐὰν τολμήσῃ τι εἰς σὲ ἐργάσασθαι, πάντως πολλοὺς ἕξεις τοὺς συναιρομένους. τίς γὰρ οὕτως ἀλόγιστος, ὡς ἰδὼν σὲ ἐγκαλοῦντα ὑπὲρ τούτων κἀκείνους ἐγκαλουμένους, μὴ τῆς σῆς γενέσθαι μερίδος; ἄπελθε λαβὼν τὸν μισθὸν ἀπὸ τῆς εὐχῆς. ἐν οἰκίᾳ δεσποτικῇ τούτους εὐνουστέρους τῶν δούλων κρίνομεν, ὅσοιπερ ἂν μηδὲν παρορῶσιν ἀτάκτως κείμενον σκεῦος· εἰπὲ δή μοι ἂν ἴδῃς ἐν οἰκίᾳ τὸ ἀργύρεον σκεῦος ἔξω ἐρριμμένον, κἂν μὴ ᾖς ἐπιτεταγμένος, ἆρ' οὐ λήψῃ τοῦτο καὶ εἰσοίσεις ἐν τῇ οἰκίᾳ; ἂν ἱμάτιον ἁπλῶς ἐρριμμένον κἂν μὴ ἔχῃς τὴν φροντίδα, κἂν ἐχθρὸς ᾖς τοῦ προστεταχότος, διὰ τὴν εἰς τὸν δεσπότην εὔνοιαν, οὐ θήσεις τοῦτο καλῶς; οὕτω καὶ νῦν. σκεύη ταῦτά ἐστιν. ἂν ἴδῃς ἀτάκτως κείμενα, μεταρρύθμισον. ἐμοὶ πρόσελθε, οὐ προστέτμημαι· ἐμοὶ εἰπέ· δῆλον κατάστησον, οὐ δύναμαι πάντα ὁρᾶν, σύγγνωτε. ὁρᾶτε ὅση κακία τὴν οἰκουμένην κατέχει; μή τι ἁπλῶς ἔλεγον, ὅτι πλῆθός ἐσμεν χόρτου, πέλαγος ἄτακτον; οὐ λέγω ὅτι ἐκεῖνοι τοιαῦτα ποιοῦσιν· ἀλλ' ὅτι τοσοῦτος ὕπνος καταχεῖται τῶν εἰσιόντων, ὥστε μηδὲ ταῦτα διορθοῦν. πάλιν ἑτέρους ὁρῶ διαλεγομένους ἑστῶτας, τῆς εὐχῆς γινομένης· οἱ δὲ ἐπιεικέστεροι αὐτῶν, οὐδὲ τῆς εὐχῆς γινομένης μόνον, ἀλλὰ καὶ εὐλογοῦντος τοῦ ἱερέως. ὢ τῆς τόλμης! πότε ἔσται σωτηρία; πῶς δυνησόμεθα τὸν Θεὸν ἐξιλεώσασθαι; εἰς παιδιὰν ἂν ἀπέλθῃς, ὄψει πάντας εὐρύθμως χορεύοντας, καὶ οὐδὲν παρημελημένον. ὡς γὰρ ἐν λύρᾳ παναρμονίῳ καὶ ποικίλως ἐσκευασμένῃ μία τις εὔηχος συμφωνία ἀποτελεῖται ἐκ τῆς καθ' ἕκαστον εὐταξίας τῶν συγκειμένων· οὕτω δὴ καὶ ἐνταῦθα μίαν ἐξ ἁπάντων σύμφωνον ἁρμονίαν προσῆκεν ἀποτελεῖσθαι. μία γὰρ γεγόναμεν ἐκκλησία, μιᾶς κεφαλῆς συναρμολογούμενα μέλη τελοῦμεν· ἓν ἅπαντες κατέστημεν σῶμα. ἂν ἀμεληθῇ τὸ τυχόν, τὸ πᾶν ἠμέληται καὶ διέφθαρται. οὕτω τὴν τῶν πολλῶν εὐταξίαν ἡ τοῦ ἑνὸς ἀταξία λυμαίνεται. καὶ τὸ δὴ φοβερόν, οὐδὲ ἐνταῦθα εἰς παιδιὰν οὐδὲ χορείαν ἔρχῃ χορεύσων, καὶ ἕστηκας ἀτάκτως. οὐκ οἶδας, ὅτι μετὰ ἀγγέλων ἕστηκας; μετ' ἐκείνων ᾄδεις, μετ' ἐκείνων ὑμνεῖς, καὶ ἕστηκας γελῶν; εἰ γὰρ σκηπτὸς ἀφίετο οὐκ ἐπ' ἐκείνους μόνον, ἀλλὰ καὶ ἐφ' ἡμᾶς, οὐ θαυμαστόν· ἄξια γὰρ σκηπτῶν ταῦτα. πάρεστιν ὁ βασιλεύς· θεωρεῖ τὸ στρατόπεδον· σὺ δὲ παρὰ ταῖς ἐκείνων ὄψεσιν ἕστηκας γελῶν, ἢ τὸν γελῶντα περιορῶν; ἀλλὰ μέχρι τίνος ἐγκαλοῦμεν; μέχρι τίνος μεμφόμεθα; οὐ γὰρ ὡς λυμεῶνας; οὐ γὰρ ὡς φθορέας; οὐ γὰρ ὡς ἐξώλεις καὶ διεφθαρμένους τοὺς τοιούτους καὶ μυρίων γέμοντας κακῶν τῆς ἐκκλησίας ἀπελαύνεσθαι ἔδει; πότε οὗτοι φείσονται γέλωτος, οἱ ἐν ὥρᾳ φρίκης γελῶντες; πότε ἀφέξονται φλυαρίας, οἱ ἐν τῷ καιρῷ τῆς

A sed unus servabat illos. Unus erat Moses, & plus valebat quàm omnes. Unus erat Jesus, & plus poterat sexcentis millibus. (Num. 26. 65.) Non hoc curemus solum ut multi fiant, sed magis ut præclari & probi. Ubi hoc effectum fuerit, tunc & illud. Nullus domum spaciosam primùm vult facere, sed primum validam, & idoneam, & tunc spaciosam. Nullus mittit fundamenta, ut derideatur. Primum hoc quæramus, & tum illud. Hoc si est, facile & illud erit: si illud autem non est, hoc etB iam si sit, nulla utilitas. Nam si fuerint qui in Ecclesia clari; statim erit etiam multitudo: hi autem si non sint, nunquam erit in Ecclesia honesta multitudo. Quot putatis esse in civitate nostra qui serventur? Molestum quidem est quod dicturus sum, dicam tamen: Non est in tot millibus centesimum invenire qui servetur, sed etiam de illis dubito. Dic enim mihi quanta malitia in adolescentibus; quanta desidia in senioribus? Nullus quam oportet diligentiam adhibet in educanC dis suis: nullus habet zelum, ut senutem quem videt, imitetur. Exemplaria dispartuerunt, idcirco nulli adolescentes fiunt admirabiles. Ne mihi hoc dicas, in magno numero sumus. Hoc frigidorum hominum est, & de hominibus quidem meritò hoc dicitur. De Deo autem, qui non opus habet nobis, non item. Quòd autem & quantum ad nos attinet, frigidum sit verbum audi: Qui multos habet ministros, si improbi fuerint, quanta feret mala? Et ei quidem qui nullum D habet, hoc videtur grave, quòd ministerium illi negatum est. Is autem qui malus, & se ipsum unà cum illis perdit, & gravius incommodatur. Multò sane difficilius est pugnare cum aliis, & bellum suscipere, quàm sibiipsi servire. Hæc dico ne quis Ecclesiam admiretur propter multitudinem, sed ut curemus illam probam efficere, ut quisque curam habeat non solùm amicorum & cognatorum, id quod semper dico, & vicinorum: sed & ita ut exteros, si possibile sit, attrahat ad E orandum. Jacent omnes adulescentes frigidi ac senes, purgamenta magis quàm adolescentes, rident, subsannant, cavillantur. Etenim & hoc fieri audivi, & mutuum se incessunt scommatis geniculantes. Tu autem si assistis juvenis vel senex, & stupenda vides, increpa acriter: si non fert, voca ministrum, abige, quæ tua sunt facito, & si quid ausus fuerit contra te, utique multos habiturus es adjuturos. Quis enim ita ratione destitutus, qui si te viderit propter talia objurganA tem, & illos objurgari, non malit esse à parte tua. Vade sumpturus mercedem ab oratione in æde dominica. Hos diligentiores inter servos judicamus, qui nullum vas inordinatum jacêre sinunt. Dic obsecro, num si videres, in domo argenteum vas foras projici, etiam si non esses ad hoc deputatus nonne acciperes hoc, & inferres in domum? Si vestem videres temerè projectam, etiam si non habeas curam, etiamsi inimicus sis ejus qui ad servandam illam deputatus est, tamen propter beneB volentiam in Dominum, nonne benè componetes? Ita & nunc. Vasa illi sunt, si videris jacêre absque ordine, componito. Accede ad me, non detrectu: dic mihi, fac me certiorem, videre omnia non possum. Ignoscite. Videtis quanta malitia orbem terrarum detinet? numquid simpliciter dicebam quod multitudo simus fœni, mare incompositum? Non dico quod illi talia faciunt, sed quod tanta oscitantia laborant intrantes, ut neque hæc corrigant. Iterum alios video stare & nugari dum preces C fiunt. & quidam ex illis, adhuc meliores scilicet, idem facientes, non solùm dum fiunt preces, sed etiam dum sacerdos benedicit. O audaciam! Quando erit salus quomodo poterimus Deum placare? Si transires in ludum, videres omnes compositè saltantes, & nihil inordinatum, sicut lyra maximè consona, & vario modo facta, una quædam bene sonora symphonia fit ex singulorum quæ simul sita, bono ordine: sic sane & hic unam ex omnibus consonam harmoniam fieri convenit. Una enim facti suD mus Ecclesia, unius capitis membra per compages decenter commissa sumus, unum omnes constituimus corpus: si quid fortè neglectum fuerit, totum neglectum erit ac corruptum. Ita multorum bonam ordinationem unius deordinatio incommodat. Et hoc profectò terribile, quod non venis huc ut saltes in ludo & chorea, & stes sine ordine. nescis quòd cum Angelis stas, cum illis cantas, cum illis hymnos dicis, & stas ridens? Etenim non esset mirum si fulmen demitteretur, non solum in illos, sed E etiam in nos. Digna enim fulmine sunt hæc. Adest rex, considera exercitum, & tu in illorum conspectu stas ac rides, vel ridentem negligis. Verùm quandiu objurgamus? quandiu reprehendimus? Nónne ut damnosos, ut fures, ut corruptos & perniciosos tales & innumeris malis plenos, ab Ecclesia exigi oportebat? Unde hi qui horrenda hora rident, abstinebunt à risu, unde abstinebunt à nugis, qui in tempore

benedictionis garriunt? non reverentur præsentes, nec Deum timent. Non sufficit nobis quod ipsa mente sumus gnavi, neque quod orantes aliò evagamur, sed etiam risum & cachinnos multos afferimus. Nunquid theatrica sunt hæc quæ hîc geruntur, opinor autem quòd id theatris debeamus. Inobedientes enim multos nobis constituunt, & ineptos! quæ enim hîc extruuntur, illic subvertuntur: & non hoc solum, sed & alias immunditias necesse est theatri studiosis adhærere. Et perinde fit ac si quis campum velit purgare, in quem fons luto fluens influat: quantum enim purgaris, tantum influit. Hoc & hîc fit, quando enim purgamus à theatro huc venientes, & immunditiam afferentes, dum illuc iterum abeunt, majorem contrahunt immunditiam, quasi dedita opera sic vivant, ut nobis negotium facessant, & iterum veniunt multo luto sordidati, in moribus, in gestibus, in verbis, in risu, in desidia. Deinde iterum nos fodimus, quasi dedita opera in hoc fodientes, ut puros illos dimissos iterum videamus luto ac cœno inquinari. Ea propter commendo vos Deo, unde jam & testificor vobis qui sani estis, quòd judicium vobis erit ac condemnatio, si quis viderit inordinatè viventem, si quis viderit maximè in illo tempore, & non admonuerit nec corripuerit. Hoc plus est quàm orasse. Dimitte preces, & illum corripe. Ita & illi proderis, & tu lucrum habebis, ita etiam omnes servari poterimus, & regnum cœlorum assequi, quo contingat nos omnes frui, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XXV.

Itaq; qui dispersi erant ex persequutione mota ob Stephanum, transierunt usq; ad Phœnicen & Cyprum ac Antiochiam, nulli loquentes verbum nisi solis Judæis.

Haud parum ad verbi profectum faciebat persequutio: *Diligentibus enim Deum omnia cooperantur in bonum.* (Rom. 8, 28.) Nunquid si dedita opera conati essent instituere Ecclesiam, aliud quiddam quàm hoc fecissent? De dispersione inquam discipulorum. Et vide quorsum se extenderit prædicatio. *Transierunt*, inquit, *usq; ad Phœnicen & Cyprum & Antiochiam, nulli loquentes verbum nisi solis Judæis.* Vides quòd ea quæ A apud Cornelium acta, omnia singulari dispensatione gesta sunt. Hoc autem & ad defensionem Christi, & ad accusationem Judæorum pertinet. Itaque quando Stephanus interemptus est, quando Paulus bis periclitatus, quando Apostoli flagellati sunt, quando sæpius latuerunt, tunc Gentes receptæ sunt, tunc & Samaritani, quod & Paulus clamat dicens: *Vobis erat necessarium* (Infr. 13, 45.) *primùm dici sermonem Dei: quoniam autem repulistis illum, & non dignos judicastis vos ipsos, ecce convertimur ad gentes.* B Accesserunt itaque & gentes allocuturi. *Erant autem quidam ex illis viri Cyprii & Cyrenæi, qui scilicet venerant Antiochiam, & alloquuti sunt Græce loquentes evangelizando Dominum Jesum. Et erat manus Domini cum illis, magnusq; numerus qui credidit, conversus est ad Dominum Jesum.* Vide, Græcis evangelium annunciant. Verisimile est enim illos scisse Græcè, & in Antiochia tales multos fuisse. *Et erat manus Domini*, inquit, *cum illis.* Hoc est, signa operabantur. Vides quare C etiam nunc signorum necessitas fuit? ut credant. *Auditus autem est sermo in auribus Ecclesiæ quæ est in Hierosolymis de illis: & emiserunt Barnabam ut transiret usq; in Antiochiam.* Quarenam tanta civitate suscipiente verbum non venerunt ipsi, sed miserunt Barnabam? Propter Judæos. Veruntamen non parvum quiddam geritur, etiam quod Paulus huc advenit, neque simpliciter, sed & valde magna cum dispensatione illum avertantur, ut ne includatur in Hierosolymis vox prædicationis, tu- D baque cœlorum. Vidisti quomodo ubique malitiis illorum ut opus erat, & quemadmodum volebat, usus est Christus, etiam odio quo persequebantur Paulum, in ædificationem Ecclesiæ ex gentibus congregandæ. *Qui ut venit & vidit gratiam Dei, lætatus est, & inhortabatur omnes ut in proposito cordis maneant in Domino. Erat enim vir bonus, & plenus Spiritu sancto ac fide, & apposita est turba multa Domino. Exiit autem in Tharsum Barnabas ut requireret Paulum, & inventum illum* E *adduxit in Antiochiam.* Valde utilis erat vir ille, etiam frugi ac Paulo familiaris. Ideo & venit ad Athletam, ad ducem belli, ad certantem singulari duello, ad leonem: nec habeo quo nomine dignè vocem illum: venit ad canem venaticum, leones occidentem, ad taurum fortem, ad facem claram, ad os orbi sufficiens. Revera in Antiochia appellati sunt nostri propter hoc,

A εὐλογίας διαλεγόμενοι; οὐ τοὺς παρόντας αἰδοῦνται; οὐ τὸν Θεὸν δεδοίκασιν; οὐ γὰρ ἀρκεῖ ἡμῖν ἡ κατὰ διάνοιαν ῥαθυμία; οὐδὲ ὅτι εὐχόμενοι ἀλλαχοῦ ῥεμβόμεθα· ἀλλὰ καὶ γέλωτα ἐπεισαγόμεθα καὶ πολὺν τὸν καγχασμόν; μὴ γὰρ θέατρόν ἐστι τὰ ἐνταῦθα; ἀλλ' οἶμαι τὰ θέατρα τοῦτο ποιεῖ, δυσπειθεῖς γὰρ τοὺς πολλοὺς ἡμῶν καθίστησιν, καὶ ἀρρύθμους. ἅπερ οἰκοδομούμεθα ἐνταῦθα, ἐκεῖ καταστρέφεται· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἑτέρας ἀκαθαρσίας ἀνάγκη αὐτοὺς ἀναπιμπλᾶσθαι. καὶ ταυ- B τὸν γίνεται, οἷον ἂν εἴ τις χωρίον ἐθέλοι καθᾶραι, πηγῆς ἄνωθεν ὑπερκειμένης βόρβορον ἀφιείσης. ὅσον γὰρ ἂν καθάρῃς, πάλιν ἕτερον ἐπιρρεῖ. τοῦτο καὶ ἐνταῦθα γίνεται. ὅταν γὰρ καθαίρωμεν ἀπὸ τῶν θεάτρων εἰσιόντας καὶ ἀκαθαρσίαν ἐπιφέροντας, ἀπελθόντες ἐκεῖ μείζονα δέχονται τὴν ἀκαθαρσίαν, ὡς ἐπίτηδες διὰ τοῦτο ζῶντες, ἵνα κόπους ἡμῖν παρέχωσι, καὶ ἔρχονται πάλιν πολλὴν κόπρον βαστάζοντες, ἐν τοῖς ἤθεσιν, ἐν τοῖς κινήμασιν, ἐν τοῖς ῥήμασιν, ἐν τῷ γέλωτι, ἐν τῇ ῥᾳ- C θυμίᾳ. εἶτα πάλιν ἡμεῖς σκάπτομεν ἄνωθεν, ὡς ἐπίτηδες διὰ τοῦτο σκάπτοντες, ἵνα καθαροὺς αὐτοὺς πέμψαντες πάλιν ἴδωμεν συναγαγόντας τὸν βόρβορον. διὰ τοῦτο παραδίδωμι ὑμᾶς τῷ Θεῷ. ἐντεῦθεν ἤδη καὶ διαμαρτύρομαι ὑμῖν τοῖς ὑγιαίνουσιν, ὅτι κρίμα ὑμῖν ἔσται καὶ κατάκριμα, εἴ τις ἰδὼν ἀτακτοῦντα, εἴ τις διαλεγόμενον μάλιστα ἐν ἐκείνῳ τῷ καιρῷ, μὴ κατεμήνυσε, μηδὲ ἀπεστρέψε. βέλτιον εὐχῆς τοῦτο. ἄφες σὺ τὴν εὐχήν, κἀκείνῳ ἐπιτίμησον. οὕτω D κἀκεῖνον ὠφελήσεις, καὶ σὺ κερδανεῖς. οὕτω καὶ δυνησόμεθα ἅπαντες σωθῆναι, καὶ τῆς τῶν οὐρανῶν βασιλείας ἐπιτυχεῖν. ἧς γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ. κε.

Οἱ μὲν οὖν διασπαρέντες ἀπὸ τῆς θλίψεως τῆς γενομένης τῷ Στεφάνῳ, διῆλθον ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον, εἰ μὴ μόνον Ἰουδαίοις. E

Οὐ μικρὸν [ὁ] διωγμὸς κατώρθωσεν εἰς τὸν λόγον. τοῖς γὰρ ἀγαπῶσι τὸν Θεόν, πάντα συνεργεῖ, φησιν, εἰς ἀγαθόν. οὐκ ἂν εἴγε ἐπίτηδες ἐσπούδασαν στῆσαι τὴν ἐκκλησίαν ἄλλο τι ἐποίησαν, ἢ τοῦτο· λέγω δὲ τὸ διασπεῖραι τοὺς διδασκάλους. καὶ ὅρα πῶς τὸ κήρυγμα ἐξετάθη· διῆλθον, φησιν, ἕως Φοινίκης καὶ Κύπρου καὶ Ἀντιοχείας, μηδενὶ λαλοῦντες τὸν λόγον εἰ μὴ μόνον Ἰουδαίοις. ὁρᾷς ὅτι οἰ- A κονομικῶς πάντα γέγονε τὰ περὶ Κορνήλιον; τοῦτο δὲ καὶ εἰς ἀπολογίαν τοῦ Χριστοῦ, καὶ εἰς κατηγορίαν τῶν Ἰουδαίων ἐστίν. ὅτε γοῦν Στέφανος ἀνῃρέθη· ὅτε Παῦλος δὶς ἐκινδύνευσεν· ὅτε οἱ ἀπόστολοι ἐμαστίχθησαν· ὅτε πολλάκις ἠλάθησαν, τότε τὰ ἔθνη ἐδέχθη, τότε Σαμαρεῖται. ὁ καὶ Παῦλος βοᾷ λέγων· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖτε αὐτὸν καὶ οὐκ ἀξίους κρίνετε ἑαυτούς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. περιέστησαν οὖν καὶ ἔθνεσι δια- B λεγόμενοι. ἦσαν δέ τινες ἐξ αὐτῶν ἄνδρες Κύπριοι. οἵτινες ἐλθόντες εἰς Ἀντιόχειαν ἐλάλουν πρὸς τοὺς Ἑλληνιστάς, εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. καὶ ἦν χεὶρ Κυρίου μετ' αὐτῶν, πολύς τε ἀριθμὸς πιστεύσας ἐπέστρεψεν ἐπὶ τὸν Κύριον Ἰησοῦν. ὅρα· Ἕλλησιν εὐαγγελίζονται. εἰκὸς γὰρ αὐτούς τε λοιπὸν εἰδέναι Ἑλληνιστί, καὶ ἐν Ἀντιοχείᾳ τοιούτους εἶναι πολλούς. καὶ ἦν χεὶρ Κυρίου, φησί, μετ' αὐτῶν· τουτέστι, σημεῖα εἰργάζοντο. ὁρᾷς διατί καὶ νῦν ἡ τῶν σημείων ἀνάγκη γέγονεν; C ἵνα πιστεύσωσιν. ἠκούσθη δὲ ὁ λόγος εἰς τὰ ὦτα τῆς ἐκκλησίας τῆς οὔσης ἐν Ἱεροσολύμοις τὰ περὶ αὐτῶν, καὶ ἐξαπέστειλαν Βαρνάβαν διελθεῖν ἕως Ἀντιοχείας. τί δήποτε τοιαύτης πόλεως δεχομένης τὸν λόγον, οὐκ ἦλθον αὐτοί, ἀλλὰ Βαρνάβαν πέμπουσι; διὰ τοὺς Ἰουδαίους. πλὴν οὐ μικρὸν δή τι οἰκονομεῖται καὶ οὕτω [τὸ] τὸν Παῦλον ἐνταῦθα παραγενέσθαι. οὐδὲ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα οἰκονομικῶς αὐτὸν ἀποστρέφονται, ἵνα μὴ κατακλεισθῇ ἐν Ἱεροσολύμοις ἡ φωνὴ τοῦ κηρύγματος, ἡ D σάλπιγξ τῶν οὐρανῶν. εἶδες πῶς πανταχοῦ ταῖς κακίαις αὐτῶν εἰς δέον καὶ ὥσπερ ἐβούλετο ἄνωθεν ἀπεχρήσατο ὁ Χριστός; καὶ τῷ μίσει τῷ πρὸς τὸν Παῦλον εἰς οἰκοδομὴν τῆς ἀπὸ τῶν ἐθνῶν ἐκκλησίας; ἀλλ' ἴδε καὶ τοῦτον τὸν ἅγιον, τὸν Βαρνάβαν λέγω, πῶς οὐ τὸ αὐτοῦ εἶδεν, ἀλλ' ἔδραμεν εἰς Ταρσόν. ὃς παραγενόμενος καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ, ἐχάρη, καὶ παρεκάλει πάντας τῇ προθέσει τῆς καρδίας προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθὸς καὶ πλήρης Πνεύματος ἁγίου καὶ πί- E στεως. καὶ προσετέθη ὄχλος ἱκανὸς τῷ Κυρίῳ. ἐξῆλθε δὲ εἰς Ταρσὸν ὁ Βαρνάβας ἀναζητῆσαι Παῦλον, καὶ εὑρὼν ἤγαγεν αὐτὸν εἰς Ἀντιόχειαν. πολὺ χρηστὸς ἦν ὁ ἀνὴρ καὶ ἀφελὴς καὶ τοῦ Παύλου συνήθης. διὸ καὶ ἦλθεν ἐπὶ τὸν στρατηγόν, ἐπὶ τὸν μονομάχον, ἐπὶ τὸν λέοντα. οὐκ ἔχω τί εἴπω. ὅσα γὰρ ἂν εἴπω, ἐλάττονα τῆς ἀξίας τοῦ Παύλου ἐρῶ. ἦλθεν ἐπὶ τὸν κύνα τὸν θηρατικόν, τὸν λέοντας ἀναιροῦντα, ἐπὶ τὸν ταῦρον τὸν ἰσχυρόν, ἐπὶ τὴν λαμπάδα τὴν φαιδράν, ἐπὶ τὸ στόμα τὸ τῇ οἰκουμένῃ ἀρκοῦν. ὄντως διὰ τοῦτο ἐν Ἀντιοχείᾳ ἐχρηματίσθησαν καλεῖσθαι

Χριστιανοὶ

Χριστιανοί, ὅτι Παῦλος ἐν ταύτῃ τοσοῦτον διέτριψε χρόνον. Ἐγένετο δὲ αὐτοὺς ἐνιαυτὸν [ὅλον] συναχθῆναι ἐν τῇ ἐκκλησίᾳ, καὶ διδάξαι ὄχλον ἱκανὸν, χρηματίσαι τε πρῶτον ἐν Ἀντιοχείᾳ τοὺς μαθητὰς Χριστιανούς. Οὐ μικρὸν τῆς πόλεως τὸ ἐγκώμιον τοῦτο πρὸς ἅπαντας στῆναι δύναται, ὅτι τοῦ στόματος ἐκείνου τοσοῦτον ἀπέλαυσε χρόνον πρώτη τῶν ἄλλων ἁπασῶν. Ὅθεν καὶ πρώτως ἐνταῦθα τοῦ ὀνόματος ἠξιώθησαν. Ὁρᾷς εἰς ὅσον ὕψος ἐπῆρε τὴν πόλιν καὶ περιφανεστέραν ἐποίησε; τοῦτο Παύλου κατόρθωμα. Ἔνθα τρισχίλιοι· ἔνθα πεντακισχίλιοι ἐπίστευσαν· ἔνθα τοσοῦτον πλῆθος, οὐδὲν τοιοῦτον γέγονεν, ἀλλ' ὅτι τῆς ὁδοῦ μόνον ἦσαν· ἐνταῦθα δὲ Χριστιανοὶ ὠνομάσθησαν. Ἐν ταύταις δὲ ταῖς ἡμέραις κατῆλθον ἀπὸ Ἱεροσολύμων προφῆται εἰς Ἀντιόχειαν. Ἐπεὶ καὶ τὸν τῆς ἐλεημοσύνης ἐνταῦθα καρπὸν φυτευθῆναι ἔδει, συμφερόντως οἰκονομεῖται τοὺς προφήτας κατελθεῖν. Σὺ δέ μοι παρατήρει πῶς οὐδεὶς τῶν περιφανῶν καὶ τούτοις γίνεται διδάσκαλος. Κυπρίους γὰρ εἶχον διδασκάλους καὶ Κυρηναίους, καὶ Παῦλον· εἰ καὶ οὗτος ὑπερέβαινεν αὐτοὺς, ὥσπερ Παῦλος Βαρνάβαν καὶ Ἀνανίαν. Ἀλλ' οὐδὲν παρὰ τοῦτο ἠλάττωται. Εἶχε δὲ ὅμως καὶ τὸν Χριστόν. Ἀναστὰς δέ τις ἐξ αὐτῶν ὀνόματι Ἄγαβος, ἐσήμαινε λιμὸν μέγαν μέλλειν ἔσεσθαι ἐφ' ὅλην τὴν οἰκουμένην· ὅστις καὶ ἐγένετο ἐπὶ Κλαυδίου Καίσαρος. Ἀναγκαίως ἐνταῦθα λιμὸν μέγαν ἔσεσθαι σημαίνει, ὃς δὴ καὶ ἐγένετο, καθὰ περὶ αὐτοῦ προεῤῥήθη. Ἵνα γὰρ μὴ νομίσωσί τινες διὰ τοῦτο τὸν λιμὸν γεγονέναι, ὅτι Χριστιανισμὸς εἰσῆλθεν, ὅτι δαίμονες ἀπέστησαν, προλέγει τὸ Πνεῦμα τὸ ἅγιον ὃ μέλλει συμβαίνειν· ὥσπερ καὶ ὁ Χριστὸς προεῖπε πολλὰ καὶ ἐξέβη. Οὐ τοίνυν διὰ τοῦτο, ἐπειδὴ ἔδει ἐξ ἀρχῆς τοῦτο γενέσθαι, ἀλλὰ διὰ τὰ κακὰ τὰ εἰς τοὺς ἀποστόλους γινόμενα. Ὧν καὶ γινομένων τέως ἐμακροθύμει ὁ Θεός· ὡς δὲ ἐνέμειναν, λιμὸς γίνεται, μηνύων τοῖς Ἰουδαίοις τὰ ἐσόμενα κακά. Ἀλλ' εἰ καὶ δι' αὐτοὺς ἦν, διὰ τοὺς ἄλλους ἔδει καὶ ὄντα παύσασθαι. Τί γὰρ ἠδίκησαν Ἕλληνες, ἵνα καὶ μηδὲν ἀδικήσαντες αὐτοὶ τῶν κακῶν μεταλάχωσιν; εἰ δὲ μὴ διὰ τοὺς Ἰουδαίους, καὶ εὐδοκιμῆσαι δὴ αὐτοὺς μᾶλλον ἐχρῆν, ὅτι τὸ αὐτῶν ἐποίουν· ὅτι ἀνῄρουν, ἐκόλαζον, ἐτιμωροῦντο, πάντα ἐθελοντὶ ἐδίωκον. Καὶ θέα πότε γίνεται ὁ λιμός, ὅτε καὶ οἱ ἐθνικοὶ λοιπὸν προσεδέχθησαν. Ἀλλ' εἰ διὰ τὰ κακά, φησὶν, ἔδει τούτους ἀποχωρισθῆναι. Διατί, εἰπέ μοι; οὐχὶ προλαβὼν εἶπεν αὐτοῖς ὁ Χριστὸς, Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε; σὺ δὲ ταῦτα λέγων τάχα καὶ τοῦτο ἐρεῖς, ὅτι ἔδει μηδὲ μαστίζεσθαι. Ἀλλ' ὅρα αὐτοῖς γινόμενον καὶ τὸν λιμὸν σωτηρίας αἴτιον, ἐλεημοσύνης ἀφορμὴν, πολλῶν πρόξενον ἀγαθῶν· ὡς καὶ ὑμῖν γέγονεν ἂν, εἴγε ἐβούλεσθε, ἀλλ' οὐκ ἠθελήσατε. Προλέγεται δὲ, ὥστε λοιπὸν παρασκευασθῆναι πρὸς τὴν ἐλεημοσύνην, ὅτι δεινὰ ἔπασχον οἱ ἐν Ἱερουσαλήμ· πρὸ δὲ τούτου οὐκ ἐν λιμῷ ἦσαν· καὶ πέμπονται Βαρνάβας καὶ Παῦλος διακονήσοντες. Τῶν δὲ μαθητῶν, καθὼς ηὐπορεῖτό τις. Εἶδες ἅμα πιστεύοντας, καὶ ἅμα καρποφοροῦντας, οὐ τοῖς αὐτοῦ μόνον, ἀλλὰ καὶ τοῖς πόῤῥω; τοῦτο δοκεῖ μοι ἐνταῦθα λέγειν, ὅπερ ἀλλαχοῦ ὁ Παῦλός φησιν, ὅτι δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, μόνον ἵνα τῶν πτωχῶν μνημονεύσωμεν. Τοσοῦτον ὠφέλησεν ὁ λιμός. Καὶ ὅρα αὐτοὺς οὐδὲ ἐνταῦθα τῇ θλίψει εἰς θρήνους καὶ δάκρυα καταπίπτοντας, καθάπερ ἡμεῖς· ἀλλ' εἰς ἔργον μέγα καὶ ἀγαθὸν ἑαυτοὺς ἐκδιδόντας. Μετὰ πλείονος γὰρ ἀδείας ἐκήρυττον τὸν λόγον. Καὶ οὐκ εἶπον· Ἡμεῖς Κυρηναῖοι καὶ Κύπριοι ὄντες τοιαύτῃ ἐπιθώμεθα πόλει λαμπρᾷ καὶ μεγάλῃ· ἀλλὰ τῇ χάριτι τοῦ Θεοῦ πιστεύοντες, καὶ ἐκεῖνοι ἐπεχείρησαν τῇ διδασκαλίᾳ, καὶ οὗτοι οὐκ ἀπηξίωσαν παρ' ἐκείνων μαθεῖν. Ὅρα διὰ τῶν μικρῶν πάντα κατασκευαζόμενα· τὸ κήρυγμα αὐξανόμενον· τοὺς ἐν Ἱεροσολύμοις πάντων ὁμοῦ ὁμοίως φροντίζοντας, ὡς μίαν οἰκίαν τὴν οἰκουμένην ἔχοντας. Ἤκουσαν ὅτι Σαμάρεια δέδεκται τὸν λόγον, καὶ ἔπεμψαν Πέτρον καὶ Ἰωάννην· ἤκουσαν τὰ εἰς Ἀντιόχειαν, καὶ πέμπουσι Βαρνάβαν. Πολὺ γὰρ τὸ διάστημα ἦν, καὶ οὐκ ἔδει τοὺς ἀποστόλους τέως χωρισθῆναι ἐκεῖθεν, ἵνα μὴ νομισθῶσιν εἶναι φυγάδες, καὶ τοὺς αὐτῶν πεφευγέναι. Τότε δὲ ἀναγκαίως χωρίζονται, ὅτε λοιπὸν ἀνίατα ἔχειν ἐδόκει τὰ κατ' αὐτούς· ὅτε λοιπὸν ὁ πόλεμος ἐπέστη, καὶ ἀπώλλυντο, ὅτε ἡ ἀπόφασις ἐξηνέχθη. Ἐπειδὴ ἕως Παῦλος εἰς Ῥώμην [μὴ] ἀνέβαινεν, ἐκεῖ ἦσαν. Ἐξέρχονται δὲ, οὐχὶ τὸν πόλεμον δεδοικότες· πῶς γὰρ, οἵ γε πρὸς τοὺς πολεμεῖν μέλλοντας ἀπῄεσαν; καὶ ὁ πόλεμος δὲ γίνεται λοιπὸν τελευτησάντων τῶν ἀποστόλων, καὶ πέρας τὸ περὶ αὐτῶν ῥηθὲν λαμβάνει· Ἔφθασεν ἐπ' αὐτοὺς ἡ ὀργὴ εἰς τέλος. Ὅσῳ ἀσημότεροι ἦσαν, τοσούτῳ μᾶλλον ἔλαμπεν ἡ χάρις, διὰ μικρῶν ἐργαζομένη μεγάλα. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Παρεκάλει πάντας, φησὶ, προσμένειν τῷ Κυρίῳ, ὅτι ἦν ἀνὴρ ἀγαθός. Ἐμοὶ δοκεῖ ἀγαθὸν νῦν τὸν ἀφελῆ λέγειν, τὸν ἄπλαστον, τὸν σφόδρα τῆς τῶν πλησίον ἐπιθυμοῦντα σωτηρίας. Οὐ μόνον δὲ ἦν ἀνὴρ ἀγαθὸς, ἀλλὰ καὶ πλήρης Πνεύματος ἁγίου καὶ πίστεως. Διὸ καὶ τῇ προθέσει τῆς καρδίας παρεκάλει πάντας· τουτέστι, μετ' ἐγκωμίων καὶ ἐπαίνων. Καὶ σκόπει πῶς καθάπερ γῆ λιπαρὰ τὸν λόγον ἐδέξατο ἡ πόλις αὕτη, καὶ πολὺν τὸν καρπὸν ἐπεδείξατο.

A vocabulo Christianorum, quia Paulus in ea tanto tempore perseveraverit. *Factum est autem, quod illi anno integro congregarentur in Ecclesia, & docerent multum populum, ut primum appellati sint discipuli in Antiochia Christiani.* Non parva autem hæc civitatis laus erat. Hoc contra omnes adduci potest, quòd prima omnium, tanto tempore illo ore frui cœpit, unde & principiò hoc nomen assequuti sunt. Vides in quantum fastigium civitatem extulit, & clariorem reddidit B hoc Pauli opus? alibi *tria millia*, & *quinq. millia* crediderunt, hî tanta multitudo. Nihil tale factum ibi, sed adhuc tantum *de via illa* esse dicebantur, hîc autem *Christiani* appellati sunt. Supr. 2, 41. & 4, 4. Ibid. 9, 2. *In istis autem diebus descenderunt à Hierosolymis Prophetæ in Antiochiam.* Quoniam etiam in illis locis fructum eleemosynæ plantari oportebat, utili dispensatione accidit Prophetas descendere. Tu autem considera & observa, quomodo nullus clarus his doctor advenit. Cyprios enim habebant doctores, ac Cy- C renæos & Paulum, quamvis ille antecelleret istos. Sicut Paulus Barnabam & Ananiam, sed nihil ex hoc minor fuit. Habebat tamen & Christum. *Surgens autem quidam ex illis Agabus nomine, significavit famem magnam futuram in toto orbe, quæ scilicet & facta est sub Claudio Cæsare.* Necessariò hîc famem magnam futuram significat, quæ sane sicut prædicta est, contigit. Ut enim ne putent quidam propter hoc factam famem, quòd Christianismus ingressus est, vel quòd dæmones D dejecti fuerint, prædicit Spiritus sanctus quòd eventurum, sicut & Christus prædixit multa, & evenerunt. Non igitur propter hoc, quoniam oportebat ab initio hoc fieri, sed propter mala quæ in Apostolos facta: quæ quum & fierent, longanimiter ferebat Deus: quum autem in peccatis perseverarent, fames magna facta est, significans Judæis eventura mala. Dicis: Si propter illos erat, propter alios quum esset oportebat cessare. Quid enim injustè egerant Græci, ut propter illos malorum fierent partici- E pes, qui nihil mali fecerant? Si autem non propter Judæos, & probari illos magis oportebat, eo quòd Judæi faciebant pro sua virili, occidebant, puniebant, mulctabant, ubique persequebantur. Et vide quomodo fit fames, quando & Ethnici jam suscepti erant. At dicis: Si propter mala hæc fiebant, oportebat illos ab aliis separari. Quare dic mihi? Nonne prius dixit eis Christus: *In mundo tribulationem habebitis?* Tu autem hæc Joh. 16, ult. dicens, forsan & hæc dices, quòd oportebat neque flagellari. Sed A vide ut illis etiam fames salutis fiat causa, & eleemosynæ occasio, multa concilians bona. atque ita etiam vobis factum esset siquidem voluissetis, sed noluistis. Prædicitur autem, ut posthac magis præparati sint ad eleemosynam, quia graviter affligebantur ii qui in Hierosolymis. Ante hoc non erant in fame, & mittitur Barnabas ac Paulus qui ministrarunt. *Discipulis autem, prout quisq. abundabant.* Vidisti simul credere, & simul fructum afferre, non his solùm qui propè erant, sed etiam his qui à longe. Hoc autem B mihi videtur hîc dicere id quod alicubi Paulus inquit, *quod dextras dederunt mihi & Barnabæ communionis, tantum ut pauperum memores simus.* Gal. 2, 9. In tantum profuit fames. Et vide illos neque ex tribulatione in lamenta & lachrymas erupisse, sed operi magno & bono sese exposuisse. Cum majore enim ubertate prædicabant sermonem. Et non dixerunt, Nos quum simus Cyprii & Cyrenæi, tam nobili & claræ civitati hoc imponemus: sed credentes gratiæ Dei, etiam illi aggressi sunt doctrinam, & hi non C dedignati sunt ab illis discere. Vide per paucos omnia hæc fieri, prædicationem crescere, curam omnium qui Hierosolymis geri, quasi unam domum orbem haberi. Audierant quod Samaria receperat Verbum, & miserunt Petrum ac Joannem. Magnum Supr. 8, 14. enim discrimen erat, & non oportebat Apostolos illinc pridem separari, ne putarentur esse fugitivi, & suos fugisse: tunc autem necessario separantur, quando nulla ratione res Judaicæ curari poterant, quando bello incrudescente perituri erant, quando D sententia pronunciata. Quoniam quandiu Paulus in Romam non pervenit, illic erant. Egrediuntur autem, non bellum formidantes. Et quomodo formidarent, quum ad impugnaturos se abirent? Et bellum illud factum est mortuis Apostolis, & quod de illis dictum, finem accepit: *Pervenit super illos ira in finem.* 1. Thess. 2, 16. Apostoli autem quo ignobiliores erant, hoc magis fulgebat gratia, parvis conficiens magna. Sed videamus iterum quæ dicta sunt: *Inhortabatur*, inquit, *ut perseverarent in Domino, quia erat vir bo-* E *nus.* Mihi videtur *bonum* nunc frugi appellare, & simplicem sine fuco, valde cupidum salutis proximorum. Non solùm autem erat *vir bonus*, sed etiam *plenus Spiritu sancto ac fide.* Ideo & proposito cordis omnes inhortabatur. *Inhortabatur*, hoc est cum præconio & laudibus. Et considera quomodo civitas illa quemadmodum terra pinguis sermonem accipit.

Quare autem Paulum à Tharso abducit, & in illam civitatem inducit? Non absque causa, nam hîc & amplior civitas, & amplior spes, hominúmque frequentior copia. Vidisti gratiam omnia operari, non Paulum, & quomodo à parvis res initium cepit: ubi autem inclaruit, tunc Barnabam mittunt? Et quare non ante hoc miserunt illum? multam secum habebant curam, & nolebant improperare sibi Judæos quòd suscepissent gentes, quamvis absque vitatione illis admiscerentur! quoniam futura erat controversia apud illos, ea quæ apud Cornelium acta præcesserunt, & tunc sanè etiam dicunt, *ut nos in gentes, illi autem in circumcisionem.* Et considera quomodo tempestivè necessitas famis inducit communionem illam, quam gentes ad eos qui in Hierusalem, miserunt. Accipiebant enim ab illis, & non sicut nos, in luctibus calamitates addebant, sed minore pavore vivebant: quum procul fierent ab eis qui prohiberent, & essent inter homines qui non timebant Judæos, quod & ipsum non parum conducebat, sed & in Cyprum abeunt, ubi minor metus ac solicitudo. *Nulli autem sermonem*, inquit, *loquebatur, nisi solis Judæis.* Non propter hominum metum, quem nihili faciebant, sed leges retinentes, & illos adhuc tolerantes. *Erant autem quidam in Antiochia Cyprii, & Cyrenæi, hi maxime non curabant Judæos, qui scilicet loquebantur ad Græce loquentes, & evangelizabant Dominum Jesum.* Fortassis quòd nesciebant Hebraicè, vocabant illos Ἑλληνιστάς, Græcos. *Ut autem advenit*, inquit, *Barnabas, & vidit gratiam Dei*, non diligentiam hominum, *Inhortabatur illos ut perseverarent in Domino.* Forsan in eo quòd laudabat turbam & approbabat, hoc plures convertit. Et quare non Paulo scribunt, sed Barnabam mittunt? Nondum viri sciebant virtutem, ideo solum constitutum est, ut Barnabas proficisceretur. Quoniam autem & multitudo erat, & nemo prohibebat: meritò germinavit fides, & maxime quod nullam illic sustinebant tentationem, & quòd Paulus prædicabat sine fugiendi necessitate. Benè autem non illi de fame dicunt, sed Prophetæ, ne onerosi quidam videantur: & admiratione dignum, quomodo non indignati fuerunt, quòd despecti Antiocheni, sed contenti sunt magistris, ita omnes fervebant ad sermonem. Qui etiam non expectarunt donec fieret fames, sed ante illam *miserunt prout abundabat quisque.* Et vide quòd inter Apostolos alii quidam hanc potestatem accipiunt, hic autem Paulus & Barnabas erant, idque non sine causa constitutum est. Et aliter: Et principium erat, & jam non oportebat scandalizari. Verum jam nullus hoc facit, tametsi fames sit illa gravior. Non enim par est communem ferre calamitatem, & quum abundantia fruuntur, pauperiores quosdam fame laborare. Tunc solùm fames erat, & qui dabant pauperes. *Sicut* enim, inquit, *unusquisque abundabat:* nunc autem duplex fames, sicut & duplex abundantia, fames gravis, fames non audiendi Verbum Domini, sed educandi per eleemosynam. Tunc & eleemosyna ii qui in Judæa erant pauperes, potiti sunt: & qui in Antiochia, pecunias contribuebant, & hi magis quàm illi. Nunc autem & nos & pauperes in fame, nam illi quidem necessario alimento egent, nos vero rarissimè misericordiæ sumus dediti. Hoc autem alimento nullum magis necessarium. Ferre nequeunt mala quæ à satietate sunt, quod amplius est hoc alimento, non vadit in secessum. Nihil pulchrius, nihil suavius anima quæ sic pascitur, omni superior est morbo, omni fame, omni intemperie & ægritudine, nullus enim poterit rapere, sed sicut adamantinum corpus nec ferrum cædere valet, nec aliud quiddam, ita & animam ob eleemosynam confirmatam nihil tollere potest. Quid enim, dic oro, hanc rapere unquam posset? Paupertas? minimè, habitat enim in regalibus promptuariis. Num latro & fur? sed illos parietes nullus perfodere valet. Num vermis? sed etiam hoc incommodo superiorem habet thesaurum. Num invidia & odium? sed neque ab illis capitur, num calumniæ & insidiæ? neque illæ. Inde prædabilis enim thesaurus est, sed fœdum fuerit, si hæc sola demonstraro quæ eleemosynæ accidunt, & non contraria. Non enim ab invidentia solum libera est, sed etiam multa benedictione fruitur etiam ab his quibus non est benefactum: Nam quemadmodum crudeles ac inhumani non eos duntaxat habent adversarios, quos afflixerunt, sed etiam eos qui nihil passi illis condolent: nam & isti accusant & vituperant: sic qui multa bona fecerunt, non solum eos quibus bene fecerunt, sed etiam eos quibus nullum beneficium impenderunt inveniunt laudatores. Quid dicam liberos ab invidia & insidiatoribus, & latronibus, & parietum effractoribus? Non hoc solum bonum habet, sed adhuc cum eo quod non imminuuntur, crescunt etiam opes, & multiplicantur. Quid Nabuchodonozore turpius? quid deformius? quid iniquius? Impius homo erat, plurima signa & indicia

Gal. 1. c.

Διὰ τί δὲ τὸν Ταρσοῦ αὐτὸν ἀπέστησεν ὁ Βαρνάβας καὶ ἐνταῦθα ἤγαγεν; οὐχ ἁπλῶς· ἀλλ' ἐπειδὴ ἐνταῦθα καὶ ἐλπίδες χρησταὶ καὶ μείζων ἡ πόλις, καὶ πολὺ τὸ πλῆθος. εἶδες πάντα τὴν χάριν ἐργαζομένην, οὐ Παῦλον; καὶ πῶς διὰ τῶν μικρῶν τὸ πρᾶγμα ἀρχὴν ἔλαβεν· ὅτε δὲ περιφανὴς γέγονε, τότε Βαρνάβαν πέμπουσι; καὶ διατί μὴ πρὸ τούτου ἐξέπεμψαν αὐτόν. πολλὴν τὴν καθ' ἑαυτοὺς πρόνοιαν ἐποιοῦντο, καὶ οὐκ ἐβούλοντο ἐγκαλεῖν αὐτοῖς Ἰουδαίους ὅτι προσελάμβανον τὰ ἔθνη. καίτοι διὰ τὸ ἀπαραιτήτως αὐτοῖς ἐπιμίγνυσθαι. ἐπεὶ ἔμελλέ τις ἀμφισβήτησις γίνεσθαι παρ' αὐτῶν, τὰ κατὰ Κορνήλιον προὔλαβε. τότε γοῦν καὶ λέγουσιν· ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν. καὶ σκόπει πῶς εὐκαίρως ἡ ἀνάγκη τοῦ λιμοῦ εἰσήγαγε τὴν κοινωνίαν τὴν ἀπὸ τῶν ἐθνῶν τὴν πρὸς τοὺς ἐν Ἱεροσολύμοις πεμφθεῖσαν. ἐδέχοντο γὰρ τὰ παρ' αὐτῶν, καὶ οὐ καθάπερ ἡμεῖς, ἐν θρήνοις τὰς συμφορὰς διαγόμενοι οὕτω δήπου καὶ οὗτοι· ἀλλὰ μετὰ πλείονος ἀδείας διῆγον, ἅτε πόρρω γενόμενοι τῶν κωλυόντων αὐτούς, καὶ ἐν ἀνθρώποις ὄντες οὐ πεφοβημένοις τοὺς Ἰουδαίους. ὃ καὶ αὐτὸ συνεβάλλετο οὐ μικρόν. ἀλλὰ καὶ εἰς Κύπρον ἀφίκοντο· ὅπου πολὺ μᾶλλον τὸ ἀδεές, πλείων δὲ ἡ ἐρημία. οὐδενὶ δὲ τὸν λόγον, φησίν, εἰ μὴ Ἰουδαίοις ἐλάλουν. οὐ διὰ τὸν τῶν ἀνθρώπων φόβον, ὃν οὐδὲν ἡγοῦντο, τοῦτο ἐποίουν· ἀλλὰ τὸν νόμον τηροῦντες καὶ αὐτοὺς ἔτι διαβαστάζοντες. ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ Κύπριοι καὶ Κυρηναῖοι. οὗτοι μάλιστα οὐκ ἐφρόντιζον Ἰουδαίων. οἵτινες ἐλάλουν πρὸς τοὺς Ἑλληνιστὰς εὐαγγελιζόμενοι τὸν Κύριον Ἰησοῦν. ἴσως διὰ τὸ μὴ εἰδέναι Ἑβραϊστί, Ἑλληνιστὰς αὐτοὺς ἐκάλουν. παραγενόμενος δέ, φησι, Βαρνάβας, καὶ ἰδὼν τὴν χάριν τοῦ Θεοῦ οὐχὶ τὴν σπουδὴν τῶν ἀνθρώπων· παρεκάλει αὐτοὺς προσμένειν τῷ κυρίῳ. τάχα τῷ ἐπαινεῖν τὸν ὄχλον καὶ ἀποδέχεσθαι, τούτῳ πλείους ἐπέστρεψε. καὶ διατί μὴ Παύλῳ γράφουσιν, ἀλλὰ Βαρνάβαν πέμπουσιν; οὔπω οἱ ἄνδρες ᾔδεισαν τὴν ἀρετήν. διὸ καὶ μόνον οἰκονομεῖται Βαρνάβαν παραγενέσθαι. ἐπεὶ δὲ καὶ πλῆθος ἦν, καὶ οὐδεὶς ὁ κωλύων, εἰκότως ἐβλάστησεν ἡ πίστις, καὶ μάλιστα ὅτι οὐδένα ἐνταῦθα ὑπέμενον πειρασμόν· καὶ ὅτι Παῦλος ἐκήρυττε, καὶ οὐκ ἔτι ἀναγκάζεται φεύγειν. καλῶς δὲ οὐκ αὐτοὶ περὶ τοῦ λιμοῦ λέγουσιν, ἀλλ' οἱ προφῆται· ἵνα μὴ φορτικοί τινες δόξωσι. καὶ θαυμάζειν ἄξιον, πῶς οὐκ ἠγανάκτησαν ὡς ὑπεροφθέντες Ἀντιοχεῖς. ἀλλ' ἀρκοῦνται τοῖς διδασκάλοις. οὕτω πάντες ἔζεον πρὸς τὸν λόγον. οἳ καὶ οὐδὲ περιέμειναν γενέσθαι τὸν λιμόν, ἀλλὰ πρὸ τούτου ἔπεμψαν καθὼς ηὐπορεῖτό τις. καὶ ὅρα ὅτι ἐν μέσῳ τοῖς ἀποστόλοις, ἕτεροι τοῦτο ἐπιτρέπονται· ἐνταῦθα δὲ Παῦλος καὶ Βαρνάβας, οὐ μικρὰ δὲ καὶ τοῦτο οἰκονομία ἦν. ἄλλως δέ. καὶ ἀρχὴ ἦν, καὶ τέως οὐκ ἔδει σκανδαλισθῆναι. ἀλλὰ νῦν οὐδεὶς τοῦτο ποιεῖ· καίτοι λιμὸς ἐστὶ χαλεπώτερος ἐκείνου. οὐ γάρ ἐστιν ἴσον κοινῇ φέρειν τὴν συμφοράν, καὶ πάντων ἐν ἀφθονίᾳ ὄντων τοὺς πενεστέρους εἶναι ἐν λιμῷ. τότε μόνον λιμὸς ἦν, καὶ οἱ διδόντες πένητες. καθὼς ηὐπορεῖτο γάρ τις αὐτῶν, φησί· νυνὶ δὲ λιμὸς διπλοῦς, καθάπερ ἡ ἀφθονία διπλῆ· λιμὸς χαλεπός, λιμὸς οὐ τοῦ ἀκοῦσαι λόγον κυρίου, ἀλλὰ τοῦ τραφῆναι δι' ἐλεημοσύνης. τότε καὶ οἱ ἐν Ἰουδαίᾳ πένητες ἀπέλαυσαν, καὶ οἱ ἐν Ἀντιοχείᾳ δόντες [τὰ] χρήματα· καὶ οὗτοι μᾶλλον ἐκείνων. νυνὶ δὲ καὶ ἡμεῖς καὶ οἱ πένητες ἐν λιμῷ· οἱ μὲν τῆς ἀναγκαίας ἀποροῦντες τροφῆς· ἡμεῖς δὲ ἐν ἀπορίᾳ τοῦ ἐλέους ὄντες τοῦ Θεοῦ. ταύτης δὲ τῆς τροφῆς οὐδὲν ἀναγκαιότερον γένοιτ' ἄν. οὐκ ἔστιν ὑποστῆναι τὰ ἀπὸ τῆς πλησμονῆς κακά· οὐκ ἔστιν εἰς ἀφεδρῶνα προχωρήσει τὸ πλέον ταύτης τῆς τροφῆς. οὐδὲν ὡραιότερον, οὐδὲν ὑγιεινότερον ψυχῆς οὕτω τρεφομένης· πάσης ἀνωτέρα ἕστηκε νόσου, παντὸς λιμοῦ, πάσης ἀνωμαλίας καὶ δυσκρασίας· οὐδεὶς αὐτὴν δυνήσεται ἑλεῖν· ἀλλὰ καθάπερ ἀδαμάντινον σῶμα οὐ σίδηρος πλῆξαι δύναται, οὐκ ἄλλο οὐδέν· οὕτω καὶ ψυχὴν ἀπὸ ἐλεημοσύνης συμπεπηγυῖαν οὐδὲν ὅλως δυνήσεται ἑλεῖν. τί γὰρ εἰπέ μοι ταύτην χειρώσεταί ποτε; πενία; οὐκ ἔστιν. ἐν γὰρ τοῖς βασιλικοῖς ἀπόκειται ταμιείοις. ἀλλὰ λῃστὴς καὶ τοιχωρύχος; ἀλλ' ἐκείνους οὐδεὶς διορύξαι τοὺς τοίχους οἷός τε. ἀλλὰ σκώληξ; ἀλλὰ καὶ ταύτης ἀνώτερος τῆς λύμης οὗτος ὁ θησαυρός. ἀλλὰ βασκανία καὶ φθόνος; ἀλλ' οὐδὲ τούτοις ἁλίσκεται. ἀλλὰ συκοφαντίαι καὶ ἐπιβουλαί; οὐδὲ τοῦτο. ἄσυλος γὰρ ὁ θησαυρός. ἀλλ' αἰσχρὸν εἰ ταῦτα ἐπιδείξω μόνα τῇ ἐλεημοσύνῃ προσόντα, οὐχὶ δὲ καὶ τἀναντία. οὐ γὰρ δὴ βασκανίας ἀπήλλακται μόνον, ἀλλὰ καὶ εὐλογίας ἀπολαύει πολλῆς καὶ παρὰ τῶν οὐκ εὖ πεπονθότων. ὥσπερ γὰρ οἱ ὠμοὶ καὶ ἀπηνεῖς οὐ τοὺς ἠδικημένους ἔχουσιν ἐχθροὺς μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας συναλγοῦντας αὐτοῖς καὶ κατηγοροῦντας· οὕτως οἱ μεγάλα ἐργασάμενοι καλά, οὐχὶ τοὺς εὖ πεπονθότας μόνον, ἀλλὰ καὶ τοὺς οὐδὲν παθόντας ἔχουσιν ἐπαινέτας. τί λέγω βασκανίας; καὶ ἐπιβουλῆς τοῦτον ἀπήλλακται καὶ λῃστῶν καὶ τοιχωρύχων. οὐ τοῦτο μόνον τὸ καλόν, ἀλλ' ὅτι πρὸς τῷ μὴ ἐλαττοῦσθαι καὶ αὔξεται καὶ εἰς πλῆθος ἐπιδίδωσι. τί τοῦ Ναβουχοδονόσορ γέγονεν αἰσχρότερον; [τί δυσειδέστερον;] τί παρανομώτερον; ἀσεβὴς ὁ ἄνθρωπος ἦν· μυρία τεκμήρια καὶ ση-

μεῖα

μεῖα εἶδε, καὶ οὐκ ἠθέλησεν ἀνενεγκεῖν· ἀλλὰ τοὺς τοῦ Θεοῦ δούλους εἰς κάμινον ἔβαλεν, εἰ καὶ μετὰ ταῦτα προσεκύνησε. τί οὖν ὁ προφήτης; „Βασιλεῦ, ἡ βουλή μου ἀρεσάτω σοι· τὰς ἁμαρτίας σου ἐν ἐλεημοσύναις λύτρωσον, καὶ ἀνομίας σου ἐν οἰκτιρμοῖς πενήτων. ἴσως ἔσται συγγνώμη τοῖς παραπτώμασί σου. τοῦτο οὕτως εἶπεν, οὐκ ἀμφιβάλλων· σφόδρα γὰρ ἦν πεπεισμένος· ἀλλὰ βουλόμενος αὐτὸν εἰς μείζονα ἐμβαλεῖν φόβον, καὶ πλείονα ἀνάγκην τοῦ ταῦτα ποιῆσαι. εἰ γὰρ εἶπεν ὡμολογημένως, ὑπτιώτερος ἐγένετ' ἂν ἐκεῖνος. οὕτω καὶ ἡμεῖς τότε μάλιστα ὠθοῦμέν τινας, ὅταν λέγωμεν, παρακάλεσον τὸν δεῖνα, καὶ μὴ ἐπάγωμεν, ὅτι πάντως ἀκούσεται, ἀλλ' ἴσως ἀκούσεται. ὑπὸ γὰρ τῆς ἀμφισβητήσεως μείζων ὁ φόβος γινόμενος μᾶλλον αὐτὸν ὠθεῖ. διὰ τοῦτο δῆλον αὐτὸ οὐκ ἐποίησε. τί λέγεις; τοσούτοις ἀσεβήμασιν ἔσται συγγνώμη; ναί. οὐκ ἔστιν ἁμάρτημα ὃ μὴ δύναται καθαρίσαι ἐλεημοσύνη, ὃ μὴ δύναται σβέσαι. πᾶσα ἁμαρτία κατωτέρα ταύτης ἕστηκε. φάρμακόν ἐστι πρὸς πᾶν τραῦμα ἐπιτήδειον. τί τελώνου χεῖρον; πάσης ἀδικίας ἐστὶν ὑπόθεσις. ἀλλὰ ταύτην πᾶσαν ἀπενίψατο ὁ Ζακχαῖος. ὅρα πῶς καὶ ὁ Χριστὸς τοῦτο δείκνυσι, δι' ὧν ἐσπούδασε γλωσσόκομον ἔχειν καὶ τὰ „βαλλόμενα βαστάζειν. καὶ Παῦλος δέ φησι· μόνον τῶν πτωχῶν ἵνα „μνημονεύωμεν. καὶ πολὺς πανταχοῦ τῶν γραφῶν ὑπὲρ τοῦ πράγματος „τούτου ὁ λόγος. λύτρον ψυχῆς, φησὶν, ἀνδρὸς ὁ ἴδιος πλοῦ„τος. καὶ ὁ Χριστός· εἰ θέλεις τέλειος εἶναι, πώλησόν σου τὰ ὑπάρ„χοντα καὶ δὸς πτωχοῖς, καὶ δεῦρο ἀκολούθει μοι. τοῦτο τελειότης εἰκότως. ἐλεημοσύνη δὲ οὐκ ἐν χρήμασι γίνεται μόνον, ἀλλὰ καὶ ἐν πράγμασιν. οἷόν τι λέγω· ἔστι καὶ προστῆναι· ἔστι καὶ χεῖρα ὀρέξαι· πολλάκις καὶ χρημάτων μείζονας ἔσωσεν ἡ διὰ πραγμάτων προστασία. οὐκοῦν φέρε, πάντα κινήσωμεν ἐπὶ τοῦ παρόντος τὰ τῆς ἐλεημοσύνης εἴδη. δύνασαι διὰ χρημάτων; μὴ ὄκνει. δύνασαι διὰ προστασίας; μὴ εἴπῃς, ἐπειδὴ χρήματα οὐκ ἔστι, τοῦτο οὐδέν ἐστι. σφόδρα καὶ τοῦτο μέγα. ὥσπερ χρυσίον δεδωκὼς, οὕτω διάκεισο. δύνασαι διὰ θεραπείας; καὶ τοῦτο ποίησον. οἷον· ἰατρὸς εἶ τὴν ἐπιστήμην; ἐπιμελήθητι ἀρρωστούντων. καὶ τοῦτο μέγα. δύνασαι διὰ συμβουλῆς; πολλῷ τοῦτο πάντων μεῖζον. αὕτη βελτίων πάντων ἡ καὶ πλείων, ὅσῳ καὶ μεῖζον ἔχει τὸ κέρδος. οὐ γὰρ λιμὸν λύεις, ἀλλὰ θάνατον χαλεπόν. τοιαύτης καὶ οἱ ἀπόστολοι ἐκ περιουσίας ἦσαν ἐμπεπλησμένοι. διὰ τοῦτο τὴν τῶν χρημάτων διανομὴν τοῖς μετ' αὐτοὺς ἐνεχείρισαν, αὐτοὶ τὴν διὰ τῶν λόγων ἐπιδεικνύμενοι. ἢ μικρὰν ἐλεημοσύνην οἴει εἶναι, ψυχὴν ἀπορουμένην, κινδυνεύουσαν περὶ τῶν ἐσχάτων, ὑπὸ πυρέτου συνεχομένην, δυνηθῆναι ἀπαλλάξαι τῆς νόσου; οἷον, ὁρᾷς φίλον ὑπὸ φιλαργυρίας κατεχόμενον; ἐλέησον τὸν ἄνθρωπον, ἀποπνίγεται· σβέσον αὐτοῦ τὸ πῦρ. τί οὖν ἂν μὴ πείθηται; σὺ τὸ σαυτοῦ ποίησον, καὶ μὴ καταμελήσῃς. εἶδες αὐτὸν ἐν δεσμοῖς κατεχόμενον; δεσμὰ γὰρ ὄντως τὰ χρήματα· ἄπελθε πρὸς αὐτὸν, ἐπίσκεψαι αὐτὸν, παραμύθησαι· πειράθητι τῶν δεσμῶν ἀπολῦσαι. ἂν μὴ βούληται, τὴν αἰτίαν αὐτὸς ὑπομένει. εἶδες γυμνὸν καὶ ξένον; γυμνὸς γὰρ ὄντως καὶ ξένος ἐστὶ τῶν οὐρανῶν ὁ βίου ὀρθοῦ μὴ ἐπιμελούμενος· λάβε εἰς τὸ καταγώγιον τὸ σόν· περίβαλε ἱμάτια τὰ τῆς ἀρετῆς· δὸς πόλιν τὴν ἐν οὐρανῷ. τί οὖν ἂν ἐγὼ γυμνὸς ὦ, φησί; καὶ σαυτὸν ἔνδυσον πρῶτον. εἰ οἶδας ὅτι γυμνὸς εἶ, πάντως καὶ ὅτι ἐνδυθῆναι ὀφείλεις, οἶδας. εἰ ταύτης μόνον τῆς γυμνότητος ἐπίστασαι τὸν τρόπον, δυνήσῃ γνῶναι ῥᾳδίως καὶ τὴν αὐτῆς κατασκευήν. πόσαι γυναῖκες σηρικὰ ἱμάτια φοροῦσι· γυμναὶ δὲ ὄντως εἰσὶ τῶν τῆς ἀρετῆς ἱματίων; ταύτας οἱ ἄνδρες περιβαλλέτωσαν. ἀλλ' οὐ προσίενται τὰ ἱμάτια ἐκεῖνα, ἀλλὰ ταῦτα βούλονται; τοῦτο πρῶτον ποίησον· εἰς τὴν ἐπιθυμίαν αὐτὰς τῶν ἱματίων ἐκείνων κατάστησον· δεῖξον ὅτι γυμναί εἰσι· διαλέχθητι περὶ τῆς κρίσεως τῆς μελλούσης· εἰπὲ ἄλλων ἡμῖν δεῖ ἐκεῖ, οὐ τούτων. εἰ δὲ ἀνέχοισθέ μου, καὶ ἐγὼ τὴν γυμνότητα δείξω. ὁ γυμνὸς, ψύχους μὲν ὄντος, πέπηγε καὶ τρέμει, καὶ συνεσταλμένος ἕστηκε, συναγαγὼν τοὺς βραχίονας· θέρους δὲ ὄντος, οὐκ ἔτι. ἂν τοίνυν δείξω καὶ τοὺς πλουτοῦντας καὶ τὰς πλουτούσας τοσούτῳ μάλιστα γυμνοὺς, ὅσῳ μάλιστα ἂν περιβάλλωνται, μὴ ἀπεχθάνεσθε. τί οὖν, εἰπέ μοι; ὅταν τοὺς περὶ γεέννης ἀνακινῶμεν λόγους, καὶ τῶν βασανιστηρίων ἐκείνων, οὐχὶ μᾶλλον τῶν γυμνῶν ἐκείνων πεπήγασιν οὗτοι καὶ τρέμουσιν; οὐχὶ πικρὰ στενάζουσι, καὶ καταδικάζουσιν ἑαυτούς; τί δαὶ ὅταν τῷ δεῖνι προσέρχωνται καὶ λέγωσιν, εὖξαι ὑπὲρ ἡμῶν· οὐχὶ τὰ αὐτὰ ῥήματα φθέγγονται ἐκείνοις; ἀλλὰ νῦν μὲν ὅσα ἂν εἴπωμεν, οὔπω δήλη ἡ γυμνότης· ἔσται δὲ ἐκεῖ δήλη. πῶς καὶ τίνι τρόπῳ; ὅταν τῶν σηρικῶν ἱματίων καὶ τῶν λίθων ἀπολωλότων ἀπὸ μόνων τῶν τῆς ἀρετῆς καὶ τῆς κακίας ἱματίων ἅπαντες φαίνωνται· ὅταν οἱ μὲν πένητες ὦσιν ἠμφιεσμένοι δόξαν πολλήν· οἱ δὲ πλουτοῦντες γυμνοὶ καὶ ἀσχημονοῦντες πρὸς τὰ κολαστήρια σύρωνται. τί ἁβρότερον ἦν τοῦ πλουσίου τοῦ τὴν πορφύραν ἐνδιδυσκομένου; τί δὲ πενέστερον τοῦ Λαζάρου; τίς οὖν τὰ τῶν ἐπαιτῶν ἐφθέγγετο ῥήματα; τίς δὲ ἐν ἀφθονίᾳ ἦν; εἰπέ μοι εἴ τις τὴν οἰκίαν περιβάλλοι πολλοῖς τοῖς παραπετάσμασιν· αὐτὸς δὲ ἔνδον καθῆται γυμνὸς, τί τὸ κέρδος;

A vidit, & noluit resipiscere, sed servos Dei in caminum jecit &
postea adoravit. Quid igitur Propheta? *Rex*, ait: *consilium* Dan.4.24.
meum placeat tibi, peccata tua eleemosynis redime, & iniqui-
tates tuas miserationibus pauperum: forsan erit venia delictis
tuis. Hoc sic dixit non ambigens, valde enim persuasum
erat Prophetæ, sed volens illum amplius terrere & cogere ut
hoc faciat. Si enim affirmando dixisset, negligentior factus
esset ille. Ita & nos tunc maximè quosdam urgemus, quan-
B do dicimus, obsecra illum, & non adjicimus omnino auditu-
rum, sed forte auditurum. Metus enim à dubitatione pro-
fectus, magis impellit, & propter hoc certum & manifestum
istud non fecit. Quid dicis? tantis ne impietatibus erit ve-
nia? Etiam: non est peccatum quod non possit purgare elee-
mosyna, quódve non possit extinguere. Omne peccatum
infra illam stat. Remedium est ad omne vulnus utile. Quid
Publicano deterius? omnis injustitiæ fomes est avaritia, sed
C hanc omnem abluit Zachæus. Vide quomodo & Christus Luc.19,2.f.
hoc monstrat, dum curavit & *marsupium* habere, & portare Joh.12. 6.
ea quæ immittebantur. Paulus autem dicit: *Tantum ut* Gal.2, 10.
memores pauperum essemus. Et per omnem ubique scriptu-
ram super hac re sermo est. *Precium animæ viri*, inquit, *di-* Prov.13, 8
vitiæ propriæ. Et Christus: *Si vis perfectus esse, vende tuas* Matt.19,21.
facultates, & da pauperibus, & veni, sequere me. Hæc me-
ritò perfectio est. Eleemosyna autem non in solis fit pecu-
D niis, sed etiam in operibus, ut exempli gratia dicam, est, pa-
trocinari & viduæ manum porrigere. Hujusmodi enim pa-
trocinium sæpe plures servavit, quàm pecuniarum largitio.
Igitur in præsenti tempore omnia misericordiarum genera
exerceamus. Ne sis segnis, potes patrocinari, ne dicas,
quoniam pecuniæ mihi non sunt. Hoc nihil est dicere, nam
& illud magnum quiddam erit, quemadmodum si aurum de-
disset, ita affectus esto. Potes ministrare, etiam hoc facito,
E utputa medicus es arte, diligenter cura infirmos, est etiam hoc
magnum. Vales etiam consilio, hoc omnibus majus est,
melius & amplius, quanto & majus habet lucrum. Non enim
famem solvis, sed difficilem mortem. Hoc etiam Apostoli
abundanter pleni erant. Propter pecuniarum distributionem
aliis concrediderunt, ipsi prædicationibus vacarunt. An putas
parvam esse eleemosynam, animam consilio destitutam, &
extremè periclitantem, atque febrium incendio detentam,
A morbo posse liberare: Vides amicum ab avaritia detineri,
miserere hominis: suffocatur, extingue illius ignem. Quid
igitur si non obtemperet? Tu quod tuum est facito, & ne
sis ignavus. Vidisti illum in vinculis detineri, vincula enim
revera sunt pecuniæ, abi ad illum, à vinculis eripe eum. Si
audire non vult, ipse feret pœnam. Vidisti nudum & pere-
grinum, nudus enim reveta & peregrinus est cœlorum, qui
vitam bonam negligit: recipe eum in diversorium tuum, &
B vesti illum vestimentis virtutum, fac eum civem in cœlis.
Quid igitur si ipse nudus sim, inquis? teipsum primum vesti
si scis quòd nudus es, omnino etiam scis quòd debes te in-
duere. Si hujus nuditatis modum solum nosti, potes faci-
lè scire etiam animæ vestitum. Quot mulieres serica vesti-
menta ferunt? nudæ autem revera sunt à virtutum vestibus.
Illis eas viri vestiant, sed has vestes nolunt, aliasque petunt.
Hoc primum fiat, ut illas principio desiderent ac concupi-
C scant: ostende quod nudæ sint. Dissere de judicio futuro,
dic alibi, non his, sed aliis opus fore. Quòd si toleratis
me dicentem, etiam ego nuditatem ostendam. Nudus in
frigore stat, frigore contremiscit, ac stupescit brachiis seipsum
amplexans. In æstate non fit idem. Si igitur ostendam opu-
lentos & opulentas hoc magis nudos, quò magis vestiti sunt
ne sitis difficiles. Quid igitur, dic oro, quando sermones
de gehenna moverimus, & de tormentis illis: nónne magis
D quam nudi illi, tremiscunt ac stupent? nónne amarè gemunt,
& condemnant seipsos? Quid igitur quando ad aliquem ac-
cedunt, & dicunt, Ora pro me? nónne hæc verba illis di-
cunt? at nunc quidem licet multa dixerimus, nondum ma-
nifesta est nuditas, erit autem illic manifestum. Quomodo?
quando sericis illis vestibus amissis à solis virtutum & malitiæ
vestibus singuli agnoscentur, quando pauperes quidem ma-
gna gloria vestiti erunt, divites autem nudi ac defor-
E mes ad tormenta rapientur. Quid delicatius ac luxu-
riosius *divite illo purpura vestito*, quid etiam *Lazaro* pau- Luc.16,19.
perius? Uter igitur mendicorum proferebat verba? uter
abundans factus est? Dic oro: Si quis domum multis ta-
petibus ornet, ipse autem intus sedeat nudus, quæ utilitas? ita
&

& mulieribus accidit (nam domum animæ, corpus voco) multis amiciuntur, materfamiliâs autem intus sedet nuda. Afferte mihi animæ oculos, & ostendam vobis animæ nuditatem. Quid enim est vestimentum animæ? virtus. Quæ nuditas? peccatum. Sicut igitur si quis spoliaverit quempiam liberum, erubescit & humiliatur ac fugit: ita sane & anima, si voluerimus in illam respicere, quæ non habet has vestes, erubescit. Quot putas nunc confundi, & in illud profundum descendere, & quasi velamentum quoddam requirere, ut hos non audiant sermones? Quæ autem sibi non sunt malè consciæ, oblectantur, gaudent, & gloriantur in his quæ dicuntur. Audi de beata Thecla, illa ut Paulum videret, aurum suum dedit. Tu autem ut Christum videas, neque obolum das. Et admiraris quidem quod illa fecit, non imitaris autem. Non audis

Math. 5, 7. quo modo misericordes beatos dicit sermo? *Beati misericordes*, inquit, *quoniam misericordiam consequentur.* Quod lucrum à preciosis vestibus? Quandiu hanc stolam admiramur? induamur gloria Christi, circumdemur illa pulchritudine, ut & hic laudemur, & alibi æterna bona consequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XXVI.

Cap. XII. *Per illud autem tempus, immisit Herodes rex manus ut affligeret quosdam ex Ecclesia, occidit autem Jacobum fratrem Joannis gladio: & videns quod rem gratam fecisset Judæis, adjecit ut apprehenderet etiam Petrum. Erant autem dies azymorum.*

QUalenam tempus dicit? omnino quod mox sequebatur. Et hic quidem sic intelligere convenit, alibi autem aliter.

Math. 3, 1. Quando enim Matthæus dicit, *In diebus illis adest Joannes prædicans:* non mox sequentes dies intelligit, sed illos, in quibus futura mox erant ea quæ narrabat. Mos enim scripturæ est hoc tropo uti, & aliquando quid exponere per ordinem juxta quem eveniunt, aliquando autem quæ posterius contingunt enarrare, quasi mox fierent. Bene autem dicit, *Herodes rex*, hic non erat, sub quo Christus passus est. Ecce alia tentatio, & vide id quod initio dixi, quo modo per relaxationem & afflictionem contexantur in Apostolorum successibus omnia. Non jam Judæi, neque concilium, sed *rex immittit manus ut affligat.* Major potestas, difficilius certamen, & hoc magis, quo gratificari Judæis magis studebat. *Occidit autem Jacobum fratrem Joannis gladio.* Simpliciter & quasi fortuitò. Si autem quis rogatit, quare Deus permiserit? dicemus, quòd pro illis ipsis. Primùm quidem persuadebat illis, quòd prævaleant, licèt occidantur, id quod & de Stephano actum est: Secundò dabat Judæis postquam implessent furorem, ut reducantur ab insania: & tertiò ostendebat quòd hæc permissione fierent. *Videns autem quod rem gratam faceret Judæis, adjecit ut apprehenderet etiam Petrum.* O miram inhumanitatem! Qua in re gratificatur illis? sine causa & simpliciter cædes faciens. *Erant autem dies azymorum.* Iterum superflua Judæorum curiositas. Occidere quidem non prohibebant, in tempore autem tam sacro talia committebant. *Quem etiam apprehensum posuit in vincula, tradens quatuor militum quaternionibus.* Erat hoc & furoris, & timoris. *Occidit*, inquit, *Jacobum fratrem Joannis gladio.* Vidisti illorum fortitudinem? Nam ne quis dicat, quod sine periculo & metu contemnere audeant mortem, utpote eripiente illos Deo, idcirco occidi permittit etiam principes, docens sic eos qui occidebant, quòd neque ista illos destituunt & prohibent. *Itaq; Petrus servabatur in custodia, oratio autem fiebat continua pro illo ab Ecclesia apud Deum.* Erat enim gravissimum certamen, meticulososque illos faciebat, & quòd ille in carcerem conjectus erat, & quòd iste interfectus esset. *Quando autem producturus erat illum Herodes, nocte illa Petrus erat dormiens inter duos milites ligatus catenis duabus. Et custodes ante fores observabant custodiam. Et ecce Angelus Domini astitit, & lux fulsit in habitaculo. Percusso autem latere Petri excitavit illum, dicens: Surge velociter, & deciderunt catenæ illius à manibus.* Vide, *per illam noctem* illum eripuit: & *lux fulsit in habitaculo*, ne putet spectrum esse. Et lucem nemo vidit præter illum. Nam licèt etiam hoc factum sit, & nihilominus putabat esse phantasiam, eo quòd sic inexpectatum erat: si hoc non fuisset factum, multò magis suspicatus fuisset se illudi. Ita ordinarat aciem contra mortem. Faciebat hoc quòd multis diebus illic manserat, & non servatus erat,

A οὕτω καὶ ἐπὶ τῆς γυναικῶν γίνεται. τὴν μὲν γὰρ οἰκίαν τῆς ψυχῆς, τὸ σῶμα λέγω, πολλοῖς περιβάλλουσιν· ἡ δὲ οἰκοδέσποινα ἔνδον κάθηται γυμνή. χρήσατέ μοι τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς καὶ ἀποδείξω ὑμῖν τῆς ψυχῆς τὴν γυμνότητα. τί [γάρ] ἐστιν ἱμάτιον ψυχῆς; ἀρετὴ δηλονότι. τί δὲ γυμνότης; κακία. καθάπερ γὰρ εἴ τις ἀποδύσει τινὰ τῶν ἐλευθέρων, αἰσχύνεται καὶ συστέλλεται καὶ φεύγει· οὕτω δὴ καὶ ψυχὴ ἂν θέλωμεν εἰς αὐτὴν ἰδεῖν, ἡ μὴ ταῦτα ἔχουσα τὰ ἱμάτια, ἐρυθριᾷ. πόσας οἴει

B νῦν αἰσχύνεσθαι καὶ πρὸς αὐτὸ καταδύεσθαι τὸ βάθος, ὥσπερ τι παραπέτασμα καὶ προκάλυμμα ἐπιζητούσας, ἵνα τούτων μὴ ἀκούσειεν τῶν λόγων; αἱ δὲ μηδὲν συνειδυῖαι ἑαυταῖς, γάννυνται, χαίρουσιν, ἐναβρύνονται καὶ ἐγκαλλωπίζονται τοῖς λεγομένοις· ἄκουσον περὶ τῆς μακαρίας Θέκλης. ἐκείνη ἵνα Παῦλον ἴδῃ, καὶ τὰ χρυσία ἔδωκεν ἑαυτῆς· σὺ δὲ ἵνα τὸν Χριστὸν ἴδῃς, οὐδὲ ὀβολὸν δίδως· ἀλλὰ θαυμάζεις μὲν τὰ γεγενημένα ὑπ' ἐκείνης, οὐ ζηλοῖς δέ. οὐκ ἀ-

C κούεις πῶς τοὺς ἐλεήμονας μακαρίζει ὁ λόγος; μακάριοι οἱ ἐλεήμονες, φησὶν, ὅτι αὐτοὶ ἐλεηθήσονται. τί τὸ κέρδος ἀπὸ τῶν πολυτελῶν ἱματίων, μέχρι πότε πρὸς ταύτην κεχήναμεν τὴν στολήν; ἀμφιασώμεθα τὴν δόξαν τοῦ Χριστοῦ· περιβαλώμεθα τὸ κάλλος ἐκεῖνο, ἵνα καὶ ἐνταῦθα ἐπαινεθῶμεν, καὶ ἐκεῖ τῶν αἰωνίων τύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ

D ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

ΟΜΙΛΙΑ. κϛʹ.

Κατ' ἐκεῖνον δὲ τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ βασιλεὺς τὰς χεῖρας κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ· καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἦσαν δὲ αἱ ἡμέραι τῶν ἀζύμων.

ΠΟΙΟΝ ἐκεῖνον λέγει καιρόν; πάντως τὸν ἐφεξῆς. ἀλλ' ἐνταῦ-

E θα μὲν οὕτως· ἀλλαχοῦ δὲ ἑτέρως. ὅταν γὰρ ὁ Ματθαῖος λέγῃ· ἐν ταῖς ἡμέραις ἐκείναις παραγίνεται Ἰωάννης κηρύσσων, οὐ τὰς ἐφεξῆς ἡμέρας δηλῶν λέγει· ἀλλ' ἐκείνας ἐν αἷς ἔμελλε γίνεσθαι ἅπερ διηγεῖται. ἔθος γὰρ τῇ γραφῇ τούτῳ κεχρῆσθαι τῷ τρόπῳ· καὶ ποτὲ μὲν τὰ ἑξῆς συμβαίνοντα ἀκολούθως ἐκτιθέναι· ποτὲ δὲ τὰ ὕστερον συμβαίνειν μέλλοντα ὡς ἐφεξῆς ἀπαγγέλλειν. καλῶς δὲ λέγει, ὅτι Ἡρώδης ὁ βασιλεύς. οὗτος γὰρ οὐκ ἦν [ὁ] ἐπὶ τοῦ Χριστοῦ. ἰδοὺ πειρασμὸς ἕτερος. καὶ ὅρα ὅπερ ἐξ ἀρχῆς εἶπον, πῶς τὰ πράγ-

A ματα πλέκεται, πῶς δι' ἀνέσεως καὶ θλίψεως πάντα ὑφαίνεται. οὐκ ἔτι Ἰουδαῖοι, οὐδὲ τὸ συνέδριον· ἀλλ' ὁ βασιλεὺς ἐπιβάλλει τὰς χεῖρας εἰς τὸ κακῶσαι. μείζων ἡ ἐξουσία, χαλεπώτερος ὁ πόλεμος, ὅσῳ καὶ πρὸς χάριν ἐγίνετο τοῖς Ἰουδαίοις. ἀνεῖλε δὲ Ἰάκωβον "τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. ἁπλῶς καὶ ὡς ἔτυχεν. εἰ δέ τις "ζητοίη· διατί συνεχώρησεν ὁ Θεός; ἐροῦμεν, ὅτι ὑπὲρ αὐτῶν τού-

B των· πρῶτον μὲν, πείθων αὐτοὺς ὅτι καὶ ἀναιρούμενοι κρατοῦσιν, ὅπερ καὶ ἐπὶ Στεφάνου γέγονε· δεύτερον δὲ, διδοὺς αὐτοῖς μετὰ τὸ ἐμπλῆσαι τὸν θυμὸν ἀνενεγκεῖν ἀπὸ τῆς μανίας· καὶ τρίτον, δεικνὺς ὅτι κατὰ συγχώρησιν αὐτοῦ γέγονε τοῦτο. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ὢ τῆς μανίας τῆς πολλῆς! ὑπὲρ τίνων αὐτοῖς ἐχαρίζετο, φόνους ποιῶν ἁπλῶς καὶ εἰκῇ; ἦν δὲ ἡμέρα τῶν ἀζύμων. πάλιν ἡ περιττὴ τῶν Ἰουδαίων ἀκριβολογία· ἀνελεῖν μὲν οὐκ ἐκώλυον, ἐν καιρῷ τοιούτῳ τοιαῦτα ἔπραττον. ὃν καὶ πιάσας ἔθετο εἰς "

C φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν. καὶ τοῦ θυμοῦ "τοῦτο ἦν καὶ τοῦ δέους. ἀνεῖλε, φησὶ, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. εἶδες αὐτῶν τὴν ἀνδρείαν; ἵνα γὰρ μηδεὶς λέγῃ, ὅτι διὰ τοῦτο ἀκινδύνως καὶ ἀδεῶς κατατολμῶσι τοῦ θανάτου, ἅτε ἐξαρπάζοντος αὐτοὺς τοῦ Θεοῦ, διὰ τοῦτο ἀναιρεθῆναι συγχωρεῖ, καὶ τοὺς κορυφαίους μάλιστα, πείθων αὐτοὺς τοὺς ἀναιροῦντας, ὅτι οὐδὲ ταῦτα ἀφίστησιν αὐτοὺς καὶ κωλύει. ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ· προσευ- "

D χὴ δὲ ἦν ἐκτενὴς γινομένη ὑπὸ τῆς ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ "αὐτοῦ. περὶ τὰ καίρια λοιπὸν ἦν ὁ ἀγών. καὶ τὸ ἐκεῖνον γὰρ ἀναιρεθῆναι περιδεεῖς ἐποίει· καὶ τὸ τοῦτον ἐμβεβλῆσθαι. ὅτε δὲ ἔμελλε προάγειν αὐτὸν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος "μεταξὺ δύο στρατιωτῶν δεδεμένος ἁλύσεσι δυσὶ, φύλακές τε πρὸ "τῆς θύρας ἐτήρουν τὴν φυλακήν. καὶ ἰδοὺ ἄγγελος κυρίου ἐπέστη, καὶ "φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι. πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου "

E ἤγειρεν αὐτὸν, λέγων, ἀνάστα ἐν τάχει. καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. ὅρα κατ' ἐκείνην τὴν νύκτα αὐτὸν ἐξήρπασε, "καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι, ἵνα μὴ νομίσῃ φαντασίαν εἶναι· καὶ τὸ φῶς οὐδεὶς εἶδε πλὴν ἐκείνου. εἰ γὰρ καὶ τοῦτο γέγονε, καὶ [ὅμως] ἐνόμιζε φαντασίαν εἶναι διὰ τὸ ἀπροσδόκητον· εἰ μὴ τοῦτο γέγονε, πολλῷ πλέον· οὕτω παρετάττετο πρὸς τὸν θάνατον. τὸ γοῦν πολλὰς ἡμέρας ἐκεῖ μείναντα μὴ σωθῆναι, τοῦτο ἐποίει

καὶ

καὶ διὰ τί, φησὶν, οὐκ ἀφῆκεν αὐτὸν εἰς τὰς χεῖρας ἐμπεσεῖν Ἡρώδου, καὶ τότε ἐξήρπασεν; ὅτι ἐκεῖνο μὲν εἰς ἔκπληξιν ἤγαγεν ἄν· τοῦτο δὲ ὑπὲρ αὐτῶν ἐγένετο. οὐκ ἂν γὰρ ἐνομίσθησαν ἄνθρωποι εἶναι, εἰ θεοπρεπῶς πάντα ἐποίει. ἐπὶ δὲ τοῦ Στεφάνου τί οὐκ ἐποίησεν; οὐχ ὡς ἀγγέλου τὸ πρόσωπον αὐτοῦ ἔδειξε; τί δὲ ὅλως εἴασε καὶ ἐνταῦθα; Εἶπέ τε ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. πάλιν ἐνταῦθα δείκνυσιν ὅτι οὐ κακουργία γίγνεται. οὐδεὶς γὰρ ἐπειγόμενος καὶ διορύξαι βουλόμενος τοσαύτην ποιεῖται σπουδὴν, ὥστε καὶ τὰ σανδάλια αὐτοῦ λαβεῖν, ὥστε καὶ ζώσασθαι. Ἐποίησε δὲ οὕτω. καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον ὑπὸ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς. ἰδοὺ δεύτερον σημεῖον. ὅτε ἀπέστη ὁ ἄγγελος, τότε ἐνόησεν ὁ Πέτρος. καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη. ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· νῦν οἶδα ὅτι ἀληθῶς ἐξαπέστειλεν ὁ κύριος τὸν ἄγγελον αὐτοῦ καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. νῦν ἔγνων φησὶν, οὐ τότε. διὰ τί δὲ γίνεται τοῦτο, καὶ οὐκ ἔστι Πέτρος ἐν αἰσθήσει τῶν γινομένων, καίτοι ἤδη τοιαύτης ἀπολαύσας ἀπαλλαγῆς, ὅτε οἱ πάντες ἀπελύθησαν ἀθρόον; βούλεται αὐτῷ τὴν ἀπαλλαγὴν γενέσθαι, καὶ μετὰ τὸ ἀπαλλαγῆναι τότε τὴν αἴσθησιν λαβεῖν. τὸ τὰς ἁλύσεις δὲ ἀπὸ τῶν χειρῶν πεσεῖν, μέγα τεκμήριον τοῦ μὴ φυγεῖν. συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, οὗ ἦσαν ἱκανοὶ συνηθροισμένοι καὶ προσευχόμενοι. κρούσαντος δὲ τοῦ Πέτρου τὴν θύραν τοῦ πυλῶνος, προσῆλθε παιδίσκη ὑπακοῦσαι, ὀνόματι Ῥόδη. καὶ ἐπιγνοῦσα τὴν φωνὴν τοῦ Πέτρου, ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα. ὅρα τὸν Πέτρον οὐκ εὐθέως ἀναχωροῦντα, ἀλλὰ πρότερον εὐαγγελιζόμενον τοὺς αὐτοῦ. εἰσδραμοῦσα δὲ ἀπήγγειλεν ἑστάναι τὸν Πέτρον πρὸ τοῦ πυλῶνος. οἱ δὲ πρὸς αὐτὴν εἶπον· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. ὅρα καὶ τὰς παιδίσκας εὐλαβείας γεμούσας. ἀπὸ τῆς χαρᾶς οὐκ ἤνοιξε τὸν πυλῶνα· ἐκεῖνοι δὲ καὶ τούτου γενομένου ἀνένευσαν. ἡ μὲν φησὶ διϊσχυρίζετο οὕτως ἔχειν· οἱ δὲ ἔλεγον· ἄγγελος αὐτοῦ ἐστιν. ὁ δὲ Πέτρος ἐπέμενε κρούων. ἀνοίξαντες δὲ εἶδον αὐτὸν καὶ ἐξέστησαν. κατασείσας δὲ αὐτοῖς τῇ χειρὶ σιγᾷν, διηγήσατο αὐτοῖς ὅπως ὁ κύριος αὐτὸν ἐξήγαγεν ἐκ τῆς φυλακῆς. εἶπε δὲ, ἀπαγγείλατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. ἴδωμεν οὖν ἄνωθεν τὴν ἀκολουθίαν τῶν εἰρημένων. κατ' ἐκεῖνον τὸν καιρὸν, φησὶν, ἐπέβαλε τὰς χεῖρας ὁ βασιλεὺς Ἡρώδης κακῶσαί τινας τῶν ἀπὸ τῆς ἐκκλησίας. καθάπερ θηρίον ἁπλῶς καὶ ἀλογίστως πᾶσιν ἐπῄει. τοῦτο ἐστιν ὃ ἔλεγεν ὁ Χριστὸς· τὸ μὲν ποτήριον ὃ μέλλω πίνειν, πίεσθε, καὶ τὸ βάπτισμα ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε. ἀνεῖλε δὲ, φησὶν, Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. καὶ πῶς, φησὶ, τὸν Πέτρον οὐκ εὐθέως ἀνεῖλεν; εἶπε τὴν αἰτίαν ὁ συγγραφεύς. ἡμέραι γάρ φησιν ἦσαν τῶν ἀζύμων. καὶ μᾶλλον αὐτὸν ἐκπομπεῦσαι ἐβούλετο τῇ σφαγῇ. αὐτοὶ μὲν οὖν ἀπὸ τῆς παραινέσεως τοῦ Γαμαλιήλου ἐπεῖχον λοιπὸν ἑαυτοὺς τῶν φόνων. ἄλλως δὲ οὐδὲ αἰτίας εὕρισκον· δι' ἑτέρων δὲ αὐτὰ κατεσκεύαζον. ἐπεὶ δὲ καὶ ἕτερος Ἰάκωβος ἦν ὁ ἀδελφὸς τοῦ κυρίου, διὰ τοῦτο ἐπισημαίνεται εἰπὼν, τὸν ἀδελφὸν Ἰωάννου. ὁρᾷς ὅτι τὸ κεφάλαιον ἐν τούτοις ἦν τοῖς τρισί; μάλιστα δὲ Πέτρος καὶ Ἰάκωβος. τοῦτο μάλιστα κατάκρισις αὐτῶν ἦν. οὐκ ἔτι γὰρ ἀνθρώπινον τὸ κήρυγμα ἐδείκνυτο, καὶ ὄντως ἐκεῖνο ἐπληροῦτο, ὅτι ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἰδὼν δὲ ὅτι ἀρεστόν ἐστι, φησὶ, τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. ἀρεστὸν φόνος καὶ φόνος ἄδικος. πολλὴ ἡ ἄνοια τοῦ Ἡρώδου, ταῖς ἐπιθυμίαις αὐτῶν ταῖς ἀτόποις ὑπηρετοῦντος. δέον γὰρ τοὐναντίον ποιεῖν, καὶ ἐγκόπτειν αὐτῶν τὴν ὁρμήν· ὁ δὲ ἐπέτεινε, καθάπερ τις δήμιος ὢν τῶν νοσούντων, ἀλλ' οὐκ ἰατρός. καίτοι μυρία παραδείγματα ἔχων καὶ τοῦ πάππου καὶ τοῦ πατρὸς Ἡρώδου· καὶ πῶς ἐκεῖνος μὲν διὰ τὴν ἀναίρεσιν τῶν παίδων μέγιστα ἔπαθε κακά, οὗτος δὲ Ἰωάννην ἀνελὼν πόλεμον ἤγειρε χαλεπόν. ὃν καὶ πιάσας, φησὶν, ἔθετο εἰς φυλακήν. ἐφοβεῖτο μὴ διὰ τὸν φόβον τοῦ Ἰακώβου ἀναχωρήσῃ ὁ Πέτρος, καὶ βουλόμενος ἔχειν αὐτὸν ἐν ἀσφαλεῖ, ἐνέβαλε τῷ δεσμωτηρίῳ. ὅσῳ ἀκριβεστέρα ἡ φρουρὰ, τοσούτῳ θαυμασιωτέρα ἡ ἐπίδειξις. τοῦτο δὲ ἦν ὑπὲρ Πέτρου, δοκιμωτέρου μᾶλλον ἐντεῦθεν γενομένου, καὶ τὴν ἀνδρείαν τὴν οἰκείαν ἐπιδεικνυμένου. προσευχὴ δὲ ἦν, φησὶν, ἐκτενὴς γινομένη. φιλοστοργίας δεῖγμα ἡ προσευχή· πατέρα πάντες ἐζήτουν, πατέρα ἥμερον. ἐκτενὴς, φησὶν, ἦν προσευχὴ γινομένη ὑπὲρ αὐτοῦ. ἀκούσατε πῶς διέκειντο περὶ τοὺς διδασκάλους· οὐκ ἐστασίασαν· οὐκ ἐθορυβήθησαν, ἀλλ' ἐπὶ εὐχὴν ἐτράπησαν, τὴν ὄντως συμμαχίαν τὴν ἄμαχον, ἐπ' αὐτὴν κατέφυγον. οὐκ ἔλεγον· ὁ ταπεινὸς ἐγὼ καὶ οὐδαμινὸς ὑπὲρ ἐκείνου εὔχομαι;

A Et quare, dicit quis, non permisit illum Deus, ut caderet in manus Herodis, & mox tunc eripuit? Quia illud quidem attonito eos fecisset, hoc autem pro illis factum est. Nunquid habiti fuissent homines, si omnia divino more fecisset? Circa Stephanum nihil tale contigit. Nonne ut Angeli faciem illius ostendit? Quare autem omnino dereliquit & in hoc loco. *Dixitque Angelus ad illum: Præcinge, & subliga sandalia tua.* Iterum hoc loco ostendit, quòd non & dolis evasit. Nullus enim festinans & evadere effodiendo volens tantam diligentiam adhibet, ita ut

B etiam sandalia accipiat, & se præcingat. *Fecit autem sic, & dicit illi: Circunda te vestimento tuo, & sequere me. Et egressus, sequutus est illum, & nesciebat verum esse quod fiebat ab Angelo. Videbatur autem sibi visionem videre. Transeuntes autem primam custodiam & secundam, venerunt ad portam ferream quæ ferebat in civitatem, quæ ultrò aperta est eis.*

C Ecce secundum signum. Quando recessit Angelus, tunc cogitavit Petrus. *Et egressi prætereierant vicum unum, & continuo discessit Angelus ab eo. Et Petrus ad se reversus dixit: Nunc scio quia verè emisit Dominus Angelum suum & liberavit me de manu Herodis, & omnis expectationis populi Judæorum.* Nunc cognovi, inquit, non tunc. Quare autem fit hoc, & non sentit Petrus ea quæ fiebant, quamvis jam tali frueretur liberatione, quando catena solum repente illum liberat;

D & postquàm liberavit, tunc sentire facit. Quod autem catenæ è manibus ceciderant, magnum argumentum est quod non fugerit. *Et ita conscius sibi venit ad domum Mariæ, quæ erat mater Joannis qui cognominabatur Marcus, ubi erant multi congregati & orantes. Pulsante autem Petro januam vestibuli, prodiit ancilla ut subausculitaret, nomine Rhode, & agnita voce Petri, præ gaudio non aperuit vestibulum.* Vide Petrum non statim recedere, sed prius annunciare lætum nuncium suis. *Ingressa autem*

E *annunciavit Petrum stare ante vestibulum. Illi autem ad eam dicebant: Insanis. Porrò hæc confirmabat sic se habere.* Vide & ancillas pietate plenas, *præ gaudio non aperuit vestibulum.* Illi verò etiam hoc facto renuerunt, nam hæc quidem *confirmabat sic se habere, at illi dicebant: Angelus illius est. Petrus autem permanebat pulsans. Ut autem aperuerunt, agnoverunt illum, & obstupuerunt. Quum innuisset autem eis manu ut tacerent, narravit illis quomodo Dominus ipsum eduxit ex custodia. Dixit autem:*

A *Annunciate Jacobo & fratribus hæc. Et egressus ivit in alium locum.* Itaque iterum videamus contextum eorum quæ dicta: *Per illud tempus*, inquit, *injecit manus rex Herodes, ut affligeret quosdam de ecclesia:* sicuti bestia absque omni ratione omnes invadit. Hoc est, quod dicebat Christus: *Poculum quod bibiturus sum, bibetis: & baptismo quo ego baptizor, baptizabimini.* Marc. 10. 39.
Occidit autem, inquit, *Jacobum fratrem Joannis gladio.* Et quomodo, inquit, Petrum non mox occidit? dixit causam scri-

B ptor: *Dies enim*, inquit, *erant azymorum*, & magis volebat evulgari trucidationem ejus. Itaque illi quidem propter admonitionem Gamalielis continebant se in posterum à cædibus. Et aliter: neque causas inveniebant, & sic adumbrabant per alios sua. Quoniam autem & alius Jacobus erat frater Domini, propter hoc assignavit dicens *fratrem Joannis.* Vides quod hi tres summi erant, maximè autem Petrus & Jacobus. Hæc maxima condemnatio illorum erat. Non enim jam humana prædicatio

C ostendebatur, & revera illud adimplebatur: *Reputati sumus sicut oves occisionis.* *Videns autem quod gratificaretur Judæis, adjecit ut comprehenderet etiam Petrum.* Grata res Judæis cædes, atque injusta cædes. Magna dementia Herodis, illicitis illorum desideriis ministrabat. Debebat diversum agere, & illorum impetum morari: ille autem indulget sicut carnifex quidam ægrotantium, sed non medicus, quamvis innumera exempla habens & *avi & patris* Herodis: & quomodo ille quidem *propter* Psal. 43. 22.

D *cædem parvulorum* innumera passus est mala, hic autem *Joanne occiso* grave bellum suscitavit. *Quem & apprehensum*, inquit, *posuit in vincula.* Metuebat ne Petrus propter timorem quem ex morte Jacobi concepisset, secederet: & volens illum securè detinere, conjecit in vincula, tantò majori diligentia custoditum, quò mirabilior foret ostentatio. Hoc autem erat pro Petro, qui hinc probatior factus, & fortitudinem suam declaravit. *Oratio autem*, inquit, *continua fiebat.* Magni amo- Matt. 2. 16. Ibid. 14. 10.

E ris indicium oratio. Patrem omnes quærebant, patrem mansuetum. *Continua*, inquit, *oratio fiebat pro illo.* Audite quomodo affecti erant erga præceptores, non comminantur, non tumultuati sunt, sed ad preces conversi, præsidium revera inexpugnabile, ad illud confugiebant. Non dicebant, humilis ego & nihili homo pro illo orarem?

Q Quoniam

Quoniam dilectio erat, nihil tale cogitabant. Vis scire quanta fecerint Judæi, etiam non voluntarii? illos clariores reddiderunt, hos diligentiores fecerunt. Et vide in die festo tentationes intentari, ut clariores appareant hi. *Quando autem producere illum voluit Herodes, nocte illa*, inquit, *Petrus dormiebat.* Vide Petrum dormientem, & nequaquam in mentis agone constitutum. Ista nocte qua producturus erat illum, dormiebat, causam totam projecerat in Deum: non simpliciter autem dormivit, sed *inter duos milites, & catenis vinctus.* Inter duos, inquit, milites dormiebat vinctus catenis duabus. Vides quàm diligens custodia. *Et ecce Angelus Domini astitit*, inquit, *dicens: Surge velociter.* Simul dormientes erant custodes, ideo quid fieret non sentiebant. *Lux autem fulgebat*, ita ut etiam videre posset Petrus, ne putaret esse phantasiam: & ne sit deses, *percutitur latus ejus.* Et non simpliciter audit, *surge*: sed, *velociter*: cum additamento, ita graviter dormiebat. *Videbatur autem visionem videre*, inquit. *Transivit autem primam & secundam custodiam.* Ubi nunc sunt hæretici, quomodo transierit dicant nunc, sed non poterunt, quamvis propter hoc illum accingi jubeat & calceari, & hac ratione persuadet ei, quòd non sit phantasma, & ut excutiatur somnus, & sciat quòd verum sit. Idcirco statim etiam catenæ ejus de manibus ejus ceciderunt, & audit, Surge velociter: non turbati est & trepidantis, sed urgentis ne moram trahat. *Et nesciebat*, inquit, *quòd verum esset quod fiebat per Angelum: videbatur autem visionem videre*: meritò, maximæ enim res fiebant. Vides quantum signum? quomodo videntem terret, quomodo non sinit credibile esse. Si enim Petro videbatur tantopere quod videret visionem, quamvis cinctus & calceatus, quid alius non passus esset? *Transeuntes autem*, inquit, *primam custodiam & secundam, venerunt ad portam ferream, & egressi processerunt vicum unum, & statim recessit Angelus ab illo.* Ea sanè quæ intus gesta erant, magis mirabilia erant, hoc autem jam humanius: recedit enim Angelus quum nihil prohiberet. Non enim per tot obstacula transisset Petrus, revera enim stupor erat. *Nunc cognovi*, inquit, *quod verè misit Dominus Angelum suum, & liberavit me de manu Herodis, & omni expectatione populi Judæorum.* *Nunc*, non tunc quando in carcere eram. *Et conscius sibi venit ad domum Mariæ matris Joannis qui cognominabatur Marcus.* Quid est, *conscius*? hoc est reputans ubi esset. Vel igitur hujus rei sibi conscius, vel quod non simpliciter abire oportet, sed remunerare benefactorem, quod & conscius venit ad domum Mariæ. Quis est hic *Joannes*? forsan ille qui semper cum eis erat: nam propter hoc etiam cognomen ejus ponit. Vide quantum bonum est persecutio, quantum precantes in nocte perficiunt, quomodo alacres & excitatos illos efficit. Vidisti quantum lucrum cædis Stephani? vidisti vinculi hujus quanta utilitas? Deus enim dum non vult apud injustos illos, tanquam reos convinci suos, magnum ostendit & efficax evangelium, sed in justis ipsis facit apparere tribulationes per se magnas, dum nihil horum patiuntur, ne liberationem eorum quæramus omnino, neque ultionem. Vide autem quomodo ancillæ cum illis jam in pari honore sint. *Præ gaudio*, inquit, *non aperuit.* Bene etiam hoc factum est, ut ne etiam illi statim videntes nimium obstupescant & minus credant, sed ut exerceatur illorum mens: & qui nobis mos est ut faciamus, inventa est laborans & illa: nam ut illa ferat evangelia, studuit. Sic enim erant evangelia. *Alii autem dicebant ad illam: Insanis. At hæc confirmabat sic se habere. Porrò illi dicebant, Angelus illius est.* Et hoc verum est, quod unusquisque Angelum habet. Et unde venit illis in mentem tunc *Angelum* esse? A tempore illud conjectabant. *Ut autem ille permansit pulsans*, inquit, *aperientes viderunt illum, & obstupuerunt. At ille quum innuisset manu, silentium magnum fecit, ita ut audirent quæ illi obvenerant.* Desideratior multò posthac fuit discipulis, non solùm quòd servatus est, sed etiam quòd astitit, & statim accessit. Discunt posteà & familiares omnia manifestè, & extranei didicissent, si voluissent credere. Hoc & in Christo evenit. *Annunciate*, inquit, *Jacobo & fratribus hæc.* Vide quomodo non est vanè gloriosus. Non enim dixit: Ubique manifesta facite hæc, sed fratribus. *Et abscessit in alium locum.* Non enim tentabat Deum, neque in tentationes immittebat seipsum. Quia quando etiam hoc jussus fuit, fecerunt.
Supr. 5. 20 *Ingressi enim*, inquit, *in templum loquamini populo*, audierunt & statim obedierunt. Hoc autem non dixit Angelus, sed silenter adducendo, & noctu educendo dedit copiam secedendi. Hoc autem factum est, ut discamus quomodo multa etiam humano modo dispensentur

ἐπειδὴ γὰρ ἀγάπη ἐπεῖχεν, οὐδὲν τούτων ἐλογίζοντο. βούλει μαθεῖν πόσα εἰργάσαντο καὶ ἄκοντες; ἐκείνους δοκιμωτέρους ἔδειξαν, τούτους σπουδαιοτέρους ἐποίησαν. καὶ ὅρα ἐν τῇ ἑορτῇ τοὺς πειρασμοὺς ἐπαγομένους, ἵνα δοκιμώτεροι φανῶσιν οὗτοι. ὅτε δὲ ἔμελλεν αὐτὸν προσάγειν ὁ Ἡρώδης, φησὶ, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος καθεύδων. ὅρα τὸν Πέτρον καθεύδοντα, καὶ οὐκ ὄντα ἐν ἀγωνίᾳ οὐδὲ ἐν φόβῳ. αὐτῇ τῇ νυκτὶ ᾗ προσάγεσθαι ἔμελλεν, ἐκάθευδε, τὸ πᾶν ῥίψας ἐπὶ τὸν Θεόν. οὐχ ἁπλῶς δὲ ἐκάθευδεν, ἀλλὰ μέσον στρατιωτῶν καὶ δεδεμένος. μεταξὺ γὰρ δύο στρατιωτῶν κοιμώμενος ἦν, δεδεμένος ἁλύσεσι δυσίν. ὁρᾷς πῶς ἀκριβὴς ἡ φυλακή; καὶ ἰδοὺ ἄγγελος Κυρίου ἐπέστη, φησὶ, λέγων· ἀνάστα ἐν τάχει. συγκαθεύδοντες ἦσαν οἱ φύλακες. διὸ καὶ τῶν γινομένων οὐδὲν ἐπαισθάνονται. φῶς δὲ ἔλαμψεν, ὥστε καὶ ἰδεῖν καὶ ἀκοῦσαι τὸν Πέτρον καὶ μὴ νομίσαι φαντασίαν εἶναι. ὡς ἂν δὲ μὴ ῥαθυμήσῃ, καὶ τὴν πλευρὰν παίεται. καὶ οὐχ ἁπλῶς ἀκούει, ἀνάστα· ἀλλ' ἐν τάχει, μετὰ προσθήκης. οὕτω βαθέως ἐκάθευδεν. ἐδόκει δὲ ὅραμα βλέπειν, φησί. διῆλθε δὲ πρώτην καὶ δευτέραν φυλακήν. ποῦ νῦν εἰσιν αἱ αἱρέσεις; πῶς διῆλθεν εἰπάτωσαν ἡμῖν; ἀλλ' οὐκ ἂν ἔχοιεν. καίτοι διὰ τοῦτο αὐτὸν καὶ ζώσασθαι κελεύει καὶ ὑποδήσασθαι, καὶ τούτῳ πείθων αὐτὸν ὅτι οὐκ ἔστι φάντασμα· καὶ ἵνα ἀποτινάξηται τὸν ὕπνον, καὶ γνῷ ὅτι ἀληθές ἐστι. διὰ τοῦτο καὶ εὐθέως ἀπέπεσον αὐτοῦ αἱ ἁλύσεις ἀπὸ τῶν χειρῶν, καὶ ἀνάστα ἐν τάχει ἀκούει. οὐ θορυβοῦντος δέ ἐστι τοῦτο, ἀλλὰ πείθοντος μὴ ἀναβάλλεσθαι. καὶ οὐκ ᾔδει, φησὶν, ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. εἰκότως, διὰ τὴν ὑπερβολὴν τῶν εἰργασμένων. ὁρᾷς πόσον ἐστὶν ὑπερβολὴ σημείου; πῶς ἐκπλήττει τὸν ὁρῶντα; πῶς οὐκ ἀφίησι πιστευθῆναι; εἰ γὰρ Πέτρος ἐδόκει ὅραμα βλέπειν ἐν τοσούτῳ χρόνῳ, καίτοι αὐτὸς ζωσάμενος καὶ ὑποδησάμενος, τί ἕτερος μὴ ἔπαθεν ἄν; διελθόντες δέ φησι πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν· καὶ ἐξελθόντες προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ἀπέστη ὁ ἄγγελος ἀπ' αὐτοῦ. τὰ μὲν τὰ ἔνδον γινόμενα θαυμασιώτερα ἦν· τοῦτο δὲ λοιπὸν ἀνθρωπινώτερον. ὅτε οὐδὲν κώλυμα ἦν, τότε ἀπέστη ὁ ἄγγελος. οὐ γὰρ ἂν προῆλθεν ὁ Πέτρος τοσούτων ὄντων κωλυμάτων· ὄντως γὰρ ὄντως ἔκπληξις ἦν. νῦν ἔγνων, φησὶν, ὅτι ἀληθῶς ἀπέστειλεν ὁ Κύριος τὸν ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων. νῦν, οὐχὶ τότε ὅτε ἐν δεσμωτηρίῳ ἤμην. συνιδών τε ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας τῆς μητρὸς Ἰωάννου, φησί. τί ἐστι, συνιδών; λογισάμενος ὅπου ἐστίν. ἢ τοίνυν τοῦτο συνειδὼν· ἢ ὅτι οὐχ ἁπλῶς ἀπελθεῖν δεῖ, ἀλλ' ἀμείψασθαι τὸν εὐεργέτην. ὃ καὶ συνιδὼν ἦλθεν ἐπὶ τὴν οἰκίαν Μαρίας. τίς ἐστιν οὗτος ὁ Ἰωάννης; ἴσως ἐκεῖνος ὁ ἀεὶ αὐτοῖς συνών. διὰ γὰρ τοῦτο καὶ τὸ παράσημον αὐτοῦ ἔθηκεν. ὅρα ὅσον ἐστὶν ἀγαθὸν ἡ θλῖψις. πόσα εὐχόμενοι ἐν νυκτὶ ἤνυον· πῶς διεγηγερμένους αὐτοὺς εἰργάσατο. εἶδες τοῦ φόνου Στεφάνου ὅσον τὸ κέρδος; εἶδες τοῦ δεσμωτηρίου τούτου ὅση ἡ ὠφέλεια; οὐ γὰρ δὴ ἐπεξιὼν ὁ Θεὸς τοῖς ἀδικοῦσιν αὐτοὺς μέγα δείκνυσι τὸ εὐαγγέλιον· ἀλλ' ἐν αὐτοῖς τοῖς ἀδικοῦσιν, οὐδὲν ἐκείνων παθόντων δεινόν, αὐτὰς καθ' ἑαυτὰς τὰς θλίψεις δείκνυσι μέγα ἴσας, ἵνα μὴ τὴν ἀπαλλαγὴν αὐτῶν πάντως ζητῶμεν μηδὲ τὴν ἐκδικίαν. σκόπει δὲ πῶς καὶ αἱ παιδίσκαι αὐτῶν λοιπὸν ὁμότιμοι αὐτοῖς ἦσαν. ἀπὸ τῆς χαρᾶς, φησὶν, οὐκ ἤνοιξε. καλῶς καὶ τοῦτο γέγονεν· ἵνα μὴ καὶ ἐκεῖνοι ἐκπλαγῶσιν εὐθέως ἰδόντες καὶ ἀπιστήσωσιν, ἀλλ' ἐγγυμνασθῇ αὐτῶν ἡ διάνοια, καὶ ὅπερ ἔθος ἡμῖν ποιεῖν, εὑρεθῇ πράττουσα καὶ αὐτή. ἵνα γὰρ αὐτὴ τὰ εὐαγγέλια κομίσῃ ἐσπούδαζεν. οὕτως γὰρ εὐαγγέλια ἦν. οἱ δὲ εἶπον πρὸς αὐτήν· μαίνῃ. ἡ δὲ διϊσχυρίζετο οὕτως ἔχειν. οἱ δὲ ἔλεγον, ὅτι ἄγγελος αὐτοῦ ἐστιν. ἐκ τούτου ἀληθὲς, ὅτι ἕκαστος ἡμῶν ἄγγελον ἔχει. καὶ πόθεν ἐπῆλθεν αὐτοῖς ἄγγελον εἶναι τότε ὑπονοῆσαι; ἀπὸ τοῦ καιροῦ τοῦτο ὑπώπτευσαν. ὡς δὲ ἐπέμενε κρούων, φησὶν, ἀνοίξαντες εἶδον αὐτὸν καὶ ἐξέστησαν. ὁ δὲ κατασείσας τῇ χειρὶ ἡσυχίαν πολλὴν ἐποίησεν ὥστε ἀκοῦσαι τὰ παρ' αὐτοῦ. ποθεινότερος πολλῷ λοιπὸν ἦν τοῖς μαθηταῖς· οὐ τῷ σωθῆναι μόνον, ἀλλὰ καὶ τῷ ἐπιστῆναι καὶ εὐθέως εἰσελθεῖν. μανθάνουσι λοιπὸν καὶ οἱ οἰκεῖοι πάντα σαφῶς· μανθάνουσι καὶ οἱ ἀλλότριοι, εἴγε ἤθελον πιστεῦσαι. ἀλλ' οὐκ ἠθέλησαν. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν. ἀπαγγείλατε, φησὶν, Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς ταῦτα. ὁρᾷς πῶς οὐκ ἔστι κενόδοξος; οὐ γὰρ εἶπε, τοῖς ἁπανταχοῦ δῆλα ποιήσατε ταῦτα· ἀλλὰ τοῖς ἀδελφοῖς. καὶ ἀνεχώρησεν εἰς ἕτερον τόπον. οὐ γὰρ ἐπείραζε τὸν Θεόν· οὐδὲ εἰς πειρασμοὺς ἐνέβαλεν ἑαυτόν· ἐπεὶ ὅτε καὶ τοῦτο ἐκελεύσθησαν, ἐποίησαν. εἰσελθόντες γάρ φησιν ἐν τῷ ἱερῷ λαλεῖτε τῷ λαῷ. ἤκουσαν, καὶ εὐθέως ὑπήκουσαν. τοῦτο δὲ οὐκ εἶπεν ὁ ἄγγελος, ἀλλὰ τῷ σιγῇ ἀποστῆσαι καὶ νυκτὸς ἐξαγαγεῖν ἔδωκεν ἐξουσίαν ἀναχωρῆσαι. καὶ τοῦτο δὲ γίνεται, ἵνα μάθωμεν ὅτι καὶ ἀνθρωπίνως πολλὰ οἰκονο-

ἀνοιγόμενα, ὥστε μὴ προσπεσεῖν πάλιν αὐτόν. ἵνα γὰρ μὴ εἴπωσιν ὅτι A ὁ ἄγγελος αὐτοῦ ἐστι μετὰ τὸ ἀπελθεῖν, πρότερον τοῦτο λέγουσι· καὶ τότε αὐτὸν ὁρῶσιν ἀνατρέποντα τὴν δόξαν ἐκείνην. ὁ ἄγγελος εἰ ἦν, οὐκ ἂν ἔκρουσε τὴν θύραν· οὐκ ἂν ἀνεχώρησεν εἰς ἕτερον τόπον. πιστοῦται δὲ αὐτοὺς καὶ τὸ μὴ ἐν ἡμέρᾳ γενέσθαι. οἱ μὲν λελυμένοι ἐν εὐχαῖς ἦσαν· ὁ δὲ δεδεμένος ἐν ὕπνῳ. οὐκ ἐνόμιζεν ἀληθὲς εἶναι τὸ γινόμενον, κἂν ἐξεπλάγη, κἂν οὐκ ἐμνημόνευσε. νῦν δὲ ὡς ἐν ὀνείρῳ ὁρῶν, ἀτάραχος ἦν. ἦλθον, φησὶν, ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. ὅρα καὶ πῶς B ἰσχυρὰ ἦν. διελθόντες δὲ φησι, πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν. καὶ διατί μὴ δι' ἑαυτοῦ φησι τοῦτο γίνεται; ὅτι καὶ τούτῳ τιμᾷ αὐτοὺς ὁ Θεὸς, τῷ δι' ἀγγέλων αὐτοὺς ἐξαρπάζειν. τί οὖν ἐπὶ Παύλου οὐχ οὕτω γέγονεν; ἐκεῖ δικαίως· ὅτι πιστεῦσαι ἔδει τὸν δεσμοφύλακα· ἐνταῦθα δὲ ἀπαλλαγῆναι τὸν ἀπόστολον μόνον. ἄλλως δὲ καὶ διαφόρως ἅπαντα ὁ Θεὸς οἰκονομεῖ· ἐκεῖ μὲν Παῦλος ὑμνεῖ· ἐνταῦθα δὲ Πέτρος ἐκάθευδε. μὴ τοίνυν C κρύπτωμεν τὰ θαύματα τοῦ Θεοῦ· ἀλλὰ καὶ ὑπὲρ τῆς ἡμετέρας ὠφελείας ταῦτα σπουδάζωμεν ἐκπομπεύειν, καὶ εἰς τὴν τῶν ἄλλων οἰκοδομήν. ὥσπερ γάρ ἐστι θαυμαστὸς ἑλόμενος δεσμευθῆναι, οὕτω θαυμαστότερος μὴ πρότερον ἀναχωρήσας, ἕως ὅτε τοῖς οἰκείοις πάντα ἀπήγγειλε. καὶ εἶπέ φησιν· εἴπατε Ἰακώβῳ καὶ τοῖς ἀδελφοῖς. τί δήποτε κελεύει εἰπεῖν; ἵνα χαίρωσιν· ἵνα μὴ μεριμνῶσιν, ἵνα διὰ τούτων ἐκεῖνοι μανθάνωσιν, οὐκ αὐτοὶ δι' ἐκείνων. οὕτως τοῦ ταπεινοτέρου μέ- D ρους ἐφρόντιζον, οὐδὲν ἄρα θλίψεως συμμέτρου βέλτιον. ποίαν οἴει τὴν ἐκείνων εἶναι τότε ψυχήν; πόσης ἡδονῆς γέμειν; ποῦ νῦν αἱ γυναῖκες αἱ διὰ πάσης καθεύδουσαι νυκτός; ποῦ δὲ οἱ ἄνδρες οἱ μηδὲ μεταστρεφόμενοι ἐπὶ τῆς κλίνης; ὁρᾷς νήφουσαν ψυχήν; μετὰ γυναικῶν καὶ παίδων καὶ παιδισκῶν τὸν Θεὸν ὕμνουν, καθαρώτεροι τοῦ οὐρανοῦ τῇ θλίψει γινόμενοι. νῦν δὲ ἂν μικρὸν ἴδωμεν κίνδυνον, ἀναπί- E πτομεν. οὐδὲν τῆς ἐκκλησίας ἐκείνης λαμπρότερον ἦν. μιμησώμεθα τούτους· ζηλώσωμεν. οὐ διὰ τοῦτο γέγονεν ἡ νὺξ ἵνα διὰ παντὸς καθεύδωμεν, καὶ ἀργῶμεν. καὶ τοῦτο μαρτυροῦσιν οἱ χειροτέχναι, οἱ ὁπλῖται· οἱ ἔμποροι· ἡ ἐκκλησία τοῦ Θεοῦ ἐν μέσων ἀνισταμένη νυκτῶν. ἀνάστηθι καὶ σὺ, καὶ ἴδε τῶν ἄστρων τὴν χορείαν· τὴν βαθεῖαν σιγήν· τὴν ἡσυχίαν τὴν πολλήν· ἐκπλάγηθι τοῦ δεσπότου σου τὴν οἰκονομίαν. καθαρωτέρα τότε ἐστὶν ἡ ψυχή, κουφοτέρα καὶ λεπτοτέ- A ρα μᾶλλόν ἐστι· μετέωρος καὶ κούφη· τὸ σκότος αὐτὸ, ἡ σιγὴ ἡ πολλὴ εἰς κατάνυξιν ἀγαγεῖν ἱκανά. ἂν δὲ καὶ τὸν οὐρανὸν ἴδῃς τοῖς ἄστροις ὥσπερ μυρίοις ὀφθαλμοῖς κατεστιγμένον, πᾶσαν ἡδονὴν καρπώσῃ, ἔννοιαν λαβὼν εὐθὺς τοῦ δημιουργοῦ. ἂν ἐννοήσῃς ὅτι οἱ μεθ' ἡμέραν κράζοντες, γελῶντες, σκιρτῶντες, πηδῶντες, ἀδικοῦντες, πλεονεκτοῦντες, ἀπειλοῦντες, μυρία ἐπανατεινόμενοι δεινὰ, οὗτοι νῦν τῶν νεκρῶν οὐδὲν διαφέρουσι, καταγνώσῃ τῆς ἀνθρωπίνης αὐθαδείας ἁπά- B σης. ὕπνος ἐπῆλθε, καὶ τὴν φύσιν ἤλεγξεν· εἰκών ἐστι θανάτου, εἰκών ἐστι συντελείας. ἂν διακύψῃς εἰς τὸν στενωπὸν, οὐκ ἀκούσῃ οὐδὲ φωνῆς· ἂν ἴδῃς εἰς τὴν οἰκίαν, πάντας ὄψει καθάπερ ἐν τάφοις κειμένους. ταῦτα πάντα ἱκανά ἐστι διαναστῆσαι ψυχὴν καὶ εἰς ἔννοιαν συντελείας ἀγαγεῖν. ἐνταῦθα δή μοι καὶ πρὸς ἄνδρας καὶ πρὸς γυναῖκας ὁ λόγος. κάμψον τὰ γόνατα, στέναξον· παρακάλεσόν σου τὸν δεσπότην ἵλεων γενέσθαι. μᾶλλον ἐπικάμπτεται ἐν νυκτεριναῖς εὐχαῖς, ὅταν τὸν καιρὸν C τῆς ἀναπαύσεώς σου θρήνων ποιῇ καιρόν. ἀναμνήσθητι τοῦ βασιλέως οἷα ῥήματα ἔλεγεν· ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου, ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. ὅσον ἂν ᾖς τρυφηλὸς, οὐκ εἶ τρυφηλότερος ἐκείνου· ὅσον ἂν ᾖς πλούσιος, οὐκ εἶ πλουσιώτερος τοῦ Δαβίδ. καὶ πάλιν ὁ αὐτός φησι· μεσονύκτιον ἐξηγειρόμην τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. τότε οὐ κενοδοξία παρενοχλεῖ· πῶς γὰρ πάντων καθ- D ευδόντων καὶ οὐχ ὁρώντων; τότε οὐ ῥᾳθυμία καὶ χάσμη ἐπιτίθεται· πῶς γὰρ ὑπὸ τοσούτων τῆς ψυχῆς διεγειρομένης; μετὰ τὰς τοιαύτας παννυχίδας καὶ ὕπνοι ἡδεῖς καὶ ἀποκαλύψεις θαυμασταί. τοῦτο ποίησον καὶ σὺ ὁ ἀνήρ· μὴ μόνη ἡ γυνή. ἔστω ἐκκλησία ἡ οἰκία ἐξ ἀνδρῶν καὶ γυναικῶν συνεστηκυῖα. μὴ γὰρ ὅτι σὺ μόνος εἶ ὁ ἀνὴρ, μηδὲ ὅτι αὕτη μόνη ἐστὶν ἡ γυνὴ, νομίσῃς κώλυμα εἶναι. ὅπου γάρ εἰσι δύο εἰς τὸ ἐμὸν ὄνομα, φησὶ, συνηγμένοι, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. ὅπου ὁ Χριστὸς E μέσος, πολὺ πλῆθός ἐστιν· ὅπου ὁ Χριστὸς, ἀνάγκη καὶ ἀγγέλους εἶναι, ἀνάγκη καὶ ἀρχαγγέλους καὶ τὰς ἄλλας δυνάμεις. οὐκ ἄρα μόνοι ἐστὲ τὸν πάντων ἔχοντες δεσπότην. καὶ πάλιν ἄκουε τοῦ προφήτου λέγοντος· κρείσσων εἷς ποιῶν τὸ θέλημα κυρίου, ἢ μυρίοι παράνομοι. οὐδὲν ἀσθενέστερον πολλῶν παρανόμων· οὐδὲν ἰσχυρότερον ἑνὸς κατὰ νόμον Θεοῦ ζῶντος. εἴ σοι καὶ παιδία ἐστὶ, διανάστησον καὶ τὰ παιδία, καὶ γενέσθω διὰ πάντων ἡ οἰκία ἐκκλησία διὰ τῆς νυκτός. ἂν δὲ ἁπαλὰ ᾖ καὶ μὴ φέρῃ τὴν ἀγρυπνίαν, μέχρι μιᾶς εὐχῆς καὶ δευτέρας, καὶ κατάπαυσον· μόνον διανάστηθι, μόνον ἐν συνηθείᾳ κατάστησον σαυτόν. οὐδὲν τοῦ ταμείου βέλτιον ἐκείνου τοῦ τοιαύτας εὐχὰς δεχομένου. ἄκουε τοῦ προφήτου λέγοντος·

A ac fiant, atque ita ne iterum periclitetur. Ne enim dicant, quod Angelus ejus sit, postquam abiret, prius hoc dicunt: & tunc illum vident, subvertentem opinionem illam. Angelus si esset, non pulsasset fores, non secessisset in alium locum. Confirmat etiam illos, quòd non in die factum est. Illi autem effusi erant in preces, & is ligatus somno. Num putasset verum [illegible] quod fiebat, si territus esset, si non meminisset. Nunc autem quasi insomnium esset, inturbatus fuit. *Venerunt*, in-
B quit, *ad portam ferream*. Vide etiam quàm fortis fuerit. *Transeuntes* autem, inquit, *primam custodiam & secundam, venerunt ad portam ferream*. Quare non illos per seipsos, dicet quis, sic liberat? Quare? Etiam hac re honorat illos Deus, per Angelos eripiens. Cur igitur in Paulo non similiter actum est? Illic meritò, quoniam *custodem carceris* credere oportebat: hîc autem liberari duntaxat Apostolum. Ex alirer: Variis modis Deus omnia dispensat, illicque Paulus hymnos dicit, hîc autem Inf. 16,29.
C Petrus dormit. Ne igitur occulremus miracula Dei, sed & in nostram utilitatem demus operam, ut invulgemus ea, & in aliorum ædificationem. Sicut enim mirabilis est qui vult ligari, ita etiam mirabilior, qui non anteà recedit, donec suis omnia anteà enarret. *Et dixit*, inquit, *Dicite Jacobo & fratribus*: cùrnam jubet dicere? ut gaudeant, ne soliciti sint, ut per hos illi discant, non ipsi pes illos. Adeò curam gerebat partis quæ humilior erat. Nihil igi-
D tur congrua afflictione melius. Qualem putas illorum fuisse animam? quanta voluptate plenam? Ubi nunc mulieres quæ tota nocte dormiunt, viri ubi qui neque in lecto se versant? Vides sobriam animam? cum uxoribus & pueris, & puellis Deum laudabant, puriores cœlo afflictione facti: nunc autem parvo periculo viso concidimus. Nihil Ecclesia illa clarius fuit. Imi-
E temur illos, æmulemur, non ideo facta est nox, ut per totam dormiamus, & otiosi simus. Testantur hoc & opifices, nautæ, negotiatores. Ecclesia Dei mediis surgit noctibus, surge & tu, & vide astrorum choream, profundum silentium, magnam quietem, obstupesce Dei tui miram dispensationem. Purior tunc est anima, levior subtiliórque nunc est, sublimia videt, ac expedita est. Tenebræ ipsa, silentiumque multum in compunctionem inducere sufficiunt. Si autem & cœlum videris quasi
A innumeris interpunctum oculis, omni voluptate frueris statim concepta opificis sapientia. Si consideraris eos qui interdiu clamant, rident, lasciviunt, saltant, injustè agunt, avaritiæ intenti sunt, minantur, innumera mala inferunt, ibi tunc à mortuis nihil distare, condemnabis omnem humanam infirmitatem. Somnus accedit: & naturam redarguit, imago est mortis, imago est consummationis. Si prospexeris in plateam, nullam vocem audies: Si videris in domum, videbis omnes quasi in se-
B pulchris jacentes. Hæc omnia sufficiunt excitare & inducere animam ad cogitandam mundi consummationem. Hic sanè mihi & ad viros & ad mulieres sermo est. flecte genua, ingemisce, ora Dominum ut tibi misericors sit, imò inflectitur nocturnis precibus, si quando tu quietis tempus, facias lamentorum tempus. Memor esto regis qualia verba dicebat: *Laboravi in gemitu meo, lavabo per singulas noctes lectum meum, in lachrymis meis stratum meum rigabo*. Quantumvis delicatus fueris, non Psal. 6,7.
C es illo delicatior: quantumvis dives, non es ditior Davide. Ex iterum idem dicit: *Media nocte surgebam ad confitendum tibi super judicia justitiæ tuæ*. Tunc non interturbat vana gloria, omnibus scilicet dormientibus & non videntibus, tunc non ignavia & oscitantia insidiantur, quandoquidem animam tot ac tanta excitant, & alacrem reddunt. Post tales vigilias dulces somni, & visiones mirabiles. Hoc fac & tu vir, non sola mulier. Sit Ecclesia domus ex viris mulieribusque Ib. 118,62.
D constituta. Nunquid enim quia tu solus es vir, neque quia ista sola est mulier, putabis impedimentum esse? *Ubi enim sunt duo in meo nomine*, inquit, *congregati, illic sum in medio illorum*. Ubi Christus medius, magna multitudo est: ubi Christus est, necesse est & Angelos esse, necesse & Archangelos, & alias virtutes. Non igitur soli estis, omnium vobiscum habentes Dominum. Ex iterum audi prophetam dicentem: *Melior est unus faciens voluntatem Domini, quàm innumeri prævaricatores*. Matt. 18,20 Eccl. 16,3
E Nihil infirmius multis prævaricatoribus, nihil fortius uno juxta legem Dei vivente. Si tibi etiam filii sunt, excita & filios, & fiat modis omnibus domus noctu Ecclesia. Si autem teneri sunt, & vigiliam ferre nequeunt, unam & alteram orationem faciant, & iterum finito quiescere. Tantùm surge, tantùm in consuetudine conserva teipsum: nihil hoc promptuario melius quod tales suscipit preces. Audi prophetam dicentem:

Ps. 62, 7. *Si memor eram tui super stratum meum, in diluculis meditabar in* A *te.* At dicis: Laboravi per diem multum, & non possum. Cavillum est & excusatio: nam quantumvis laboraveris, non laboraveris quantum faber ferrarius, qui graves folles trahit, usque ad flammam, & fumum toto corpore recipit: attamen ille noctu sæpe multum negotii insumit. Scitis etiam mulieres, si qua vos necessitas facit ire in agrum, vel ad vigilias progredi, quomodo per totam noctem vigilant. Et tibi igitur officina sit spiritualis, non ut ollas ac lebetes, sed ut animam tuam pares, B quæ ærario fabro & aurifabro melior, veterem illam factam impone in conflatorium confessionis, folles à summo deduc, hoc est, verba condemnantia, accende ignem Spiritus, multò majorem artem habes, & omni auro preciosiorem animam, sicut ærifaber vas: non enim corporale vas componis, sed animam liberas ab omni seculari phantasia & solicitudine. Adsit tibi lucerna non illa quæ flagrat, sed quam propheta di-

Ib. 118, 105. cens habuit: *Lucerna enim pedibus meis verbum tuum.* Accen- C de orationibus animam tuam. Si videris satis habere, educ, accende ad id quod voles: crede mihi, non sic ignis sordes purgare solet, ut oratio nocturna sordes peccatorum nostrorum. Si nihil aliud, erubescamus quòd nocturni vigiles ac custodes propter hominum leges obambulant in frigore multum clamantes, & in vicis euntes sæpe compluuntur, rigéntque propter te ac tuam salutem, pecuniarumque tuarum custodiam. Illi pro tuis pecuniis tantam habent curam, tu autem neque pro ani- D ma tua. Sanè ego non cogo ambulare sub dio sicut illi, neque clamore disrumpi, sed in ipso promptuario conclavique tuo flecte genua, ora Dominum. Quare ipse *Christus pernoctavit in*

Luc. 6, 12 *monte*? nonne ut typus nobis fieret? Tunc respirant plantæ, in nocte dico: tunc & animæ maximè & magis quàm illæ rorem suscipiunt. Quæ enim in die sol adussit, eadem nox refrigerat. Nocturnæ lachrymæ quovis rore magis contra concupiscentias & ardores omnes dimittuntur, nec sinunt graviora pati. Si au- E tem rore illo non frueris, post diem exureris: sed absit ut aliquis vestrum ignis illius fiat materia. Verùm refrigeremur, & misericordia Dei fruamur, ut omnes nos liberemur ab onere peccatorum, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XXVII.

Facto autem die erat turbatio non parva inter milites, quidnam de Petro actum esset. Herodes autem cum requisisset illum, & eo non invento, examinavit custodes, & jussit abduci, & de- B *scendens à Judæa, in Cæsarea commoratus est.*

MULTI dubitant quomodo despexerit tunc Deus illos servos, qui propter Petrum occidebantur, quum potuisset illos cum Petro liberare: at si etiam tum Petro Angelus milites eduxisset, res illa habita fuisset fuga. Cur igitur non aliter dispensavit, inquis? Nam quale damnum factum est C nunc, si videamus quòd injuste patientes, & graviter, nihil nocuerunt: non quærimus hæc, quare non dicis etiam de Jacobo, quare illum non eripuit? Et aliter: Nondum erat judicii tempus, unicuique detur pro merito. Neque Petrus injecit illos in manus Herodis, (verum ille multò magis dolebat se de-

Matt. 2, 16. lusum esse sicut avum suum *à Magis*) imo faciebat illum dissecari & ridiculum fieri. Bonum autem est scriptoris audire verba: *Facta*, inquit, *die*, *erat turbatio non parva inter milites, quid-* D *nam de Petro actum esset. Herodes autem cum requisivit eum, & non invento illo, examinavit custodes, & jussit duci.* Quamvis audivisset ab illis, examinaverat enim & quod vincula soluta, & quod sandalia accepit, & quod usque ad noctem illam cum eis fuerit. Sed quid? simulne occultati fuerunt? quare non ergo & ipsi effugerunt? Certe illum oportebat admirari, oportebat obstupescere, atqui posteà manifestum est omnibus per mortem illorum, & Dei miraculum, & illius malitia. Et vide E quomodo hìc ea non occultat, sed & meminit historiæ, ita ut doceat nos. *Et descendens à Judæa in Cæsaream, ibi commoratus est. Erat autem Herodes iratus Tyriis ac Sidoniis, & unanimiter aderant apud illū, & persuaso Blasto qui præerat cubiculo regis,*

A εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς " σέ. ἀλλὰ κεκμηκά, φησι, μεθ' ἡμέραν πολλὰ καὶ οὐ δύναμαι. σκῆψις ταῦτα καὶ πρόφασις· ὅσα γὰρ ἂν κάμῃς, οὐ πονήσεις ὡς ὁ χαλκοτύπος σφῦραν οὕτω βαρεῖαν καταφέρων ἀπὸ πολλοῦ τοῦ ὕψους ἐπὶ τοὺς συνθήκας, καὶ τὸν καπνὸν ὅλῳ δεχόμενος τῷ σώματι· καὶ ὅμως τὸ πλέον ἐκεῖνος τῆς νυκτὸς εἰς τοῦτο ἀναλίσκει. ἴστε καὶ γυναῖκες, εἴ ποτε εἰς ἀγρὸν ἡμῖν γέγονεν ἀνάγκη βαδίσαι, ἢ εἰς παννυχίδα B προελθεῖν, πῶς δι' ὅλης τῆς νυκτὸς ἀγρυπνοῦσι. καὶ σοὶ γίνου χαλκεῖον ἔσω πνευματικόν· οὐχ ὥστε χύτρας οὐδὲ λέβητας, ἀλλὰ τὴν ψυχὴν κατασκευάσαι τὴν σὴν, ἣ καὶ χαλκοτύπου καὶ χρυσοχόου πολλῷ βελτίων. τὴν παλαιὰν γενομένην τοῖς ἁμαρτήμασιν εἰσάγαγε εἰς τὸ χωνευτήριον τῆς ἐξομολογήσεως, τὴν σφῦραν κατένεγκαι ἀπὸ τοῦ πολλοῦ ὕψους· τουτέστι, τῶν ῥημάτων τὴν κατάγνωσιν· ἄναψον τὸ πῦρ τοῦ πνεύματος. πολλῷ μείζονα τέχνην ἔχεις. οὐ χρυσᾶ σκεύη ῥυθμίζεις, ἀλλὰ C τῆς παντὸς χρυσίου τιμιωτέραν ψυχὴν, καθάπερ ὁ χαλκεὺς τὸ σκεῦος. οὐ γὰρ σωματικὸν σκεῦος ῥυθμίζεις· ἀλλὰ τὴν ψυχὴν ἀπαλλάττεις τῆς φαντασίας τῆς βιωτικῆς. παρακείσθω σοι λύχνος, οὐχ οὗτος ὁ καιόμενος, ἀλλ' ὃν ὁ προφήτης λέγων εἶχε, λύχνος τοῖς " ποσί μου ὁ νόμος σου. πύρωσον διὰ τῆς εὐχῆς τὴν ψυχήν· ἂν ἴδῃς ἱκανῶς ἔχουσαν, ἐξάγαγε. τύπωσον πρὸς ὅπερ ἂν θέλῃς· πίστευσόν μοι, οὐχ οὕτω τὸ πῦρ τὸν ἰὸν ἀποκαθαίρειν εἴωθεν, ὡς εὐχὴ νυκτερινὴ D τὸν ἰὸν τῶν ἁμαρτημάτων τῶν ἡμετέρων· αἰδεσθῶμεν, εἰ μηδένα ἄλλον, τοὺς νυκτερινοὺς φύλακας. ἐκεῖνοι δι' ἀνθρώπινον νόμον, περιίασιν ἐν κρυμῷ βοῶντες μεγάλα, καὶ διὰ τῶν στενωπῶν βαδίζοντες, βρεχόμενοι πολλάκις, πεπηγότες, διὰ σὲ καὶ τὴν σωτηρίαν τὴν σὴν καὶ τὴν τῶν χρημάτων τῶν σῶν φυλακήν. ἐκεῖνος ὑπὲρ τῶν χρημάτων σου τοσαύτην ποιεῖται πρόνοιαν; σὺ δὲ, οὐδὲ ὑπὲρ τῆς σῆς ψυχῆς. καὶ μὴν ἐγὼ οὐκ ἀναγκάζω αἴθριον περιιέναι καθάπερ ἐκεῖνος· οὐδὲ μεγάλα E βοᾶν καὶ διαρρήγνυσθαι· ἀλλ' ἐν αὐτῷ τῷ ταμείῳ ὢν, ἐν αὐτῷ τῷ κοιτῶνι, κάμψον τὰ γόνατα, παρακάλεσον τὸν δεσπότην. διατί αὐτὸς ὁ Χριστὸς διενυκτέρευεν ἐν τῷ ὄρει; οὐχ ἵνα τύπος ἡμῖν γένηται; τότε ἀναπνεῖ τὰ φυτὰ, ἐν τῇ νυκτὶ λέγω· τότε καὶ ψυχὴ μάλιστα μᾶλλον ἐκείνων δρόσον δέχεται. ἅπερ μεθ' ἡμέραν ὁ ἥλιος κατέκαυσε, ταῦτα ἐν τῇ νυκτὶ καταψύχεται. πάσης δρόσου μᾶλλον τὰ τῆς νυκτὸς δάκρυα, καὶ κατὰ τῶν ἐπιθυμιῶν καὶ κατὰ πάσης φλεγμονῆς καὶ A καύσωνος καθίεται, καὶ οὐκ ἀφίησι χαλεπόν τι παθεῖν. ἂν δὲ μὴ τῆς δρόσου ἀπολαύσῃ ἐκείνης, μεθ' ἡμέραν καυθήσεται. ἀλλὰ μὴ γένοιτο μηδένα ὑμῶν ὑπέκκαυμα τοῦ πυρὸς ἐκείνου γενέσθαι· ἀλλὰ ἀναψύξαντας καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀπολαύσαντας, γένοιτο πάντας ἡμᾶς ἐλευθερωθῆναι τοῦ φορτίου τῶν ἁμαρτημάτων, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.

B

ΟΜΙΛΙΑ κζ.

Γενομένης δὲ ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισαρείαν διέτριβε.

ΠΟΛΛΟΙ διαποροῦσι πῶς περιεῖδεν ὁ Θεὸς τότε δι' αὐτὸν τοὺς παῖδας ἀναιρουμένους, καὶ νῦν πάλιν τοὺς στρατιώτας διὰ C τὸν Πέτρον· καίτοι γε δυνατὸν ἦν αὐτῷ μετὰ τοῦ Πέτρου κἀκείνους ἐξελέσθαι. ἀλλ' εἰ καὶ τοὺς στρατιώτας ἐξήγαγεν ὁ ἄγγελος μετὰ τοῦ Πέτρου, ἐνομίσθη ἂν φυγὴ εἶναι τὸ πρᾶγμα. τί οὖν οὐχ ἑτέρως ᾠκονόμησε φησί; ποία γὰρ βλάβη γέγονε νῦν; ἂν ἴδωμεν ὅτι οἱ ἀδίκως [τι] παθόντες [καὶ] κακῶς οὐδὲν ἐβλάβησαν, οὐ ζητήσομεν ταῦτα. διατί γὰρ μὴ λέγεις καὶ περὶ Ἰακώβου, διατί αὐτὸν μὴ ἐξείλετο; ἄλλως δέ· οὐκ ἦν οὐδέπω τῆς κρίσεως ὁ καιρὸς, ὥστε τὸ καθ' ἀξίαν ἀπονεῖμαι ἑκά- D στῳ. ἀλλ' οὐδὲ ἐνέβαλεν αὐτοὺς εἰς τὰς χεῖρας αὐτοῦ Πέτρος. μᾶλλον οὖν αὐτὸν ἐλύπει τὸ ἐμπαιχθῆναι, ὥσπερ τὸν πάππον αὐτοῦ ὑπὲρ τῶν Μάγων ἀπατηθέντα, μᾶλλον ἐποίει διαπρίεσθαι καὶ καταγέλαστον εἶναι. καλὸν δὲ καὶ αὐτῶν τῶν ῥημάτων ἀκοῦσαι τοῦ συγγραφέως. γενομένης, φη- " σὶν, ἡμέρας ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέ- " τρος ἐγένετο. Ἡρώδης δὲ ἐπιζητήσας αὐτὸν καὶ μὴ εὑρὼν, ἀνακρίνας τοὺς " φύλακας ἐκέλευσεν ἀπαχθῆναι. καὶ τί ἤκουσε παρ' αὐτῶν; ἀνέκρι- E νε γάρ· καὶ ὅτι αἱ ἁλύσεις ἀφείθησαν, καὶ ὅτι τὰ σανδάλια ἔλαβε, καὶ ὅτι μέχρι τῆς νυκτὸς ἐκείνης μετ' αὐτῶν ἦν. ἀλλὰ τί; συνέκρυψαν; διατί οὖν μὴ καὶ αὐτοὶ ἔφυγον; καὶ μὴν αὐτὸν ἔδει θαυμάσαι, ἔδει καταπλαγῆναι οὗτος. λοιπὸν φανερὸν γίνεται πᾶσι διὰ τοῦ θανάτου τούτων, καὶ τοῦ Θεοῦ τὸ θαῦμα, ἥ τε ἐκείνου κακία κατάδηλος. ἀλλ' ὅρα πῶς οὗτος ταῦτα οὐ κρύπτει, ἀλλὰ καὶ μέμνηται ἱστορίας ὥστε διδάξαι ἡμᾶς. εἶτα φησι· καὶ κατελθὼν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισαρείαν " διέτριβεν. ἦν δὲ Ἡρώδης θυμομαχῶν τοῖς Τυρίοις καὶ Σιδωνίοις, ὁμοθυμαδόν τε παρῆσαν πρὸς αὐτὸν, καὶ πείσαντες Βλάστον τὸν ἐπὶ "

τοῦ κοι-

τοῦ κοιτῶνος τοῦ βασιλέως ᾐτοῦντο εἰρήνην διὰ τὸ τρέφεσθαι αὐτῶν τὴν χώραν ἀπὸ τῆς βασιλικῆς. Τακτῇ δὲ ἡμέρᾳ ὁ Ἡρώδης ἐνδυσάμενος ἐσθῆτα βασιλικὴν, καὶ καθίσας ἐπὶ τοῦ βήματος, ἐδημηγόρει πρὸς αὐτούς. ὁ δὲ δῆμος ἐπεφώνει· Θεοῦ φωνὴ καὶ οὐκ ἀνθρώπου. παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου, ἀνθ' ὧν οὐκ ἔδωκε δόξαν τῷ Θεῷ, καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξεν. ὁ δὲ λόγος τοῦ Θεοῦ ηὔξανε καὶ ἐπληθύνετο. οὐ μικρὸν οὐδὲ τοῦτό ἐστιν. εὐθέως ἡ δίκη κατέλαβεν αὐτόν· εἰ καὶ μὴ διὰ Πέτρον, ἀλλὰ διὰ τὴν αὐτοῦ μεγαληγορίαν. καὶ μὴν οἱ ἐκεῖνοι, φησὶν, ἐβόησαν, τί πρὸς τοῦτον; ὅτι κατεδέξατο τὴν φωνήν· ὅτι ἄξιον ἑαυτὸν ἐνόμισεν εἶναι τῆς κολακείας. διὰ τούτου ἐκεῖνοι μάλιστα παιδεύονται οἱ κολακεύοντες εἰκῇ. ὅρα πάλιν ἀμφοτέρους μὲν ὄντας ἀξίους τιμωρίας, τοῦτον δὲ κολαζόμενον. οὐ γάρ ἐστι νῦν τῆς κρίσεως ὁ καιρός· ἀλλὰ τὸν μάλιστα ὑπεύθυνον, τοῦτον κολάζει, ἐκείνους ἀφεὶς ἀπὸ τούτου κερδᾶναι. καὶ ὁ λόγος τοῦ Θεοῦ ηὔξανε φησὶ, καὶ ἐπληθύνετο· τουτέστι, τούτου γινομένου. εἶδες Θεοῦ οἰκονομίαν. Βαρνάβας δὲ καὶ Σαῦλος ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ πληρώσαντες τὴν διακονίαν, συμπαραλαβόντες καὶ Ἰωάννην τὸν ἐπικληθέντα Μάρκον.

Ἦσαν δέ τινες ἐν Ἀντιοχείᾳ κατὰ τὴν οὖσαν ἐκκλησίαν προφῆται καὶ διδάσκαλοι, ὅ τε Βαρνάβας καὶ Συμεὼν ὁ καλούμενος Νίγερ, καὶ Λούκιος ὁ Κυρηναῖος, Μαναήν τε Ἡρώδου τοῦ τετράρχου σύντροφος καὶ Σαῦλος. ἔτι Βαρνάβα πρῶτον μνημονεύει. οὔπω γὰρ Παῦλος ἦν λαμπρός· οὔπω σημεῖον οὐδὲν εἰργάσατο. λειτουργούντων δὲ αὐτῶν τῷ Κυρίῳ καὶ νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι τόν τε Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. τότε νηστεύσαντες καὶ προσευξάμενοι καὶ ἐπιθέντες τὰς χεῖρας αὐτοῖς ἀπέλυσαν. τί ἐστι λειτουργούντων; κηρυττόντων. ἀφορίσατέ μοι φησὶ τὸν Βαρνάβαν καὶ Σαῦλον. τί ἐστιν, ἀφορίσατέ μοι εἰς τὸ ἔργον; εἰς τὴν ἀποστολήν. ὅρα πάλιν ὑπὸ τίνων χειροτονεῖται· ὑπὸ Λουκίου τοῦ Κυρηναίου καὶ Μαναήν· μᾶλλον δὲ ὑπὸ τοῦ πνεύματος. ὅσα γὰρ τὰ πρόσωπα ἐλάττονά ἐστι, τοσούτῳ γυμνοτέρα ἡ τοῦ Θεοῦ φαίνεται χάρις. χειροτονεῖται λοιπὸν εἰς ἀποστολὴν, ὥστε μετ' ἐξουσίας κηρύττειν. πῶς οὖν αὐτός, φησιν· οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων; τὸ μὲν, οὐκ ἀπ' ἀνθρώπων, εἶπεν ἵνα δηλώσῃ ὅτι οὐκ ἄνθρωπος αὐτὸν ἐκάλεσεν οὐδὲ προσηγάγετο· τὸ δὲ, δι' ἀνθρώπων, ὅτι οὐχ ὑπό τινος ἐπέμφθη, ἀλλ' ὑπὸ τοῦ πνεύματος. διὸ καὶ οὕτως ἐπήγαγεν· Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ πνεύματος κατῆλθον εἰς τὴν Σελεύκειαν, ἐκεῖθεν ἀπέπλευσαν εἰς τὴν Κύπρον. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἡμέρας δὲ γενομένης, φησὶν, ἦν τάραχος οὐκ ὀλίγος διὰ τὸν Πέτρον, καὶ ἀνακρίνας τοὺς φύλακας ἐκέλευσεν ἀπαχθῆναι. οὕτως οὐκ ᾔδει ὅτι καὶ κολάζειν ἀδίκως ἐπιχειρεῖ. ἰδοὺ τὸν ὑπὲρ αὐτῶν ἀναλαμβάνω λόγον. τὰ δεσμὰ ἦν· οἱ φύλακες ἔνδον· τὸ δεσμωτήριον κεκλεισμένον· οὐδαμοῦ τοῖχος διορωρυγμένος· πάντες τὰ αὐτὰ ἔλεγον· ἀνάρπαστος ὁ ἄνθρωπος γέγονε· διὰ τί αὐτοὺς καταδικάζεις; εἰ ἤθελον ἀπολῦσαι, πρὸ τούτου ἀπέλυσαν ἂν, ἢ συνεξῆλθον. ἀλλὰ χρήματα ἔλαβον; πόθεν ὁ μηδὲ πένησι δοῦναι ἔχων, τούτοις ἐδίδου; οὐδὲ γὰρ διεθρύβησαν ἁλύσεις, οὐδὲ λελυμέναι ἦσαν. ἔδει ἰδεῖν ὅτι θεῖον τὸ πρᾶγμα ἦν, καὶ οὐκ ἀνθρώπινον. εἶτα ἐπειδὴ ἱστορίας ἔμελλε μεμνῆσθαι λοιπὸν, διὰ τοῦτο καὶ τὰ ὀνόματα τίθησιν, ἵνα δειχθῇ πάντα ἀληθεύων. καὶ πείσαντες Βλάστον, φησὶ, τὸν ἐπὶ τοῦ κοιτῶνος τοῦ βασιλέως, ᾐτοῦντο εἰρήνην. τοῦτο ποιοῦσιν, ἐπειδὴ λιμὸς ἦν. Τακτῇ δὲ ἡμέρᾳ καθίσας ὁ Ἡρώδης ἐπὶ τοῦ βήματος ἐδημηγόρει, φησί. παραχρῆμα δὲ ἐπάταξεν αὐτὸν ἄγγελος κυρίου καὶ γενόμενος σκωληκόβρωτος ἐξέψυξε. τοῦτο καὶ Ἰώσηπος λέγει ὅτι μακρᾷ περιέπεσε νόσῳ. οἱ μὲν οὖν πολλοὶ τοῦτο οὐκ ᾔδεσαν· ὁ δὲ ἀπόστολος αὐτὸ τίθησι. πλὴν ἀλλὰ καὶ ἡ ἄγνοια ὠφελεῖ λογιζομένων αὐτὸ τῷ Ἰακώβου θανάτῳ καὶ τῷ τῶν στρατιωτῶν φόνῳ τὸ κατὰ τὸν Ἡρώδην συμβεβηκέναι. ὅρα. ὅτε μὲν τὸν ἀπόστολον ἔσφαξεν, οὐδὲν τοιοῦτον εἰργάσατο· ὅτε δὲ τούτους, λοιπὸν ἐν ἀφασίᾳ ἦν. ἅτε οὖν ἠπορηκὼς καὶ αἰσχυνόμενος κατῆλθεν ἀπὸ τῆς Ἰουδαίας εἰς τὴν Καισάρειαν. ἐμοὶ δοκεῖ καὶ ἐκείνους ἀπαγαγεῖν βουλόμενος, πρὸς ἀπολογίαν ἦλθε τούτων. ὠργίζετο γὰρ ἐκείνοις, τούτους ὥστε θεραπεύειν. ὅρα πῶς κενόδοξος ὁ ἄνθρωπός ἐστι. μέλλων αὐτοῖς διδόναι τὴν δωρεὰν, ἐδημηγόρησεν. ὁ δὲ Ἰώσηπός φησιν, ὅτι καὶ ἐσθῆτα λαμπρὰν ἐξ ἀργύρου πεποιημένην περιέκειτο. ὅρα καὶ ἐκεῖνοι πῶς κόλακες ἦσαν, καὶ τῶν ἀποστόλων τὸ φρόνημα. ὃν γὰρ ἔθνος ὁλόκληρον ἐθεράπευε, τοῦτον οὗτοι διέπτυον. πάλιν δὲ γίνεται ἀνάπνευσις αὐτοῖς μεγάλη, καὶ μυρία ἀγαθὰ ἐκ τῆς ἐκείνου τιμωρίας. εἰ δὲ οὗτος ἀκούσας, ὅτι φωνὴ Θεοῦ καὶ οὐκ ἀνθρώπου, καίτοι γε μηδὲν εἰπὼν, τοιαῦτα ἔπαθε· πολλῷ μᾶλλον ἂν ὁ Χριστὸς, εἰ μὴ Θεὸς ἦν αὐτὸς, ἀεὶ λέγων ὅτι τὰ ῥήματα τὰ ἐμὰ οὐκ ἔστιν ἐμὰ, καὶ οἱ ὑπηρέται ἂν ἠγωνίζοντο, καὶ ὅσα τοιαῦτα. ἐκεῖνος δὲ αἰσχρῶς καὶ ἐλεεινῶς τὸν βίον κατέλυσε, καὶ οὐδὲ φαίνεται λοιπόν. ὅρα δὲ αὐτὸν καὶ ὑπὸ τοῦ Βλάστου ἀναπειθόμενον, καὶ εἶτε δὴ ταλαίπωρον ὄντα εὐκόλως ὀργιζόμενον καὶ πάλιν καταλλαττόμενον, καὶ πανταχοῦ δοῦλον τοῦ δήμου καὶ οὐδὲν ἐλεύθερον ἔχοντα. σκόπει δὲ καὶ τὴν αὐθεντίαν

petiverunt pacem, eo quod illorum regio à regia aleretur. Statuto autem die Herodes indutus veste regia, & sedens super tribunali concionabatur ad illos. Populus autem acclamabat: Vox Dei, & non hominis. Statim autem illum percussit Angelus Domini, eo quod non dedit Deo gloriam, & erosus est à vermibus, ac expiravit. Verbum autem Domini crescebat ac multiplicabatur. Statim ultio invasit illum, quamvis non propter Petrum, sed propter ipsius magniloquentiam. Dicet quis: Si illi clamarunt, quid ad hunc? quia accepit vocem, quia dignum se putavit esse adulatione. Per hunc maximè erudiuntur qui temere adulantur. Vide igitur iterum utrosque meruisse pœnam, hunc autem puniri. Non est enim nunc tempus judicii. Verùm illum qui maximè reus erat punit, dimissis illis ut sic lucrum accipiant. *Et Verbum Dei crescebat*, inquit, *ac multiplicabatur*: Hoc est, hoc facto. Vidisti dispensationem Dei? *Barnabas autem & Paulus iterum reversi Hierusalem, impleto ministerio, simul accipientes Joannem qui cognominabatur Marcus.*

Erant autem quidam in Ecclesia quæ erat Antiochiæ, prophetæ ac doctores, Barnabasque & Simeon qui vocabatur Niger, & Lucius Cyrenæus & Manaen Herodis tetrarchæ collactaneus, & Saulus. Adhuc Barnabæ prius meminit, nondum Saulus clarus erat, nondum signum aliquod fecerat. *Ministrantibus autem illis Domino, & jejunantibus dixit Spiritus sanctus: Segregate mihi Barnabam & Saulum in opus in quod vocavi eos. Tunc jejunantes & orantes, & impositis manibus illis dimiserunt.* Quid est *ministrantibus*? prædicantibus. *Segregate*, inquit, *mihi Barnabam & Saulum.* Quid est, *segregate mihi in opus?* in Apostolatum. Vide iterum à quibus ordinantur. A Lucio Cyrenæo & Manae, imò à spiritu. Quantò enim personæ humiliores erant, tantò purior Dei apparet gratia. Ordinatur jam in Apostolatum, ut jam cum potestate prædicet. Quomodo igitur ille dicit, *Non ab hominibus neque per homines?* (Gal. 1,1.) dicit *non ab hominibus*, ut manifestet quod non homo illum vocavit, neque adduxit. Dicit *nec per hominem*, quòd non ab aliquo missus est, sed à spiritu. Idcirco & sic subdidit: *igitur illi quidem missi à spiritu descenderunt in Seleuciam, & illinc abnavigarunt in Cyprum.* Videamus autem iterum ea quæ dicta sunt. *Facto autem die*, inquit, *erat turbatio non parva propter Petrum. Et examinatos custodes jussit abduci.* Adeò insensatus est, quod etiam injustè punire attentat. Ecce sermonem pro illis suscipio. Vincula erant, custodes intus, carcer clausus, nusquam perfossus paries, omnes eadem dicebant, vir rapi non potuit, quare illos condemnas? Si voluissent solvere, antea hoc fecissent, vel simul exiissent. Num pecunias acceperunt? Unde qui neque pauperibus quod daret habebat, his dabat? neq; enim detritæ sunt catenæ, neque solutæ. Oportebat videre esse rem divinam, non humanam. Deinde quoniam historiam posteà inserturus erat, propter hoc etiam nomina ponit, ut comprobetur omnia verissimè tradere. *Et persuadentes Blasto*, inquit, *qui præerat cubiculo regis, petebant pacem.* Hoc faciunt, quoniam fames erat. *Isto autem die quum sedisset Herodes in tribunali, concionabatur*, inquit, *statim autem percussit illum Angelus Domini & erosus à vermibus expiravit.* Hoc & Josephus dicit, quòd longo morbo implicitus fuerit, multi itaque hoc nescierunt, Apostolus autem hoc ponit. Cæterùm qui hæc morti Jacobi & cædi custodum imputant, per ignorantiam errant. Vide quando Apostolum occîdit, nihil tale faciebat: & quando alios, nihil de illis traditur, quoniam hæsitabat quid faceret, & confundebatur: *Descendit à Judæa in Cæsaream.* Mihi videtur & illos abducere volens, defendere factum suum voluit. Irascebatur enim illis, ut aliis gratificaretur. Vide ut vanæ gloriæ cupidus homo erat. Daturus illis beneficium concionabatur. Josephus dicit quod amictus fuerit veste splendida: vide & quàm adulantes illi fuerint, & Apostolorum prudentiam. Quem enim gens tota curabat, hunc respuebant. Iterum autem illi multum respirant, & multa bona ex illius ultione. Si autem hic quum diceretur *vox Dei & non hominis*, quamvis ipse non diceret, talia passus est, multò magis si Christus non fuisset Deus ipse, semper dicens: *Verba mea non sunt mea*: &, *Ministri mei utique decertarent pro me*: (Joh. 14,10. Ib. 18,36.) & alia id genus. Ille autem fœde ac miserabiliter vitam finivit, & nihil ex eo reliquum. Vide autem illum quomodo à Blasto iterum mitigatur, utpote homo facile irascens, & iterum conciliabilis, & ubique servus vulgi, nihilque liberum habens. Considera autem & authoritatem

sancti Spiritus. *Ministrantibus autem illis*, inquit, *Domino, & jejunantibus dixit Spiritus sanctus: Segregate mihi in opus Barnabam & Paulum.* Quis non tantæ authoritatis existens, ausus esset hæc dicere? atque ita cum non essent communiter congregati? Vidit illos habere majorem virtutem, & cùm multum valerent contentos esse. Quomodo autem illis *dixit?* per prophetas forsan ideircò præoccupans dixit: Et prophetæ erant jejunabantque & ministrabant, ut discas magna sobrietate opus esse. In Antiochia ordinatur, ibi prædicat. Quare non dixit, Domino *segregate*, sed *mihi?* Ostendit unam esse potestatem ac virtutem. Vides quanta res sit jejunium? ostendit quod spiritus omnia faciebat. Magnum quoddam bonum est jejunium, non termino circumscribebatur. Quando ordinatio erat, tunc jejunant, & *jejunantibus illis dixit Spiritus sanctus:* Jejunium, non hoc solùm est, sed etiam abstinere à deliciis jejunii species est, eatenus imperarim ego solùm: Ne jejunate, sed absistite à deliciis. Alimenta quæramus, non corruptionem: alimenta quæramus, non morborum fomites, morborum spiritualium & corporalium: alimentum quæramus quod voluptatem habet, non delicias insuavitate plenas. Illud est in deliciis. hoc damnum affert: illud est voluptas, hoc verò labor? illud juxta naturam, hoc præter naturam. Dic enim mihi, si quis dedisset tibi aconitum bibere, nonne præter naturam esset? Si quis ligna & lapides, nonne aversareris meritò? utpote præter naturam. Ita se habent etiam deliciæ. Quemadmodum enim in civitate dum obsidetur, multa fit turbatio ac tumultus, hostibus oppugnationem aggredientibus: ita in anima fit vino & voluptate ingrediente. *Cui væ? cui turbationes? cui insuavitates & nugæ? cui judicium? nonne his qui immorantur vino? cujus sanguinolenti oculi?* Verùm quicquid dixerimus, non avocabimus eos qui voluptati sunt dediti, si non contra aliam passionem restiterimus. Et primum quidem contra mulieres nobis sit sermo. Nihil fœdius muliere quæ in deliciis agit, nihil turpius ea quæ ebria est, obscuratur illi flos visus, turbatur serenitas & puritas oculorum, quasi nube quadam radiis solaribus succedente. Opus illiberale ac servile, & omni ignobilitate plenum. Quàm insuavis est mulier vinum spirans, quod olet ac corruptum est, dum eructat carnium corruptarum humorem, gravata & excitari non valens, plus rubicunda quam opus, plena oscitatione & magna nebula. Nunquid quæ à voluptate abstinet, talis est? non, sed honesta, & formosa: nam & animæ status, corpori suum decorem adjicit. Ne putes à corporalibus lineamentis hoc solum fieri. Da formosam puellam, turbulentam, loquacem, conviciatricem, ebriam ac sumptuosam: nonne quavis fœda & turpi deformior est? At si erubescat, sileat, modestè loquatur, jejuniis vacet, duplex pulchritudo, amplior formositas, gratior vultus continentiæ ornatu plenus. Vis jam & de viris loquamur, quid ebrio turpius? ridiculus est famulis, ridiculus est hostibus, miserabilis apud amicos, omnium detestatione dignus. Bestia est magis quàm homo: Etenim multis pasci, pardi, leonis, ac ursi est: Meritò. Rationalem enim animam illa non habent. Quin & illa, plus quam opus habent, & mensura naturæ illorum poscit ac præscribit, pasta corrumpunt totum corpus. Quanto magis nos? ideircò nobis Deus angustum ventrem dedit, ut erudiret animæ curam gerere diligentiorem. Consideremus nostram constitutionem, & videbimus unam particulam in nobis eandem habere operationem. Os enim nostrum & lingua ad hymnos deputata sunt, faux ad vocem. Unde & naturæ necessitas nos intus ligavit, ut neque involuntarii in multam difficultatem incidamus. Quod si quidem voluptas labores, morbos, & ægritudines non haberet, horrendum foret. Nunc autem terminos tibi præscribit natura, ut neque volens transgrediaris. Nunquid voluptatem quæris amice? hanc à frugalitate parabis. Num sanitatem? etiam hanc inde. Num securitatem & solicitudinis immunitatem? etiam hanc. Num libertatem? num valetudinem ac robur corporis? num bonam constitutionem? num animæ sobrietatem? num alacritatem? Ita bona omnia hic. In crapula autem contraria, insuavitas, mala valetudo, infirmitas, illiberalitas, sumptus. Unde igitur ad illam currimus omnes inquit? ab infirmitate. Dic enim mihi, quare nocivum ægrotans inquirit? nonne & istoc ipsum signum est ægritudinis? Quare claudus non rectè incedit? Istuc ipsum autem nonne ab ignavia, & quod non vult accedere ad medicum? Rerum enim aliæ temporariam voluptatem habent, & perpetuum supplicium: aliæ contra, temporarium laborem, & perpetuam fruitionem. Qui igitur sic dissolutus & ignavus, ita ut præsentes delicias præ futuris non contemnat, statim capitur.

Prov. 23. 28.

τοῦ ἁγίου Πνεύματος. λειτουργούντων δὲ αὐτῶν, φησί, τῷ κυρίῳ καὶ νηστευόντων εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· ἀφορίσατε δή μοι τὸν Βαρνάβαν καὶ Σαῦλον. τίς ἂν ἐτόλμησε, μὴ τῆς αὐτῆς ἐξουσίας ὤν, ταῦτα εἰπεῖν; τοῦτο δὲ γίνεται, ὥστε μὴ εἶναι αὐτοὺς κοινῇ μεθ' ἑαυτῶν, εἶδε γὰρ αὐτοὺς μείζονα δύναμιν ἔχοντας, καὶ πολλοὺς δυναμένους ἀρκέσαι. πῶς δὲ αὐτοῖς εἶπε; διὰ προφητῶν ἴσως. διὰ τοῦτο προλαβὼν εἶπεν, ὅτι καὶ προφῆται ἦσαν. καὶ ἐνήστευον καὶ ἐλειτούργουν, ἵνα μάθῃς ὅτι πολλῆς νήψεως χρεία ἦν. ἐν Ἀντιοχείᾳ χειροτονεῖται, ἔνθα καὶ κηρύττει. διατί μὴ εἶπε, τῷ κυρίῳ ἀφορίσατε, ἀλλ' ἐμοί; δεικνῦσιν ὅτι ἕν ἐστι τὸ τῆς ἐξουσίας καὶ τῆς δυνάμεως. ὁρᾷς ὅσον ἡ νηστεία μέγα; δείκνυσιν ὅτι πάντα τὸ πνεῦμα ἐποίει. μέγα τι ἡ νηστεία ἀγαθόν. οὐχ ὅρῳ περιορίζεται. ὅτε χειροτονεῖν ἔδει, τότε νηστεύουσι· καὶ νηστεύουσιν αὐτοῖς εἶπε τὸ πνεῦμα. ἡ νηστεία δὲ οὐ τοῦτο μόνον ἐστίν· ἀλλὰ καὶ τὸ τρυφῆς ἀπέχεσθαι νηστείας εἶδός ἐστι. τοσοῦτον ἐπιτάττω μόνον ἐγώ, μὴ νηστεύσητε, ἀλλὰ τρυφῆς ἀπέχεσθε. τροφὰς ζητῶμεν, μὴ διαφθοράν· τροφὰς ζητῶμεν, μὴ νόσων ὑποθέσεις, νόσων καὶ ψυχικῶν καὶ σωματικῶν. τροφὴν ζητῶμεν ἡδονὴν ἔχουσαν, μὴ τρυφὴν ἀηδίας γέμουσαν. τοῦτο τρυφή, ἐκεῖνο λύμη· τοῦτο ἡδονή, ἐκεῖνο πόνος· τοῦτο κατὰ φύσιν, ἐκεῖνο παρὰ φύσιν. εἰπὲ γάρ μοι· εἴ τις ἔδωκέ σοι κώνειον πιεῖν, οὐχὶ παρὰ φύσιν ἦν; εἴ τις ξύλα καὶ λίθους, οὐκ ἂν ἀπεστράφης; εἰκότως. παρὰ φύσιν γάρ ἐστι. τοιοῦτον καὶ ἡ τρυφή. καθάπερ γὰρ ἐν πόλει πολιορκουμένης γινομένης πολὺς θόρυβος γίνεται καὶ ταραχὸς τῶν πολεμίων εἰσελθόντων· οὕτως ἐν τῇ ψυχῇ γίνεται οἴνου καὶ τρυφῆς ἐπεισελθούσης. τίνι οὐαί; τίνι θόρυβοι; τίνι ἀηδίαι καὶ λέσχαι; [τίνι κρίσις;] οὐχὶ τοῖς ἐγχρονίζουσιν ἐν οἴνοις; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; ἀλλὰ γὰρ ὅσα ἂν εἴπωμεν, οὐκ ἀποστήσομεν τοὺς περὶ τὴν τρυφὴν ἀπησχολημένους, ἂν μὴ πρὸς ἕτερον ἀντιστήσωμεν τὸ πάθος. καὶ πρῶτον μὲν πρὸς τὰς γυναῖκας ἡμῖν ἔστω ὁ λόγος. οὐδὲν αἴσχιον γυναικὸς τρυφώσης, οὐδὲν αἰσχρότερον μεθυούσης. ἀμαυροῦται αὐτῇ τὸ τῆς ὄψεως ἄνθος· θολοῦται τὸ γαληνὸν καὶ ἥμερον τῶν ὀφθαλμῶν, οἱονεὶ νεφέλης τινὸς ἀκτῖνας ὑποδεχομένης ἡλιακάς. ἀνελεύθερον τὸ πρᾶγμα καὶ δουλικόν, καὶ πάσης δυσγενείας ἀνάμεστον. πῶς ἐστιν ἀηδὴς οἶνον ἀποπνέουσα γυνή, ὀδωδότος, σεσηπότος· ἐρευγομένη κρεῶν διεφθαρμένων χυμόν· βεβαρυμένη καὶ διαναστῆναι μὴ δυναμένη· ἐρυθρὰ οὖσα τοῦ δέοντος πλέον· χασμῆς γέμουσα καὶ ἀχλύος πολλῆς; ἀλλ' οὐκ ἐκείνη ἡ τρυφῆς ἀπεχομένη τοιαύτη· ἀλλὰ σεμνὴ καὶ σώφρων καὶ εὔμορφος. καὶ γὰρ τῷ σώματι πολὺ προστίθησι κάλλος τῆς ψυχῆς ἡ κατάστασις. μὴ γὰρ δὴ νομίσῃς ἀπὸ τῶν σωματικῶν τύπων τοῦτο γίνεσθαι μόνον. δός εὔμορφον κόρην, τεθορυβημένην, λάλον, λοίδορον, μέθυσον, πολυτελῆ· εἰ μὴ πάσης αἰσχρᾶς δυσειδεστέρα καθέστηκεν; εἰ δὲ αἰσχύνοιτο· εἰ δὲ σιγῴη· εἰ δὲ ἐρυθριῷη μανθάνουσα· εἰ δὲ φθέγγοιτο συμμέτρως. εἰ δὲ νηστείαις σχολάζοι· διπλοῦν τὸ κάλλος, πλείων ἡ ὥρα, ποθεινοτέρα ἡ ὄψις, σωφροσύνης γέμουσα καὶ κοσμιότητος. βούλει λοιπὸν καὶ περὶ ἀνδρῶν εἴπωμεν; τί τοῦ μεθύοντος αἰσχρότερον; καταγέλαστος οἰκέταις· καταγέλαστος ἐχθροῖς· ἐλεεινὸς παρὰ φίλοις· μυρίας καταγνώσεως ἄξιος· θηρίον ἐστὶ μᾶλλον ἢ ἄνθρωπος. τὸ γὰρ πολλὰ σιτεῖσθαι παρδάλεως, καὶ λέοντος, καὶ ἄρκτου ἐστίν· εἰκότως. οὐ γὰρ ἔχουσιν ἐκεῖνα ψυχὴν λογικήν. καὶ μὴν κἀκεῖνα πλέον τοῦ δέοντος καὶ τοῦ μέτρου τοῦ παρὰ τῆς φύσεως αὐτοῖς ὡρισμένου σιτισθέντα, διέφθειρε τὸ πᾶν σῶμα· πόσῳ οὖν μᾶλλον ἡμεῖς. διὰ τοῦτο ἡμῖν εἰς μικρὸν συνέστειλε τὴν γαστέρα ὁ Θεός· διὰ τοῦτο ὀλίγου μέτρου ἀρκεῖ τροφῆς. ἵνα παιδεύσῃ ψυχῆς ἐπιμελεῖσθαι. καταμάθωμεν αὐτὴν τὴν κατασκευὴν τὴν ἡμετέραν, καὶ ὀψόμεθα ἓν μέρος ἐν ἡμῖν ταύτην ἔχον τὴν ἐνέργειαν. τὸ στόμα γὰρ ἡμῶν καὶ ἡ γλῶττα πρὸς ὕμνους ἀφώρισται· ὁ φάρυγξ, πρὸς φωνήν. διὰ τοῦτο καὶ ἀνάγκη τῆς φύσεως ἡμᾶς ἐγκατέδησεν, ἵνα μηδὲ ἄκοντες ἐμπίπτωμεν εἰς πολλὴν πραγματείαν. ὡς εἴγε ἡ τρυφὴ πόνους μὴ εἶχε, μηδὲ νόσους καὶ ἀρρωστίας, φρικτὸν ἦν. νυνὶ δέ σοι τέθεικεν ὅρους ἡ οὐσία τῆς φύσεως, ἵνα μηδὲ βουλόμενος ὑπερβαίνῃς. οὐχ ἡδονὴν ζητεῖς, ἀγαπητέ; τοῦτο παρὰ τῆς αὐταρκείας εὑρήσεις. οὐχ ὑγείαν; καὶ τοῦτο. οὐχὶ ἀμεριμνίαν; καὶ τοῦτο. οὐχὶ ἐλευθερίαν; οὐχὶ ῥῶσιν σώματος; οὐχὶ ἀνεξίαν; οὐχὶ νῆψιν ψυχῆς; οὐχὶ διέγερσιν; οὕτω πάντα τὰ καλὰ ἐνταῦθα· ἐν ἐκείνῃ δὲ τἀναντία, ἀηδία, καχεξία, νόσος, ἀνελευθερία, δαπάνη. πόθεν οὖν φησιν ἐπὶ ταύτην τρέχομεν ἅπαντες; ἀπὸ νόσου. εἰπὲ γάρ μοι· διατί τὸ βλάπτον ὁ νοσῶν ἐπιζητεῖ; οὐχὶ καὶ αὐτὸ τοῦτο τοῦ νοσεῖν σημεῖόν ἐστι; διατί ὁ χωλὸς μὴ ὀρθὰ βαδίζει; αὐτὸ δὲ τοῦτο οὐκ ἀπὸ ῥαθυμίας καὶ τοῦ μὴ βούλεσθαι παρὰ τὸν ἰατρὸν ἰέναι; τῶν γὰρ πραγμάτων, τὰ μὲν πρόσκαιρον ἡδονὴν ἔχει, διηνεκῆ δὲ τὴν κόλασιν· τὰ δὲ τοὐναντίον, τὴν μὲν καρτερίαν πρόσκαιρον, διηνεκῆ δὲ τὴν ἀπόλαυσιν. ὁ τοίνυν οὕτω χαῦνος καὶ ῥάθυμος ὡς μὴ ὑπεριδεῖν τῶν παρόντων ἡδέων ὑπὲρ τῶν μελλόντων, ταχέως ἁλίσκεται.

εἰπέ μοι;

Εἰπέ μοι· ὁ Ἠσαῦ πόθεν ἑάλω; πόθεν τῆς παρούσης ἡδονῆς τὴν μελλούσης προετίμησε τιμῆς; ἀπὸ χαυνότητος καὶ μαλακίας. τοῦτο δὲ αὐτὸ πόθεν, φησίν; ἐξ ἡμῶν αὐτῶν. καὶ δῆλον ἐκεῖθεν. ὅταν γὰρ θέλωμεν, διανιστῶμεν ἑαυτοὺς, καὶ καρτερικοὶ γινόμεθα. ἐὰν γοῦν ἀνάγκη ποτὲ ἐπέλθῃ, πολλάκις δὲ καὶ φιλονεικήσαντες μόνον τὸ χρήσιμον συνειδῶμεν. ὅταν τοίνυν μέλλῃς τρυφᾷν, ἐννόησον τὸ πρόσκαιρον τῆς ἡδονῆς, τὴν ζημίαν· ζημία γὰρ ὄντως ἐστὶ μετὰ τῆς οἰκείας λύμης τοσαῦτα χρήματα δαπανᾷν· τὰς νόσους, τὰς ἀῤῥωστίας, καὶ καταφρόνησον τρυφῆς. πόσους σοι βούλει ἀριθμήσω κακὰ παθόντας ἀπὸ τῆς τρυφῆς; ὁ Νῶε ἐμεθύσθη καὶ ἐγυμνώθη, καὶ ὅρα πόσα γέγονε κακὰ ἀπὸ τούτου. ὁ Ἠσαῦ ἀπὸ λαιμαργίας προέδωκε τὰ πρωτοτόκια, καὶ εἰς ἀδελφοκτονίαν ὥρμησεν. ὁ λαὸς ὁ τοῦ Ἰσραὴλ ἐκάθισε φαγεῖν καὶ πιεῖν, καὶ ἀνέστησαν παίζειν. διὰ τοῦτο, φησὶ, φαγὼν καὶ πιὼν μνήσθητι Κυρίου τοῦ Θεοῦ. εἰς γὰρ κρημνὸν ἐνέπεσον [οἱ] εἰς τὴν τρυφὴν ἐμπεσόντες. ἡ χήρα, φησὶν, ἡ σπαταλῶσα ζῶσα τέθνηκε. καὶ πάλιν· ἐλιπάνθη, ἐπαχύνθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· καὶ [πάλιν] ὁ Ἀπόστολος, τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. οὐ νομοθετῶ νηστείαν· οὐδὲ γὰρ ὁ ἀκούων ἐστὶν, ἀλλ' ἀναιρῶ σπατάλην, ἐκκόπτω τρυφὴν, διὰ τὸ χρήσιμον τὸ ὑμέτερον. καθάπερ γὰρ χείμαῤῥος, οὕτω πάντα ἀνατρέπει ἡ τρυφή. οὐδὲν αὐτὴν τὸ κωλῦον ἐστί, βασιλείας ἐκβάλλει. τί τὸ πλέον; βούλει τρυφᾷν; δίδου πένησι· κάλεσον τὸν Χριστὸν, ἵνα καὶ μετὰ τὸ τῆς τραπέζης ἀρθῆναι ἔχῃς τρυφᾷν. νῦν μὲν γὰρ [ἂν] οὐκ ἔχεις εἰκότως· οὐδὲ γὰρ ἕστηκε τὰ ἐνταῦθα· τότε δὲ ἕξεις. βούλει τρυφῆσαι; θρέψον τὴν ψυχήν· μετάδος αὐτῇ σιτίων, ὧν ἔθος ἔχει· μὴ λιμοκτονήσῃς αὐτήν. καιρὸς πολέμου, καιρὸς ἀγῶνος· σὺ δὲ κάθησαι τρυφῶν; οὐχ ὁρᾷς καὶ τοὺς τὰ σκῆπτρα ἐγκεχειρισμένους ἐν τῇ ἔξω στρατείᾳ εὐτελῶς ζῶντας; οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. σὺ δὲ λιπαίνεις σαυτὸν μέλλων παλαίειν; ἕστηκε τρίζων τοὺς ὀδόντας αὐτοῦ ὁ ἀντίπαλος· σὺ δὲ διακεχυμένος τυγχάνεις, καὶ τραπέζῃ προσέχεις. οἶδα εἰκῇ ταῦτα λέγων, ἀλλ' οὐχ ἅπασιν. ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω. ὁ Χριστὸς ὑπὸ λιμοῦ τήκεται· σὺ δὲ ὑπὸ γαστριμαργίας διαῤῥήσσεις σαυτόν. δύο ἀμετρίαι. τί γὰρ οὐ ποιεῖ κακὸν ἡ τρυφή; ὅθεν οὐκ οἶδα πῶς καὶ τὸ ὄνομα τοῦτο ἔχει. ἀλλ' ὥσπερ ἡ δόξα ἀτιμία οὖσα, καὶ ὁ πλοῦτος πενία ὤν, οὕτω κέκληται· οὕτω καὶ ἡ τρυφὴ ἀηδία οὖσα. μὴ γὰρ τυθῆναι ἔχομεν, ὅτι λιπαίνομεν ἑαυτούς; τί παρέχεις τοῖς σκώληξι λαμπρὰν τὴν τράπεζαν; τί πλείονα ποιεῖς τοὺς ἰχῶρας; τί πηγὰς ἱδρώτων, καὶ δυσωδίας ἐναποτίθεσαι; τί πρὸς πάντα σεαυτὸν ἄχρηστον κατασκευάζεις; βούλει γενέσθαι ἰσχυρὸν τὸν ὀφθαλμόν; τὸ σῶμα ποίησον εὔτονον. καὶ γὰρ ἐν ταῖς χορδαῖς, ἡ μὲν παχεῖα καὶ ἀδιακάθαρτος ἄχρηστος πρὸς τὰς μελῳδίας· ἡ δὲ πάντοθεν ἐπεξεσμένη, εὔτονός ἐστι καὶ πεπαρμένη. τί κατορύττεις τὴν ψυχήν; τί τὸ τεῖχος παχύτερον ποιεῖς; τί πολὺν τὸν καπνὸν καὶ τὴν νεφέλην, ὅταν ἀτμοὶ καθάπερ τὰς ἀχλῦς πάντοθεν ὦσιν ἀναδιδόμενοι; εἰ καὶ μηδεὶς ἕτερος, οἱ ἀθληταί σε παιδευέτωσαν, ὅτι τὸ ἰσχνότερον σῶμα ἰσχυρότερον. οὐκοῦν καὶ ἡ [φιλοσοφοῦσα] ψυχὴ εὐτονωτέρα. ἡνιόχῳ γὰρ καὶ ἵππῳ ἔοικε. καὶ ἔξεστιν ὁρᾷν, καθάπερ ἐπὶ τῶν τρυφῇ προσεχόντων ἀνθρώπων καὶ εὐσαρκούντων, οὕτω καὶ τοὺς εὐσαρκοῦντας τῶν ἵππων δυσκινήτους ὄντας, καὶ πολλὰ τῷ ἡνιόχῳ πράγματα παρέχοντας. ἀγαπητὸν εὐήνιον ἵππον ἔχοντα καὶ εὐσκελῆ δυνηθῆναι τὸ βραβεῖον λαβεῖν. ὅταν δὲ ἀναγκάζηται ὁ ἡνίοχος ἕλκειν αὐτὸν, καὶ καταπεσόντα μυριάκις νύττων μὴ διανιστᾷν, κἂν σφόδρα αὐτὸς ἔμπειρος ᾖ, τῆς νίκης ἀποστερηθήσεται. μὴ δὴ περιίδωμεν ἡμῶν τὴν ψυχὴν ἐπηρεαζομένην διὰ τὸ σῶμα, ἀλλὰ καὶ ἐκείνην διορατικωτέραν ἐργασώμεθα· τὸ πτερὸν αὐτῇ κοῦφον ποιήσωμεν, χαυνότερα τὰ δεσμά· λόγοις αὐτὴν τρέφωμεν, αὐταρκείᾳ· ὅσον ὑγιαίνειν μόνον τὸ σῶμα, ὅσον εὔρωστον εἶναι, ὥστε χαίρειν καὶ μὴ ἀλγεῖν· ἵνα οὕτω τὰ καθ' ἑαυτοὺς εὖ διαθέντες δυνηθῶμεν τῆς ἄκρας ἀρετῆς ἐπιλαβέσθαι, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

Dic mihi, Esau unde captus est, unde præsenti voluptati futuram gloriam non prætulit? à mollicie & dissolutione. Istuc ipsum autem, inquit, unde? A nobis ipsis. Et manifestum illinc. Quando enim voluerimus, excitamus nos ipsos, & robusti laborisque patientes efficimur. Si igitur advenerit necessitas, sæpè etiam contendendo duntaxat, quod utile sit, conscii sumus. Quando igitur deliciis vacaturus es, considera temporariam voluptatem damnum esse. Damnum enim revera est cum tuo damno tantas opes insumere, morbosque contrahere, & infirmitates quæ inde oriuntur, & contemne voluptatem. Quot vis tibi enumerem mala passos à voluptate? *Noe* inebriatus est ac nudatus. Et vide quanta hinc mala. *Esau* primogenita per gulam amisit, & ad fratris cædem festinavit. *Populus Israel sedit ut manducaret ac biberet, & surrexerunt ad ludendum.* Propter hoc dicit: *Comedens ac bibens memor esto Domini Dei tui.* In præcipitium enim inciderunt, qui in voluptatem inciderunt. *Vidua,* inquit, *quæ in deliciis agit, vivens mortua est.* Et iterum: *Incrassatus est, impinguatus est, & recalcitravit dilectus.* Et Apostolus: *Carnis curam ne feceritis in concupiscentiis.* Non ut legem præcipio jejunium. Neque enim est qui audiat, sed tollo luxum, moror delicias, propter utilitatem vestram. Nam quasi torrens, ita omnia subvertit voluptas. Nihil est quod illam prohibeat. Regno ejicit. Quid amplius? Vis deliciari? Da pauperibus, voca Christum, ut & post mensam tollere possis delicias. Nam nunc quidem non potes. Meritò: Non enim consistunt præsentia, tunc autem poteris. Vis esse in deliciis? ale animam, communica ei cibos quibus assuevit, ne occidas illam fame. Tempus belli, tempus certaminis est, tu autem sedes in deliciis? Non vides etiam Reges qui sceptra ferunt, in externis militiis frugaliter vivere? *Non est vobis certamen contra carnem & sanguinem.* Tu autem impinguas teipsum certaturus. Stat adversarius stridens dentibus suis in te, tu autem effusus es, & mensæ addictus es. Scio quod hæc frustra dico, sed non omnibus. *Qui habet aures audiendi, audiat.* Christus præ fame tabescit, tu autem præ gula teipsum disrumpis. Duo sunt sine mensura. Quid enim mali non facit voluptas? sibi ipsi adversaria est, unde nescio quomodo etiam hoc nomen illi obvenit. Sed quemadmodum gloria, cùm sit ignominia, & divitiæ, ubi paupertas est, ita & hic nomen invenis voluptatis, ubi insuavitas est. Nunquid enim sacrificandi sumus, quod impinguamus nos ipsos? Quid suppeditas vermibus tam splendidam mensam? Quid ampliùs facis quam saniem? Cur fontes sudorum & fœtulentias in te deponis? Cur te ipsum ad omnia inutilem præstas? Vis fieri fortem oculum, corpus fac benè constitutum. Etenim in chordis, crassa quidem & impurior ac incorrecta, inutilis ad omnes modos est. Quæ autem undique depurata & tracta satis, benè sonora est. Cur defodis animam? Cur crassum parietem crassiorem facis? Cur magnum fumum & nebulam? Quandoquidem vapores quasi nebula quædam undique evaporant. Si nemo alius, certè athletæ doceant te, quod gracilius corpus, idem & robustius. Igitur & anima frugalitati dedita, firmior est, comparatur enim aurigæ, & equo. Et licet videre, quemadmodum in hominibus voluptariis & corpulentis, ita & equos obesiores, & plus habentes carnis minus agiles esse, & sæpè aurigæ rem turbare. Sanè qui obsequentem, & firmum equum habet, brabium occupare potest. Quando autem cogitur auriga trahere illum, & dum cadit, sexcenties pungere, neque sic surgentem, etiamsi valde ille peritus sit, victoria privabitur. Obsecro ne despiciatis animam nostram, quæ per corpus irritatur, sed & illam perspicaciorem efficiamus, alas ejus leves reddamus, & laxiora vincula: sermonibus illam pascamus, frugalitate ac parsimonia, ita ut sanum sit corpus & validum, gaudeatque & non doleat, ut sic vobiscum bene affecti possimus summam apprehendere virtutem, & æterna bona assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac sancto Spiritui, sit gloria, imperium, & honor in secula seculorum, Amen.

Gen. 9, 21. Ibid. 25, 31. & Exod. 32, 6. Deut. 6, 12. 1 Cor. 10, 7. 1 Tim. 5, 6. Deut. 32, 15. Rom. 13, 14. Eph. 6, 12. Luc. 8, 8.

ΟΜΙΛΙΑ κή.

Οὗτοι μὲν οὖν ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου κατῆλθον εἰς Σελεύκειαν, κἀκεῖθεν ἀπέπλευσαν εἰς τὴν Κύπρον. καὶ γενόμενοι ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. εἶχον δὲ καὶ Ἰωάννην ὑπηρέτην.

Ἅμα χειροτονηθέντες ἐξῆλθον, καὶ εἰς Κύπρον ἀπέπλευσαν, ἅτε οὐκ οὔσης ἐπιβουλῆς ἐκεῖ, καὶ τοῦ λόγου κατασπαρέντος ἤδη. ἐν Ἀντιοχείᾳ μὲν γὰρ ἦσαν ἱκανοί. καὶ ἡ Φοινίκη δὲ πλησίον τῆς Παλαιστίνης ἦν· Κύπρος δὲ οὐχί. λοιπὸν

HOMILIA XXVIII.

Itaque hi quidem emissi à Spiritu sancto descenderunt in Seleuciam, & illinc abnavigarunt in Cyprum, & ut venerant in Salaminem, annunciaverunt verbum Dei in Synagogis Judæorum. Habebant autem & Joannem ministrum.

Simul abierunt ordinati, & in Cyprum navigarunt, eo quod illic non esset persecutio, & verbo Dei jam sparso, in Antiochia quidem sat plures erant. Et Phœnicia propè Palæstinam erat. Cyprus autem non item. Ultra non

non quærit, quare? quando spiritu moventur. Non enim solùm ordinati sunt à spiritu, sed etiam emissi. *Et ut venerunt in Salaminem, annunciaverunt verbum Dei in Synagogis Judæorum.* Vides illos omnium diligentiam facere, & illis primum annunciare verbum, ut ne contentiosiores efficiantur? & illi non loquebantur nisi Judæis solis, & hi in Synagogas abierunt. *Transeuntes autem insulam totam usque in Paphum, invenerunt virum quendam magum, falsum Prophetam, Judæum, cui nomen Bar-Jesus, qui erat cum Proconsule Sergio Paulo, viro prudente, qui vocatis Barnaba & Saulo, inquisivit ut audiret verbum Dei. Restitit autem illis Elymas magus. Sic enim sonat, si interpreteris nomen ejus, quærens avertere Proconsulem à fide.* Item magus Judæus sicut Simon, & vide hunc, quando aliis quidem prædicabant, non valdè indignantem: quando autem accesserunt Proconsulem, tunc indignatus est. Miraculum autem est in Proconsule, quod præoccupatus illius magia voluit audire Apostolos. Ita & Samaritani fecerant, & à comparatione victoria apparet, dum magia vincitur. Ubique vana gloria, & amor Principatus causæ sunt malorum. *Paulus autem, qui & Saulus, plenus Spiritu sancto, intentis in eum oculis, dixit: O plene omni dolo, & omni versutia, fili diaboli, inimice omnis justitiæ, non cessas pervertere vias Domini rectas? Et nunc manus Domini super te, & eris cæcus, non videns Solem usque ad tempus.* Hic nomen illius mutatur cum ordinatione, id quod & Petro accidit. Et vide, non contumeliæ locus est, sed stupori. Impudentes enim, & erubescere nescientes sic appellare convenit. *O plene omni dolo*, inquit, *& omni versutia, fili diaboli, hostis omnis justitiæ.* Hic revelat quæ in mente ejus erant prætextu salutis perdente Proconsulem. *Non cessas*, inquit, *pervertens vias Domini?* & credibiliter. Non nos, inquit, impugnas, sed *vias Domini subvertis rectas*: & cum laude hoc dicit. *Et jam nunc ecce manus Domini super te, & eris cæcus.* Quo ille adductus est signo, hoc & hunc voluit adducere. *Usque ad tempus*, non punientis erat verbum, sed admonentis. Si enim punientis fuisset verbum, omnino illum fecisset cæcum. Nunc autem non hoc agit, sed *ad tempus*, ut Proconsulem lucrifaciat. *Mox autem irruit super illum caligo & tenebræ, & obambulans quærebat quinam manu ducerent. Tunc videns consul quod factum, credidit obstupescens ad doctrinam Domini.* Meritò, cum enim qui præoccupatus erat magia, hac pœna edoceri conveniebat: ita & in Ægypto magi à muscis instituebantur. Vide autem illos non diu moram trahentes, utpote consule jam credulo facto, neque emollitos adulatione & honore, sed statim operi incumbentes, & in diversam regionem festinantes. *Deducti autem à Cypro qui cum Paulo erant, venerunt in Pergen Pamphyliæ: Joannes verò recedens ab eis, reversus est in Hierusalem. Illi autem transeuntes à Perge, venerunt in Antiochiam Pisidiæ, & ingressi in Synagogam die Sabbatorum, sederunt.* Iterum in Synagogas in persona Judæorum ingressi sunt, ut ne impugnarentur nec fugarentur, ita totum perficiebant. *Post lectionem autem legis, & Prophetarum, miserunt Principes Synagogæ, dicentes ad illos: Viri fratres, num est in vobis verbum exhortationis ad populum? dicite.* Jam hinc quæ cum Paulo acta discemus, non pauca enim de Petro in anteà dictis didicimus. Sed iterum videamus quæ dicta sunt: *Et ut venerunt in Salaminem, annunciaverunt verbum Dei in Metropoli Cypri.* Manserunt ad annum in Antiochia, oportebat & illinc abire, & non semper ibi sedere: opus erat illis majoribus doctoribus. Vide quomodo & in Seleucia non perseverant, scientes quod à vicina civitate fructum habituri essent ii qui illic; verùm ad ea quæ magis proderant, festinant & illic. Nam ut venerunt ad Metropolim insulæ, accelerarunt ut Proconsulem corrigerent. Quòd autem non adulanter convenerint Proconsulem sapientem virum, à reipsa disce, quod non opus habuerit multis sermonibus, & quod voluerit illos audire. Et nomina enumerat civitatum, ostendens quod quoniam nuper sermonem susceperant, opus fuerit confirmari illos, ut permaneant in fide, unde & subinde illas accedunt. Vide quod nihil ad Magum dixit, Quoad ille occasionem dedit, sed sermonem Domini solùm annunciarunt. Quoniam enim alios ille videbat attendentes, ad unum hoc perspectabat, ne Principi persuaderetur. Et quare non aliud signum fecit? Quia non fuisset huic æquale, quod inimicum raperet. Et vide, prius objurgat, & tunc punit, ut ostendat justè illum passum, dicendo: *O plene omni dolo!*

μὴ ζητεῖ, διατί; ὅταν πνεύματι κινῶνται. οὐ γὰρ δὴ ἐχειροτονήθησαν πνεύματι μόνον, ἀλλὰ καὶ ἐξεπέμφθησαν, καὶ γενόμενοι ἐν Σαλαμῖνι κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων. ὁρᾷς πᾶσαν σπουδὴν ποιουμένους αὐτοὺς ἐκείνοις καταγγέλλειν τὸν λόγον πρώτοις, ἵνα μὴ φιλονεικοτέρους ἐργάσωνται; καὶ ἐκεῖνοι οὐκ ἐλάλουν εἰ μὴ Ἰουδαίοις μόνοις· καὶ οὗτοι εἰς τὰς συναγωγὰς ἀπῄεσαν. διελθόντες δὲ τὴν νῆσον ὅλην ἄχρι Πάφου, εὗρον ἄνδρα τινὰ μάγον ψευδοπροφήτην Ἰουδαῖον, ᾧ ὄνομα Βαριησοῦς, ὃς ἦν σὺν τῷ ἀνθυπάτῳ Σεργίῳ Παύλῳ ἀνδρὶ συνετῷ. ὃς προσκαλεσάμενος Βαρνάβαν καὶ Σαῦλον ἐζήτησεν ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. ἀνθίστατο δὲ αὐτοῖς Ἐλύμας ὁ μάγος· οὕτω γὰρ μεθερμηνεύεται τὸ ὄνομα αὐτοῦ· ζητῶν διαστρέψαι τὸν ἀνθύπατον ἀπὸ τῆς πίστεως. πάλιν μάγος Ἰουδαῖος, καθάπερ Σίμων. καὶ ὅρα τοῦτον, ὅτε μὲν τοῖς ἄλλοις ἐκήρυττον, οὐ σφόδρα ἀγανακτοῦντα· ἐπειδὴ δὲ τῷ ἀνθυπάτῳ προσῄεσαν, τότε. τὸ δὲ θαυμαστὸν τοῦ ἀνθυπάτου, ὅτι καὶ προκατειλημμένος τῇ μαγείᾳ ἐκείνου, ἤθελεν ἀκοῦσαι τῶν Ἀποστόλων. οὕτω καὶ οἱ Σαμαρεῖται ἐποίησαν, καὶ ἀπὸ συγκρίσεως ἡ νίκη φαίνεται, τῆς μαγείας ἁλισκομένης. πανταχοῦ ἡ κενοδοξία καὶ φιλαρχία αἰτίαι τῶν κακῶν. Σαῦλος δὲ ὁ καὶ Παῦλος, πλησθεὶς πνεύματος ἁγίου, ἀτενίσας εἰς αὐτὸν εἶπεν· ὦ πλήρης παντὸς δόλου, καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης· οὐ παύσῃ διαστρέφων τὰς ὁδοὺς Κυρίου τὰς εὐθείας; καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλὸς, μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. ἐνταῦθα τὸ ὄνομα αὐτοῦ ἀμείβεται μετὰ τῆς χειροτονίας, ὅπερ καὶ ἐπὶ τοῦ Πέτρου γέγονεν. καὶ ὅρα οὐχ ὕβρις τὸ πρᾶγμά ἐστιν, ἀλλὰ κατάπληξις. τοὺς γὰρ ἰταμοὺς καὶ ἀναισχύντους, οὕτω δεῖ καταπλήττειν. ὦ πλήρης παντὸς δόλου, φησὶ, καὶ πάσης ῥᾳδιουργίας, υἱὲ διαβόλου, ἐχθρὲ πάσης δικαιοσύνης. ἐνταῦθα αὐτοῦ ἀποκαλύπτει τὰ ἐν τῇ διανοίᾳ, προσχήματι σωτηρίας ἀπολλύντι τὸν ἀνθύπατον. οὐ παύσῃ, φησὶ, διαστρέφων τὰς ὁδοὺς Κυρίου; καὶ ἀξιοπίστως. οὐχ ἡμᾶς πολεμεῖς, φησὶν, οὐδὲ μάχῃ, ἀλλὰ τὰς ὁδοὺς Κυρίου διαστρέφεις τὰς εὐθείας, καὶ μετ᾽ ἐγκωμίου. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σὲ, καὶ ἔσῃ τυφλός. ᾧ αὐτὸς προσήχθη σημείῳ, τούτῳ καὶ τοῦτον ἠβουλήθη προσαγαγεῖν. καὶ τὸ ἄχρι καιροῦ δὲ, οὐ κολάζοντος ἦν τὸ ῥῆμα, ἀλλ᾽ ἐπιστρέφοντος. εἰ γὰρ κολάζοντος ἦν, διαπαντὸς ἂν αὐτὸν ἐποίησε τυφλόν· νῦν δὲ οὐ τοῦτο, ἀλλὰ πρὸς καιρὸν, ἵνα τὸν ἀνθύπατον κερδάνῃ. παραχρῆμα δὲ ἐπέπεσεν ἐπ᾽ αὐτὸν ἀχλὺς καὶ σκότος, καὶ περιάγων ἐζήτει χειραγωγούς. τότε ἰδὼν ὁ ἀνθύπατος τὸ γεγονὸς ἐπίστευσεν, ἐκπληττόμενος ἐπὶ τῇ διδαχῇ τοῦ Κυρίου. εἰκότως. τὸν γὰρ προκατειλημμένον τῇ μαγείᾳ ταύτῃ τῇ τιμωρίᾳ παιδεῦσαι ἐχρῆν. οὕτω καὶ οἱ ἐν Αἰγύπτῳ μάγοι ὑπὸ τῶν φλυκτίδων τὸ πρὶν ἐπαιδεύοντο. ὅρα δὲ αὐτοὺς οὐκ ἐγχρονίζοντας αὐτόθι, ἅτε τοῦ ἀνθυπάτου λοιπὸν πιστεύσαντος, οὐδὲ μαλακισθέντας τῇ κολακείᾳ, καὶ τῇ τιμῇ, ἀλλ᾽ εὐθέως τοῦ ἔργου ἐχομένους, καὶ τὴν ἀντιπέραν χώραν ὁρμῶντας. ἀναχθέντες δὲ ἀπὸ τῆς Κύπρου οἱ περὶ Παῦλον ἦλθον εἰς Πέργην τῆς Παμφυλίας. Ἰωάννης δὲ ἀποχωρήσας ἀπ᾽ αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. αὐτοὶ δὲ διελθόντες ἀπὸ τῆς Πέργης παρεγένοντο εἰς Ἀντιόχειαν τῆς Πισιδίας, καὶ εἰσελθόντες εἰς τὴν συναγωγὴν τῇ ἡμέρᾳ τῶν σαββάτων ἐκάθισαν. πάλιν εἰς τὰς συναγωγὰς ἐν σχήματι Ἰουδαίων εἰσῄεσαν, ὥστε μὴ πολεμεῖσθαι μηδὲ ἐλαύνεσθαι, καὶ οὕτω τὸ πᾶν κατώρθουν. μετὰ δὲ τὴν ἀνάγνωσιν τοῦ νόμου καὶ τῶν προφητῶν ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι πρὸς αὐτοὺς λέγοντες· εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαὸν, λέγετε. λοιπὸν ἐντεῦθεν τὰ κατὰ Παῦλον μανθάνομεν, οὐ μικρὰ περὶ τοῦ Πέτρου μαθόντες ἐν τοῖς πρώτοις. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. καὶ γενόμενοι, φησὶν ἐν Σαλαμῖνι, κατήγγελλον τὸν λόγον τοῦ Θεοῦ τῇ μητροπόλει τῆς Κύπρου. ἐποίησαν ἐνιαυτὸν ἐν Ἀντιοχείᾳ. ἔδει κἀκεῖ ἀπελθεῖν, καὶ μὴ διαπαντὸς ἐνταῦθα καθῆσθαι. ἔδει μειζόνων αὐτοῖς διδασκάλων. ὅρα πῶς καὶ ἐν Σελευκείᾳ οὐ διατρίβουσιν, εἰδότες ὅτι ἀπὸ τῆς γείτονος πόλεως ἐκαρπώσαντο ἂν πολλὴν τὴν ὠφέλειαν, ἀλλὰ πρὸς τὰ κατεπείγοντα σπεύδουσι καὶ ἐκεῖ. πρὸς γὰρ τὴν μητρόπολιν ἐλθόντες τῆς νήσου, τὸν ἀνθύπατον ἔσπευδον διορθῶσαι. ὅτι δὲ οὐ κολακείας ἦν τὸ λέγειν συνετὸν τῷ ἀνθυπάτῳ ἀνδρὶ συνετῷ, ἀπὸ τοῦ πράγματος μάνθανε· πῶς οὐκ ἐδεήθη λόγων πολλῶν; πῶς ἠθέλησεν αὐτῶν ἀκοῦσαι; καὶ τὰ ὀνόματα δὲ καταλέγει τῶν πόλεων· δεικνὺς, ὅτι ἐπειδὴ πρόσφατον τὸν λόγον ἐδέξαντο, χρεία ἦν ἐπιστηρίξαι τῇ πίστει ἐμμένειν. διὸ καὶ συνεχῶς αὐτοῖς ἐφίσταντο. ὅρα ὅτι οὐδὲν πρὸς τὸν μάγον εἶπεν ἕως ἐκεῖνος ἀφορμὴν ἔδωκεν· ἀλλὰ τὸν λόγον τοῦ Κυρίου μόνον κατήγγελλον. ἐπειδὴ γὰρ τοὺς ἄλλους ἑώρα προσέχοντας, αὐτὸς πρὸς ἓν τοῦτο ἑώρα, ὥστε ἐκεῖνον μὴ πεισθῆναι. καὶ διατί μὴ ἕτερον σημεῖον ἐποίησεν; ὅτι οὐκ ἦν τούτῳ ἴσον, τὸ τὸν ἐχθρὸν ἑλεῖν. καὶ ὅρα, πρότερον ἐγκαλεῖ, καὶ τότε τιμωρεῖται. δείκνυσι δὲ δικαίως αὐτὸν παθόντα τῷ λέγειν· ὦ πλήρης παντὸς δόλου! τουτέστι,

[illegible]

τουτέστιν, οὐδὲν ἔχων ἐλλιπές, φησί. καὶ καλῶς εἶπε, παντὸς δόλου· ὑπεκρίνετο γάρ. υἱὲ διαβόλου. τὸ γὰρ ἔργον ἐκείνου ἔπραττεν. ἐχθρὲ πάσης δικαιοσύνης. ἡ γὰρ πᾶσα δικαιοσύνη ὄντως αὕτη ἦν. ἐμοὶ δοκεῖ καὶ τὸν βίον ἐλέγχειν τὸν αὐτοῦ ταῦτα λέγων. καὶ ἵνα δείξῃ ὅτι οὐκ ἦν θυμοῦ τὰ ῥήματα, διὰ τοῦτο προλαβὼν εἶπε, πλησθεὶς πνεύματος ἁγίου· τουτέστιν, ἐνεργείας. καὶ νῦν ἰδοὺ χεὶρ Κυρίου ἐπὶ σέ. οὐκ ἄρα τιμωρία ἦν, ἀλλ' ἴασις. μονονουχὶ γὰρ ἔλεγεν· οὐκ ἐγὼ ποιῶ, ἀλλ' ἡ τοῦ Θεοῦ χείρ. ὅρα τὸ ἄτυφον. ἔσῃ τυφλὸς μὴ βλέπων τὸν ἥλιον ἄχρι καιροῦ. τοῦτο λέγει, ἵνα δῷ αὐτῷ μετανοῆσαι. οὐδαμοῦ γὰρ ἐβούλοντο ἀπὸ τῶν σκυθρωποτέρων φαίνεσθαι, εἰ καὶ εἰς ἐχθροὺς ταῦτα ἐγένετο, ἀλλ' ἐπὶ μὲν τῶν οἰκείων, εἰκότως· ἐπὶ δὲ τῶν ἀλλοτρίων οὐχί, ἵνα μὴ νομισθῇ τὸ πρᾶγμα ἀνάγκης εἶναι λοιπὸν καὶ δέους. τεκμήριον δὲ τῆς τυφλότητος, τὸ χειραγωγοὺς ζητεῖν. εἶτα ὁρᾷ τὴν πήρωσιν ὁ ἀνθύπατος, καὶ εὐθὺς πιστεύει· καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐκπληττόμενος. εἶδε γὰρ ὅτι οὐ λόγοι οὐδὲ ἀπάτη ταῦτα. ὅρα πόσον ἔρωτα εἶχε διδασκαλίας ἐν ἀρχῇ ὢν τοσαύτῃ. οὐκ εἶπε πρὸς αὐτόν, οὐ παύσῃ διαστρέφων τὸν ἀνθύπατον· ἀλλὰ τὰς ὁδοὺς Κυρίου, ὃ πλέον ἦν, ἵνα μὴ δόξῃ κολακεύειν. τί δήποτε δὲ Ἰωάννης ἀναχωρεῖ ἀπ' αὐτῶν; Ἰωάννης γάρ, φησιν, ἀποχωρήσας ἀπ' αὐτῶν ὑπέστρεψεν εἰς Ἱεροσόλυμα. ἅτε ἐπὶ μακροτέραν λοιπὸν στελλομένων ὁδόν. καίτοι γε ὑπηρέτης ἐκεῖνος ἦν, αὐτοὶ δὲ τὸν κίνδυνον εἶχον. πάλιν ἐλθόντες εἰς Πέργην, παρατρέχουσι τὰς ἄλλας πόλεις. ἐπὶ τὴν μητρόπολιν γὰρ ἠπείγοντο τὴν Ἀντιόχειαν. καὶ ὅρα πῶς ὑποτέμνεται ὁ συγγραφεύς· ἐκάθισαν ἐν τῇ συναγωγῇ, φησί, καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων. ὥστε προοδοποιῆσαι τῷ λόγῳ. καὶ οὐ πρῶτοι λέγουσιν, ἀλλ' ἐπιτραπέντες, ἅτε ὡς ξένους προσεκαλοῦντο. εἰ μὴ προσέμειναν δέ, οὐκ ἂν ἐγένετο λόγος. ἐνταῦθα πρῶτον κηρύττει Παῦλος. καὶ ὅρα αὐτοῦ τὴν σύνεσιν. ἔνθα μὲν ἦν κατεσπαρμένος ὁ λόγος, παρατρέχει· ἔνθα δὲ οὐδεὶς ἦν, ἐνδιατρίβει. καθὼς καὶ αὐτός φησι, γράφων. „οὕτω δὲ φιλοτιμούμενος εὐαγγελίζεσθαι, οὐχ ὅπου ὠνομάσθη „Χριστός. ἀνδρείας δὲ ἦν καὶ τοῦτο πολλῆς. ὄντως ἐκ προοιμίων θαυμαστὸς ὁ ἀνήρ· ἐσταυρωμένος, παρατεταγμένος, ᾔδει πόσης ἀπήλαυσε χάριτος· ἀντίρροπον εἰσήγαγε τὴν σπουδήν. οὐκ ὠργίσθη πρὸς Ἰωάννην· οὐ γὰρ τούτου ἦν· ἀλλὰ τοῦ ἔργου εἴχετο· οὐκ ἐδειλίασεν, οὐκ ἐφοβήθη ἐν μέσῳ πλήθους ἀπειλημμένος· ὅρα πῶς οἰκονομεῖται Παῦλον μὴ κηρύττειν ἐν Ἱεροσολύμοις, ἀρκεῖ καὶ τοῦτο μόνον τὸ ἀκοῦσαι ὅτι ἐπίστευσε. κηρύττοντος δὲ οὐκ ἂν ἠνέσχοντο διὰ τὸ μῖσος. καὶ πόρρω ἄπεισιν ἔνθα γνώριμος οὐκ ἦν. πρότερον ἤλεγξε τὸν μάγον ὅστις ἦν· καὶ ὅτι τοιοῦτος ἦν, τὸ σημεῖον ἐδείκνυ. τῆς ἐν [τῇ] ψυχῇ τυφλότητος τοῦτο σημεῖον ἦν. ἄχρι δὲ καιροῦ πάσχει, ὥστε μετανοῆσαι. καλῶς δὲ τῷ σαββάτῳ εἰσῆλθον εἰς τὴν συναγωγήν, ὅτε πάντες ἦσαν συνειλεγμένοι. καὶ μετὰ τὴν ἀνάγνωσιν τοῦ νόμου, καὶ τῶν προφητῶν, φησιν, ἀπέστειλαν οἱ ἀρχισυνάγωγοι λέγοντες· ἄνδρες ἀδελφοί, εἰ ἔστι λόγος ἐν ὑμῖν παρακλήσεως πρὸς τὸν λαόν, λέγετε. ὅρα αὐτοὺς ἀφθόνως τότε τοῦτο ποιοῦντας, μετὰ δὲ τοῦτο οὐκ ἔτι. εἰ τοῦτο ἐβούλεσθε, μᾶλλον ἔδει παρακαλέσαι. ἀλλ' ὢ τῆς φιλαρχίας! ὢ τῆς κενοδοξίας! πῶς πάντα ἀνατρέπει καὶ ἀπόλλυσι, κατὰ τῆς οἰκίας, κατὰ τῆς ἀλλήλων σωτηρίας ἑστάναι παρασκευάζει. πηροὺς οὕτω καὶ τυφλοὺς ἐργάζεται, ὥστε καὶ χειραγωγοὺς ζητεῖν. εἴθε κἂν τοῦτο, εἴθε κἂν χειραγωγοὺς ἐζήτουν· ἀλλ' οὐκ ἔτι τούτου ἀνέχονται, ἀλλ' ἑαυτοῖς ἐπιτρέπουσι τὸ πᾶν. οὐδένα ἀφίησιν ἰδεῖν· καθάπερ ἀχλὺς ἐπιτίθεται καὶ ζόφος, οὐκ ἀφιεὶς διαβλέψαι. ποίαν ἕξομεν ἀπολογίαν διὰ πάθος πάθους κρατοῦντες, διὰ δὲ τὸν τοῦ Θεοῦ φόβον οὐκ ἔτι; οἷον, πολλοὶ ἀσελγεῖς ὄντες, καὶ φιλοχρήματοι διὰ τὴν τῶν χρημάτων φειδωλίαν ἐχαλίνωσαν τὴν ἡδονήν· ἄλλοι τοὐναντίον, διὰ τὴν ἡδονὴν ὑπερεῖδον χρημάτων. πάλιν οἱ κτώμενοι δόξης κενῆς ἀμφοτέρων περιγεγόνασι, χρήματα ἀναλίσκοντες ἀφειδῶς, καὶ σωφρονοῦντες εἰκῆ· ἄλλοι πάλιν κενόδοξοι σφόδρα ὄντες, κατεφρόνησαν τοῦ πάθους, πολλὰ ὑπομείναντες αἰσχρά, καὶ διὰ ἔρωτας, καὶ διὰ χρήματα· ἕτεροι πάλιν, ἵνα τὸν θυμὸν ἐμπλήσωσι τὸν αὐτῶν, εἵλοντο ζημιωθῆναι μυρία, καὶ οὐδενὸς αὐτοῖς τούτων ἐμέλησεν, ἵνα μόνον τὸ θέλημα ποιήσωσι τὸ αὐτῶν. καὶ ὅπερ ἰσχύει πάθος, οὐκ ἰσχύει παρ' ἡμῖν ὁ τοῦ Θεοῦ φόβος. καὶ τί λέγω πάθος; ὅπερ αἰδὼς ἀνθρώπων ἰσχύει, οὐκ ἰσχύει ὁ τοῦ Θεοῦ φόβος. πολλὰ καὶ κατορθοῦμεν, καὶ ἁμαρτάνομεν ἀνθρώπους αἰδούμενοι· τὸν δὲ Θεὸν οὐ δεδοίκαμεν. πόσοι δι' αἰσχύνην προήκαν τὰ χρήματα; πόσοι ἐφιλοτιμήσαντο εἰκῆ ὑπηρετούμενοι τοῖς αὐτῶν φίλοις ἐπὶ κακῷ; πόσοι φιλίας αἰδεσθέντες μυρία ἥμαρτον; εἰ τοίνυν καὶ πάθος, καὶ αἰδὼς ἀνθρωπίνη δύναται ἐμβαλεῖν ἡμᾶς, καὶ εἰς ἁμαρτήματα, καὶ εἰς κατορθώματα, εἰκῆ λέγομεν ὅτι οὐ δυνάμεθα. δυνάμεθα γὰρ ἂν θέλωμεν· θελῆσαι δὲ πάντας χρή. εἰπὲ δή μοι·

A hoc est, nihil habens sanum, inquit. Et benè dixit, *omnis doli*: Simulabat enim. *Fili diaboli*: Opus enim illius faciebat, *Inimici omnis justitia*. Nam omnis justitia illa erat. Mihi videtur, & vitam redarguere illius hæc dicens, & ut ostendat quod non erant furoris verba: propter hoc præmisit dicens: *Plenus sancto Spiritu*: hoc est, efficacia. *Et nunc ecce manus Domini super te*. Minimè ultio erat, sed sanatio. Etenim tantum non dicebat: Non ego facio: sed Dei B manus. Vide ut alienus est à fastu. *Eris cæcus non videns solem usq; ad tempus*. Hoc dicit, ut det illi pœnitentiam. Nunquam enim volebant supra modum difficiles videri; nam quamvis hæc erga inimicos fiant, & erga familiares ac domesticos, meritò: Sed non erga extraneos, ne à necessitate ac timore proficisci res putetur. Indicium autem est cæcitatis *quærere ductores*. Deinde vide cæcitatem proconsulis. *Et statim credit*, & non simpliciter, sed *obstupescens*. Vidit quod C nec dolis nec fallaciis agerent Apostoli. Vide quantum amorem doctrinæ habuit ab initio; non dixit ad illum: *Non cessas pervertere* proconsulem, sed *vias Domini*: quod plus erat, ut ne videatur adulari. Quid autem quod Joannes recessit ab eis, revertiturque in Hierusalem: ut pote in prolixiorem viam mittentibus, quamvis ille esset minister. Ipsi autem periclitabantur. Iterum venientes in Pergen, transeunt ad alias civitates. Ad metropolim enim festinant Antiochiam. D Et vide quomodo scriptor succidit. *Sederunt in Synagoga*, inquit, *& die Sabbatorum*. Et ita viam parant sermonibus, sed non priores loquuntur, sed admoniti, & tanquam hospites provocati. Nisi autem expectassent, non habitus fuisset sermo. Hic primum prædicat Paulus, & vide illius sapientiam: nam ubi quidem sermo erat dispersus, transcurrit: ubi vero nullus fuerat, diutius hæret ac versatur: quemadmodum & ipse scribens dicit: *Ita autem adnitens evangelizare*, E *ubi nondum nominatus erat Christus*. Hoc autem magnæ fortitudinis erat. Revera ab initio admirabilis vir ille. Crucifixus, in aciem positus, sciebat quanta potiretur gratia, æquale adjecit studium. Non succensuit Joanni. Non enim hujus erat, sed opera opus habuerat, non formidavit, non timuit in media multitudine minis abactus. Vide quomodo singulari dispensatione contingit Paulum non prædicare in Hierosolymis. Sufficiebat etiam hoc solùm audire, quod A credidit. Non permisissent propter odium, & procul digreditur, ubi notus non erat. Prius redarguit magum qualis esset: & quia talis erat, signum ostendit, usque ad tempus patitur, ita ut pœnitentiam agat. Benè autem Sabbatho ingressi sunt in Synagogam, quando omnes fuerunt congregati. *Et post lectionem legis ac Prophetarum*, inquit, *miserunt Principem Sacerdotum, dicentes: Viri fratres, Num est verbum in vobis consolationis? ad populum dicite*. Vi-B de illos copiosè tunc hoc facere: post hoc autem non item. Si hoc voluissetis, magis oportebat exhortari. Sed ô ambitionem! ô vanam gloriam! quam subvertit ac perdit omnia, contra domum, contra mutuam salutem stare efficit. Ita cæcitate percutit, ut etiam ductores quærant. Utinam hoc facerent, utinam ductores quærerent, sed hoc jam non ferunt: sibiipsis autem totum permittunt, nullum sinit videre, sicut caligo imponit, & nebula, non permittens translucere. C Qualem ab affectione habebimus defensionem, propter timorem Domini, affectioni non imperantes? Valde intemperantes ac avari existentes propter pecuniarum parsimoniam refrænarunt voluptatem: alii contrà, propter voluptatem contempserunt pecunias. Iterum qui vanæ gloriæ dediti sunt, utrisque imperant, opes insumentes largiter, & sobrii sine causa. Alii iterum vanæ gloriæ cupidi cùm sint, despexerunt passionem multa fœda sustinentes, & propter amores & D propter pecunias. Alii iterum, ut iræ suæ satisfaciant, voluerunt innumeris damnis exponi, neque illis ullius horum curæ fuit, ut solum voluntatem suam perficiant: & id quod potest affectio, non potest apud nos Dei timor? Et quid dico, passio: id quod pudor hominum valet, non potest Dei timor? multa enim facimus, & peccamus homines timentes, Deum autem non timemus? Quot propter confusionem perdiderunt opes? Quot in malis gratificati sunt amicis, idque absque fructu, sed magno cum studio? Quot in amicorum gratiam E graviter sæpè deliquerunt? Si igitur & affectio, & pudor hominum possint nos in gravia, & opera & peccata intrudere: temerè dicimus quod non possumus. Possumus enim si voluerimus. Velle autem omnes convenit. Dic autem mihi;

Rom. 15, 20.

Quare non potes gloriam vincere, cùm alii ejus generis animam, corpus, & figuram sortiti, & eandem vitam viventes possint? Cogita Deum, cogita supernam gloriam, oppone illi præsentia, & statim ab hac resilies. Omnino si gloriam quæris: veram gloriam quære ac concupisce. Qualis gloria, quando fœditates operaris? Qualis gloria est, quando cogeris ab his qui te inferiores sunt? Honorem concupiscis, & illo opus habes? Honor est frui gloria à majoribus. Si omnino gloriam amas: magis ama eam quæ à Deo est. Si amaveris illam hanc despicies, videbis hanc ignobilem. Quamdiu illam non videris, tamdiu nec hanc videre potes, quàm sit fœda, quamque ridicula. Quippe sicut si qui malæ cujusdam mulieris amore capti sunt, si demonstretur etiam turpis: quamdiu amant illam, non possunt turpitudinem videre. Affectionis est, quæ obtenebrat judicium. Ita sanè & hic quamdiu detinemur ab affectione, non possumus simul videre quale malum sit. Quomodo igitur liberabimur ab illa? Cogita quod plurimos sumptus sine utilitate facis, cogita mortuos qui hanc gloriam adepti erant, ut nusquam illa stabilis sit, sed periit ac dissipata est. Cogita esse solum nomen absque re. Quoniam quid est gloria, dic oro? da definitionem aliquam. Admirari, inquit, ab omnibus. Justène vel injustè? Nam siquidem injustè, non erit jam admiratio, sed accusatio, & adulatio & calumniatio. Si autem justè, hoc non est possibile. Vulgus enim judicio recto caret. At qui ministrant concupiscentiis illius, in admiratione sunt. Et si volueritis scire, attendite eos qui donant sua scortis, aurigis, saltatoribus. Jam non hos, inquit, sed etiam justos dicimus, & rectos & eos, qui magna bona operari possunt. Utinam voluissent, & statim fecissent bona. Nunc autem nihil horum faciunt. Quis, dic mihi, laudat justum, & rectum nunc? Contrarium videre licet. Quid autem frigidius justo, si rem talem faciens concupiscit à multis gloriam? Hoc enim facit, quod & pictor optimus existens, & regiam imaginem pingens, si imperitorum laudes expectet. Et aliter: Statim homo ad humanam gloriam spectans, à bonis operibus deficiet. Si enim ad laudes illas respiciet, quæ certè illi volunt, faciet, non quæ ipse vellet. Quid igitur vobis, ut posthac faciatis, consuluerim? Attendere Deum: contentos esse laudibus quæ ab illo: omnia quæ illi placent, operari, & bona facere: non admirari humanas res: quandoquidem hoc & jejunium, orationes & eleemosynam destruit, & omnia vestra bona evacuat. Quod ne patiamur, fugiamus hanc affectionem. Ad unum solum spectemus: laudem inquam, quæ à Deo est, & illius approbationem, communisque omnium Domini commendationem, ut cum virtutibus præsenti vita transacta, promissa bona cum diligentibus illum assequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac sancto Spiritui sit gloria, imperium, & honor, in secula seculorum, Amen.

HOMILIA XXIX.

Surgens autem, & innuens manu, dixit: Viri Israelitæ, & inter vos timentes Deum, audite: Deus populi hujus elegit patres nostros, & populum exaltavit in peregrinatione ejus in Ægypto, & cum brachio excelso eduxit illos inde.

Vide Barnabam ubique cedentem Paulo, sicut & Joannes ubique Petro. Ille abduxit eum à Damasco, quamvis venerabilior esset, sed ad communem utilitatem spectabant. *Et surgens*, inquit, *ac innuens manu.* Mos hic Judæis erat. Ideò & ipse juxta illum eis loquitur. Vide quomodo sermoni viam parat: prius illos laudibus extollit, & monstrat magnam Dei erga illos curam, per hoc quod dicit: *Timentes Deum.* Sic incipit sermonem, & non dixit, advenæ; id quod erat calamitatis nomen. *Deus populi hujus elegit patres nostros, & populum.* Vide quomodo Deum illis ut proprium tribuit, qui omnium communis est Deus. Et ostendit olim maxima ab illo beneficia populo concessa, sicut & Stephanus. Hæc autem faciunt, ut doceant illos, quod nunc quoque eodem modo filium suum misit. Sicut & Christus dixit de vinea; ita & ille dicit: *Exaltavit in peregrinatione in terra Ægypti, & cum brachio excelso eduxit illos ex ea.* Sanè contrarium evenit, priusquam in multitudinem crevissent, sed miracula propter illos facta sunt, & Prophetæ memores sunt ubique eorum quæ in Ægypto acciderunt. Et vide ut tempora calamitatum præterit,

διατί οὐ δύνασαι δόξης κρατεῖν, ὅταν ἕτεροι ὦσι κρατοῦντες, τὴν αὐτὴν ἔχοντες ψυχὴν, τὸ αὐτὸ σῶμα, τὴν αὐτὴν μορφὴν, τὴν αὐτὴν ζῶντες ζωήν; ἐννόησον τὸν Θεὸν, ἐννόησον τὴν ἄνωθεν δόξαν· ἀντίστησον αὐτῇ τὰ παρόντα, καὶ ταχέως ταύτης ἀποπηδήσεις. ὅλως εἰ δόξης ἐπιθυμεῖς, τῆς ὄντως δόξης ἐπιθύμει. ποία δόξα, ὅταν ἀτιμίας ποιῇς; ποία δόξα, ὅταν τῶν ἐλαττόνων ἀναγκάζῃ ἥττων εἶναι, καὶ ἐκείνης χρείαν ἔχῃ; τιμή ἐστι τὸ τῆς παρὰ τῶν μειζόνων ἀπολαύειν δόξης. ὅλως εἰ δόξης ἐρᾷς, μᾶλλον ἐράσθητι τῆς παρὰ τοῦ Θεοῦ. ἂν ἐρασθῇς ἐκείνης, ταύτης καταφρονήσεις, ὄψει ταύτην ἄτιμον. ἕως ἂν ἐκείνην μὴ ἴδῃς, οὐδὲ ταύτην ἰδεῖν δυνήσῃ, πῶς ἐστιν αἰσχρὰ, πῶς καταγέλαστος. καθάπερ γὰρ οἱ πονηρᾶς τινὸς γυναικὸς ἔρωτι κατειλημμένοι, εἰ δειχθείη καὶ αἰσχρὰ, ἕως ἂν φιλῶσιν αὐτὴν, οὐ δύνανται τὴν δυσειδίαν ἰδεῖν, οὐ πάθους ἐπισκοτοῦντος τῇ κρίσει· οὕτω δὴ καὶ ἐνταῦθα, ἕως ἂν κατεχώμεθα τῷ πάθει, οὐ δυνάμεθα συνιδεῖν οἷόν ἐστι κακόν. πῶς οὖν ἀπαλλαγείημεν ἄν, φησὶν, αὐτοῦ; ἐννόει τοὺς χρήματα ἀναλίσκοντας μυρία, καὶ οὐδὲν ἀπ' αὐτῶν καρπωσαμένους· ἐννόει τοὺς ἀποθανόντας ὅσης ἀπήλαυσαν δόξης, καὶ οὐδαμοῦ αὕτη βεβαία, ἀλλ' ἀπόλωλε καὶ διέφθαρται· ἐννόησον ὅτι ὄνομα μόνον ἐστὶ, πρᾶγμα δὲ οὐκ ἔχει. ἐπεὶ τί ἐστι δόξα, εἰπέ μοι; δὸς ὅρον τινά. τὸ θαυμάζεσθαι παρὰ πάντων, φησί. δικαίως, ἢ ἀδίκως; εἰ μὲν γὰρ ἀδίκως, οὐκ ἂν εἴη τοῦτο θαῦμα, ἀλλὰ κατηγορία, καὶ κολακεία, καὶ διαβολή· εἰ δὲ δικαίως, τοῦτο οὐ δυνατόν. οὐ γὰρ ἔχει κρίσεις ὀρθὰς ὁ δῆμος, ἀλλὰ τοὺς ταῖς ἐπιθυμίαις αὐτῶν ὑπηρετοῦντας τούτους θαυμάζουσι. καὶ εἰ βούλεσθε, καταμάθετε τοὺς ταῖς πόρναις τὰ αὐτῶν διδόντας, τοὺς τοῖς ἡνιόχοις, τοὺς τοῖς ὀρχησταῖς. ἀλλ' οὐ τούτους, φησὶ, φαμὲν, ἀλλὰ τοὺς δικαίους, καὶ τοὺς ὀρθοὺς, καὶ μεγάλα δυναμένους ποιεῖν καλά. εἴθε ἠβούλοντο, καὶ ταχέως ἐποίουν ἂν τὰ ἀγαθά. νῦν δὲ οὐδὲν τούτων ποιοῦσι. τίς, εἰπέ μοι, τὸν δίκαιον ἐπαινεῖ νῦν καὶ τὸν ὀρθόν; τοὐναντίον μὲν οὖν. τί δὲ ψυχρότερον δικαίου, εἰ πρᾶγμα τοιοῦτον κατορθῶν τῆς παρὰ τῶν πολλῶν δόξης ἐφίεται; τοῦτο γὰρ ποιεῖ, οἷον ἄν εἴ τις ζωγράφος ἄριστος ὢν καὶ εἰκόνα γράφων βασιλικὴν, τῶν οὐκ ἐμπείρων ἀποδέχοιτο τοὺς ἐπαίνους. ἄλλως δὲ ταχέως ἀποστήσεται ἄνθρωπος ὁ πρὸς δόξαν ὁρῶν ἀνθρωπίνην τῶν κατ' ἀρετὴν πραγμάτων. εἰ γὰρ μέλλει πρὸς ἐπαίνους κεχηνέναι, ἅπερ ἂν ἐκεῖνοι θέλωσι ταῦτα ἐργάζεται, οὐχ ἅπερ ἂν αὐτός. τί οὖν ἂν ὑμῖν συμβουλεύσαιμι λοιπὸν ποιεῖν; τῷ Θεῷ προσέχειν· τοῖς ἐπαίνοις ἀρκεῖσθαι τοῖς παρ' αὐτοῦ, πάντα τὰ ἐκείνῳ δοκοῦντα ἐργάζεσθαι, καὶ τὰ ἀγαθὰ πράττειν, πρὸς μηδὲν τῶν ἀνθρωπίνων κεχηνέναι. τοῦτο γὰρ καὶ νηστείαν, καὶ εὐχὴν, καὶ ἐλεημοσύνην λυμαίνεται, καὶ πάντα τὰ ἡμέτερα ἀγαθὰ κενοῖ. ὅπερ ἵνα μὴ πάθωμεν, φύγωμεν τοῦτο τὸ πάθος. πρὸς ἓν μόνον ὁρῶμεν, τὸν παρὰ τοῦ Θεοῦ ἔπαινον, τὴν ἐκείνου ἀποδοχὴν, τὴν παρὰ τοῦ κοινοῦ δεσπότου εὐφημίαν· ἵνα μετ' ἀρετῆς τὸν παρόντα βίον διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν σὺν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ κθ΄.

Ἀναστὰς δὲ Παῦλος, καὶ κατασείσας τῇ χειρὶ εἶπεν· ἄνδρες Ἰσραηλῖται, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ἀκούσατε· ὁ Θεὸς τοῦ λαοῦ τούτου, ἐξελέξατο τοὺς πατέρας ἡμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ αὐτοῦ ἐν τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς.

ΟΡΑ τὸν Βαρνάβαν παραχωροῦντα τῷ Παύλῳ, ὥσπερ καὶ Πέτρῳ Ἰωάννης πανταχοῦ. αὐτὸς ἤγαγεν αὐτὸν ἀπὸ Δαμασκοῦ· καί τοι αὐτοῦ αἰδεσιμώτερος ὤν. ἀλλὰ πρὸς τὸ κοινῇ συμφέρον ἑώρων. καὶ ἀναστὰς, φησὶ, καὶ κατασείσας τῇ χειρί. ἔθος τοῦτο Ἰουδαίοις ἦν· διὸ καὶ αὐτὸς κατ' αὐτὸ αὐτοῖς διαλέγεται· ὅρα πῶς προοδοποιεῖ τῷ λόγῳ. πρότερον ἐγκωμιάσας αὐτοὺς, καὶ δείξας πολλὴν περὶ αὐτοὺς τὴν κηδεμονίαν, διὰ τοῦ εἰπεῖν, οἱ φοβούμενοι τὸν Θεόν. οὕτως ἄρχεται τοῦ λόγου, καὶ οὐκ εἶπεν, οἱ προσήλυτοι, ὅπερ ἦν συμφορᾶς ὄνομα. ὁ Θεὸς τοῦ λαοῦ τούτου ἐξελέξατο τοὺς πατέρας ἡμῶν καὶ τὸν λαόν. ὅρα πῶς καὶ αὐτὸς τὸν κοινὸν τῶν ἀνθρώπων Θεὸν αὐτῶν ἰδίως καλεῖ, καὶ δείκνυσιν ἄνωθεν τὰς εὐεργεσίας αὐτοῦ μεγάλας οὔσας, καθάπερ καὶ Στέφανος. ταῦτα δὲ ποιοῦσιν, ἵνα παιδεύσωσιν αὐτοὺς, ὅτι καὶ νῦν κατὰ τὸ αὐτὸ ἔθος τὸν υἱὸν αὐτοῦ ἀπέστειλε. καθάπερ καὶ ὁ Χριστὸς εἶπεν ἐν τῷ ἀμπελῶνι, οὕτω καὶ αὐτός φησιν· ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς ἐξ αὐτῆς. καὶ μὴν τοὐναντίον γέγονεν· ἀλλ' εἰς πλῆθος ἐπέδωσαν. ἀλλὰ τὰ θαύματα δι' αὐτοὺς γέγονε. τούτων καὶ οἱ προφῆται μνημονεύουσιν ἀεὶ τῶν κατ' Αἴγυπτον. καὶ ὅρα πῶς τοὺς καιροὺς συμφορῶν παρατρέχει,

καὶ

καὶ οὐδαμοῦ τὰ ἐγκλήματα τίθησιν εἰς μέσον, ἀλλὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ἐκεῖνα ἀφεὶς αὐτοῖς λογίζεσθαι. Καὶ ὡς τεσσαρακοντα ἔτη χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ. εἶτα τὴν κατοικίαν λέγει· Καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν, κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν. καὶ ὁ χρόνος πολύς· τετρακόσια γὰρ πεντήκοντα ἔτη. Καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα ἔδωκεν αὐτοῖς κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου. ἐνταῦθα τὸ διαφόρως οἰκονομεῖσθαι τὰ κατ' αὐτοὺς ἐδήλωσε, κἀκεῖθεν ᾐτήσαντο βασιλέα. καὶ οὐ λέγει τὴν ἀγνωμοσύνην αὐτῶν, ἀλλὰ πανταχοῦ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. Καὶ ἔδωκεν αὐτοῖς τὸν Σαοὺλ υἱὸν Κὶς ἄνδρα ἐκ φυλῆς Βενιαμὶν ἔτη τεσσαράκοντα. καὶ μεταστήσας αὐτὸν ἤγειρεν αὐτοῖς τὸν Δαυῒδ εἰς βασιλέα· ᾧ καὶ εἶπε μαρτυρήσας· Εὗρον Δαυῒδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου. οὐ μικρὸν τοῦτο, τὸ ἀπὸ Δαβὶδ εἶναι τὸν Χριστόν. εἶτα καὶ Ἰωάννην εἰσάγει μαρτυροῦντα λέγων· Τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγειρε τῷ Ἰσραὴλ σωτῆρα Ἰησοῦν, προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας παντὶ τῷ λαῷ Ἰσραήλ. ὡς δὲ ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον ἔλεγε· τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἱκανὸς τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. καὶ Ἰωάννης δὲ μαρτυρεῖ, οὐχ ἁπλῶς, ἀλλὰ τὴν δόξαν ἐξ αὐτοῦ ἀποκρουόμενος, καίτοι πάντων ἐπ' αὐτὸν ταύτην ἀγόντων. οὐκ ἔστι δὲ ἴσον μηδενὸς διδόντος, καὶ πολλῶν παρεχόντων ταύτην τὴν τιμὴν διωθεῖσθαι· καὶ μηδὲ ἁπλῶς, ἀλλὰ μετὰ τοσαύτης ὑπερβολῆς. ἄνδρες ἀδελφοὶ υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη· οἱ γὰρ κατοικοῦντες Ἱερουσαλὴμ, καὶ οἱ ἄρχοντες αὐτῶν τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν, τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν, καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. πανταχοῦ τοῦτο σπουδάζουσι δεῖξαι οἰκεῖον αὐτῶν ὂν τὸ ἀγαθὸν, ἵνα μὴ ὡς ἀλλοτρίῳ προσέχοντες φύγωσιν, ἐπειδὴ ἐσταύρωσαν αὐτόν. τοῦτον, φησὶν, ἀγνοήσαντες. ὥστε ἀγνοίας ἦν τὸ ἁμάρτημα. ὅρα πῶς καὶ ὑπὲρ ἐκείνων ἀπολογεῖται ἠρέμα. καὶ οὐ τοῦτο μόνον· ἀλλ' ὅτι καὶ οὕτως ἔδει γενέσθαι, προστίθησι. καὶ ἵνα μή τις εἴπῃ, πόθεν δῆλον ὅτι ἀνέστη; φησὶ τὸ, μάρτυρες αὐτοῦ εἰσιν. εἶτα πάλιν ἀπὸ τῶν γραφῶν ἰσχυρίζεται. ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον. ὁ δὲ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν, καθὼς καὶ ἐν τῷ ψαλμῷ τῷ δευτέρῳ γέγραπται· υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε. ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα αὐτὸν εἰς διαφθορὰν ὑποστρέφειν, οὕτως εἴρηκεν· ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά. διὸ καὶ ἐν ἑτέρῳ λέγει· οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Δαβὶδ μὲν γὰρ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ ἐκοιμήθη, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ εἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ εἶδε διαφθοράν. ὅρα τοῦτον σφοδρότερον διαλεγόμενον. τοῦτο οὐδαμοῦ Πέτρος εἶπε. γνωστὸν οὖν ἔστω ὑμῖν, ἄνδρες ἀδελφοὶ, ὅτι διὰ τούτου ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται, καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται. εἶτα καὶ τὸ φοβερόν· βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμᾶς τὸ εἰρημένον ἐν τοῖς προφήταις· ἴδετε οἱ καταφρονηταὶ, καὶ ἐπιβλέψατε, καὶ θαυμάσατε, καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται ὑμῖν. ὅρα πῶς πλέκει τὸν λόγον ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν προφητῶν, ἀπὸ τοῦ σπέρματος τοῦ κατ' ἐπαγγελίαν. ἀλλ' ἄνωθεν ἴδωμεν τὰ εἰρημένα. ἄνδρες ἀδελφοὶ, υἱοὶ γένους Ἀβραάμ. καὶ ἀπὸ τοῦ πατρὸς αὐτοὺς καλεῖ. ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἐξαπεστάλη. ἐνταῦθα τὸ, ὑμῖν, οὐκ Ἰουδαίους ἀφωρισμένως λέγει· ἀλλὰ δίδωσιν αὐτοῖς ἐξουσίαν ἀποσχισθῆναι τῶν τὸν φόνον τετολμηκότων. καὶ τοῦτο ἀπὸ τῶν ἐπαγομένων δῆλον. οἱ γὰρ κατοικοῦντες, φησὶν, Ἱερουσαλὴμ, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν προφητῶν τὰς κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. μεγάλη ἡ κατηγορία, εἰ συνεχῶς ἀκούοντες οὐ προσεῖχον. ἀλλ' οὐδὲν θαυμαστόν. τὰ γὰρ εἰρημένα ἐκεῖνα τὰ κατ' Αἴγυπτον καὶ τὴν ἔρημον, ἱκανὰ δεῖξαι αὐτῶν τὴν ἀγνωμοσύνην. καὶ πῶς ἠγνόησαν, φησὶν, Ἰωάννου λέγοντος; τί θαυμαστὸν, ὅπου γε καὶ τῶν προφητῶν συνεχῶς βοώντων; εἶτα καὶ ἄλλη κατηγορία, καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες. ὅπερ οὐκ ἦν ἀγνοίας. θῶμεν γὰρ ὅτι οὐχ ὡς Χριστὸν αὐτὸν εἶχον· τίνος ἕνεκεν καὶ ἀνῄρουν; ᾐτήσαντο, φησὶ, Πιλάτον ἀναιρεθῆναι αὐτόν.

A & nusquam crimina in medium affert, sed magnam Dei misericordiam, relinquens illa ipsis cogitanda. *Et circiter quadraginta annorum tempus, mores illorum sustinuit in solitudine.* Deinde inhabitationem terræ dicit: *Et deletis Gentibus septem in terra Chanaan, sorte divisit eis terram illorum.* Et multum intercessit tempus, nempe anni quadringenti quinquaginta. *Et post hæc circiter annis quadringentis, & quinquaginta dedit illis judices usq; ad Samuelem Prophetam.* Hic quia variè dispen-

B saret res illorum, manifestavit. *Et exinde petiverunt Regem.* Et non dicit ingratitudinem illorum, sed & ubique Dei misericordiam. *Et dedit illis Saulem, filium Cis, virum ex tribu Benjamin, annis quadraginta: & destituto eo excitavit eis Davidem in Regem: cui & dixit testimonium perhibens: Inveni David filium Jesse, virum juxta cor meum, qui faciet omnes voluntates meas.* Non parvum hoc, quod ex David esset Christus. Deinde etiam Joannem inducit testificantem, dicens: *Hujus è*

C *semine Deus, ita ut promiserat, adduxit Israeli servatorem Jesum: cum antea prædicasset Joannes ante faciem introitus ejus baptismum pœnitentiæ Israeli. Cum autem impleret Joannes cursum, dicebat: Quem me putatis esse, non sum ego. Sed ecce venit post me, cujus non sum dignus calceamentum pedum solvere.* Et Joannes quoque testificatur, non simpliciter, sed gloriam à se repellens, quamvis illi eam omnes tribuerent. Non est autem idem repellere talem honorem nullo tribuente, &

D omnibus illi tribuentibus, idque non simpliciter, sed post talem legationem. *Viri fratres, filii generis Abrahæ, & timentes in vobis Deum. Vobis sermo salutis hujus emissus est. Nam habitantes Hierusalem, & Principes illorum hunc ignoraverunt, & voces Prophetarum quæ per omne Sabbatum leguntur, judicantes, impleverunt: Et ne una quidem mortis causa inventa petiverunt Pilatum, ut interficeretur ille.* Ubique hoc conantur ostendere, quòd illorum sit hoc bonum proprium, ne tanquam

E alieno attendentes, fugiant, eo quòd crucifixerant illum. *Hunc,* inquit, *cum ignorarunt*, atque adeò erat ignorantiæ peccatum. Vide quomodo etiam pro illis leviter rationem reddit. Et non hoc solùm, sed quod hoc oportebat fieri, apponit. Et ne quis dicat: Unde manifestum quod resurrexit? dicit etiam testes illius esse: & posteà iterum à scripturis confirmat. *Ubi autem perfecerunt omnia quæ de eo erant scripta, depositum de ligno posuerunt in sepulchro. Deus autem illum excitavit ex mor-*

A *tuis, qui visus est ad dies plures, his qui simul ascenderunt cum illo à Galilæa in Hierusalem, qui scilicet sunt testes illius ad populum. Et nos vobis bonum hoc nuncium annunciamus de promissione ad patres nostros facta, quia illam implevit Deus filiis illorum nobis, suscitato Jesu, sicut & in psalmo secundo scriptum est: Filius meus es tu, ego hodie genui te. Quod autem resurrexit ex mortuis, non ultra in corruptionem convertendus, ita dixit: Dabo vobis sancta David fidelia. Ideò & in alio dicit:*

B *Non dabis sanctum tuum videre corruptionem. Nam David quidem sua generatione serviens voluntati Dei, dormivit & appositus est ad patres suos, & vidit corruptionem. Quem autem Deus excitavit, non vidit corruptionem.* Vide hunc vehementius disserentem. Hoc nunquam Petrus dixit: *Ita notum sit vobis, viri fratres, quod per hunc vobis remissio peccatorum annunciatur, & ab omnibus à quibus non potuistis in lege Mosi justificari. In hoc omnis qui credit, justificatur.* Deinde etiam

C hoc terribile est. *Videte igitur, ne ascendat super vos quod dictum est in Prophetis: Videte contemptores, & aspicite, & admiramini, & evanescite: quia opus quod ego operor in diebus vestris, quod non credetis, si quis annunciaverit vobis.* Vide quomodo complectitur sermonem ex præsentibus, ex Prophetis, ex semine promissi. Verùm iterum videamus ea quæ dicta sunt: *Viri fratres, filii generis Abrahæ.* Ex à patre suo illos vocat. *Vobis sermo salutis hujus annunciatus est.* Hic di-

D cens: *Vobis*; Non separatim Judæis dicit, sed dat illis potestatem avellendi se ab his qui cædem patrarant: id quod ex sequentibus manifestum. *Habitantes enim Hierusalem, cum hunc ignorarent, & voces Prophetarum quæ per omne Sabbatum leguntur, judicantes, impleverunt.* Magna accusatio, si perpetuò audientes non attenderunt. Verùm mirum non est: dicta enim illa quæ in Ægypto ac eremo acciderunt, sufficiunt monstrare illorum ingratitudinem. Et quomodo ignorarunt, inquit, cum

E Joannes eis dixerit? Quid mirum, ignorantibus eis, licet Prophetæ perpetuò clament? Deinde & alia accusatio: *Et neq; una causa mortis inventa*; Id quod non erat ignorantiæ. Ponamus enim quod non habuerint eum pro Christo, cujus gratia etiam occiderunt? *Et petiverunt,* inquit, *Pilatū, ut occideret illum.*

Ut autem omnia perfecerunt quæ de illo scripta, depositum eum de ligno posuerunt in sepulchrum. Vide quanta illi eum sedulitate hoc fecerint, modum dixit mortis, & Pilatum in medium affert, partim quidem ut manifesta passio fiat à tribunali, partim autem ut illi gravius accusentur, qui tradiderunt illum viro alienigenæ. Et non dixit, obtinuerunt: sed, *petiverunt, etiam ne una quidem mortis causa in illo inventa, occidi*, ita ut manifestum, quod gratiam acceperant, illo non volente: id quod manifestè Petrus dicit, Judicante illo absolvendum. Valde amabat illos Paulus, & quod non moratur in ingratitudine patrum, sed ipsis immittit metum. Sanè Stephanus quidem meritò hoc facit, utpote occidendus, & non docens, & ostendens quod jam lex destruebatur. Hic autem non item, sed minatur, & terret solùm. *Deus autem excitavit illum ex mortuis: qui apparuit*, inquit, *ad dies multos, iis qui cum eo ascenderunt à Galilæa in Hierusalem.* Vide & hunc utpote ab eodem motum spiritu, plurimum prædicare passionem ac sepulturam. *Et nos vobis bonum nuncium annunciamus de promissione ad patres facta.* Hoc est, patres quidem acceperunt promissionem, vos autem rem ipsam. Deinde testem Joannem cùm adduxisset qui dicebat: *Ab hujus semine propter promissionem adduxit Israëli servatorem: cum prius prædicasset Joannes ante faciem introitus ejus baptisma pœnitentiæ Israëli.* Deinde iterum inducit illum, dicens: *Quem me putatis, non sum.* Mox addit etiam Apostolos testes resurrectionis, dicens: *Qui scilicet sunt testes illius ad populum.* Deinde etiam Davidem idipsum testificantem, dicendo: *Non dabis sanctum tuum videre corruptionem.* Neque vetera per seipsa tam firma esse videbantur, neque hæc sine illis: & ita sermonem per utraque credibiliorem facit. °Quoniam enim metu tenebantur, quòd occidissent illum, & conscientia alienabat eos, non ut ad Christicidas disseruit, neque ut alienum bonum, sed proprium bonum illis commendavit. Valde gratum illis erat nomen Davidis, unde & hoc ponit, ut vel sic illum suscipiant, quasi diceret, à puero illius regnabimini: igitur illius frænum ne abjeceritis. Quid est, *Dabo vobis sancta David fidelia?* Firma, inquit, quæ nunquam pereunt. Et non immoratur his, utpote verbo jam credito. Sed minatur pœnam, & transit quod eis gratum, ostendens legem abrogari, & hæret in eo quod conducibile, quod magna bona obedientibus, & grandia mala prævaricantibus futura sint. Postea de David iterum dicit, non sine laudibus: *Nam David quidem*, inquit, *suo seculo, ut servivit voluntati Dei, appositus est ad patres suos.* Sicut & Petrus ejus memor dicebat: *Licet dicere cum fiducia de Patriarcha Davide.* Et non dicit, quod mortuus est: sed *appositus ad patres suos*: id quod clarius erat. Et vide quod nusquam illorum ponit correctiones, sed ea quæ habent accusationem. Nam quod petiverunt & acceperunt, maxima accusatio illorum. Mox beneficia Dei enumerat; *Elegit*, dicens, *exaltavit, mores tulit.* Hæ autem non illorum erant laudes, sed Dei. Davidem autem solum commendat, quoniam ex illo Christus. *Introitum* autem Joannes vocat, dicens: *Ante faciem introitus illius*, incarnationem Christi, & ejus cum carne apparitionem. Ita & Joannes Evangelium scribens, ad illum continuò confugit. Nomen enim erat illi magnum in toto orbe. Et vide: Non dicit illud ex seipso, sed illius affert testimonium. Vidisti quanto studio ostendat, rem singulari dispensatione geri? Videamus autem quid Apostoli dicentes persuaserint: *Crucifixus est*; Quid hoc impersuasibilius? Sepultus ab illis est, quorum promisit salutem fore. Sepultus remittit peccata, & magis quàm lex. Ideò etiam non dixit, à quibus non voluistis: sed, *à quibus non potuistis in lege justificari. In hoc enim omnis credens justificatur*, infirmitatem legis ostendens. Benè autem apposuit etiam, *omnis*: ut indicet quicunque fuerit is qui credit. Nulla enim illorum utilitas, si quis non benè egerit. Idcircò posterius ponit remissionem, hinc quod majus est colligens ac ostendens, & quod impossibile sit legi facere, hoc fecisse per mortem patiendo apparet. Et ita benè dicebat: *Qui scilicet testes illius sunt ad populum*: illum qui occidit, inquit, neutiquam tales, nisi divina virtute confirmarentur. Licet enim ad homines occidentes talia testificati sint, nónne ad illos qui interimebant? Quòd autem dicit: *Ego hodie genui te*: quasi ferens, quod ad hoc etiam alia sequantur. Et quare non addidit testimonium per quod erant persuadendi, remissionem peccatorum per illum fieri? Quia magno studio jam inter eos quærebatur quod à mortuis resurrexit.

A ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες αὐτὸν ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. ὅρα πῶς αὐτοῖς ἐσπουδασμένον ἦν τοῦτο. τὸν τρόπον εἶπε τοῦ θανάτου, καὶ Πιλάτον εἰς μέσον φέρει· ἅμα μὲν ἵνα δῆλον τὸ πάθος γένηται ἀπὸ τοῦ κριτηρίου· ἅμα δὲ ἵνα ἐκεῖνοι μειζόνως κατηγορῶνται, ἀνδρὶ παραδόντες ἀλλοφύλῳ. καὶ οὐκ εἶπεν, ἐνέτυχον· ἀλλ', ᾐτήσαντο, μηδεμίαν αἰτίαν θανάτου εὑρόντες ἀναιρεθῆναι αὐτόν. ὥστε δηλῶσαι ὅτι χάριν ἔλαβον ἐκείνου B μὴ θέλοντος. ὅπερ σαφέστερον ὁ Πέτρος λέγει, κρίναντος ἐκείνου ἀπολύειν. πάνυ ἐφίλει αὐτοὺς ὁ Παῦλος. καὶ ὅρα, οὐκ ἐνδιατρίβει τῇ ἀγνωμοσύνῃ τῶν πατέρων. ἀλλ' αὐτοῖς ἐφίστησι τὸν φόβον. ὁ μὲν γὰρ Στέφανος, εἰκότως τοῦτο ποιεῖ· ἅτε ἀναιρεῖσθαι μέλλων, καὶ οὐχὶ διδάσκων, καὶ δεικνὺς ὅτι ὁ νόμος ἤδη καταλύεται· οὗτος δὲ οὐκ ἔτι, ἀλλ' ἀπειλεῖ καὶ φοβεῖ μόνον· ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. ὃς ὤφθη, φησὶν, ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν C αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. ὅρα καὶ οὗτος ἅτε ἀπ' αὐτοῦ κεκινημένος τοῦ πνεύματος, ἄνω καὶ κάτω τὸ πάθος, καὶ τὸν τάφον κηρύττοντα. καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα, φησὶ, τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην· τουτέστι, τὴν μὲν ἐπαγγελίαν οἱ πατέρες ἐδέξαντο· τὸ δὲ ἔργον ὑμεῖς. εἶτα μάρτυρα τὸν Ἰωάννην ἐπαγαγὼν ὅτε ἔλεγεν, ὅτι ἀπὸ τοῦ σπέρματος τούτου κατ' ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτηρίαν, προκηρύξαντος Ἰωάννου πρὸ D προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοίας Ἰσραήλ, ἑξῆς ἐπάγει πάλιν αὐτὸν λέγων· τίνα με ὑπονοεῖτε; οὐκ εἰμὶ ἐγώ. εἶτα προσάγει, καὶ τοὺς ἀποστόλους μάρτυρας τῆς ἀναστάσεως, λέγων· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· εἶτα τὸν Δαβὶδ τοῦτο αὐτὸ μαρτυροῦντα, τῷ λέγειν, οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. οὔτε γὰρ τὰ παλαιὰ ἰσχυρὰ καθ' ἑαυτὰ ἐδόκει εἶναι οὕτως, οὔτε ταῦτα ἄνευ ἐκείνων. ὥστε δι' ἑκατέρων πιστοῦται τὸν λόγον. ἐπειδὴ E γὰρ τῷ δέει κατείχοντο ὡς ἀνῃρηκότες αὐτὸν, καὶ τὸ συνειδὸς αὐτοὺς ἠλλοτρίου, οὐχ ὡς πρὸς χριστοκτόνους διαλέγεται, οὐδὲ ὡς ἀλλότριον ἀγαθὸν αὐτοῖς ἐγχειρίζοντες, ἀλλὰ τὸ οἰκεῖον. πάνυ ποθεινὸν ἦν αὐτοῖς τὸ ὄνομα τοῦ Δαβίδ· διὸ καὶ τέθεικεν αὐτὸ, ἵνα καὶ οὕτως αὐτὸν δέξωνται, ὡσεὶ ἔλεγεν· ἀπὸ τοῦ παιδὸς αὐτοῦ βασιλεύεσθε· οὐκοῦν ἀπ' αὐτοῦ μὴ ἀφηνιάζετε. τί ἐστι, δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά; τὰ βέβαια, φησὶ, τὰ μηδέποτε ἀπολ-A λύμενα. καὶ οὐκ ἐγχρονίζει τούτοις, ἅτε τοῦ λόγου λοιπὸν πιστευθέντος· ἀλλ' ἐπιτείνει τὴν κόλασιν, καὶ μετέρχεται τὸ αὐτοῖς ποθεινὸν, δεικνὺς τὸν νόμον ἐκβαλλόμενον, καὶ τῷ συμφέροντι ἐνδιατρίβει, ὅτι τε μεγάλα κακὰ παρακούουσιν ἔσται. εἶτα περὶ τοῦ Δαβὶδ πάλιν λέγει, καὶ τοῦτο μετ' ἐγκωμίων. Δαβὶδ μὲν γάρ, φησιν, ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ· καθὼς καὶ Πέτρος μνημονεύων αὐτοῦ B ἔλεγεν· ἐξὸν εἰπεῖν μετὰ παρρησίας περὶ τοῦ πατριάρχου Δαβίδ. καὶ οὐ λέγει, ὅτι ἐτελεύτησεν, ἀλλὰ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ. ὅπερ ἦν εὐφημότερον. καὶ ὅρα πῶς οὐδαμοῦ κατορθώματα αὐτῶν τέθεικεν, ἀλλ' ἅπερ ἔχει κατηγορίας. τὸ γὰρ, ᾐτήσαντο καὶ ἔλαβον, μεγίστη κατηγορία αὐτῶν. εἶτα τὰς εὐεργεσίας τοῦ Θεοῦ καταλέγει, ἐξελέξατο εἰπών· ὕψωσεν, ἐτροποφόρησε. ταῦτα δὲ οὐκ ἐκείνων ἐγκώμια, ἀλλὰ τοῦ Θεοῦ. τὸν δὲ Δαβὶδ ἐγκωμιάζει μόνον. C ἐπειδὴ ἐξ αὐτοῦ ὁ Χριστός. εἴσοδον δὲ ὁ Ἰωάννης καλεῖ λέγων, πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ, τὴν σάρκωσιν τοῦ Χριστοῦ, τὴν μετὰ σαρκὸς αὐτοῦ φανέρωσιν. οὕτω καὶ ὁ Ἰωάννης τὸ Εὐαγγέλιον γράφων ἐπὶ τοῦτον καταφεύγει συνεχῶς. ὄνομα γὰρ ἦν αὐτῷ πολὺ κατὰ τὴν οἰκουμένην ἅπασαν. καὶ ὅρα· οὐ λέγει αὐτὸ ἐξ ἑαυτοῦ, ἀλλὰ τὴν ἐκείνου φέρει μαρτυρίαν. εἶδες πῶς ἀποδείκνυσιν οἰκονομίας τὸ πρᾶγμα ὄν; ἀλλ' ἀκούσωμεν τί καὶ λέγοντες οἱ ἀπόστολοι ἔπεισαν, ὅτι ἐσταυρώθη. τί τούτου ἀπιθανώτερον, ὅτι ἐτάφη παρ' αὐτῶν, εἰς D ὃν ἐπηγγέλλετο σωτηρίαν ἔσεσθαι, ὅτι ὁ ταφεὶς ἀφίησιν ἁμαρτήματα, καὶ τοῦ νόμου μᾶλλον; διὸ καὶ οὐκ εἶπεν, ὧν οὐκ ἠθελήσατε· ἀλλ' ὧν ἠδυνήθητε ἐν τῷ νόμῳ Μωυσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται, τὸ ἀσθενὲς τοῦ νόμου δεικνύς. καλῶς δὲ προσέθηκε, καὶ τὸ, πᾶς, ἵνα δείξῃ ὅτι ὅστις ἂν ᾖ ὁ πιστεύων. οὐδὲν γὰρ ὄφελος ἐκείνων, ἐὰν μή τις εὐεργεσία ᾖ. διὰ τοῦτο ὕστερον τίθησι τὴν ἄφεσιν, ἐντεῦθεν τὸ μεῖζον συνάγων, καὶ δεικνὺς ὅτι ὃ ἀδυνάτως εἶχεν ὁ νόμος ποιεῖν, τοῦτο εἰργασμένος διὰ τοῦ θανάτου ὁ E παθὼν φαίνεται. ὥστε καλῶς ἔλεγεν· οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν· τὸν ἀνελόντα, φησὶν, οὐκ ἂν ἦσαν εἰ μὴ θείᾳ δυνάμει ἐβεβαιοῦντο. οὐκ ἂν γὰρ πρὸς ἀνθρώπους φονῶντας τοιαῦτα ἐμαρτύρησαν· οὐκ ἂν πρὸς αὐτοὺς τοὺς ἀνελόντας. τὸ δὲ ἐγὼ σήμερον γεγέννηκά σε ἐπιτείνας τοῦτο λοιπὸν εἰδὼς ὅτι καὶ τὰ ἄλλα ἕπεται. καὶ διατί μὴ ἐπήγαγε μαρτυρίαν, δι' ἧς ἔμελλον πείθεσθαι, ὅτι ἄφεσις ἁμαρτιῶν δι' αὐτοῦ γίνεται; ὅτι τὸ ἀμφιβαλλόμενον τοῦτο ἦν, δεῖξαι τέως ὅτι ἀνέστη.

τούτου

image
not
available

Debebatis enim certiorem fecisse tanto tempore utilitatem ali- A
quam, & oportuisset utique nos ab his quæ dico cessare verbis,
quæ supervacanea essent. Nam & ita satis dicta sunt, ut & alios
possint moderari, siquidem absentium vobis ulla accessisset u-
tilitas. Quòd autem nobis necesse perpetuò eundem habere ser-
monem, non est alterius cujuspiam indicium, quàm quod res
vestræ non satis bene se habent. Quid fieret, oro, non enim
objurgandum dnutaxat. Obsecro & oro, ne hoc solum spe-
ctetis, quomodo in Ecclesiam veniatis, etiam quomodo ali- B
quid inde portantes domum revertamini cum pharmaco vestra-
rum affectionum, etiamsi non à nobis, sed à scripturis habea-
tis congrua remedia: utpote, est quis iracundus, attendat scri-
pturarum lectionibus, & omnino pro se aliquid inveniet, vel
in historia, vel in admonitione. In admonitione quidem, *mo-*
Sir. 1, 19. *mentum furoris illius, ruina ipsi*: Et iterum: *Vir linguax non dor-*
Prov. 11, 25. *miet.* Et Christus iterum: *Qui irascitur fratri suo temerè.* Et ite-
Psal. 29, 22. rum Propheta: *Irascimini & ne peccetis.* Et, *Maledictus furor il-* C
Matt. 5. 22. *lorum, quia pertinax.* In historiis autem utpote quando audis
Psal. 4. 4. Pharaonem multa ira impletum, & Assyrium, & propter hoc
Gen. 49. 7. peccasse. Iterum si est quem vincunt pecuniæ, audiat quod a-
varo nihil est injustius. Hic enim & animam suam venalem fa-
Matth. 6, 24. cit. Et Christum dicentem: *Non potestis Deo servire & Mam-*
mona. Et Apostolum: *Radix omnium malorum est avaritia.*
1. Tim. 6. 10. Et Prophetam: *Divitiæ si affluant, ne apponite cor.* Et multa alia
talia. Et historiis, Giezi, Judam, Principes Scribarum. Et D
Psal. 61, 10. quod *dona excæcant oculos sapientum.* Alius est superbus, au-
diat quod *superbis resistit Deus.* Et, *principium superbia pecca-*
Eccl. 10. 14. *tum.* Et, *omnis sublimis corde, immundus est apud Dominum.*
Prov. 16. 6. Et in historiis, diabolum, & alios omnes, & omnino possibile
non est enumerare omnia. Suorum quisque vulnerum remedia
ex divinis scripturis eligat, & si non totum curat, partem sal-
tem hodie, partem cras, deinde totum ablueris. Quin & de
pœnitentia, & confessione, & de eleemosyna, & de justitia, E
& de continentia, & de omnibus inveniet multa exempla. *Hæc*
Rom. 15, 4. *enim omnia scripta sunt ad nostram admonitionem*, inquit. Si igi-
tur ad nostram admonitionem de omnibus disserit, attendamus
sicut convenit attendere. Quid si ustra nos ipsos decipimus? Ti-
Psal. 77, 37. meo ne & de nobis dicat quis: *Defecerunt in vanitate dies nostri,*
& anni nostri cum acceleratione. Quis audiens cedit à theatris?
quis desistit ab avaritia? Quis alacrior fit ad eleemosynam? Vel-
lem scire, non vanæ gloriæ causâ, sed ut fiam alacrior, videns A
egregium fructum laborum. Nunc autem attingo labores, tan-
tos quidem imbres videns dissipare doctrinas, & torcularia no-
stra manent in eadem mensura, & non sunt meliores fructus fa-
cti. Cæterùm areæ tempus advenit, habens ventilabrum. Ti-
meo ne totum fœnum fiat, timeo ne in caminum abjiciamur o-
mnes, præterit æstas, venit hyems, sedemus cùm juvenes tum
senes nostris affectionibus alligati. Ne mihi dicas: Non scortor.
Quæ enim utilitas si non scortaris quidem, sed avarus es? Passer B
licet non ex omni parte à pede tamen detinetur solùm, & ita pe-
rit, ac in laqueo irretitus stat & nihil prosunt ei alæ capto pede:
ita & tu, non per fornicationem, sed avaritia captus es: ca-
ptus certè es, non hoc quæritur quomodo captus sis, sed
quod captus es. Ne dicat adolescens: non sum avarus, sed
forsan scortaris, & quæ iterùm utilitas? Non enim possibile
est quod per unam ætatem omnes affectiones nos infestent,
sed discretæ sunt, & hoc propter Dei misericordiam. Et ite- C
rum non simul imposita difficilius evincuntur, & gravius cer-
tamen exhibent. Quantæ erit ignaviæ etiam separatis non
imperare affectionibus, sed per singulas ætates vinci, & sub-
lime sapere ex his quæ non sunt à nostro studio, sed ab æ-
tate afferuntur? Non videtis aurigas, quanta diligentia & ex-
ercitatione, quantoque labore & cibis aliisque utuntur, ne
dejecti à curribus distrahantur? Vide quanta sit ars: nam vir
quidem fortis, ne unum quidem equum moderatur: D
adolescentulus autem arte sæpe duos conjungit, agit,
& moderatur facile. Et in India magna illa bestia &
terribilis elephantus puero quindecim annorum cum magna
alacritate cedit Quare autem hæc à me dicta sunt? Quia
si elephantes, & equos feroces studiis constringimus, multò
magis possèmus affectiones, quæ in nobis, à quibus trahi-
mur per totam vitam. Nunquam artem illam curavi-
mus, nunquam vel per otium, cum nondum sit cer-
tamen, de his locuti sumus nobis ipsis, quidnam utile sit. E

A πεπεῖσθαι γὰρ ὀφείλετε, ὅτι εἴ τις ἐγίνετο ὠφέλεια ἐν τοσούτῳ χρόνῳ,
παύσασθαι λοιπὸν ἡμᾶς λέγοντας ἔδει. οὕτως οὐκ ἔδει ῥημάτων
ὑμῖν, τῶν ἤδη λεχθέντων οὕτως ἱκανῶς εἰρημένων, ὡς καὶ ἄλλους δύνασθαι
ῥυθμίζειν, εἴγε ἀπόντων ὠφέλειά τις ὑμῖν προσεγίνετο. τὸ δὲ ἀναγ-
κάζειν ἡμᾶς ἔχειν συνεχοῦς διαλέξεως, οὐδενὸς ἄλλου τεκμήριόν ἐστιν,
ἢ τοῦ τὰ ὑμέτερα μὴ σφόδρα διακεῖσθαι ἀκριβῶς. τί οὖν ἂν γένοιτο; οὐ
γὰρ ἐγκαλεῖν δεῖ μόνον. παρακαλῶ καὶ δέομαι, μὴ τοῦτο μόνον ὁρᾶν
B ὅπως εἰς ἐκκλησίαν ἐμβάλλητε, ὅπως τε καὶ λαβόντες οἴκαδε ἀνα-
χωρῆτε τῶν οἰκείων φάρμακον παθῶν. κἂν μὴ παρ' ἡμῶν, ἀλλὰ
παρὰ τῶν γραφῶν ἔχετε τὰ κατάλληλα φάρμακα, οἷον· ἔστι τις θυ-
μικός; προσεχέτω ταῖς τῶν γραφῶν ἀναγνώσεσι, καὶ πάντως εὑρή-
σει ἢ ἐν ἱστορίᾳ ἢ παραινέσει· ἐν παραινέσει μὲν, ὅταν λέγηται, ἡ
ῥοπὴ τοῦ θυμοῦ αὐτοῦ πτῶσις αὐτοῦ· καὶ, ἀνὴρ θυμώδης οὐκ εὐσχήμων·
καὶ ὅσα τοιαῦτα· καὶ πάλιν, ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται·
C καὶ ὁ Χριστὸς πάλιν, ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ. καὶ πά-
λιν ὁ προφήτης· ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· καὶ, ἐπικατάρατος
ὁ θυμὸς αὐτῶν ὅτι αὐθάδης. ἐν δὲ ἱστορίαις, οἷον ὅταν ἀκούῃς τὸν Φα-
ραὼ πολλῆς ἐμπεπλησμένον ὀργῆς, καὶ τὸν Ἀσσύριον, καὶ διὰ τοῦτο
ἀπολλυμένους. πάλιν, ἔστι τις ἡττώμενος χρημάτων, ἀκουέτω ὅτι
φιλαργύρου οὐδὲν ἀνομώτερον. οὗτος γὰρ καὶ τὴν ψυχὴν αὐτοῦ ἔμπρακτον
ποιεῖ· καὶ τοῦ Χριστοῦ λέγοντος, οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ·
D καὶ τοῦ ἀποστόλου, ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία· καὶ τοῦ
προφήτου, πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν· καὶ πολλὰ ἕτε-
ρα τοιαῦτα. καὶ ἀπὸ ἱστοριῶν, τὸν Γιεζῆ, τὸν Ἰούδαν, τοὺς ἄρχοντας τῶν
γραμματέων. καὶ ὅτι δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν. ἄλλος
ἐστὶν ὑπερήφανος, ἀκουέτω ὅτι ὑπερηφάνοις ἀντιτάσσεται ὁ
Θεός, καὶ ἀρχὴ ὑπερηφανίας ἁμαρτία, καὶ πᾶς ὑψηλοκάρδιος
ἀκάθαρτος παρὰ Κυρίῳ. καὶ ἐν ἱστορίαις τὸν διάβολον, τοὺς ἄλ-
λους ἅπαντας. καὶ ὅλως οὐ γὰρ ἔνι πάντα καταλέγειν· ἕκαστος τῶν οἰκείων
E τραυμάτων τὰ φάρμακα ἀπὸ τῶν θείων γραφῶν ἐκλεγέτω· κἂν
μὴ τὸ ὅλον, μέρος γοῦν τήμερον, καὶ μέρος αὔριον, εἶτα τὸ ὅλον ἀπο-
νίψασθε. καὶ περὶ μετανοίας δὲ, καὶ περὶ ἐξομολογήσεως, καὶ περὶ ἐλεη-
μοσύνης καὶ περὶ δικαιοσύνης, καὶ περὶ σωφροσύνης, καὶ περὶ πάντων
εὑρήσει πολλὰ παραδείγματα. ταῦτα γὰρ πάντα ἐγράφη πρὸς νου-
θεσίαν ἡμῶν, φησίν. εἰ τοίνυν πρὸς νουθεσίαν ἡμῶν περὶ πάντων
διαλέγεται, προσέχωμεν ὡς δεῖ προσέχειν. τί μάτην ἑαυτοὺς
A ἀπατῶμεν; φοβοῦμαι μὴ καὶ περὶ ἡμῶν εἴπῃ τις· ὅτι ἐξέλιπον ἐν
ματαιότητι αἱ ἡμέραι ἡμῶν, καὶ τὰ ἔτη ἡμῶν μετὰ σπουδῆς. τίς ἀκου-
ων ἡμῶν ἀπέστη θεάτρων; τίς ἀπέστη πλεονεξίας; τίς προθυμότε-
ρος γέγονε περὶ ἐλεημοσύνην; ἐβουλόμην μαθεῖν, οὐχὶ κενοδοξίας
ἕνεκεν, ἀλλ' ὥστε γενέσθαι προθυμότερος, λαμπρὸν ὁρῶν τὸν καρπὸν
τῶν πόνων ὁρῶν. νῦν δὲ πῶς ἅψομαι τῆς ἐργασίας; τοσούτους μὲν ὑετοὺς
ὁρῶν καταφερομένους τῆς διδασκαλίας, τὰ δὲ λήνια ἡμῖν ἐπὶ τοῦ αὐτοῦ
B μέτρου μένοντα. καὶ οὐδὲν ὑψηλότερον τὰ γεννήματα γινόμενα; λοιπὸν
ὁ τῆς ἅλω καιρὸς ἐφέστηκεν, ὁ τὸ πτύον ἔχων. δέδοικα μὴ τὸ πᾶν χόρ-
τος ᾖ· δέδοικα μὴ πρὸς τὴν κάμινον ἀπενεχθῶμεν ἅπαντες.
παρῆλθε θέρος· ἦλθε χειμών· καθήμεθα καὶ νέοι, καὶ γέροντες τοῖς
οἰκείοις ἁλισκόμενοι πάθεσι· μή μοι εἴπῃς, ὅτι οὐ πορνεύω. τί γὰρ
ὄφελος ἂν μὴ πορνεύῃς μὲν, φιλοχρήματος δὲ ᾖς. ὁ στρουθὸς κἂν
μὴ ἐκ παντὸς μέρους, ἀλλ' ἀπὸ τοῦ ποδὸς κατέχηται μόνον, καὶ οὕτως
C ἀπόλωλε, καὶ ἐν τῇ παγίδι ἕστηκε, καὶ τῶν πτερῶν ὄφελος οὐδέν. τοῦ πο-
δὸς κατεχομένου. οὕτω καὶ σύ, οὐχ ἑάλως διὰ πορνείας, ἀλλ' ἑάλως
διὰ φιλαργυρίας· ἑάλως μέν τοι. τὸ δὲ ζητούμενον, οὐ πῶς
ἑάλως, ἀλλ' ὅτι ἑάλως. μὴ λεγέτω ὁ νέος, ὅτι οὐκ εἰμὶ φιλο-
χρήματος· ἀλλ' ἴσως πορνεύεις. καὶ τί τὸ ὄφελος πάλιν; οὐδὲ
γὰρ δυνατὸν πάντα τὰ πάθη κατὰ μίαν ἡμῖν ἡλικίαν ἐπιστῆναι,
D ἀλλὰ διώρισται, καὶ τοῦτο διὰ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν, ὥστε
μὴ ἀθρόως ἐπιτεθέντα ἀχείρωτα γενέσθαι, καὶ χαλεπωτέραν ἡμῖν τὴν
πρὸς αὐτὰ πάλην καταστῆναι. πόσης οὐκ ἂν εἴη νωθείας, μηδὲ
διῃρημένων δύνασθαι κρατεῖν τῶν παθῶν, ἀλλὰ καθ' ἕκαστον ἡττᾶσθαι
καιρὸν, καὶ μέγα φρονεῖν ἐπὶ τούτοις τοῖς οὐκ ἐκ τῆς ἡμετέρας σπουδῆς,
ἀλλ' ἐξ αὐτῆς τῆς ἡλικίας κομιζομένοις; οὐχ ὁρᾶτε τοὺς ἡνιόχους, πόσῃ
ἀκριβείᾳ καὶ γυμνασίᾳ, καὶ πόνοις κέχρηνται, καὶ σιτίοις, καὶ τοῖς ἄλ-
λοις ἅπασιν, ὥστε μὴ καταβληθέντας ἀπὸ τῶν ἁρμάτων συρῆναι; ὅρα
E ὅσον ἐστὶ τέχνη. ἀνὴρ μὲν γὰρ ἀνδρεῖος, οὐκ ἂν ἕνα ἵππον πολλάκις
κατέχοι ἐν τῇ τέχνῃ· μειρακίσκος δὲ τῇ τέχνῃ πολλάκις τοὺς δύο ἀναδεξάμενος, ἄγει εὐκόλως καὶ φέρει. καὶ ἐν Ἰνδοῖς δὲ τὸ μέγα θηρίον καὶ
φοβερὸν τῶν ἐλεφάντων, λέγεται καὶ δεκαπεντέτει παιδὶ γεγενῆσθαι μετὰ πολλῆς εἴκειν τῆς προθυμίας. τί δὴ ταῦτά μοι εἴρηται; ὅτι εἰ ἐλέ-
φαντας καὶ ἵππους ἀγρίους ἄγχομεν σπουδάζοντες, πολλῷ μᾶλλον τὰ πάθη τὰ ἐν ἡμῖν. πόθεν ἐκλυόμεθα διὰ παντὸς τοῦ βίου; οὐδέποτε
τὴν τέχνην ἐμελετήσαμεν ταύτην· οὐδέποτε ἐν καιρῷ σχολῆς οὐκ ὄντος τοῦ ἀγῶνος διελέχθημεν πρὸς ἑαυτοὺς περὶ τῶν χρησίμων.
τότε

τότε ἡμᾶς ἐπὶ τοῦ ἅρματος ἑστῶτας ἴδοι τις ἄν, ὅτε ὁ ἀγὼν παραγένηται. διὰ τί οὖν καταγέλαστοί ἐσμεν; οὐκ εἶπον, πολλάκις γυμναζώμεθα πρὸς τοὺς οἰκείους πρὸ τοῦ πειρασμοῦ; πρὸς τοὺς παῖδας ἐπὶ τῆς οἰκίας πολλάκις παροξυνόμεθα· κατέχωμεν ἐκεῖ τὸν θυμὸν, ἵνα εὐκόλως αὐτῷ ἐπὶ τῶν φίλων κεχρημένοι φαινώμεθα, καὶ ἐπὶ τῶν ἄλλων ἁπάντων εἰ ἐγυμναζόμεθα, οὐκ ἂν ἐν τοῖς ἀγῶσιν ἦμεν καταγέλαστοι. νῦν δὲ ὅπλα μὲν τῶν ἄλλων καὶ γυμνάσια, καὶ μελέται εἰσὶ καὶ τεχνῶν, καὶ παλαισμάτων· ἀρετῆς δὲ οὐδαμοῦ. οὐκ ἂν τολμήσειεν ὁ γεωργὸς ἀμπέλου ἅψασθαι, μὴ πρότερον καλῶς γυμνασθεὶς τὰ γεωργικά, οὐδὲ ὁ κυβερνήτης ἐπὶ τῶν οἰάκων καθίσαι, μὴ πρότερον ἐγγυμνασάμενος καλῶς. ἡμεῖς δὲ ἀμελέτητοι πάντη τυγχάνοντες, τὰ πρωτεῖα ἔχειν βουλόμεθα. ἐχρῆν σιγᾷν· ἐχρῆν μηδενὶ κοινωνεῖν πραγμάτων μηδὲ ῥημάτων, ἕως ἂν ἠδυνήθημεν τὸ θηρίον ἡμερῶσαι τὸ ἐν ἡμῖν. ἢ οὐχὶ θηρίου παντὸς χαλεπώτερον ἐπιστρατεύεται ἡμῖν, καὶ θυμὸς, καὶ ἐπιθυμία; μὴ ἐμβάλῃς εἰς ἀγορὰν μετὰ τούτων τῶν θηρίων, ἕως ἂν αὐτοῖς περιθῇς καλῶς τὸν χαλινὸν, ἕως ἂν αὐτὰ τιθασσεύσῃς, καὶ χειροήθη κατασκευάσῃς. οὐχ ὁρᾷς τούτους τοὺς περιάγοντας τοὺς ἡμέρους λέοντας ἐπὶ τῆς ἀγορᾶς, πῶς κερδαίνουσι καὶ θαυμάζονται ὅτι ἐν τῷ ἀλόγῳ θηρίῳ τοιαύτην ἡμερότητα κατώρθωσαν; ἂν δὲ ἐξαίφνης ἀγριωθῇ ἐκεῖνος, πάντας σοβεῖ τοὺς ἐπὶ τῆς ἀγορᾶς, καὶ κινδυνεύσει λοιπὸν ὁ περιάγων αὐτὸν ἄνθρωπος, καὶ τῆς τῶν ἄλλων ἀπωλείας γέγονεν αἴτιος. καὶ σὺ τοίνυν τὸν λέοντα πρότερον ἡμέρωσον, καὶ τότε περίαγε· οὐχ ὥστε ἀργύριον λαβεῖν, ἀλλ' ὥστε κερδᾶναι κέρδος, οὗ μηδέν ἐστιν ἴσον. οὐδὲν γὰρ ἴσον ἐπιεικείας, ἣ καὶ τοῖς κεκτημένοις, καὶ τοῖς χρωμένοις σφόδρα ἐστὶ χρησίμη. ταύτην διώκωμεν, ἵνα δυνηθῶμεν τῆς ἀρετῆς τὴν ὁδὸν μετὰ ἀκριβείας διανύσαντες τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ λʹ.

Ἐξιόντων δὲ αὐτῶν, παρεκάλουν εἰς τὸ μεταξὺ σάββατον λαληθῆναι αὐτοῖς τὰ ῥήματα ταῦτα.

Εἶδες τοῦ Παύλου τὴν σύνεσιν; οὐχὶ τότε ἐθαυμάσθη μόνον· ἀλλὰ καὶ ἐπιθυμίαν αὐτοῖς δευτέρας ἐνέβαλεν ἀκροάσεως, εἰπών τινα σπέρματα, καὶ μὴ ἐπιλύσας μηδὲ ἐπεξελθὼν τῷ λόγῳ, ὥστε αὐτοὺς ἀπαρτίσαι, καὶ οἰκειῶσαι ἑαυτῷ, καὶ μὴ χαυνοτέρους ἐργάσασθαι τῷ πάντα ἀθρόον εἰς τὰς ἐκείνων ῥῖψαι ψυχάς. εἶπεν, ὅτι ἄφεσις ἁμαρτιῶν διὰ τούτου ἡμῖν καταγγέλλεται· τὸ δὲ πῶς, οὐκ ἐδήλωσε. μετὰ ταῦτα λοιπὸν αὐτὸς ἑαυτοῦ μνημονεύει πρώτου. ὁρᾷς τὴν προθυμίαν, ὅση; ἠκολούθουν αὐτοῖς, φησί. διατί αὐτοὺς οὐκ ἐβάπτισεν εὐθέως; οὐκ ἦν καιρός. πεῖσαι ἔδει ὥστε βεβαίως ἐμμένειν. λυθείσης δὲ τῆς συναγωγῆς, ἠκολούθησαν πολλοὶ τῶν Ἰουδαίων, καὶ τῶν σεβομένων προσηλύτων τῷ Παύλῳ, καὶ τῷ Βαρνάβᾳ· οἵτινες προσλαλοῦντες αὐτοῖς, ἔπειθον προσμένειν αὐτοὺς τῇ χάριτι τοῦ Θεοῦ. τῷ τε ἐρχομένῳ σαββάτῳ σχεδὸν πᾶσα ἡ πόλις συνήχθη ἀκοῦσαι τὸν λόγον τοῦ Θεοῦ. ἰδόντες δὲ οἱ Ἰουδαῖοι τοὺς ὄχλους, ἐπλήσθησαν ζήλου, καὶ ἀντέλεγον τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἀντιλέγοντες καὶ βλασφημοῦντες. ὅρα τὴν κακίαν πληττομένην ἐν τῷ πλήττειν ἑτέρους. οὗτο μᾶλλον αὐτοὺς ἐποίει λαμπροὺς, τὸ ἀντιλέγειν ἐκείνους. τὸ μὲν οὖν πρῶτον, αὐτόματοι παρεκάλεσαν· ἀντιλέγοντες, φησί, καὶ βλασφημοῦντες. ὢ τῆς ἰταμότητος· ἐφ' οἷς αὐτοὺς ἀποδέχεσθαι ἔδει, οἱ δὲ ἀντιλέγουσι. παῤῥησιασάμενοι δὲ ὁ Παῦλος καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ. ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. ὁρᾷς πῶς φιλονεικήσαντες μᾶλλον ἐξέτειναν τὸ κήρυγμα, καὶ μᾶλλον ἔδωκαν ἑαυτοὺς εἰς τὰ ἔθνη ἀπολογησάμενοι, καὶ ἀνευθύνους ἑαυτοὺς ἐγκλημάτων ποιήσαντες παρὰ τοῖς οἰκείοις; καὶ οὐκ εἶπεν, ἀνάξιοί ἐστε· ἀλλ', ἐκρίνατε ἑαυτοὺς ἀναξίους, ἀνεπαχθῆ τὸν λόγον ποιῶν. ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος. τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἵνα γὰρ μὴ ἀκούοντα τὰ ἔθνη λυπῆται, ὡς ἐκ τῆς ἐκείνων σπουδῆς μὴ τυγχάνοντα τῶν ἀγαθῶν, ἐπάγει τὴν προφητείαν λέγων· τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς. ἀκούοντα δὲ τὰ ἔθνη. τοῦτο καὶ αὐτοὺς προθυμοτέρους ἐποίει, ὅτι ὧν ἐκεῖνοι ὤφειλον ἀκούσαντες ἀπολαῦσαι, αὐτοὶ τούτων ἀπολαύουσι, κἀκείνους μᾶλλον ἔδακνεν. ἀκούοντα δὲ τὰ ἔθνη, φησὶν, ἔχαιρον καὶ ἐδόξαζον τὸν λόγον τοῦ Κυρίου, καὶ ἐπίστευσαν ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον· τουτέστιν ἀφωρισμένοι τῷ Θεῷ. ὅρα πῶς δείκνυσι τὸ τάχος τῆς ὠφελείας. διεφέρετο δὲ ὁ λόγος τοῦ Κυρίου δι' ὅλης τῆς χώρας· τουτέστι, διεκομίζετο. ὡσεὶ ἔλεγεν· οὐκ ἔστησαν μέχρι τοῦ ζήλου, ἀλλὰ καὶ ἔργα προσέθηκαν. ὅρα πάλιν πῶς διωκόμενοι ἕτερα κατασκευάζουσι μεγάλα διὰ τοῦ ζήλου.

Tunc nos inexercitatos super currum stare viderit quis, quando certamen adest. Quare igitur ridiculi sumus? Nonne dixi sæpè, exerceamur apud domesticos ante tentationem? sed apud pueros domi sæpè exasperamur: vincamus illic animi impetum, ut dextrè illo apud amicos utentes appareamus. Et in aliis omnibus si exerceremur, non fieremus ridiculi. Nunc autem sunt arma, exercitia, studia in aliis artibus, & certaminibus in virtutibus minimè. Non ausus est agricola vineam tangere, non antea bene in re rustica exercitus: neque gubernator amplustre trahit, non prius edoctus bene. Nos autem absque exercitatione omni primam palmam habere volumus, oportebat silere, oportebat nulli communicari vel verbo, vel negotio, donec possemus bestiam quæ in nobis compescere. Annon quavis bestia gravius contra nos militant, & furor, & concupiscentia? Ne vadas cum his bestiis in forum, donec bene imponas eis frænum, donec ipsas mansuefacias, & manum tuam sequantur. Non vides hos qui mansuetos leones circumducunt, quantum lucri faciant, & quanta sint in admiratione, quia in feroci bestia talem mansuetudinem operati sint? Si autem subito ferociat ille, omnis turba quæ in foro submovetur, & periclitatur posteà homo, qui circumducit illum, & perditionis aliorum factus est author. Et tu igitur leonem mansuefacias prius, & tunc circumducito, non ut pecuniam accipias, sed ut lucrum, cui nullum par est lucrifacias. Nihil enim par est justitiæ quæ & possidentibus, & utentibus valde utilis est. Hanc igitur sectemur, ut possimus virtutis viam diligenter ambulantes æterna bona assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul, ac sancto Spiritu sit gloria, imperium & honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA XXX.

Egressis autem illis orabant ut loquerentur eis interim usq; ad Sabbatum verba hæc.

Vidisti Pauli sapientiam? Non tunc solùm in admiratione fuit, sed etiam desiderium immisit illis, ut secundò audire cuperent, cùm dixisset semina quædam, & nondum absolvisset ac consummasset sermonem, ita ut illos sibi conciliaret, ac familiares redderet, & non congerendo simul omnia in illorum animos minus idoneos faceret. Dixerat, quod remissio peccatorum per hunc vobis annunciatur: quomodo autem, non manifestarat. Post hæc sui ipsius ipse memoriam facit primum. Vides quanta alacritas? *Sequebantur illos*, inquit, Quare illos non baptizavit statim? Non erat tempus. Persuadere oportebat, ut sic firmi maneant. *Soluta autem congregatione secuti sunt multi Judæi, & pii advenæ Paulum, & Barnabam, qui scilicet allocuti eos, persuaserunt ut maneant in gratia Dei. Et sequente Sabbato quasi tota civitas congregata est, ut audiat sermonem Dei. Videntes autem Judæi turbas, impleti sunt zelo, & contradicebant his quæ à Paulo dicebantur, contradicentes ac blasphemantes.* Vide malitiam ut verberatur dum alios verberat. Hoc magis faciebat claros, quod contradicebant illi. Itaque primum quidem sponte obsecrabant. *Contradicentes*, inquit, *ac blasphemantes.* O impudentiam! Contradicunt in his propter quæ illos commendare oportebat. *Cum fiducia autem loquentes Barnabas ac Paulus dicebant: Vobis oportebat primum dici sermonem Dei. Quoniam autem repellitis illum, & non dignos judicatis vos æterna vita, ecce convertimur ad Gentes.* Vides quomodo contentione facta magis propagarunt prædicationem, & ratione reddita se contulerunt ad Gentes? Et non dixit: Indigni estis: sed *judicastis vos ipsos indignos:* sermonem faciens onerosum. *Ecce convertimur ad Gentes: Ita enim præcepit nobis Dominus: Posui te in lucem Gentium, ut sis tu in salutem usq; ad finem terræ.* Esa. 49, 6. Nam ut Gentes non contristentur, quasi ex illorum diligentia, bona non assequantur, addit Prophetiam dicens: *Posui te in lucem Gentium:* Hoc est, *ut sis in salutem usq; ad extremum terræ; Audientes autem Gentes.* Hoc & illos alacriores reddebat, quia quibus auditis hi debebant frui, his illi fruuntur. Et istos magis mordebat. *Audientes autem Gentes*, inquit, *gaudebant & glorificabant sermonem Domini, & crediderunt quotquot erant præordinati ad vitam æternam.* Id est, præfiniti à Deo. Vide quomodo ostendit utilitatis accelerationem. *Differebatur autem sermo ille per totam regionem:* Hoc est, in diversa ferebatur, & divulgabatur. Non contenti erant zelo, sed etiam opera adjecerunt: Vide iterum quomodo persequentes alia efficiunt magna per æmulationem. Effece-

Effecerunt enim ut hi liberius loquerentur, & ad Gentes venirent. Et audi quomodo: *fidenter autem loquentes Paulus & Barnabas, dicebant: Vobis*, inquit, *oportebat primum dici sermonem Dei: Quoniam autem repulistis illum, ecce convertimur ad Gentes.* Igitur egressuri erant posteà ad Gentes. Sed vide etiam in hac dicendi libertate servatum modum. Et meritò: Nam si Petrus rationem reddebat, multò magis & defensione opus erat, cùm nemo illos illuc vocasset. Dicens autem, *primum*, ostendit quod & illis oportebat: dicensque fuisse necessarium ac *oportuisse*, ostendit quod & illis necessarium. *Quoniam autem aversamini*, non dixit: Væ vobis: Nec dixit: Puniemini: Sed, *Convertimur ad Gentes.* Vides quantam habet mansuetudinem junctam, sermonis libertas? *Judæi autem extimulantes mulieres pias, & honestas, & Principes civitatis, excitarunt seditionem adversus Paulum, & Barnabam, & ejecerunt illos è finibus suis.* Vides quantum profecerint, qui adversabantur prædicationi, in quantam turpitudinem illos ducunt? *At illi excusso pulvere è pedibus suis super illos, venerunt ad Iconium.* Hic terribile hoc faciebant, quod præceperat Christus, dicens: *Et si quis vos non acceperit, egressi excutite pulverem à pedibus vestris.* Illi autem non simpliciter hoc fecerunt, sed postquam abacti sunt ab eis. Veruntamen neque hoc discipulis nocuit, sed multò magis perseverarunt in verbo, id quod manifestat addens: *Discipuli autem implebantur gaudio & Spiritu sancto.* Passio enim præceptoris, fiduciam illorum non minuebat, sed alacriores reddebat discipulos.

Matt. 10. 14.

Cap. XIV. *Factum est autem in Iconio, cum introissent illi in Synagogam Judæorum, & loquerentur ita; ut crederet Judæorum & Græcorum magna multitudo.* Iterum in Synagogas ingrediuntur. Vide quam non fuerint meticulosi facti. Cùm dixissent: *Convertimur ad Gentes*: ex abundantia tamen suam defensionem tollunt. *Ita ut crederet Judæorum Græcorumque magna multitudo.* Verisimile enim illos & cum Græcis disseruisse. *Qui verò increduli erant Judæi, concitarunt & corruperunt animos Gentilium erga fratres.* Simul jam etiam Gentes concitabant, quasi non satis esset quòd ipsi obsisterent. Cur igitur illinc non exierunt? Non ferebant persecutionem, sed impugnabantur solùm. *Multo igitur tempore demorati sunt cum fiducia loquentes per Dominum, qui testimonium dabat sermoni gratiæ suæ, & dabat signa ac prodigia fieri in populo.* Hoc faciebat fiduciam, imò fiduciam faciebat illorum alacritas: nam propter hoc aliquandiu nusquam signa faciebant. Quod autem credebant audientes, ex signis habebant. Itaque conducebat aliquid & dicendi libertas. *Scissa est autem multitudo civitatis, & alii quidem erant cum Judæis, alii autem cum Apostolis.* Non parum facit ad accusationem, etiam istud *scindi.*

Matth. 10. 34. Hoc erat quod dicebat Christus. *Non veni mittere pacem, sed gladium. Cum autem factus esset impetus Gentium pariter ac Judæorum cum Principibus illorum, ut vim afferrent, & lapidarent eos, re comperta confugerunt in eas quæ in circuitu civitates Lycaoniæ, Lystran & Derben, & finitimam regionem, & illic erant evangelizantes.* Iterum quasi dedita opera propagare volentes prædicationem, postquam crevissent, illos iterum expellunt. Vide ubique persecutiones magna bona facere, & persequentes vinci: eos autem qui persecutionem ferunt, clariores apparere. Nam ut venit in Lystra facit magnum miraculum etiam claudo sanato, & magna voce. Et quomodo, audi: *Et vir quidam*, inquit, *in Lystris sedebat infirmus pedibus, qui nunquam ambularet, hic audivit Paulum loquentem, qui intuitus illum, & videns quod fidem haberet, fore ut salvus fieret, dixit magna voce: Surge in pedes tuos rectus. Et exilivit, & ambulavit.* Quare *magna voce?* Ut turbæ credant. Vide autem, attendebat diligenter ea quæ à Paulo dicebantur. Hoc enim est quod audivit. Vidisti sapientiæ studium, nihil impediebat claudicatio, quin diligenter audiret verbum. *Qui intuitus illum, & videns quod fidem haberet, fore, ut salvus fieret.* Jam prælectione assumptus familiariter erat, quamvis in aliis contrarium factum fuerit. Prius enim curarunt corpora, & tunc curarunt animas. Hic autem non sic. Mihi videtur Paulus ad animam illius respexisse. *Et exilivit*, inquit, *& ambulavit.* Saltatio perfectæ sanitatis indicium. *Turbæ verò cum vidissent quod fecerat Paulus, sustulerunt vocem suam Lycaonicè, dicentes: Dii in specie hominum descenderunt ad nos, & vocabant Barnabam Jovem, Paulum verò Mercurium, quod is esset dux sermonis. At Sacerdos Jovis cum esset ante illorum civitatem, tauros & coronas ad vestibula afferens cùm turbis volebat sacrificare.* Sed hoc nondum erat manifestum, sua enim voce loquebatur, *quod dii in specie hominum descenderunt ad nos.* Id-

κατεσκεύασαν γὰρ τὸ παῤῥησιάσασθαι αὐτοὺς καὶ εἰς τὰ ἔθνη ἐλθεῖν, καὶ ἄκουε πῶς. παῤῥησιασάμενος δὲ ὁ Παῦλος, καὶ ὁ Βαρνάβας εἶπον· ὑμῖν φησιν, ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτὸν, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη. ἀλλ' ὅρα καὶ τὴν παῤῥησίαν μέτρῳ γινομένην. καὶ εἰκότως. εἰ γὰρ Πέτρος ἀπελογεῖτο, πολλῷ μᾶλλον οὗτοι ἀπολογίας ἐδέοντο, οὐδενὸς αὐτοὺς καλέσαντος ἐκεῖ. εἰπὼν δὲ πρῶτον, [ἔδειξεν ὅτι κἀκείνοις ἔδει· καὶ εἰπὼν ἀναγκαῖον] ἔδειξεν ὅτι κἀκείνοις ἀναγκαῖον. ἐπειδὴ δὲ ἀποστρέφεσθε, οὐκ εἶπεν οὐαὶ ὑμῖν. καὶ ὅτι κολάζεσθε· ἀλλ' ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη. εἶδες πῶς πολλῆς ἐπιεικείας ἡ παῤῥησία γέμει; οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας, καὶ τὰς εὐσχήμονας, καὶ τοὺς πρώτους τῆς πόλεως, καὶ ἐπήγειραν διωγμὸν ἐπὶ τὸν Παῦλον καὶ Βαρνάβαν, καὶ ἐξέβαλλον αὐτοὺς ἀπὸ τῶν ὁρίων αὐτῶν. ὁρᾷς ὅσον ἐκέρδαναν οἱ ἐναντιούμενοι τῷ κηρύγματι; εἰς ὅσην ἀσχημοσύνην αὐτοὺς ἤγαγον; οἱ δὲ ἐκτιναξάμενοι τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν αὐτῶν ἐπ' αὐτοὺς, ἦλθον εἰς Ἰκόνιον. ἐνταῦθα τὸ φοβερὸν ἐποίουν λοιπὸν ὃ προσέταξεν ὁ Χριστὸς λέγων· καὶ ἐὰν μή τις ὑμᾶς δέξηται, ἐξερχόμενοι ἐκτινάξατε τὸν κονιορτὸν ἀπὸ τῶν ποδῶν ὑμῶν. αὐτοὶ δὲ οὐδὲ ἁπλῶς τοῦτο ἐποίησαν, ἀλλ' ἐπειδὴ ἀπηλάθησαν παρ' αὐτῶν. πλὴν οὐδὲ τοῦτο τοὺς μαθητὰς ἔβλαψεν, ἀλλ' οἱ μᾶλλον ἐπέμενον τῷ λόγῳ. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν· οἱ δὲ μαθηταὶ ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. πάθος γὰρ διδασκάλου παῤῥησίαν οὐκ ἐκκόπτει, ἀλλὰ προθυμότερον ποιεῖ τὸν μαθητήν.

Ἐγένετο δὲ ἐν Ἰκονίῳ κατὰ τὸ αὐτὸ εἰσελθεῖν αὐτοὺς εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων τε καὶ Ἑλλήνων πλῆθος πολύ. πάλιν εἰς τὰς συναγωγὰς εἰσέρχονται. ὅρα πῶς οὐκ ἐγένοντο δειλότεροι, εἰπόντες ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη. οὐκ πολλῆς τῆς περιουσίας ὅμως ἀναιροῦσιν αὐτῶν τὴν ἀπολογίαν· ὥστε πιστεῦσαι, φησὶν, Ἰουδαίων τε καὶ Ἑλλήνων πολὺ πλῆθος. εἰκὸς γὰρ αὐτοὺς ὡς καὶ πρὸς Ἕλληνας διαλέγεσθαι. οἱ δὲ ἀπειθοῦντες Ἰουδαῖοι, ἐπήγειραν καὶ ἐκάκωσαν τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν. κατὰ τὸ αὐτὸ λοιπὸν καὶ τὰ ἔθνη ἐπήγειραν, ὡς οὐκ ἀρκοῦντες αὐτοί. τί οὖν ἐκεῖθεν οὐκ ἐξῆλθον; οὐ γὰρ ἐδιώκοντο, ἀλλ' ἐπολεμοῦντο μόνον. ἱκανὸν μὲν οὖν χρόνον ἐποίουν παῤῥησιαζόμενοι ἐπὶ τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, διδόντι σημεῖα καὶ τέρατα γίνεσθαι διὰ τῶν χειρῶν αὐτῶν. τοῦτο ἐποίει τὴν παῤῥησίαν· μᾶλλον δὲ τὴν μὲν παῤῥησίαν ἐποίει ἡ αὐτῶν προθυμία. διὰ γὰρ τοῦτο μέχρι πολλοῦ οὐδαμοῦ σημεῖα ποιοῦσι· τὸ δὲ πιστεῦσαι τοὺς ἀκούοντας, τῶν σημείων ἦν· συνετέλει γοῦν τι καὶ ἡ παῤῥησία. ἐσχίσθη δὲ τὸ πλῆθος τῆς πόλεως· καὶ οἱ μὲν ἦσαν σὺν τοῖς Ἰουδαίοις· οἱ δὲ σὺν τοῖς Ἀποστόλοις. οὐ μικρὸν εἰς κατηγορίαν καὶ αὐτὸ τὸ σχισθῆναι. τοῦτο ἦν ὃ ἔλεγεν ὁ Χριστός· οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν. ὡς δὲ ἐγένετο ὁρμὴ τῶν ἐθνῶν, καὶ Ἰουδαίων σὺν τοῖς ἄρχουσιν αὐτῶν ὑβρίσαι καὶ λιθοβολῆσαι αὐτοὺς, συνιδόντες κατέφυγον εἰς τὰς κύκλῳ πόλεις τῆς Λυκαονίας, Λύστραν καὶ Δέρβην, καὶ τὴν περίχωρον, κἀκεῖ ἦσαν εὐαγγελιζόμενοι. πάλιν ὥσπερ ἐπίτηδες ἐκτεῖναι βουλόμενοι τὸ κήρυγμα, μετὰ τὸ αὐξηθῆναι πάλιν αὐτοὺς ἐξάγουσιν. ὅρα πανταχοῦ τοὺς διωγμοὺς μεγάλα ἐργαζομένους ἀγαθά· καὶ τοὺς μὲν διώκοντας, ἡττωμένους, τοὺς δὲ διωκομένους, λαμπροὺς ἀποφαίνοντας. ἐλθὼν γὰρ ἐν Λύστροις, ποιεῖ θαῦμα μέγα· τὸν χωλὸν ἀναστήσας, καὶ μεγάλῃ τῇ φωνῇ. καὶ πῶς, ἄκουε. καί τις, φησὶν, ἀνὴρ ἐν Λύστροις ἀδύνατος τοῖς ποσὶν ἐκάθητο, χωλὸς ἐκ κοιλίας μητρὸς αὐτοῦ ὑπάρχων, ὃς οὐδέποτε περιεπεπατήκει. οὗτος ἤκουσε τοῦ Παύλου λαλοῦντος. ὃς ἀτενίσας αὐτῷ, καὶ ἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι, εἶπε μεγάλῃ τῇ φωνῇ· ἀνάστηθι ἐπὶ τοὺς πόδας σου ὀρθός· καὶ ἥλλετο καὶ περιεπάτει· διατί μεγάλῃ τῇ φωνῇ; ὥστε τοὺς ὄχλους πιστεῦσαι. ὅρα δὲ, προσεῖχεν ἀκριβῶς τοῖς λεγομένοις ὑπὸ τοῦ Παύλου. τοῦτο γάρ ἐστι τὸ ἤκουσεν. εἶδες φιλοσοφίαν; οὐδὲν ὑπὸ τῆς χωλείας πρὸς τὴν σπουδὴν τῆς ἀκροάσεως παρεβλάβη. ὃς ἀτενίσας αὐτῷ εἰδὼν ὅτι πίστιν ἔχει τοῦ σωθῆναι. ἤδη ᾠκείωτο τῇ προαιρέσει. καίτοι ἐπὶ τῶν ἄλλων τοὐναντίον γέγονε. πρότερον γὰρ ἰώμενοι τὰ σώματα, τότε τὰς ψυχὰς ἐθεράπευον· οὗτος δὲ οὐχ οὕτως. ἐμοὶ δοκεῖ εἰς τὴν ψυχὴν ἰδεῖν τὴν αὐτοῦ ὁ Παῦλος. καὶ ἥλλετο, φησὶ, καὶ περιεπάτει. τεκμήριον τῆς ἀκριβοῦς ὑγιείας τὸ ἅλλεσθαι. οἱ δὲ ὄχλοι ἰδόντες ὃ ἐποίησεν ὁ Παῦλος, ἐπῆραν αὐτῶν τὴν φωνὴν Λυκαονιστὶ λέγοντες· οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς, ἐκάλουν δὲ τὸν μὲν Βαρνάβαν, Δία· τὸν δὲ Παῦλον Ἑρμῆν, ἐπειδὴ αὐτὸς ἦν ὁ ἡγούμενος τοῦ λόγου. ὁ δὲ ἱερεὺς τοῦ Διὸς τοῦ ὄντος πρὸ τῆς πόλεως αὐτῶν, ταύρους καὶ στέμματα ἐπὶ τοὺς πυλῶνας ἐνέγκας, σὺν τοῖς ὄχλοις ἤθελε θύειν. ἀλλ' οὐκ ἦν τοῦτο οὐδέπω δῆλον· τῇ γὰρ οἰκείᾳ φωνῇ ἐφθέγγοντο λέγοντες· οἱ θεοὶ ὁμοιωθέντες ἀνθρώποις, κατέβησαν πρὸς ἡμᾶς.

διὰ τοῦτο οὐδὲν αὐτοῖς ἔλεγον. ἐπεὶ δὲ εἶδον τὰ στέμματα, τότε ἐξελθόντες, διέρρηξαν τὰ ἱμάτια αὐτῶν. ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν εἰσεπήδησαν εἰς τὸν ὄχλον κράζοντες καὶ λέγοντες· ἄνδρες τί ταῦτα ποιεῖτε; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι. ὅρα αὐτοὺς πανταχοῦ δόξης καθαρούς· οὐ μόνον οὐκ ἐφιεμένους, ἀλλὰ καὶ διδομένην διακρουομένους. ὥσπερ καὶ Πέτρος ἔλεγε· τί ἡμῖν ἀτενίζετε, ὡς ἰδίᾳ δυνάμει ἢ εὐσεβείᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν; καὶ οὗτοι τὸ αὐτό φασι. καὶ Ἰωσὴφ δὲ ἔλεγεν ἐπὶ τῶν ἐνυπνίων· οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν; καὶ ὁ Δανιὴλ ὁμοίως· καὶ ἐμοὶ δὲ οὐκ ἐν σοφίᾳ τῇ οὔσῃ ἐν ἐμοὶ ἀπεκαλύφθη. καὶ Παῦλος πανταχοῦ τοῦτο φησίν, ὡς ὅταν λέγῃ· καὶ πρὸς ταῦτα τίς ἱκανός; καὶ πάλιν· οὐχ ὅτι ἱκανοί ἐσμεν ἀφ' ἑαυτῶν λογίσασθαί τι ὡς ἐξ ἑαυτῶν· ἀλλ' ἡ ἱκανότης ἡμῶν ἐκ τοῦ Θεοῦ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. οὐχ ἁπλῶς αὐτοῖς προσετέθησαν οἱ ὄχλοι· ἀλλὰ πῶς; ἠξίουν λαληθῆναι αὐτοῖς τὰ αὐτὰ πάλιν, καὶ διὰ τῶν ἔργων ἐπεδείξαντο τὴν σπουδήν. ὅρα πανταχοῦ παρακαλοῦντας, οὐκ ἀποδεχομένους ἁπλῶς, οὐδὲ κολακεύοντας. διὰ τοῦτο ἔλεγεν· οἵτινες προσλαλοῦντες αὐτοῖς ἔπειθον προσμένειν τῇ χάριτι τοῦ Θεοῦ. διατί πρὸ τούτου μὴ ἀντέλεγον; διότι τέως οἱ ἀπειθοῦντες ἡσύχαζον. ὁρᾷς ὅτι πανταχοῦ πάθη ἐκίνουν; καὶ οὐκ ἀντέλεγον μόνον, ἀλλὰ καὶ ἐβλασφήμουν. καὶ γὰρ ἡ κακία οὐδαμοῦ ἵσταται. ἀλλ' ὅρα παρρησίαν· ὑμῖν ἦν, φησίν, ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον· ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν. οὐδὲν ὑβριστικόν. ὃ δὴ καὶ ἐπὶ τῶν προφητῶν ἐποίουν· μὴ λαλεῖτε ἡμῖν, φησί, λαλιάν. ἐπεὶ δὲ ἀπωθεῖσθε αὐτόν, φησίν, οὐχ ἡμᾶς. οὐ γὰρ εἰς ἡμᾶς ἡ ὕβρις ἡ παρ' ὑμῶν. ἵνα γὰρ μὴ τῆς εὐλαβείας εἶναι νομίσῃ τις, οὐκ ἀξίους κρίνετε ἑαυτούς. διὰ τοῦτο πρῶτον εἶπεν, ἀπωθεῖσθε αὐτόν· καὶ τότε, στρεφόμεθα εἰς τὰ ἔθνη. πολλῆς ἐπιεικείας γέμει τὸ ῥῆμα. οὐκ εἶπεν, ἐγκαταλιμπάνομεν ὑμᾶς, δεικνὺς ὅτι δυνατὸν καὶ ἐνταῦθα πάλιν στραφῆναι· καὶ τοῦτο οὐκ ἀπὸ τῆς ὑμετέρας ὕβρεως γέγονεν. οὕτω γὰρ ἐντέταλται ἡμῖν. ἔδει μὲν οὖν ἀκοῦσαι τὰ ἔθνη· πλὴν τοῦτο οὐ παρ' ἡμῶν, παρ' ὑμῶν δὲ γέγονε τὸ πρὸ ὑμῶν ὀφεῖλον. οὕτω γὰρ ἐντέταλται ἡμῖν ὁ Κύριος. τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναί σε εἰς σωτηρίαν· τουτέστιν, εἰς γνῶσιν τὴν ἐπὶ σωτηρίᾳ· καὶ οὐχ ἁπλῶς ἐθνῶν, ἀλλὰ πάντων. τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, ὅσοι ἦσαν τεταγμένοι εἰς ζωὴν αἰώνιον. καὶ τοῦτο τεκμήριον τοῦ κατὰ Θεοῦ γνώμην αὐτοὺς προσλαβέσθαι· τεταγμένοι δέ, εἶπεν, ἵνα δείξῃ ὡς οὐ κατ' ἀνάγκην. οὓς γὰρ προέγνω, φησί, καὶ προώρισεν. οὐκ ἔτι ἐν τῇ πόλει διεσπάρησαν, ἀλλὰ καὶ ἐν τῇ χώρᾳ. ἀκούσαντες γὰρ οἱ ἐξ ἐθνῶν, καὶ αὐτοὶ μετ' ὀλίγον προσῆλθον. οἱ δὲ Ἰουδαῖοι παρώτρυναν τὰς σεβομένας γυναῖκας. καὶ ἐπήγειραν διωγμόν. ὅρα, καὶ τὸ πρᾶγμα τῶν γυναικῶν γινομένων αὐτοὶ λοιπὸν αἴτιοι καθίστανται. καὶ ἐξέβαλον αὐτούς, φησίν, ἀπὸ τῶν ὁρίων αὐτῶν· οὐχὶ τῆς πόλεως μόνης, ἀλλὰ τῆς χώρας ἁπάσης. εἶτα τὸ φοβερώτερον· οἱ δὲ μαθηταί, φησίν, ἐπληροῦντο χαρᾶς καὶ πνεύματος ἁγίου. ἐδιώκοντο οἱ διδάσκαλοι, καὶ αὐτοὶ ἔχαιρον. εἶδες φύσιν Εὐαγγελίου δύναμιν ἔχοντος πολλήν; ἐκάκωσαν, φησί, τὰς ψυχὰς τῶν ἐθνῶν κατὰ τῶν ἀδελφῶν· τουτέστι, διέβαλον τοὺς Ἀποστόλους· μυρία αὐτῶν κατηγόρησαν, ἀπλάστους ὄντας κακούργους διέθηκαν. καὶ ὅρα πῶς πανταχοῦ τῷ Θεῷ ἀνατίθησι τὸ πᾶν. ἱκανὸν χρόνον, φησί, διέτριψαν παρρησιαζόμενοι [ἐπὶ] τῷ Κυρίῳ τῷ μαρτυροῦντι τῷ λόγῳ τῆς χάριτος αὐτοῦ. μὴ τοῦτο ἐλαττώσεως εἶναι νομίσῃς. ὅτε γὰρ ἔλεγον, τοῦ μαρτυρήσαντος, φησίν, ἐπὶ Ποντίου Πιλάτου, τότε ἡ παρρησία ἐδείκνυτο. ἐνταῦθα δὲ περὶ τοῦ λαοῦ φησιν· οὐ περιέμειναν τοίνυν, ἀλλ' εἶδον τὴν ὁρμήν, καὶ κατέφυγον εἰς τὰς πόλεις τῆς Λυκαονίας, Λύστραν, καὶ Δέρβην, καὶ τὴν περίχωρον. ἐνταῦθα οὐδαμοῦ τὸν θυμὸν αὐτῶν ἐκκαίειν ἦν· ὥστε καὶ ἐν ταῖς χώραις ἀπήντησαν, οὐκ ἐν πόλεσι μόνον. ὅρα καὶ τῶν ἐθνῶν τὴν ἀφέλειαν, καὶ τῶν Ἰουδαίων τὴν κακουργίαν. δι' ἔργων ἐπεδείκνυντο ὅτι ἄξιοι ἦσαν ἀκούειν. οὗτοι ἐτίμων αὐτοὺς ἀπὸ σημείων μόνον· οἱ μὲν ὡς θεοὺς ἐτίμων· οἱ δὲ ὡς λυμεῶνας ἐδίωκον. καὶ οἱ μὲν οὐ μόνον οὐ προσέκοπτον τῷ κηρύγματι, ἀλλὰ καὶ ἔλεγον· οἱ θεοὶ ἀνθρώποις ὁμοιωθέντες κατέβησαν πρὸς ἡμᾶς· Ἰουδαῖοι δὲ ἐσκανδαλίζοντο· ἐκάλουν τε, φησί, τὸν μὲν Βαρνάβαν Δία, τὸν δὲ Παῦλον Ἑρμῆν. ἐμοὶ δοκεῖ καὶ ἀπὸ τῆς ὄψεως ἀξιοπρεπὴς εἶναι ὁ Βαρνάβας. οὐ μικρὸς καὶ οὗτος πειρασμὸς ἐξ ἀμετρίας ἔφυ πολλῆς. ἀλλὰ καὶ ἐντεῦθεν τῶν Ἀποστόλων ἡ ἀρετὴ δείκνυται, καὶ ὅρα πῶς πανταχοῦ πάντα ἀνατιθέασι τῷ Θεῷ. τούτους καὶ ἡμεῖς ζηλώσωμεν· μηδὲν ἡμέτερον εἶναι νομίζωμεν· ὅπου γε καὶ αὐτὴ ἡ πίστις οὐχ ἡμέτερον, ἔτι δὲ οὐχ ἡμέτερον, ἀλλὰ τὸ πλέον τοῦ Θεοῦ, ἄκουε Παύλου λέγοντος· καὶ τοῦτο οὐκ ἐξ ἡμῶν, Θεοῦ τὸ δῶρον.

circo nihil illis dicebant. Ubi autem viderunt coronas, tunc egressi, diruperunt vestes suas. *Cum audissent autem Apostoli Paulus, & Barnabas, discissis vestibus suis insilierunt in turbam clamando ac dicendo: Viri, cur hoc facitis? Et nos similiter ut vos passibiles sumus homines.* Vide illos ubique à gloriæ studio mundos, quam non solum non desiderabant, sed & cum daretur, repellebant. Sicut & Petrus dicebat: *Quid in nos respicitis, quasi propria virtute vel impietate fecerimus ambulare illum?* (Supra 3, 12.) Et illi idem dicunt. Joseph autem dicebat de somniis: *Nonne à Deo manifestatio somniorum?* (Gen. 40, 8.) Et Daniel similiter: *Et mihi non in sapientia quæ est in me, revelatum est.* (Dan. 2, 30.) Et Paulus ubique hoc dicit, ut quando dicit: *Et ad hæc quis sufficit?* Et iterum: *Non sufficientes sumus à nobis ipsis cogitare, quasi ex nobis ipsis, sed sufficientia nostra ex Deo est.* (2. Cor. 3, 5.) Videamus autem iterum quæ supra dicta: Non simpliciter illis appositæ sunt turbæ, sed quomodo? *Rogabant ut ipsis eadem iterum loquerentur*, & operibus studium declarabant. Vide ubique obsecrantes, non recipientes simpliciter, nec adulantes. Idcirco dicebat: *Qui scilicet colloquentes cum illis suaserunt, ut perseverarent in gratia Dei.* Quare ante hoc non contradicebant? quia tunc non increduli tacebant. Vides, quod ubique affectionibus movebantur. Et non contradicebant solùm, sed & blasphemabant. Etenim malitia nunquam sistit, sed vide dicendi libertatem. *Vobis erat*, inquit, *necessarium primum dici sermonem Dei, quoniam autem repulistis illum.* Nihil contumeliosè dictum. Quod sanè & in prophetis faciebant: *Ne loquamini nobis*, inquit, *locutione. Quoniam autem repulistis, illum*, inquit, non nos. Non enim contumelia nostra vestra tantum est. Ne enim quis pietatis esse putet, dicit: *Indignos judicastis vosipsos.* Quocirca primum dixit, *repulistis illum*: & tunc, *convertimur ad Gentes.* Verbum hoc mansuetudine plenum est. Non dixit, derelinquimus vos, ostendens quod possibile sit se iterum huc converti. Et hoc non propter vestram contumeliam factum est. *Sic enim præceptum est nobis.* Itaque oportet adire Gentes, veruntamen hoc non ex nobis facimus. A vobis autem factum est, quod à nobis oportebat. *Sic enim præcepit nobis Dominus. Posui te in lucem Gentium, ut tu sis in salutem*: (Esa. 49, 6.) hoc est, in cognitionem quæ est in salute: & non simpliciter *Gentium*, sed *omnium.* Hoc sanè manifestat dicendo: *Quotquot ordinati sunt in vitam æternam.* Et hoc indicium est, quod illi juxta voluntatem Dei assumantur. *Ordinati* autem, inquit, ut ostendat quod non per necessitatem. *Quos enim præcognovit*, inquit, *& præfinivit.* (Rom. 8, 29.) Non jam in civitate dispersi sunt, sed etiam in regione. Nam cùm audissent ii qui ex Gentibus, etiam ipsi paulò post accesserunt, *Judæi autem concitabant religiosas mulieres, & excitarunt persecutionem.* Vide etiam quod mulieribus illis authores sui furoris sunt. *Et ejecerunt illos*, inquit, *à finibus suis*: Non à sola civitate, sed ab omni regione. Deinde hoc terribilius. *Discipuli autem*, inquit, *implebantur gaudio, & Spiritu sancto.* Persecutionem patiebantur magistri, & illi gaudebant: Vidisti quantam virtutem natura Evangelii habet? Afflixerunt, inquit, animas Gentium contra fratres: hoc est, calumniati sunt Apostolos, & innumera mala contra illos dixerunt, cum sine fuco essent, maligne affecerunt. Et vide quomodo semper Deo totum adscribit: *Multo tempore*, inquit, *morati sunt cum fiducia loquentes per Dominum, qui testimonium dabat sermoni gratiæ suæ.* Num hoc imminutionis esse putas? quando enim dicebant: *Qui testimonium dedit*, inquit, *sub Pontio Pilato?* tunc loquendi libertas ostendebatur. Hic autem de populo dicit: *Non expectabant igitur, sed videbant impetum, & confugerunt in civitates Licaoniæ, Lystram, & Derben, & finitimam regionem.* Hic minimè fervorem illorum extinguere licebat. Et ita etiam in regionibus & non in solis civitatibus aggressi sunt. Vide etiam Gentium simplicitatem, & Judæorum malitiam, operibus declarabant se dignos qui audirent, & ita ob sola signa illos honorabant. Illi quidem ut Deos colebant, hi verò ut scelestos persequebantur. Et illi non solum non offendebantur prædicatione, sed etiam dicebant: *Dii in specie hominum descenderunt ad nos; Judæi autem offendebantur. Vocabant autem*, inquit, *Barnabam quidem Jovem, Paulum autem Mercurium.* Mihi videtur etiam ab aspectu venerabilis fuisse Barnabas. Enim hæc tentatio non parva, ab immodica observandi nimietate prodiit, verum & hinc Apostolorum virtus ostenditur. Et vide quomodo ubique omnia tribuunt Deo. Hos & nos imitemur. Nihil nostrum esse putemus, quandoquidem & ipsa fides non est nostrum opus. Quod autem non sit nostrum, sed magis Dei, audi Paulum dicentem: *Etiam hoc non ex nobis, Dei donum.* (Eph. 2, 8.)

Ne igitur sublime sapiamus, ne inflemur, cum simus homines, terra ac cinis, fumus & umbra. Dic enim oro, quare superbis? Eleemosynas dedisti, & pecunias expendisti. Et quid hoc? Cogita, si non voluisset Deus te facere divitem. Cogita eos qui inopia premuntur. Imò cogita, quot etiam corpora impenderunt: & postquam plurima erogarunt, seipsos miseros dixerunt: Tu autem propter teipsum dedisti; Christus non te opus habet. Vide quam incerta futura. Et ne superbi, sed time, ne virtutem arrogantia pessundet. Vis re ipsa bonum aliquod opus facere? Nunquam præsumas tanquam de magnis operibus. Num virgo es? Sed & illæ, cum virgines essent, nullum à virginitate, propter inhumanitatem ac crudelitatem fructum reportarunt. Nihil conferendum humilitatis virtuti. Ipsa enim mater est ac radix, & alumna, & fulcimentum, & vinculum bonorum. Sine illa, abominabiles & scelesti, & immundi sumus. Esto enim quis mortuos suscitet, ac claudos sanet, leprosos purget, cum superbia: nihil contaminatius, nihil magis impium, nihil scelestius. Nihil tui ipsius esse puta. Industria vales, & docendi gratia: ne propterea putes quod plus aliis habeas. Idcirco maximè humiliari, ac modestia uti debes, quia plura assecutus es dona. *Cui enim plus remissum est, plus diliget.* Igitur & modestia opus est, quod aliis præteritis te respexit Dominus. Time ob hanc rem. Sæpe enim tibi & perditionis causa fit, nisi sobrius sis. Cur superbis, quod doces sermonibus? Perquam facile est philosophari verbis. Doce me vita tua. Hæc doctrina optima est. Dicis, quod opus est modestia: & tu procul ab hoc sermone recedis, & rhetoricaris, nullo prohibente verbis diffluens. Sed te melior ille, inquit, qui operibus docet. Non enim sic insident animæ verba ac opera. Quoniam si non habueris opus bonum, non solùm non proderis loquendo, sed etiam plus nocebis, viliusque fuerit tacere. Quare? Quia opus mihi proponis, ac si impossibile foret. Cogito enim mecum: Si tu qui tanta loqueris non facis, multò magis ego venia dignus sum, nihil tale dicens. Idcirco, inquit Propheta: *Peccatori, inquit Deus, ut quid tu enarras justificationes meas?* Majus enim hoc damnum, quando benè quis docet verbis, & operibus doctrinam impugnat. Hoc multorum in Ecclesia malorum causa est. Eapropter & veniam date, oro, quod prolixior sum in hac causa. Multi ut in medium procedant, multa faciunt, & ut longum sermonem facere possint: & si applaudentem multitudinem habent, quasi regnum adepti sint, gaudent: si autem cum silentio claudatur sermo, tristitia major illis è silentio, quàm ex gehenna. Hoc subvertit Ecclesias, quod & vos non quæritis audire sermonem, qui compungere possit, sed qui oblectet, & tinnulo strepitu, & verborum compositione, quasi citharœdos & cantores audientes: & nos frigidè, & miserè facimus, nostras affectiones sequentes, quas ejicere oportebat. Et idem fit ac si pater videns puerum, quem supra modum tenerè amat, ægrotum, illi frigida, & quæcumque oblectant, porrigat, quæ autem utilia, minimè curet. Deinde quando objurgatur à medicis, rationem reddat, dicens: Quid faciam? videns flentem puerum ferre nequeo. Miser & ærumnose ac proditor! neque enim talem patrem dixerim. Et quantò satius fuerit parvo tempore tristitia affectum, perfectæ sanitati restitui, quàm temporariam illam gratiam perpetuæ tristitiæ causam fieri? Hoc etiam nobis accidit. Flosculos verborum & compositionem, & harmoniam curiosius sectamur, ut canamus, non ut prosimus: ut simus in admiratione, non ut doceamus, ut oblectemus, non ut compungamus: ut plausu & laudibus obtentis abeamus, non ut mores componamus. Credite mihi, non dicerem alioquin, quoniam quando inter dicendum plausum excito, per illud quidem tempus, humanum quiddam mihi accidit. Cur enim verum quis non dicat? & distrahor, & diffindor: ubi autem domum redeo, & intelligo plaudentes sine fructu abiisse, & si fructum accipere poterant, à plausu & laudibus periisse: ploro, & gemo, & lachrymor, & quasi frustra omnia dixerim sic afficior, mihique ipsi dico: Quæ sudorum meorum utilitas, si auditores è verbis meis nullum fructum accipere volunt? Et sæpius cogitavi ponere legem plausus prohibentem, & suadentem, ut cum silentio, & convenienti decentia audiatis. Sed sustinete oro, & credite mihi. & si placet hanc nunc legem firmabimus, ne quis auditor plaudat quamdiu nos loquimur.

Luc. 7,47.

Ps. 49,16.

A μὴ τοίνυν μέγα φρονῶμεν, μηδὲ φυσιώμεθα, ἄνθρωποι, γῆ καὶ σποδὸς ὄντες, καπνὸς καὶ σκιά. εἰπὲ γάρ μοι, διατί μέγα φρονεῖς; ἐλεημοσύνην ἔδωκας καὶ τὰ χρήματα ἐκένωσας; καὶ τί τοῦτο; ἐννόησον εἰ μὴ ἠθέλησέ σε ποιῆσαι ὁ Θεὸς πλούσιον. ἐννόησον τοὺς πεινομένους· μᾶλλον δὲ ἐννόησον. ὅσοι καὶ τὰ σώματα ἐπέδωκαν, καὶ μετὰ τὸ ἐπιδοῦναι μυρία ἑαυτοὺς ἐταλάνισαν. σὺ διὰ σαυτὸν ἔδωκας, ὁ Χριστὸς διὰ σέ· σὺ ἀπέδωκας τὸ ὀφειλόμενον, ὁ Χριστὸς οὐκ B ὤφειλέ σοι. ὅρα τοῦ μέλλοντος τὸ ἄδηλον. καὶ μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. μὴ ἐλαττώσῃς τὴν ἀρετὴν τῇ ἀλαζονείᾳ. βούλει ὄντως μέγα τι ἐργάσασθαι; μηδέποτε ὑπονοήσῃς ὡς περὶ μεγάλων τῶν κατορθωμάτων. ἀλλὰ παρθένος εἶ; ἀλλὰ κἀκεῖναι παρθένοι ἦσαν· ἀλλ' οὐδὲν ἀπώναντο τῆς παρθενίας διὰ τὴν ὠμότητα, καὶ τὴν ἀπανθρωπίαν. οὐδὲν ταπεινοφροσύνης ἴσον. αὕτη μήτηρ καὶ ῥίζα καὶ τροφὸς, καὶ ὑπόθεσις, καὶ σύνδεσμος τῶν ἀγαθῶν· ταύτης ἄνευ, βδε- C λυκτοὶ καὶ μιαροὶ, καὶ ἀκάθαρτοί ἐσμεν. ἔστω γάρ τις εἰ βούλει νεκροὺς ἀνιστῶν, καὶ χωλοὺς ἰώμενος, καὶ λεπροὺς καθαίρων μετὰ ἀπονοίας· οὐδὲν τούτου μιαρώτερον, οὐδὲν ἀσεβέστερον, οὐδὲν ἐναγέστερον. μηδὲν εἶναι νομίσῃς σαυτοῦ, λόγον ἔχεις καὶ διδασκαλικὴν χάριν; μὴ διὰ τοῦτο νομίσῃς πλέον τι τῶν ἄλλων ἔχειν. διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι ὀφείλεις, ὅτι πλειόνων ἠξιώθης δωρεῶν. ᾧ γὰρ πλεῖον ἀφέθη, πλεῖον ἀγαπήσει. οὐκοῦν καὶ ταπεινοῦσθαι χρὴ, ὅτι τοὺς ἄλλους D παρελθὼν, εἰς σὲ ἐπένευσεν ὁ Θεός· φοβοῦ διὰ τοῦτο. πολλάκις γάρ σοι καὶ ἀπωλείας τοῦτο γίνεται αἴτιον ἂν μὴ νήφῃς· τί μέγα φρονεῖς; ὅτι διδάσκεις διὰ λόγων, ἀλλ' εὔκολον τοῦτο τὸ φιλοσοφεῖν ἐν ῥήμασι· δίδαξόν με διὰ τοῦ βίου τοῦ σοῦ. αὕτη ἡ διδασκαλία ἀρίστη. λέγεις ὅτι δεῖ μετριάζειν, καὶ μακρὸν ὑπὲρ τούτου λόγον ἀποτείνεις, καὶ ῥητορεύεις ῥέων ἀκωλύτως; ἀλλ' ἐκεῖνος σου βελτίων ἐκεῖνος, φησὶν ὁ διὰ ἔργων τοῦτο παιδεύων ἐμέ. οὐ γὰρ οὕτως εἰώθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ E μαθήματα ἀπὸ ῥημάτων, ὡς ἀπὸ πραγμάτων. ἐπεὶ καὶ ἐὰν μὴ τὸ ἔργον ἔχῃς, οὐ μόνον οὐκ ὠφέλησας εἰπὼν, ἀλλὰ καὶ μειζόνως ἔβλαψας. βέλτιον σιγᾶν. διατί; ὅτι ἀδύνατόν μοι τὸ πρᾶγμα καθιστᾷς. ἐννοῶ γὰρ, ὅτι εἰ σὺ ὁ ταῦτα λέγων οὐ κατορθοῖς, πολλῷ μᾶλλον ἐγὼ συγγνώμης ἄξιος, λέγων μηδένα. διὰ τοῦτο, φησὶν ὁ προφήτης· τῷ δὲ ἁμαρτωλῷ, εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; μείζων γὰρ αὕτη ἡ βλάβη, ὅταν καλῶς διδάσκων τις διὰ ῥη- A μάτων, διὰ τῶν ἔργων πολεμῇ τῇ διδασκαλίᾳ. τοῦτο πολλῶν αἴτιον γέγονε κακῶν ἐν ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ σύγγνωτε, παρακαλῶ, ὅτι τοῦ λόγου χρονίζοντες ἡμῖν ἐν τούτῳ τῷ πάθει, πολλὰ πολλοὶ πράττουσιν ὑπὲρ τοῦ εἰς μέσον στάντες μακρὸν ἀποτείνειν λόγον. κἂν μὲν κρότων τύχωσι τῶν ἀπὸ τοῦ πλήθους, γέγονεν αὐτοῖς τοῦτο βασιλείας ἴσον· ἂν δὲ μετὰ σιγῆς τὸν λόγον καταπαύσωσι, γεέννης δή που μᾶλλον αὐτοῖς χαλεπωτέρα κατέστη τῆς σιγῆς ἡ ἀθυμία. τοῦτο τὰς ἐκκλησίας ἀνέτρεψεν, ὅτι καὶ ὑμεῖς οὐ ζητεῖτε λόγον ἀκοῦσαι κατα- B νυκτικὸν, ἀλλὰ τέρψαι δυνάμενον. καὶ τῷ ψόφῳ, καὶ τῇ συνθέσει τῶν ῥημάτων, καθάπερ μελῳδῶν καὶ κιθαρῳδῶν ἀκούοντες, καὶ ἡμᾶς ψυχρῶς καὶ ταλαιπώρως ποιοῦντες, ὅτι ταῖς ὑμετέραις ἐπιθυμίαις ἑπόμεθα, δέον ἐκκόπτειν ταύτας. καὶ ταὐτὸ γίνεται, οἷον ἂν εἴ τις πατὴρ παρὰ τοῦ δέοντος μαλθακοῦ παιδίου, καί τι ἀῤῥωστοῦντος, πλακοῦντα ἐπιδῷ, καὶ ψυχρὸν, καὶ ὅσα τέρπει μόνον· τῶν δὲ χρησίμων μηδεμίαν C ἐπιμέλειαν ποιοῖτο. εἶτα ἐγκαλούμενος παρὰ τῶν ἰατρῶν, ἀπολογοῖτο λέγων· τί πάθω; οὐκ ἀνέχομαι κλαῖον τὸ παιδίον ἰδεῖν. ἄθλιε καὶ ταλαίπωρε, καὶ προδότα! οὐ γὰρ ἂν πατέρα τὸν τοιοῦτον εἴποιμι. καὶ πόσῳ βέλτιον ἐν βραχεῖ λυπήσαντα διαπαντὸς ὑγείᾳ περιβαλεῖν, ἢ τὴν πρόσκαιρον ταύτην χάριν διηνεκοῦς ἀθυμίας ὑπόθεσιν ποιήσασθαι; τοῦτο πάσχομεν καὶ ἡμεῖς, κάλλη λέξεων περιεργαζόμενοι, καὶ συνθήκας καὶ ἁρμονίας, ὅπως ᾄσωμεν, οὐχ ὅπως ὠφελήσωμεν· D ὅπως θαυμασθῶμεν, οὐχ ὅπως διδάξωμεν, ὅπως τέρψωμεν, οὐχ ὅπως κατανύξωμεν· ὅπως κροτηθῶμεν, καὶ ἐπαίνου τυχόντες ἀπέλθωμεν, οὐχ ὅπως τὰ ἤθη ῥυθμίσωμεν. πιστεύσατέ μοι, οὐκ ἄλλως λέγω· ἐπειδὰν λέγων κροτῶμαι· παρ' αὐτὸν μὲν τὸν καιρὸν, ἀνθρώπινόν τι πάσχω. τί γὰρ οὐκ ἄν τις εἴποι τὸ ἀληθές; καὶ γάννυμαι, καὶ διαχέομαι. ἐπειδὰν δὲ ἀπελθὼν οἴκαδε ἐννοήσω τοὺς κροτήσαντας οὐδὲν ὠφεληθέντας, ἀλλ' εἴ τις καὶ ὠφεληθῆναι ἔδει ὑπὸ E τοῦ κρότου, καὶ τῶν ἐπαίνων ἀπολωλεκότας, ὀδυνῶμαι, καὶ στένω, καὶ δακρύω, καὶ ὡς εἰκῇ πάντα εἰρηκὼς, οὕτω διάκειμαι, καὶ πρὸς ἐμαυτὸν λέγω· τί μοι τὸ ὄφελος τῶν ἱδρώτων, τῶν ἀκουόντων οὐκ ἐθελόντων καρποῦσθαί τι παρὰ τῶν λόγων τῶν παρ' ἡμῶν; καὶ πολλάκις ἐνενόησα θεῖναι νόμον τὸν κωλύοντα τοὺς κρότους, καὶ πείθοντα μετὰ σιγῆς ὑμᾶς ἀκροᾶσθαι, καὶ τῆς πρεπούσης εὐταξίας. ἀλλ' ἀνάσχεσθε, παρακαλῶ, καὶ πείσθητέ μοι· καὶ εἰ δοκεῖ, τοῦτον κυρώσωμεν τὸν νόμον ἤδη, μηδενὶ τῶν ἀκουόντων ἐξεῖναι κροτεῖν μεταξὺ λέγοντός τινος.

ἀλλ'

εἰ δὲ βούλοιτο θαυμάζειν, θαυμαζέτω σιγῇ· οὐδεὶς ὁ κωλύων· πᾶσα δὲ ἡ σπουδὴ καὶ ἡ προθυμία περὶ τὸ δέχεσθαι τὰ λεγόμενα γινέσθω. Διατί ἐκροτήσατε; περὶ τούτου τὸν νόμον τίθημι· ὑμεῖς δὲ οὐδὲ ἀκοῦσαι ἀνέχεσθε. πολλῶν τοῦτο ἀγαθῶν αἴτιον ἔσται, καὶ διδασκαλεῖον φιλοσοφίας. καὶ οἱ τῶν ἔξω φιλόσοφοι διελέγοντο, καὶ οὐδεὶς οὐδαμοῦ κρότους αὐτοῖς εἶπε. καὶ οἱ ἀπόστολοι ἐδημηγόρουν, καὶ οὐδαμοῦ τοῦτο μεταξὺ λεγόντων ἐκείνων τοὺς κρότους διέκοπτον οἱ ἀκούοντες. μέγα τοῦτο κέρδος ἡμῖν. ἀλλὰ κυρώσωμεν τοῦτο καὶ μεθ' ἡσυχίας πάντες ἀκούωμεν καὶ λέγωμεν ἅπαντα. εἰ μὲν γὰρ μετὰ τοὺς κρότους ἀπῄειμεν ἔχοντες, ἅπερ ἠκούσαμεν, μάλιστα μὲν οὐδὲ οὕτω χρήσιμος ὁ ἔπαινος. ἀλλ' οὐκ ἂν ἠκριβολογησάμεθα, ἵνα μή τις ἀγροικίας γράψηται. ἐπεὶ δὲ μηδὲν τὸ πλέον, ἀλλὰ καὶ βλάβη, λύσωμεν τὸ κώλυμα· ἀνέλωμεν τὰ σκιρτήματα· ἐκκόψωμεν τὰ πηδήματα τῆς ψυχῆς. ὁ Χριστὸς ἐδημηγόρησεν ἐπὶ τοῦ ὄρους· ἀλλ' οὐδεὶς οὐδὲν εἶπεν ἕως ὅτε τὸν λόγον ἐτέλεσεν. οὐκ ἀποστερῶ τοὺς βουλομένους κροτεῖσθαι, ἀλλὰ θαυμάζειν μᾶλλον ποιῶ. πολλῷ βέλτιον μετὰ σιγῆς ἀκούσαντα, διὰ τῆς μνήμης ἐν παντὶ τῷ χρόνῳ κροτεῖν, καὶ ἐν οἰκίᾳ καὶ ἐν ἀγορᾷ, ἢ πάντα ἀπολέσαντα ἀπιέναι οἴκαδε κενόν, οὐκ ἔχοντα τῶν κρότων τὴν ὑπόθεσιν. πῶς γὰρ οὐ καταγέλαστος ὁ ἀκροατής; πῶς οὐ κόλαξ, καὶ εἴρων νομισθήσεται μᾶλλον, ὅταν μὲν καλῶς εἰπεῖν τὸν διδάσκαλον ἀποφαίνηται, τί δὲ εἶπεν οὐκ ἔχῃ δεῖξαι; τοῦτο κολακείας ἐστίν. ὁ μὲν γὰρ κιθαρῳδῶν ἀκούσας καὶ τραγῳδῶν, εἰκότως ἂν τοῦτο πάθοι, ἅτε οὐκ εἰδὼς ὁμοίως τὴν ῥῆσιν εἰπεῖν· ἐνθάδε δὲ οὐ μέλους ἐπίδειξίς ἐστιν οὐδὲ φωνῆς, ἀλλὰ νοημάτων καὶ φιλοσοφίας δύναμις, καὶ παντὶ ῥᾴδιον εἰπεῖν καὶ ἀπαγγεῖλαι. πῶς οὐκ ἄξιος κατηγορίας ὁ μὴ δυνηθεὶς εἰπεῖν τὴν αἰτίαν δι' ἣν ἐπῄνεσε τὸν λέγοντα; οὐδὲν οὕτω πρέπον ἐκκλησίᾳ, ὡς σιγή, ὡς εὐταξία. θεάτροις ἐπιτήδειος ὁ θόρυβος, καὶ βαλανείοις, καὶ πομπαῖς, καὶ ἀγοραῖς· ἔνθα δὲ περὶ τοιούτων δογμάτων ἡ διδασκαλία, γαλήνη καὶ ἡσυχία, καὶ φιλοσοφία, καὶ πολὺς ὁ λιμὴν εἶναι ὀφείλει. ταῦτα δέομαι καὶ ἀντιβολῶ πάντας εἰδέναι. περιέρχομαι γὰρ καὶ αὐτὸς τρόπους πάντας ἐπιζητῶν, δι' ὧν ὠφελῆσαι δυνήσομαι τὰς ὑμετέρας ψυχάς. οὐ μικρὸς καὶ οὗτος ὁ τρόπος εἶναί μοι δοκεῖ· οὐχ ὑμᾶς ὠφελήσει μόνους, ἀλλὰ καὶ ἡμᾶς. οὐκ ἀφήσει ἐκτραχηλίζεσθαι, οὐδὲ ἐπαίνων καὶ δόξης ἐρᾷν, οὐδὲ τὰ τέρποντα λέγειν, ἀλλὰ τὰ ὠφελοῦντα· οὐδὲ περὶ συνθήκας καὶ κάλλη λέξεων, ἀλλὰ περὶ νοημάτων δύναμιν πάσας ἀναλίσκειν τοῦ καιροῦ τὰς ῥοπάς. εἴσελθε εἰς ζωγραφεῖον, καὶ ὄψει πολλὴν οὖσαν τὴν σιγήν. οὐκοῦν καὶ ἐνταῦθα· καὶ γὰρ καὶ ἐνταῦθα εἰκόνας γράφομεν βασιλικάς, καὶ οὐδεμίαν ἰδιωτικὴν διὰ τῶν χρωμάτων τῆς ἀρετῆς. τί τοῦτο; πάλιν κροτεῖτε; οὐκ εὔκολον τὸ πρᾶγμα δοκεῖ; καὶ οὐ φύσει· ἀλλὰ τῷ συνηθείᾳ πολλῇ μήπω κατορθοῦν αὐτὸ μεμαθήκαμεν. γραφὶς τοίνυν ἐστὶν ἡμῖν, γλῶττα· τεχνίτης δὲ τὸ πνεῦμα τὸ ἅγιον. εἰπέ μοι· ἐν τοῖς μυστηρίοις, μή τις θόρυβος; μή τις ταραχή; ὅταν βαπτιζώμεθα· ὅταν τὰ ἄλλα πάντα ποιῶμεν· οὐχ ἡ σιγὴ τὰ πάντα κατέχει; τοῦτο ἐν τῷ οὐρανῷ κατέσπαρται τὸ καλόν. διὰ τοῦτο διαβεβλήμεθα καὶ παρ' Ἕλλησιν, ὡς πρὸς ἐπίδειξιν πάντα ποιοῦντες, καὶ πρὸς φιλοτιμίαν. ἀλλ' ἐὰν τοῦτο κωλυθῇ, καὶ τῶν πρωτεδριῶν ὁ ἔρως σβεσθήσεται. ἀρκεῖ εἴ τις ἐπαίνων ἐρᾷ, τὸ μετὰ τὴν ἀκρόασιν τούτων τυγχάνειν, ὅταν τοὺς καρποὺς συλλέγῃ. ναί, παρακαλῶ, κυρώσωμεν τοῦτον τὸν νόμον, ἵνα πάντα κατὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A At si voluerit admirari, admiretur silens, nemo est qui prohibeat. Omne autem studium & alacritas in id collocetur, ut quæ dicuntur, accipiantur. Quare applausistis? De hoc legem pono: Vos autem nec audire potestis. Multorum bonorum causa erit philosophiæque schola. Disserebant & exteri philosophi, nec tamen plausu excipiebantur unquam. Et Apostoli concionabantur, & nunquam hoc accidit, quod auditores dicentem plausibus interturbarint. Magna ex ea lege nobis utilitas: sed B stabiliamus illam, cum silentio omnes omnia audiamus, & dicamus. Nam si quidem post plausus abierimus habentes ea quæ audivimus, maximè profectò neque sic laus erit utilis. Verum non investigarim accuratius, ne me quis rusticitatis accuset. Quoniam nihil ultra reliquum, nisi damnum, solvamus impedimentum, tollamus plausus incompositos, ejiciamus vincula animæ. Et nullus quid dicat, donec finiatur sermo. Christus concionatus est in monte, & nullus quippiam dixit, donec sermonem finivisset. C Nihil damni affero his qui vellent plaudere, sed magis admirari faciam. Multò melius est cum silentio audientem, propter memoriam omni tempore plaudere, & in domo, & in foro, quàm amissis omnibus redire vacuos domum, & nescire plausus causam. Quomodo auditor ille non ridiculus? Quomodo non adulator, & irrisor putabitur magis? Dum asserit quidem, doctorem benè dixisse, nescire autem se quid dixerit. Hoc adulationis est. Et qui citharœdos, & tragœdos audit, meritò id accidit, D utpote similem orationem dicere nescienti. Hic autem nec modulationis, nec vocis ostentatio est, sed sensuum ac philosophiæ potentia, quæ cuique dicere ac annunciare non difficile: Quomodo non dignus vituperatione, qui non potest dicere causam propter quam laudavit dicentem? Nihil ita decet Ecclesiam, ut silentium, ut morum compositio. Turbationes ad theatra pertinent, & balnea, & pompas, & fora. Hic autem de talibus dogmatis doctrina, tranquillitas & silentium, & boni mores, & E portus magnus esse debet. Hæc oro & supplico, ut omnes sciant. Conor enim etiam ego omnigenos modos inquirere, quibus vestris animabus prodesse queam. Est autem & ille non minimus. Non vobis solis proderit, sed etiam nobis. Non sinet excidere, neque laudes & gloriam diligere, neque oblectantia loqui, sed utilia: neque in compositionem & ornatum verborum, sed in sensuum virtutem omne temporis momentum collocare. Ingredere in pictoris officinam, & videbis multum illic silentium. A Igitur & hic sit. Etenim etiam hic regias pingimus imagines, & nullam privati hominis propter coloris virtutem. Quid hoc, iterum plauditis? Num facilis res videtur, idque non natura, sed consuetudine multa, nondum didicisse istud facere? Stylus igitur est nobis lingua. Artifex autem, spiritus sanctus. Dic oro, num in sacramentis tumultuatio quædam vel turbatio? Quando baptizamur, quando alia omnia facimus, nónne silentium & quies alia omnia detinet? Hæc in cœlo pulchritudo dispersa est. B Hanc ob rem & apud Gentes malè audimus, quasi ad ostentationem omnia facientes, & ad gloriæ studium. Sed si hoc prohibeatur, etiam primarum sedium amor extinguetur. Sufficit si quis laudes amat, quòd eas postquam auditus est assequitur, quando fructus colligit. Valdè oro firmemus hanc legem, ut omnia facientes, prout Domino placet, illius misericordiam mereamur, gratia, & miserationibus unigeniti illius, Dominique nostri Jesu Christi, cui cum Patre simul & sancto Spiritu gloria, honor, C imperium, nunc, & semper, & in secula seculorum. Amen.

ΟΜΙΛΙΑ λα'.

Ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαρρήξαντες τὰ ἱμάτια αὐτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον κράζοντες, καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε; ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανόν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

ΟΡΑ πάντα μετὰ σφοδρότητος τοὺς Ἀποστόλους ποιοῦντας. διέρρηξαν τὰ ἱμάτια. ἐπήδησαν. ἐκέκραξαν· πάντα ἀπὸ διαθέσεως ψυχῆς ἀποστρεφόμενοι τὰ γινόμενα, καὶ πένθους σημεῖα ποιοῦντες. πένθος γὰρ ἦν ὄντως, πένθος ἀπαραμύθητον, εἴγε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρείαν εἰσάγειν, ἣν ἦλθον καταλύσοντες. καὶ τοῦ διαβόλου ἦν κατασκεύασμα. οἱ δὲ οὐχ ἡσυχάζουσιν, ἀλλὰ τί; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν φασὶν ἄνθρωποι. εὐθέως ἐκ προοιμίων ἀνέτρεψαν τὸ κακόν. οὐκ εἶπον ἁπλῶς ἄνθρωποι, ἀλλὰ καθ' ὑμᾶς· εἶτα ἵνα μὴ δόξωσι τιμᾶν τοὺς θεούς,

HOMILIA XXXI.

D *Auditis his Apostoli Barnabas & Paulus, disruptis vestibus suis exilierunt in turbam, clamantes ac dicentes: Viri, cur hæc facitis? Nos similiter passibiles vobis sumus homines evangelizantes vobis, ut ab his vanis convertamini ad Deum viventem qui fecit cœlum & terram & mare, & omnia quæ in illis.*

E VIde ut Apostoli omnia magna cum vehementia faciunt, *disruperunt vestimenta, insilierunt, clamarunt*, omnia ex affectione animæ procedunt, aversantur ea quæ facta, & luctus signa faciunt. Luctus enim erat verè luctus non admittens consolationem. Si quidem pro diis haberi voluissent, introduxissent idololatriam quam destruxerant, quæ diaboli opus. At illi non tacent. Et quid dicunt? *Etiam nos vobis similiter passibiles homines sumus.* Statim ab initio subverterunt vitium. Non dixerunt simpliciter *homines*, sed *sicut vos*. Deinde ne videantur Deos honorare,

Pſ. 145,6. audi quid adjiciunt: *Evangelizantes vobis, ut ab his vanis convertamini ad Deum viventem, qui fecit cælum & terram, & mare, & omnia quæ in eis.* Vide quod hic nunquam Prophetarum sunt memores, neque dicunt, cujus gratia is qui omnium est conditor, Gentes reliquit propria lege frui. *Qui in præteritis generationibus permisit omnes Gentes ire in vias suas.* Dicit quidem quod *permisit*. Quare autem permisit, non jam addit, sed in hoc ad quod festinabat, subsistit, nusquam Christi nomen ponens. *Quanquam non expertem testimonii seipsum esse sinebat, beneficia de cælo conferens vobis, dans pluvias ac tempora fructifera, implens cibo ac lætitia corda vestra.* Vide, non vult accusationem eorum exaggerare, sed magis docet eos, ut totum in Deum referant. Didicerant enim non tantam habendam dicendi curam digni aliquid de Deo, quantam ut auditoribus utilia dicantur. Vide quàm latenter accusationem ponit, quamvis etsi palàm taxasset, probe egisset. Oportebat enim puniri illos qui tantis bonis fruebantur, & nutritorem suum non agnoscebant. Non dicit autem manifestè, sed insinuat: *Cælitus nobis pluvias*, inquit, *dans.* Ita & David, dicebat:
Pſ. 4,7. *A fructu frumenti, & vini, & olei sui multiplicati sunt.* Et sæpe de conditione disserens, hæc in medium affert. Quin
Jer. 5,24. & *Hieremias* de primo opificio, & deinde de pluviis narrans, providentiam Dei commendat. Atque ille inde edoctus, inquit, *Implens alimento & lætitia.* Cum largitate alimentum, & non solum ad frugalitatem acusum. *Et hæc dicentes vix compescuerunt turbas ne sibi immolarent.* Et hoc maximè admirati sunt. Vides quod hoc contenti sunt, quod turbam ab hac insania liberarunt? *Supervenerunt autem ab Antiochia & Iconio Judæi quidam, qui cum persuasissent turbis, ac lapidassent Paulum, traxerunt eum foras portam, putantes illum mortuum esse.* Revera diaboli filii. Non in civitatibus suis solùm, sed etiam extra illas hæc faciebant, tantóque studio anhelabant tollere prædicationem, quanto Apostoli erigere moliebantur. *Et cum persuasissent*, inquit, *turbis, & lapidassent Paulum, traxerunt foras portam.* Hic impletur:
2.Cor.12,6 *Sufficit tibi gratia mea; virtus enim mea in infirmitate perficitur.* Majus hoc erat quàm claudum sanare. Gentiles quidem ut Deos putabant, hi autem traxerunt persuadentes turbis. Non enim verisimile erat admirari illos. Et vide: In civitate illa: in qua tam admirabiles fuere, in eadem gravia patiebantur. Id quoque videntibus proderat. Quod autem etiam propter hoc permittebantur pati, audi hoc istuc ipsum manifestantem ac dicentem:
Ibidem. *Ne quis me putet esse supra id quod videt me, vel audit aliquid ex me. Ubi autem discipuli circumdederunt eum, surgens ingressus est in civitatem.* Vides alacritatem? Vides desiderium fervens & succensum? Iterum in illam ipsam civitatem ingressus est, & ut monstretur quod si alicunde & secesserit, velle per hoc seminari verbum, & non extinguendum propterea esse illorum desiderium. Hæc non minùs claros reddebant, quàm signa, magisque gaudere faciebant. Nusquam autem dicit quod reversi sunt ubi signa fecerunt: sed ubi meruerant pro nomine illius ignominiosi haberi. Nam
Luc.10,20. etiam hoc à Christo didicerant, dicente: *Ne gaudete quòd dæmonia vobis subjiciuntur.* Etenim revera gaudium & purum est pati aliquid propter Christum. Deinde in civitates omnes redierunt, in quibus periclitati fuerunt. *Et postero die exiit cum Barnabam Derben, cumque evangelizassent civitati illi ac docuissent multos, reversi sunt in Lystram & Iconium, & Antiochiam, confirmantes animas discipulorum, obsecrantes ut maneant in fide, & quòd per multas afflictiones oporteat intrare in regnum Dei.* Hoc dicebant, hoc monstrabant. *Confirmantes*, inquit, *animas discipulorum*, atque ita confirmati fuerunt, imò appositi sunt. Prædicebant igitur ne offendantur. Atque tam discipuli quàm Apostoli operam dant, ut discant statim ab initio prædicationis virtutem, & quòd etiam ipsos oporteat talia pati, & ut generosè stent, non solùm signa stupentes, sed multò magis tentationes. Id-
Phil.1,30. circo & ipse dicebat: *Eundem agonem habentes sicut vidistis in me, & audistis.* Ubique prælia, pugnæ, lapidationes. Qualis adhortatio, statim ab initio afflictiones proponere? Sequitur & alia consolatio: *Quum autem suffragiis delegissent illis seniores per Ecclesias, orassentque cum jejuniis, commendaverunt illos Domino in quem crediderant.* Vidisti fervorem Pauli, *cùm orassent*, inquit, *cum jejuniis, commendaverunt illos Domino.* Vide, cum jejuniis fiunt ordinationes. Iterum jejunium, purgatio est animarum nostrarum,

ἄκουσον τί ἐπάγουσιν· εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. ὅρα οὐδαμοῦ τῶν προφητῶν μνημονεύοντας αὐτούς· οὐδὲ λέγοντας τίνος ἕνεκεν πάντων δημιουργὸς ὢν, τὰ ἔθνη ἀφῆκεν αὐτόνομα· ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς, εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. ὅτι μὲν εἴασε λέγει· διατί δὲ εἴασεν οὐκ ἔτι. τέως πρὸς τὸ κατεπεῖγον ἵσταται· οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς. καί τοι γε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆκεν ἀγαθοποιῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς, καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν. ὅρα οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἄγειν αὐτοὺς παιδεύει. ἔμαθον γὰρ ὅτι οὐχ οὕτω σπουδάζειν δεῖ ἄξιόν τι εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν τίθησι. καὶ μάλα εἰ οὕτως ἐποίει, ἔδει κολασθῆναι αὐτοὺς τοσούτων ἀπολαύοντας ἀγαθῶν, καὶ μηδὲ ὡς τροφέα γνωρίσαντας. ἀλλ' οὐ λέγει φανερῶς, ἀλλ' αἰνίττεται. οὐρανόθεν ὑμῖν λέγων ὑετοὺς διδούς. οὕτω καὶ ὁ Δαβὶδ ἔλεγεν· ἀπὸ καρποῦ σίτου καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. καὶ πολλαχοῦ περὶ δημιουργίας διαλεγόμενος, ταῦτα τίθησιν εἰς μέσον. καὶ ὁ Ἱερεμίας δὲ τὴν δημιουργίαν πρώτην, εἶτα τὴν πρόνοιαν τὴν διὰ τῶν ὑετῶν, φησὶν, ὥσπερ ἐκεῖθεν πεπαιδευμένος διαλέγεται. ἐμπιπλῶν, φησὶ, τροφῆς καὶ εὐφροσύνης. μετὰ φιλοτιμίας ἡ τροφή· οὐ μόνον πρὸς αὐτάρκειαν, οὐδὲ πρὸς τὴν χρείαν. καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. καὶ τοῦτο μάλιστα ἐθαυμάσθησαν. ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε ἀνατρέψαι τὴν μανίαν ἐκείνην; ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. ὄντως διαβόλου τέκνα· οὐκ ἐν ταῖς πόλεσιν αὐτῶν μόνον, ἀλλὰ καὶ ἔξω τούτων ταῦτα ποιοῦντες, καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ ἀπόστολοι στῆσαι ἐπειγόμενοι. καὶ πείσαντες, φησὶ, τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως. ἐνταῦθα πληροῦται τὸ, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. μεῖζον τοῦτο τοῦ τὸν χωλὸν ἐγεῖραι. οἱ μὲν οὖν ἐθνικοὶ, ὡς θεοὺς ἐνόμιζον· οὗτοι δὲ ἔσυρον πείσαντες τοὺς ὄχλους. οὐδὲ γὰρ πάντας εἰκὸς ἦν θαυμάζειν αὐτούς· καὶ ὅρα, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ οὕτως ἐθαυμάσθησαν, ἐν αὐτῇ τὰ δεινὰ πάσχουσι. καὶ τοῦτο δὲ τοὺς ὁρῶντας ὠφέλει. ὅτι δὲ καὶ διὰ τοῦτο συνεχωροῦντο πάσχειν, ἄκουε τοῦτο αὐτοῦ δηλοῦντος καὶ λέγοντος· ἵνα μὴ εἰς ἐμὲ λογίσηταί τις ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ. κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτὸν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. ὁρᾷς προθυμίαν; ὁρᾷς πόθον ζέοντα καὶ πεπυρωμένον; εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν, ὥστε δειχθῆναι ὅτι εἴπου καὶ ὑπεχώρει, διὰ τὸ τὸν λόγον βούλεσθαι σπεῖραι, καὶ διὰ τὸ μὴ δεῖν ἐκκαίειν αὐτῶν τὸν θυμόν. ταῦτα τῶν σημείων οὐχ ἧττον καὶ λαμπροτέρους ἐποίει, καὶ μᾶλλον χαίρειν παρεσκεύαζεν. οὐδαμοῦ δὲ λέγει, ὅτι ὑπέστρεψαν χαίροντες ὅτι σημεῖα ἐποίησαν· ἀλλ' ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καὶ τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθησαν λέγοντος· μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται. ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστὶ, τὸ πάσχειν τι διὰ Χριστόν. εἶτα τὰς πόλεις πάσας ἐπῄεσαν ἐν αἷς ἐκινδύνευσαν. καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην, εὐαγγελισάμενοί τε τὴν πόλιν ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν, ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. τοῦτο ἔλεγον· τοῦτο ἐδείκνυον. ἐπιστηρίζοντες, φησὶ, τὰς ψυχὰς τῶν μαθητῶν· ὥστε ἐστηριγμένοι ἦσαν μᾶλλον δὲ προσετίθεντο. προύλεγον τοίνυν, ἵνα μὴ σκανδαλισθῶσιν. ὥσπερ ἐπίτηδες δὲ τὸ αὐτὸ γίνεται, οὐ διὰ τῶν ἀποστόλων μόνον, ἀλλὰ καὶ διὰ τῶν μαθητῶν· ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως, καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς δεῖ τοιαῦτα πάσχειν, καὶ ἵνα γενναῖοι ὦσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ, καὶ ἠκούσατε. διωγμοὶ διωγμοὺς διαδέχονται· πανταχοῦ πόλεμοι, μάχαι, λιθοβολίαι. ποία προτροπή; πῶς ἔπαθον ἐν προοιμίοις θλίψεις λέγοντες; εἶτα καὶ ἄλλη παραμυθία. χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν. εἶδες θερμότητα Παύλου; προσευξάμενοι, φησὶ, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. ὅρα· μετὰ νηστειῶν αἱ χειροτονίαι. πάλιν νηστεία, τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν.

καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν· καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατέβησαν εἰς Ἀττάλειαν.

ἵνα

ἵνα γὰρ μὴ καταπέσῃ τὰ φρονήματα τῶν μαθητῶν, οἱ αἰ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτούς, καὶ διελέχθησαν, καὶ οὕτω πρῶτον εἰς Δέρβην ἐξέρχονται, διδόντες αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ, καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον, καὶ Ἀντιόχειαν· θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένοις δὲ ἐπιλαμβανόμενος. ὁρᾷς ὅτι οὐ πάντα χάριτι, ἀλλὰ καὶ οἰκείᾳ σπουδῇ διῴκουν; κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν. ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. Διατί πάλιν ἔρχονται εἰς Ἀντιόχειαν; ἵνα ἀπαγγείλωσι τὰ ἐκεῖ γινόμενα. ἄλλως δέ· καὶ οἰκονομεῖται μέγα πρᾶγμα ἐντεῦθεν. ἔδει γὰρ λοιπὸν μετὰ παρρησίας τοῖς ἔθνεσι κηρυχθῆναι. ἔρχονται οὖν ταῦτα ἀπαγγέλλοντες, ἵνα εἰδῶσι καὶ ἔχωσι. καὶ οἰκονομεῖται τότε κατελθεῖν τοὺς κωλύοντας τοῖς ἔθνεσιν ὁμιλεῖν, ἵνα λοιπὸν ἀπὸ Ἱεροσολύμων πολλὴν λαβόντες ἄδειαν μετὰ παρρησίας ἀπίωσιν· ἢ καὶ ἄλλως, δείκνυσιν αὐτῶν τὸ ἦθος οὐκ αὐθάδες. ἔρχονται γὰρ τήν τε παρρησίαν ἐνδεικνύμενοι, ὅτι καὶ χωρὶς ἐκείνων τοῖς ἔθνεσιν ἐκήρυξαν, καὶ τὴν ὑπακοήν, ὅτι αὐτοῖς ἀναφέρουσιν. οὐ γὰρ ὡς τοσαῦτα κατωρθωκότες ἀπενοήθησαν. ὅθεν ἦσαν παραδεδομένοι, φησί, τῇ χάριτι τοῦ Θεοῦ. καὶ μὴν τὸ πνεῦμα εἶπεν· ἀλλὰ τὰ τοῦ πνεύματος οἶδεν ὄντα τοῦ υἱοῦ. μία γὰρ ἐξουσία, ὥσπερ ἡ φύσις καὶ υἱοῦ καὶ πνεύματος μία. Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀπήγγειλαν ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν ὁ Θεὸς τοῖς ἔθνεσι θύραν πίστεως. διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. εἰκότως. μεγάλη γὰρ οὖσα ἡ πόλις, ἐδεῖτο διδασκάλων. ἴδωμεν λοιπὸν ἄνωθεν τὰ εἰρημένα. αὐτῇ τῇ ὄψει κατέπληξαν αὐτοὺς διαρρήξαντες τὰ ἱμάτια. τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ ἐποίει ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι τοῦτο, καὶ τῆς εὐσεβείας αὐτῶν. οὐκ ἂν γὰρ ἄλλως ἐπέσχον τὴν τοσαύτην ὁρμήν· οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. ὅταν οὖν δέῃ τὰ δέοντα γίνεσθαι, μηδὲ ἡμεῖς παραιτώμεθα. εἰ τοίνυν καὶ μετὰ ταῦτα μόλις ἔπεισαν, εἰ μὴ οὕτως εἰργάσαντο, τί οὐκ ἂν ἐγένετο; εἰ γὰρ μὴ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἄν πως ὑψηλοφρονεῖν, καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς. καὶ ὅρα τὸν λόγον μεμετρημένον ἐν τῇ ἐκπλήξει, καὶ θαύματος ὁμοῦ γέμοντα, καὶ ἐκπλήξεως. τοῦτο μάλιστα αὐτοὺς ἐκώλυσε, τὸ εἰπεῖν, καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων τούτων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα. ὡσεὶ ἔλεγον· ἄνθρωποι μέν ἐσμεν, φησί, τούτων δὲ μείζους. ταῦτα γὰρ νεκρά. ὅρα αὐτοὺς οὐκ ἀνατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας, καὶ οὐδὲν περὶ ἀοράτων φθεγγομένους. ὃς ἐποίησε, φησί, τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, μάρτυρας αὐτοὺς λέγει, τοὺς ἐνιαυτούς. ὢ τῆς μανίας τῆς Ἰουδαϊκῆς! εἰς δῆμον οὕτω τιμήσαντα τοὺς Ἀποστόλους, ἐτόλμησαν ἐμβῆναι καὶ λιθάσαι Παῦλον. ἔξω δὲ τῆς πόλεως ἔσυρον, τάχα δεδοικότες ἐκεῖνον. καὶ προσευξάμενοι, φησί, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς. οὐκ εἶπον ὅσα αὐτοὶ ἐποίησαν· ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν. ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν. οὐχ ἁπλῶς ἦλθον ἐνταῦθα, οὐδὲ διαναπαυσόμενοι· ἀλλ' οἰκονομικῶς ὑπὸ τοῦ πνεύματος ὁδηγούμενοι, ὥστε τὸ κήρυγμα τῶν ἐθνῶν βεβαιωθῆναι. καὶ διατί, φησίν, ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους οὐδὲ ἐν Ἀντιοχείᾳ; ὅτι ἐκείνη μὲν ἐγγὺς ἦν τῶν Ἀποστόλων· αὕτη δὲ τῆς Ἀντιοχείας. καὶ ὁ λόγος ἐκράτει· ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν, ὀφείλοντες πολλὰ διδαχθῆναι. ἦλθον διδάσκοντες, ὅθεν εἰκότως ἐχειροτονήθησαν ὑπὸ τοῦ πνεύματος. καὶ ὅρα τὸ θερμὸν Παύλου. οὐ πυνθάνεται εἰ δεῖ λαλῆσαι ἔθνεσιν, ἀλλ' εὐθέως λαλεῖ· διὰ τοῦτο ἔλεγεν· οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. μέγα ὄντως ἀγαθὸν ἡ θλῖψις, καὶ μεγάλης ψυχῆς ἐστι, καὶ γενναίας κατόρθωμα. πόσοι μετὰ τοῦτο ἐπίστευσαν, καὶ οὐδεὶς οὕτως ἔλαμψεν; οὕτω προθυμίας ἡμῖν δεῖ πανταχοῦ, πυρώσεως πολλῆς, ψυχῆς πρὸς θάνατον παρατεταγμένης. ἄλλως γὰρ οὐκ ἔνι τῆς βασιλείας τυχεῖν, μὴ σταυρωθέντα. μὴ ἀπατῶμεν ἑαυτούς. εἰ γὰρ ἐν πολέμῳ σωθῆναι οὐ δυνατόν, τρυφῶντα καὶ χρηματιζόμενον, καὶ καπηλεύοντα, καὶ ῥᾳθυμοῦντα· πολλῷ μᾶλλον ἐν τῷ πολέμῳ τούτῳ; ἢ οὐκ οἴεσθε πόλεμον εἶναι νῦν πάντων πολέμων χαλεπώτατον; οὐκ ἔστιν ἡμῖν, φησίν, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. καὶ ἀριστῶσι, καὶ βαδίζουσι, καὶ λουομένοις πάρεστιν ὁ ἐχθρός. οὐ γὰρ οἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον· πολλάκις δὲ καὶ τότε πολεμεῖ, καὶ λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος. ἡμεῖς δὲ ὡς περὶ μικροῦ τοῦ πράγματος ὄντος ὑπὲρ οὗ ἐκεῖνος πολεμεῖ, οὐ νήφομεν οὐδὲ διανιστάμεθα, οὐδὲ βλέπομεν εἰς τὸ πλῆθος τῶν ἀντικειμένων ἡμῖν δυνάμεων· οὐκ ἐννοοῦμεν ὅτι τοῦτο αὐτὸ τῆς μεγίστης δυσπραγίας ἐστίν· ἀλλ' ὑπὸ τοσούτων κυκλούμενοι πολέμων, ὡς ἐν εἰρήνῃ τρυφῶμεν. πιστεύσατέ μοι. ὧν Παῦλος ἔπαθε, χαλεπώτερά ἐστι τὰ πάθη νῦν. ἔβαλλον αὐτὸν τότε λίθοις ἐκεῖνοι· ἔστι ῥήμασι βάλλοντας, καὶ νῦν λίθων χαλεπωτέροις. τί οὖν δεῖ ποιεῖν; ὅπερ ἐκεῖνος ἐποίησε. τοὺς βάλλοντας γὰρ οὐκ ἐμίσησεν,

A *Et quum pertransissent Pisidiam, venerunt in Pamphyliam, & quum locuti essent sermonem Perga, descenderunt in Attaliam.* Iracundis quidem illis cedit, mitigatos autem accedit. Vides quod non omnia per miraculosam gratiam, sed etiam propria diligentia multa dispensabant: *Et illinc solverunt in Antiochiam, unde erant traditi gratia Dei in opus quod impleverunt.* Quare iterum veniunt in Antiochiam? ut annuncient quæ illic facta; & etiam hoc loco magna res agitur. Oportebat enim B cum fiducia jam prædicare Gentibus: veniunt igitur ut hæc annuncient, & scire possint. Et aliter: agebatur hoc tunc, ut hi qui prohibuerant conversari cum Gentibus, magna nunc sumpta fiducia à Hierusalem abeant. Vel etiam aliter: Ostendit illorum mores non pertinaces. Veniunt igitur magnam præ se ferentes fiduciam, quod etiam absque illis Gentibus prædicassent: & obedientiam, quòd illis referunt. non enim arrogantes gloriabantur talia se fecisse. Unde *erant traditi*, in-C quit, *gratia Dei*: etiam spiritus dixerat: sed quæ sunt Spiritus, sciebat esse Filii. Una enim potestas, sicut una natura, & Filii, & Spiritus. *Ubi autem advenerunt, & congregaverunt Ecclesiam, annunciarunt quæcunque fecit Deus cum illis, & quòd aperuit Deus Gentibus ostium fidei. Commorati autem sunt illic tempore non parvo cum discipulis.* Meritò, magna enim erat civitas, & doctoribus egebat. Videamus iterum quæ sunt dicta. Isto spectaculo terruerunt eos *disruptis vestibus*. Hoc D & Jesus nave fecerat in populi strage. Ne igitur putes indignum illis esse, & ipsorum moribus. Etenim non aliter compressissent illorum impetum, nec aliter incendium extinxissent. Quando igitur opus fieri talia, & nos quoque ne detrectemus. Si igitur & post hæc vix persuaserunt, nisi hoc fecissent, quid factum fuisset? Nam nisi sic egissent, putati fuissent superbi esse, & talem honorem concupiscere. Et vide sermonem in medio stupore, quod moderatus fuerit, mi-E raculoque plenus & stupore. Hoc maximè illos prohibuit quod dicunt: *Et nos sumus similiter ut vos, passibiles homines, evangelizantes vobis, quod a vanis illis convertamini ad Deum viventem.* Quasi dicerent: Homines quidem sumus, inquit, his autem majores, hæc enim mortua. Vide illos non confutare solùm, sed etiam docere, & nihil de invincibilibus loqui. *Qui fecit*, inquit, *cælum ac terram, & mare, & omnia quæ in illis*, Testes illos dicit annos? O insaniam Judaicam? A Ausi sunt ingredi ad populum, qui tantum honorem Apostolis dederat, & lapidare Paulum? *Extra* autem *portam traxerunt*, forsan timentes illum. *Et adorantes*, inquit, *cum jejuniis, commendarunt illos Domino.* Et jejunandum docuerunt in tentationibus. Non dixerunt: Quæcunque ipsi fecerant, sed quæcunque Deus fecerat cum ipsis. Mihi videntur tentationes dicere. Non simpliciter venerunt illuc, neque quiescendi gratia, sed miro Spiritus sancti ductu, ita ut prædica-B tio Gentium confirmetur. Et quare, inquit, in Cypro non fecerunt Presbyteros, neque in Antiochia? Quia illa quidem erat Apostolis, ista autem propinqua Antiochiæ. *Et verbum invalescebat*: Hic autem multa opus erat consolatione, maximè enim qui ex Gentibus erant, multùm doceri debebant: Venerunt docentes, unde meritò ordinati fuerunt à spiritu. Et vide fervorem Pauli. Non rogat an oporteat loqui Gentibus, sed statim loquitur, idcirco dicit: *Non acquievi carni* Gal. 1, 16.
C *& sanguini.* Magnum bonum est persequutio, & magnæ ac generosæ animæ opus. Quot post hoc crediderunt, & nullus sic fulsit, ita nobis ubique alacritate opus est, & multo fervore, anima ad mortem parata, neque aliter regnum acquiritur per crucem. Ne despiciamus nosipsos. Si enim in bello servari impossibile est delicatè agentem, & lucri cupidiorem, negociantemque & ignavum, quantò magis in hoc præ-D lio? An non putatis nunc esse bellum difficillimum omnium? *Non est nobis*, inquit, *certamen contra carnem & sanguinem.* Et Eph. 6, 12.
prandentibus, & ambulantibus, & lavantibus adest inimicus. Nescit enim quietis tempus nisi somni, imò & tunc sæpius oppugnat, & cogitationes immittit immundas, & à somnis intemperatiores reddit. Nos autem quasi parva res sit, propter quam ille præliatur, non sumus sobrii neque excitamur, neque videmus multitudinem adversariarum nobis potestatum, non cogitamus quod istuc ipsum maximè infelicitatis est: at dum in tan-E tis periclitamur, agimus ac si pax esset. Credite mihi, graviora nunc sunt, quàm ea quæ Paulus ipse passus est. Miserunt tunc lapides in Paulū, ac nunc impetunt verbis quæ lapidibus graviora.

Joh. 7, 5.

Quid igitur oportet facere? Id quod ille fecit. Eos qui lapidarunt, A odio non habuit, sed quum extraxissent ipsum, iterū ingressus est in civitatem, benefacturus his qui injuria affecerant. Si tuleris & ut asperum conviciatorē, & injustitia te opprimentē, lapideris que. Ne autem dicas, nihil injustè egit Paulus? Regnum annunciavit, ab errore depulit, Deo adduxit. Hæc coronis, hæc prædicatione: hæc innumeris bonis digna, non lapidibus, attamen contraria passus est. Ista enim clara victoria est. Et *traxerunt illum*, inquit. Et te sæpius trahunt, sed ne irasca- B ris, sed prædica sermonem in mansuetudine. Contumelia te affecit, tace & benedic, si potes, & sic prædicasti etiam tu sermonem, docuisti mansuetudinem. Scio plerosque non ita vulneribus, ut verborum plaga sauciari: nam illud quidem vulnus corpus suscipit, hoc autem anima, sed ne doleamus, imò dolentes sustineamus. Non videtis athletas saucio capite, stridentes dentibus strenuè ferre dolores? hîc autem non opus stridore & morsu dentium. Memor esto Domini tui, C hoc pharmacum statim imposuisti memoriæ. Memor esto Pauli: Cogita quod qui cæderis vincis, ille autem qui cædit vincitur, & totum per hoc curabo. Momentum est, ne simul rapiaris, & totum statim affecisti: ne movearis, & totum extinxisti. Magna consolatio est aliquid propter Christum pati. Non prædicas sermonem philosophiæ. At quanto alius, dicit, magis me mansuetum videt, hoc magis infestat. Igitur propterea doles, quòd magis tibi merces crescet? Sed inutilis erit D mansuetudo, inquit. Hoc tuæ pusillanimitatis excusatio est, aliter inutilis fit, si ulciscaris. Ignorabatne Deus injustis inutile, si non sumatur ultio? si scivisset, non præcepisset. Verum dixit: Ne ulciscaris teipsum. Sciebat utique quod hoc magis conducit. Ne pone Deo legem contrariam, obtempera illi, non es tu melior eo qui fecit nos. Dixit, contumelia affectus fer. Tu dicis, retaliabo, ut non fiam inutilis. Tu igitur majorem curam habes, quàm ille. Affectionis & asperitatis ar- E rogantiæ verba hæc sunt, & quod contra Deum lex ponatur. Nam licèt damno afficerentur, num obedire oportebat, quando

Prov. 15, 1. Deus aliquid præcipit, ne ponamus nos legem contrariam? *Responsio*, inquit, *submissa avertit iram*. Itaque hoc facit submissa, non adversaria. Si tibi prodest, & illi proderit: si autem tibi nocet, qui correcturus es illum, multò magis illi. Medice, cura te ipsum. Dixit malè, lauda tu: convicia dixit, dic tu præconia: insidiatus est, benefac tu, diversis illi retalia, siqui- A dem omnino illius salus curæ tibi est. Et ne velis ob tuas affectiones ulcisci. At dicis: Sæpius longanimitate expertus, deterior factus est. Hoc non apud te, sed apud ipsum. Vis dicere

3. Reg. 19, 14. quanta passus est Deus? *Altaria illius subverterant, Prophetas occiderant*, & omnia ferebat. Non poterat fulmen supernè demittere? Sed quando Prophetas misit, & occiderunt illos: tunc Jesum misit, quando maximè impiè agebant, tunc plurimum benefecit. Et tu si videris exasperari, tunc magis cede, B majore enim consolatione furor ille indiget: quanto molestioribus contumeliis insequitur, tanto majore mansuetudine illi opus est. Et sicut incendium quando maximè flat, tunc magis opus ut cedatur: ita & ira flagrantem bestiam, quando maximè effera est, omnes palabundi effugimus, ita nos & irascentem. Nec putes hoc esse honorem, alioqui & bestiam honoraremus & furibundos honoraremus, si devitaremus: Ignominia est & contumelia, imò non ignominia & contumelia, sed & C misericordia & humanitas. Non vides nautas, quando vehementer flat ventus, detrahere vela, ne subvertatur navis? Eques quando se equi simul rapiunt, laxat, & non retinet frænum, ne sua sponte vim evacuet. Hoc & tu fac. Ignis est furor, flamma acuta est indiga materiæ, ne suppetas igni materiam, & statim extinxeris malum. Non habet à seipsa robur ira, nisi alius sit qui illam alat. Nullam excusationem habes, ille detinetur furore, & nescit quid facit. Tu considerans illum, D quando in eadem incides, & neque illius exemplo sapientior efficeris, qualis venia? Si in convivio quis factus videret in vestibulo aliquem inebriari, & turpiter agere, deinde ipse iisdem vitiis irretiatur; nonne post illum hic multò minus venia dignus fuerit? Sic & hic, ne putemus defensionem dicere: Ego non cœpi. Hoc contra nos est, quia neque illius turpitudine visa temperatiores facti sumus. Quemadmodum si dicat quis, Ego non primus occidi. Ea propter pœna dignus es, quod neque E exemplo viso melior factus teipsum continuisti. Si videris ebrium vomere, dilacerare, disrumpere, oculis torvis videre, immundicia mensam implere, omnes illum fugere:

A ἀλλὰ συρέντων αὐτὸν εἰσῆλθε πάλιν εἰς τὴν πόλιν, εὐεργετήσων τοὺς τὰ τοιαῦτα ἠδικηκότας. ἂν ἐνέγκῃς καὶ σὺ τὸν ὑβριστὴν τὸν τραχὺν, τὸν ἀδίκως σε ἐργασάμενον ταῦτα, ἐλιθάσθης καὶ σύ. μὴ γὰρ εἴπῃς, οὐδὲν ἠδίκησα. τί γὰρ Παῦλος ἠδίκησεν ἵνα λιθασθῇ; βασιλείαν κατήγγελλε· πλάνης ἀπῆγε· τῷ Θεῷ προσῆγε. ταῦτα στεφάνων ἄξια· ταῦτα ἀνακηρύξεως, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων. ἀλλ' ὅμως τἀναντία ἔπαθεν. αὕτη γὰρ ἡ λαμπρὰ νίκη, καὶ B ἔσυραν αὐτόν, φησι. καὶ σὲ πολλάκις σύρουσιν. ἀλλὰ μὴ ὀργισθῇς· ἀλλὰ κήρυξον τὸν λόγον διὰ τῆς ἐπιεικείας. ὕβρισέ σε; σίγησον, καὶ εὐλόγησον εἰ δύνασαι, καὶ οὕτως ἐκήρυξας καὶ σὺ τὸν λόγον. ἐπαίδευσας ἐπιείκειαν· ἐπαίδευσας πραότητα. οἶδα πολλοὺς οὐχ οὕτω τραύμασιν ἀλγοῦντας, ὡς πληγῇ τῇ διὰ ῥημάτων· τοῦτο μὲν γὰρ τὸ τραῦμα τὸ σῶμα δέχεται· ἐκεῖνο δὲ ἡ ψυχή. ἀλλὰ μὴ ἀλγήσωμεν· μᾶλλον δὲ ἀλγήσαντες ἐνέγκωμεν. οὐχ ὁρᾶτε τοὺς πυκτεύοντας, οἳ C διατετρωμένοι τὰς κεφαλὰς, τοὺς ὀδόντας ἐνδακόντες, οὕτως ἠμέρως φέρουσι τὰς ἀλγηδόνας; ἐνταῦθα δὲ οὐ χρεία βρύξαι τοὺς ὀδόντας, οὐ χρεία δακεῖν. ἀναμνήσθητι τοῦ δεσπότου τοῦ σοῦ, καὶ τὸ φάρμακον εὐθέως ἐπέθηκας τῇ μνήμῃ. ἀναμνήσθητι Παύλου. ἐννόησον, ὅτι σὺ ἐνίκησας ὁ πληττόμενος, ἐκεῖνος δὲ ἡττῆται ὁ πλήξας, καὶ τὸ πᾶν ἰάσω διὰ τούτου. ῥοπή ἐστι, μὴ συναρπαγῇς, καὶ τὸ πᾶν κατώρθωσας εὐθέως· μὴ κινηθῇς, καὶ τὸ πᾶν ἔσβεσας. μεγάλη πα- D ραμυθία τὸ διὰ Χριστόν τι παθεῖν. οὐ κηρύττεις τὸν λόγον τῆς πίστεως; ἀλλὰ κηρύττεις τὸν λόγον τῆς φιλοσοφίας. ἀλλ' ὅσῳ ἂν ἴδῃ τὴν ἐπιείκειαν, φησι, τοσούτῳ μᾶλλον ἐπιτίθεται. διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι μᾶλλόν σοι τοὺς μισθοὺς αὔξει; ἀλλ' ἀχρεῖος γίνεται, φησι. τοῦτο σκῆψις τῆς οἰκείας μικροψυχίας. ἑτέρως ἀχρεῖος γίνεται, ἂν ἀμύνῃ. εἰ ᾔδει ὁ Θεὸς ὅτι διὰ τοῦ μὴ ἀμύνεσθαι ἀχρεῖοι ἐγίνοντο οἱ ἄδικοι, οὐκ ἂν τοῦτο ἐπέταξεν, ἀλλ' εἶπεν ἄν, ἄμυνον σαυτῷ. ἀλλ' οἶδεν ὅτι E οὕτω μᾶλλον ὠφελεῖται. μὴ ἀντινομοθέτει τῷ Θεῷ. ἐκείνῳ πείθου. οὐκ εἶ σὺ ἀγαθώτερος τοῦ ποιήσαντος ἡμᾶς. εἶπεν, ὑβριζόμενος φέρε· σὺ λέγεις, ἀνθυβρίζω, ἵνα μὴ ἀχρεῖος γένωμαι. σὺ οὖν μᾶλλον αὐτοῦ φροντίζεις; πάθους ταῦτα καὶ τραχύτητος τὰ ῥήματα καὶ ἀλαζονείας, καὶ τοῦ ἀντινομοθετεῖν τῷ Θεῷ. εἰ γὰρ καὶ ἔβλαπτεν, οὐχὶ πείθεσθαι ἐχρῆν; ὅταν ὁ Θεός τι προστάττῃ, μὴ ἀντινομοθετῶμεν ἡμεῖς. ἀπόκρισις, φησιν, ὑποπίπτουσα, ἀποστρέφει ὀργάς. ἄρα A τοῦτο ποιεῖ ὑποπίπτουσα, οὐκ ἐναντιουμένη. εἰ σὲ ὠφελεῖ, κἀκεῖνον ὠφελεῖ· εἰ δὲ σὲ βλάπτει τὸν μέλλοντα διορθοῦσθαι ἐκεῖνον, πολλῷ μᾶλλον ἐκεῖνον. ἰατρὲ, θεράπευσον σεαυτόν. εἶπε κακῶς; ἐπαίνεσον σύ. ἐλοιδόρησεν; ἐγκωμίασον. ἐπεβούλευσεν; εὐεργέτησον τοῖς ἐναντίοις αὐτὸν ἀμείβου, εἴγε ὅλως τῆς ἐκείνου σωτηρίας προνοεῖς, καὶ μὴ σαυτοῦ τὸ πάθος ἐκδικεῖν θέλεις. καὶ μὴν πολλάκις, φησὶν, ἀπολαύσας μακροθυμίας χείρων γέγονε. τοῦτο οὐ παρὰ σὲ, ἀλλὰ παρ' αὐτόν. βούλει μαθεῖν οἷα ἔπαθεν ὁ Θεός; τὰ θυσιαστή- B ρια αὐτοῦ κατέσκαψαν, τοὺς προφήτας ἀπέκτειναν, καὶ πάντα ἔφερεν. οὐκ ἠδύνατο σκηπτὸν ἄνωθεν καταγαγεῖν; ἀλλ' ὅτε τοὺς προφήτας ἀπέστειλε, καὶ ἀνεῖλον αὐτοὺς, τότε τὸν υἱὸν ἔπεμψεν· ὅτε μείζονα ἠσέβησαν, τότε μειζόνως εὐηργέτησε. καὶ σὺ ἂν ἴδῃς τραχυνόμενον; τότε μειζόνως εἶξον. μείζονος γὰρ ἡ μανία αὕτη δεῖται παραμυθίας. ὅσῳ ἂν χαλεπώτερα ὑβρίζῃ, τοσούτῳ πλείονος ἐπιεικείας δεῖται· καὶ καθάπερ πυρετὸς ὅταν σφοδρὸν πνεύσῃ, τότε C δεῖται τοῦ εἴκοντος· οὕτω καὶ ὁ θυμούμενος. τὸ θηρίον ὅταν μάλιστα ἀγριαίνῃ, τότε φεύγομεν ἅπαντες· οὕτω καὶ τὸν ὀργιζόμενον. μὴ νομίσῃς τοῦτο τιμὴν εἶναι· ἐπεὶ καὶ τὸ θηρίον τιμῶμεν. καὶ τοὺς μαινομένους γοῦν τιμῶμεν, ὅταν ἐκκλίνωμεν; οὐδαμῶς· ἀτιμία τοῦτό ἐστι καὶ ὕβρις· μᾶλλον δὲ οὐκ ἀτιμία καὶ ὕβρις, ἀλλ' ἔλεος καὶ φιλανθρωπία. οὐχ ὁρᾷς τοὺς ναύτας, ὅταν σφοδρὸν ἐμπνεύσῃ τὸ πνεῦμα, καθαιροῦντας τὰ ἱστία, ὥστε μὴ καταδῦσαι τὸ σκάφος; τοὺς D ἱππέας ὅταν συναρπάσωσι τὸν ἐπιβάτην, συνενδιδόντας καὶ οὐ καθέλκοντας, ἵνα μὴ αὐτομάτως κενώσῃ τὴν δύναμιν; τοῦτο καὶ σὺ ποίησον. πῦρ ἐστιν ὁ θυμός· φλὸξ ἐστιν ὀξεῖα δεομένη ὕλης. μὴ παράσχῃς τὴν τροφὴν τῷ πυρὶ, καὶ ταχέως ἔσβεσας τὸ κακόν. οὐκ ἔχει καθ' ἑαυτὴν ἰσχὺν ἡ ὀργὴ, ἂν μὴ ἕτερος ὁ τρέφων αὐτὴν ᾖ. οὐδεμία σοί ἐστιν ἀπολογία· ἐκεῖνος κατέχεται τῇ μανίᾳ, καὶ οὐκ οἶδε τί ποιεῖ· σὺ θεωρῶν αὐτὸν, ὅταν τοῖς αὐτοῖς περιπίπτῃς, καὶ μηδὲ ἐξ ἐκείνου σωφρονι- E σθῇς, ποία συγγνώμη; εἰ ἐν συμποσίῳ τις γενόμενός τινα ἐν προθύροις ἴδοι μεθύοντα καὶ ἀσχημονοῦντα, εἶτα καὶ αὐτὸς τοῖς ὁμοίοις περιπέσῃ, οὐ πολλῷ μᾶλλον μετ' ἐκεῖνον μεθύων ἀσύγγνωστος ἂν εἴη; οὕτω καὶ ἐνταῦθα· μὴ νομίζωμεν εἶναι ἀπολογίαν τὸ λέγειν, ὅτι οὐκ ἐγὼ κατῆρξα. τοῦτο καθ' ἡμῶν ἐστιν, ὅτι μηδὲ ἐκεῖνον ἰδόντες ἐσωφρονίσθημεν. ὥσπερ ἂν εἴποι τις, οὐκ ἐγὼ ἐφόνευσα πρῶτος, διὰ γὰρ τοῦτο κολάσεως εἶ ἄξιος, ὅτι μηδὲ εἰς τὸ παράδειγμα ἰδὼν ἐπέσχες σαυτόν. εἰ ἴδοις ἐμοῦντα τὸν μεθύοντα, διασπώμενον, διαρρηγνύμενον, τοὺς ὀφθαλμοὺς ἔχοντα διεστραμμένους, ἀκαθαρσίας τὴν τράπεζαν πληροῦντα, πάντας αὐτὸν ἀποφεύγοντας·

οὕτω

εἶτα τῆς αὐτῆς περιεχούσης, οὐχὶ μᾶλλον ἔσῃ μισητός; τοιοῦτός ἐστι καὶ ὁ ὀργιζόμενος. μᾶλλον δὲ ἐμοῦντος διαστέλλει τὰς φλέβας, πυροῖ τοὺς ὀφθαλμούς· διαρρήγνυσι τὰ σπλάγχνα· ἐμεῖ πολλῷ ῥήματα τῆς τροφῆς ἐκείνης ἀκαθαρτότερα· ἀδιαμάσητα πάντα φθέγγεται· οὐδὲν κατειργασμένον· οὐ γὰρ ἀφίησιν ὁ θυμός· ἀλλ᾽ ὥσπερ ἐκεῖ πολλάκις ἀμετρία χυμῶν διενοχλήσασα τὸν στόμαχον, πάντα ἐκένωσεν· οὕτω καὶ ἐνταῦθα ἀμετρία θερμότητος διενοχλήσασα τὴν ψυχήν, οὐκ ἀφίησι στέγειν ἃ σιγᾶν καλόν, ἀλλὰ ῥητὰ καὶ ἄρρητα λέγει· οὐχὶ τοὺς ἀκούοντας, ἀλλ᾽ ἑαυτὸν αἰσχύνων. ὥσπερ οὖν ἀπὸ τῶν ἐμούντων φεύγομεν· οὕτω καὶ ἀπὸ τῶν ὀργιζομένων. τί ποιοῦντες; κόνιν ἐπιβάλωμεν αὐτοῦ τῷ ἐμέτῳ· σιγῶντες τοὺς κύνας καλῶμεν, ὥστε αὐτὰ καταφαγεῖν τὰ ἐμεθέντα. οἶδα ὅτι ναυτιᾶτε ἀκούοντες· ἀλλ᾽ ὅταν ὁρᾶτε ταῦτα γινόμενα βούλομαι τοῦτο παθεῖν ὑμᾶς, ἀλλὰ μὴ ἥδεσθαι τῷ πράγματι. ἀκαθαρτότερος ὁ ὑβριστὴς τοῦ κυνὸς τοῦ ἐπιστρέφοντος ἐπὶ τὸν ἑαυτοῦ ἔμετον. ὁ μὲν γὰρ ἅπαξ ἐμέσας ἐπαύσατο, οὐκ ἔστι κατ᾽ ἐκεῖνον· εἰ δὲ πάλιν τὰ αὐτὰ ἐμεῖ, δῆλον ὅτι τὰ αὐτὰ φαγών. τί οὖν βδελυκτότερον τούτου; τί δὲ ἀκαθαρτότερον ἐκείνου τοῦ στόματος, τοῦ τοιαύτας διαμασωμένου τροφάς; καίτοι γε τοῦτο φύσεως ἔργον ἐστίν. ἐκεῖνο δὲ οὐχί· μᾶλλον δὲ καὶ τοῦτο παρὰ φύσιν, κἀκεῖνο. πῶς; οὐ γὰρ κατὰ φύσιν τὸ ὑβρίζειν εἰκῆ, ἀλλὰ παρὰ φύσιν. οὐδὲν γοῦν ὡς ἄνθρωπος φθέγγεται· ἀλλὰ τὰ μὲν ὡς θηρίον· τὰ δὲ ὡς μαινόμενος. ὥσπερ οὖν ἡ τῶν σωμάτων νόσος παρὰ φύσιν· οὕτω καὶ τοῦτο. καὶ ὅτι παρὰ φύσιν ἐστίν, εἰ ἐγχρονίσῃ ἐν αὐτῷ, ἀπόλλυται κατὰ μικρόν· ἐν δὲ τῷ κατὰ φύσιν ἐγχρονίζων, οὐκ ἀπόλλυται. ἐβουλόμην ἂν ἀνθρώπῳ βόρβορον σιτουμένῳ κοινωνῆσαι τραπέζης, ἢ φθεγγομένῳ τοιαῦτα. οὐχ ὁρᾶτε τοὺς χοίρους κόπρον διαμασωμένους; οὕτω καὶ οὗτοι. τί γὰρ δυσωδέστερον τῶν ῥημάτων ἂν οἱ ὑβρισταὶ φθέγγονται; σπουδὴ τούτοις ἐστὶ μηδὲν εἰπεῖν ὑγιές, μηδὲν καθαρόν· ἀλλ᾽ εἴ τι αἰσχρόν, εἴ τι ἄσχημον, τοῦτο καὶ ποιῆσαι, καὶ φθέγξασθαι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἑαυτοὺς μᾶλλον αἰσχύνοντες, ἑτέρους αἰσχύνειν οἴονται. ὅτι γὰρ ἑαυτοὺς αἰσχύνουσι, δῆλον ἐκεῖθεν. μὴ γάρ μοι τοὺς ψευδῆ λέγοντας εἴπῃς· ἀλλ᾽ ἔστω τις πόρνη περιφανής, ἢ καὶ ἀπὸ τῆς σκηνῆς ἕτερος, καὶ ποιείτω μετά τινος μάχην· εἶτα ἐκεῖνος αὐτῷ ταῦτα προφερέτω· κἀκεῖνος πάλιν ὁμοίως· τίς μᾶλλόν ἐστιν ὁ ὑβρισθεὶς τοῖς ῥήμασιν; ἐκεῖνος μὲν γὰρ ἅπερ εἶχεν ἤκουσεν· οὗτος δέ, ἅπερ οὐκ εἶχεν. ὥστε ἐκείνῳ μέν, οὐδὲν πλέον γέγονεν εἰς αἰσχύνης λόγον· τούτῳ δέ, πολλὴ τῆς ἀσχημοσύνης ἡ προσθήκη. ἀλλ᾽ ἔστω τινὰ πάλιν εἰργασμένα πράγματα, καὶ μόνος ὁ ὑβρίζων αὐτὰ γινωσκέτω· εἶτα πρὸ τούτου σιγῶν, ἐκπομπευέτω τὴν ὕβριν· καὶ οὕτως οὗτος ὑβρίσαι μᾶλλον. πῶς; κῆρυξ γινόμενος κακίας, ἀσυνειδησίας, ἀπίστου δόξαν λαβών, καὶ πάντας εὐθέως ἐγκαλοῦντας ὄψει, καὶ τοιαῦτα πανταχοῦ λέγοντας. εἰ γὰρ δὴ φόνον συνῄδει, φησί, πάντα κατειπεῖν ἐχρῆν, καὶ τὸν μὲν ὡς οὐδὲ ἄνθρωπον ὄντα ἀποστρέφονται, μισοῦσι, θηρίον εἶναί φασιν ὠμὸν καὶ ἀπηνές· τούτῳ δὲ συγγινώσκουσι μᾶλλον ἢ ἐκείνῳ. οὐχ οὕτω γὰρ τοὺς τραύματα ἔχοντας μισοῦμεν, ὡς τοὺς ἐκκαλύπτειν αὐτὰ βιαζομένους καὶ δεικνύναι. οὕτω καὶ οὗτος ὕβρισεν οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ ἑαυτόν, καὶ τοὺς ἀκούοντας, καὶ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων, ἐπλῆξε τὸν ἀκροατήν· οὐδὲν ἀγαθὸν εἰργάσατο. διὰ τοῦτο, φησὶν ὁ Παῦλος· „εἴ τις ἀγαθὸς „λόγος πρὸς οἰκοδομήν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. εὔφημον κτησώμεθα γλῶτταν, ἵνα ὦμεν ποθεινοὶ καὶ ἐπέραστοι. ἀλλὰ γὰρ εἰς τοῦτο περιῆλθε κακίας ἅπαντα, ὥστε ἐφ᾽ οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπὶ τούτοις πολλοὺς γαυριᾶν. ἃ γὰρ ἀπειλοῦσιν οἱ πολλοὶ τοιαῦτά ἐστιν. οὐ δύναται ἐνεγκεῖν ἡ γλῶσσά μου, φησί, γυναικὸς τὰ ῥήματα, γραὸς μεθυούσης, ἀσχημονούσης· τῶν ἐπ᾽ ἀγορᾶς συρομένων, προαγωγοῦ. οὐδὲν αἰσχρότερον τούτων τῶν ῥημάτων, οὐδὲν ἀνανδρότερον, οὐδὲν γυναικωδέστερον ἐν τῇ γλώττῃ τὴν ἰσχὺν ἔχειν, ἐπὶ τῷ λοιδορεῖν μέγα φρονεῖν. καθάπερ οἱ ἐν πομπαῖς, καθάπερ οἱ μῖμοι, καὶ παράσιτοι, καὶ κόλακες. χοῖροι μᾶλλόν εἰσιν ἢ ἄνθρωποι. ὅσοι ἐπὶ τούτῳ σεμνύνονται. δέον κατορύξαι σαυτόν· δέον εἰ καί τις ἕτερός σοι ταῦτα ἐμαρτύρει, φεύγειν τὴν μαρτυρίαν ὡς ἐχθρὰν καὶ ἄνανδρον· σὺ δὲ κῆρυξ ὕβρεων γέγονας. ἀλλ᾽ οὐδὲν τὸν κακῶς ἀκούοντα βλάψαι δυνήσῃ. διὸ παρακαλῶ, ἐννοήσαντες ὅση ἡ κακία ὅτι καὶ ἐγκαυχῶνται πολλοί, ἀνανήψωμεν· διορθωσώμεθα τοὺς οὕτω μαινομένους· ἐξελάσωμεν ταῦτα ἐκ τῆς πόλεως τὰ συνέδρια· καλλωπισώμεθα ἡμῶν τὴν γλῶτταν, πάσης κατηγορίας ἀπαλλάξωμεν, ἵνα δυνηθῶμεν καθαρεύοντες τῶν ἁμαρτημάτων, τῆς ἄνωθεν εὐνοίας ἐπισπάσασθαι, καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, μεθ᾽ οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

deinde in illam ipsam incidas ebrietatem, nónne magis eris odibilis? Talis est etiam, qui irascitur, plus quàm vomens, inflat venas, incendit oculos, disrumpit viscera, vomit verba, illa immundicia magis impura, omnia commanducata, sed cruda loquitur, nihilque perfectum. Non enim sinit ira: sed sicut illic sæpe humorum nimietas stomachum perturbat, omniaque evacuat: ita & hîc caloris nimietas perturbat animam, nec sinit latêre quæ silere deceret, sed dicenda ac non dicenda effutit, non audientes, sed seipsum confundens. Sicut igitur vomentes fugimus, ita & irascentes. Quid faciendum? Pulverem super vomitum illorum ponamus, tacendo canes vocemus, ut & illa evomita devorent. Scio quòd hæc audientibus vobis nauseam cient. Verùm tunc sic vos affici velim, quando illa fieri videtis, tunc non oblectari. Conviciator enim immundior est cane, qui ad vomitum suum revertitur. Ille enim ut semel evomuerit cessat, nec erit sicut ille: & si iterum eadem vomit, manifestum quod eadem edit. Quid igitur illo abominabilius? quid immundius illo ore, quo eosdem cibos vomitos manducat? quamvis hoc naturæ opus: illud autem minimè, imò & hoc illud præter naturam est. Quomodo? Non enim secundùm naturam est, sine causa conviciari, sed præter naturam. Igitur nihil quidem ut homo loquitur, sed alia ut bestia, alia verò ut furibundus. Itaq; sicut corporũ morbus præter naturam est, ita & hoc: & quia præter naturam est, si in illo moretur, paulatim perit. Mallem assidere homini lutum edenti, quam talia loquenti. Non videtis porcos stercora devorare, & suaviter glutire? ita & illi. Quid enim fœdius quàm verba, quæ contumeliosi conviciatores loquuntur? Nullum autem illis studium est, vel sanum, vel mundum aliquid dicere, sed quicquid turpe, hoc & facere & loqui solent. Hoc sanè graviùs, quod dum seipsos magis confundunt, alios confundere putant, & manifestum est inde. Ne enim mihi dixeris illos mendacia dicere, sed sit quædam insignis meretrix, vel alius quispiam è fornice, & faciat cum illo pugnam: posteà ille huic hæc loquatur, hic iterum illi similiter, uter magis contumelia affectus erit: nam ille quidem, ea quorum reus est, audit: hic autem, ea quorum non est reus: & ita illi quidem nihil accessit ad confusionem sermonis, huic autem plurimum. Jam sint quædam eorum per opera facta, & solus ille qui contumelia afficit, ea sciat: & qui anteà siluerit, per convicia nunc divulget: etiam hic propter hoc magis convicio sese infamabit. Quomodo? Præco malitiæ factus, in suspicionem venit, quod malè conscius & fide indignus loquatur, videbitque omnes statim se objurgare, & talia ubique dicere: Si enim homicidii conscius erat, omnino anteà enunciare oportebat, & hunc quidem quasi non sit homo aversantur, odere, bestiamque esse dicunt efferam & crudelem: huic autem magis quàm illi ignoscunt. Eos enim qui vulnera habent, horremus, si tegere cogantur & monstrent; ita & hic contumelia afficit, non illum, sed etiam seipsum, & audientes, & communem hominum naturam, verberavitque auditorem, & nihil boni fecit. Idcircò Paulus inquit: *Si quis bonus sermo ad ædificationem, ut det gratiam audientibus*; possideamus linguam honesta loquentem, ut simus desiderabiles ac amabiles. Verum eousque malitiæ pervenerunt omnia, ut quæ potissimùm velare oportebat, in his plerique glorientur, Multi enim in hunc modum minantur: Non potest lingua mea ferre verba uxoris vetulæ, ebriæ ac fœdè agentis, eorum qui in foro exibilant, & traducunt. Nihil his verbis deformius, nihil minùs virile. Nihil muliebrius est, quàm robur in lingua habere, & in conviciis superbire, sicut qui in pompis, sicut mimi, & parasiti, & adulatores. Porci magis sunt quàm homines, quotquot in hoc gloriantur: oportebat teipsum occultare, oportebat si quis alius hæc de te testaretur, fugere testimonium quasi hostile & non virile. Tu autem conviciorum præco effíceris. At nihil ei qui malè audit, nocere poterit. Ideò obsecro, ut considerantes quanta malitia sit, quod & glorientur quidam, resipiscamus, emendemus eos qui sic insaniunt, tollamus hos è civitate cœtus, ornemus linguam nostram, liberemus eam ab omni accusatione, ut purificati à peccatis, supernam benevolentiam nobis conciliare, & Dei misericordiam mereri possimus; gratia & miserationibus Unigeniti illius, cum quo Patri simul ac Spiritu Sancto, gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA

HOMILIA XXXII.

Cap. XV. *Commorati autem sunt illic tempore non parvo cum discipulis. Et quidam descendentes à Judæa docebant fratres: Si non circumcidimini more Mosaïco, non potestis servari.*

VIDE ubique transitum ad Gentes necessarium initium à Judæis habere. Ante hoc qui objurgabatur, rationem reddebat, & ad defensionem omnia loquebatur; id quod sermonem magis gratum reddebat, quòd Judæis aversantibus venit ad Gentes. Hic iterum videns alium excessum oriri, legem statuit. Quoniam enim utpote à Deo docti Apostoli, sine discrimine omnibus loquebantur: & hi qui ex Judæis erant, ad zelum provocabantur, nec docebant simpliciter circumcisionem, sed sine illa salvari non posse. Cujus contrarium tempestivè nunc dicitur: *Si non circumcidimini, non potestis servari.* Vides continuas tentationes intus & foris? Pulchra autem dispensatione hoc agitur, Paulo præsente ut contradicat. Et non dixit Paulus: Quid? non merebor fidem à tantis signis? sed distulit propter illos. Et vide ut jam omnes discunt quæ contigerant inter Gentes, etiam Samaritani, & gaudent. *Itaque facta seditione, & disputatione non parva Pauli, & Barnabæ contra illos, statuerunt, ut ascenderent Paulus & Barnabas, & quidam alii ex illis ad Apostolos, & seniores in Hierusalem super hac quæstione. Illi ergo deducti ab Ecclesia pertransibant Phœnicen, & Samariam, annunciantes conversionem Gentium, & faciebant gaudium magnum fratribus omnibus. Ut autem venerunt in Hierusalem, suscepti sunt ab Ecclesia, & Apostolis, & Presbyteris, annunciantes quæcumque Deus fecit cum illis.* Vide quanta ordinatione singula facta sunt. *Surrexerunt autem quidam ex secta Pharisæorum, qui crediderant, dicentes quòd oportet circumcidere illos, & præcipere eis ut servent legem Mosi. Congregati sunt autem Apostoli, & seniores, ut dispicerent de sermone hoc. Multa autem disceptatione facta, surgens Petrus dixit ad illos: Viri fratres, vos scitis quod à diebus antiquis Deus in vobis elegit per os meum, ut audiant Gentes sermonem Evangelii, & credant.* Vide & Petrum hactenus separatum à negotio & judaizantem: *Vos scitis*, inquit. Aderant forsan ex his qui vocaverunt illum ad Cornelium olim: & ingressi cum illo, & propterea adducit illos testes. *A diebus antiquis in vobis elegit Deus.* Quid est: *In vobis*? Hoc est: In Palæstina, inquit, vel præsentibus vobis. *Per os meum.* Vide ut ostendit Deum per illum loqui, & nihil esse humanum. *Et cordium cognitor Deus testimonium dedit illis.* Ad spiritus testimonium ducit illos. *Dans illis Spiritum Sanctum, sicut & nobis.* Vide quomodo ubique æquat Gentes; *& nihil dijudicat inter nos & illos, fide purificatis cordibus illorum.* A sola fide, inquit, illa assequuti sunt, & non operibus vel circumcisione. Etenim hæc non dicunt solùm pro Gentibus rationem reddentes, sed etiam illos à lege abducere cupientes. Verùm jam hoc nondum dicunt. *Itaque nunc quid tentatis Deum, ut imponatis jugum super cervicem discipulorum, quod neque patres nostri, neque nos potuimus portare, sed per gratiam Domini nostri Jesu Christi credimus servari, quemadmodum & illi.* Quid est, *tentatis Deum?* Cur increduli estis, inquit, Deo? quid tentatis illum quasi non possit servare fide? Itaque infidelitatis est legem inferre. Posteà ostendit etiam illis non fuisse utilem, & totum in legem, non in illos rejicit, & accusationem sistit ac moratur. *Quod non potuimus nos & patres nostri portare, sed per gratiam Domini nostri Jesu Christi credimus servari, quemadmodum & illi.* Quanta virtute plena sunt verba hæc, quæ sanè Paulus multis in

Rom. 4. 2. epistola ad Romanos, dixit: hæc & hic. *Si enim Abraham*, inquit, *ex operibus justificatus est, habet gloriationem, sed non apud Deum.* Vides quod magis hæc docet, quam quod Gentes defendit? At siquidem absque occasione hæc dixisset, forsan minimè observatus fuisset. Initio autem sumpto hinc, deinde intrepidè loquitur. Et vide ubique, quod omnia quæ inimici moverunt, illis prosint. Nam si illi non movissent, hæc nequaquam dicta fuissent, neque etiam ea quæ posteà. Hinc discunt, quod si Gentes adducere voluissent, non tamen despicere debuerint. Videamus autem iterum quæ dicta sunt. *In nobis*, inquit, *elegit Deus, & à diebus antiquis.* Hoc dixit, ostendens quod olim, non nunc. Non parum autem est, quod etiam Judæi credentes hoc aversantur. Duobus quod dicit confirmatur, tempore & loco. Et quod elegit, benè, sicut in ipsis. Non dixit, voluit: sed *elegit*. Unde hoc manifestum? A spiritu, inquit.

ΟΜΙΛΙΑ λβʹ.

A Διέτριβον δὲ ἐκεῖ, φησί, χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι.

ΟΡΑ πανταχοῦ τῆς εἰς τὰ ἔθνη μεταβάσεως ἀναγκαίαν τὴν ἀρχὴν ἀπ᾽ αὐτῶν εἰσαγομένην. πρὸ τούτου ἐγκαλούμενος B ἀπελογίσατο, καὶ ἐν τάξει ἀπολογίας τὸ πᾶν εἶπεν. ὅπερ εὐπαράδεκτον τὸν λόγον ἐποίει· ἐπειδὴ τῶν Ἰουδαίων ἀποστραφέντων, οὕτω ἦλθεν εἰς τὰ ἔθνη· ἐνταῦθα πάλιν ἄλλην ἀμετρίαν ὁρῶν φερομένην, οὕτως ἵστησι τὸν νόμον. ἐπειδὴ γὰρ ἅτε παρὰ τοῦ Θεοῦ διδαχθέντες ἀδιαφόρως διελέγοντο πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων. καὶ οὐκ ἐδίδασκον ἁπλῶς περιτομήν, ἀλλ᾽ ὅτι οὐδὲ σωθῆναι δύνασθε. οὗ τοὐναντίον εὔκαιρον ἦν λέγειν, ὅτι περιτεμνόμενοι C σωθῆναι οὐ δύνασθε. ὁρᾷς συνεχεῖς τοὺς πειρασμοὺς ἔνδοθεν, ἔξωθεν; καλῶς δὲ οἰκονομεῖται τοῦτο Παύλου παρόντος, ἵνα ἀντείπῃ. καὶ οὐκ εἶπεν ὁ Παῦλος· τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων; ἀλλ᾽ ἐπείσθη δι᾽ ἐκείνους. καὶ ὅρα, μανθάνουσι λοιπὸν πάντες τὰ εἰς τὰ ἔθνη γεγενημένα καὶ Σαμαρεῖται, καὶ ἔχαιρον. γενομένης οὖν στάσεως, καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν τὸν Παῦλον καὶ Βαρνάβαν, καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς Ἀποστόλους, καὶ πρεσβυτέρους εἰς Ἱε-D ρουσαλὴμ περὶ τοῦ ζητήματος τούτου. οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας, καὶ τῶν ἀποστόλων, καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ᾽ αὐτῶν. ὅρα πόση οἰκονομία γί-E νεται. ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως. συνήχθησαν δὲ οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ᾽ ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ Εὐαγγελίου, καὶ πιστεῦσαι. A ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος, καὶ μέχρι τοῦ νῦν Ἰουδαΐζοντα. ὑμεῖς ἐπίστασθε, φησί. παρῆσαν ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίου πάλαι, καὶ εἰσελθόντες μετ᾽ αὐτοῦ. διὰ τοῦτο αὐτοὺς παράγει μάρτυρας. ἀφ᾽ ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ὁ Θεὸς ἐξελέξατο. τί ἐστιν ἐν ὑμῖν; ἤτοι ἐν Παλαιστίνῃ, φησίν, ἢ παρόντων ὑμῶν, διὰ τοῦ στόματός μου. ὅρα πῶς δείκνυσι τὸν Θεὸν δι᾽ αὐτοῦ φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον. καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρ-B τύρησεν αὐτοῖς. ἐπὶ τὴν πνευματικὴν ἀνάγει μαρτυρίαν αὐτούς. δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν. ὅρα πῶς πανταχοῦ ἐξισοῖ τὰ ἔθνη. καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. ἀπὸ τῆς πίστεως μόνης, φησί, τῶν αὐτῶν ἔτυχον. κἀκείνων ταῦτα ἐντρεπτικά· μᾶλλον δὲ καὶ ἐκείνους διδάξαι δύναται ὅτι πίστεως δεῖ μόνης, καὶ οὐκ ἔργων οὐδὲ περιτομῆς. οὐ γὰρ δὴ ὑπὲρ τῶν ἐθνῶν ἀπολογούμενοι ταῦτα λέγουσι C μόνον, ἀλλὰ κἀκείνους παιδεύοντες ἀποστῆναι τοῦ νόμου. ἀλλὰ τέως οὔπω λέγουσι τοῦτο. νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, καθ᾽ ὃν τρόπον κἀκεῖνοι; τί ἐστι, πειράζετε τὸν Θεόν; τί ἀπιστεῖτε, φησί, τῷ Θεῷ; τί πειράζετε αὐτὸν ὡς οὐκ ἰσχύοντα σῶσαι τῇ πίστει; ἄρα ἀπιστίας ἐστὶ τὸ τὸν νόμον εἰσφέρειν. εἶτα δείκνυσι καὶ D αὐτοὺς οὐδὲν ὠφελημένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει οὐκ ἐπ᾽ αὐτούς, καὶ τὴν κατηγορίαν ὑποτέμνεται. ὃν οὐκ ἰσχύσαμεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν, φησί, βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι ὃν τρόπον κἀκεῖνοι. πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα; ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ῥωμαίους εἶπε, ταῦτα καὶ οὗτος. εἰ γὰρ Ἀβραάμ, φησίν, ἐξ ἔργων E ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ᾽ οὐ πρὸς τὸν Θεόν. ὁρᾷς ὅτι τούτων μᾶλλόν ἐστι τοῦτο παιδευτικόν, ἢ ἀπολογία ἡ ὑπὲρ τῶν ἐθνῶν; ἀλλ᾽ εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγεν, ἴσως οὐδαμῶς ὕποπτος ἦν· ἀρχῆς δὲ λαβόμενος, ἐντεῦθεν λοιπὸν ἀδεῶς φθέγγεται. καὶ ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν μετ᾽ αὐτῶν γινόμενα. εἰ μὴ γὰρ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδ᾽ ἂν τὰ μετὰ ταῦτα. ἐντεῦθεν μανθάνουσιν ὅτι εἰ καὶ μὴ προσάγειν ἤθελον τὰ ἔθνη, οὐ δεῖ αὐτοὺς παρορᾶν. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν ὑμῖν, φησίν, ἐξελέξατο, καὶ ἀφ᾽ ἡμερῶν ἀρχαίων. τοῦτο εἶπε, δεικνὺς ὅτι πάλαι, οὐ νῦν. οὐ μικρὸν δὲ τὸ καὶ Ἰουδαίων πιστευόντων τοῦτο ἀποστραφῆναι. δύο τούτοις ὃ λέγει πιστοῦται τῷ καιρῷ καὶ τῷ τόπῳ. καὶ τὸ ἐξελέξατο, καλῶς· ὥσπερ ἐπ᾽ αὐτῶν οὐκ εἶπεν ἠθέλησεν, ἀλλ᾽ ἐξελέξατο. πόθεν τοῦτο δῆλον; ἀπὸ τοῦ πνεύματος, φησίν,

εἶτα

εἶτα δείκνυσιν οὐχὶ χάριτος ἁπλῶς, ἀλλ' ἀρετῆς μαρτύριον αὐτοῖς τοῦτο γινόμενον· καὶ οὐδὲν ἔλαττον αὐτοῖς παρασχόν. οὐδὲν γάρ, φησι, διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ἄρα καρδίας δεῖ πανταχοῦ ζητεῖν. καὶ εὐκαίρως εἶπεν, ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς· ὡς καὶ ἐκεῖ, σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον. ὅτι γὰρ τοῦτο βούλεται, ὅρα τί ἐπάγει, ὅτι οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. ὅτε εἶπεν αὐτῶν τὴν μαρτυρίαν, τότε τὸ μέγα τοῦτο ἐφθέγξατο, ὅπερ Παῦλός φησιν· οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία· καὶ, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ. πάντων τούτων τὰ σπέρματα ἐν τῇ Πέτρου δημηγορίᾳ κεῖται. καὶ οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ μεταξὺ ἡμῶν, τουτέστι, τῶν Ἀποστόλων. εἶτα ἵνα μὴ δόξῃ ὕβρις εἶναι τὸ οὐδέν, ἐπάγει· πίστει καθαρίσας τὰς καρδίας αὐτῶν; καὶ ἀναιρεῖ τὴν ὑπόνοιαν διὰ τούτου. ἐξεκάθηρε πρότερον τὸν λόγον, καὶ τότε δείκνυσιν οὐχὶ πονηρὸν τὸν νόμον, ἀλλ' αὐτοὺς ἀσθενεῖς. ὅρα πῶς εἰς φοβερὸν κατέληξεν. οὐδὲν ἀπὸ προφητῶν αὐτοῖς διαλέγεται, ἀλλ' ἀπὸ τῶν παρόντων πραγμάτων ὧν αὐτοὶ μάρτυρες ἦσαν. εἰκότως καὶ αὐτοὶ λοιπὸν ἐπιμαρτυροῦσι, καὶ τὸν λόγον ἰσχυρότερον ποιοῦσι τοῖς ἤδη γενομένοις. καὶ ὅρα, ἐν τῇ ἐκκλησίᾳ συγχωρεῖ πρῶτον ζήτησιν γενέσθαι, καὶ τότε λέγει. ἐπεὶ οὖν οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ τῶν ἐθνῶν· τοῦτο γὰρ κατὰ μικρὸν ἐπαγόμενον ἐγίνετο ἰσχυρότερον. ἐκεῖνο δὲ ἦν πειράζοντος, εἰ δύναται καὶ μετὰ νόμον σῶσαι; ὅρα τί ποιεῖ· δείκνυσιν αὐτοὺς ἐν κινδύνῳ, εἴγε ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος, ἴσχυσεν ἡ πίστις. ταύτης δὲ ἐκπιπτούσης, ἀνάγκη αὐτοὺς ἐν ἀπωλείᾳ εἶναι. καὶ οὐκ εἶπεν, ἀπιστεῖτε, ὅπερ ἦν φορτικώτερον, καὶ ταῦτα ἐληλεγμένου τοῦ πράγματος. ἐν μὲν οὖν τοῖς Ἱεροσολύμοις, οὐκ ἦσαν ἐξ ἐθνῶν τινες· ἐν δὲ Ἀντιοχείᾳ, εἰκὸς εἶναι. διὰ τοῦτο καὶ ἀπέρχονται, καὶ διατρίβουσι χρόνον οὐκ ὀλίγον ἐκεῖ. ἐξανέστησαν δέ τινες τῶν Φαρισαίων, ἔτι νοσοῦντες τὴν φιλαρχίαν, καὶ βουλόμενοι πρὸς αὐτοὺς ἔχειν τοὺς ἐξ ἐθνῶν. καί τοι καὶ Παῦλος νομομαθὴς ἦν, ἀλλ' οὐκ ἐπαρχε τοῦτο. ἐπειδὴ δὲ ἐκεῖθεν ἦλθε, καὶ τὸ δόγμα ἀκριβέστερον ἐγένετο. εἰ γὰρ οἱ ἐν Ἱεροσολύμοις ὄντες οὐδὲν τοιοῦτον ἐπιτάττουσι, πολλῷ μᾶλλον οὗτοι. ὁρᾷς ὅσοι μὴ φιλαρχοῦσι χαίρουσιν ἐν τῇ πίστει; οὐ φιλοτιμίας τινὸς τὰ διηγήματα, οὐδὲ ἐπιδείξεως ἦν, ἀλλὰ ἀπολογίας τοῦ εἰς τὰ ἔθνη κηρύγματος. διὸ καὶ οὐδὲν λέγουσι τῶν εἰς τοὺς Ἰουδαίους συμβεβηκότων. πολλὴ ἡ ἐπιπελὴ τῶν Φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων, καὶ οὐ πειθομένων τοῖς Ἀποστόλοις. ἀλλ' ὅρα ἐκείνους, πῶς ἐπιεικῶς, καὶ οὐ μετὰ αὐθεντίας διαλέγονται. τὰ γὰρ τοιαῦτα ἐπιθυμητά, καὶ πέπηγε μᾶλλον. ὁρᾷς οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ πνεύματος; ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια ἔτι ἐπιεικῶς διαλέγονται. καὶ ὅρα· οὐκ ἀπέρχονται διαβάλλοντες τοὺς ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν. οὕτως ἐμελέτων τὸ φιλαρχεῖν. οἱ καὶ οὐκ εἰδότων τῶν Ἀποστόλων ἐμεμφθησαν. ἀλλ' ὅμως οὐδὲν τούτων οὗτοι προήνεγκαν· ἀλλ' ὅτε ἀπεδείξαν, τότε σφοδρότερον γράφουσι. μέγα γὰρ ἡ ἐπιείκεια πανταχοῦ καλόν· ἐπιείκεια λέγω, οὐ ψυχρότης· ἐπιείκεια, οὐ κολακεία. πολὺ γὰρ ταῦτα διέστηκεν ἀπ' ἀλλήλων. οὐδὲν ἐτράχυνε Παῦλον· οὐδὲν Πέτρον. ὅταν ἔχῃς ἀποδείξεις, τί ὀργίζῃ; ἢ ἵνα καὶ ταύτας ἀκύρους ποιήσῃς. οὐκ ἔστι τὸν ὀργιζόμενον πεῖσαί ποτε. καὶ χθὲς περὶ ὀργῆς διελέχθημεν· οὐδὲν δὲ κωλύει καὶ τήμερον. ἡ γὰρ συνέχεια ἴσως ἐργάσεταί τι. καὶ γὰρ φάρμακον τὸ δύναμιν ἔχον ἀφανίσαι τραῦμα, ἂν μὴ συνεχῶς ἐπιτεθῇ, τὸ πᾶν ἀπώλεσε. μὴ δὴ νομίζετε κατάγνωσιν ὑμῶν εἶναι, τὸ συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεσθαι. εἰ γὰρ κατεγνώκειμεν, οὐκ ἂν διελέχθημεν. νῦν δὲ ἐλπίζοντες μεγάλα ὑμᾶς κερδαίνειν, ταῦτα φθεγγόμεθα. εἴθε γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ἐλέγομεν· εἴθε μὴ [δὲ] ἦν ἄλλη τις λόγων ὑπόθεσις ἢ φροντίς, ἀλλ' ὅπως τῶν παθῶν κρατήσωμεν τῶν ἡμετέρων. πῶς γὰρ οὐκ ἄτοπον, βασιλεῦσι μὲν ἐν τρυφῇ ζῶσι, καὶ τοσαύτῃ τιμῇ μηδένα εἶναι λόγον, μήτε ἐπὶ τραπέζης, μηδὲ ἐν ἄλλῳ μηδενὶ καιρῷ, ἀλλὰ πῶς μόνον τῶν πολεμίων κρατῆσαι δεῖ, καὶ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συλλόγους ποιεῖν, καὶ στρατηγούς, καὶ στρατιώτας καταλέγειν, καὶ φόρους ἀπαιτεῖν, καὶ τῶν πολιτικῶν πραγμάτων ταύτας δύο αἰτίας ἀναγκαίας εἶναι ἡγεῖσθαι, ὅπως καὶ τῶν πολεμούντων κρατήσωσι, καὶ τοὺς οἰκείους ἐν εἰρήνῃ καταστήσωσιν· ἡμᾶς δὲ μηδὲ ὄναρ θέλειν τὰ τοιαῦτα διαλέγεσθαι· ἀλλ' ὅπως μὲν ἀγρὸν ὠνησώμεθα, καὶ ὅπως ἀνδράποδα, καὶ ὅπως πλείω τὴν οὐσίαν ποιήσωμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι οὐ λαμβάνομεν κόρον· περὶ δὲ τῶν ἐν ἡμῖν πραγμάτων, καὶ τῶν ὄντως ἡμῶν, οὔτε αὐτοὶ λέγειν βουλόμεθα, οὐδὲ ἑτέρων λεγόντων ἀνεχόμεθα ἀκούειν; περὶ τίνος οὖν, εἰπέ μοι, διαλέγεσθαι βούλει; περὶ ἀρίστου; ἀλλὰ ταῦτα μαγείρων τὰ ῥήματα. ἀλλὰ περὶ χρημάτων; ἀλλὰ ταῦτα καπήλων καὶ ἐμπόρων. ἀλλὰ περὶ κτισμάτων;

A Deinde ostendit non gratiæ simpliciter, sed virtutis testimonium hoc fieri, & nihil minus illis exhibitum. *Nihil enim dijudicavit inter nos & illos.* Igitur corda omnino oportet inquirere. Et oportune dixit: Cordium cognitor Deus, testificatus est illis, sicut etiam illic: *Tu Domine cordium cognitor omnium ostende.* Supr 1,24. Nam quod hoc voluerit, vide quid dicat: *Nihil discrevit inter nos & illos.* Quando dixit illorum testimonium, tunc magnum hoc locutus est, id B quod Paulus inquit: *Neque circumcisio aliquid operatur, neque præputium.* 1 Cor. 7,19 Et, *ut duos condat in seipso.* Eph. 2,14 Omnium horum semina in concione Petri sita sunt. Et non dixit: Inter circumcisos, sed inter nos, hoc est Apostolos. Deinde ne videatur contumelia ex nihilo esse: addit: *Fide purificatis cordibus illorum.* Et per hoc suspicionem aufert. Expurgavit priorem sermonem, & tunc ostendit non malam legem, sed illos infirmos. Vide quàm terribilis finis, ni-C hil ex Prophetis narrat illis, sed ex rebus præsentibus, quarum ipsi testes erant. Meritò & illi posthac testificantur, & sermonem roborant his jam factis. Et vide, in Ecclesia permittit primùm inquisitionem, & disputationem fieri, & tunc ipse dicit: Igitur quoniam non memorat circumcisos, sed Gentes. Hoc enim quod paulò antè inducitur, fiebat firmius: fuisset autem tentantis dicere, num possit etiam post legem servare? Vide quid D facit, ostendit illos esse in periculo, quandoquidem id quod non poterat lex, potuit fides: quod si ab hac exciderint, necesse est illos interire. Et non dixit: Increduli estis, id quod fuisset molestius, præsertim causa posita. Itaque in Hierosolymis nulli quidem erant ex Gentibus, sed verisimile est fuisse Antiochiæ. Quapropter veniunt, & commorantur illic non parvo tempore. Surrexerunt autem quidam Pharisæorum, adhuc ambitionis morbo laborantes, E volentes sibi asciscere eos qui ex Gentibus. Non patiebatur autem hoc Paulus. Postquam autem illuc venit, dogma evidentius factum est. Si enim hi qui in Hierosolymis sunt, nihil tale imperant, multò magis hi. Vides? Quotquot ambitione non tenentur, gaudent in fide. Itaque non narrabantur ea quæ ad ambitionem, vel ad ostentationem pertinebant, sed reddebatur ratio prædicationis erga Gentes. Ideò etiam nihil dicunt eorum quæ evenerant Judæis, A Magna pertinacia Pharisæorum, etiam post fidem adhuc legem tuentur, & non credunt Apostolis. Sed vide quàm mansuetè, & non cum authoritate loquuntur. Namque talia amabilia, & magis animo figuntur. Vides nusquam sermonem, sed operum & spiritus ostentationem. Attamen etiam tantis muniti rationibus adhuc mansuetè loquuntur. Et vide, non veniunt accusaturi eos qui Antiochiæ, sed illinc iterum sumunt occasionem. Sic meditabantur quidam præ-B esse aliis, qui & Apostolis nescientibus reprehensi sunt. Attamen nihil horum isti prætulerunt, at ubi satis probarunt, tunc vehementius scribunt. Etenim æquitas magnum ubique bonum; Æquitas dico, non frigiditas, æquitas non adulatio: Multum enim hæc inter se distant. Nihil exaspetabat Paulum, nihil Petrum. Quando habes certa testimonia, quid irasceris? num ut etiam illa infirma reddas? Impossibile est, ut iracundo persuadeatur. Etiam C heri de ira disseruimus, nihil autem prohibet quin & hodie: proficit enim plurimum continuatio. Etenim pharmacum quod vim habet mederi vulnus, nisi continuò imponatur, totum perit. Ne oro putetis quod desperem de vobis, quia subinde de iisdem rebus dissero: nam si desperaremus, planè nihil loqueremur: nunc autem quia spes est quòd multum lucri faciatis, hæc loquimur. D Utinam perpetuò de iisdem loquamur, utinam non sit alia quædam occasio vel cura, sed ut affectionibus nostris imperemus. Quomodo enim non absurdum? Regibus quidem in deliciis viventibus ac tanto honore, nullum alium esse sermonem, vel in mensa, vel in aliquo alio tempore, quàm quomodo hostibus queat prævalere, & propter hoc quotidie conventus facit, & capitaneos & milites deligit, ac tributa petit. Etiam in civilibus causis opi-E nor hasce duas rationes necessarias, ut & hostibus imperent, & suos in pace contineant. Nos autem neque somniamus velle talia dicere. Sed ut servos quidem emamus ac agros, ut facultates ampliemus, quotidie loquendo nulla satietate oneramur. De rebus autem nostris, & verè nostris, neque ipsi loqui volumus, neque alios loquentes sustinemus. De quo igitur, dic mihi, loqui vis? De prandio? sed hæc coquorum sunt verba: De pecuniis? sed hæc mercatorum & institorum sunt. De structuris?

sed hæc architectorum sunt & ædificantium. De terra? sed hæc agricolarum. Nostrum autem nullum est opus, quàm ut opes animæ acquiramus. Non igitur super illis nobis perpetuò sermo esset? Quare nullus accusat medicos semper de re medica disserentes, neque alios opifices de sua arte loquentes. Quòd si sic nostras affectiones moderaremur, ne admonitione opus esset: meritò quis nobis objiceret ostentationem: imò neque sic: nam etiamsi emendatæ essent, etiam sic colloquendum, ne succumbamus: quoniam & medici non ægrotis solùm, sed & sanis loquuntur, & sunt eis libri super ea re, ut & morbos curent, & à morbis præservent. Et ita licet sani simus, neque sic desistendum, ut etiam conservemus sanitatem. Quando autem & ægrotamus, duplex sermonum necessitas: una quidem ut liberemur à morbo, alia autem ne libertati recidamus. Itaque curativam methodum proponamus infirma curaturi: Quomodo igitur huic affectioni malæ quis medebitur, quomodo acutam hanc comprimet febrem? Videamus unde nata est, & causam tollamus: unde nasci consuevit? Ex arrogantia & magna superbia. Causam igitur hanc tollamus, & simul auferetur etiam morbus. Quid autem superbia? unde nascitur? fortasse iterum ad aliud initium ire conandum. Igitur quam sermo dabit eam viam ibimus, ut radicitus malum evellatur. Unde igitur arrogantia? Ex eo quòd non spectamus quæ nostra sunt, sed de natura quidem terræ, quamvis non simus agricolæ, curiosè inquirimus, & de natura arborum, & de natura auri, quamvis non simus negociatores: & de vestibus, & de domibus, de nobis autem, & de nostra natura nunquam sustinemus hoc fieri. Et quis ignorat, inquit, suam naturam? Multi, fortassis omnes: certè pauci. Et si vultis hinc faciamus argumentum: dic oro mihi: quidnam est homo si quis roget. qua re differt ab irrationabilibus quomodo cognatus est his qui in cœlis sunt? Quid potest ex homine fieri? Num poteris rectè respondere? Equidem non opinor: quemadmodum enim licet loqui de materia quadam, ita & de homine. Materia quidem est homo: fieri autem potest & Angelus, & bestia. Igitur non videbitur extraneus esse hic sermo? quamvis & sæpe illum in

Malac. 2, 7. scripturis audistis. Nam de quibusdam hominibus dictum
Ibid. 3, 1. est: *Angelus Domini est, & ex labiis ejus requirunt judicium.*
Matt. 12, 34. Et iterum: *Emittam Angelum meum ante faciem tuam.* De quibusdam autem, serpentes, *progenies viperarum.* Jam sane apud eos qui totum depingunt, potest fieri etiam homo Deus.
Ps. 81, 6. Quid dico Angelus? & *Dei filius: Ego enim dixi*, inquit, *dii estis & filii sublimis omnes.* At hoc certè majus, quia ut fiat
Joh. 1, 6. & Deus & Angelus, & Dei filius, potestatem ipse accepit, & est homo angeli conditor. Forsan vos turbavit
Luc. 20, 36. verbum, sed audite Christum dicentem: *In resurrectione neque nubent, neque nuptui tradentur, sed sunt sicut*
Matt. 19, 13. *Angeli*: & iterum: *Qui potest capere capiat.* Attamen si virtus Angelos facit, utique Angelos possumus facere: etsi non natura, certè proposito & electione: Nam hoc quidem absente nulla utilitas est Angeli esse naturam, id quod diabolus indicat, qui anteà Angelus erat. Hoc autem præsente nullum damnum est esse hominem natura, ut ex Joanne & Helia perspicuum est, qui in cœlum ascendit, & omnes abituri sunt illuc. Nam hi quidem licèt corporei, non prohibiti sunt inhabitare cœlum: illi autem quum incorporei essent, non potuerunt manere in cœlo. Nullus igitur doleat, nullus indignetur de natura quasi impediat, sed de sua electione ac voluntate. Leo ille
1. Pet. 5, 8. factus est ex incorporeo: *Ecce enim*, inquit, *inimicus vester sicut leo rugiens obambulat, quærens quem devoret.* Nos Angeli è corporibus. Quemadmodum si quis inventa preciosa materia, quum non sit artifex, contempta illa magnum damnum accipiat, ut pote margarito vel conchylio, vel alio tali quopiam reperto & neglecto. Sic & nos si ignoraverimus nostram naturam, ipsam valdè contemnemus: si autem sciverimus, multum adhibebimus studium, & maxima lucra faciemus. Ex hac regium fit indumentum, ex hac domus fit regia, ex hac membra fiunt regia, omnia regia. Ne abutamur in damnum nostrum natura nostra. Parumper ab Angelis minores fecit nos, morte inquam, sed & hanc accepimus brevissimam. Nihil igitur prohibet nos Angelos fieri statim, si voluerimus. Velimus igitur, velimus, & si disposuerimus

ἀλλὰ ταῦτα τεκτόνων καὶ οἰκοδόμων. ἀλλὰ περὶ γῆς; ἀλλὰ ταῦτα γεωργῶν. ἡμῶν δὲ οὐδὲν ἕτερον ἐστιν ἔργον, ἀλλ᾽ ἢ πῶς πλοῦτον περιποιησόμεθα τῇ ψυχῇ. μὴ τοίνυν προσκορὴς ὁ λόγος γινέσθω. διὰ τί γὰρ μηδεὶς ἐγκαλεῖ τῷ ἰατρῷ περὶ ἰατρικῆς ἀεὶ διαλεγομένῳ, μηδὲ τοῖς ἄλλοις τοῖς δημιουργοῖς περὶ τῶν οἰκείων τεχνῶν λέγουσιν; εἰ μὲν γὰρ οὕτως ἡμῖν ἦν κατωρθωμένα τὰ τῶν παθῶν, ὡς μὴ δεῖσθαι ὑπομνήσεως, εἰκότως ἄν τις ἡμῖν ἐνεκάλεσε φιλοτιμίαν καὶ ἐπίδειξιν· μᾶλλον δὲ οὐδὲ οὕτως. εἰ γὰρ καὶ κατώρθωτο, καὶ οὕτως ἐχρῆν διαλέγεσθαι, ὥστε μὴ ἀναπεσεῖν. ἐπεὶ καὶ ἰατροὶ οὐχὶ νοσοῦσι, ἀλλὰ καὶ ὑγιαίνουσι διαλέγονται, καὶ ἔστιν αὐτοῖς βιβλία τοιαύτης πραγματείας· τοῖς μὲν ἵνα τῆς νόσου ἀπαλλάττωσι· τοῖς δὲ ἵνα τὴν ὑγίειαν διαφυλάττωσιν. ὥστε εἰ καὶ ὑγιαίνομεν, οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλὰ πάντα ποιεῖν ὥστε διατηρηθῆναι τὴν ὑγίειαν ἡμῶν. ὅταν δὲ καὶ νοσῶμεν, διπλῆ τῶν λόγων ἡ ἀνάγκη· μία μὲν, ἀπαλλαγῆναι τῆς νόσου. δευτέρα δὲ, ἀπαλλαγέντας μὴ περιπεσεῖν πάλιν. οὐκοῦν θεραπευτικῇ μεθόδῳ διαλεγώμεθα νῦν, οὐχ ὑγιεινῇ πραγματείᾳ. πῶς οὖν ἄν τις τὸ κακὸν τοῦτο ἐκκόψειε πάθος; πῶς τὸν σφοδρὸν ἀποσβέσειε πυρετόν; ἴδωμεν πόθεν ἐτέχθη, καὶ τὴν αἰτίαν ἀνέλωμεν. πόθεν τίκτεσθαι εἴωθεν; ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς. ταύτην οὖν ἀνέλωμεν τὴν αἰτίαν, καὶ συναναιρεῖται καὶ τὸ νόσημα. τί δὲ ἡ ἀλαζονεία; πόθεν τίκτεται; τάχα γὰρ πάλιν ἐφ᾽ ἑτέραν ἀρχὴν κινδυνεύομεν ἀνελθεῖν. οὐκοῦν ἣν ἂν ὁ λόγος ὑφηγήσηται, ταύτην βαδίζωμεν, ὅπως κάτωθεν καὶ πρόρριζον ἀνασπασθῇ τὸ κακόν. πόθεν οὖν ἡ ἀλαζονεία; ἐκ τοῦ μὴ ἐπισκοπεῖσθαι τὰ ἡμέτερα· ἀλλ᾽ ὑπὲρ μὲν φύσεως γῆς, καίτοι οὐκ ὄντας γεωργοὺς πολυπραγμονεῖν, καὶ ὑπὲρ φύσεως φυτῶν, καὶ ὑπὲρ φύσεως χρυσοῦ, καίτοι οὐκ ὄντας ἐμπόρους, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ πάντων· ὑπὲρ δὲ ἡμῶν καὶ τῆς ἡμετέρας φύσεως μηδέποτε ἀνέχεσθαι τοῦτο ποιεῖν. καὶ τίς ἀγνοεῖ, φησί, τὴν οἰκείαν φύσιν; πολλοί· τάχα δὲ πάντες, πλὴν ὀλίγων. καὶ εἰ βούλεσθε, ἐντεῦθεν ποιήσω τὸν ἔλεγχον· εἰπὲ γάρ μοι· τί ποτέ ἐστιν ἄνθρωπος; εἴ τις ἐρωτηθείη, τίνι τῶν ἀλόγων διέστηκε; πῶς συγγενής ἐστι τῶν ἐν οὐρανῷ; τί δύναται ἐξ ἀνθρώπου γενέσθαι; μὴ δυνήσεται ἐξ εὐθείας ἀποκριθῆναι; οὐκ ἔγωγε οἶμαι. καθάπερ γὰρ ἐπὶ ὕλης τινός, οὕτω καὶ ἐπὶ ἀνθρώπου, τὸ μὲν ὑποκείμενον, ἄνθρωπος· δύναται δὲ γενέσθαι καὶ ἄγγελος, καὶ θηρίον. ἆρα οὐ δοκεῖ ξένος εἶναι ὁ λόγος οὗτος; καίτοι πολλάκις αὐτοῦ ἐν ταῖς γραφαῖς ἠκούσατε. περὶ μὲν γάρ τινων ἀνθρώπων ἐλέγετο, ὅτι ἄγγελος Κυρίου ἐστί· καὶ ἐκ χειλέων αὐτοῦ, φησί, ζητήσουσι κρίσιν· καὶ πάλιν· ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου· περὶ δέ τινων, ὄφεις, γεννήματα ἐχιδνῶν. λοιπὸν δὴ παρὰ τοῖς γράφουσι τὸ πᾶν δύναται γενέσθαι, καὶ Θεός, καὶ ἄνθρωπος. τί λέγω ἄγγελος; καὶ Θεοῦ τέκνον. ἐγὼ γὰρ εἶπα, φησί, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ τὸ δὴ μεῖζον ὅτι τοῦ γενέσθαι, καὶ Θεὸς, καὶ ἄγγελος, καὶ Θεοῦ τέκνον, τὴν ἐξουσίαν αὐτὸς ἐνεχειρίσατο, καὶ ἔστιν ἄνθρωπος ἀγγέλου δημιουργός. τάχα ὑμᾶς ἐθορύβησε τὸ ῥῆμα; ἀλλ᾽ ἀκούετε τοῦ Χριστοῦ λέγοντος· ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι· καὶ πάλιν, ὁ δυνάμενος χωρεῖν χωρείτω. ὅλως δὲ ἡ ἀρετὴ ἀγγέλους ποιεῖ· ταύτης δὲ ἡμεῖς κύριοι. ἄρα ἀγγέλους δυνάμεθα δημιουργεῖν, κἂν μὴ τῇ φύσει, ἀλλὰ τῇ προαιρέσει. ταύτης μὲν γὰρ ἀπούσης, οὐδὲν ὄφελος ἄγγελον εἶναι τὴν φύσιν. καὶ δηλοῖ ὁ διάβολος οὗτος ὢν πρὸ τούτου. ταύτης δὲ παρούσης, οὐδὲν βλάβος ἄνθρωπον εἶναι τὴν φύσιν, καὶ δηλοῖ Ἰωάννης ἄνθρωπος ὤν, καὶ Ἡλίας εἰς τὸν οὐρανὸν ἀνελθών, καὶ πάντες οἱ μέλλοντες ἀπιέναι ἐκεῖ. οὗτοι μὲν γὰρ μετὰ σώματος οὐκ ἐκωλύθησαν τὸν οὐρανὸν οἰκεῖν· ἐκεῖνοι δὲ ἀσώματοι ὄντες, οὐκ ἠδυνήθησαν μεῖναι ἐν οὐρανῷ. μηδεὶς τοίνυν ἀλγείτω πρὸς τὴν φύσιν ὡς ἐμποδίζουσαν, ἀλλὰ πρὸς τὴν προαίρεσιν. λέων ἐκεῖνος ἐγένετο ἐξ ἀσωμάτου· ἰδοὺ γάρ, φησιν, ὁ ἐχθρὸς ἡμῶν ὡς λέων ὠρυόμενος περιέρχεται ζητῶν τίνα καταπίῃ· ἡμεῖς ἄγγελοι ἀπὸ σωμάτων. καθάπερ γὰρ εἴ τις ὕλην εὑρὼν πολύτιμον, οὐκ ὢν τεχνίτης, ἂν καταφρονήσῃ ταύτης, μεγάλα ζημιωθήσεται, εἴτε ἡ μαργαρίτας, ἢ κόχλον, ἢ ἕτερόν τι τοιοῦτον· οὕτω δὴ καὶ ἡμεῖς ἐὰν ἀγνοήσωμεν τὴν ἡμετέραν φύσιν, σφόδρα αὐτῆς καταφρονήσομεν· ἂν δὲ γνῶμεν, πολλὴν ἐπιδειξόμεθα σπουδήν, καὶ τὰ μέγιστα καρπωσόμεθα. ἀπὸ γὰρ ταύτης ἱμάτιον γίνεται βασιλικόν· ἀπὸ ταύτης οἰκία γίνεται βασιλική· ἀπὸ ταύτης μέλη γίνεται βασιλικά. μὴ δὴ καταχρησώμεθα εἰς βλάβην τῇ οἰκείᾳ φύσει· βραχύ τι παρ᾽ ἀγγέλους ἡμᾶς ἠλάττωσε· τῷ θανάτῳ λέγω· ἀλλὰ καὶ τοῦτο ἀπειλήφαμεν τὸ βραχύ. οὐδὲν οὖν τὸ κωλῦον ἡμᾶς ἀγγέλους γενέσθαι εὐθέως, ἂν θέλωμεν. θελήσωμεν τοίνυν, θελήσωμεν, καὶ ἐξασκήσαντες ἑαυτοὺς

ἑαυτοὺς δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ λγ'.

Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, ἀπεκρίθη Ἰάκωβος λέγων· ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν.

Ἐπίσκοπος ἦν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας οὗτος, διὸ καὶ ὕστερος λέγει· καὶ τὸ, ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἐνταῦθα πληροῦται. ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπό τε νέων, ἀπό τε παλαιῶν προφητῶν βεβαιουμένου τὸν λόγον. οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι, καθάπερ Πέτρος, καθάπερ Παῦλος. καὶ καλῶς οἰκονομεῖται δι' ἐκείνων ταῦτα γίνεσθαι τῶν οὐ μελλόντων ἐπιχωριάζειν Ἱεροσολύμοις, τοῦτον δὲ τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπεύθυνον, μηδὲ μηδὲν ἀποσχίζεσθαι τῆς γνώμης. καὶ τί φησιν; ἄνδρες ἀδελφοὶ, ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο. τινὲς τοῦτον εἶναί φασι τὸν ὑπὸ Λουκᾶ εἰρημένον· ἄλλοι δὲ ἕτερον ὁμώνυμον τούτῳ. εἴτε δὲ οὗτος, εἴτε ἐκεῖνός ἐστιν, οὐκ ἀκριβολογίας χρεία· ἀλλὰ μόνον ὡς ἀναγκαῖα δέχεσθαι ἃ ἐξηγήσατο. ἄνδρες, φησὶν, ἀδελφοί. πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, καὶ τελειοτέρα αὕτη ἡ δημηγορία, ὅπου γε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασι. καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. ἐπεὶ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν, τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὸν προφήτην λέγοντα· καθὼς γέγραπται, μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω, καὶ ἀνορθώσω αὐτὴν, ὅπως ἂν ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτοὺς, λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. τί οὖν; ἠγέρθη τὰ Ἱεροσόλυμα, ἀλλ' οὐχὶ κατεσκάφη μᾶλλον; ἀλλ' οὐ περὶ τούτων αὐτῷ εἴρηται ταῦτα. καὶ ποίαν, φησὶ, λέγει ἔγερσιν; τὴν μετὰ Βαβυλῶνα. γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ. τὸ ἀξιόπιστον τοῦ λόγου, ὅτι οὐδὲν καινὸν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προτετύπωται. καὶ τὸ ἀξίωμα πάλιν. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσιν ἐπὶ τὸν Θεὸν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ἐπεὶ οὐκ ἦσαν ἀκηκοότες τοῦ νόμου, εἰκότως ταῦτα ἐπιτάττει ἀπὸ τοῦ νόμου, ἵνα μὴ δόξῃ ἀκυροῦν αὐτόν. καὶ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς ἀπὸ τοῦ νόμου ταῦτα ἀκούειν, ἀλλὰ παρ' ἑαυτοῦ εἰπών· κρίνω ἐγὼ, τουτέστιν, ἐξ ἐμαυτοῦ, οὐχὶ παρὰ τοῦ νόμου ἀκούσας. εἶτα λοιπὸν κοινὸν τὸ δόγμα γίνεται. τότε ἔδοξε τοῖς ἀποστόλοις, καὶ πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαβᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε. ὅρα αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας· ἀλλ' ἵνα ἀξιόπιστον γένηται τὸ δόγμα, πέμπουσι τοὺς παρ' αὐτῶν, καὶ ἵνα ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον λοιπόν. καὶ ὅρα πῶς φορτικῶς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν. οἱ Ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ Ἀντιόχειαν, καὶ Συρίαν, καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι αὐτοὺς δεῖν, καὶ τηρεῖν τὸν νόμον οἷς οὐ διεστειλάμεθα. ἀρκοῦσα αὕτη κατηγορία τῆς ἐκείνων προπετείας, καὶ ἀξία τῶν Ἀποστόλων ἐπιεικείας, οὐδὲν μακρότερον εἰρηκότων. ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς, σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥστε δεῖξαι, οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν, ἐκλεξάμενοι, εἶπεν, ἄνδρας ἐξ ἡμῶν. εἶτα ἵνα μὴ δόξῃ ὑποβολὴ εἶναι Παύλου, καὶ Βαρνάβα τὸ ἐκείνους ἀποσταλῆναι, ὅρα τὰ ἐγκώμια αὐτῶν· ἀνθρώποις, φησὶ, παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι, καὶ ἡμῖν. ἄρα οὐκ ἦν ἀνθρώπινον. εἰ πνεύματι ταῦτα δοκεῖ. μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος. πάλιν βάρος τὸν νόμον καλεῖ. εἶτα καὶ ὑπὲρ αὐτῶν τούτων ἀπολογεῖται. πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων, καὶ πνικτοῦ, καὶ πορνείας, καὶ αἵματος, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. ταῦτα ἡ καινὴ οὐ διετάξατο· οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός· ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι. καὶ πνικτοῦ,

A nosipsos, gloriam referamus Deo Patri, & Filio, & Spiritui sancto, nunc & semper in secula seculorum, Amen.

HOMILIA XXXIII.

Postquam autem illi siluerunt, respondit Jacobus dicens: Viri fratres, audite me: Simeon narravit quomodo primum Deus visitavit, ut sumeret ex Gentibus populum in nomine suo, & huic consonant sermones Prophetarum.

Hic erat Episcopus Ecclesiæ Hierosolymitanæ. Et impletur nunc quod *in ore duûm vel trium testium consistat omne* Deut.17.6. *verbum.* Vide autem & hujus sapientiam, ex Prophetis novis veteribusque confirmantis sermonem. Non enim poterat ostendere aliquid, sicut Petrus vel Paulus. Et benè constitutum C est, ut per illos hæc facta sint, qui non habitaturi in Hierosolymis: hic autem doceat, ne esset reus, néve sententia ejus confutetur. Et quid inquit? *Viri fratres, audite me, Simeon narravit.* Quidam hunc esse dicunt illum à Luca dictum, alii autem alium ejusdem nominis: sive autem hic, sive alius est, non opus est sermone exquisitiore, sed solum quod suscepta necessaria quæ narravit: *viri*, inquit, *fratres.* Magna æquitas viri, & perfectior ista concio, ubi scilicet & finem imponit opeD ribus. *Quemadmodum primum visitaverit Deus, ut assumat ex Gentibus populum nomine illius. Et huic consonant omnes sermones Prophetarum.* Quoniam ille ob tempus quidem notus erat, sed non tam insignitæ fidei, eò quod non erat antiquus: addit etiam veterem Prophetam dicens: *Sicut scriptum est: Post hæc convertam, & readificabo tabernaculum David quod cecidit, & diruta illius readificabo, & corrigam illud, ut hi qui ex hominibus relicti, requirant Dominum, & omnes Gentes super quas* E *invocatum est nomen meum, dicit Dominus, qui facit hæc omnia.* Quid igitur? suscitata est Hierusalem, an non magis diruta est? Sed non de hac ab illo dicta sunt hæc. Et quam dicit suscitationem? Eam quæ est post Babylonem. *Nota à seculo sunt Deo omnia opera ejus.* Posteà ponitur quàm dignus fide sermo, quia nihil novum, sed ab antiquo hæc præfigurata fuerunt. Et iterum sententia: *Propter quod ego judico non esse obturbandum illis qui ex Gentibus convertuntur ad Dominum, sed scribendum illis,* A *ut abstineant ab inquinamentis simulachrorum, & fornicatione, & suffocato, & sanguine: Moses enim ab ætatibus antiquis in singulis civitatibus habet qui ipsum prædicent in Synagogis, ubi per omne Sabbatum legitur.* Quoniam non audierant legem, meritò hæc imperat de lege, ne videatur abrogare illam. Et vide quomodo non abducit illos à lege, hæc audiendo, *Censeo* inquit, non ab auditu legis. Posteà commune dogma fit. *Tunc visum est Apostolis & Presbyteris cum tota Ecclesia, electos viros ex* B *ipsis mittere Antiochiam cum Paulo & Barnaba, Judam qui agnominabatur Barsabas, & Silam, & viros primarios inter fratres, quum scripsissent per manum eorum in hunc modum.* Vide illos non simpliciter legem ferre, sed ita ut dogma fiat fide dignum, mittunt hos à se. Et ne Paulus ultra suspectus esset. Et vide quam graviter accusantes illos, scribant: *Apostoli & Presbyteri & fratres, his qui Antiochia & in Syria, & in Cilicia fratribus, qui ex Gentibus, Salutem. Quoniam audivimus quod nonnulli* C *ex nostris turbarunt vos sermonibus labefactantes animas vestras, dicentes, ut circumcidamini, & servetis legem quibus non præcepimus.* Sufficiens erat accusatio temeritatis illorum, & digna Apostolis nihil majus ultrà dicentibus: *Visum est nobis congregatis unanimiter, electos viros mittere ad vos, cum dilectis nostris Barnaba & Paulo, hominibus qui tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi.* Atque ita ostenditur quod non violentè agat, quia omnibus hæc placent: nam cum consiD deratione hæc scribunt. *Electos*, inquit, *viros ex nobis*, ne videantur esse ex subornatione Pauli & Barnabæ missi. Vides laudes illorum. *Hominibus*, inquit, *qui & tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi. Misimus igitur Silam & Judam, & illos qui per sermonem hæc annunciabunt. Visum est Spiritui Sancto & nobis.* Igitur non humanum, si spiritui hæc placent. *Ut nihil amplius oneris imponeremus vobis.* Iterum *onus* legem vocat. Deinde etiam de illis rationem reddit. E *Nisi necessaria hæc, abstinere ab idolothytis, & suffocatis, & fornicatione, & sanguine, à quibus si conservaveritis vosipsos, bene facietis.* Hæc nova lex non præcipit. Nusquam enim de his disseruit Christus, sed à lege hæc sumunt. *Et suffocato* inquit.

inquit. Hîc cædem cohibet. *Itaque dimissi venerunt Antiochiam, & congregata multitudine reddiderunt epistolam. Qui cum legissent, gavisi sunt super consolatione.* Posteà manifestans quod & illi eos hortati sunt, addit: *Et Judas & Silas etiam ipsi Propheta cùm essent, sermone copioso hortati sunt fratres & confirmarunt, commorantesque illic ad tempus, dimissi sunt cum pace à fratribus ad Apostolos.* Non jam seditiones & pugnæ: ideò & *confirmatis illis abierunt cum pace.* Contentiosius autem erga Paulum erant affecti. Ultrà enim Paulus docet, ita nullus fastus erat in Ecclesia, sed benè composita omnia. Et vide, post Petrum Paulus loquitur, & nullus os ejus obturat. Jacobus fert, & non resilit, illi erat principatus concreditus. Nihil Joannes hîc, nihil alii Apostoli loquuntur, sed silent, & non indignantur, adeò pura à vana gloria erat illorum anima. Sed videamus iterum quæ dicta sunt: *Postquam autem siluerunt illi,* inquit, *respondit Jacobus dicens: Simeon narravit quemadmodum primum visitaverit Deus.* Ab initio vehementius quidem Petrus loquebatur, hic autem mitius. Ita semper faciendum est his qui in magna potestate sunt, ut onerosa illa aliis permittant: ipsi autem mansuetius agant. Benè dixit: *Simeon narravit,* quasi & ille aliorum dicat sententiam: vide ut hoc ostendit esse antiquum. *Ut assumat ex Gentibus populum,* inquit, *nomini illius.* Non simpliciter electus est, sed *nomini illius,* hoc est, gloriæ illius. Non confunditur nomen illius, dum assumptionem Gentium, gloriam vocat. Hæc enim major gloria. Hîc aliquid etiam magnum insinuatur. Quale hoc? quia dicit, *ante omnes hi. Post hæc convertam, & readificabo,* inquit, *tabernaculum David quod cecidit.* Si quis diligenter consideravit, nunc regnum Davidis stare inveniet, regnante illo qui ex eo prognatus. Ubique stat hoc. Quid opus domiciliis, & urbe quum non sint obedientes? Quale damnum ex destructione civitatis, quum omnes etiam animas suas impendere velint? Et ita non solùm stat, sed etiam clarissimum omnium factum est. Ubique enim nunc hæc canuntur, illud evenisse: igitur etiam hoc evenire oportet. Ut autem dixisset: *Et readificabo,* addit causam illius quare dicat: *Ut requirant qui reliqui sunt homines Dominum.* Si igitur propter hoc erecta est civitas propter illum, qui ex ipsis: manifestum quòd ædificatæ civitatis fuit causa Gentium vocatio. Qui sunt *reliqui?* qui tunc relinquebantur. Sed vide illum etiam ordinem custodire, & secundos illos inducere. *Dicit Dominus, qui facit omnia hæc.* Non dicit solùm, sed etiam *facit.* Igitur Dei opus est Gentium vocatio. Aliud erat quod quærebatur, id quod est manifestius. Petrus dicebat: Non oportet illos circumcidi. Quid igitur hæc concionaris? Sanè non hoc dicebant, quòd non assumendi sint credentes, sed quòd post legem, etiam hoc Petrus benè concionatus est. Sed quoniam turbabat hoc omnium maximè auditores, etiam hoc iterum curat. Et vide: Id quod oportebat lege caveri: non servandam legem Petrus adducit. Quod autem nostrum est, id & olim susceptum: hoc hîc dicit, & versatur in eo de quo nihil scriptum erat, ut curata illorum mente, concedendo tempestivè inducat etiam illud. *Ideò ego judico non obturbandum esse illis, qui ex Gentibus convertuntur ad Dominum:* hoc est, non avocandos esse. Si enim Deus vocavit, illæ autem traditiones subvertunt, pugnamus cum Deo. Et benè dixit: *His qui ex Gentibus convertuntur,* manifestans supernam Dei erga illos curam, & obedientiam ac credulitatem illorum in vocatione. Quid est, *judico ego?* id est, cum potestate dico esse scribendum illis. *Ut abstineant,* inquit, *ab immolatis idolorum, & fornicatione, & suffocato, & sanguine.* Hæc enim licèt corporalia, sed observatu necessaria, quoniam magna procurant mala. Et ne quis objiciat: Quare non, & Judæis eadem scribimus, addit: *Moses ab atatibus antiquis per singulas civitates habet eos qui ipsum prædicant.* Hoc est: Moses illis continuò loquitur. Hoc est enim quod per omne Sabbatum legitur. Vide quantum se attemperat. Hic nihil nocuit, instituit illis doctorem, & concessit beneficium nihil obstans, admonitis Judæis ut audiant illum per omnia, & abductis his qui ex Gentibus. Et per quæ voluit illum honorare & commendare eis, per ea ab illo Gentes abduxit. Quare igitur non ab illo discunt? propter suam incredulitatem. Hinc ostendit quod & hos nihil amplius oportet servare. Quòd autem non scribimus, non est, quòd illi debeant aliquid amplius præter hæc servare, sed quod habent dicentem. Et non dixit: Ne offendamus illos néve subvertamus, id quod dicit Paulus Galatis: Sed, *non obturbandum:* id quod nullum ostendit esse opus, sed solam obturbationem, quæ totum negotium perderet. Et videtur quidem etiam legem servare,

Gal. 1, 7.

A φησιν. ἐνταῦθα τὸν φόνον ἀνεῖργει. οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς " Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. " ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. εἶτα δηλῶν ὅτι κἀκεῖνοι αὐτοὺς παρεκάλεσαν, ἐπήγαγεν· Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ " προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς, καὶ " ἐπεστήριξαν. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ " τῶν ἀδελφῶν πρὸς τοὺς Ἀποστόλους. οὐκέτι στάσεις καὶ μάχαι· διὸ καὶ "

B βεβαιώσαντες αὐτοὺς, ἀπῆλθον μετ' εἰρήνης. πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο. καὶ λοιπὸν Παῦλος διδάσκει. οὕτως οὐδεὶς τῦφος ἦν ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ πολλὴ ἡ εὐταξία. καὶ ὅρα, μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ. ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. οὐδὲν Ἰωάννης ἐνταῦθα· οὐδὲν οἱ ἄλλοι Ἀπόστολοι φθέγγονται· ἀλλὰ σιγῶσι, καὶ οὐκ ἀγανακτοῦσιν. οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή· ἀλλ' ἴδωμεν

C ἄνωθεν τὰ εἰρημένα. μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, φησιν, ἀπεκρίθη Ἰάκωβος λέγων· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ἐπεσκέψατο ὁ Θεός. ἐξ ἀρχῆς σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο· οὗτος δὲ ἡμερώτερον. οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ ποιεῖν, τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν. αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι. καλῶς εἶπε, Συμεὼν ἐξηγήσατο, ὡς κἀκεῖνον ἑτέραν λέγει γνώμην. ὅρα πῶς δείκνυσι παλαιὸν ὂν τοῦτο. λαβεῖν ἐξ ἐθνῶν λαόν, φησι, τῷ

D ὀνόματι αὐτοῦ· οὐχ ἁπλῶς ἐξελέξατο· ἀλλὰ τῷ ὀνόματι αὐτοῦ· τουτέστι, τῇ δόξῃ αὐτοῦ. οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τῇ προσλήψει τῶν ἐθνῶν δόξαν καλῶν. τοῦτο γὰρ μείζων δόξα. ἐνταῦθά τι καὶ μέγα αἰνίττεται. ποῖον τοῦτο; ὅτι, φησὶ, πρὸ πάντων οὗτοι. μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω, φησὶ, τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. εἴ τις ἀκριβῶς σκοποίη, νῦν τὴν βασιλείαν ἑσταμένην τοῦ Δαβὶδ εὕροι. τοῦ ἐκγόνου γὰρ αὐτοῦ βασιλεύοντος, πανταχοῦ ἕστηκεν αὕτη. τί γὰρ ὄφελος

E τῶν οἰκημάτων, καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποῖον δὲ βλάβος ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; ὥστε οὐ μόνον ἕστηκεν, ἀλλὰ καὶ λαμπροτέρα πάντων γέγονε. πανταχοῦ γὰρ νῦν τῆς οἰκουμένης ᾄδεται. ἐκεῖνο ἐξέβη· οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ· εἰπὼν δὲ, καὶ ἀνοικοδομήσω, ἐπάγει καὶ τὴν αἰτίαν τοῦ διατί λέγων· ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον. εἰ τοίνυν διὰ τοῦτο ἐξανέστη ἡ πόλις διὰ τὸν ἐξ

A αὐτῶν, δῆλον ὅτι τῆς οἰκοδομῆς τῆς πόλεως αἴτιον γέγονε, τὸ τὰ ἔθνη κληθῆναι. τίνες εἰσὶν οἱ κατάλοιποι; οἱ ἀπολειπόμενοι τότε. ἀλλ' ὅρα αὐτὸν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα. λέγει Κύριος, ὁ ποιῶν, φησι, ταῦτα πάντα. οὐ λέγει μόνον· ἀλλὰ καὶ ποιεῖ. ἄρα Θεοῦ ἔργον ἡ κλῆσις τῶν ἐθνῶν. ἄλλο ἦν τὸ ζητούμενον, ὅπερ σαφέστερον καὶ Πέτρος ἔλεγεν, οὐ δεῖ αὐτοὺς περιτέμνεσθαι· τί τοίνυν ταῦτα δημηγορεῖν; οὐ γὰρ δὴ τοῦτο ἔλεγον, ὅτι οὐ δεῖ αὐτοὺς δέχεσθαι πι-

B στεύοντας, ἀλλ' ὅτι μετὰ νόμου. καὶ τοῦτο ὁ Πέτρος καλῶς ἐδημηγόρησεν. ἀλλ' ἐπειδὴ τοῦτο ἐθορύβει μάλιστα πάντων τοὺς ἀκροατὰς, καὶ τοῦτο θεραπεύει πάλιν. καὶ ὅρα, ὅπερ ἐχρῆν νομοθετηθῆναι ὅτι οὐ δεῖ φυλάττειν τὸν νόμον, ὁ Πέτρος εἰσήγαγε· τό τε ἡμέτερον, καὶ πάλαι παραδεχθὲν, τοῦτο οὗτός φησι, καὶ ἐνδιατρίβει ἐκείνῳ ὑπὲρ οὗ οὐδὲν γέγραπται, ἵνα αὐτῶν θεραπεύσας τὴν διάνοιαν τῷ συγκεχωρημένῳ, εὐκαίρως εἰσαγάγῃ καὶ τοῦτο. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ

C τῶν ἐθνῶν ἐπιστρέφουσι· τουτέστι, μὴ ἀνατρέπειν. εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν. καὶ καλῶς εἶπε, τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι, δηλῶν καὶ τοῦ Θεοῦ τὴν ἄνωθεν περὶ αὐτοὺς οἰκονομίαν, καὶ τὸ τούτων κατὰ πειθὲς, καὶ ἕτοιμον εἰς τὴν κλῆσιν. τί ἐστι, κρίνω ἐγώ; ἀντὶ τοῦ μετ' ἐξουσίας λέγω τοῦτο εἶναι. ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι, φησιν, ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. αὗται γὰρ εἰ καὶ

D σωματικαὶ, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι· ἐπειδὴ μεγάλα εἰργάζοντο κακά. καὶ ἵνα μή τις ἀνθυπενέγκῃ, διατί μὴ καὶ Ἰουδαίοις ταῦτα ἐπιστέλλομεν; [ἐπήγαγε λέγων·] Μωϋσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας ἑαυτὸν ἔχει· τουτέστι, Μωσῆς αὐτοῖς διαλέγεται συνεχῶς. τοῦτο γάρ ἐστι τὸ κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ὅρα πόση ἡ συγκατάβασις. ἐνταῦθα οὐδὲν ἔβλαψεν, ἐπέστησεν αὐτοῖς διδάσκαλον, καὶ ἐχαρίσατο χάριν οὐδὲν ἐμποδίζουσαν,

E ἐπιτρέψας Ἰουδαίοις ἀκούειν αὐτοῦ κατὰ πάντα, καὶ ἀπάγων τοὺς ἐξ ἐθνῶν. εἶτα δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν, καὶ ἐφιστάναι τοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἔθνη ἐξ αὐτοῦ. διατί οὖν μὴ παρ' αὐτοῦ μανθάνουσι; διὰ τὴν οἰκείαν ἀπείθειαν. ἐντεῦθεν δείκνυσιν, ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν. εἰ δὲ οὐκ ἐπιστέλλομεν, οὐχ ὡς ὀφειλόντων αὐτῶν πλέον τι φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα. καὶ οὐκ εἶπε, μὴ σκανδαλίζειν αὐτοὺς, μηδὲ καταστρέφειν, ὅπερ Παῦλος λέγει Γαλάταις, ἀλλὰ μὴ παρενοχλεῖν. ὅπερ οὐδὲν δείκνυσιν ὂν τὸ κατόρθωμα, ἀλλ' ἢ μόνον ἐνόχλησιν. οὕτως ἐξέλυσε τὸ πᾶν. καὶ δοκεῖ μὲν καὶ τὸν νόμον τηρεῖν,

τῷ

τῷ ἐξ αὐτοῦ ταῦτα λαβεῖν· ἔλυσε δὲ αὐτὴν τῷ μόνα λαβεῖν. καί τοι γε πολλάκις αὐτοῖς ὑπὲρ τούτου διελέχθη· ἀλλ᾽ ἵνα δόξῃ καὶ τὸν νόμον τιμᾷν, καὶ ταῦτα οὐχ ὡς ἀπὸ Μωσέως λέγειν, ἀλλ᾽ ὡς ἀπὸ τῶν Ἀποστόλων, καὶ ἵνα πολλὰς ποιήσῃ τὰς ἐντολὰς, τὴν μίαν διεῖλε. τοῦτο μάλιστα αὐτοὺς ἀνέπαυσεν. οἰκονομικῶς δὲ γέγονε καὶ ἡ ἀντιλογία, ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα. τότε ἔδοξε τοῖς Ἀποστόλοις, φησὶν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς πέμψαι. οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς ἡγουμένους πέμπουσιν ἐκλεξάμενοι. τοῖς κατὰ Ἀντιόχειαν, φησὶ, καὶ Συρίαν, καὶ Κιλικίαν, ἔνθα τὸ νόσημα ἐτέχθη. ὅρα μηδὲν φορτικὸν κατ᾽ ἐκείνων λέγοντας, ἀλλ᾽ εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον· τοῦτο γὰρ καὶ τοὺς ἐκεῖ στασιάζοντας ὁμολογῆσαι ἐποίει. οὐκ εἶπον, ὅτι οἱ ἀπατεῶνες, οἱ λυμεῶνες, καὶ ὅσα τοιαῦτα· καί τοι οὕτω ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος, ὡς ὅταν λέγῃ· ὦ πλήρης παντὸς δόλου! ἐνταῦθα δὲ κατορθωθέντος, οὐκ ὅτι χρεία ἦν. καὶ ὅρα, οὐ τιθέασιν, ὅτι τινὲς ἐξ ἡμῶν ἐκέλευσαν ὑμᾶς τὸν νόμον τηρεῖν· ἀλλ᾽ ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες. οὐδὲν κυριώτερον τῆς λέξεως, οὐδεὶς οὕτως εἶπε. τὰς ἤδη βεβαιωθείσας ψυχὰς, φησὶν, ἀνασκευάζοντες, καθάπερ ἐπὶ οἰκοδομῆς τὰ ὑπ᾽ ἐκείνων γεγενημένα τιθέντες. οἷς, φησὶν, οὐ διεστειλάμεθα. ἔδοξεν οὖν ἡμῖν γενομένοις ὁμοθυμαδὸν σὺν τοῖς ἀγαπητοῖς. εἰ ἀγαπητοὶ, οὐ καταφρονήσουσιν αὐτῶν· εἰ παραδώκασι τὰς ψυχὰς, καὶ αὐτοὶ ἀξιόπιστοί εἰσιν. ἀπεστάλκαμεν οὖν, φησὶν, Ἰούδαν, καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν παρεῖναι μόνον, ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλα ἀντ᾽ ἄλλων εἶπαν. τὸ ἐγκώμιον τὸ περὶ Παύλου, ἐνέφραξεν αὐτῶν τὰ στόματα. διὰ γὰρ τοῦτο οὔτε Παῦλος ἔρχεται μόνον, οὔτε Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τῆς ἐκκλησίας. ἵνα μὴ ὕποπτος ᾖ, ἐπειδὴ αὐτὸς ἀντιλαμβάνεται τοῦ δόγματος, οὔτε οἱ ἀπὸ Ἱεροσολύμων μόνοι. δείκνυσι πῶς ἀξιόπιστοί εἰσιν· οὐκ ἐξαίροντες ἑαυτοὺς, φησὶν, οὐχ οὕτω μαίνονται. διατί τοῦτο καὶ τὸ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προσέθηκε. καὶ τίνος ἕνεκεν εἶπεν, ἔδοξε τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν; καί τοι ἤρκει εἰπεῖν τῷ ἁγίῳ πνεύματι; τῷ μὲν τοι τῷ ἁγίῳ πνεύματι, ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι τὸ δὲ, ἡμῖν, ἵνα διδαχθῶσιν ὅτι καὶ αὐτοὶ, καὶ ἀποδέχονται, καὶ ἐν περιτομῇ ὄντες. μηδὲν πλέον, φησὶν, ἐπιτίθεσθαι βάρος ὑμῖν. ταῦτα λέγουσιν, ἐπειδὴ πρὸς ἀνθρώπους ἀσθενεῖς ἔτι ὁ λόγος ἦν, καὶ πεφοβημένους αὐτούς. διὰ τοῦτο καὶ τοῦτο πρόσκειται. δείκνυσι δὲ, οὐχὶ συγκαταβάσεως ὄντα τὸν λόγον· οὐδὲ ἐπειδὴ ἐφείδοντο αὐτῶν, οὐδὲ ὡς ἀσθενῶν· ἀλλὰ τοὐναντίον. πολλὴ γὰρ καὶ τῶν διδασκάλων αἰδὼς ἦν. ἐκεῖνο γὰρ περιττὸν βάρος ἦν. ὅρα βραχεῖαν ἐπιστολὴν οὐδὲν πλέον ἔχουσαν, οὐδὲ κατασκευὰς, οὐδὲ συλλογισμοὺς, ἀλλ᾽ ἐπίταγμα. πνεύματος γὰρ ἦν νομοθεσία. ἄνω καὶ κάτω βάρος καλοῦσι. καὶ πάλιν συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. μετὰ τὴν ἐπιστολὴν καὶ αὐτοὶ παρακαλοῦσι τῷ λόγῳ. ἔδει γὰρ καὶ τοῦτο, ὥστε πάσης ὑποψίας ἀπαλλαγῆναι. καὶ αὐτοὶ, φησὶ, προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς. τὸ ἀξιόπιστον ἐνταῦθα δεικνῦσιν. ἐδύνατο μὲν γὰρ καὶ Παῦλος· ἀλλὰ τούτους ἔδει. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ᾽ εἰρήνης. οὐκ ἔτι στάσις· οὐκ ἔτι ἀποστροφή. ἐνταῦθά μοι δοκεῖ τὴν δεξιὰν αὐτοὺς εἰληφέναι, καθὼς αὐτὸς, φησὶ, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. εἶτα λέγει, ὅτι οὐδέν μοι προσανέθεντο. τὴν γὰρ αὐτοῦ γνώμην ἐκύρωσαν· ἐπῄνεσαν αὐτὴν καὶ ἐθαύμασαν. δεικνῦσιν ὅτι καὶ ἀπὸ ἀνθρωπίνων λογισμῶν τοῦτο δυνατὸν συνιδεῖν, μή τι γε ἀπὸ πνεύματος μόνον; ὅτι ἥμαρτον ἁμαρτίαν οὐκ εὔκολον διορθωθῆναι. τὰ γὰρ τοιαῦτα, οὐ πνεύματος δεῖται. δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα, ἀλλὰ περιττά· εἴγε ταῦτα ἀναγκαῖα. ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, φησὶν, εὖ πράξετε. δείκνυσιν, ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ᾽ ἀρκεῖ τοῦτο. ἠδύναντο μὲν γὰρ καὶ χωρὶς γραμμάτων· ἀλλ᾽ ὥστε νόμον εἶναι ἔγγραφον, ἐπιστέλλουσι. καὶ πάλιν, ὥστε πεισθῆναι τῷ νόμῳ, καὶ ἐκείνοις ἔλεγον· καὶ ἐκεῖνοι τοῦτο ἐποίουν, καὶ μετ᾽ εἰρήνης. μὴ δὴ σκανδαλιζώμεθα ἐπὶ τοῖς αἱρετικοῖς. ὅρα γὰρ ἐν προοιμίοις τοῦ κηρύγματος πόσα σκάνδαλα. οὐ λέγω τὰ παρὰ τῶν ἔξωθεν· ταῦτα γὰρ οὐδὲν ἦν· ἀλλὰ τὰ ἔνδον. οἷον πρῶτον, ὁ Ἀνανίας· ἔπειτα ὁ γογγυσμός· ἔπειτα, Σίμων ὁ μάγος· ἔπειτα, οἱ ἐγκαλοῦντες Πέτρῳ διὰ Κορνήλιον. ἔπειτα, ὁ λιμός· ἔπειτα, αὐτὸ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν. οὐδὲ γὰρ ἔνι καλοῦ τινος γινομένου μὴ συνυφιστάναι καὶ πονηρόν· μὴ δὴ θορυβώμεθα, εἰ τινὲς σκανδαλίζονται· ἀλλὰ καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι εὐδοκιμωτέρους ἡμᾶς ποιεῖ. οὐ γὰρ δὴ αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ πειρασμοὶ λαμπροτέρους ἡμᾶς ἐργάζονται. ὁ μὲν γὰρ, μηδενὸς ὄντος τοῦ πλανῶντος, τῆς ἀληθείας ἐχόμενος, οὐκ ἂν εἴη σφοδρὸς ἐραστὴς τῆς ἀληθείας. ὁ δὲ πολλῶν ἀφελκόντων, οὗτος εὐδόκιμος. τί οὖν; διὰ τοῦτο γίνεται τὰ σκάνδαλα; οὐ λέγω ὡς τοῦ Θεοῦ ταῦτα ποιοῦντος· μὴ γένοιτο· ἀλλὰ καὶ ὡς ἀπὸ τῆς ἐκείνων πονηρίας εὐεργετοῦντος ἡμᾶς. ἐπεὶ αὐτὸς οὐδέποτε ἐβούλετο γενέσθαι. δὸς αὐτοῖς, φησὶν, ἵνα ὦσιν

A eo quod hæc ex illa sumpta sint: solvit autem illam hæc sola excipiendo: quamvis sanè sæpe eis de illa dictum, ut videatur etiam legem honorare, adque non quasi à Mose dicens, sed quasi ab Apostolis, & multa faciens mandata, unum discerpsit. Hoc maximè illos quietos fecit. Mira autem dispensatione facta est contradictio, ut post contradictionem firmius sit dogma. *Tunc visum est Apostolis*, inquit, *viros primarios inter fratres mitti.* Non fortuitò assumptos, sed primarios electos mittunt. *His*
B *qui Antiochiæ erant, & in Syria ac in Cilicia.* Ibi morbus natus erat. Vide ut nihil molestum contra illos dicunt, sed ad unum solùm spectantes, ut extirpetur quod natum. Hoc enim & eos qui illic seditiosi erant, confiteri faciebat. Non dixerunt: Impostores illi & pestilentes, & aliquaid genus convicia, quamvis alioqui licuisset. Facit istud Paulus, sicut quando dicit: *O plene* Sup. 13, 10.
omni dolo! Hic autem errore correcto, non erat opus. Et vide: non ponunt quòd quidam ex vobis jusserunt vos legem servare,
C sed *turbaverunt vos sermonibus labefactantes.* Nulla magis propria dictio erat, nullus ita dixit: Animas quæ jam firmatæ erant, inquit, labefactantes, sicut in ædificatione qui transferunt ab aliis facta. *Quibus*, inquit, *non præcepimus. Visum igitur nobis, congregatis unanimiter cum dilectis.* Si dilecti, non contemnant illos: si enim *tradiderunt animas suas*, & ipsi sunt fide digni. *Misimus igitur*, inquit, *Judam & Silam, & illos sermone annunciantes eadem.* Oportebat enim non epistolã adesse solùm, ne dicant quod dolo
D extorserint, quod alia pro aliis dixerint. Laus illa Pauli erat, obstruebat illorum ora. Propter hoc enim neq; Paulus venit solus, neq; Barnabas: sed etiam alii ab Ecclesia, ne suspectus sit, quoniã ipse susceperat dogma, & nõ soli hi qui à Hierosolymis. Ostendit quomodo fide digni sint, non extollunt seipsos inquit, non ita insaniunt. Eapropter etiã apposuit: *Hominibus qui tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi.* Et quare addidit: *Visum est Spiritui sancto & nobis*, quum sufficisset dicere; Spiritui
E sancto? *Spiritui sancto* dicunt, ne putent humanũ esse. Quod autẽ addit: *Nobis*, ut doceant etiã se acceptos esse, tametsi in circumcisione sint. *Nihil oneris amplius imponendũ vobis.* Hæc dicunt: Quoniã ad infirmos homines sermo erat, & qui timuerant, idcirco & hoc adjectũ est. Cæterum ostendit non esse sermonem ad gratificandum compositum, neq; ad parcendum illis quasi infirmis, sed contrarium. Magnus enim & doctorũ pudor fuisset, superfluúmq; fuisset onus. Vide brevem epistolam nihil abundans habere, neq;
A epicheremata, neque syllogismos, sed imperium. Erat enim legislatio spiritus. Sæpe vocant *onus*. Et iterum: *Congregata multitudine reddiderunt epistolam.* Post epistolam etiam ipsi sermonibus exhortantur. Nam & hac re opus erat, ut & ita omni suspicione liberentur. *Et ipsi*, inquit, *quum essent Prophetæ, sermonibus multis exhortabantur fratres.* Ostendit hic fidelitatem illorum. Potuisset enim Paulus, sed hos decebat. *Commorantes ad aliquantum tempus, dimissi sunt cum pace.* Non jam seditio, nec aversio. Hîc mihi
B videtur, quòd ipsi dexteras acceperint, sicut ipse inquit: *Dexteras* Gal. 2, 9.
dederunt mihi & Barnabæ communionis. Posteà dicit, quòd nihil mihi contulerunt. Sententiam enim illius confirmarunt, laudarunt illam, & admirati sunt. Ostendit quòd etiam humanis rationibus liceat hoc conspicere, & non solùm à spiritu, quia peccarant peccatum correctu difficile. Hujusmodi enim non egent spiritu. Ostendit quòd alia non necessaria, sed superflua, siquidem hæc necessaria. *Ab his si conservaveritis vosipsos, benè facietis,*
C inquit. Ostendit quòd nihil illis desit, sed hoc sufficiat. Potuissent certè & absque literis, sed epistolam mittunt, ita ut sit lex scripta. Et iterum, ita ut credant legi, & illis dicebant. Et illi hoc faciebant, ac cum pace. Porrò ne offendamur propter hæreticos. vide enim in principio prædicationis quanta offendicula, non dico ea quæ ab his qui foris. Hæc enim nihil erant, sed quæ intus: utpote primum Ananias, deinde murmur, posteà Simon magus, mox illi qui accusabant Petrum propter Cornelium. Accessit il-
D lis fames. Super hæc omnia istuc ipsum id caput malorum. Impossibile enim est bonum aliquid fieri, quin simul etiam pullulet malum. Itaq; ne turbemur, si quidam offenduntur, sed & pro his gratias agamus Deo, quia clariores nos efficit. Etenim non solæ afflictiones, sed etiam tentationes clariores nos reddunt. Si enim nullus esset deceptor veritatem invadens, non foret vehemens & fervidus veritatis amator. At ille quum multi abstrahant, valdè clarescit. Quid igitur? propter hoc fiunt
E offendicula? non dico quòd Deo hoc faciente: Absit, sed quòd ille etiam per illorum malitiam benefaciat nobis, alioqui nunquam fieri voluisset. *Da illis*, inquit, *ut unum sint,* Joh. 17, 21.

Poll-

Ne igitur sublime sapiamus, ne inflemur, cum simus homines, terra ac cinis, fumus & umbra. Dic enim oro, quare superbis? Eleemosynas dedisti, & pecunias expendisti. Et quid hoc? Cogita, si non voluisset Deus te facere divitem. Cogita eos qui inopia premuntur. Imò cogita, quot etiam corpora impenderunt: & postquam plurima erogarunt, seipsos miseros dixerunt: Tu autem propter teipsum dedisti; Christus non te opus habet. Vide quam incerta futura. Et ne superbi, sed time, ne virtutem arrogantia pessundet. Vis re ipsa bonum aliquod opus facere? Nunquam præsumas tanquam de magnis operibus. Num virgo es? Sed & illæ, cum virgines essent, nullum à virginitate, propter inhumanitatem ac crudelitatem fructum reportarunt. Nihil conferendum humilitatis virtuti. Ipsa enim mater est ac radix, & alumna, & fulcimentum, & vinculum bonorum. Sine illa, abominabiles & scelesti, & immundi sumus. Esto enim quis mortuos suscitet, ac claudos sanet, leprosos purget, cum superbia: nihil contaminatius, nihil magis impium, nihil scelestius. Nihil tui ipsius esse puta. Industria vales, & docendi gratia: ne propterea putes quod plus aliis habeas. Idcirco maximè humiliari, ac modestia uti debes,

Luc. 7, 47. quia plura assecutus es dona. *Cui enim plus remissum est, plus diliget.* Igitur & modestia opus est, quod aliis præteritis te respexit Dominus. Time ob hanc rem. Sæpe enim tibi & perditionis causa fit, nisi sobrius sis. Cur superbis, quod doces sermonibus? Perquam facile est philosophari verbis. Doce me vita tua. Hæc doctrina optima est. Dicis, quod opus est modestia: & tu procul ab hoc sermone recedis, & rhetoricaris, nullo prohibente verbis diffluens. Sed te melior ille, inquit, qui operibus docet. Non enim sic insident animæ verba ac opera. Quoniam si non habueris opus bonum, non solùm non proderis loquendo, sed etiam plus nocebis, viliusque fuerit tacere. Quare? Quia opus mihi proponis, ac si impossibile foret. Cogito enim mecum: Si tu qui tanta loqueris non facis, multò magis ego venia dignus sum, nihil tale dicens. Idcirco, in-

Ps. 49, 16. quit Propheta: *Peccatori, inquit Deus, ut quid tu enarras justificationes meas?* Majus enim hoc damnum, quando benè quis docet verbis, & operibus doctrinam impugnat. Hoc multorum in Ecclesia malorum causa est. Eapropter & veniam date, oro, quod prolixior sum in hac causa. Multi ut in medium procedant, multa faciunt, & ut longum sermonem facere possint: & si applaudentem multitudinem habent, quasi regnum adepti sint, gaudent: si autem cum silentio claudatur sermo, tristitia major illis è silentio, quàm ex gehenna. Hoc subvertit Ecclesias, quod & vos non quæritis audire sermonem, qui compungere possit, sed qui oblectet, & tinnulo strepitu, & verborum compositione, quasi citharœdos & cantores audientes: & nos frigidè, & miserè facimus, nostras affectiones sequentes, quas ejicere oportebat. Et idem fit ac si pater videns puerum, quem supra modum tenerè amat, ægrotum, illi frigida, & quæcumque oblectant, porrigat, quæ autem utilia, minimè curet. Deinde quando objurgatur à medicis, rationem reddat, dicens: Quid faciam? videns flentem puerum ferre nequeo. Miser & ærumnose ac proditor! neque enim talem patrem dixerim. Et quantò satius fuerit parvo tempore tristitia affectum, perfectæ sanitati restitui, quàm temporariam illam gratiam perpetuæ tristitiæ causam fieri? Hoc etiam nobis accidit. Flosculos verborum & compositionem, & harmoniam curiosius sectamur, ut canamus, non ut prosimus: ut simus in admiratione, non ut doceamus, ut oblectemus, non ut compungamus: ut plausu & laudibus obtentis abeamus, non ut mores componamus. Credite mihi, non dicerem alioquin, quoniam quando inter dicendum plausum excito, per illud quidem tempus, humanum quiddam mihi accidit. Cur enim verum quis non dicat? & distrahor, & diffindor: ubi autem domum redeo, & intelligo plaudentes sine fructu abiisse, & si fructum accipere poterant, à plausu & laudibus periisse: ploro, & gemo, & lachrymor, & quasi frustra omnia dixerim sic afficior, mihique ipsi dico: Quæ sudorum meorum utilitas, si auditores è verbis meis nullum fructum accipere volunt? Et sæpius cogitavi ponere legem plausus prohibentem, & suadentem, ut cum silentio, & convenienti decentia audiatis. Sed sustinete oro, & credite mihi, & si placet hanc nunc legem firmabimus, ne quis auditor plaudat quamdiu nos loquimur.

A μὴ τοίνυν μέγα φρονῶμεν, μηδὲ φυσιώμεθα, ἄνθρωποι, γῆ καὶ σποδὸς ὄντες, καπνὸς καὶ σκιά. εἰπὲ γάρ μοι, διατί μέγα φρονεῖς; ἐλεημοσύνην ἔδωκας καὶ τὰ χρήματα ἐκένωσας; καὶ τί τοῦτο; ἐννόησον εἰ μὴ ἠθέλησέ σε πεινῆσαι ὁ Θεὸς πλούσιον. ἐννόησον τοὺς πενομένους· μᾶλλον δὲ ἐννόησον. ὅσοι καὶ τὰ σώματα ἐπέδωκαν, καὶ μετὰ τὸ ἐπιδοῦναι μυρία ἑαυτοὺς ἐταλάνισαν. σὺ διὰ σαυτοῦ ἔδωκας, ὁ Χριστὸς διὰ σέ· σὺ ἀπέδωκας τὸ ὀφειλόμενον, ὁ Χριστὸς οὐκ

B ὠφείλέ σοι. ὅρα τοῦ μέλλοντος τὸ ἄδηλον. καὶ μὴ ὑψηλοφρόνει, ἀλλὰ φοβοῦ. μὴ ἐλαττώσῃς τὴν ἀρετὴν τῇ ἀλαζονείᾳ. βούλει ὄντως μέγα τι ἐργάσασθαι; μηδέποτε ὑποπτεύσῃς ὡς περὶ μεγάλων τῶν κατορθωμάτων. ἀλλὰ παρθένος εἶ; ἀλλὰ κἀκεῖναι παρθένοι ἦσαν· ἀλλ' οὐδὲν ἀπώναντο τῆς παρθενίας διὰ τὴν ὠμότητα, καὶ τὴν ἀπανθρωπίαν. οὐδὲν ταπεινοφροσύνης ἴσον. αὕτη μήτηρ καὶ ῥίζα καὶ τροφὸς, καὶ ὑπόθεσις, καὶ σύνδεσμος τῶν ἀγαθῶν· ταύτης ἄνευ, βδε-

C λυκτοὶ καὶ μιαροὶ, καὶ ἀκάθαρτοί ἐσμεν. ἔστω γάρ τις εἰ βούλει νεκροὺς ἀνιστῶν, καὶ χωλοὺς ἰώμενος, καὶ λεπροὺς καθαίρων μετὰ ἀπονοίας· οὐδὲν τούτου μιαρώτερον, οὐδὲν ἀσεβέστερον, οὐδὲν ἐναγέστερον. μηδὲν εἶναι νομίσῃς σαυτοῦ, λόγον ἔχεις καὶ διδασκαλικὴν χάριν; μὴ διὰ τοῦτο νομίσῃς πλέον τι τῶν ἄλλων ἔχειν. διὰ τοῦτο μάλιστα ταπεινοῦσθαι ὀφείλεις, ὅτι πλειόνων ἠξιώθης δωρεῶν. ᾧ γὰρ πλεῖον ἀφέθη, πλεῖον ἀγαπήσει. οὐκοῦν καὶ ταπεινοῦσθαι χρὴ, ὅτι τοὺς ἄλλους

D παρελθὼν, εἰς σὲ ἐπένευσεν ὁ Θεός· φοβοῦ διὰ τοῦτο. πολλάκις γάρ σοι καὶ ἀπωλείας τοῦτο γίνεται αἴτιον ἂν μὴ νήφῃς· τί μέγα φρονεῖς; ὅτι διδάσκεις διὰ λόγων, ἀλλ' εὔκολον τοῦτο τὸ φιλοσοφεῖν ἐν ῥήμασι· δίδαξόν με διὰ τοῦ βίου τοῦ σοῦ. αὕτη ἡ διδασκαλία ἀρίστη. λέγεις ὅτι δεῖ μετριάζειν, καὶ μακρὸν ὑπὲρ τούτου λόγον ἀποτείνεις, καὶ ῥητορεύεις ῥέων ἀκωλύτως; ἀλλὰ σοῦ βελτίων ἐκεῖνός, φησιν ὁ διὰ ἔργων τοῦτο παιδεύων ἐμέ. οὐ γὰρ οὕτως εἴωθεν ἐντίθεσθαι τῇ ψυχῇ τὰ

E μαθήματα ἀπὸ ῥημάτων, ὡς ἀπὸ πραγμάτων. ἐπεὶ καὶ ἐὰν μὴ τὸ ἔργον ἔχῃς, οὐ μόνον οὐκ ὠφέλησας εἰπὼν, ἀλλὰ καὶ μειζόνως ἔβλαψας. βέλτιον σιγᾶν. διατί; ὅτι ἀδύνατόν μοι τὸ πρᾶγμα καθιστᾷς. ἐννοῶ γὰρ, ὅτι εἰ σὺ ὁ ταῦτα λέγων οὐ κατορθοῖς, πολλῷ μᾶλλον ἐγὼ συγγνώμης ἄξιος, λέγων μηδέν. διὰ τοῦτο, φησιν ὁ προφήτης· τῷ δὲ ἁμαρτωλῷ, εἶπεν ὁ Θεός· ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου; μείζων γὰρ αὕτη ἡ βλάβη, ὅταν καλῶς διδάσκων τις διὰ ῥη-

A μάτων, διὰ τῶν ἔργων πολεμῇ τῇ διδασκαλίᾳ, τοῦτο πολλῶν αἴτιον γέγονε κακῶν ἐν ταῖς ἐκκλησίαις. διὰ τοῦτο καὶ σύγγνωτε, παρακαλῶ, ὅτι τοῦ λόγου χρονίζοντος ἡμῖν ἐν τούτῳ τῷ πάθει, πολλὰ πολλοὶ πράττουσιν ὑπὲρ τοῦ εἰς μέσον στάντες μακρὸν ἀποτείνειν λόγον. κἂν μὲν κρότων τύχωσι τῶν ἀπὸ τοῦ πλήθους, γέγονεν αὐτοῖς τοῦτο βασιλείας ἴσον· ἂν δὲ μετὰ σιγῆς τὸν λόγον καταπαύσωσι, γεέννης δή που μᾶλλον αὐτοῖς χαλεπωτέρα κατέστη τῆς σιγῆς ἡ ἀθυμία. τοῦτο τὰς

B ἐκκλησίας ἀνέτρεψεν, ὅτι καὶ ὑμεῖς οὐ ζητεῖτε λόγον ἀκοῦσαι κατανυκτικὸν, ἀλλὰ τέρψαι δυνάμενον. καὶ τῷ ψόφῳ, καὶ τῇ συνθήκῃ τῶν ῥημάτων, καθάπερ μελῳδῶν καὶ κιθαρῳδῶν ἀκούοντες, καὶ ἡμᾶς ψυχρῶς καὶ ταλαιπώρως ποιοῦντες, ὅτι ταῖς ἡμετέραις ἐπιθυμίαις ἑπόμεθα, δέον ἐκκόπτειν ταύτας. καὶ ταὐτὸ γίνεται, οἷον ἂν εἴ τις πατὴρ παρὰ τὸ δέον μαλθακοῦ παιδίου, καί τι ἀρρωστοῦντος, πλακοῦντα ἐπιδῷ, καὶ ψυχρὸν, καὶ ὅσα τέρπει μόνον· τῶν δὲ χρησίμων μηδεμίαν

C ἐπιμέλειαν ποιοῖτο. εἶτα ἐγκαλούμενος παρὰ τῶν ἰατρῶν, ἀπολογοῖτο λέγων· τί πάθω; οὐκ ἀνέχομαι κλαῖον τὸ παιδίον ἰδεῖν. ἄθλιε καὶ ταλαίπωρε, καὶ προδότα! οὐ γὰρ ἂν πατέρα τὸν τοιοῦτον εἴποιμι. καὶ πόσῳ βέλτιον ἐν βραχεῖ λυπήσαντα διαπαντὸς ὑγείᾳ παραδοῦναι, ἢ τὴν πρόσκαιρον ταύτην χάριν διηνεκοῦς ἀθυμίας ὑπόθεσιν ποιήσασθαι; τοῦτο πάσχομεν καὶ ἡμεῖς, κάλλη λέξεων περιεργαζόμενοι, καὶ συνθήκας καὶ ἁρμονίας, ὅπως ἥσωμεν, οὐχ ὅπως ὠφελήσωμεν·

D ὅπως θαυμασθῶμεν, οὐχ ὅπως διδάξωμεν, ὅπως τέρψωμεν, οὐχ ὅπως κατανύξωμεν· ὅπως κροτηθῶμεν, καὶ ἐπαίνου τυχόντες ἀπέλθωμεν, οὐχ ὅπως τὰ ἤθη ῥυθμίσωμεν. πιστεύσατέ μοι, οὐκ ἄλλως λέγω· ἐπειδὰν λέγων κροτῶμαι· παρ' αὐτὸν μὲν τὸν καιρὸν, ἀνθρώπινόν τι πάσχω. τί γὰρ οὐκ ἄν τις εἴποι τὸ ἀληθές; καὶ γάννυμαι, καὶ διαχέομαι. ἐπειδὰν δὲ ἀπελθὼν οἴκαδε ἐννοήσω τοὺς κροτήσαντας οὐδὲν ὠφεληθέντας, ἀλλ' εἴ τις καὶ ὠφεληθῆναι ἔδει ὑπὸ

E τοῦ κρότου, καὶ τῶν ἐπαίνων ἀπολωλεκότας, ὀδυνῶμαι, καὶ στένω, καὶ δακρύω, καὶ ὡς εἰκῇ πάντα εἰρηκὼς, οὕτω διάκειμαι, καὶ πρὸς ἐμαυτὸν λέγω· τί μοι τὸ ὄφελος τῶν ἱδρώτων, τῶν ἀκουόντων οὐκ ἐθελόντων καρποῦσθαί τι παρὰ τῶν λόγων τῶν παρ' ἡμῶν; καὶ πολλάκις ἐνενόησα θεῖναι νόμον τὸν κωλύοντα τοὺς κρότους, καὶ πείθοντα μετὰ σιγῆς ὑμᾶς ἀκροᾶσθαι, καὶ τῆς πρεπούσης εὐταξίας. ἀλλ' ἀνάσχεσθε παρακαλῶ, καὶ πείσθητέ μοι· καὶ εἰ δοκεῖ, τοῦτον κυρώσωμεν τὸν νόμον ἤδη, μηδενὶ τῶν ἀκουόντων ἐξεῖναι κροτεῖν μεταξὺ λέγοντός τινος.

ἀλλ'

ἀλλ' εἰ βούλοιτο θαυμάζειν, θαυμαζέτω σιγῇ· οὐδεὶς ὁ κωλύων. πᾶσα δὲ ἡ σπουδὴ καὶ ἡ προθυμία περὶ τὸ δέχεσθαι τὰ λεγόμενα γινέσθω. διατί ἐκροτήσατε; περὶ τούτου τὸν νόμον τίθημι· ὑμεῖς δὲ οὐδὲ ἀκοῦσαι ἀνέχεσθε. πολλῶν τοῦτο ἀγαθῶν αἴτιον ἔσται, καὶ διδασκάλιον φιλοσοφίας. καὶ οἱ τῶν ἔξω φιλόσοφοι διελέγοντο, καὶ οὐδεὶς οὐδαμοῦ κρότος αὐτοῖς εἵπετο. καὶ οἱ ἀπόστολοι ἐδημηγόρουν, καὶ οὐδαμοῦ τοῦτο πρόσκειται, ὅτι μεταξὺ λεγόντων ἐκείνων τοῖς κρότοις διέκοπτον οἱ ἀκούοντες τὸν λέγοντα. μέγα τοῦτο κέρδος ἡμῖν. ἀλλὰ κυρώσωμεν τοῦτο, καὶ μεθ' ἡσυχίας πάντες ἀκούωμεν, καὶ λέγωμεν ἅπαντα. εἰ μὲν γὰρ μετὰ τοὺς κρότους ἀπῄειμεν ἔχοντες, ἅπερ ἠκούσαμεν, μάλιστα μὲν οὐδὲ οὕτω χρήσιμος ὁ ἔπαινος. ἀλλ' οὐκ ἂν ἠκριβολογησάμην μή μέ τις ἀγροικίας γραφέτω. ἐπεὶ δὲ μηδὲν τὸ πλέον, ἀλλὰ καὶ βλάβη, λύσωμεν τὸ κώλυμα· ἀνέλωμεν τὰ σκιρτήματα· ἐκκόψωμεν τὰ πηδήματα τῆς ψυχῆς· ὁ Χριστὸς ἐδημηγόρησεν ἐπὶ τοῦ ὄρους· ἀλλ' οὐδεὶς οὐδὲν εἶπεν ἕως ὅτε τὸν λόγον ἐτέλεσεν. οὐκ ἀποστερῶ τοὺς βουλομένους κροτεῖσθαι, ἀλλὰ μᾶλλον θαυμάζεσθαι ποιῶ. πολλῷ βέλτιον μετὰ σιγῆς ἀκούσαντα, διὰ τῆς μνήμης ἐν παντὶ τῷ χρόνῳ κροτεῖν, καὶ ἐν οἰκίᾳ, καὶ ἐν ἀγορᾷ, ἢ πάντα ἀπολέσαντα ἀπέρχεσθαι οἴκαδε κενὸν, οὐκ ἔχοντα τῶν κρότων τὴν ὑπόθεσιν. πῶς γὰρ οὐ καταγέλαστος ὁ ἀκροατής; πῶς οὐ κόλαξ. καὶ εἴρων νομισθήσεται μᾶλλον, ὅτι μὲν καλῶς εἶπεν ὁ διδάσκαλος ἀποφαινόμενος, τί δὲ εἶπεν οὐκ ἔχων δεῖξαι; τοῦτο κολακείας ἐστίν. ὁ μὲν γὰρ κιθαρῳδῶν ἀκούσας καὶ τραγῳδῶν, εἰκότως ἂν τοῦτο πάθοι, ἅτε οὐκ εἰδὼς ὁμοίως τὴν ῥῆσιν εἰπεῖν· ἔνθα δὲ οὐ μέλους ἐπίδειξίς ἐστιν οὐδὲ φωνῆς, ἀλλὰ νοημάτων καὶ φιλοσοφίας δύναμις, καὶ παντὶ ῥᾴδιον εἰπεῖν, καὶ ἀπαγγεῖλαι, πῶς οὐκ ἄξιος κατηγορίας ὁ μὴ δυνηθεὶς εἰπεῖν τὴν αἰτίαν δι' ἣν ἐπῄνεσε τὸν λέγοντα· οὐδὲν οὕτω πρέπον ἐκκλησίᾳ, ὡς σιγὴ, ὡς εὐταξία. θεάτροις ἐπιτήδειος ὁ θόρυβος, καὶ βαλανείοις, καὶ πομπαῖς, καὶ ἀγοραῖς· ἔνθα δὲ περὶ τοιούτων δογμάτων ἡ διδασκαλία, γαλήνη καὶ ἡσυχία, καὶ φιλοσοφία, καὶ πολὺς ὁ λιμὴν εἶναι ὀφείλει. ταῦτα δέομαι καὶ ἀντιβολῶ πάντας εἰδέναι. περίειμι γὰρ καὶ αὐτὸς τρόπους παντοίους ἐπιζητῶν, δι' ὧν ὠφελῆσαι δυνήσομαι τὰς ὑμετέρας ψυχάς. οὐ μικρὸς καὶ οὗτος ὁ τρόπος εἶναί μοι δοκεῖ· οὐχ ὑμᾶς ὠφελήσει μόνους, ἀλλὰ καὶ ἡμᾶς. οὐκ ἀφήσει ἐκτραχηλίζεσθαι, οὐδὲ ἐπαίνων καὶ δόξης ἐρᾶν, οὐδὲ τὰ τέρποντα λέγειν, ἀλλὰ τὰ ὠφελοῦντα· οὐδὲ περὶ συνθήκας καὶ κάλλη λέξεων, ἀλλὰ περὶ νοημάτων δύναμιν πᾶσαν ἀπασχολεῖν τοῦ καιροῦ τὴν ῥοπήν. εἴσελθε εἰς ζωγραφεῖον, καὶ ὄψει πολλὴν ἐκεῖ τὴν σιγήν. οὐκοῦν καὶ ἐνταῦθα· καὶ γὰρ καὶ ἐνταῦθα εἰκόνας γράφομεν βασιλικὰς, καὶ οὐδεμίαν ἰδιωτικὴν διὰ τὴν τῶν χρωμάτων ἀρετήν. τί οὖν; πάλιν κροτεῖτε; οὐκ εὔκολον τὸ πρᾶγμα δοκεῖ; καὶ τοῦτο οὐ φύσει· ἀλλὰ τῇ συνηθείᾳ πολλῇ μήπω κατορθοῦν αὐτὸ μεμαθηκέναι. γραφὶς τοίνυν ἐστὶν ἡμῖν, γλῶττα· τεχνίτης δὲ τὸ πνεῦμα τὸ ἅγιον. εἰπέ μοι· ἐν τοῖς μυστηρίοις, μή τις θόρυβος; μή τις ταραχή; ὅταν βαπτιζώμεθα· ὅταν τὰ ἄλλα πάντα ποιῶμεν· οὐχ ἡσυχία καὶ σιγὴ τὰ πάντα κατέχει; τοῦτο ἐν τῷ οὐρανῷ κατέσπαρται τὸ κάλλος. διὰ τοῦτο διαβεβλήμεθα, καὶ παρ' Ἕλλησιν, ὡς πρὸς ἐπίδειξιν πάντα ποιοῦντες, καὶ πρὸς φιλοτιμίαν. ἀλλ' ἐὰν τοῦτο κωλυθῇ, καὶ τῆς προεδρίας ὁ ἔρως σβεσθήσεται. ἀρκεῖ εἴ τις ἐπαίνων ἐρᾷ, τὸ μετὰ τὴν ἀκρόασιν τούτων τυγχάνειν, ὅταν τοὺς καρποὺς συλλέγῃ. ναὶ παρακαλῶ, κυρώσωμεν τοῦτον τὸν νόμον, ἵνα πάντα κατὰ τὸ τῷ Θεῷ δοκοῦν πράττοντες, τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, Κυρίου δὲ ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A At si voluerit admirari, admiretur silens, nemo est qui prohibeat. Omne autem studium & alacritas in id collocetur, ut quæ dicuntur, accipiantur. Quare applausistis? De hoc legem pono? Vos autem nec audire potestis. Multorum bonorum causa erit philosophiæque schola. Disserebant & exteri philosophi, nec tamen plausu excipiebantur unquam. Et Apostoli concionabantur, & nunquam hoc accidit, quod auditores dicentem plausibus interturbarint. Magna ex ea lege nobis utilitas: sed B stabiliamus illam, cum silentio omnes omnia audiamus, & dicamus. Nam si quidem post plausus abierimus habentes ea quæ audivimus, maximè profectò neque sic laus erit utilis. Verum non investigarim accuratius, ne me quis rusticitatis accuset. Quoniam nihil ultra reliquum, nisi damnum, solvamus impedimentum, tollamus plausus incompositos, ejiciamus vincula animæ. Et nullus quid dicat, donec finiatur sermo. Christus concionatus est in monte, & nullus quippiam dixit, donec sermonem finivisset. C Nihil damni affero his qui vellent plaudere, sed magis admirari faciam. Multò melius est cum silentio audientem, propter memoriam omni tempore plaudere, & in domo, & in foro, quàm amissis omnibus redire vacuos domum, & nescire plausus causam. Quomodo auditor ille non ridiculus? Quomodo non adulator, & irrisor putabitur magis? Dum asserit quidem, doctorem benè dixisse, nescire autem se quid dixerit. Hoc adulationis est. Ei qui citharœdos, & tragœdos audit, meritò id accidit, D utpote similem orationem dicere nescienti. Hic autem nec modulationis, nec vocis ostentatio est, sed sensuum ac philosophiæ potentia, quæ cuique dicere ac annunciare non difficile: Quomodo non dignus vituperatione, qui non potest dicere causam propter quam laudavit dicentem? Nihil ita decet Ecclesiam, ut silentium, ut morum compositio. Turbationes ad theatra pertinent, & balnea, & pompas, & fora. Hic autem de talibus dogmatis doctrina, tranquillitas & silentium, & boni mores, & E portus magnus esse debet. Hæc oro & supplico, ut omnes sciant. Conor enim etiam ego omnigenos modos inquirere, quibus vestris animabus prodesse queam. Est autem & ille non minimus. Non vobis solis proderit, sed etiam nobis. Non sinet excidere, neque laudes & gloriam diligere, neque oblectantia loqui, sed utilia: neque in compositionem & ornatum verborum, sed in sensuum virtutem omne temporis momentum collocare. Ingredere in pictoris officinam, & videbis multum illic silentium. A Igitur & hic fit. Etenim etiam hic regias pingimus imagines, & nullam privati hominis propter coloris virtutem. Quid hoc, iterum plauditis? Num facilis res videtur, idque non natura, sed consuetudine multa, nondum didicisse istud facere? Stylus igitur est nobis lingua. Artifex autem, spiritus sanctus. Dic oro, num in sacramentis tumultuatio quædam vel turbatio? Quando baptizamur, quando alia omnia facimus, nónne silentium & quies alia omnia detinet? Hæc in cœlo pulchritudo dispersa est. B Hanc ob rem & apud Gentes malè audimus, quasi ad ostentationem omnia facientes, & ad gloriæ studium. Sed si hoc prohibeatur, etiam primarum sedium amor extinguetur. Sufficit si quis laudes amat, quòd eas postquam auditus est assequitur, quando fructus colligit. Valdè oro firmemus hanc legem, ut omnia facientes, prout Domino placet, illius misericordiam mereamur, gratia, & miserationibus unigeniti illius, Dominique nostri Jesu Christi, cui cum Patre simul & sancto Spiritu gloria, honor, C imperium, nunc, & semper, & in secula seculorum. Amen.

ΟΜΙΛΙΑ λα'.

Ἀκούσαντες δὲ οἱ Ἀπόστολοι Βαρνάβας καὶ Παῦλος, διαῤῥήξαντες τὰ ἱμάτια αὐτῶν, ἐξεπήδησαν εἰς τὸν ὄχλον κράζοντες, καὶ λέγοντες· ἄνδρες, τί ταῦτα ποιεῖτε; ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμεν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς.

ΟΡΑ πάντα μετὰ σφοδρότητος τοὺς Ἀποστόλους ποιοῦντας. διέῤῥηξαν τὰ ἱμάτια· ἐπήδησαν, ἔκραξαν· πάντα ἀπὸ διαθέσεως ψυχῆς ἀποστρεφόμενοι τὰ γινόμενα, καὶ πένθους σημεῖα ποιοῦντες. πένθος γὰρ ἦν ὄντως, πένθος ἀπαραμύθητον, εἴγε ἔμελλον θεοὶ νομίζεσθαι, καὶ εἰδωλολατρείαν εἰσάγειν, ἣν ἦλθον καταλύσοντες. καὶ τοῦτο τοῦ διαβόλου ἦν κατασκεύασμα. οἱ δὲ οὐχ ἡσυχάζουσιν, ἀλλὰ „ τί; καὶ ἡμεῖς ὁμοιοπαθεῖς ὑμῖν ἐσμέν φασιν ἄνθρωποι. εὐθέως ἐκ προοιμίων ἀνέτρεψαν τὸ κακόν. οὐκ εἶπον ἁπλῶς ἄνθρωποι. ἀλλὰ καθ' ὑμᾶς· εἶτα ἵνα μὴ δόξωσι τιμᾶν τοὺς θεοὺς,

HOMILIA XXXI.

D *Auditis his Apostoli Barnabas & Paulus, disruptis vestibus suis exilierunt in turbam, clamantes ac dicentes: Viri, cur hæc facitis? Nos similiter passibiles vobis sumus homines evangelizantes vobis, ut ab his vanis convertamini ad Deum viventem qui fecit cœlum & terram & mare, & omnia quæ in illis.*

E VIde ut Apostoli omnia magna cum vehementia faciunt, *disrumpunt vestimenta, insiliunt, clamarunt*, omnia ex affectione animæ procedunt, aversantur ea quæ facta, & luctus signa faciunt. Luctus enim erat verè luctus non admittens consolationem. Si quidem pro diis haberi voluissent, introduxissent idololatriam quam destruxerant, quæ diaboli opus. At illi non tacent. Et quid dicunt? *Etiam nos vobis similiter passibiles homines sumus.* Statim ab initio subverterunt vitium. Non dixerunt simpliciter *homines*, sed *sicut vos*. Deinde ne videantur Deos honorare,

Ps. 145,6. audi quid adjiciunt: *Evangelizantes vobis, ut ab his vanis convertamini ad Deum viventem, qui fecit cœlum & terram, & mare, & omnia quæ in eis.* Vide quod hic nunquam Prophetarum sunt memores, neque dicunt, cujus gratia is qui omnium est conditor, Gentes reliquit propria lege frui. *Qui in præteritis generationibus permisit omnes Gentes ire in vias suas.* Dicit quidem quod *permisit*. Quare autem permisit, non jam addit, sed in hoc ad quod festinabat, subsistit, nusquam Christi nomen ponens. *Quanquam non expertem testimonii seipsum esse sinebat, beneficia de cœlo conferens vobis, dans pluvias ac tempora fructifera, implens cibo ac lætitia corda vestra.* Vide, non vult accusationem eorum exaggerare, sed magis docet eos, ut totum in Deum referant. Didicerant enim non tantam habendam dicendi curam dignum aliquid de Deo, quantam ut auditoribus utilia dicantur. Vide quàm latenter accusationem ponit, quamvis etsi palàm taxasset, probe egisset. Oportebat enim puniri illos qui tantis bonis fruebantur, & nutritorem suum non agnoscebant. Non dicit autem manifestè, sed insinuat: *Cœlitus nobis pluvias*, inquit, *dans*. Ita & David, dicebat:
Ps. 4,7. *A fructu frumenti, & vini, & olei sui multiplicati sunt.* Et sæpe de conditione disserens, hæc in medium affert. Quin
Jer. 5,24. & *Hieremias* de primo opificio, & deinde de pluviis narrans, providentiam Dei commendat. Atque ille inde edoctus, inquit, *Implens alimento & lætitia.* Cum largitate alimentum, & non solum ad frugalitatem acusum. *Et hæc dicentes vix compescuerunt turbas ne sibi immolarent.* Et hoc maximè admirati sunt. Vides quod hoc contenti sunt, quod turbam ab hac insania liberarunt? *Supervenerunt autem ab Antiochia & Iconio Judæi quidam, qui quum persuasissent turbis, ac lapidassent Paulum, traxerunt eum foras portam, putantes illum mortuum esse.* Revera diaboli filii. Non in civitatibus suis solùm, sed etiam extra illas hæc faciebant, tantóque studio anhelabant tollere prædicationem, quanto Apostoli erigere moliebantur. *Et cum persuasissent*, inquit, *turbis, & lapidassent Paulum, traxe-*
2. Cor. 12,9. *runt foras portam.* Hic impletur: *Sufficit tibi gratia mea; virtus enim mea in infirmitate perficitur.* Majus hoc erat quàm claudum sanare. Gentiles quidem ut Deos putabant, hi autem traxerunt persuadentes turbis. Non enim verisimile erat admirari illos. Et vide: In civitate illa: in qua tam admirabiles fuere, in eadem gravia patiebantur. Id quoque videntibus proderat. Quod autem etiam propter hoc permitteban-
Ibidem. tur pati, audi hoc istuc ipsum manifestantem ac dicentem: *Ne quis me putet esse supra id quod videt me, vel audit aliquid ex me. Ubi autem discipuli circumdederunt eum, surgens ingressus est in civitatem.* Vides alacritatem? Vides desiderium fervens & succensum? Iterum in illam ipsam civitatem ingressus est, & ut monstretur quod si alicunde & secessérit, velle per hoc seminari verbum, & non extinguendum propterea esse illorum desiderium. Hæc non minùs claros reddebant, quàm signa, magisque gaudere faciebant. Nusquam autem dicit quod reversi sunt ubi signa fecerunt: sed ubi meruerant pro nomine illius ignominiosi haberi. Nam
Luc. 10,20. etiam hoc à Christo didicerant, dicente: *Ne gaudete quòd dæmonia vobis subjiciuntur.* Etenim revera gaudium & purum est pati aliquid propter Christum. Deinde in civitates omnes redierunt, in quibus periclitati fuerunt. *Et postero die exiit cum Barnabam Derben, cumque evangelizassent civitati illi ac docuissent multos, reversi sunt in Lystram & Iconium, & Antiochiam, confirmantes animas discipulorum, obsecrantes ut maneant in fide, & quòd per multas afflictiones oporteat intrare in regnum Dei.* Hoc dicebant, hoc monstrabant. *Confirmantes*, inquit, *animas discipulorum*, atque ita confirmati fuerunt, imò appositi sunt. Prædicebant igitur ne offendantur. Atque tam discipuli quàm Apostoli operam dant, ut discant statim ab initio prædicationis virtutem, & quòd etiam ipsos oporteat talia pati, & ut generosè stent, non solùm signa stupentes, sed multò magis tentationes. Id-
Phil. 1,30. circo & ipse dicebat: *Eundem agonem habentes sicut vidistis in me, & audistis.* Ubique prælia, pugnæ, lapidationes. Qualis adhortatio, statim ab initio afflictiones proponere? Sequitur & alia consolatio: *Quum autem suffragiis delegissent illis seniores per Ecclesias, orassentque cum jejuniis, commendaverunt illos Domino in quem crediderant.* Vidisti fervorem Pauli, *cùm orassent*, inquit, *cum jejuniis, commendaverunt illos Domino.* Vide, cum jejuniis fiunt ordinationes. Iterum jejunium, purgatio est animarum nostrarum.

A ἄκουσον τί ἐπάγουσιν· εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τούτων τῶν ματαίων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα, ὃς ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς. ὅρα οὐδαμοῦ τῶν προφητῶν μνημονεύοντας αὐτούς· οὐδὲ λέγοντας τίνος ἕνεκεν πάντων δημιουργὸς ὢν, τὰ ἔθνη ἀφῆκεν αὐτόνομα· ὃς ἐν ταῖς παρῳχημέναις γενεαῖς, εἴασε πάντα τὰ ἔθνη πορεύεσθαι ταῖς ὁδοῖς αὐτῶν. ὅτι μὲν εἴασε λέγει· διατί δὲ εἴασεν οὐκ ἔτι. τέως πρὸς τὸ κατεπεῖγον ἵσταται· οὐδαμοῦ τοῦ Χριστοῦ τὸ ὄνομα τιθείς. καίτοιγε οὐκ ἀμάρτυρον ἑαυτὸν ἀφῆ-
B κεν ἀγαθοποιῶν, οὐρανόθεν ὑμῖν ὑετοὺς διδοὺς, καὶ καιροὺς καρποφόρους, ἐμπιπλῶν τροφῆς καὶ εὐφροσύνης τὰς καρδίας ὑμῶν. ὅρα οὐ βούλεται τὴν κατηγορίαν αὐτῶν αὐξῆσαι, ἀλλὰ μᾶλλον ἐπὶ τὸν Θεὸν τὸ πᾶν ἀγαγεῖν αὐτοὺς παιδεύει. ἔμαθον γὰρ ὅτι οὐχ οὕτω σπουδάζειν δεῖ ἄξιόν τι εἰπεῖν περὶ Θεοῦ, ὡς τὸ τοῖς ἀκούουσιν ὠφέλιμον. ὅρα πῶς λανθανόντως τὴν κατηγορίαν τίθησι, καίτοι εἰ καὶ τοῦτο ἐποίει, ἔδει κολασθῆναι
C αὐτοὺς τοσούτων ἀπολαύοντας ἀγαθῶν, καὶ μηδὲ ὡς τροφέα γνωρίζοντας. ἀλλ' οὐ λέγει φανερῶς, ἀλλ' αἰνίττεται, οὐρανόθεν ὑμῖν λέγων ὑετοὺς διδούς. οὕτω καὶ ὁ Δαβὶδ ἔλεγεν· ἀπὸ καρποῦ σίτου καὶ οἴνου, καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν. καὶ πολλαχοῦ περὶ δημιουργίας διαλεγόμενος, ταῦτα τίθησιν εἰς μέσον. καὶ ὁ Ἱερεμίας δὲ τὴν δημιουργίαν πρώτην, εἶτα τὴν πρόνοιαν τὴν διὰ τῶν ὑετῶν, φησὶν, ὥσπερ ἐκεῖθεν πεπαιδευμένος διαλέγεται. ἐμπιπλῶν, φησὶ, τροφῆς καὶ εὐφροσύνης. μετὰ
D φιλοτιμίας ἡ τροφή· οὐ μόνον πρὸς αὐτάρκειαν, ἀλλὰ καὶ πρὸς τὴν χρείαν. καὶ ταῦτα λέγοντες, μόλις κατέπαυσαν τοὺς ὄχλους τοῦ μὴ θύειν αὐτοῖς. καὶ τούτῳ μάλιστα ἐθαυμάσθησαν. ὁρᾷς ὅτι πρὸς τοῦτο ἵσταντο, ὥστε ἀνατρέψαι τὴν μανίαν ἐκείνην; ἐπῆλθον δὲ ἀπὸ Ἀντιοχείας καὶ Ἰκονίου Ἰουδαῖοι, καὶ πείσαντες τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι. ὄντως διαβόλου τέκνα· οὐκ ἐν ταῖς πόλεσιν αὐτῶν μόνον, ἀλλὰ καὶ ἔξω τούτων ταῦτα
E ποιοῦντες, καὶ τοσαύτην ποιούμενοι σπουδὴν καθελεῖν τὸ κήρυγμα, ὅσην οἱ ἀπόστολοι ἦσαν ἐπειγόμενοι. καὶ πείσαντες, φησὶ, τοὺς ὄχλους, καὶ λιθάσαντες τὸν Παῦλον, ἔσυρον ἔξω τῆς πόλεως. ἐνταῦθα πληροῦται τὸ, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. μεῖζον τοῦτο ἦν τοῦ τὸν χωλὸν ἐγεῖραι. οἱ μὲν γὰρ ἐθνικοὶ, ὡς θεοὺς ἐνόμιζον· οὗτοι δὲ ἔσυρον πείσαντες τοὺς ὄχλους. οὐδὲ γὰρ πάντας εἰκὸς ἦν θαυμάζειν αὐτούς· καὶ ὅρα, ἐν αὐτῇ τῇ πόλει, ἐν ᾗ οὕτως ἐθαυμάσθησαν, ἐν αὐτῇ τὰ δεινὰ πάσχουσι. καὶ τοῦτο δὲ τοὺς ὁρῶντας ὠφέλει. ὅτι δὲ
A καὶ διὰ τοῦτο συνεχωρεῖτο πάσχειν, ἄκουε τοῦτο αὐτοῦ δηλοῦντος καὶ λέγοντος· ἵνα μὴ εἰς ἐμὲ λογίσηταί τις ὑπὲρ ὃ βλέπει με ἢ ἀκούει τι ἐξ ἐμοῦ. κυκλωσάντων δὲ τῶν μαθητῶν αὐτὸν, ἀναστὰς εἰσῆλθεν εἰς τὴν πόλιν. ὁρᾷς προθυμίαν; ὁρᾷς πόθον ζέοντα καὶ πεπυρωμένον; εἰς αὐτὴν πάλιν τὴν πόλιν εἰσῆλθεν, ὥστε δειχθῆναι ὅτι εἰ καὶ ὑπεχώρει, διὰ τὸ τὸν λόγον βούλεσθαι σπεῖραι, καὶ διὰ τὸ μὴ δεῖν ἐκκαίειν αὐτῶν τὸν θυμόν. ταῦτα τῶν σημείων οὐχ ἧττον καὶ λαμπροτέρους ἐποίει, καὶ μᾶλλον
B χαίρειν παρεσκεύαζεν. οὐδαμοῦ δὲ λέγει, ὅτι ὑπέστρεψαν χαίροντες ὅτι σημεῖα ἐποίησαν· ἀλλ' ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι. καὶ τοῦτο γὰρ παρὰ τοῦ Χριστοῦ ἐδιδάχθησαν λέγοντος· μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται. ἡ γὰρ ὄντως χαρὰ καὶ εἰλικρινὴς αὕτη ἐστὶ, τὸ πάσχειν τι διὰ Χριστόν. εἶτα τὰς πόλεις πάσας ἐπῆσαν ἐν αἷς ἐκινδύνευσαν. καὶ τῇ ἐπαύριον ἐξῆλθε σὺν τῷ Βαρνάβᾳ εἰς Δέρβην, εὐαγγελισάμενοί τε τὴν πόλιν
C ἐκείνην, καὶ μαθητεύσαντες ἱκανοὺς, ὑπέστρεψαν εἰς Λύστραν καὶ Ἰκόνιον καὶ Ἀντιόχειαν. ἐπιστηρίζοντες τὰς ψυχὰς τῶν μαθητῶν, παρακαλοῦντες ἐμμένειν τῇ πίστει, καὶ ὅτι διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. τοῦτο ἔλεγον· τοῦτο ἐδείκνυον. ἐπιστηρίζοντες, φησὶ, τὰς ψυχὰς τῶν μαθητῶν· ὥστε ἐστηριγμένοι ἦσαν, μᾶλλον δὲ προσετίθεντο. προέλεγον τοίνυν, ἵνα μὴ σκανδαλισθῶσιν. ὥσπερ ἐπιτήδες δὲ τὸ αὐτὸ γίνεται, οὐ διὰ τῶν ἀποστόλων μόνον,
D ἀλλὰ καὶ διὰ τῶν μαθητῶν· ἵνα μάθωσιν ἐκ προοιμίων εὐθέως, καὶ τοῦ κηρύγματος τὴν δύναμιν, καὶ ὅτι καὶ αὐτοὺς δεῖ τοιαῦτα πάσχειν, καὶ ἵνα γενναίως στῶσι, μὴ μόνον πρὸς τὰ σημεῖα κεχηνότες, ἀλλὰ πολλῷ μᾶλλον πρὸς τοὺς πειρασμούς. διὰ τοῦτο καὶ αὐτὸς ἔλεγε· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοὶ, καὶ ἠκούσατε. διωγμοὶ διωγμοὺς διαδέχονται· πανταχοῦ πόλεμοι, μάχαι, λιθοβολίαι. ποία προτροπή; πῶς ἔπαθον ἐν προοιμίοις θλίψεις
E λέγοντες; εἶτα καὶ ἄλλη παραμυθία. χειροτονήσαντες δὲ αὐτοῖς πρεσβυτέρους κατ' ἐκκλησίαν, προσευξάμενοι μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ εἰς ὃν πεπιστεύκεισαν. εἶδες θερμότητα Παύλου; προσευξάμενοι, φησὶ, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. ὅρα· μετὰ νηστειῶν αἱ χειροτονίαι. πάλιν νηστεία, τὸ καθάρσιον τῶν ἡμετέρων ψυχῶν.

καὶ διελθόντες τὴν Πισιδίαν, ἦλθον εἰς Παμφυλίαν· καὶ λαλήσαντες ἐν Πέργῃ τὸν λόγον, κατήντησαν εἰς Ἀττάλειαν.

ἵνα

ἵνα γὰρ μὴ καταπέσῃ τὰ φρονήματα τῶν μαθητῶν, οἱ νομιζόμενοι θεοὶ τοιαῦτα πάσχουσιν, εἰσῆλθον πρὸς αὐτοὺς, καὶ διελέχθησαν, καὶ οὕτω πρῶτον εἰς Δέρβην ἐξέρχονται, δίδωσιν αὐτοῖς ἀναπνεῦσαι τοῦ θυμοῦ, καὶ τότε πάλιν εἰς Λύστραν καὶ Ἰκόνιον, καὶ Ἀντιόχειαν· θυμουμένοις μὲν αὐτοῖς εἴκων, πεπαυμένους δὲ ἐπιλαβόμενος. ὁρᾷς ὅτι οὐ πάντα χάριτι, ἀλλὰ καὶ οἰκείᾳ σπουδῇ διῴκουν; κἀκεῖθεν ἀπέπλευσαν εἰς Ἀντιόχειαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ Θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν. Διατί πάλιν ἔρχονται εἰς Ἀντιόχειαν; ἵνα ἀπαγγείλωσι τὰ ἐκεῖ γινόμενα. ἄλλως δέ· καὶ οἰκονομεῖται μέγα πρᾶγμα ἐντεῦθεν. ἔδει γὰρ λοιπὸν μετὰ παρρησίας τοῖς ἔθνεσι κηρύττειν. ἔρχονται οὖν ταῦτα ἀπαγγέλλοντες, ἵνα εἰδέναι ἔχωσι. καὶ οἰκονομεῖται τότε κατελθεῖν τοὺς κωλύοντας τοῖς ἔθνεσιν ὁμιλεῖν, ἵνα λοιπὸν ἀπὸ Ἱεροσολύμων πολλὴν λαβόντες ἄδειαν μετὰ παρρησίας ἀπίωσιν· ἢ καὶ ἄλλως, δείκνυσιν αὐτῶν τὸ ἦθος οὐκ αὐθάδες. ἔρχονται γὰρ πολύ τι παρρησίαν ἐνδεικνύμενοι, ὅτι καὶ χωρὶς ἐκείνων τοῖς ἔθνεσιν ἐκήρυξαν, καὶ τὴν ὑπακοὴν, ὅτι αὐτοῖς ἀναφέρουσιν. οὐ γὰρ ὡς τοσαῦτα κατωρθωκότες ἀπενοήθησαν. ὅθεν ἦσαν παραδεδομένοι, φησὶ, τῇ χάριτι τοῦ Θεοῦ. καὶ μὴν τὸ πνεῦμα εἶπεν· ἀλλὰ τὰ τοῦ πνεύματος οἶδεν ὄντα τοῦ υἱοῦ. μία γὰρ ἐξουσία, ὥσπερ ἡ φύσις καὶ υἱοῦ καὶ πνεύματος. μία. Παραγενόμενοι δὲ καὶ συναγαγόντες τὴν ἐκκλησίαν, ἀπήγγελλον ὅσα ἐποίησεν ὁ Θεὸς μετ' αὐτῶν, καὶ ὅτι ἤνοιξεν ὁ Θεὸς τοῖς ἔθνεσι θύραν πίστεως. διέτριβον δὲ ἐκεῖ χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. εἰκότως. μεγάλη γὰρ οὖσα ἡ πόλις, ἐδεῖτο διδασκάλων. ἴδωμεν λοιπὸν ἄνωθεν τὰ εἰρημένα. αὐτῇ τῇ ὄψει κατέπληξαν αὐτοὺς διαρρήξαντες τὰ ἱμάτια. τοῦτο καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει ἐπὶ τῇ ἥττῃ τοῦ λαοῦ. μὴ τοίνυν νομίσῃς ἀνάξιον αὐτῶν εἶναι τοῦτο, καὶ τῆς εὐσταθείας αὐτῶν. οὐκ ἂν γὰρ ἄλλως ἐπέσχον τὴν τοσαύτην ὁρμήν· οὐκ ἂν ἄλλως τὴν πυρὰν ἔσβεσαν. ὅταν οὖν ἡ χρεία τοῦ δεινοῦ γίνηται, μηδὲ ἡμεῖς παραιτώμεθα. εἰ τοίνυν καὶ μετὰ ταῦτα μόλις ἔπεισαν, εἰ μὴ οὕτως εἰργάσαντο, τί οὐκ ἂν ἐγένετο; εἰ γὰρ μὴ οὕτως ἐποίησαν, ἐνομίσθησαν ἄν πως ὑψηλοφρονεῖν, καὶ μᾶλλον ἐφίεσθαι τῆς τιμῆς. καὶ ὅρα τὸν λόγον μεμεστωμένον ἐν τῇ ἐκπλήξει, καὶ θαύματος ὁμοῦ γέμοντα, καὶ ἐκπλήξεως. τοῦτο μάλιστα αὐτοὺς ἐκώλυσε, τὸ εἰπεῖν, καὶ ἡμεῖς ὁμοιοπαθεῖς ἐσμεν ὑμῖν ἄνθρωποι, εὐαγγελιζόμενοι ὑμᾶς ἀπὸ τῶν ματαίων τούτων ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν τὸν ζῶντα. ὡσεὶ ἔλεγον· ἄνθρωποι μέν ἐσμεν, φησὶ, τούτων δὲ μείζους. ταῦτα γὰρ νεκρά. ὅρα αὐτοὺς οὐκ ἀνατρέποντας μόνον, ἀλλὰ καὶ διδάσκοντας, καὶ οὐδὲν περὶ ἀρρήτων φθεγγομένους. ὃς ἐποίησε, φησὶ, τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ τὴν θάλασσαν, καὶ πάντα τὰ ἐν αὐτοῖς, μάρτυρας αὐτοὺς λέγει, τοὺς ἐνιαυτούς. ὢ τῆς μανίας τῆς Ἰουδαϊκῆς! εἰς δῆμον οὕτω τιμήσαντα τοὺς Ἀποστόλους, ἐτόλμησαν ἐμβῆναι καὶ λιθάσαι Παῦλον. ἔξω δὲ τῆς πόλεως ἔσυρον, τάχα δεδοικότες ἐκεῖνον. καὶ προσευξάμενοι, φησὶ, μετὰ νηστειῶν, παρέθεντο αὐτοὺς τῷ Κυρίῳ. καὶ νηστεύειν ἐδίδασκον ἐν τοῖς πειρασμοῖς. οὐκ εἶπον ὅσα αὐτοὶ ἐποίησαν· ἀλλ' ὅσα ὁ Θεὸς μετ' αὐτῶν. ἐμοὶ δοκοῦσι τοὺς πειρασμοὺς λέγειν. οὐχ ἁπλῶς ἦλθον ἐνταῦθα, οὐδὲ διαναπαυσόμενοι· ἀλλ' οἰκονομικῶς ὑπὸ τοῦ πνεύματος ὁδηγούμενοι, ὥστε τὸ κήρυγμα τῶν ἐθνῶν βεβαιωθῆναι. καὶ διατί, φησὶν, ἐν Κύπρῳ οὐκ ἐποίησαν πρεσβυτέρους οὐδὲ ἐν Ἀντιοχείᾳ; ὅτι ἐκείνη μὲν ἐγγὺς ἦν τῶν Ἀποστόλων· αὕτη δὲ τῆς Ἀντιοχείας, καὶ ὁ λόγος ἐκράτει. ἐνταῦθα δὲ πολλῆς ἐδέοντο παραμυθίας, καὶ μάλιστα οἱ ἐξ ἐθνῶν, ὀφείλοντες πολλὰ διδαχθῆναι. ἦλθον διδάσκοντες, ὅτι εἰκότως ἐχειροτονήθησαν ὑπὸ τοῦ πνεύματος. καὶ ὅρα τὸ θερμὸν Παύλου. οὐ πυνθάνεται εἰ δεῖ λαλῆσαι ἔθνεσιν, ἀλλ' εὐθέως λαλεῖ· διὰ τοῦτο ἔλεγεν· οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. μέγα οὕτως ἀγαθὸν ἡ θλῖψις, καὶ μεγάλης ψυχῆς ἐστι, καὶ γενναίας κατόρθωμα. πόσοι μετὰ τοῦτο ἐπίστευσαν, καὶ οὐδεὶς οὕτως ἔλαμψεν; οὕτω προθυμίας ἡμῖν δεῖ πανταχοῦ, πυρώσεως πολλῆς, ψυχῆς πρὸς θάνατον παρατεταγμένης. ἄλλως γὰρ οὐκ ἔνι τῆς βασιλείας τυχεῖν, μὴ σταυρωθέντα. μὴ ἀπατῶμεν ἑαυτούς. εἰ γὰρ ἐν πολέμῳ σωθῆναι οὐ δυνατὸν, τρυφῶντα καὶ χρηματιζόμενον, καὶ καπηλεύοντα, καὶ ῥᾳθυμοῦντα· πολλῷ μᾶλλον ἐν τῷ πολέμῳ τούτῳ; ἢ οὐκ οἴεσθε πόλεμον εἶναι νῦν πάντων πολέμων χαλεπώτατον; οὐκ ἔστιν ἡμῖν, φησὶν, ἡ πάλη πρὸς αἷμα καὶ σάρκα. καὶ ἀριστῶσι, καὶ βαδίζουσι, καὶ λουομένοις πάρεστιν ὁ ἐχθρός. οὐ γὰρ οἶδε καιρὸν ἀνακωχῆς, εἰ μὴ τὸν τοῦ ὕπνου μόνον· πολλάκις δὲ καὶ τότε πολεμεῖ, καὶ λογισμοὺς ἐμβάλλων ἀκαθάρτους, καὶ ἀσελγεστέρους ἀπὸ τῶν ὀνειράτων ἐργαζόμενος. ἡμεῖς δὲ ὡς περὶ μικροῦ τοῦ πράγματος ὄντος ὑπὲρ οὗ ἐκεῖνος πολεμεῖ, οὐ νήφομεν οὐδὲ διανιστάμεθα, οὐδὲ βλέπομεν εἰς τὸ πλῆθος τῶν ἀντικειμένων ἡμῖν δυνάμεων· οὐκ ἐννοοῦμεν ὅτι τοῦτο αὐτὸ τῆς μεγίστης δυσπραγίας ἐστίν· ἀλλ' ὑπὸ τοσούτων κυκλούμενοι πολέμων, ὡς ἐν εἰρήνῃ τρυφῶμεν. πιστεύσατέ μοι, ὧν Παῦλος ἔπαθε, χαλεπώτερά ἐστι παθεῖν νῦν. ἔβαλλον αὐτὸν τότε λίθοις ἐκεῖνοι· ἔστι ῥήμασι βάλλεσθαι, καὶ νῦν λίθων χαλεπωτέροις. τί οὖν δεῖ ποιεῖν; ὅπερ ἐκεῖνος ἐποίησε. τοὺς βάλλοντας γὰρ οὐκ ἐμίσησεν.

A *Et quum pertransissent Pisidiam, venerunt in Pamphyliam, & quum locuti essent sermonem Perga, descenderunt in Attaliam.* Iracundis quidem illis cedit, mitigatos autem accedit. Vides quod non omnia per miraculosam gratiam, sed etiam propria diligentia multa dispensabant: *Et illinc solverunt in Antiochiam, unde erant traditi gratiæ Dei in opus quod impleverunt.* Quare iterum veniunt in Antiochiam? ut annuncient quæ illic facta; & etiam hoc loco magna res agitur. Oportebat enim B cum fiducia jam prædicare Gentibus: veniunt igitur ut hæc annuncient, & scire possint. Et aliter: agebatur hoc tunc, ut hi qui prohibuerant conversari cum Gentibus, magna nunc sumpta fiducia à Hierusalem abeant. Vel etiam aliter: Ostendit illorum mores non pertinaces. Veniunt igitur magnam præ se ferentes fiduciam, quod etiam absque illis Gentibus prædicassent: & obedientiam, quòd illis referunt. non enim arrogantes gloriabantur talia se fecisse. Unde *erant traditi*, inquit, C *gratiæ Dei*: etiam spiritus dixerat: sed quæ sunt Spiritus, sciebat esse Filii. Una enim potestas, sicut una natura, & Filii, & Spiritus. *Ubi autem advenerunt, & congregaverunt Ecclesiam, annunciarunt quæcumque fecit Deus cum illis, & quòd aperuit Deus Gentibus ostium fidei. Commorati autem sunt illic tempore non parvo cum discipulis.* Meritò, magna enim erat civitas, & doctoribus egebat. Videamus iterum quæ sunt dicta. Isto spectaculo terruerunt eos *diruptis vestibus.* Hoc D & Jesus nave fecerat in populi strage. Ne igitur putes indi- Joh. 7, 5. gnum illis esse, & ipsorum moribus. Etenim non aliter compressissent illorum impetum, nec aliter incendium extinxissent. Quando igitur opus fieri talia, & nos quoque ne detrectemus. Si igitur & post hæc vix persuaserunt, nisi hoc fecissent, quid factum fuisset? Nam nisi sic egissent, putati fuissent superbi esse, & talem honorem concupiscere. Et vide sermonem in medio stupore, quod moderatus fuerit, mi- E raculoque plenus & stupore. Hoc maxime illos prohibuit quod dicunt: *Et nos sumus similiter ut vos, passibiles homines, evangelizantes vobis, quod à vanis illis convertamini ad Deum viventem.* Quasi dicerent: Homines quidem sumus, inquit, his autem majores, hæc enim mortua. Vide illos non confutare solum, sed etiam docere, & nihil de invincibilibus loqui. *Qui fecit*, inquit, *cælum ac terram, & mare, & omnia quæ in illis*, Testes illos dicit annos? O insaniam Judaicam? A Ausi sunt ingredi ad populum, qui tantum honorem Apostolis dederat, & lapidare Paulum? *Extra* autem *portam traxerunt*, forsan timentes illum. *Et adorantes*, inquit, *cum jejuniis, commendarunt illos Domino.* Et jejunandum docuerunt in tentationibus. Non dixerunt: Quæcunque ipsi fecerant, sed quæcunque Deus fecerat cum ipsis. Mihi videntur tentationes dicere. Non simpliciter venerunt illuc, neque quiescendi gratia, sed miro Spiritus sancti ductu, ita ut prædica- B tio Gentium confirmetur. Et quare, inquit, in Cypro non fecerunt Presbyteros, neque in Antiochia? Quia illa quidem erat Apostolis, ista autem propinqua Antiochiæ. *Et verbum invalescebat*: Hic autem multa opus erat consolatione, maximè enim qui ex Gentibus erant, multùm doceri debebant: Venerunt docentes, unde meritò ordinati fuerunt à spiritu. Et vide fervorem Pauli. Non rogat an oporteat loqui Gentibus, sed statim loquitur, idcirco dicit: *Non acquievi carni* Gal. 1, 16. C *& sanguini.* Magnum bonum est persequutio, & magnæ ac generosæ animæ opus. Quot post hoc crediderunt, & nullus sic fulsit, ita nobis ubique alacritate opus est, & multo fervore, anima ad mortem parata, neque aliter regnum acquiritur per crucem. Ne despiciamus nosipsos. Si enim in bello servari impossibile est delicatè agentem, & lucri cupidiorem, negociantemque & ignavum, quantò magis in hoc prælio? An non putatis nunc esse bellum difficillimum omnium? D *Non est nobis*, inquit, *certamen contra carnem & sanguinem.* Et Eph. 6, 12. prandentibus, & ambulantibus, & lavantibus adest inimicus. Nescit enim quietis tempus nisi somni, imò & tunc sæpius oppugnat, & cogitationes immittit immundas, & à somniis intemperatiores reddit. Nos autem quasi parva res sit, propter quam ille præliatur, non sumus sobrii neque excitamur, neque videmus multitudinem adversariarum nobis potestatum, non cogi- E tamus quod istuc ipsum maximè infelicitatis est: at dum in tantis periclitamur, agimus ac si pax esset. Credite mihi, graviora nunc sunt, quàm ea quæ Paulus ipse passus est. Miserunt tunc lapides in Paulū, ac nunc impetunt verbis quæ lapidibus graviora.

Quid igitur oportet facere? Id quod ille fecit. Eos qui lapidarunt, odio non habuit, sed quum extraxissent ipsum, iterũ ingressus est in civitatem, benefacturus his qui injuria affecerant. Si tuleris & ut asperum conviciatorẽ, & injustitia te opprimentẽ, lapideris que. Ne autem dicas, nihil injustè egit Paulus? Regnum annunciavit, ab errore depulit, Deo adduxit. Hæc coronis, hæc prædicatione: hæc innumeris bonis digna, non lapidibus, attamen contraria passus est. Ista enim clara victoria est. Et *traxerunt illum*, inquit. Et te sæpius trahunt, sed ne irascaris, sed prædica sermonem in mansuetudine. Contumelia te affecit, tace & benedic, si potes, & sic prædicasti etiam tu sermonem, docuisti mansuetudinem. Scio plerosque non ita vulneribus, ut verborum plaga sauciari: nam illud quidem vulnus corpus suscipit, hoc autem anima, sed ne doleamus, imò dolentes sustineamus. Non videtis athletas saucio capite, stridentes dentibus strenuè ferre dolores? hìc autem non opus stridore & morsu dentium. Memor esto Domini tui, hoc pharmacum statim imposuisti memoriæ. Memor esto Pauli: Cogita quod qui cæderis vincis, ille autem qui cædit vincitur, & totum per hoc curabo. Momentum est, ne simul rapiaris, & totum statim affecisti: ne movearis, & totum extinxisti. Magna consolatio est aliquid propter Christum pati. Non prædicas sermonem philosophiæ. At quanto alius, dicit, magis me mansuetum videt, hoc magis infestat. Igitur propterea doles, quòd magis tibi merces crescet? Sed inutilis erit mansuetudo, inquit. Hoc tuæ pusillanimitatis excusatio est, aliter inutilis fit, si ulciscaris. Ignorabatne Deus injustis inutile, si non sumatur ultio? si scivisset, non præcepisset. Verum dixit: Ne ulciscaris teipsum. Sciebat utique quod hoc magis conducit. Ne pone Deo legem contrariam, obtempera illi, non es tu melior eo qui fecit nos. Dixit, contumelia affectus fer. Tu dicis, retaliabo, ut non fiam inutilis. Tu igitur majorem curam habes, quàm ille. Affectionis & asperitatis arrogantiæ verba hæc sunt, & quod contra Deum lex ponatur. Nam licèt damno afficerentur, num obedire oportebat, quando Deus aliquid præcipit, ne ponamus nos legem contrariam? [Prov. 15, 1.] *Responsio*, inquit, *submissa avertit iram.* Itaque hoc facit submissa, non adversaria. Si tibi prodest, & illi proderit: si autem tibi nocet, qui correcturus es illum, multò magis illi. Medice, cura te ipsum. Dixit malè, lauda tu: convicia dixit, dic tu præconia: insidiatus est, bene fac tu, diversis illi retalia, siquidem omnino illius salus curæ tibi est. Et ne velis ob tuas affectiones ulcisci. At dicis: Sæpius longanimitate expertus, deterior factus est. Hoc non apud te, sed apud ipsum. Vis dicere quanta passus est Deus? [3. Reg. 19, 14.] *Altaria illius subverterant, Prophetas occiderant*, & omnia ferebat. Non poterat fulmen supernè demittere? Sed quando Prophetas misit, & occiderunt illos: tunc Jesum misit, quando maximè impiè agebant, tunc plurimum benefecit. Et tu si videris exasperari, tunc magis cede, majore enim consolatione furor ille indiget: quanto molestioribus contumeliis insequitur, tanto majore mansuetudine illi opus est. Et sicut incendium quando maximè flat, tunc magis opus ut cedatur: ita & ira flagrantem bestiam, quando maximè effera est, omnes palabundi effugimus, ita nos & irascentem. Nec putes hoc esse honorem, alioqui & bestiam honoraremus & furibundos honoraremus, si devitaremus: Ignominia est & contumelia, imò non ignominia & contumelia, sed & misericordia & humanitas. Non vides nautas, quando vehementer flat ventus, detrahere vela, ne subvertatur navis? Eques quando se equi simul rapiunt, laxat, & non retinet frænum, ne sua sponte vim evacuet. Hoc & tu fac. Ignis est furor, flamma acuta est indiga materiæ, ne suppetas igni materiam, & statim extinxeris malum. Non habet à seipsa robur ira, nisi alius sit qui illam alat. Nullam excusationem habes, ille detinetur furore, & nescit quid facit. Tu considerans illum, quando in eadem incides, & neque illius exemplo sapientior efficeris, qualis venia? Si in convivio quis factus videret in vestibulo aliquem inebriari, & turpiter agere, deinde ipse iisdem vitiis irretiatur; nonne post illum hic multò minus venia dignus fuerit? Sic & hic, ne putemus defensionem dicere: Ego non cœpi. Hoc contra nos est, quia neque illius turpitudine visa temperatiores facti sumus. Quemadmodum si dicat quis, Ego non primus occidi. Eapropter pœna dignus es, quod neque exemplo viso melior factus teipsum continuisti. Si videris ebrium vomere, dilacerare, disrumpere, oculis torvis videre, immundicia mensam implere, omnes illum fugere:

ἀλλὰ συράντων αὐτὸν εἰσῆλθε πάλιν εἰς τὴν πόλιν, εὐεργετήσων τοὺς τὰ τοιαῦτα ἠδικηκότας. ἂν ἐνέγκῃς καὶ σὺ τὸν ὑβριστὴν τὸν τραχὺν, τὸν ἀδίκως σε ἐργασάμενον ταῦτα, ἐλιθάσθης καὶ σύ. μὴ γὰρ εἴπῃς, οὐδὲν ἠδίκησα. τί γὰρ Παῦλος ἠδίκησεν ἵνα λιθασθῇ; βασιλείαν κατήγγελλε· πλάνης ἀπῆγε· τῷ Θεῷ προσῆγε. ταῦτα στεφάνων ἄξια· ταῦτα ἀνακηρύξεως, ταῦτα μυρίων ἀγαθῶν, οὐ λίθων. ἀλλ' ὅμως τἀναντία ἔπασχεν. αὕτη γὰρ ἡ λαμπρὰ νίκη, καὶ ἔσυραν αὐτόν, φησι. καὶ σὲ πολλάκις σύρουσιν. ἀλλὰ μὴ ὀργισθῇς· ἀλλὰ κήρυξον τὸν λόγον διὰ τῆς ἐπιεικείας. ὕβρισέ σε; σίγησον, καὶ εὐλόγησον εἰ δύνασαι, καὶ οὕτως ἐκήρυξας καὶ σὺ τὸν λόγον. ἐπαίδευσας ἐπιείκειαν· ἐπαίδευσας πραότητα. οἶδα πολλοὺς οὐχ οὕτω τραύμασιν ἀλγοῦντας, ὡς πληγῇ τῇ διὰ ῥημάτων· τοῦτο μὲν γὰρ τὸ τραῦμα τὸ σῶμα δέχεται· ἐκεῖνο δὲ ἡ ψυχή. ἀλλὰ μὴ ἀλγήσωμεν· μᾶλλον δὲ ἀλγήσαντες ἐνέγκωμεν. οὐχ ὁρᾶτε τοὺς πυκτεύοντας, οἳ διατετρωμένοι τὰς κεφαλὰς, τοὺς ὀδόντας ἐνδακόντες, οὕτως ἡμέρως φέρουσι τὰς ἀλγηδόνας; ἐνταῦθα δὲ οὐ χρεία βρύξαι τοὺς ὀδόντας, οὐ χρεία δακεῖν. ἀναμνήσθητι τοῦ δεσπότου τοῦ σοῦ, καὶ τὸ φάρμακον εὐθέως ἐπέθηκας τῇ μνήμῃ. ἀναμνήσθητι Παύλου. ἐννόησον, ὅτι σὺ ἐνίκησας ὁ πληττόμενος, ἐκεῖνος δὲ ἡττῆται ὁ πλήξας, καὶ τὸ πᾶν ἰάσω διὰ τούτου. ῥοπή ἐστι, μὴ συναρπαγῇς, καὶ τὸ πᾶν κατώρθωσας εὐθέως· μὴ κινηθῇς, καὶ τὸ πᾶν ἔσβεσας. μεγάλη παραμυθία τὸ διὰ Χριστόν τι παθεῖν. οὐ κηρύττεις τὸν λόγον τῆς πίστεως; ἀλλὰ κηρύττεις τὸν λόγον τῆς φιλοσοφίας. ἀλλ' ὅσῳ ἂν ἴδῃ τὸν ἐπιεικῆ, φησι, τοσούτῳ μᾶλλον ἐπιτίθεται. διὰ τοῦτο οὖν ἀλγεῖς, ὅτι μᾶλλόν σοι τοὺς μισθοὺς αὔξει; ἀλλ' ἀχρεῖος γίνεται, φησι. τοῦτο σκῆψις τῆς ἰδίας μικροψυχίας. ἑτέρως ἀχρεῖος γίνεται, ἂν ἀμύνῃ. εἰ ᾔδει ὁ Θεὸς ὅτι διὰ τοῦ μὴ ἀμύνεσθαι ἀχρεῖοι ἐγίνοντο οἱ ἄδικοι, οὐκ ἂν τοῦτο ἐπέταξεν, ἀλλ' εἶπεν ἄν, ἄμυνον σαυτῷ. ἀλλ' οἶδεν ὅτι οὕτω μᾶλλον ὠφελεῖται. μὴ ἀντινομοθέτει τῷ Θεῷ. ἐκείνῳ πείθου. οὐκ εἶ σὺ ἀγαθώτερος τοῦ ποιήσαντος ἡμᾶς. εἶπεν, ὑβριζόμενος φέρε· σὺ λέγεις, ἀνθυβρίζω, ἵνα μὴ ἀχρεῖος γένωμαι. σὺ οὖν μᾶλλον αὐτοῦ φροντίζεις; πάθους ταῦτα καὶ τραχύτητος τὰ ῥήματα καὶ ἀλαζονείας, καὶ τοῦ ἀντινομοθετεῖν τῷ Θεῷ· εἰ γὰρ καὶ ἐβλάπτετο, οὐχὶ πείθεσθαι ἐχρῆν; ὅταν ὁ Θεός τι προστάττῃ, μὴ ἀντινομοθετῶμεν ἡμεῖς. ἀπόκρισις, φησιν, ὑποπίπτουσα, ἀποστρέφει ὀργάς. ἄρα οὖν τοῦτο ποιεῖ ὑποπίπτουσα. οὐκ ἐναντιουμένη. εἰ σὲ ὠφελεῖ, κἀκεῖνον ὠφελεῖ· εἰ δὲ σὲ βλάπτει τὸν μέλλοντα διορθοῦσθαι ἐκεῖνον, πολλῷ μᾶλλον ἐκεῖνον. ἰατρὲ, θεράπευσον σεαυτόν. εἶπε κακῶς; ἐπαίνεσον σύ. ἐλοιδόρησεν; ἐγκωμίασον. ἐπεβούλευσεν; εὐεργέτησον· τοῖς ἐναντίοις αὐτὸν ἀμείβου, εἴγε ὅλως τῆς ἐκείνου σωτηρίας προνοεῖς, καὶ μὴ σαυτοῦ τὸ πάθος ἐκδικεῖν θέλε. καὶ μὴν πολλάκις, φησιν, ἀπολαύσας μακροθυμίας χείρων γέγονε. τοῦτο οὐ παρὰ σὲ, ἀλλὰ παρ' αὐτόν. βούλει μαθεῖν οἷα ἔπαθεν ὁ Θεός; τὰ θυσιαστήρια αὐτοῦ κατέσκαψαν, τοὺς προφήτας ἀπέκτειναν, καὶ πάντα ἔφερεν. οὐκ ἠδύνατο σκηπτὸν ἄνωθεν καταγαγεῖν; ἀλλ' ὅτε τοὺς προφήτας ἀπέστειλε, καὶ ἀνεῖλον αὐτοὺς, τότε τὸν υἱὸν ἔπεμψεν· ὅτε μείζονα ἠσέβησαν, τότε μειζόνως εὐηργέτησε. καὶ σὺ ἂν ἴδῃς τραχυνόμενον; τότε μειζόνως εἶξον. μείζονος γὰρ ἡ μανία αὕτη δεῖται παραμυθίας. ὅσῳ ἂν χαλεπώτερα ὑβρίζῃ, τοσούτῳ πλείονος ἐπιεικείας δεῖται· καὶ καθάπερ πυρετὸς ὅταν σφοδρὸν πνεύσῃ, τότε δεῖται τοῦ εἴκοντος· οὕτω καὶ ὁ θυμούμενος. τὸ θηρίον ὅταν μάλιστα ἀγριαίνῃ, τότε φεύγομεν ἅπαντες· οὕτω καὶ τὸν ὀργιζόμενον. μὴ νομίσῃς τοῦτο τιμὴν εἶναι· ἐπεὶ καὶ τὸ θηρίον τιμῶμεν. καὶ τοὺς μαινομένους γοῦν τιμῶμεν, ὅταν ἐκκλίνωμεν; οὐδαμῶς· ἀτιμία τοῦτό ἐστι καὶ ὕβρις· μᾶλλον δὲ οὐκ ἀτιμία καὶ ὕβρις, ἀλλ' ἔλεος καὶ φιλανθρωπία· οὐχ ὁρᾷς τοὺς ναύτας, ὅταν σφοδρὸν ἐμπνεύσῃ τὸ πνεῦμα, καθαιροῦντας τὰ ἱστία, ὥστε μὴ καταδῦσαι τὸ σκάφος; τοὺς ἱππέας ὅταν συναρπάσωσι τὸν ἐπιβάτην, συνενδιδόντας καὶ οὐ καθέλκοντας, ἵνα μὴ αὐτομάτως κενώσῃ τὴν δύναμιν; τοῦτο καὶ σὺ ποίησον. πῦρ ἐστιν ὁ θυμός· φλὸξ ἐστιν ὀξεῖα δεομένη ὕλης. μὴ παράσχῃς τὴν τροφὴν τῷ πυρὶ, καὶ ταχέως ἔσβεσας τὸ κακόν. οὐκ ἔχει καθ' ἑαυτὴν ἰσχὺν ἡ ὀργὴ, ἂν μὴ ἕτερος ὁ τρέφων αὐτὴν ᾖ. οὐδεμία σοί ἐστιν ἀπολογία· ἐκεῖνος κατέχεται τῇ μανίᾳ, καὶ οὐκ οἶδε τί ποιεῖ· σὺ θεωρῶν αὐτὸν, ὅταν τοῖς αὐτοῖς περιπέσῃς, καὶ μηδὲ ἐξ ἐκείνου σωφρονισθῇς, ποία συγγνώμη; εἰ ἐν συμποσίῳ τις γενόμενός τινα ἐν προθύροις ἴδοι μεθύοντα καὶ ἀσχημονοῦντα, εἶτα καὶ αὐτὸς τοῖς ὁμοίοις περιπέσῃ, οὐ πολλῷ μᾶλλον μετ' ἐκεῖνον μεθύων ἀσύγγνωστος ἂν εἴη; οὕτω καὶ ἐνταῦθα· μὴ νομίζωμεν εἶναι ἀπολογίαν τὸ λέγειν, ὅτι οὐκ ἐγὼ κατῆρξα. τοῦτο καθ' ἡμῶν ἐστιν, ὅτι μηδὲ ἐκεῖνον ἰδόντες ἐσωφρονίσθημεν. ὥσπερ ἂν εἴποι τις, οὐκ ἐγὼ ἐφόνευσα πρῶτος· διὰ γὰρ τοῦτο κολάσεως εἶ ἄξιος, ὅτι μηδὲ εἰς τὸ παράδειγμα ἰδὼν ἐπέσχες σαυτόν. εἰ ἴδοις ἐμοῦντα τὸν μεθύοντα, διασπώμενον, διαρρηγνύμενον, τοὺς ὀφθαλμοὺς ἔχοντα διεστραμμένους, ἀκαθαρσίας τὴν τράπεζαν πληροῦντα, πάντας αὐτὸν ἀποφεύγοντας·

εἶτα

εἶτα τῆς αὐτῆς περιπέσῃς, οὐχὶ μᾶλλον ἔσῃ μισητός; τοιοῦτός ἐστι καὶ ὁ ὀργιζόμενος. μᾶλλον τοῦ ἐμοῦντος διατείνει τὰς φλέβας, πυροῖ τοὺς ὀφθαλμούς· διασπᾶται τὰ σπλάγχνα· ἐμεῖ πολλῷ ῥήματα τῆς τροφῆς ἐκείνης ἀκαθαρτότερα· ἀδιαμάσητα πάντα φθέγγεται· οὐδὲν κατειργασμένον· οὐ γὰρ ἀφίησιν ὁ θυμός· ἀλλ' ὥσπερ ἐκεῖ πολλάκις ἀμετρία χυμῶν διενοχλήσασα τὸν στόμαχον, πάντα ἐκένωσεν· οὕτω καὶ ἐνταῦθα ἀμετρία θερμότητος διενοχλήσασα τὴν ψυχὴν, οὐκ ἀφίησι στέγειν ἃ σιγᾷν καλὸν, ἀλλὰ ῥητὰ καὶ ἄρρητα λέγει· οὐχὶ τοὺς ἀκούοντας, ἀλλ' ἑαυτὸν αἰσχύνων. ὥσπερ οὖν ἀπὸ τῶν ἐμούντων φεύγομεν· οὕτω καὶ ἀπὸ τῶν ὀργιζομένων. τί ποιοῦντες; κόνιν ἐπιβάλωμεν αὐτῶν τῷ ἐμέτῳ· σιγῶντες τοὺς κύνας καλῶμεν, ὥστε αὐτὰ καταφαγεῖν τὰ ἐμεθέντα. οἶδα ὅτι ναυτιᾶτε ἀκούοντες· ἀλλ' ὅταν ὁρᾶτε ταῦτα γινόμενα βούλομαι τοῦτο παθεῖν ὑμᾶς, ἀλλὰ μὴ ἥδεσθαι τῷ πράγματι. ἀκαθαρτότερος ὁ ὑβριστὴς τοῦ κυνὸς τοῦ ἐπιστρέφοντος ἐπὶ τὸν ἑαυτοῦ ἔμετον. ὁ μὲν γὰρ ἅπαξ ἐμέσας ἐπαύσατο, οὐκ ἔστι κατ' ἐκεῖνον· εἰ δὲ πάλιν τὰ αὐτὰ ἐμεῖ, δῆλον ὅτι τὰ αὐτὰ φαγών. τί οὖν βδελυκτότερον τούτου; τί δὲ ἀκαθαρτότερον ἐκείνου τοῦ στόματος, τοῦ τοιαύτας διαμασωμένου τροφάς; καίτοι γε τοῦτο φύσεως ἔργον ἐστίν. ἐκεῖνο δὲ οὐχί· μᾶλλον δὲ καὶ τοῦτο παρὰ φύσιν, κἀκεῖνο. πῶς; οὐ γὰρ κατὰ φύσιν τὸ ὑβρίζειν εἰκῆ, ἀλλὰ παρὰ φύσιν. οὐδὲν γοῦν ὡς ἄνθρωπος φθέγγεται· ἀλλὰ τὰ μὲν ὡς θηρίον· τὰ δὲ ὡς μαινόμενος. ὥσπερ οὖν ἡ τῶν σωμάτων νόσος παρὰ φύσιν· οὕτω καὶ τοῦτο. καὶ ὅτι παρὰ φύσιν ἐστὶν, εἰ ἐγχρονίσει ἐν αὐτῷ, ἀπόλλυται κατὰ μικρόν· ἐν δὲ τῷ κατὰ φύσιν ἐγχρονίζων, οὐκ ἀπόλλυται. ἑλοίμην ἂν ἀνθρώπῳ βόρβορον σιτουμένῳ κοινωνῆσαι τραπέζης, ἢ φθεγγομένῳ τοιαῦτα. οὐχ ὁρᾶτε τοὺς χοίρους κόπρον διαμασωμένους; οὕτω καὶ οὗτοι. τί γὰρ δυσωδέστερον τῶν ῥημάτων ὧν οἱ ὑβρισταὶ φθέγγονται; σπουδὴ τούτοις ἐστὶ μηδὲν εἰπεῖν ὑγιὲς, μηδὲν καθαρόν· ἀλλ' εἴ τι αἰσχρὸν, εἴ τι ἄσχημον, τοῦτο καὶ ποιῆσαι, καὶ φθέγξασθαι. καὶ τὸ δὴ χαλεπώτερον, ὅτι ἑαυτοὺς μᾶλλον αἰσχύνοντες, ἑτέρους αἰσχύνειν οἴονται. ὅτι γὰρ ἑαυτοὺς αἰσχύνουσι, δῆλον ἐκεῖθεν. μὴ γάρ μοι τοὺς ψευδῆ λέγοντας εἴπῃς· ἀλλ' ἔστω τις πόρνη περιφανὴς, ἢ καὶ ἀπὸ τῆς σκηνῆς ἕτερος, καὶ ποιείτω μετά τινος μάχην· εἶτα ἐκεῖνος αὐτῷ ταῦτα προσφερέτω; κἀκεῖνος πάλιν ὁμοίως· τίς μᾶλλόν ἐστιν ὁ ὑβρισθεὶς τοῖς ῥήμασιν; ἐκεῖνος μὲν γὰρ ἅπερ εἶχεν ἤκουσεν· οὗτος δὲ, ἅπερ οὐκ εἶχεν. ὥστε ἐκείνῳ μὲν, οὐδὲν πλέον γέγονεν εἰς αἰσχύνης λόγον· τούτῳ δὲ, πολλὴ τῆς ἀσχημοσύνης ἡ προσθήκη. ἀλλ' ἔστω τινὰ πάλιν εἰργασμένα πράγματα, καὶ μόνος ὁ ὑβρίζων αὐτὰ γινωσκέτω· εἶτα περὶ τούτου σιγῶν, ἐκπομπευέτω τὴν ὕβριν· καὶ οὕτως οὗτος ὑβρίσαι μᾶλλον. πῶς; κῆρυξ γινόμενος κακίας, ἀσυνειδησίας, ἀπίστου δόξαν λαβὼν, καὶ πάντας εὐθέως ἐγκαλοῦντας ὄψει, καὶ τοιαῦτα πανταχοῦ λέγοντας. εἰ γὰρ δὴ φόνον συνῄδει, φησὶ, πάντα κενῶσαι ἐχρῆν, καὶ τὸν μὲν ὡς οὐδὲ ἄνθρωπον ὄντα ἀποστρέφονται, μισοῦσι, θηρίον εἶναί φασιν ὠμὸν καὶ ἀπηνές· τούτῳ δὲ συγγινώσκουσι μᾶλλον ἢ ἐκείνῳ. οὐχ οὕτω γὰρ τοὺς τραύματα ἔχοντας μισοῦμεν, ὡς τοὺς ἐκκαλύπτειν αὐτὰ βιαζομένους καὶ δεικνύναι. οὕτω καὶ οὗτος ὕβρισεν οὐκ ἐκεῖνον μόνον, ἀλλὰ καὶ ἑαυτὸν, καὶ τοὺς ἀκούοντας, καὶ τὴν κοινὴν φύσιν τῶν ἀνθρώπων, ἔπληξε τὸν ἀκροατήν· οὐδὲν „ἀγαθὸν εἰργάσατο. διὰ τοῦτό, φησιν ὁ Παῦλος· εἴ τις ἀγαθὸς „λόγος πρὸς οἰκοδομὴν, ἵνα δῷ χάριν τοῖς ἀκούουσιν. εὔφημον κτησώμεθα γλῶτταν, ἵνα ὦμεν ποθεινοὶ καὶ ἐπέραστοι. ἀλλὰ γὰρ εἰς τοῦτο περιῆλθε κακίας ἅπαντα, ὥστε ἐφ' οἷς ἐγκαλύπτεσθαι ἔδει, ἐπὶ τούτοις πολλοὺς γαυριᾶν. ἃ γὰρ ἀπειλοῦσιν οἱ πολλοὶ τοιαῦτά ἐστιν. οὐ δύναται ἐνεγκεῖν ἡ γλῶσσά μου, φησί. γυναικὸς τὰ ῥήματα, γραὸς μεθυούσης, ἀσχημονούσης· τῶν ἐπ' ἀγορᾶς συρομένων, προαγωγοῦ. οὐδὲν αἰσχρότερον τούτων τῶν ῥημάτων, οὐδὲν ἀνανδρότερον, οὐδὲν γυναικωδέστερον ἐν τῇ γλώττῃ τὴν ἰσχὺν ἔχειν, ἐπὶ τῷ λοιδορεῖν μέγα φρονεῖν. καθάπερ οἱ ἐν πομπαῖς, καθάπερ οἱ μῖμοι, καὶ παράσιτοι, καὶ κόλακες. χοῖροι μᾶλλόν εἰσιν ἢ ἄνθρωποι. ὅσοι ἐπὶ τούτῳ σεμνύνονται. δέον κατορύξαι σαυτόν· δέον εἰ καί τις ἕτερός σοι ταῦτα ἐμαρτύρει, φεύγειν τὴν μαρτυρίαν ὡς ἐχθρὰν καὶ ἄνανδρον· σὺ δὲ κῆρυξ ὕβρεων γέγονας. ἀλλ' οὐδὲν τὸν κακῶς ἀκούοντα βλάψαι δυνήσῃ. διὸ παρακαλῶ, ἐννοήσαντες ὅση ἡ κακία ὅτι καὶ ἐγκαυχῶνται πολλοὶ, ἀνανήψωμεν· διορθωσώμεθα τοὺς οὕτω μαινομένους· ἀνέλωμεν ταῦτα ἐκ τῆς πόλεως τὰ συνέδρια· καλλωπίσωμεν ἡμῶν τὴν γλῶτταν, πάσης κατηγορίας ἀπαλλάξωμεν, ἵνα δυνηθῶμεν καθαρεύοντες τῶν ἁμαρτημάτων, τῆς ἄνωθεν εὐνοίας ἐπισπάσασθαι, καὶ τῆς παρὰ τοῦ θεοῦ φιλανθρωπίας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

deinde in illam ipsam incidas ebrietatem, nonne magis eris odibilis? Talis est etiam, qui irascitur, plus quàm vomens, inflat venas, incendit oculos, disrumpit viscera, vomit verba, illa immundicia magis impura, omnia commanducata, sed cruda loquitur, nihilque perfectum. Non enim finit ira: sed sicut illic sæpe humorum nimietas stomachum perturbat, omniaque evacuat: ita & hîc caloris nimietas perturbat animam, nec sinit latère quæ silere deceret, sed dicenda ac non dicenda effutit, non audientes, sed seipsum confundens. Sicut igitur vomentes fugimus, ita & irascentes. Quid faciendum? Pulverem super vomitum illorum ponamus, tacendo canes vocemus, ut & illa evomita devorent. Scio quòd hæc audientibus vobis nauseam cient. Verùm tunc sic vos affici velim, quando illa fieri videtis, tunc non oblectari. Conviciator enim immundior est cane, qui ad vomitum suum revertitur. Ille enim ut semel evomuerit cessat, nec erit sicut ille: & si iterum eadem vomit, manifestum quod eadem edit. Quid igitur illo abominabilius? quid immundius illo ore, quo eosdem cibos vomitos manducat? quamvis hoc naturæ opus: illud autem minimè, imò & hoc illud præter naturam est. Quomodo? Non enim secundùm naturam est, sine causa conviciari, sed præter naturam. Igitur nihil quidem ut homo loquitur, sed alia ut bestia, alia verò ut furibundus. Itaq; sicut corporũ morbus præter naturam est, ita & hoc: & quia præter naturam est, si in illo moretur, paulatim perit. Mallem assidere homini lutum edenti, quam talia loquenti. Non videtis porcos stercora devorare, & suaviter glutire? ita & illi. Quid enim fœdius quàm verba, quæ contumeliosi conviciatores loquuntur? Nullum autem illis studium est, vel sanum, vel mundum aliquid dicere, sed quicquid turpe, hoc & facere & loqui solent. Hoc sanè graviùs, quod dum seipsos magis confundunt, alios confundere putant, & manifestum est inde. Ne enim mihi dixeris illos mendacia dicere, sed sit quædam insignis meretrix, vel alius quispiam è fornice, & faciat cum illo pugnam: posteà ille huic hæc loquatur, hic iterum illi similiter, uter magis contumelia affectus erit: nam ille quidem, ea quorum reus est, audit: hic autem, ea quorum non est reus: & ita illi quidem nihil accessit ad confusionem sermonis, huic autem plurimum. Jam sint quædam eorum per opera facta, & solus ille qui contumelia afficit, ea sciat: & qui anteà siluerit, per convicia nunc divulget: etiam hic propter hoc magis convicio sese infamabit. Quomodo? Præco malitiæ factus, in suspicionem venit, quod malè conscius & fide indignus loquatur, videbitque omnes statim se objurgare, & talia ubique dicere: Si enim homicidii conscius erat, omnino anteà enunciare oportebat, & hunc quidem quasi non sit homo aversantur, odere, bestiamque esse dicunt efferam & crudelem: huic autem magis quàm illi ignoscunt. Eos enim qui vulnera habent, horremus, si tegere cogantur & monstrent; ita & hic contumelia afficit, non illum, sed etiam seipsum, & audientes, & communem hominum naturam, verberavitque auditorem, & nihil boni fecit. Idcircò Paulus inquit: *Si quis bonus sermo ad ædificationem, ut det gratiam audientibus*; possideamus linguam honesta loquentem, ut simus desiderabiles ac amabiles. Verum eousque malitiæ pervenerunt omnia, ut quæ potissimùm velare oportebat, in his plerique glorientur. Multi enim in hunc modum minantur: Non potest lingua mea ferre verba uxoris vetulæ, ebriæ ac fœdè agentis, eorum qui in foro exibilant, & traducunt. Nihil his verbis deformius, nihil minùs virile. Nihil muliebrius est, quàm robur in lingua habere, & in conviciis superbire, sicut qui in pompis, sicut mimi, & parasiti, & adulatores. Porci magis sunt quàm homines, quotquot in hoc gloriantur: oportebat teipsum occultare, oportebat si quis alius hæc de te testaretur, fugere testimonium quasi hostile & non virile. Tu autem conviciorum præco efficeris. At nihil ei qui malè audit, nocere poterit. Ideò obsecro, ut considerantes quanta malitia sit, quod & glorientur quidam, resipiscamus, emendemus eos qui sic insaniunt, tollamus hos è civitate cœtus, ornemus linguam nostram, liberemus eam ab omni accusatione, ut purificati à peccatis, supernam benevolentiam nobis conciliare, & Dei misericordiam mereri possimus; gratia & miserationibus Unigeniti illius, cum quo Patri simul ac Spiritui Sancto, gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA

HOMILIA XXXII.

Cap. XV. *Commorati autem sunt illic tempore non parvo cum discipulis. Et quidam descendentes à Judæa docebant fratres: Si non circumcidimini more Mosaïco, non potestis servari.*

VIDE ubique transitum ad Gentes necessarium initium à Judæis habere. Ante hoc qui objurgabatur, rationem reddebat, & ad defensionem omnia loquebatur; id quod sermonem magis gratum reddebat, quòd Judæis aversantibus venit ad Gentes. Hic iterum videns alium excessum oriri, legem statuit. Quoniam enim utpote à Deo docti Apostoli, sine discrimine omnibus loquebantur: & hi qui ex Judæis erant, ad zelum provocabantur, nec docebant simpliciter circumcisionem, sed sine illa salvari non posse. Cujus contrarium tempestivè nunc dicitur: *Si non circumcidimini, non potestis servari.* Vides continuas tentationes intus & foris? Pulchra autem dispensatione hoc agitur, Paulo præsente ut contradicat. Et non dixit Paulus: Quid? non merebor fidem à tantis signis: sed dissèrit propter illos. Et vide ut jam omnes discunt quæ contigerant inter Gentes, etiam Samaritani, & gaudent. *Itaque facta seditione, & disputatione non parva Pauli, & Barnabæ contra illos, statuerunt, ut ascenderent Paulus & Barnabas, & quidam alii ex illis ad Apostolos, & seniores in Hierusalem super hac quæstione. Illi ergo deducti ab Ecclesia pertransibant Phœnicen, & Samariam, annunciantes conversionem Gentium, & faciebant gaudium magnum fratribus omnibus. Ut autem venerunt in Hierusalem, suscepti sunt ab Ecclesia, & Apostolis, & Presbyteris, annunciantes quæcumque Deus fecit cum illis.* Vide quanta ordinatione singula facta sunt. *Surrexerunt autem quidam ex secta Pharisæorum, qui crediderant, dicentes quòd oportet circumcidere illos, & præcipere eis ut servent legem Mosi. Congregati sunt autem Apostoli, & seniores, ut dispicerent de sermone hoc. Multa autem disceptatione facta, surgens Petrus dixit ad illos: Viri fratres, vos scitis quod à diebus antiquis Deus in vobis elegit per os meum, ut audiant Gentes sermonem Evangelii, & credant.* Vide & Petrum hactenus separatum à negotio & judaizantem: *Vos scitis*, inquit. Aderant forsan ex his qui vocaverunt illum ad Cornelium olim: & ingressi cum illo, & propterea adducit illos testes. *A diebus antiquis in vobis elegit Deus.* Quid est: *In vobis*? Hoc est: In Palæstina, inquit, vel præsentibus vobis. *Per os meum.* Vide ut ostendit Deum per illum loqui, & nihil esse humanum. *Et cordium cognitor Deus testimonium dedit illis.* Ad spiritus testimonium ducit illos. *Dans illis Spiritum Sanctum, sicut & nobis.* Vide quomodo ubique æquat Gentes; *& nihil dijudicat inter nos & illos, fide purificatis cordibus illorum.* A sola fide, inquit, illa assequuti sunt, & non operibus vel circumcisione. Etenim hæc non dicunt solùm pro Gentibus rationem reddentes, sed etiam illos à lege abducere cupientes. Verùm jam hoc nondum dicunt. *Itaque nunc quid tentatis Deum, ut imponatis jugum super cervicem discipulorum, quod neque patres nostri, neque nos potuimus portare, sed per gratiam Domini nostri Jesu Christi credimus servari, quemadmodum & illi.* Quid est, *tentatis Deum?* Cur increduli estis, inquit, Deo? quid tentatis illum quasi non possit servare fide? Itaque infidelitatis est legem inferre. Posteà ostendit etiam illis non fuisse utilem, & totum in legem, non in illos rejicit, & accusationem sistit ac moratur. *Quod non potuimus nos & patres nostri portare, sed per gratiam Domini nostri Jesu Christi credimus servari, quemadmodum & illi.* Quanta virtute plena sunt verba hæc, quæ sanè Paulus multis in

Rom. 4. 2. epistola ad Romanos, dixit: hæc & hic. *Si enim Abraham*, inquit, *ex operibus justificatus est, habet gloriationem, sed non apud Deum.* Vides quod magis hæc docet, quam quod Gentes defendit? At siquidem absque occasione hæc dixisset, forsan minimè observatus fuisset. Initio autem sumpto hinc, deinde intrepidè loquitur. Et vide ubique, quod omnia quæ inimici moverunt, illis prosint. Nam si illi non movissent, hæc nequaquam dicta fuissent, neque etiam ea quæ posteà. Hinc discunt, quod si Gentes adducere voluissent, non tamen despicere debuerint. Videamus autem iterum quæ dicta sunt. *In nobis*, inquit, *elegit Deus, & à diebus antiquis.* Hoc dixit, ostendens quod olim, non nunc. Non parum autem est, quod etiam Judæi credentes hoc aversantur. Duobus quod dicit confirmatur, tempore & loco. Et quod elegit, benè, sicut in ipsis. Non dixit, voluit: sed *elegit*. Unde hoc manifestum? A spiritu, inquit.

A ΟΜΙΛΙΑ λβ΄.

Διέτριβον δὲ ἐκεῖ, φησι, χρόνον οὐκ ὀλίγον σὺν τοῖς μαθηταῖς. καί τινες κατελθόντες ἀπὸ τῆς Ἰουδαίας, ἐδίδασκον τοὺς ἀδελφούς, ὅτι ἐὰν μὴ περιτέμνησθε τῷ ἔθει Μωϋσέως, οὐ δύνασθε σωθῆναι.

ΟΡΑ πανταχοῦ τῆς εἰς τὰ ἔθνη μεταβάσεως ἀναγκαίαν τὴν ἀρχὴν ἀπ' αὐτῶν εἰσαγομένην. περὶ τούτου ἐγκαλούμενος B ἀπελογήσατο, καὶ ἐν τάξει ἀπολογίας τὸ πᾶν εἶπεν. ὅπερ εὐπαράδεκτον τὸν λόγον ἐποίει· ἐπειδὴ τῶν Ἰουδαίων ἀποστραφέντων, οὕτω ἦλθεν εἰς τὰ ἔθνη· ἐνταῦθα πάλιν ἄλλην ἀμετρίαν ὁρῶν φερομένην, οὕτως ἵστησι τὸν νόμον. ἐπειδὴ γὰρ ἅτε παρὰ τοῦ Θεοῦ διδαχθέντες ἀδιαφόρως διελέγοντο πᾶσι, τοῦτο εἰς ζῆλον ἤγαγε τοὺς ἀπὸ Ἰουδαίων. καὶ οὐκ ἐδίδασκον ἁπλῶς περιτομήν, ἀλλ' ὅτι οὐδὲ σωθῆναι δύνασθε. οὗ τοὐναντίον εὔκαιρον ἦν λέγειν, ὅτι περιτεμνόμενοι C σωθῆναι οὐ δύνασθε. ὁρᾷς συνεχεῖς τοὺς πειρασμοὺς ἔνδοθεν, ἔξωθεν; καλῶς δὲ οἰκονομεῖται τοῦτο Παύλου παρόντος, ἵνα ἀντείπῃ. καὶ οὐκ εἶπεν ὁ Παῦλος· τί γάρ; οὐκ εἰμὶ ἀξιόπιστος ἀπὸ τοσούτων σημείων; ἀλλ' ἐπείσθη δι' ἐκείνους. καὶ ὅρα, μανθάνουσι λοιπὸν πάντες τὰ εἰς τὰ ἔθνη γεγενημένα καὶ Σαμαρεῖται, καὶ ἔχαιρον. γενομένης οὖν στάσεως, καὶ ζητήσεως οὐκ ὀλίγης τῷ Παύλῳ καὶ τῷ Βαρνάβᾳ πρὸς αὐτούς, ἔταξαν ἀναβαίνειν τὸν Παῦλον καὶ Βαρνάβαν, καί τινας ἄλλους ἐξ αὐτῶν πρὸς τοὺς Ἀποστόλους, καὶ πρεσβυτέρους εἰς Ἱερουσαλὴμ D περὶ τοῦ ζητήματος τούτου. οἱ μὲν οὖν προπεμφθέντες ὑπὸ τῆς ἐκκλησίας, διήρχοντο τὴν Φοινίκην καὶ Σαμάρειαν, ἐκδιηγούμενοι τὴν ἐπιστροφὴν τῶν ἐθνῶν, καὶ ἐποίουν χαρὰν μεγάλην πᾶσι τοῖς ἀδελφοῖς. παραγενόμενοι δὲ εἰς Ἱερουσαλήμ, ἀπεδέχθησαν ὑπὸ τῆς ἐκκλησίας, καὶ τῶν ἀποστόλων, καὶ τῶν πρεσβυτέρων, ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν. ὅρα πόση οἰκονομία γίνεται. E ἐξανέστησαν δέ τινες τῶν ἀπὸ τῆς αἱρέσεως τῶν Φαρισαίων πεπιστευκότες, λέγοντες ὅτι δεῖ περιτέμνειν αὐτούς, παραγγέλλειν τε τηρεῖν τὸν νόμον Μωϋσέως. συνήχθησαν δὲ οἱ ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι ἰδεῖν περὶ τοῦ λόγου τούτου. πολλῆς δὲ συζητήσεως γενομένης, ἀναστὰς Πέτρος εἶπε πρὸς αὐτούς· ἄνδρες ἀδελφοί, ὑμεῖς ἐπίστασθε ὅτι ἀφ' ἡμερῶν ἀρχαίων ὁ Θεὸς ἐν ὑμῖν ἐξελέξατο διὰ τοῦ στόματός μου ἀκοῦσαι τὰ ἔθνη τὸν λόγον τοῦ Εὐαγγελίου, καὶ πιστεῦσαι. A ὅρα τὸν Πέτρον ἄνωθεν κεχωρισμένον τοῦ πράγματος, καὶ μέχρι τοῦ νῦν Ἰουδαΐζοντα. ὑμεῖς ἐπίστασθε, φησι. παρῆσαν ἴσως καὶ οἱ ἐγκαλέσαντες αὐτῷ ἐπὶ Κορνηλίου πάλαι, καὶ εἰσελθόντες μετ' αὐτοῦ. διὰ τοῦτο αὐτοὺς παράγει μάρτυρας. ἀφ' ἡμερῶν ἀρχαίων ἐν ὑμῖν ὁ Θεὸς ἐξελέξατο. τί ἐστιν ἐν ὑμῖν; ἤτοι ἐν Παλαιστίνῃ, φησίν, ἢ παρόντων ὑμῶν, διὰ τοῦ στόματός μου. ὅρα πῶς δείκνυσι τὸν Θεὸν δι' αὐτοῦ φθεγγόμενον, καὶ οὐδὲν ἀνθρώπινον. καὶ ὁ καρδιογνώστης Θεὸς ἐμαρ- B τύρησεν αὐτοῖς. ἐπὶ τὴν πνευματικὴν ἀνάγει μαρτυρίαν αὐτούς. δοὺς αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον, καθὼς καὶ ἡμῖν. ὅρα πῶς πανταχοῦ ἐξισοῖ τὰ ἔθνη. καὶ οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν, τῇ πίστει καθαρίσας τὰς καρδίας αὐτῶν. ἀπὸ τῆς πίστεως μόνης, φησί, τῶν αὐτῶν ἔτυχον. κἀκείνων ταῦτα ἐντρεπτικά· μᾶλλον δὲ καὶ ἐκείνους διδάξαι δύναται ὅτι πίστεως δεῖ μόνης, καὶ οὐκ ἔργων οὐδὲ περιτομῆς. οὐ γὰρ δὴ ὑπὲρ τῶν ἐθνῶν ἀπολογούμενοι ταῦτα λέγουσι C μόνον, ἀλλὰ κἀκείνους παιδεύοντες ἀποστῆναι τοῦ νόμου. ἀλλὰ τέως οὔπω λέγουσι τοῦτο. νῦν οὖν τί πειράζετε τὸν Θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὃν οὔτε οἱ πατέρες ἡμῶν οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι, ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι, καθ' ὃν τρόπον κἀκεῖνοι; τί ἐστι, πειράζετε τὸν Θεόν; τί ἀπιστεῖτε, φησι, τῷ Θεῷ; τί πειράζετε αὐτὸν ὡς οὐκ ἰσχύοντα σῶσαι τῇ πίστει; ἄρα ἀπιστίας ἐστὶ τὸ τὸν νόμον εἰσφέρειν. εἶτα δείκνυσι καὶ αὐτοὺς οὐδὲν ὠφελουμένους, καὶ τὸ πᾶν ἐπὶ τὸν νόμον στρέφει οὐκ ἐπ' D αὐτούς, καὶ τὴν κατηγορίαν ὑποτέμνεται. ὃν οὐκ ἰσχύσαμεν ἡμεῖς, καὶ οἱ πατέρες ἡμῶν, φησι, βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ Κυρίου Ἰησοῦ πιστεύομεν σωθῆναι ὃν τρόπον κἀκεῖνοι. πόσης δυνάμεως γέμει ταῦτα τὰ ῥήματα; ἅπερ ὁ Παῦλος διὰ πολλῶν ἐν τῇ πρὸς Ῥωμαίους εἶπε, ταῦτα καὶ οὗτος. εἰ γὰρ Ἀβραάμ, φησιν, ἐξ ἔργων E ἐδικαιώθη, ἔχει καύχημα, ἀλλ' οὐ πρὸς τὸν Θεόν. ὁρᾷς ὅτι τούτων μᾶλλόν ἐστι τοῦτο παιδευτικόν, ἢ ἀπολογία ἡ ὑπὲρ τῶν ἐθνῶν; ἀλλ' εἰ μὲν χωρὶς προφάσεως ταῦτα ἔλεγεν, ἴσως οὐδαμῶς ὕποπτος ἦν· ἀρχῆς δὲ λαβόμενος, ἐντεῦθεν λοιπὸν ἀδεῶς φθέγγεται. καὶ ὅρα πανταχοῦ τὰ παρὰ τῶν ἐχθρῶν μετ' αὐτῶν γινόμενα. εἰ μὴ γὰρ ἐκίνησαν ἐκεῖνοι, οὐκ ἂν ταῦτα ἐλέχθη, οὐδ' ἂν τὰ μετὰ ταῦτα. ἐντεῦθεν μανθάνουσιν ὅτι εἰ καὶ μὴ προσάγειν ἤθελον τὰ ἔθνη, οὐ δεῖ αὐτοὺς παρορᾶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἐν ὑμῖν, φησιν, ἐξελέξατο, καὶ ἀφ' ἡμερῶν ἀρχαίων. τοῦτο εἶπε, δεικνὺς ὅτι πάλαι, οὐ νῦν. οὐ μικρὸν δὲ τὸ καὶ Ἰουδαίων πιστευόντων τοῦτο ἀποστραφῆναι. δύο τούτοις ὃ λέγει πιστοῦται τῷ καιρῷ καὶ τῷ τόπῳ. καὶ τὸ ἐξελέξατο, καλῶς· ὥσπερ ἐπ' αὐτῶν οὐκ εἶπεν ἠθέλησεν, ἀλλ' ἐξελέξατο. πόθεν τοῦτο δῆλον; ἀπὸ τοῦ πνεύματος, φησιν.

δείκνυσιν οὐχὶ χάριτος ἁπλῶς, ἀλλ' ἀρετῆς μαρτύριον αὐτοῖς ὂν γινόμενον, καὶ οὐδὲν ἔλαττον αὐτοῖς παρασχόν. Οὐδὲν γὰρ, φησὶ, διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. Ἄρα καρδίας δεῖ πανταχοῦ ζητεῖν. Καὶ εὐκαίρως εἶπεν, ὁ καρδιογνώστης Θεὸς ἐμαρτύρησεν αὐτοῖς· ὥσπερ κἀκεῖ, Σὺ Κύριε καρδιογνῶστα πάντων ἀνάδειξον. Ὅτι γὰρ τοῦτο ἐβούλετο, ὅρα τί ἐπάγει· Οὐδὲν διέκρινε μεταξὺ ἡμῶν τε καὶ αὐτῶν. Ὅτε εἶπεν αὐτῶν τὸ μαρτύριον, τότε τὸ μέγα τοῦτο ἐφθέγξατο, ὅπερ Παῦλός φησιν· Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία· καὶ, Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ. Πάντων τούτων τὰ σπέρματα ἐν τῇ Πέτρου δημηγορίᾳ κεῖται. Καὶ οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ μεταξὺ ἡμῶν, τουτέστι τῶν Ἀποστόλων. Εἶτα ἵνα μὴ δόξῃ ὕβρις εἶναι τὸ οὐδὲν, ἐπάγει· Πίστει καθαρίσας τὰς καρδίας αὐτῶν· καὶ ἀναιρεῖ τὴν ὑπόνοιαν διὰ τούτου. Ἐξεκάθηρε πρότερον τὸν λόγον, καὶ τότε δείκνυσιν οὐχὶ πονηρὸν τὸν νόμον, ἀλλ' αὐτοὺς ἀσθενεῖς. Ὅρα ποῖ εἰς φοβερὸν κατέληξεν. Οὐδὲν ἀπὸ προφητῶν αὐτοῖς διαλέγεται, ἀλλ' ἀπὸ τῶν παρόντων πραγμάτων ὧν αὐτοὶ μάρτυρες ἦσαν. Εἰκότως καὶ αὐτοὶ λοιπὸν ἐπιμαρτυροῦσι, καὶ τὸν λόγον ἰσχυρότερον ποιοῦσι τοῖς ἤδη γινομένοις. Καὶ ὅρα ἐν τῇ ἐκκλησίᾳ συγχωρεῖ πρῶτον ζήτησιν γενέσθαι, καὶ τότε λέγει. Ἐπεὶ οὖν οὐκ εἶπε τῶν ἐκ περιτομῆς, ἀλλὰ τῶν ἐθνῶν· τοῦτο γὰρ κατὰ μικρὸν ἐπαγόμενον ἐγίνετο ἰσχυρότερον. Ἐκεῖνο δὲ ἦν πειράζοντος, εἰ δύναται καὶ μετὰ νόμον σῶσαι; ὅρα τί ποιεῖ· δείκνυσιν αὐτοὺς ἐν κινδύνῳ, εἴγε ὅπερ οὐκ ἴσχυσεν ὁ νόμος, ἴσχυσεν ἡ πίστις. Ταύτης δὲ ἐκπεσόντας, ἀνάγκη αὐτοὺς ἐν ἀπωλείᾳ εἶναι. Καὶ οὐκ εἶπεν, ἀπιστεῖτε, ὅπερ ἦν φορτικώτερον, καὶ ταῦτα εἰλημμένου τοῦ πράγματος. Ἐν μὲν οὖν τοῖς Ἱεροσολύμοις οὐκ ἦσαν ἐξ ἐθνῶν τινες· ἐν δὲ Ἀντιοχείᾳ, εἰκὸς εἶναι. Διὰ τοῦτο καὶ ἀπέρχονται, καὶ διατελοῦσι χρόνον οὐκ ὀλίγον ἐκεῖ. Ἐξανέστησαν δέ τινες τῶν Φαρισαίων, ἔτι νοσοῦντες τὴν φιλαρχίαν, καὶ βουλόμενοι πρὸς αὐτοὺς ἔχειν τοὺς ἐξ ἐθνῶν. Καί τοι καὶ Παῦλος νομομαθὴς ἦν, ἀλλ' οὐκ ἠνείχετο. Ἐπειδὴ δὲ ἐκεῖσε ἦλθε, καὶ τὸ δόγμα σαφέστερον ἐγένετο. Εἰ γὰρ οἱ ἐν Ἱεροσολύμοις ὄντες οὐδὲν τοιοῦτον ἐπιτάττουσι, πολλῷ μᾶλλον οὗτοι. Ὁρᾷς ὅσοι μὴ φιλαρχοῦσι χαίρουσιν ἐν τῇ πίστει; Οὐ φιλοτιμίας τινὸς τὰ διηγήματα, οὐδὲ ἐπιδείξεως ἦν, ἀλλὰ ἀπολογίας τοῦ εἰς τὰ ἔθνη κηρύγματος. Διὸ καὶ οὐδὲν λέγουσι τῶν εἰς τοὺς Ἰουδαίους συμβεβηκότων. Πολλὴ ἡ ἐπιτριβὴ τῶν Φαρισαίων, καὶ μετὰ τὴν πίστιν ἔτι νομοθετούντων, καὶ οὐ πειθομένων τοῖς Ἀποστόλοις. Ἀλλ' ὅρα ἐκείνους πῶς ἐπιεικῶς, καὶ οὐ μετ' αὐθεντίας διαλέγονται. Τὰ γὰρ τοιαῦτα ἐπιτήδεια, καὶ πέπηγε μᾶλλον. Ὁρᾷς οὐδαμοῦ λόγων ἐπίδειξιν, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων, τὴν διὰ τοῦ πνεύματος; ἀλλ' ὅμως καὶ τοιαῦτα ἔχοντες τεκμήρια ἔτι ἐπιεικῶς διαλέγονται. Καὶ ὅρα· οὐκ ἀπέρχονται διαβάλλοντες τοὺς ἐν Ἀντιοχείᾳ, ἀλλ' ἐκεῖθεν πάλιν λαμβάνουσιν ἀφορμήν. Οὕτως ἐμελέτων τὸ φιλαρχεῖν. Οἱ καὶ οὐκ εἰδότων τῶν Ἀποστόλων ἐμέμφθησαν. Ἀλλ' ὅμως οὐδὲν τούτων οὗτοι προήνεγκαν· ἀλλ' ὅτε ἀπέδειξαν, τότε σφοδρότερον γράφουσι. Μέγα γὰρ ἡ ἐπιείκεια πανταχοῦ καλόν· ἐπιείκεια λέγω, οὐ ψυχρότης· ἐπιείκεια, οὐ κολακεία. Πολὺ γὰρ ταῦτα διεστήκασιν ἀπ' ἀλλήλων. Οὐδὲν ἐτράχυνε Παῦλον· οὐδὲν Πέτρον. Ὅταν ἔχῃς ἀποδείξεις, τί ὀργίζῃ; ἢ ἵνα καὶ ταύτας ἀκύρους ποιήσῃς. Οὐκ ἔστι τὸν ὀργιζόμενον πεῖσαί ποτε. Καὶ χθὲς περὶ ὀργῆς διελέχθημεν· οὐδὲν δὲ κωλύει καὶ τήμερον. Ἡ γὰρ συνέχεια ἴσως ἐργάσεταί τι. Καὶ γὰρ φάρμακον τὸ δύναμιν ἔχον ἀφανίσαι τραῦμα, ἂν μὴ συνεχῶς ἐπιτεθῇ, τὸ πᾶν ἀπώλεσε. Μὴ δὴ νομίζετε καταγνῶσιν ὑμῶν εἶναι τὸ συνεχῶς περὶ τῶν αὐτῶν διαλέγεσθαι. Εἰ γὰρ κατεγνώκειμεν, οὐκ ἂν διελέχθημεν. Νῦν δὲ ἐλπίζοντες μεγάλα ὑμᾶς κερδαίνειν, ταῦτα φθεγγόμεθα. Εἴθε γὰρ συνεχῶς περὶ τῶν αὐτῶν ἐλεγόμεθα· εἴθε μὴ [δὲ] ἦν ἄλλη τις λόγων ὑπόθεσις ἢ φροντὶς, ἀλλ' ὅπως τῶν παθῶν κρατήσωμεν τῶν ἡμετέρων. Πῶς γὰρ οὐκ ἄτοπον, βασιλεῦσι μὲν ἐν τρυφῇ ζῶσι, καὶ τοσαύτῃ τιμῇ μηδένα εἶναι λόγον, μήτε ἐπὶ τραπέζης, μηδὲ ἐν ἄλλῳ μηδενὶ καιρῷ, ἀλλὰ πῶς μόνον τῶν πολεμίων κρατῆσαι δεῖ, καὶ διὰ τοῦτο καθ' ἑκάστην ἡμέραν συλλόγους ποιεῖν, καὶ στρατηγοὺς, καὶ στρατιώτας καταλέγειν, καὶ φόρους ἀπαιτεῖν, καὶ τῶν πολιτικῶν πραγμάτων ταύτας δύο αἰτίας ἀναγκαίας εἶναι ἡγεῖσθαι, ὅπως καὶ τῶν πολεμίων κρατήσωσι, καὶ τοὺς οἰκείους ἐν εἰρήνῃ καταστήσωσιν· ἡμᾶς δὲ μηδὲ ὄναρ θέλειν τὰ τοιαῦτα διαλέγεσθαι· ἀλλ' ὅπως μὲν ἀγρὸν ὠνησώμεθα, καὶ ὅπως ἀνδράποδα, καὶ ὅπως πλείω τὴν οὐσίαν ποιήσωμεν, καθ' ἑκάστην ἡμέραν διαλεγόμενοι οὐ λαμβανόμεθα κόρον· περὶ δὲ τῶν ἐν ἡμῖν πραγμάτων, καὶ τῶν ὄντως ἡμῶν, οὔτε αὐτοὶ λέγειν βουλόμεθα, οὐδὲ ἑτέρων λεγόντων ἀνεχόμεθα ἀκούειν; περὶ τίνος οὖν, εἰπέ μοι, διαλέγεσθαι βούλει; περὶ ἀρίστου; ἀλλὰ ταῦτα μαγείρων τὰ ῥήματα. Ἀλλὰ περὶ χρημάτων; ἀλλὰ ταῦτα καπήλων καὶ ἐμπόρων. Ἀλλὰ περὶ κτισμάτων;

A Deinde ostendit non gratiæ simpliciter, sed virtutis testimonium hoc fieri, & nihil minus illis exhibitum. *Nihil enim dijudicavit inter nos & illos.* Igitur corda omnino oportet inquirere. Et opportune dixit: Cordium cognitor Deus, testificatus est illis, sicut etiam illic: *Tu Domine cordium cognitor omnium ostende.* (Supr 1,24) Nam quod hoc voluerit, vide quid dicat: *Nihil discrevit inter nos & illos.* Quando dixit illorum testimonium, tunc magnum hoc locutus est, id B quod Paulus inquit: *Neque circumcisio aliquid operatur, neque præputium.* (1 Cor.7,19) Et, *ut duos condat in seipso.* (Eph. 2,14) Omnium horum semina in concione Petri sita sunt. Et non dixit: Inter circumcisos, sed inter nos, hoc est Apostolos. Deinde ne videatur contumelia ex nihilo esse: addit: *Fide purificatis cordibus illorum.* Et per hoc suspicionem aufert. Expurgavit priorem sermonem, & tunc ostendit non malam legem, sed illos infirmos. Vide quàm terribilis finis, ni- C hil ex Prophetis narrat illis, sed ex rebus præsentibus, quarum ipsi testes erant. Meritò & illi posthac testificantur, & sermonem roborant his jam factis. Et vide, in Ecclesia permittit primum inquisitionem, & disputationem fieri, & tunc ipse dicit: Igitur quoniam non memorat circumcisos, sed Gentes. Hoc enim quod paulò antè inducitur, fiebat firmius: fuisset autem tentantis dicere, num possit etiam post legem servare? Vide quid D facit, ostendit illos esse in periculo, quandoquidem id quod non poterat lex, potuit fides: quod si ab hac exciderint, necesse est illos interire. Et non dixit: Increduli estis, id quod fuisset molestius, præsertim causa posita. Itaque in Hierosolymis nulli quidem erant ex Gentibus, sed verisimile est fuisse Antiochiæ. Quapropter veniunt, & commorantur illic non parvo tempore. Surrexerunt autem quidam Pharisæorum, adhuc ambitionis morbo laborantes, E volentes sibi asciscere eos qui ex Gentibus. Non patiebatur autem hoc Paulus. Postquam autem illuc venit, dogma evidentius factum est. Si enim hi qui in Hierosolymis sunt, nihil tale imperant, multò magis hi. Vides? Quotquot ambitione non tenentur, gaudent in fide. Itaque non narrabantur ea quæ ad ambitionem, vel ad ostentationem pertinebant, sed reddebatur ratio prædicationis erga Gentes. Ideò etiam nihil dicunt eorum quæ evenerant Judæis. A Magna pertinacia Pharisæorum, etiam post fidem adhuc legem tuentur, & non credunt Apostolis. Sed vide quàm mansuetè, & non cum authoritate loquuntur. Namque talia amabilia, & magis animo figuntur. Vides nusquam sermonem, sed operum & spiritus ostentationem. Attamen etiam tantis muniti rationibus adhuc mansuetè loquuntur. Et vide, non veniunt accusaturi eos qui Antiochiæ, sed illinc iterum sumunt occasionem. Sic meditabantur quidam præ- B esse aliis, qui & Apostolis nescientibus reprehensi sunt. Attamen nihil horum isti prætulerunt, at ubi satis probarunt, tunc vehementius scribunt. Etenim æquitas magnum ubique bonum; Æquitas dico, non frigiditas, æquitas non adulatio: Multum enim hæc inter se distant. Nihil exasperabat Paulum, nihil Petrum. Quando habes certa testimonia, quid irasceris? num ut etiam illa infirma reddas? Impossibile est, ut iracundo persuadeatur. Etiam C heri de ira disseruimus, nihil autem prohibet quin & hodie: proficit enim plurimum continuatio. Etenim pharmacum quod vim habet mederi vulnus, nisi continuò imponatur, totum perit. Ne oro putetis quod desperem de vobis, quia subinde de iisdem rebus dissero: nam si desperaremus, planè nihil loqueremur: nunc autem quia spes est quòd multum lucri faciatis, hæc loquimur. D Utinam perpetuò de iisdem loquamur, utinam non sit alia quædam occasio vel cura, sed ut affectionibus nostris imperemus. Quomodo enim non absurdum? Regibus quidem in deliciis viventibus ac tanto honore, nullum alium esse sermonem, vel in mensa, vel in aliquo alio tempore, quàm quomodo hostibus queat prævalere, & propter hoc quotidie conventus facit, & capitaneos & milites deligit, ac tributa petit. Etiam in civilibus causis opi- E nor hasce duas rationes necessarias, ut & hostibus imperent, & suos in pace contineant. Nos autem neque somniamus velle talia dicere. Sed ut servos quidem emamus ac agros, ut facultates amplietmus, quotidie loquendo nulla satietate oneramur. De rebus autem nostris, & verè nostris, neque ipsi loqui volumus, neque alios loquentes sustinemus. De quo igitur, dic mihi, loqui vis? De prandio? sed hæc coquorum sunt verba: De pecuniis? sed hæc mercatorum & institorum sunt. De structuris?

sed hæc architectorum sunt & ædificantium. De terra? sed hæc agricolarum. Nostrum autem nullum est opus; quàm ut opes animæ acquiramus. Non igitur super illis nobis perpetuò sermo esset? Quare nullus accusat medicos semper de re medica disserentes, neque alios opifices de sua arte loquentes. Quòd si sic nostras affectiones moderaremur, ne admonitione opus esset: meritò quis nobis objiceret ostentationem: imò neque sic: nam etiamsi emendatæ essent, etiam sic colloquendum, ne succumbamus: quoniam & medici non ægrotis solùm, sed & sanis loquuntur, & sunt eis libri super ea re, ut & morbos curent, & à morbis præservent. Et ita licet sani simus, neque sic desistendum, ut etiam conservemus sanitatem. Quando autem & ægrotamus, duplex sermonum necessitas: una quidem ut liberemur à morbo, alia autem ne libertati recidamus. Itaque curativam methodum proponamus infirma curaturi: Quomodo igitur huic affectioni malæ quis medebitur, quomodo acutam hanc comprimet febrem? Videamus unde nata est, & causam tollamus: unde nasci consuevit? Ex arrogantia & magna superbia. Causam igitur hanc tollamus, & simul auferetur etiam morbus. Quid autem superbia? unde nascitur? fortasse iterum ad aliud initium ire conandum. Igitur quam sermo dabit eam viam ibimus, ut radicitus malum evellatur. Unde igitur arrogantia? Ex eo quòd non spectamus quæ nostra sunt, sed de natura quidem terræ, quamvis non simus agricolæ, curiosè inquirimus, & de natura arborum, & de natura auri, quamvis non simus nogociatores: & de vestibus, & de domibus, de nobis autem, & de nostra natura nunquam sustinemus hoc fieri. Et quis ignorat, inquit, suam naturam? Multi, fortassis omnes: certè pauci. Et si vultis hinc faciamus argumentum: dic oro mihi: quidnam est homo si quis roget, qua re differt ab irrationabilibus quomodo cognatus est his qui in cœlis sunt? Quid potest ex homine fieri? Num poteris rectè respondere? Equidem non opinor: quemadmodum enim licet loqui de materia quadam, ita & de homine. Materia quidem est homo: fieri autem potest & Angelus, & bestia. Igitur non videbitur extraneus esse hic sermo? quamvis & sæpe illum in
Malac.2,7. scripturis audistis. Nam de quibusdam hominibus dictum
Ibid.3,1. est: *Angelus Domini est, & ex labiis ejus requirunt judicium.*
Matt 12,34 Et iterum: *Emittam Angelum meum ante faciem tuam.* De quibusdam autem, serpentes, *progenies viperarum.* Jam sanè apud eos qui totum depingunt, potest fieri etiam homo Deus.
Ps. 81,6. Quid dico Angelus? & *Dei filius*: *Ego enim dixi*, inquit, *dii estis & filii sublimis omnes.* At hoc certè majus, quia ut fiat
Joh. 1,6. & Deus & Angelus, & Dei filius, potestatem ipse accepit, & est homo angeli conditor. Forsan vos turbavit
Luc.20,36. verbum, sed audite Christum dicentem: *In resurrectione neque nubent, neque nuptui tradentur, sed sunt sicut*
Matt.19,13. *Angeli*: & iterum: *Qui potest capere capiat.* Attamen si virtus Angelos facit, utique Angelos possumus facere: etsi non natura, certè proposito & electione: Nam hoc quidem absente nulla utilitas est Angeli esse naturam, id quod diabolus indicat, qui anteà Angelus erat. Hoc autem præsente nullum damnum est esse hominem natura, ut ex Joanne & Helia perspicuum est, qui in cœlum ascendit, & omnes abituri sunt illuc. Nam hi quidem licèt corporei, non prohibiti sunt inhabitare cœlum: illi autem quum incorporei essent, non potuerunt manere in cœlo. Nullus igitur doleat, nullus indignetur de natura quasi impediat, sed de sua electione ac voluntate. Leo ille
1.Pet.5,8. factus est ex incorporeo: *Ecce enim*, inquit, *inimicus vester sicut leo rugiens obambulat, quærens quem devoret.* Nos Angeli è corporibus. Quemadmodum si quis inventa preciosa materia, quum non sit artifex, contempta illa magnum damnum accipiat, ut pote margarito vel conchyliis, vel alio tali quopiam reperto & neglecto. Sic & nos si ignoraverimus nostram naturam, ipsam valdè contemnemus: si autem sciverimus, multum adhibebimus studium, & maxima lucra faciemus. Ex hac regium fit indumentum, ex hac domus fit regia, ex hac membra fiunt regia, omnia regia. Ne abutamur in damnum nostrum natura nostra. Parumper ab Angelis minores fecit nos, morte inquam, sed & hanc accepimus brevissimam. Nihil igitur prohibet nos Angelos fieri statim, si voluerimus. Velimus igitur, velimus, & si disposuerimus

A ἀλλὰ ταῦτα τεκτόνων καὶ οἰκοδόμων, ἀλλὰ περὶ γῆς; ἀλλὰ ταῦτα γεωργῶν. ἡμῶν δὲ οὐδὲν ἕτερον ἐστιν ἔργον, ἀλλ᾽ ἢ πῶς πλοῦτον περιποιησόμεθα τῇ ψυχῇ. μὴ τοίνυν περισσὸς ὁ λόγος γινέσθω. διὰ τί γὰρ μηδεὶς ἐγκαλεῖ τῷ ἰατρῷ περὶ ἰατρικῆς ἀεὶ διαλεγομένῳ, μηδὲ τοῖς ἄλλοις τοῖς δημιουργοῖς περὶ τῆς οἰκείας τεχνῶν λέγουσιν; εἰ μὲν γὰρ οὕτως ἡμῖν ἦν κατωρθωμένα τὰ τῶν παθῶν, ὡς μὴ δεῖσθαι ὑπομνήσεως, εἰκότως ἄν τις ἡμῖν ἐνεκάλεσε φιλοτιμίαν καὶ ἐπίδειξιν·
B μᾶλλον δὲ οὐδὲ οὕτως. εἰ γὰρ καὶ κατώρθωτο, καὶ οὕτως ἐξῆν διαλέγεσθαι, ὥστε μὴ ἀναπεσεῖν. ἐπεὶ καὶ ἰατροὶ, οὐχὶ νοσοῦσιν, ἀλλὰ καὶ ὑγιαίνουσι διαλέγονται, καὶ ἔστιν αὐτοῖς βιβλία τοιαύτης πραγματείας· τοῖς μὲν ἵνα τῆς νόσου ἀπαλλάττωσι· τοῖς δὲ, ἵνα τὴν ὑγείαν διαφυλάττωσιν. ὥστε εἰ καὶ ὑγιαίνομεν, οὐδὲ οὕτως ἀποστῆναι ἐχρῆν, ἀλλὰ πάντα ποιεῖν ὥστε διατηρηθῆναι τὴν ὑγείαν ἡμῶν. ὅταν δὲ καὶ νοσῶμεν, διπλῆ τῶν λόγων ἡ ἀνάγκη· μία μὲν, ἀπαλλαγῆναι τῆς νόσου. δευτέρα δὲ,
C ἀπαλλαγέντας μὴ περιπεσεῖν πάλιν. οὐκοῦν θεραπευτικῇ μεθόδῳ διαλεγόμεθα νῦν, οὐχ ὑγιεινῇ πραγματείᾳ. πῶς οὖν ἄν τις τὸ κακὸν τοῦτο ἐκκόψειε πάθος; πῶς τὸν σφοδρὸν ἀποστείλειε πυρετόν; ἴδωμεν πόθεν ἐτέχθη, καὶ τὴν αἰτίαν ἀνέλωμεν. πόθεν τίκτεσθαι εἴωθεν; ἐξ ἀλαζονείας καὶ ἀπονοίας πολλῆς. ταύτην οὖν ἀνέλωμεν τὴν αἰτίαν, καὶ συναναιρεῖται καὶ τὸ νόσημα. τί δὲ ἡ ἀλαζονεία; πόθεν τίκτεται; τάχα γὰρ πάλιν ἐφ᾽ ἑτέραν ἀρχὴν κινδυνεύομεν ἀνελθεῖν.
D οὐκοῦν ἣν ἂν ὁ λόγος ὑφηγήσηται, ταύτην βαδίζωμεν, ὅπως κάτωθεν καὶ πρόῤῥιζον ἀνασπασθῇ τὸ κακόν. πόθεν οὖν ἡ ἀλαζονεία; ἐκ τοῦ μὴ ἐπισκέπτεσθαι τὰ ἡμέτερα· ἀλλ᾽ ὑπὲρ μὲν φύσεως γῆς, καίτοι οὐκ ὄντας γεωργοὺς πολυπραγμονεῖν, καὶ ὑπὲρ φύσεως φυτῶν, καὶ ὑπὲρ φύσεως χρυσοῦ, καίτοι οὐκ ὄντας ἐμπόρους, καὶ ὑπὲρ ἱματίων, καὶ ὑπὲρ πάντων. ὑπὲρ δὲ ἡμῶν καὶ τῆς ἡμετέρας φύσεως, μηδέποτε ἀνέχεσθαι τοῦτο ποιεῖν. καὶ τίς ἀγνοεῖ, φησι, τὴν οἰκείαν φύσιν; πολλοὶ· τάχα δὲ πάντες, πλὴν ὀλίγων. καὶ εἰ βούλεσθε, ἐντεῦθεν ποιή-
E σω τὸν ἔλεγχον· εἰπὲ γάρ μοι· τί ποτέ ἐστιν ἄνθρωπος; εἴ τις ἐρωτηθείη, τίνι τῶν ἀλόγων διέστηκε; πῶς συγγενής ἐστι τῶν ἐν οὐρανῷ; τί δύναται ἐξ ἀνθρώπου γενέσθαι; μὴ δυνήσεται ἐξ εὐθείας ἀποκριθῆναι; οὐκ ἔγωγε οἶμαι. καθάπερ γὰρ ἐπὶ ὕλης τινὸς, οὕτω καὶ ἐπὶ ἀνθρώπου, τὸ μὲν ὑποκείμενον, ἄνθρωπος; δύναται δὲ γενέσθαι καὶ ἄγγελος, καὶ θηρίον. ἆρα οὐ δοκεῖ ξένος εἶναι ὁ λόγος οὗτος; καίτοι πολλάκις αὐτὸν ἐν ταῖς γραφαῖς ἠκούσατε. περὶ μὲν γάρ τινων ἀνθρώπων ἔλεγεν,
A ὅτι ἄγγελος Κυρίου ἐστί· καὶ, ἐκ χειλέων αὐτοῦ, φησι, ζητήσουσι κρίσιν· καὶ πάλιν ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου· περὶ δέ τινων, ὄφεις, γεννήματα ἐχιδνῶν. λοιπὸν δὴ παρὰ τοὺς γραφομένους τὸ πᾶν δύναται γενέσθαι, καὶ Θεὸς, καὶ ἄνθρωπος. τί λέγω ἄγγελος; καὶ Θεοῦ τέκνον. ἐγὼ γὰρ εἶπα, φησι, θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες. καὶ τὸ δὴ μεῖζον ὅτι τοῦ γενέσθαι, καὶ Θεὸς, καὶ Ἄγγελος, καὶ Θεοῦ τέκνον, τὴν ἐξουσίαν αὐτὸς ἐγκεχείρισται, καὶ ἔστιν ἄνθρωπος ἀγγέλου δημιουργός. τάχα ὑ-
B μᾶς ἐθορύβησε τὸ ῥῆμα; ἀλλ᾽ ἀκούετε τοῦ Χριστοῦ λέγοντος· ἐν τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται, ἀλλ᾽ εἰσὶν ὡς ἄγγελοι· καὶ πάλιν, ὁ δυνάμενος χωρεῖν χωρείτω. ὅλως δὲ ἡ ἀρετὴ ἀγγέλους ποιεῖ. ταύτης δὲ ἡμεῖς κύριοι. ἄρα ἀγγέλους δυνάμεθα δημιουργεῖν, κἂν μὴ τῇ φύσει, ἀλλὰ τῇ προαιρέσει. ταύτης μὲν γὰρ ἀπούσης, οὐδὲν ὄφελος ἄγγελον εἶναι τὴν φύσιν. καὶ δηλοῖ ὁ διάβολος τοῦτο ὢν πρὸ τούτου.
C ταύτης δὲ παρούσης, οὐδὲν βλάβος ἀνθρώπινον εἶναι τὴν φύσιν, καὶ δηλοῖ Ἰωάννης ἄνθρωπος ὢν, καὶ Ἠλίας εἰς τὸν οὐρανὸν ἀνελθὼν, καὶ πάντες οἱ μέλλοντες ἀπιέναι ἐκεῖ. οὗτοι μὲν γὰρ μετὰ σώματος οὐκ ἐκωλύθησαν τὸν οὐρανὸν οἰκεῖν· ἐκεῖνοι δὲ ἀσώματοι ὄντες, οὐκ ἠδυνήθησαν μεῖναι ἐν οὐρανῷ. μηδεὶς τοίνυν ἀλγείτω πρὸς τὴν φύσιν ὡς ἐμποδίζουσαν, ἀλλὰ πρὸς τὴν προαίρεσιν. λέων ἐκεῖνος ἐγένετο ἐξ ἀσωμάτου· ἰδοὺ γάρ, φησι, ὁ ἐχθρὸς ἡμῶν ὡς λέων ὠρυόμενος περιέρ-
D χεται ζητῶν τίνα καταπίῃ· ἡμεῖς ἄγγελοι ἀπὸ σωμάτων. καθάπερ γὰρ εἴ τις ὕλην εὑρὼν πολύτιμον, οὐκ ὢν τεχνίτης, ἂν καταφρονήσῃ ταύτης, μεγάλως ζημιωθήσεται, οἷον ἢ μαργαρίτας, ἢ κόχλον, ἢ ἕτερόν τι τοιοῦτον· οὕτω δὴ καὶ ἡμεῖς ἐὰν ἀγνοήσωμεν τὴν ἡμετέραν φύσιν, σφόδρα αὐτῆς καταφρονήσομεν· ἂν δὲ γνῶμεν, πολλὴν ἐπιδειξόμεθα σπουδὴν, καὶ τὰ μέγιστα καρπωσόμεθα. ἀπὸ γὰρ ταύτης ἱμάτιον γίνεται βασιλικόν· ἀπὸ ταύτης οἰκία γίνεται βασιλική· ἀπὸ ταύ-
E της μέλη γίνεται βασιλικά. μὴ δὴ καταχρησώμεθα εἰς βλάβην τῇ οἰκείᾳ φύσει· βραχύ τι παρ᾽ ἀγγέλους ἡμᾶς ἠλάττωσε· τῷ θανάτῳ λέγω· ἀλλὰ καὶ τοῦτο ἀπειλήφαμεν τὸ βραχύ. οὐδὲν οὖν τὸ κωλῦον ἡμᾶς ἀγγέλους γενέσθαι ἐγγὺς, ἂν θέλωμεν. θελήσωμεν τοίνυν, θελήσωμεν, καὶ ἐξασκήσαντες

ἑαυτοὺς

ἑαυτοὺς δόξαν ἀναπέμψωμεν τῷ Πατρὶ καὶ τῷ υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ λγ'.

Μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, ἀπεκρίθη Ἰάκωβος λέγων· ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ὁ Θεὸς, ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν.

Ἐπίσκοπος ἦν τῆς ἐν Ἱεροσολύμοις ἐκκλησίας οὗτος, διὸ καὶ ὕστερος λέγει· καὶ τὸ, ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα, ἐνταῦθα πληροῦται. ὅρα δὲ καὶ τούτου τὴν σύνεσιν, ἀπό τε νέων, ἀπό τε παλαιῶν προφητῶν βεβαιουμένου τὸν λόγον. οὐ γὰρ εἶχέ τι πρᾶγμα δεῖξαι καθάπερ Πέτρος, καθάπερ Παῦλος. καὶ καλῶς οἰκονομεῖται δι' ἐκείνων ταῦτα γενέσθαι τῶν οὐ μελλόντων ἐπιχωριάζειν τοῖς Ἱεροσολύμοις, τοῦτον δὲ τὸν διδάσκοντα αὐτοὺς μὴ εἶναι ὑπεύθυνον, μηδὲ μηδὲν ἀποσχίζεσθαι τῆς γνώμης. καὶ τί φησιν; ἄνδρες ἀδελφοὶ ἀκούσατέ μου. Συμεὼν ἐξηγήσατο. τινὲς τοῦτον εἶναί φασι τὸν ὑπὸ τοῦ Λουκᾶ εἰρημένον· ἄλλοι δὲ ἕτερον ὁμώνυμον τούτῳ. εἴτε δὲ οὗτος, εἴτε ἐκεῖνός ἐστιν, οὐκ ἀκριβολογεῖσθαι χρή· ἀλλὰ μόνον ὡς ἀναγκαῖα δέχεσθαι ἃ ἐξηγήσατο. ἄνδρες, φησὶν, ἀδελφοί. πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρὸς, καὶ τελειοτέρα αὕτη ἡ δημηγορία, ὅπου γε καὶ τέλος ἐπιτίθησι τοῖς πράγμασι. καθὼς πρῶτον ὁ Θεὸς ἐπεσκέψατο λαβεῖν ἐξ ἐθνῶν λαὸν τῷ ὀνόματι αὐτοῦ. καὶ τούτῳ συμφωνοῦσιν οἱ λόγοι τῶν προφητῶν. ἐπειδὴ ἐκεῖνος ἀπὸ μὲν τοῦ χρόνου δῆλος ἦν, τὸ δὲ ἀξιόπιστον οὐκ εἶχε διὰ τὸ μὴ παλαιὸς εἶναι, ἐπάγει καὶ παλαιὰν προφητείαν λέγων· καθὼς γέγραπται, μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν, καὶ τὰ κατεσκαμμένα αὐτῆς ἀνοικοδομήσω. καὶ ἀνορθώσω αὐτὴν, ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον, καὶ πάντα τὰ ἔθνη ἐφ' οὓς ἐπικέκληται τὸ ὄνομά μου ἐπ' αὐτοὺς, λέγει Κύριος ὁ ποιῶν ταῦτα πάντα. τί οὖν; ἠγέρθη τὰ Ἱεροσόλυμα, ἀλλ' οὐχὶ κατεσκάφη μᾶλλον; ἀλλ' οὐ περὶ τούτων αὐτῷ εἴρηται ταῦτα. καὶ ποίαν, φησὶ, λέγει ἔγερσιν; τὴν μετὰ Βαβυλῶνα. γνωστὰ ἀπ' αἰῶνός ἐστι τῷ Θεῷ πάντα τὰ ἔργα αὐτοῦ. εἶτα τὸ ἀξιόπιστον τοῦ λόγου, ὅτι οὐδὲν καινὸν, ἀλλ' ἐξ ἀρχῆς ταῦτα προετετύπωτο. καὶ τὸ ἀξίωμα πάλιν. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ τῶν ἐθνῶν ἀποστρέφουσιν ἐπὶ τὸν Θεὸν, ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. Μωσῆς γὰρ ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας αὐτὸν ἔχει ἐν ταῖς συναγωγαῖς κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ἐπειδὴ οὐκ ἦσαν ἀκηκοότες τοῦ νόμου, εἰκότως ταῦτα ἐπιτάττει ἀπὸ τοῦ νόμου. ἵνα μὴ δόξῃ ἀκυροῦν αὐτόν. καὶ ὅρα πῶς οὐκ ἀφίησιν αὐτοὺς ἀπὸ τοῦ νόμου ταῦτα ἀκοῦσαι, ἀλλὰ παρ' ἑαυτοῦ εἰπών· κρίνω ἐγὼ, τουτέστιν, ἐξ ἐμαυτοῦ, οὐχὶ παρὰ τοῦ νόμου ἀκούσας. εἶτα λοιπὸν κοινὸν τὸ δόγμα γίνεται. τότε ἔδοξε τοῖς Ἀποστόλοις, καὶ πρεσβυτέροις σὺν ὅλῃ τῇ ἐκκλησίᾳ ἐκλεξαμένους ἄνδρας ἐξ αὐτῶν πέμψαι εἰς Ἀντιόχειαν σὺν Παύλῳ καὶ Βαρνάβᾳ, Ἰούδαν τὸν ἐπικαλούμενον Βαρσαβᾶν καὶ Σίλαν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς, γράψαντες διὰ χειρὸς αὐτῶν τάδε. ὅρα αὐτοὺς οὐχ ἁπλῶς ταῦτα νομοθετοῦντας· ὥστε δὲ ἀξιόπιστον γενέσθαι τὸ δόγμα, πέμπουσι τοὺς παρ' αὐτῶν, καὶ ἵνα ἀνύποπτοι ὦσιν οἱ περὶ Παῦλον λοιπόν. καὶ ὅρα πῶς φορτικῶς ἐκείνους διαβάλλοντες ἐπιστέλλουσιν. οἱ Ἀπόστολοι, καὶ οἱ πρεσβύτεροι, καὶ οἱ ἀδελφοὶ, τοῖς κατὰ Ἀντιόχειαν, καὶ Συρίαν, καὶ Κιλικίαν ἀδελφοῖς τοῖς ἐξ ἐθνῶν χαίρειν. ἐπειδὴ ἠκούσαμεν ὅτι τινὲς ἐξ ἡμῶν ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες τὰς ψυχὰς ὑμῶν, λέγοντες περιτέμνεσθαι αὐτοὺς τὰ τέκνα, καὶ τηρεῖν τὸν νόμον οἷς οὐ διεστειλάμεθα. ἀρκοῦσα αὕτη κατηγορία τῆς ἐκείνων προπετείας, καὶ ἀξία τῆς τῶν Ἀποστόλων ἐπιεικείας οὐδὲν μακρότερον εἰρηκότων. ἔδοξεν ἡμῖν γενομένοις ὁμοθυμαδὸν, ἐκλεξαμένους ἄνδρας πέμψαι πρὸς ὑμᾶς. σὺν τοῖς ἀγαπητοῖς ἡμῶν Βαρνάβᾳ καὶ Παύλῳ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ὥστε δεῖξαι, ὅτι οὐ τυραννικῶς, ὅτι πᾶσι ταῦτα δοκεῖ, ὅτι μετὰ ἐπισκέψεως ταῦτα γράφουσιν, ἐκλεξάμενοι, εἶπεν, ἄνδρας ἐξ ἡμῶν. εἶτα ἵνα μὴ δόξῃ διαβολὴ εἶναι Παύλου, καὶ Βαρνάβα τὸ ἐκείνους ἀποστεῖλαι, ὅρα τὰ ἐγκώμια αὐτῶν· ἀνθρώποις, φησὶ, παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἀπεστάλκαμεν οὖν Ἰούδαν καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδοξε γὰρ τῷ ἁγίῳ πνεύματι, καὶ ἡμῖν. ἄρα οὐδὲν ἀνθρώπινον, εἰ πνεύματι ταῦτα δοκεῖ. μηδὲν πλέον ἐπιτίθεσθαι ὑμῖν βάρος. πάλιν βάρος τὸν νόμον καλεῖ. εἶτα καὶ ὑπὲρ αὐτῶν τούτων ἀπολογεῖται. πλὴν τῶν ἐπάναγκες τούτων, ἀπέχεσθαι εἰδωλοθύτων, καὶ πνικτοῦ, καὶ πορνείας, καὶ αἵματος ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, εὖ πράξετε. ταῦτα ἡ καινὴ οὐ διετάττετο· οὐδαμοῦ γὰρ περὶ τούτων διελέχθη ὁ Χριστός· ἀλλ' ἀπὸ τοῦ νόμου ταῦτα λαμβάνουσι. καὶ πνικτοῦ,

nosipsos, gloriam referamus Deo Patri, & Filio, & Spiritui sancto, nunc & semper in secula seculorum, Amen.

HOMILIA XXXIII.

Postquam autem illi siluerunt, respondit Jacobus dicens: Viri fratres, audite me: Simeon narravit quomodo primùm Deus visitavit, ut sumeret ex Gentibus populum in nomine suo, & huic consonant sermones Prophetarum.

HIc erat Episcopus Ecclesiæ Hierosolymitanæ. Et impletur nunc quod *in ore duùm vel trium testium consistat omne verbum.* Deut. 17. 6. Vide autem & hujus sapientiam, ex Prophetis novis veteribusque confirmantis sermonem. Non enim poterat ostendere aliquid, sicut Petrus vel Paulus. Et benè constitutum est, ut per illos hæc facta sint, qui non habitaturi in Hierosolymis: hic autem doceat, ne esset reus, néve sententia ejus confutetur. Et quid inquit? *Viri fratres, audite me, Simeon narravit.* Quidam hunc esse dicunt illum à Luca dictum, alii autem alium ejusdem nominis: sive autem hic, sive alius est, non opus est sermone exquisitiore, sed solum quod susceptu necessaria quæ narravit: *viri,* inquit, *fratres.* Magna æquitas viri, & perfectior ista concio, ubi scilicet & finem imponit operibus. *Quemadmodum primum visitaverit Deus, ut assumat ex Gentibus populum nomine illius. Et huic consonant omnes sermones Prophetarum.* Quoniam ille ob tempus quidem notus erat, sed non tam insignitæ fidei, eò quod non erat antiquus: addit etiam veterem Prophetam dicens: *Sicut scriptum est: Post hac convertam, & reædificabo tabernaculum David quod cecidit, & diruta illius reædificabo, & corrigam illud, ut hi qui ex hominibus relicti, requirant Dominum, & omnes Gentes super quas invocatum est nomen meum, dicit Dominus, qui facit hæc omnia.* Quid igitur? suscitata est Hierusalem, annon magis diruta est? Sed non de hac ab illo dicta sunt hæc. Et quàm dicit suscitationem? Eam quæ est post Babylonem. *Nota à seculo sunt Deo omnia opera ejus.* Posteà ponitur quàm dignus fide sermo, quia nihil novum, sed ab antiquo hæc præfigurata fuerunt. Et iterum sententia: *Propter quod ego judico non esse obturbandum illis qui ex Gentibus convertuntur ad Dominum, sed scribendum illis, ut abstineant ab inquinamentis simulachrorum, & fornicatione, & suffocato, & sanguine: Moses enim ab ætatibus antiquis in singulis civitatibus habet qui ipsum prædicent in Synagogis, ubi per omne Sabbatum legitur.* Quoniam non audierant legem, meritò hæc imperat de lege, ne videatur abrogare illam. Et vide quomodo non abducit illos à lege, hæc audiendo, *Censeo* inquit, non ab auditu legis. Posteà commune dogma fit. *Tunc visum est Apostolis & Presbyteris cum tota Ecclesia, electos viros ex ipsis mittere Antiochiam cum Paulo & Barnaba, Judam qui agnominabatur Barsabas, & Silam, & viros primarios inter fratres, quum scripsissent per manum eorum in hunc modum.* Vide illos non simpliciter legem ferre, sed ita ut dogma fiat fide dignum, mittunt hos à se. Et ne Paulus ultra suspectus esset. Et vide quam graviter accusantes illos, scribant: *Apostoli & Presbyteri & fratres, his qui Antiochia & in Syria, & in Cilicia fratribus, qui ex Gentibus, Salutem. Quoniam audivimus quod nonnulli ex nostris turbarunt vos sermonibus labefactantes animas vestras, dicentes, ut circumcidamini, & servetis legem quibus non præcepimus.* Sufficiens erat accusatio temeritatis illorum, & digna Apostolis nihil majus ultrà dicentibus: *Visum est nobis congregatis unanimiter, electos viros mittere ad vos, cum dilectis nostris Barnaba & Paulo, hominibus qui tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi.* Atque ita ostenditur quod non violentè agat, quia omnibus hæc placent: nam cum consideratione hæc scribunt. *Electos,* inquit, *viros ex nobis,* ne videantur esse ex subornatione Pauli & Barnabæ missi. Vides laudes illorum. *Hominibus,* inquit, *qui & tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi. Misimus igitur Silam & Judam, & illos qui per sermonem hæc annunciabunt. Visum est Spiritui Sancto & nobis.* Igitur non humanum, si spiritui hæc placent. *Ut nihil amplius oneris imponeremus vobis.* Iterum *onus* legem vocat. Deinde etiam de illis rationem reddit. *Nisi necessaria hæc, abstinere ab idolothytis, & suffocatis, & fornicatione, & sanguine, à quibus si conservaveritis vosipsos, bene facietis.* Hæc nova lex non præcipit. Nusquam enim de his disserit Christus, sed à lege hæc sumunt. *Et suffocato* inquit.

inquit. Hic cædem cohibet. *Itaque dimissi venerunt Antiochiam, & congregata multitudine reddiderunt epistolam. Qui cum legissent, gavisi sunt super consolatione.* Posteà manifestans quod & illi eos hortati sunt, addit: *Et Judas & Silas etiam ipsi Prophetæ cùm essent, sermone copioso hortati sunt fratres & confirmarunt, commorantesque illic ad tempus, dimissi sunt cum pace à fratribus ad Apostolos.* Non jam seditiones & pugnæ: ideò & *confirmatis illis abierunt cum pace.* Contentiosius autem erga Paulum erant affecti. Ultrà enim Paulus docet, ita nullus fastus erat in Ecclesia, sed benè composita omnia. Et vide, post Petrum Paulus loquitur, & nullus os ejus obturat. Jacobus fert, & non resilit, illi erat principatus concreditus. Nihil Joannes hic, nihil alii Apostoli loquuntur, sed silent, & non indignantur, adeò pura à vana gloria erat illorum anima. Sed videamus iterum quæ dicta sunt: *Postquam autem siluerunt illi,* inquit, *respondit Jacobus dicens: Simeon narravit quemadmodum primum visitaverit Deus.* Ab initio vehementius quidem Petrus loquebatur, hic autem mitius. Ita semper faciendum est his qui in magna potestate sunt, ut onerosa illa aliis permittant: ipsi autem mansuetius agant. Benè dixit: *Simeon narravit,* quasi & ille aliorum dicat sententiam: vide ut hoc ostendit esse antiquum. *Ut assumat ex Gentibus populum,* inquit, *nomini illius.* Non simpliciter electus est, sed *nomini illius,* hoc est, gloriæ illius. Non confunditur nomen illius, dum assumptionem Gentium, gloriam vocat. Hæc enim major gloria. Hic aliquid etiam magnum insinuatur. Quale hoc? quia dicit, *ante omnes hi. Post hæc convertam, & reædificabo,* inquit, *tabernaculum David quod cecidit.* Si quis diligenter considerarit, nunc regnum Davidis stare inveniet, regnante illo qui ex eo prognatus. Ubique stat hoc. Quid opus domiciliis, & urbe quum non sint obedientes? Quale damnum ex destructione civitatis, quum omnes etiam animas suas impendere velint? Et ita non solùm stat, sed etiam clarissimum omnium factum est. Ubique enim nunc hæc canuntur, illud evenisse: igitur etiam hoc evenire oportet. Ut autem dixisset: *Et reædificabo,* addit causam illius quare dicat: *Ut requirant qui reliqui sunt homines Dominum.* Si igitur propter hoc erecta est civitas propter illum, qui ex ipsis: manifestum quòd ædificatæ civitatis fuit causa Gentium vocatio. Qui sunt *reliqui?* qui tunc relinquebantur. Sed vide illum etiam ordinem custodire, & secundos illos inducere. *Dicit Dominus, qui facit omnia hæc.* Non dicit solùm, sed etiam *facit.* Igitur Dei opus est Gentium vocatio. Aliud erat quod quærebatur, id quod est manifestius. Petrus dicebat: Non oportet illos circumcidi. Quid igitur hæc concionaris? Sanè non hoc dicebant, quòd non assumendi sint credentes, sed quòd post legem, etiam hoc Petrus benè concionatus est. Sed quoniam turbabat hoc omnium maximè auditores, etiam hoc iterum curat. Et vide: Id quod oportebat lege caveri: non servandam legem Petrus adducit. Quod autem nostrum est, id & olim susceptum: hoc hìc dicit, & versatur in eo de quo nihil scriptum erat, ut curata illorum mente, concedendo tempestivè inducat etiam illud. *Ideò ego judico non obturbandum esse illis, qui ex Gentibus convertuntur ad Dominum:* hoc est, non avocandos esse. Si enim Deus vocavit, illæ autem traditiones subvertunt, pugnamus cum Deo. Et benè dixit: *His qui ex Gentibus convertuntur,* manifestans supernam Dei erga illos curam, & obedientiam ac credulitatem illorum in vocatione. Quid est, *judico ego?* id est, cum potestate dico esse scribendum illis. *Ut abstineant,* inquit, *ab immolatis idolorum, & fornicatione, & suffocato, & sanguine.* Hæc enim licèt corporalia, sed observatu necessaria, quoniam magna procurant mala. Et ne quis objiciat: Quare non, & Judæis eadem scribimus, addit: *Moses ab ætatibus antiquis per singulas civitates habet eos qui ipsum prædicant.* Hoc est: Moses illis continuò loquitur. Hoc est enim quod per omne Sabbatum legitur. Vide quantum se attemperat. Hic nihil nocuit, instituit illis doctorem, & concessit beneficium nihil obstans, admonitis Judæis ut audiant illum per omnia, & abductis his qui ex Gentibus. Et per quæ voluit illum honorare & commendare eis, per ea ab illo Gentes abduxit. Quare igitur non ab illo discunt? propter suam incredulitatem. Hinc ostendit quod & hos nihil amplius oportet servare. Quòd autem non scribimus, non est, quòd illi debeant aliquid amplius præter hæc servare, sed quod habent dicentem. Et non dixit: Ne offendamus illos néve subvertamus, id quod dicit Paulus Galatis: Sed, *non obturbandum*: id quod nullum ostendit esse opus, sed solam obturbationem, quæ totum negotium perderet. Et videtur quidem etiam legem servare,

Gal. 1, 7.

A φησιν. ἐνταῦθα τὸν φόνον ἀνεῖρξε. οἱ μὲν οὖν ἀπολυθέντες, ἦλθον εἰς Ἀντιόχειαν, καὶ συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. ἀναγνόντες δὲ, ἐχάρησαν ἐπὶ τῇ παρακλήσει. εἶτα δηλῶν ὅτι κἀκεῖνοι αὐτοὺς παρεκάλεσαν, ἐπήγαγεν· Ἰούδας τε καὶ Σίλας, καὶ αὐτοὶ προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφοὺς, καὶ ἐπεστήριξαν. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης ἀπὸ τῶν ἀδελφῶν πρὸς τοὺς Ἀποστόλους. οὐκέτι στάσεις καὶ μάχαι· διὸ καὶ B βεβαιώσαντες αὐτοὺς, ἀπῆλθον μετ' εἰρήνης. πρὸς γὰρ Παῦλον φιλονεικότερον διέκειντο. καὶ λοιπὸν Παῦλος διδάσκει. οὕτως οὐδεὶς τῦφος ἦν ἐν τῇ ἐκκλησίᾳ, ἀλλὰ πολλὴ ἡ εὐταξία. καὶ ὅρα, μετὰ Πέτρον Παῦλος φθέγγεται, καὶ οὐδεὶς ἐπιστομίζει· Ἰάκωβος ἀνέχεται, καὶ οὐκ ἀποπηδᾷ. ἐκεῖνος γὰρ ἦν τὴν ἀρχὴν ἐγκεχειρισμένος. οὐδὲν Ἰωάννης ἐνταῦθα· οὐδὲν οἱ ἄλλοι Ἀπόστολοι φθέγγονται· ἀλλὰ σιγῶσι, καὶ οὐκ ἀγανακτοῦσιν. οὕτω καθαρὰ δόξης ἦν αὐτῶν ἡ ψυχή· ἀλλ' ἴδωμεν C ἄνωθεν τὰ εἰρημένα. μετὰ δὲ τὸ σιγῆσαι αὐτοὺς, φησιν, ἀπεκρίθη Ἰάκωβος λέγων· Συμεὼν ἐξηγήσατο καθὼς πρῶτον ἐπεσκέψατο ὁ Θεός. ἐξ ἀρχῆς σφοδρότερον μὲν ὁ Πέτρος διελέγετο· οὗτος δὲ ἡμερώτερον. οὕτως ἀεὶ χρὴ τὸν ἐν μεγάλῃ δυναστείᾳ ποιεῖν, τὰ μὲν φορτικὰ ἑτέροις παραχωρεῖν. αὐτὸν δὲ ἀπὸ τῶν ἡμερωτέρων διαλέγεσθαι. καλῶς εἶπε, Συμεὼν ἐξηγήσατο, ὡς κἀκείνου ἑτέρων λέγοντος γνώμην. ὅρα πῶς δείκνυσι παλαιὸν ὂν τοῦτο. λαβεῖν ἐξ ἐθνῶν λαὸν, φησι, τῷ D ὀνόματι αὐτοῦ· οὐχ ἁπλῶς ἐξελέξατο· ἀλλὰ τῷ ὀνόματι αὐτοῦ· τουτέστι, τῇ δόξῃ αὐτοῦ. οὐκ αἰσχύνεται τὸ ὄνομα αὐτοῦ τὴν πρόσληψιν τῶν ἐθνῶν δόξαν καλῶν. τοῦτο γὰρ μείζων δόξα. ἐνταῦθά τι καὶ μέγα αἰνίττεται. ποῖον τοῦτο; ὅτι, φησὶ, πρὸ πάντων οὗτοι. μετὰ ταῦτα ἀναστρέψω καὶ ἀνοικοδομήσω, φησὶ, τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν. εἴ τις ἀκριβῶς σκοποίη, νῦν τὴν βασιλείαν ἑστῶσαν τοῦ Δαβὶδ εὕροι. τοῦ ἐκγόνου γὰρ αὐτοῦ βασιλεύοντος, πανταχοῦ ἕστηκεν αὕτη. τί γὰρ ὄφελος E τῶν οἰκημάτων, καὶ τῆς πόλεως, τῶν ὑπακουόντων οὐκ ὄντων; ποία δὲ βλάβη ἐκ τῆς καθαιρέσεως τῆς πόλεως, πάντων καὶ τὰς ψυχὰς βουλομένων ἐπιδοῦναι; ὥστε οὐ μόνον ἕστηκεν, ἀλλὰ καὶ λαμπροτέρα πάντων γέγονε. πανταχοῦ γὰρ νῦν τῆς οἰκουμένης ᾄδεται. ἐκεῖνο ἐξέβη· οὐκοῦν καὶ τοῦτο ἐκβῆναι δεῖ· εἰπὼν δὲ, καὶ ἀνοικοδομήσω, ἐπάγει καὶ τὴν αἰτίαν οὗ διατί λέγων· ὅπως ἐκζητήσωσιν οἱ κατάλοιποι τῶν ἀνθρώπων τὸν Κύριον. εἰ τοίνυν διὰ τοῦτο ἐξανέστη ἡ πόλις διὰ τὸν ἐξ A αὐτῶν, δῆλον ὅτι τῆς οἰκοδομῆς τῆς πόλεως αἴτιον γέγονε, τὸ τὰ ἔθνη κληθῆναι. τίνες εἰσὶν οἱ κατάλοιποι; οἱ ὑπολειπόμενοι τότε. ἀλλ' ὅρα αὐτὸν καὶ τὴν τάξιν φυλάττοντα, καὶ δευτέρους αὐτοὺς εἰσάγοντα. λέγει Κύριος, ὁ ποιῶν, φησι, ταῦτα πάντα. οὐ λέγει μόνον· ἀλλὰ καὶ ποιεῖ. ἄρα Θεοῦ ἔργον ἡ κλῆσις τῶν ἐθνῶν. ἄλλο ἦν τὸ ζητούμενον, ὅπερ σαφέστερον καὶ Πέτρος ἔλεγεν, οὐ δεῖ αὐτοὺς περιτέμνεσθαι· τί τοίνυν ταῦτα δημηγορεῖν; οὐ γὰρ δὴ τοῦτο ἔλεγον, ὅτι οὐ δεῖ αὐτοὺς δέχεσθαι πι- B στεύοντας, ἀλλ' ὅτι μετὰ νόμου. καὶ τοῦτο ὁ Πέτρος καλῶς ἐδημηγόρησεν. ἀλλ' ἐπειδὴ τοῦτο ἐθορύβει μάλιστα πάντων τοὺς ἀκροατὰς, καὶ τοῦτο θεραπεύει πάλιν. καὶ ὅρα, ὅπερ ἐχρῆν νομοθετηθῆναι ὅτι οὐ δεῖ φυλάττειν τὸν νόμον, ὁ Πέτρος εἰσήγαγε· τό τε ἡμέτερον, καὶ πάλαι παραδεχθὲν, τοῦτο οὗτός φησι, καὶ ἐνδιατρίβει ἐκείνῳ ὑπὲρ οὗ οὐδὲν γέγραπται, ἵνα αὐτῶν θεραπεύσας τὴν διάνοιαν τῷ συγκεχωρημένῳ, εὐκαίρως εἰσαγάγῃ καὶ τοῦτο. διὸ ἐγὼ κρίνω μὴ παρενοχλεῖν τοῖς ἀπὸ C τῶν ἐθνῶν ἐπιστρέφουσι· τουτέστι, μὴ ἀνατρέπειν. εἰ γὰρ ὁ Θεὸς ἐκάλεσεν, αὗται δὲ αἱ παρατηρήσεις ἀνατρέπουσι, τῷ Θεῷ πολεμοῦμεν. καὶ καλῶς εἶπε, τοῖς ἀπὸ τῶν ἐθνῶν ἐπιστρέφουσι, δηλῶν καὶ τοῦ Θεοῦ τὴν ἄνωθεν περὶ αὐτοὺς οἰκονομίαν, καὶ τὸ τούτων κατηκόους, καὶ ἕτοιμον εἰς τὴν κλῆσιν. τί ἐστι, κρίνω ἐγώ; ἀντὶ τοῦ μετ' ἐξουσίας λέγω τοῦτο εἶναι. ἀλλ' ἐπιστεῖλαι αὐτοῖς τοῦ ἀπέχεσθαι, φησιν, ἀπὸ τῶν ἀλισγημάτων τῶν εἰδώλων, καὶ τῆς πορνείας, καὶ τοῦ πνικτοῦ, καὶ τοῦ αἵματος. αὗται γὰρ εἰ καὶ D σωματικαὶ, ἀλλ' ἀναγκαῖαι φυλάττεσθαι· ἐπειδὴ μεγάλα εἰργάζοντο κακά. καὶ ἵνα μή τις ἀνθυπενέγκῃ, διατί μὴ καὶ Ἰουδαίοις ταῦτα ἐπιστέλλομεν; [ἐπήγαγε λέγων·] Μωϋσῆς ἐκ γενεῶν ἀρχαίων κατὰ πόλιν τοὺς κηρύσσοντας ἑαυτὸν ἔχει· τουτέστι, Μωσῆς αὐτοῖς διαλέγεται συνεχῶς. τοῦτο γάρ ἐστι τὸ κατὰ πᾶν σάββατον ἀναγινωσκόμενος. ὅρα πόση ἡ συγκατάβασις. ἐνταῦθα οὐδὲν ἔβλαψεν, ἐπέστησεν αὐτοῖς διδάσκαλον, καὶ ἐχαρίσατο χάριν οὐδὲν ἐμποδίζουσαν, E ἐπιτρέψας Ἰουδαίοις ἀκούειν αὐτοῦ κατὰ πάντα, καὶ ἀπάγων τοὺς ἐξ ἐθνῶν. εἶτα δι' ὧν ἔδοξεν αὐτὸν τιμᾶν, καὶ ἐφιστάναι τοῖς ἑαυτοῦ, διὰ τούτων ἀπήγαγε τὰ ἔθνη ἐξ αὐτοῦ. διατί οὖν μὴ παρ' αὐτοῦ μανθάνουσι; διὰ τὴν οἰκείαν ἀπείθειαν. ἐντεῦθεν δείκνυσιν, ὅτι καὶ τούτους οὐδὲν πλέον δεῖ φυλάττειν. εἰ δὲ οὐκ ἐπιστέλλομεν, οὐχ ὡς ὀφειλόντων αὐτῶν πλέον τι φυλάττειν, ἀλλ' ὡς ἐχόντων τὸν λέγοντα. καὶ οὐκ εἶπε, μὴ σκανδαλίζειν αὐτοὺς, μηδὲ καταστρέφειν, ὅπερ Παῦλος λέγει Γαλάταις, ἀλλὰ μὴ παρενοχλεῖν. ὅπερ οὐδὲν δείκνυσιν ὂν τὸ κατόρθωμα, ἀλλ' ἢ μόνον ἐνόχλησιν. οὕτως ἔλυσε τὸ πᾶν. καὶ δοκεῖ μὲν καὶ τὸν νόμον τηρεῖν,

τῷ

τῷ ἐξ αὐτοῦ ταῦτα λαβεῖν· ἔλυσε δὲ αὐτὸν τῷ μόνα λαβεῖν. καί τοι γε πολλάκις αὐτοῖς ὑπὲρ τούτων διελέχθη· ἀλλ' ἵνα δείξῃ καὶ τὸν νόμον τιμῶν, καὶ ταῦτα οὐχ ὡς ἀπὸ Μωσέως λέγων, ἀλλ' ὡς ἀπὸ τῶν Ἀποστόλων, καὶ ἵνα πολλὰς ποιήσῃ τὰς ἐντολὰς, τὴν μίαν διεῖλε. τοῦτο μάλιστα αὐτοὺς ἀνέπαυσεν. οἰκονομικῶς δὲ γέγονε καὶ ἡ ἀντιλογία, ἵνα μετὰ τὴν ἀντιλογίαν βεβαιότερον ᾖ τὸ δόγμα. τότε ἔδοξε τοῖς Ἀποστόλοις, φησὶν, ἄνδρας ἡγουμένους ἐν τοῖς ἀδελφοῖς πέμψαι. οὐ τοὺς τυχόντας, ἀλλὰ τοὺς ἡγουμένους πέμπουσιν ἐκλεξάμενοι. τοῖς κατὰ Ἀντιόχειαν, φησὶ, καὶ Συρίαν, καὶ Κιλικίαν, ἔνθα τὸ νόσημα ἐτέχθη. ὅρα μηδὲν φορτικὸν κατ' ἐκείνων λέγοντας, ἀλλ' εἰς ἓν ὁρῶντας μόνον, ὥστε ἀνατρέψαι τὸ γεγενημένον· τοῦτο γὰρ καὶ τοὺς ἐκεῖ στασιάζοντας ὁμολογῆσαι ἐποίει. οὐκ εἶπον, ὅτι οἱ ἀπατεῶνες, οἱ λυμεῶνες, καὶ ὅσα τοιαῦτα· καί τοι ἐνταῦθα ἐχρῆν, ποιεῖ αὐτὸ Παῦλος, ὡς ὅταν λέγῃ· ὦ πλήρης παντὸς δόλου! ἐνταῦθα δὲ κατορθωθέντος, οὐκέτι χρεία ἦν. καὶ ὅρα, οὐ τιθέασιν, ὅτι τινὲς ἐξ ἡμῶν ἐκέλευσαν ὑμᾶς τὸν νόμον τηρεῖν· ἀλλ' ἐτάραξαν ὑμᾶς λόγοις ἀνασκευάζοντες. οὐδὲν κυριώτερον τῆς λέξεως. οὐδεὶς οὕτως εἶπε. τὰς ἤδη βεβαιωθείσας ψυχάς, φησιν, ἀνασκευάζοντες, καθάπερ ἐπὶ οἰκοδομῆς τὰ ὑπ' ἐκείνων γεγενημένα τιθέντες. οἷς, φησιν, οὐ διεστειλάμεθα. ἔδοξεν οὖν ἡμῖν γενομένοις ὁμοθυμαδὸν σὺν τοῖς ἀγαπητοῖς. εἰ ἀγαπητοὶ, οὐ καταφρονήσουσιν αὐτῶν· εἰ παραδεδώκασι τὰς ψυχὰς, καὶ αὐτοὶ ἀξιόπιστοί εἰσιν. ἀπεστάλκαμεν οὖν, φησιν, Ἰούδαν, καὶ Σίλαν, καὶ αὐτοὺς διὰ λόγου ἀπαγγέλλοντας τὰ αὐτά. ἔδει γὰρ μὴ τὴν ἐπιστολὴν παρεῖναι μόνον, ἵνα μὴ λέγωσιν ὅτι συνήρπασαν, ὅτι ἄλλα ἀντ' ἄλλων εἶπαν. τὸ ἐγκώμιον τὸ περὶ Παῦλον, ἐνέφραξεν αὐτῶν τὰ στόματα. διὰ γὰρ τοῦτο οὔτε Παῦλος ἔρχεται μόνον, οὔτε Βαρνάβας, ἀλλὰ καὶ ἄλλοι ἀπὸ τῆς ἐκκλησίας. ἵνα μὴ ὕποπτος ᾖ, ἐπειδὴ αὐτὸς ἀντελαμβάνετο τοῦ δόγματος, οὔτε οἱ ἀπὸ Ἱεροσολύμων μόνοι. δείκνυσι πῶς ἀξιόπιστοί εἰσιν· οὐκ ἐξιστῶντες ἑαυτοὺς, φησιν, οὐχ οὕτω μαίνονται. διά τοι τοῦτο καὶ τὸ, ἀνθρώποις παραδεδωκόσι τὰς ψυχὰς αὐτῶν ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, προσέθηκε. καὶ τίνος ἕνεκεν εἶπεν, ἔδοξε τῷ ἁγίῳ πνεύματι καὶ ἡμῖν; καί τοι ἤρκει εἰπεῖν τῷ ἁγίῳ πνεύματι· τῷ μέντοι τῷ ἁγίῳ πνεύματι, ἵνα μὴ νομίσωσιν ἀνθρώπινον εἶναι· τὸ δὲ, ἡμῖν, ἵνα διδαχθῶσιν ὅτι καὶ αὐτοὶ, καὶ ἀποδέχονται, καὶ ἐν περιτομῇ ὄντες. μηδὲν πλέον, φησιν, ἐπιτίθεσθαι βάρος ὑμῖν. ταῦτα λέγουσιν, ἐπειδὴ πρὸς ἀνθρώπους ἀσθενεῖς ἔτι ὁ λόγος ἦν, καὶ πεφοβημένους αὐτούς. διὰ τοῦτο καὶ τοῦτο πρόσκειται. δείκνυσι δὲ, οὐχὶ συγκαταβάσεως ὄντα τὸν λόγον· οὐδὲ ἐπειδὴ ἐφείδοντο αὐτῶν, οὐδὲ ὡς ἀσθενῶν· ἀλλὰ τοὐναντίον. πολλὴ γὰρ καὶ τῶν διδασκάλων αἰδὼς ἦν. ἐκεῖνο γὰρ περιττὸν βάρος ἦν. ὅρα βραχεῖαν ἐπιστολὴν οὐδὲν πλέον ἔχουσαν, οὐδὲ κατασκευὰς, οὐδὲ συλλογισμοὺς, ἀλλ' ἐπίταγμα. πνεύματος γὰρ ἦν νομοθεσία. ἄνω καὶ κάτω βάρος καλοῦσι. καὶ πάλιν συναγαγόντες τὸ πλῆθος, ἐπέδωκαν τὴν ἐπιστολήν. μετὰ τὴν ἐπιστολὴν καὶ αὐτοὶ παρακαλοῦσι τῷ λόγῳ. ἔδει γὰρ καὶ τοῦτο, ὥστε πάσης ὑποψίας ἀπαλλαγῆναι. καὶ αὐτοὶ, φησὶ, προφῆται ὄντες, διὰ λόγου πολλοῦ παρεκάλεσαν τοὺς ἀδελφούς. τὸ ἀξιόπιστον ἐνταῦθα δείκνυσιν. ἐδύνατο μὲν γὰρ καὶ Παῦλος· ἀλλὰ τούτους ἔδει. ποιήσαντες δὲ χρόνον, ἀπελύθησαν μετ' εἰρήνης. οὐκ ἔτι στάσις· οὐκ ἔτι ἀποστροφή. ἐνταῦθά μοι δοκεῖ τὴν δεξιὰν αὐτοὺς εἰληφέναι, καθὼς αὐτός, φησὶ, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας. εἶτα λέγει, ὅτι οὐδέν μοι προσανέθεντο. τὴν γὰρ αὐτοῦ γνώμην ἐκύρωσαν· ἐπῄνεσαν αὐτὸν καὶ ἐθαύμασαν, δείκνυσιν ὅτι καὶ ἀπὸ ἀνθρωπίνων λογισμῶν τοῦτο δυνατὸν συνιδεῖν, μή τι γε ἀπὸ πνεύματος μόνον· ὅτι ἥμαρτον ἁμαρτίαν οὐκ εὔκολον διορθωθῆναι. τὰ γὰρ τοιαῦτα, οὐ πνεύματος δεῖται. δείκνυσιν ὅτι τὰ ἄλλα οὐκ ἀναγκαῖα, ἀλλὰ περιττὰ, εἴγε ταῦτα ἀναγκαῖα. ἐξ ὧν διατηροῦντες ἑαυτοὺς, φησιν, εὖ πράξετε. δείκνυσιν, ὅτι οὐδὲν αὐτοῖς λείπει, ἀλλ' ἀρκεῖ τοῦτο. ἠδύνατο μὲν γὰρ καὶ χωρὶς γραμμάτων· ἀλλ' ὥστε νόμον εἶναι ἔγγραφον, ἐπιστέλλουσι. καὶ πάλιν, ὥστε πεισθῆναι τῷ νόμῳ, καὶ ἐκείνοις ἔλεγον· καὶ ἐκεῖνοι τοῦτο ἐποίουν, καὶ μετ' εἰρήνης. μὴ δὴ σκανδαλιζώμεθα ἐπὶ τοῖς αἱρετικοῖς. ὅρα γὰρ ἐν προοιμίοις τοῦ κηρύγματος πόσα σκάνδαλα. οὐ λέγω τὰ παρὰ τῶν ἔξωθεν· ταῦτα γὰρ οὐδὲν ἦν· ἀλλὰ τὰ ἔνδον. οἷον πρῶτον, ὁ Ἀνανίας· ἔπειτα ὁ γογγυσμός· ἔπειτα, Σίμων ὁ μάγος· ἔπειτα, οἱ ἐγκαλοῦντες Πέτρῳ διὰ Κορνήλιον. ἔπειτα, ὁ λιμός· ἔπειτα, αὐτὸ τοῦτο τὸ κεφάλαιον τῶν κακῶν. οὐδὲ γὰρ ἔνι καλοῦ τινος γινομένου μὴ συνυφεστάναι καὶ πονηρόν· μὴ δὴ θορυβώμεθα, εἰ τινες σκανδαλίζονται· ἀλλὰ καὶ ὑπὲρ τούτων εὐχαριστῶμεν τῷ Θεῷ, ὅτι εὐδοκιμωτέρους ἡμᾶς ποιεῖ. οὐ γὰρ δὴ αἱ θλίψεις μόνον, ἀλλὰ καὶ αὐτοὶ οἱ πειρασμοὶ λαμπροτέρους ἡμᾶς ἐργάζονται. ὁ μὲν γὰρ, μηδενὸς ὄντος τοῦ πλανῶντος, τῆς ἀληθείας ἐχόμενος, οὐκ ἂν εἴη σφοδρὸς ἐραστὴς τῆς ἀληθείας. ὁ δὲ πολλῶν ἀφελκόντων, οὗτος εὐδόκιμος. τί οὖν; διὰ τοῦτο γίνεται τὰ σκάνδαλα; οὐ λέγω, ὡς τοῦ Θεοῦ ταῦτα ποιοῦντος· μὴ γένοιτο· ἀλλὰ καὶ ὡς ἀπὸ τῆς ἐκείνων πονηρίας εὐεργετοῦντος ἡμᾶς. ἐπεὶ αὐτὸς οὐδέποτε ἐβούλετο γενέσθαι. δὸς αὐτοῖς, φησιν, ἵνα ἓν ὦσιν·

A eo quod hæc ex illa sumpta sint: solvit autem illam hæc sola excipiendo: quamvis sanè sæpe eis de illis dictum, ut videatur etiam legem honorare, idque non quasi à Mose dicens, sed quasi ab Apostolis, & multa faciens mandata, unum discerpsit. Hoc maximè illos quietos fecit. Mita autem dispensatione facta est contradictio, ut post contradictionem firmius sit dogma. *Tunc visum est Apostolis*, inquit, *viros primarios inter fratres mitti.* Non fortuitò assumptos, sed primarios electos mittunt. *His*
B *qui Antiochiæ erant, & in Syria ac in Cilicia.* Ibi morbus natus erat. Vide ut nihil molestum contra illos dicunt, sed ad unum solùm spectantes, ut extirpetur quod natum. Hoc enim & eos qui illic seditiosi erant, confiteri faciebat. Non dixerunt: Impostores illi & pestilentes, & aliqua id genus convicia, quamvis alioqui licuisset. Facit istud Paulus, sicut quando dicit: *O plene omni dolo!* Hic autem errore correcto, non erat opus. Et vide: non ponunt quòd quidam ex vobis jusserunt vos legem servare, Sup. 13, 10.
C sed *turbaverunt vos sermonibus labefactantes.* Nulla magis propria dictio erat, nullus ita dixit: Animas quæ jam firmatæ erant, inquit, labefactantes, sicut in ædificatione qui transferunt ab aliis facta. *Quibus*, inquit, *non præcepimus. Visum igitur nobis, congregatis unanimiter cum dilectis.* Si dilecti, non contemnant illos: si enim *tradiderunt animas suas*, & ipsi sunt fide digni. *Misimus igitur*, inquit, *Judam & Silam, & illos sermone annunciantes eadem.* Oportebat enim non epistolã adesse solùm, ne dicant quod dolo
D extorserint, quod alia pro aliis dixerint. Laus illa Pauli erat, obstruebat illorum ora. Propter hoc enim neq; Paulus venit solus, neq; Barnabas: sed etiam alii ab Ecclesia, ne suspect⁹ sit; quoniã ipse susceperat dogma, & nõ soli hi qui à Hierosolymis. Ostendit quomodo fide digni sint, non extollunt seipsos inquit, non ita insaniunt. Eapropter etiã apposuit: *Hominib⁹ qui tradiderunt animas suas pro nomine Domini nostri Jesu Christi.* Et quare addidit: *Visum est Spiritui sancto & nobis*, quum sufficisset dicere; Spiritui
E sancto? *Spiritui sancto* dicunt, ne putent humanũ esse. Quod autẽ addit: *Nobis*, ut doceant etiã se acceptos esse, tametsi in circumcisione sint. *Nihil oneris amplius imponendũ vobis.* Hæc dicunt: Quoniã ad infirmos homines sermo erat, & qui timuerant, idcirco & hoc adjectũ est. Cæterùm ostendit non esse sermonem ad gratificandum compositum, neq; ad parcendum illis quasi infirmis, sed contrarium. Magn⁹ enim & doctorũ pudor fuisset, superfluúmq; fuisset onus. Vide brevem epistolam nihil abundans habere, neq;
A epicheremata, neque syllogismos, sed imperium. Erat enim legislatio spiritus. Sæpe vocant *onus*. Et iterum: *Congregata multitudine reddiderunt epistolam.* Post epistolam etiam ipsi sermonibus exhortantur. Nam & hac re opus erat, ut & ita omni suspicione liberentur. *Et ipsi*, inquit, *quum essent Prophetæ, sermonibus multis exhortabantur fratres.* Ostendit hîc fidelitatem illorum. Potuisset enim Paulus, sed hos decebat. *Commorantes ad aliquantum tempus, dimissi sunt cum pace.* Non jam seditio, nec aversio. Hîc mihi
B videtur, quòd ipsi dexteras acceperint, sicut ipse inquit: *Dexteras dederunt mihi & Barnabæ communionis.* Posteà dicit, quòd nihil mihi contulerunt. Sententiam enim illius confirmarunt, laudarunt illam, & admirati sunt. Ostendit quòd etiam humanis rationibus liceat hoc conspicere, & non solùm à spiritu, quia peccarant peccatum correctu difficile. Hujusmodi enim non egent spiritu. Ostendit quòd alia non necessaria, sed superflua, siquidem hæc necessaria. *Ab his si conservaveritis vosipsos, benè facietis*, Gal. 2, 9.
C inquit. Ostendit quòd nihil illis desit, sed hoc sufficiat. Potuissent certè & absque literis, sed epistolam mittunt, ita ut sit lex scripta. Et iterum, ita ut credant legi, & illis dicebant. Et illi hoc faciebant, ac cum pace. Porrò ne offendamur propter hæreticos. vide enim in principio prædicationis quanta offendicula, non dico ea quæ ab his qui foris. Hæc enim nihil erant, sed quæ intus: utpote primum Ananias, deinde murmur, posteà Simon magus, mox illi qui accusabant Petrum propter Cornelium. Accessit il-
D lis fames. Super hæc omnia istuc ipsum ut caput malorum. Impossibile enim est bonum aliquid fieri, quin simul etiam pullulet malum. Itaq; ne turbemur, si quidam offenduntur, sed & pro his gratias agamus Deo, quia clariores nos efficit. Etenim non solæ afflictiones, sed etiam tentationes clariores nos reddunt. Si enim nullus esset deceptor veritatem invadens, non foret vehemens & fervidus veritatis amator. At ille quum multi abstrahant, valdè clarescit. Quid igitur? propter hoc fiunt
E offendicula? non dico quòd Deo hoc faciente: Absit, sed quòd ille etiam per illorum malitiam benefaciat nobis, alioqui nunquam fieri voluisset. *Da illis*, inquit, *ut unum sint.* Joh. 17, 21.

Postquam autem fiunt scandala, nihil nocet illis, sed etiam prodest. Sicut etiam hi qui ad martyrium trahunt, vel nolentes martyribus prosunt. Non certè à Deo ad hoc impelluntur: sic utique, & hoc loco. Ne videamus quod offendantur plerique. Hoc enim indicium est, dogma esse eximium, si multi simulent ac imitentur: neque enim nisi bonum esset, simularent: & hoc jam faciam vobis manifestum. Unguenta quæ fragrantia sunt, habent multos qui ea adulterent: nullus autem simulatione exprimere conabitur eum qui improbè agit, sed eum qui singulari vita clarus est. Quid ergo respondebimus Gentibus? Venit enim Gentilis ac dicit: Vellem fieri Christianus, sed nescio cui adhæream, multæ inter vos sunt pugnæ, seditiones ac tumultus: nescio quod dogma eligam, quod præferam: singuli dicunt: Ego verum dico. Cui credam, nescio, quum ego scripturarum sim ignarus, & illi utrinque idem prætexunt. Sanè hoc multum pro nobis: nam siquidem diceremus nos rationibus credere, meritò turbareris, sed quum scripturas accipimus, & illæ simplices sunt ac veræ, facilè tibi fuerit judicare. Si quis illis consentit, Christianus est: si quis contra illas pugnat, procul est ab hoc canone. Quid igitur si veniens ille dicat, hoc habere scripturam: tu autem aliud dicas, aliter scilicet enarrando scripturas, mentem illarum pro te trahens? Tu igitur dic mihi, mentemne habes & judicium? Et quomodo possem, inquit? nesciens judicare vestra? Discipulus fieri vellem: tu autem me doctorem facis. Si hæc dicat, quid respondendum, inquit, quomodo illi persuadendum? Interrogabimus, an hoc illi cavillum sit? item num condemnet Gentiles? Omnino aliquid dicet. Non enim suis non condemnatis, ad nos divertet. Rogabimus quam ob causam sua condemnet: non enim temerè condemnat: manifestum quòd dicet, eo quòd creaturæ sunt, & non inconditus Deus. Igitur hoc quidem invenies apud alias hæreses: contrarium autem apud nos. Quam ob causam? Omnes fatemur Christum Deum: sed videamus utri hoc oppugnent. Nos dicentes Deum, digna Deo etiam loquimur, quòd potestatem habeat, quòd non sit servus, quòd liber sit, & à se omnia faciat. Ille autem contrarium. Iterum rogo: Si medicinam discere velles, num obiter & ut evenit quæ dicuntur, suscepturus esses, tametsi multa apud illos sint dogmata? Certè non est viri accipere simpliciter omnia quæ audit: at si judicium habueris ac mentem, omnino quod bonum est, scies. Filium dicimus nos, & verè dicimus. Illi autem dicunt quidem, sed non fatentur. Ut autem manifestius dicam: Illi habent quosdam à quibus appellentur, prout enim hæresiarchæ nomen, ita & secta vocatur. Nobis autem nullus vir nomen dedit, sed fides ipsa. Porrò cavillum est ac prætextus. Quare enim? dic oro: siquidem empturus vestem, quamvis artis textoriæ imperitus sis, hæc verba non dicis? Nescio emere, illudunt mihi, sed facis omnia ita ut discas. Etiam si quid aliud emere vis, omnia facis, & curiosè inquiris: hic autem hæc dicis, quasi propter hanc rationem nihil suscepturus sis. Sit autem quis nulli omnino dogmati addictus, si etiam ille dicat, id quod tu de Christianis dicis: Tanta multitudo hominum est, & varia habent dogmata: nam ille quidem Ethnicus est, alius autem Judæus, & iterum alius Christianus, nullum dogma amplecti oportebit, quia inter se pugnant. Ego discipulus sum, & judex esse nolo, nullumque dogma condemnare potero. Non jam ille prætextus locum habet: nam quemadmodum potuisti adulterinum refutare, ita poteris etiam huc veniens quodnam utile sit probare: nam ille quidem nullo dogmate condemnato facilè hoc dicet: qui autem condemnarit, etiamsi non valde eximius sit: si pergat, poterit videre quânam re opus sit. Itaque ne cavillemur: ne prætextus quæramus. Hæc enim facilia sunt. Vis tibi ostendam, quod hæc prætextus sint? Scis quæ facienda, & quæ non facienda? quare igitur facienda non facis, sed ea quæ non facienda? Fac illa, & recta ratione quære
Supr. 10, 34 à Deo, & ille tibi omnino revelabit. *Non est personarum acceptor*, inquit, *Deus, sed in omni gente, qui timet illum, & operatur justitiam, acceptus illi est.* Non est possibile, quòd is qui absque acceptione personarum audit, non persuadeatur. Nam sicut si regula esset, secundùm quam omnes dirigi oportebat, non multò opus prætextu, sed malè metientem facilè deprehenderemus: ita & nunc. Quomodo igitur non vident? Multa facit etiam imaginatio humanæque causæ. Hoc etiam de nobis, inquit, illi dicunt. Quomodo?

A ἐπειδὴ δὲ γίνεται τὰ σκάνδαλα, οὐδὲν τούτους βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. ὥσπερ οὖν καὶ τοὺς μάρτυρας ἄκοντες ὠφελοῦσιν οἱ ἐπὶ τὸ μαρτύριον ἕλκοντες, οὐ μὴν ὑπὸ τοῦ Θεοῦ ὠθοῦνται πρὸς τοῦτο· οὕτω δὴ καὶ ἐνταῦθα, μὴ ἴδωμεν ὅτι σκανδαλίζονται. τοῦτο αὐτὸ τεκμήριον τοῦ σπουδαῖον εἶναι τὸ δόγμα, τὸ πολλοὺς ὑποκρίνεσθαι καὶ μιμεῖσθαι. οὐ γὰρ ἄν, εἰ μὴ καλὸν ἦν, ὑπεκρίνοντο. καὶ τοῦτο ἤδη ποιήσω ὑμῖν φανερόν. τὰ μύρα τὰ εὐώδη ταῦτα, ἔχει τοὺς νοθεύοντας
B αὐτά· οἷον, φύλλον ἄμωμον. ἐπειδὴ γὰρ σπάνιά ἐστι καὶ ἀναγκαῖα, πολλὰ καὶ νόθα γίνεται. οὐδεὶς οὖν ἂν ἕλοιτο ἄλλο τι τῶν εὐτελῶν νοθεῦσαι. ὁ βίος ὁ καθαρὸς, πολλοὺς ἔχει τοὺς νοθεύοντας· οὐδεὶς δὲ ἂν ἕλοιτο ὑποκρίνεσθαι τὴν ἐν φαυλότητι, ἀλλὰ τὴν ἐν μοναδικῷ βίῳ. τί οὖν ἂν εἴποιμεν πρὸς τοὺς Ἕλληνας; ἔρχεται Ἕλλην, καὶ λέγει· ὅτι βούλομαι γενέσθαι Χριστιανός· ἀλλ᾽ οὐκ οἶδα τίνι προσθῶμαι. μάχη παρ᾽ ὑμῖν πολλὴ καὶ στάσις· πολὺς θόρυβος. ποῖον ἕλω-
C μαι δόγμα; τί αἱρήσομαι; ἕκαστος λέγει, ὅτι ἐγὼ ἀληθεύω. τίνι πεισθῶ, μηδὲν ὅλως εἰδὼς ἐν ταῖς γραφαῖς; κἀκεῖνοι τὸ αὐτὸ προβάλλονται· πάνυ γε τοῦτο ὑπὲρ ἡμῶν. εἰ μὲν γὰρ λογισμοῖς ἐλέγομεν πείθεσθαι, εἰκότως ἐθορυβοῦ. εἰ δὲ ταῖς γραφαῖς λέγομεν πιστεύειν· αὗται δὲ ἁπλαῖ καὶ ἀληθεῖς, εὔκολόν σοι τὸ κρινόμενον. εἴ τις ἐκείναις συμφωνεῖ, οὗτος Χριστιανός· εἴ τις μάχεται, οὗτος πόῤῥω τοῦ κανόνος τούτου. τί οὖν ἂν ἐκεῖνος ἐλθὼν εἴπῃ, οὕτως ἔχειν
D τὴν γραφὴν, σὺ δὲ ἕτερον λέγῃς, καὶ ἄλλως παρεξηγῆσθε τὰς γραφὰς τὰς διανοίας αὐτῶν ἕλκοντες; σὺ οὖν, εἰπέ μοι, νοῦν οὐκ ἔχεις, οὐδὲ κρίσιν; καὶ πῶς ἂν δυναίμην, φησὶ, μηδὲ εἰδὼς κρίνειν τὰ ὑμέτερα; μαθητὴς βούλομαι γενέσθαι· σὺ δέ με ἤδη διδάσκαλον ποιεῖς; ἂν ταῦτα λέγῃ, τί φησιν ἀποκρινόμεθα; πῶς αὐτὸν πείσομεν; ἐρωτήσωμεν, εἰ μὴ σκῆψις ταῦτα καὶ πρόφασις· ἐρωτήσωμεν εἰ κατέγνω τῶν Ἑλλήνων. πάντως τι ἐρεῖ. οὐ γὰρ δὴ μὴ κατα-
E γνοὺς ἐπὶ τὰ ἡμέτερα ἥκει. ἐρωτήσωμεν τὰς αἰτίας δι᾽ ἃς κατέγνω· οὐ γὰρ δὴ ἁπλῶς κατέγνω· εὔδηλον ὅτι ἐρεῖ διὰ τὸ κτίσματα εἶναι, καὶ μὴ εἶναι ἄκτιστον Θεόν. καλῶς. ἂν οὖν τοῦτο μὲν εὕρῃ παρὰ ταῖς ἄλλαις αἱρέσεσι· τὸ δὲ ἐναντίον παρ᾽ ἡμῖν, ποίου λόγου χρεία; πάντες ὁμολογοῦμεν ὅτι ὁ Χριστὸς Θεός. ἀλλ᾽ ἴδωμεν τίνες μάχονται, καὶ τίνες οὐ μάχονται. ἡμεῖς λέγοντες Θεὸν, ἄξια Θεοῦ καὶ φθεγγόμεθα· ὅτι ἐξουσίαν ἔχει· ὅτι οὐκ ἔστι δοῦλος· ὅτι ἐλεύ-
A θερος, ὅτι ἀφ᾽ ἑαυτοῦ πάντα ποιεῖ· ἐκεῖνος δὲ τοὐναντίον. πάλιν ἐρωτῶ· εἰ ἰατρὸς μέλλοις μανθάνειν, ἆρα ἁπλῶς καὶ ὡς ἔτυχεν, εἰπέ μοι, τὰ λεγόμενα καταδέχῃ; καί τι πολλὰ παρ᾽ ἐκείνοις δόγματα. εἰ μὲν οὖν ἁπλῶς ἅπερ ἂν ἀκούσῃς καταδέχῃ, οὐκ ἔστι τοῦτο ἀνδρός· εἰ δὲ κρίσιν ἔχεις καὶ νοῦν, πάντως εἴσῃ τὸ καλόν. υἱὸν λέγομεν ἡμεῖς, ἐπαληθεύομεν ὃ λέγομεν· ἐκεῖνοι δὲ λέγουσι μὲν, οὐχ ὁμολογοῦσι δέ. ἵνα δὲ καὶ σαφέστερον εἴπω, ἐκεῖνοι ἔχουσί τινας
B ἀφ᾽ ὧν καλοῦνται, αὐτοῦ τοῦ αἱρεσιάρχου δηλονότι τὸ ὄνομα, καὶ ἑκάστη αἵρεσις ὁμοίως· παρ᾽ ἡμῖν ἀνὴρ μὲν οὐδεὶς ἔδωκεν ἡμῖν ὄνομα, ἡ δὲ πίστις αὐτή. ἀλλὰ σκῆψις οὗτος καὶ πρόφασις. διατί γὰρ, εἰπέ μοι, ἂν μὲν ἱμάτιον μέλλῃς πρίασθαι, καίτοι γε ὑφαντικῆς ἄπειρος ὢν τέχνης, οὐ λέγεις ταῦτα τὰ ῥήματα, ὅτι οὐκ οἶδα ἀγοράσαι, ἐμπαίζουσί μοι· ἀλλὰ πάντα ποιεῖς ὥστε μαθεῖν; κἂν ἄλλο ὁτιοῦν βουληθῇς ὠνήσασθαι, πάντα ποιεῖς πολυπραγμονῶν· ἐνταῦθα
C δὲ ταῦτα λέγεις, ὥστε ἐπὶ τῷ λόγῳ τούτῳ οὐδὲν ὅλως καταδέξῃ. ἔστω γάρ τις μηδὲν ὅλως δόγμα ἔχων, ἂν κἀκεῖνος λέγῃ ὁ περὶ τῶν Χριστιανῶν σὺ, τοσοῦτον πλῆθος ἀνθρώπων ἐστὶ, καὶ δόγματα ἔχουσι διάφορα· ὁ μὲν Ἕλλην ἐστὶν, ὁ δὲ Ἰουδαῖος· ὁ δὲ Χριστιανός· οὐδὲ ἓν δεῖ δόγμα καταδέξασθαι· ἀλλήλοις γὰρ πολεμοῦσιν· ἐγὼ μαθητής εἰμι, καὶ κριτὴς οὐ βούλομαι εἶναι· οὐδὲ ἔξω καταγινώσκειν ἑνὸς δόγματος· οὐκέτι σοι αὕτη λοιπὸν ἡ πρόφασις χώραν ἔχει. καθάπερ γὰρ ἴσχυσας τὸ νόθον ἐκβαλεῖν, οὕτως ἰσχύσεις
D καὶ ἐνταῦθα ἐλθὼν δοκιμάσαι τὸ λυσιτελές. ὁ μὲν γὰρ μηδενὸς ὅλως δόγματος καταγνοὺς, εὐκόλως ταῦτα ἐρεῖ· ὁ δὲ καταγνοὺς, κἂν μηδὲν ᾑρημένος ᾖ, ὁδῷ προβαίνων δυνήσεται συνιδεῖν τὸ δέον. μὴ δὴ σκηπτώμεθα, μηδὲ προφασιζώμεθα. πάντα γὰρ ῥᾴδια. βούλει σοι δείξω, ὅτι πρόφασίς ἐστι ταῦτα; τὰ πρακτέα, καὶ τὰ μὴ πρακτέα οἶδας; διατί οὖν τὰ πρακτέα μὴ πράττεις, ἀλλὰ τὰ μὴ πρακτέα; πρᾶξον ἐκεῖνα, καὶ ὀρθῷ λογισμῷ ζήτησον παρὰ
E τοῦ Θεοῦ, καὶ αὐτός σοι πάντως ἀποκαλύψει. οὐκ ἔστι προσωπολήπτης, φησὶν, ὁ Θεός· ἀλλ᾽ ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστιν. οὐκ ἔστι τὸν χωρὶς προλήψεως ἀκούοντα μὴ πείθεσθαι. ὥσπερ γὰρ εἰ κανών τις ἦν πρὸς ὃν πάντα ἀπευθύνεσθαι ἐχρῆν, οὐ πολλῆς ἔδει σκέψεως· ἀλλὰ τὸν παραμετροῦντα εὔκολον ἦν λαβεῖν· οὕτω καὶ νῦν. πῶς οὖν οὐ συνορῶσι; πολλὰ ποιεῖ, καὶ πρόληψις, καὶ ἀνθρώπιναι αἰτίαι. τοῦτο καὶ περὶ ἡμῶν, φησι, καὶ ἐκεῖνοι λέγουσι. πῶς

μὴ γὰρ

μὴ γὰρ ἀπεσχίσμεθα τῆς ἐκκλησίας; μὴ γὰρ αἱρεσιάρχας ἔχομεν; μὴ γὰρ ἀπ' ἀνθρώπων καλούμεθα; μὴ γὰρ προηγούμενος ἡμῶν τίς ἐστιν, ὥσπερ τῷ μὲν Μαρκίων, τῷ δὲ Μανιχαῖος, τῷ δὲ Ἄρειος, τῷ δὲ ἄλλος τις αἱρέσεως ἀρχηγός; εἰ δὲ καὶ ἡμεῖς προσηγορίαν τινὸς ἔχομεν, ἀλλ' οὐ τοὺς τῆς αἱρέσεως ἄρξαντας· ἀλλὰ τοὺς προεστῶτας ἡμῶν καὶ κυβερνήσαντας τὴν ἐκκλησίαν. οὐκ ἔχομεν διδασκάλους ἐπὶ τῆς γῆς. μὴ γένοιτο· ἕνα ἔχομεν τὸν ἐν τοῖς οὐρανοῖς. κἀκεῖνοι, φησὶ, ταῦτα προβάλλονται. ἀλλ' ἐφέστηκε τὸ ὄνομα κατηγοροῦν αὐτῶν, καὶ ἐμφράττον τὰ στόματα. πολλοὶ γεγόνασιν Ἕλληνες καὶ οὐδεὶς ταῦτα ἠρώτησε, καὶ παρὰ φιλοσόφοις ἦν ταῦτα, καὶ οὐδεὶς ἐκωλύθη τῶν τὴν ὀρθὴν αἵρεσιν ἐχόντων. διατί μὴ εἶπον ὅτε ταῦτα ἐκίνουν, ὅτι καὶ οὗτοι κἀκεῖνοι Ἰουδαῖοι· τίνι δεῖ ἡμᾶς πεισθῆναι; ἀλλ' ἐπείσθησαν ὡς ἔδει. οὐκοῦν καὶ ἡμεῖς πειθώμεθα τοῖς τοῦ Θεοῦ νόμοις, καὶ πάντα πράττωμεν κατὰ τὸ αὐτῷ δοκοῦν, καὶ κατὰ τὴν αὐτοῦ βούλησιν πολιτευσώμεθα, ὡς ἔτι ἐσμὲν ἐν τῷ παρόντι βίῳ, ἵνα μετ' ἀρετῆς τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν διανύσαντες, τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνησώμεθα, καὶ τῆς τοῖς εὐαρεστήσασιν αὐτῷ τιμῆς ἀξιωθείημεν, χάριτι καὶ φιλανθρωπίᾳ αὐτοῦ τοῦ μονογενοῦς υἱοῦ αὐτοῦ, καὶ τοῦ παναγίου, καὶ ζωοποιοῦ πνεύματος, τῆς μιᾶς, καὶ ἀληθοῦς θεότητος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ λγ'.

Παῦλος δὲ καὶ Βαρνάβας διέτριβον ἐν Ἀντιοχείᾳ, διδάσκοντες καὶ εὐαγγελιζόμενοι μετὰ καὶ ἑτέρων πολλῶν τὸν λόγον τοῦ Κυρίου. μετὰ δέ τινας ἡμέρας, εἶπε Παῦλος πρὸς Βαρνάβαν, ἐπιστρέψαντες δὴ ἐπισκεψώμεθα τοὺς ἀδελφοὺς κατὰ πᾶσαν πόλιν, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον τοῦ Κυρίου, πῶς ἔχουσιν.

ΟΡΑ πάλιν αὐτῶν τὸ ταπεινόν· πῶς καὶ ἑτέροις μεταδιδόασι τοῦ λόγου. καὶ ἤδη μὲν τῶν Ἀποστόλων τῶν λοιπῶν τὸ ἦθος ἀνέγραψεν ἡμῖν ὁ Λουκᾶς, δεικνὺς ὅτι ὁ μὲν ἁπαλώτερος ἦν καὶ μᾶλλον συγγνωμονικὸς, οὗτος δὲ ἀκριβέστερος καὶ αὐστηρότερος. διάφορα γάρ ἐστι τὰ χαρίσματα. ὅτι δὲ καὶ τοῦτο χάρισμα, δῆλον. ἀλλ' ἐκεῖνο μὲν ἑτέροις ἤθεσιν ἀνθρώπων ἁρμόζει· τοῦτο δὲ ἑτέροις. κἂν μετασκευάσωνται, γέγονεν ἄχρηστον λοιπόν· καὶ δοκεῖ μὲν εἶναί τις παροξυσμός. τὸ δὲ πᾶν οἰκονομία ἐστίν. ὥστε γὰρ τοὺς πρέποντας ἕκαστον τόπους ἀπολαβεῖν, τοῦτο γίνεται. ἄλλως δὲ, καὶ ἔδει πάντας οὐχ ὁμοτίμους εἶναι, ἀλλὰ τὸν μὲν ἄρχειν, τὸν δὲ ἄρχεσθαι· καὶ τοῦτο οἰκονομικόν. Κύπριοι μὲν γὰρ οὐδὲν τοιοῦτον ἐπεδείξαντο, οἷον οἱ ἐν Ἀντιοχείᾳ, καὶ οἱ λοιποί· καὶ ἐκεῖνοι μᾶλλον ἐδέοντο τοῦ ἤθους τοῦ ἁπαλωτέρου· οὗτοι δὲ τούτου. Βαρνάβας δὲ ἐβουλεύσατο συμπαραλαβεῖν καὶ Ἰωάννην τὸν καλούμενον Μάρκον· Παῦλος δὲ ἠξίου τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας, καὶ μὴ συνελθόντα αὐτοῖς εἰς τὸ ἔργον, μὴ συμπαραλαβεῖν τοῦτον. ἐγένετο οὖν παροξυσμὸς ὥστε χωρισθῆναι αὐτοὺς ἀπ' ἀλλήλων, τόν τε Βαρνάβαν παραλαβόντα τὸν Μάρκον, ἐκπλεῦσαι εἰς Κύπρον. Παῦλος δὲ ἐπιλεξάμενος Σίλαν ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. οὕτω καὶ ἐν τοῖς προφήταις εὑρίσκομεν διαφόρους γνώμας, καὶ διάφορα ἤθη· οἷον ὁ Ἠλίας, αὐστηρός· ὁ Μωϋσῆς, πρᾶος. καὶ ἐνταῦθα τούτου σφοδρότερός ἐστιν ὁ Παῦλος. ἀλλ' ὅρα καὶ οὕτω τὸ ἐπιεικὲς αὐτοῦ. ἠξίου, φησὶ, τὸν ἀποστάντα ἀπ' αὐτῶν ἀπὸ Παμφυλίας μὴ συμπαραλαβεῖν. καθάπερ γὰρ τις στρατηγὸς οὐκ ἂν ἕλοιτο τὸν σκευοφόρον ἔχειν ἀεὶ βάναυσον· οὕτως οὐδὲ ὁ Ἀπόστολος. τοῦτο καὶ τοὺς ἄλλους ἐπαίδευε, καὶ αὐτὸν ἐρρύθμιζεν ἐκεῖνον. οὐκοῦν, φησὶ, κακῶς ὁ Βαρνάβας; οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα ἄτοπον τὸ νομίζειν τοῦτο. πῶς δὲ οὐκ ἄτοπον ὑπὲρ οὕτω πράγματος μικροῦ, τοῦτον λέγειν γενέσθαι κακόν; ἀλλ' ὅρα ὅτι πρῶτον μὲν κακὸν οὐδὲν γέγονεν. εἰ ὁλοκλήροις ἔθνεσιν ἀρκοῦντες ἀπεσχίσθησαν ἀπ' ἀλλήλων, ἀλλὰ καὶ μέγα ἀγαθόν. ἔπειτα εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν εἵλοντο εὐκόλως ἀφεῖναι ἀλλήλους. σὺ δέ μοι θαύμασον τοῦτον μηδὲ τοῦτο κρύψαντα. ἀλλ' εἰ καὶ χωρισθῆναι ἔδει, φησὶ, χωρὶς παροξυσμοῦ. μάλιστα μὲν οὖν καὶ ἐνταῦθα δείκνυται τὰ ἀνθρώπινα. εἰ γὰρ ἐπὶ τοῦ Χριστοῦ τοῦτο ἔδει γενέσθαι· πολλῷ μᾶλλον ἐνταῦθα. ἄλλως δέ· ὁ παροξυσμὸς οὐκ ἂν εἴη φαῦλος, ὅταν ὑπὲρ τοιούτων ἕκαστος ἀμφισβητῇ, καὶ μετὰ δικαίου λόγου. εἰ μὲν οὖν τις αὐτῶν τὸ ἑαυτοῦ ζητῶν παρωξύνετο, καὶ τὴν εἰς αὐτὸν τιμὴν, καλῶς· εἰ δὲ παιδεῦσαι, καὶ διδάξαι ἑκάτερος βουλόμενος, ὁ μὲν ταύτην, ὁ δὲ ἐκείνην ὥδευον, τοῦτο ποῖον ἔγκλημα; πολλὰ καὶ ἀνθρωπίνῃ διανοίᾳ ἐποίουν· οὐ γὰρ ἦσαν λίθοι ἢ ξύλα. καὶ ὅρα Παῦλον, καὶ κατηγοροῦντα, καὶ τὴν αἰτίαν λέγοντα. ᾐδεῖτο γὰρ τὸν Βαρνάβαν ἀπὸ ταπεινοφροσύνης πολλῆς, ἅτε κεκοινωνηκότα ἐν τοσούτοις αὐτῷ, καὶ μετ' αὐτοῦ ὄντα. ἀλλ' οὐχ οὕτως ᾐδεῖτο, ὥστε καὶ παριδεῖν τὸ δέον.

Numquid scindimur ab Ecclesia? num hæresiarchas habemus? num ab hominibus cognomen habemus? numquid nobis dux quidam est, sicut illi Marcion, & illi Manichæus, huic Arius, alteri verò alius hæreseos dux? Quòd si & nos agnominationem cujusdam sortimur, sed non ut ab hæresium Principibus, sed ut ab his qui præsunt nobis, & gubernant Ecclesiam. *Non habemus Doctores super terram*, absit, *unum habemus in cælis.* (Math. 23. 8.) Et illi, inquit, eadem prætexunt. Sed assistit nomen accusans illos, & obturans ora. Multi fuerunt Gentiles, & nullus hæc rogavit. Et apud philosophos erant hæc, & nullus prohibitus est eorum qui hæresim rectam habent. Quare non dixerunt, quando hæc movebant, quia & hi & illi Judæi: cui oportet nos credere? sed crediderunt sicut oportebat. Igitur & nos credamus divinis legibus, & omnia faciamus prout illi placet, ut cum virtute præsente vita transacta, bona quæ diligentibus illum promissa assequi valeamus, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul, ac Spiritui sancto sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XXXIV.

Paulus autem & Barnabas versabantur Antiochiæ, docentes & evangelizantes cum aliis multis sermonem Domini. Post aliquos autem dies dixit Paulus ad Barnabam: Age convertamur, & visitemus fratres per singulas civitates, in quibus annunciavimus sermonem Domini, quomodo habeant.

VIde iterum, quanta humilitate cum aliis sermonem communicant. Et jam quidem reliquorum Apostolorum consuetudinem descripsit Lucas, ostendens quod unus quidem tenerior, & ad condonandum propensior: alter autem exactior & austerior. Varia enim sunt dona. Quod autem & hoc donum sit, sed illud quidem aliis hominum moribus congruit: hoc autem aliis: & si commutentur, inutilia futura sunt. Et videtur quidem esse exasperatio: omnia autem singulari dispensatione contingunt, ita ut unusquisque congruum locum sortiatur, quod & factum est. Et aliter: Etiam oportebat non omnes in æquali honore esse, sed alium quidem præesse, alium verò subditum esse, & hoc suam dispensationem habet. Nam Cyprii nequaquam se tales exhibuerant, sicut Antiocheni & reliqui. Et alii magis opus habebant teneritudine, alii verò severitate. *Barnabas autem volebat simul assumere & Joannem, qui vocabatur Marcus: Paulus verò volebat, ut is qui ab illis defecerat à Pamphylia, & non ierat simul ad opus, ne simul assumeretur. Facta est igitur exacerbatio, ita ut separarentur alter ab altero, & tunc Barnabas assumpto Marco navigaret in Cyprum. Paulus verò allecto Sila egressus est, & traditus gratiæ Dei à fratribus.* Sic & in Prophetis invenimus varias sententias, & varios mores. Erat Helias austerus, Moses verò mitis. Et hic quoque asperior est Paulus: sed vide etiam hoc loco illius mansuetudinem. *Volebat*, inquit, *ut is qui defecerat ab illis, à Pamphylia, ne simul assumeretur.* Sicut enim dux quidam belli non vellet bajulum semper esse sordidum, & inter lixas: ita neque Apostolus. Hoc etiam alios docuit, & illum emendavit. Dicet igitur quis: Malè igitur fecit Barnabas? Minimè. Quoniam & valdè absurdum putare hoc esset. Et quomodo non absurdum, ob rem parvam dicere illum malum? Sed vide, quia primum quidem malum nullum fuit, si contenti salvis Gentibus, avulsi sunt alter ab altero, sed etiam magnum bonum, quoniam nisi hoc fuisset, haud facilè relicturus fuisset alter alterum. Tu autem admirare hunc, quod neque hoc celarit? sed dicis, quamvis illos separari oportuerit, id tamen sine exacerbatione fieri debebat. Itaque maximè hinc ostenduntur humana: nam cum in Christo hoc oportebat fieri, multò magis hic. Et aliter: Exacerbatio non fuerit mala, quando pro talibus unusquisq; contendit, idq; justa cum ratione. Itaq; si quis illorum exacerbatus, quod suum, & quod in suam gloriam quæsivisset, benè: si autem uterq; volebat docere & instituere, & hic quidem hanc, ille autem aliam viam ingressus est: quale hoc fuerit crimen? Multa etiam humana ratione faciebant. Non enim fuerunt lapides vel ligna. Et vide Paulum etiam accusantem, & causam dicentem: Reverebatur enim Barnabam præ magna modestia, utpote quia in talibus sibi communicarat, & cum ipso fuerat, sed non sic reverebatur, ut propterea quod oportebat curare, negligeret.

Uter

Uter igitur melius consuluerit, non est nostrum pronunciare, sed quod magna fuerit Dei ordinatio, quandoquidem hi quidem secundam visitationem assequuti sunt, illi autem nullam. Non simpliciter commorati sunt in Antiochia, sed docebant. Quid docebant? quidnam evangelizabant? alios quidem esse fideles, alios verò nondum: nam plurima oriebantur offendicula, propter quæ opus erat ipsorum præsentia. In hac quæstione audiendum, non quod diversi fuerint in sententiis, sed quod alter alteri morem gessit: unde ex discessione majus bonum fuit, & res hinc occasionem sumpsit. Quid igitur? Inimicine inter se discesserunt? absit. Vides enim quod Barnabas posteà multum à Paulo in epistolis celebratur. *Exacerbatio*, inquit, *facta est*, non inimicitiæ, neque contentio. Tanta autem fuit exacerbatio, ut separarentur. Et meritò: nam uterque studebat esse bonæ frugis. Hoc posteà non accidisset propter communionem cum illo. Mihi videtur etiam disertè separatio illa facta, eo quod inter se dixerint: Quoniam ego non volo, nec tu vis, ne pugnemus, distribuamus provincias: & ita sibi invicem multùm cedentes hoc fecerunt. Volebat enim Barnabas non dejici quod à Paulo erectum. Idcircò & secessit: volebat similiter & Paulus non infirmare quod illi visum. Eapropter & ipse idem facit ac secedit. Utinam & nos tales secessiones faceremus, & sic ad prædicandum abiremus. *Paulus verò electo Sila egressus est, traditus gratia Dei à fratribus.* Admirabilis est hic vir, & valdè magnus, plurimumque profuit Marco pugna hæc. Severitas enim Pauli convertit illum: benignitas verò Barnabæ fecit, ne porrò relinqueretur. Et ita certant quidem, ad unum autem finem tendebat utilitas. Etenim videns Paulum velle divelli, valdè territus est, & condemnavit seipsum. Et iterum videns Barnabam sic sibi opitulantem, valde illum dilexit, corrigebatúrque discipulus præceptorum pugna: tantum abfuit, ne offenderetur. Etenim si hoc propter honorem sui ipsorum fecissent, meritò offensus fuit: quum autem propter alterius salutem, & propter unum contendunt, ita ut declararetur eum, qui illum honorarit, benè consuluisse: quid absurdum? Vide sapientiam Pauli, non prius transit ad alias civitates, priusquam eas quæ acceperant verbum, visitasset. *Perambulabat autem Syriam ac Ciliciam confirmans Ecclesias.*

Τίς μὲν οὖν ἄμεινον ἐβουλεύσατο, οὐχ ἡμῶν ἀποφήνασθαι· τέως δὲ ὅτι μεγάλη γέγονεν οἰκονομία, εἴγε οὗτοι μὲν ἔμελλον δευτέρας ἐπισκέψεως ἀξιοῦσθαι, ἐκεῖνοι δὲ οὐδὲ ἅπαξ. οὐχ ἁπλῶς διέτριβον ἐν Ἀντιοχείᾳ· ἀλλ' ἐδίδασκον. τί ἐδίδασκον; τί δὲ εὐηγγελίζοντο; τούς τε ἤδη πιστούς, τούς τε μηδέπω· ἐπειδὴ γὰρ μυρία σκάνδαλα ἦν, ἔδει τῆς αὐτῶν παρουσίας. τὸ ζητούμενον, οὐχ ὅτι διεφώνησαν ἐν ταῖς γνώμαις, ἀλλ' ὅτι συγκατέβησαν ἀλλήλοις ἰδεῖν. οὕτω μεῖζον ἀγαθὸν γέγονε τὸ χωρισθῆναι, καὶ πρόφασιν ἐκ τούτου τὸ πρᾶγμα ἔλαβε. τί οὖν; ἐχθροὶ ἀνεχώρησαν; μὴ γένοιτο. ὁρᾷς γὰρ μετὰ τοῦτο Βαρνάβαν πολλῶν ἐγκωμίων ἀπολαύοντα παρὰ Παύλου ἐν ταῖς ἐπιστολαῖς. παροξυσμός, φησιν, ἐγένετο, οὐκ ἔχθρα, οὐδὲ φιλονεικία· τοσοῦτον ἴσχυσεν ὁ παροξυσμός, ὥστε χωρίσαι· καὶ εἰκότως. ὅπερ γὰρ ἕκαστος ὑπέλαβεν εἶναι λυσιτελές, οὐ μετὰ ταῦτα ὑπεσήμαινε διὰ τὴν πρὸς ἐκεῖνον κοινωνίαν. ἐμοὶ δοκεῖ καὶ κατὰ σύνεσιν γεγενῆσθαι τὸν χωρισμόν, καὶ πρὸς ἀλλήλους εἰπεῖν· ὅτι ἐπειδὴ ἐγὼ οὐ βούλομαι, σὺ δὲ βούλει, ἵνα μὴ μαχώμεθα, διανειμώμεθα τοὺς τόπους. ὥστε πάνυ εἴκοντες ἀλλήλοις τοῦτο ἐποίουν. ἐβούλετο γὰρ στῆναι τὸ Παύλου Βαρνάβας, διὰ τοῦτο καὶ ἀνεχώρησεν· ἐβούλετο καὶ Παῦλος ὁμοίως τὸ ἐκείνου, διὰ τοῦτο καὶ αὐτὸς τὸ ἴσον ποιεῖ καὶ ἀναχωρεῖ. εἴθε καὶ ἡμεῖς τοιούτους ἐχωριζόμεθα χωρισμούς, ὥστε ἐπὶ κήρυγμα ἀπιέναι. Παῦλος δέ, φησιν, ἐπιλεξάμενος τὸν Σίλαν, ἐξῆλθε παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ ὑπὸ τῶν ἀδελφῶν. θαυμαστός ἐστιν οὗτος ὁ ἀνήρ, καὶ σφόδρα μέγας. πάνυ δὲ ὠφέλησε τὸν Μάρκον ἡ μάχη αὕτη. τὸ μὲν γὰρ Παύλου φοβερὸν, ἐπέστρεψεν αὐτόν· τὸ δὲ Βαρνάβα χρηστὸν, ἐποίησε μηκέτι ἀπολειφθῆναι. ὥστε μάχονται μέν, πρὸς ἓν δὲ τέλος ἀπαντᾷ τὸ κέρδος. καὶ γὰρ Παῦλον ὁρῶν αἱρούμενον ἀποστῆναι, πάνυ ἂν ἐφοβήθη καὶ κατέγνω ἑαυτοῦ· καὶ πάλιν Βαρνάβαν ὁρῶν οὕτως αὐτοῦ ἀντεχόμενον, πάνυ ἂν αὐτὸν ἐφίλησε, καὶ διωρθοῦτο ὁ μαθητὴς διὰ τῆς μάχης τῶν διδασκάλων. τοσοῦτον ἀπεῖχε τοῦ σκανδαλισθῆναι. εἰ μὲν γὰρ διὰ τὴν εἰς ἑαυτοὺς τιμὴν τοῦτο ἔπραττον, εἰκότως· εἰ δὲ διὰ τὴν αὐτοῦ σωτηρίαν, καὶ δι' ἓν φιλονεικοῦσιν ὥστε δεῖξαι τὸν τιμήσαντα αὐτὸν καλῶς βεβουλευμένον, τί ἄτοπον; ὅρα τὴν σύνεσιν Παύλου· οὐ πρότερον ἐπ' ἄλλας ἔρχεται πόλεις, πρὶν ἢ τὰς δεξαμένας τὸν λόγον ἐπισκέψασθαι. διήρχετο δὲ τὴν Συρίαν καὶ Κιλικίαν ἐπιστηρίζων τὰς ἐκκλησίας.

Cap. XVI. *Pervenit autem & Derben ac Lystram.* Etenim insipientiæ est temere currere. Hoc & nos faciamus: Primos primum instruamus, ne illi sint impedimento posterioribus. *Visitemus*, inquit, *fratres, quomodo habeant.* Et hoc ignorabat meritò, ut veniens fratres invisat. Vide illum semper alacrem, solicitum esse, non desidem sedere, tametsi plurima ferret pericula. Vides non formidinis fuisse, in Antiochiam venisse? Etenim ut medicus ad ægrotantes abit. Etiam necessitatem visitationis manifestavit, dicens: *In quibus annunciavimus verbum.* Recessit Barnabas, & non ultrà simul profectus est. *Assumpto*, inquit, *Sila, & traditus gratia Dei.* Quid hoc est? Oraverunt, inquit, rogaverunt Deum. Vide ubique orationem fratrum magna posse, & tunc pedes ambulabat, & in itinere videre volentibus proderat. Meritò: nam quando festinabant, navigabant: nunc autem non item. *Et ecce discipulus quidam erat illic nomine Timotheus, filius mulieris Judææ fidelis, patris autem Græci, qui testimonium habebat à fratribus in Lystris & Iconio: hunc jussit Paulus secum egredi, & assumptum circumcidit illum propter Judæos qui erant in locis illis. Sciebant enim omnes quòd pater ejus Græcus erat.* Dignum est ut obstupescamus Pauli sapientiam, qui tantopere pugnavit propter circumcisionem, qui omnia moverat, & non prius destitit, quàm correxisset confirmatum dogma. Circumcidit discipulum, non solùm alios non prohibet, sed etiam ipse hoc facit, & ita omnino ad utilitatem spectabat, & nihil cum animi præcipitatione agebat. *Hunc voluit*, inquit, *secum egredi.* Mirabile hoc quod & illum assumit, *propter Judæos*, inquit, *qui erant in illis locis.* Hæc est causa circumcidendi: Non enim ferebant audire verbum ab incircumciso. Et cur? Vide opus: Circumcidit ut circumcisionem tollat. Dogma enim prædicabat Apostolorum. Vides pugnam & per pugnam ædificationem, non per alia impugnant, sed etiam ipsi contraria faciunt: Ita Ecclesiam ædificabant, dogma afferebant non circumcidendi, & circumcidit. *Et abundabant numero quotidie.* Vidisti utilitatem circumcisionis? Deinde non diutius moratur in illis locis. Visitandi enim gratia aderat. Sed quid? ultrà procedit. *Cum autem transirent per civitates, tradebant eis servanda decreta, quæ erant constituta ab Apostolis & Presbyteris, qui erant in Hierusalem.*

Κατήντησε δὲ εἰς Δέρβην καὶ Λύστραν. καὶ γὰρ ἀνοίας ἐστὶν εἰκῇ τρέχειν. τοῦτο καὶ ἡμεῖς ποιῶμεν· τοὺς πρώτους πρῶτον παιδεύωμεν, ἵνα μὴ οὗτοι ἐμπόδιον γίνωνται τοῖς μετὰ ταῦτα. ἐπισκεψώμεθα, φησι, τοὺς ἀδελφοὺς πῶς ἔχουσι· καὶ τοῦτο ἠγνόει εἰκότως, ἵνα ἐλθὼν τοὺς ἀδελφοὺς ἐπισκέψηται. ὅρα αὐτὸν ἀεὶ διεγηγερμένον, μεριμνῶντα, οὐκ ἀνειμένον καθῆσθαι, καίτοι μυρίους ὑπέμενε κινδύνους. ὁρᾷς ὅτι οὐ δειλίας ἦν τὸ εἰς Ἀντιόχειαν ἐλθεῖν; καθάπερ γὰρ ἰατρὸς ἐπὶ τοὺς κάμνοντας ἀπῄει. καὶ τὴν ἀνάγκην τῆς ἐπισκέψεως ἐδήλωσεν εἰπών, ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. ἀπέστη ὁ Βαρνάβας, καὶ οὐκέτι συνῆλθεν. ἐπιλεξάμενος, φησι, τὸν Σίλαν, καὶ παραδοθεὶς τῇ χάριτι τοῦ Θεοῦ. τί τοῦτό ἐστιν; ηὔξαντο, φησιν, ἐδεήθησαν τοῦ Θεοῦ. ὅρα πανταχοῦ μεγάλα δυναμένην τὴν εὐχὴν τῶν ἀδελφῶν. καὶ λοιπὸν πεζῇ ὥδευε, καὶ διὰ τῆς ὁδοιπορίας ὠφελῆσαι τοὺς ὁρῶντας βουλόμενος. εἰκότως. ὅτε μὲν γὰρ ἔσπευδον, ἔπλεον· νῦν δὲ οὐκ ἔτι. καὶ ἰδοὺ μαθητής τις ἦν ἐκεῖ ὀνόματι Τιμόθεος, υἱὸς γυναικὸς Ἰουδαίας πιστῆς, πατρὸς δὲ Ἕλληνος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. τοῦτον ἠθέλησεν ὁ Παῦλος σὺν αὐτῷ ἐξελθεῖν, καὶ λαβὼν περιέτεμεν αὐτὸν διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. ᾔδεισαν γὰρ ἅπαντες τὸν πατέρα αὐτοῦ ὅτι Ἕλλην ὑπῆρχεν. ἄξιον ἐκπλαγῆναι τοῦ Παύλου τὴν σύνεσιν. ὁ τοσαῦτα μαχεσάμενος περὶ τῆς περιτομῆς· ὁ πάντα κινήσας, καὶ μὴ πρότερον ἀποστὰς ἕως ὅτε κατώρθωσε, τοῦ δόγματος κυρωθέντος, περιτέμνει τὸν μαθητήν. οὐ μόνον ἑτέρους οὐ κωλύει, ἀλλὰ καὶ αὐτὸς τοῦτο ἐργάζεται. οὐδὲν Παύλου συνετώτερον· ὥστε πάντα πρὸς τὸ συμφέρον ἑώρα. οὐδὲν ἁπλῶς ἐποίει προλήψει. τοῦτον ἠθέλησε, φησιν, ἐξελθεῖν, σὺν αὐτῷ. τὸ θαυμαστὸν τοῦτο, ὅτι καὶ ἐπήγετο αὐτόν. διὰ τοὺς Ἰουδαίους, φησὶ, τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. αὕτη ἡ αἰτία τοῦ περιτεμεῖν. οὐ γὰρ ἂν ἠνέσχοντο παρὰ ἀπεριτμήτου τὸν λόγον ἀκοῦσαι. καὶ τί; ὅρα τὸ κατόρθωμα. περιτέμνει, ἵνα περιτομὴν καθέλῃ. τὰ δόγματα γὰρ ἐκήρυττε τὰ τῶν Ἀποστόλων. ὁρᾷς μάχην, καὶ διὰ μάχης οἰκοδομήν; οὐ παρ' ἑτέρων πολεμούμενοι, ἀλλὰ καὶ αὐτοὶ ἐναντία ποιοῦντες, οὕτω τὴν ἐκκλησίαν ᾠκοδόμουν. δόγμα εἰσήνεγκαν μὴ περιτέμνειν, καὶ περιέτεμεν. καὶ ἐπερίσσευον, φησι, τῷ ἀριθμῷ καθ' ἡμέραν. εἶδες τὸ κέρδος τῆς περιτομῆς; εἶτα λοιπὸν οὐκ ἐνδιατρίβει τούτοις, ὥστε ἐπισκέψασθαι ἐλθών· ἀλλὰ τί; πόρρω πρόεισιν. ὡς δὲ διεπορεύοντο τὰς πόλεις, παρεδίδουν αὐτοῖς φυλάσσειν τὰ δόγματα τὰ κεκριμένα ὑπὸ τῶν Ἀποστόλων, καὶ τῶν πρεσβυτέρων τῶν ἐν Ἱερουσαλήμ.

αἱ μὲν

„ Αἱ μὲν οὖν ἐκκλησίαι ἐστερεοῦντο τῇ πίστει, καὶ ἐπερίσσευον τῷ ἀριθμῷ καθ' ἡμέραν. „Διελθόντες δὲ τὴν Φρυγίαν, καὶ τὴν Γαλατικὴν χώραν, „κωλυθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος λαλῆσαι τὸν λόγον ἐν „τῇ Ἀσίᾳ. Τὴν Φρυγίαν καὶ τὴν Γαλατίαν ἀφέντες, εἰς τὴν Μεσογαίαν ἔσπευδον. „Ἐλθόντες κατὰ τὴν Μυσίαν ἐπείραζον εἰς τὴν Βιθυνίαν „πορεύεσθαι, καὶ οὐκ εἴασεν αὐτοὺς τὸ πνεῦμα. Διατί μὲν οὖν ἐκωλύθησαν, οὐ λέγει· ὅτι δὲ ἐκωλύθησαν, εἶπε, παιδεύων ἡμᾶς πείθεσθαι μόνον καὶ μὴ ζητεῖν τὰς αἰτίας· καὶ δεικνὺς, ὅτι πολλὰ καὶ ἀνθρωπίνως ἐποίουν. „Παρελθόντες δὲ τὴν Μυσίαν κατέβησαν εἰς „Τρωάδα. Καὶ ὅραμα διὰ τῆς νυκτὸς ὤφθη τῷ Παύλῳ. ἀνήρ τις ἦν Μα„κεδὼν, ἑστὼς παρακαλῶν αὐτὸν, καὶ λέγων· διαβὰς εἰς Μα„κεδονίαν, βοήθησον ἡμῖν. Διατί ὅραμα, καὶ μὴ τὸ πνεῦμα τὸ ἅγιον ἐκέλευσεν; ἐβούλετο αὐτοὺς, καὶ οὕτως ἐφέλκεσθαι. ἐπεὶ καὶ τοῖς ἁγίοις ὄναρ ἐφάνη. καὶ ἐξ ἀρχῆς αὐτὸς ὅραμα εἶδεν, ἄνδρα εἰσελθόντα, καὶ ἐπιθέντα αὐτῷ χεῖρας. εἶτα καὶ διὰ τοῦτο αὐτὸν ἐκεῖ ἕλκει, ἵνα ἐκτείνηται τὸ κήρυγμα. ἄλλως δὲ καὶ διὰ τοῦτο κωλύεται ἐνδιατρίψαι ταῖς ἄλλαις πόλεσιν, ἐπείγοντος αὐτὸν τοῦ Χριστοῦ. οὗτοι μὲν γὰρ ἔμελλον ἀπολαύσεσθαι Ἰωάννου, καὶ χρόνον πολὺν, καὶ ἴσως οὐδὲ πάνυ ἐδέοντο· ἐκεῖ δὲ ἀπελθεῖν ἔδει. καὶ ἀντιπεράσας „λοιπὸν ἔξεισιν. Ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως ἐζητήσαμεν ἐξελθεῖν „εἰς Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύ„ριος εὐαγγελίσασθαι αὐτούς. Ἀναχθέντες δὲ ἀπὸ Τρωάδος εὐθυ„δρομήσαμεν εἰς Σαμοθρᾴκην, τῇ τε ἐπιούσῃ εἰς Νεάπολιν, ἐκεῖ„θέν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς Μακεδονίας, πόλις κολώ„νια. ἦμεν δὲ ἐν αὐτῇ τῇ πόλει διατρίβοντες ἡμέρας τινάς. Ἐνταῦθα καὶ ὁ Χριστὸς φαίνεται, λέγων· ὅτι Καίσαρί σε δεῖ παραστῆναι. εἶτα λέγει καὶ τοὺς τόπους, ἅτε ἱστορίαν ἐξηγούμενος, καὶ δεικνὺς ποῦ ἐνεχρόνισε· καὶ δείκνυσιν ὅτι ἐν ταῖς μείζοσι, τὰς δὲ ἄλλας παρέτρεχεν. ἀξίωμά ἐστι πόλεως ἡ κολώνια. ἀλλ' ἄνωθεν ἴδωμεν τὰ εἰρημένα. ἀνάγκην περιτίθησι τῷ Βαρνάβᾳ τῆς ἀποδημίας, λέγων· ἐπισκεψώμεθα τὰς πόλεις ἐν αἷς κατηγγείλαμεν τὸν λόγον. καίτοι οὐκ ἔδει ἀξιοῦν αὐτὸν μέλλοντα κατηγορεῖν μετὰ ταῦτα. τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ γίνεται, καὶ τοῦ Μωσέως· ὁ μὲν ἀξιοῖ, ὁ δὲ ὀργίζεται, „οἷον ὡς ὅταν λέγῃ· εἰ ὁ πατὴρ αὐτῆς ἐνέπτυσεν εἰς τὸ πρόσωπον „αὐτῆς· καὶ πάλιν, ἄφες με καὶ θυμωθεὶς ἐξαλείψω τὸν λαὸν τοῦτον· καὶ ὁ Σαμουὴλ ὅταν πενθῇ τὸν Σαούλ· δι' ἑκατέρων γὰρ μεγάλα γίνεται ἀγαθά. οὕτω δὴ καὶ ἐνταῦθα, ὁ μὲν ὀργίζεται, ὁ δὲ οὐκέτι. τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται. καὶ ὁ παροξυσμὸς εἰκότως· ἵνα ἐκεῖνος παιδευθῇ, καὶ μὴ δόξῃ σκηνὴ τὸ πρᾶγμα εἶναι. οὐ γὰρ ἂν ὁ πανταχοῦ εἴκων, ἐνταῦθα οὐκ εἶξεν· οὐδ' ὁ οὕτω Παῦλον φιλῶν, ὥστε καὶ πρὸ τούτου ζητῆσαι αὐτὸν ἐν Ταρσῷ, καὶ πρὸς τοὺς Ἀποστόλους αὐτὸν ἀπενεγκεῖν, καὶ τὴν ἐλεημοσύνην κοινὴν ἐργάσασθαι, καὶ τὰ κατὰ τὸ δόγμα κοινῇ καταδέξασθαι. οὐκ ἂν οὖν διὰ τοιοῦτον πρᾶγμα ὠργίσθη· ἀλλὰ χωρίζονται ἀπ' ἀλλήλων, ὥστε παιδεῦσαι, καὶ ἀπαρτίσαι διὰ τοῦ χωρισμοῦ τοὺς δεομένους τῆς παρ' αὐτῶν διδασκαλίας. ὥσπερ οὖν καὶ ἀλλαχοῦ ποιεῖ λέγων· ὑμεῖς δὲ μὴ ἐκκακεῖτε τὸ καλὸν ποιοῦντες. καὶ ἐπιτιμᾷ μὲν ἑτέροις· κελεύει δὲ τὸ καλὸν ποιεῖν πρὸς πάντας. τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ποιοῦμεν. ἐνταῦθά μοι δοκοῦσι καὶ ἄλλοι συναγανακτῆσαι τῷ Παύλῳ· καὶ λοιπὸν κατ' ἰδίαν κἀκείνους λαβὼν πάντα ποιεῖ, καὶ παραινεῖ, καὶ νουθετεῖ. πολλὰ ἡ ὁμόνοια δύναται, πολλὰ ἡ ἀγάπη. κἂν ὑπὲρ μεγάλου ἀξιοῖς, κἂν ἀνάξιος ᾖς, ἀπὸ τῆς προαιρέσεως ἀκουσθήσῃ, μὴ φοβοῦ. Διήρχετο, φησι, τὰς πόλεις. καὶ ἰδοὺ ἦν μαθητὴς ὀνόματι Τιμόθεος, ὃς ἐμαρτυρεῖτο ὑπὸ τῶν ἐν Λύστροις καὶ Ἰκονίῳ ἀδελφῶν. μεγάλη ἡ πίστις Τιμοθέου, ὅτι ὑπὸ πάντων μαρτυρεῖται. ὅτε ἀπέστη Βαρνάβας, ἕτερον ἀντίρροπον εὑ„ρίσκει. περὶ τούτου, φησὶ, μεμνημένος σου τῶν δακρύων, καὶ τῆς ἀνυ„ποκρίτου σου πίστεως, ἥτις ἐνῴκησε πρῶτον ἐν τῇ μάμμῃ σου „Λωΐδι, καὶ τῇ μητρί σου Εὐνίκῃ. καὶ λαβὼν, φησὶ, περιέτεμεν αὐτόν. τίνος δὲ ἕνεκεν, αὐτὸς ἐπάγει, λέγων· διὰ τοὺς Ἰουδαίους τοὺς ὄντας ἐν τοῖς τόποις ἐκείνοις. διὰ τοῦτο τοίνυν περιτέμνεται· [ἢ] καὶ διὰ τὸν πατέρα. Ἕλλην γὰρ ἔμενεν ὤν. ἄρα οὐκ ἦν ἐμπερίτομος. ὅρα ἤδη τὸν νόμον λυόμενον. τισὶ δὲ δοκεῖ μετὰ τὸ κήρυγμα αὐτὸν τεχθῆναι· ἀλλ' οὐκ ἔστι τάχα τοῦτο. ἀπὸ βρέφους γὰρ, φησι, τὰ ἱερὰ γράμματα οἶδας. ἐκεῖνο τοίνυν ἐστὶν εἰπεῖν, ἢ εἰ μὴ τοῦτο, ὅτι ἔμελλεν αὐτὸν ἐπίσκοπον ποιεῖν, καὶ οὐκ ἔδει ἀκρόβυστον εἶναι. τέως δὲ ἔδει τὰ ἔθνη μηδὲν τοιοῦτον φυλάττειν. οὐ μικρὸν καὶ τοῦτο ἦν, ὅπου γε μετὰ τοσοῦτον χρόνον καὶ τοῦτο αὐτοὺς ἐσκανδάλιζεν. ἀρχὴ καταλύσεως ἦν, τὸ τὰ ἔθνη μὴ τηρεῖν ταῦτα, καὶ μηδὲν βλάπτεσθαι, μηδὲ ἔλαττον ἔχειν κατὰ τὴν πίστιν, ἑκόντες λοιπὸν ἀφίσταντο. ἐπεὶ οὖν ἔμελλε κηρύττειν, ἵνα μὴ διπλῆ πλήξῃ τοὺς Ἰουδαίους, περιέτεμε τοῦτον. καίτοι ἐξ ἡμισείας ἦν· ἀπὸ πατρὸς Ἕλληνος γὰρ ἦν καὶ πιστῆς μητρός· ἀλλ' ὅμως ἐπειδὴ μέγα ἦν ἐκεῖνο τὸ κατόρθωμα τὸ ἐν τοῖς ἔθνεσιν, οὐκ ἐφρόντιζε τούτου·

A *Itaque Ecclesiæ confirmabantur fide, & abundabant numero quotidie. Quum pertransissent autem Phrygiam, & Galaticam regionem, prohibiti sunt a Spiritu sancto, ne loquerentur sermonem in Asia.* Relicta Phrygia & Galatia in Mediterraneam festinant. *Ut autem venerunt per Mysiam: tentarunt in Bithyniam proficisci, & non permisit illos Spiritus.* Quare igitur prohibiti fuerunt, non dicit: quod autem prohibiti fuerint dicit, docens nos credere solùm, & non inquirere causas. Et ostendens quod multa etiam B humano more faciebant. *Ut autem transierunt Mysiam, descenderunt in Troadem, & visio per noctem apparuit Paulo. Vir quidam erat Macedo, stans, & obsecrans illum ac dicens: Transiens in Macedoniam, juva nos.* Quare visio, & Spiritus sanctus non prohibuit? Voluit illos etiam sic attrahere, alioquin & sanctis non est rarum videre visiones. Et ab initio ipse visionem viderat, *Virum ingressum, & imponentem sibi manus,* (Supr. 9, 12) posteà propter hoc illum trahit illuc, ut diffundat prædicatio- C nem. Etiam propter hoc prohibetur morari in aliis civitatibus, Christo ipsum urgente. Nam hi quidem fruituri erant Joanne multis temporibus, forsan non multum habebant opus. Illum autem abire oportebat, & in diversum posteà transiens proficiscitur. *Ut autem visionem vidit, statim quæsivimus proficisci in Macedoniam, certi facti, quod advocaverit nos Dominus ad evangelizandum illis. Ut autem solvimus à Troade, recto cursu venimus in Samothracen, sequenti die Neapolim, & inde Philip-* D *pos, quæ scilicet est prima Macedoniæ civitas, colonia: Eramus autem in illa civitate conversantes diebus aliquot.* Hic illi etiam Christus apparet, dicens: *Quia Cæsari oportet te assisti.* (Infra 23, 24) Deinde dicit etiam locos, utpote historiam narrans, & ostendens ubi moram traxerit, indicatque quod diutius in majoribus civitatibus, alias autem prætererit citius. Dignitas civitatis est esse coloniam. Sed iterum videamus quæ dicta sunt: Necessitatem Barnabæ injungit, dicens: *Visitemus civitates in quibus annun-* E *ciavimus sermonem,* quum non oporteret rogare illum, quem posteà accusaturus erat. Hoc autem & de Deo ac de Mose legimus: hic quidem rogat, ille autem irascitur, ut quando dicit: (Num. 12, 14) *Num pater ejus spuit in faciem ejus?* Et iterū: *Dimitte me, & iratus delebo populum hunc.* (Exod. 32, 32) Et Samuel quando luget Saulem. (1. Reg. 15, 35) Per utrumque enim magna bona fiunt. Ita sanè & hic ille quidem irascitur, sed non iste. Hoc etiam apud nos fit. *Et exacerbatio.* Meritò, ut ille instruatur, & ne videatur fabula esse quod agitur. A Non enim qui ubique cedit, hic non cessisset, & qui sic Paulum dilexit, ut etiam anteà quæsierit illum in Tarso, & adduxerit illum ad Apostolos, & communem fecerit eleemosynam, & quod ad dogma attinet, communiter susceperit. Itaque non propter hanc rem iratus fuisset, sed separantur alter ab altero, ut sic erudiant & perfectiores reddant per suam separationem, eos qui doctrina ipsorum habebant opus. Quemadmodum ergò & alibi facit, dicens: *Vos autem ne defatigemini bonum facientes.* (2. Thess. 3, 13) B Et increpat quidem alios, jubet autem benefacere erga omnes. Hoc etiam consuetudo habet. Hic mihi videntur etiam alii simul indignati esse Paulo. Et posteà seorsim etiam illis acceptis omnia facit, & admonens, & exhortans. Multum potest concordia, multum charitas, etiamsi pro re magna roges, etiamsi indignus sis, propter propositū audieris, ne time. *Perambulabat itaque civitates, & ecce erat Discipulus nomine Timotheus qui testimonium habebat à fratribus in Lystris & Iconio.* Magna fides C Timothei, quia ab omnibus testimonium habet. Quando discedit Barnabas, alium illi conferendum invenit. De hoc inquit: *Memor lachrymarum tuarum, & fidei tuæ nequaquam simulatæ, quæ sanè fuit primum in avia tua Loide, & matre tua Eunice.* (2. Tim. 1, 4) *Et assumptum illum,* inquit, *circumcidit.* Quare autem ipse addit, dicens: *Propter Judæos qui erant in locis illis;* proptereà illum circumcidit, vel etiam propter patrem. Gentilis igitur quum esset, mansit. Igitur non erat ex circumcisio- D ne. Vide jam legem solvi. Quibusdam autem videtur post prædicationem illum natum esse. Sed forsan hoc non est. *Ab infantia enim,* inquit, *sacras litteras nosti.* (2. Tim. 3) Igitur illud est dicendum, vel si non hoc, quia futurus erat Episcopus, & non decebat incircumcisum esse. Jam Gentibus nihil tale servandum. Neque hoc parvum erat, ubi scilicet post tantum tempus hoc illos offendebat. Initium destructionis erat, quod Gentes hæc non servabant, & nihil incommodabantur, neque minueban- E tur in fide; voluntariè enim posthac desistebant. Igitur prædicaturus, ne dupliciter verberet Judæos, circumcidit illum, quamvis ex dimidio esset: natus enim est ex patre Gentili, matreque fideli. Attamen quia magnum erat opus hoc quod inter Gentes, non curabat illud:

Sermonem enim oportebat dispergi, propter hoc & ipse illum A circumcidit. Vide etiam hoc loco magnum quiddam fieri, dum tibi contraria videtur facere, & quod factum bonum: *& abundabant numero*, inquit. Vide quòd non solùm nihil nocuit circumcisio, sed etiam plurimum profuit. *Ut autem visionem vidit, statim*, inquit, *quæsivimus proficisci in Macedoniam, certi facti quod advocavisset nos Deus.* Vide quod jam non per Angelum monetur, sicut Philippus & Cornelius: Sed quomodo? Per visionem apparet illi, aliquantò humanius, & B non jam divinius. Nam ibi quidem facilius creditur, & humanius apparet, illic autem violentius ac divinius. Nam ubi quidem solùm ut prædicaret festinavit, ad hoc somnium apparet ei: ubi verò non permittitur prædicare, ibi spiritus revelat. Sic & illic Petro: *Surge, descende.* Non enim facilia operatur spiritus, sed sufficit illi somnium. Quin & Josepho facilè credenti somnium apparet, aliis verò visio. Ita & Cornelio, & illi ipsi. *Et ecce*, inquit, *vir Macedo, stans, obsecrans, ac dicens.* Non C dixit imperans, sed *obsecrans*: hoc est, pro illis qui indigebant hac cura. Quid est συμβιβάζοντες, hoc est, conjectantes & certiores facti. Nam quia Paulus, & nullus alius vidit, & quod prohibitus est à spiritu, & quod apud terminos erant: ex his omnibus hæc collegerunt, quid faciendum. Et aliter: Etiam navigatio hoc declarabat. Non enim erat multum temporis ex quo in illam radicem Macedoniæ venerant. Et ita exacerbatio illa inter eos utiliter facta esse comprobatur. Alioqui Spi- D ritus sanctus non sic operatus fuisset, nec Macedonia sermonem suscepisset, tantusque profectus: Signum ex eo, quod non humanum quiddam factum, quamvis etiam non dixit, quod Barnabas exacerbatus sit, sed inter eos fuit exacerbatio. Si hic non exacerbatus est, nec ille. Hæc scientes oro ne simpliciter hæc eloquamur, sed discamus & doceamus: non enim temerè scripta sunt. Magnum malum est ignorare scripturas, si à quibus utilitatem capere oportebat, ab his incommodamur. E Ita & remedia sæpe naturam habentia curativam nescientibus his qui utuntur benè uti illis, corrumpunt ac pessundant. Et ab armis quibus se quis posset tutari, si nullus sit qui rectè circumponat, damnum accipi potest. Causa autem est, quia omnia magis quærimus quam animæ utilitatem, & aliena magis consideramus quam nostram utilitatem. Et domum quidem ut consistat sæpè quærimus, & non ferremus videre illam vetustate vel tempestate subversam vel collapsam: De A anima autem nulla est cura, sed licèt fundamenta ejus videamus putrefieri, & structuram ipsam, & ædificium: nullam tamen ejus rei habemus rationem. Iterum armenta habentes, quid illis prosit quærimus, & equis suos pastores ac medicos, & omnia benè prospicimus. Et domos curamus, & de concreditis admonemus. Ita ut non simpliciter neque temerè abigamus, neque onus imponamus, inque intempesta nocte educamus, neque alimenta vendamus, & apud nos sunt multæ le- B ges de bestiis curandis: de anima autem nullus est sermo. Iterum quid dico de bestiis quæ nobis utiles? Sunt multi qui passeres nullam utilitatem habentes pascant, sed solùm delitias, multæ etiam de illis leges, nihilque omittitur. Et omnia magis curamus quam nosipsos. Sic omnibus sumus ignobiliores. Et si quis per contumeliam nos dicat canes, dolemus: nos autem quando nosipsos contumelia afficimus, non verbo, sed opere, haud tantam adhibeamus diligentiam animæ, quantam canibus, C & nihil grave nos ferre putamus. Videtis quantis cuncta tenebris plena sunt? Quot sunt qui curant canes, ne plus quàm par est impleantur, & ita ut esseri præ fame & esurie venentur, seipsos autem non curant: & ita docent non deliciati, ut & bestiæ philosophiam discant: seipsos autem permittunt in ferinam sævitiam degenerare. Ænigma dixisse videor. Nam ubi sunt animalia philosopha? An non videtur tibi esse magnæ philosophiæ, quando canis qui mordet præ fame, postquàm in vena- D tione arripit & venatur, à præsenti esca abstinet, & mensam videns propositam, etiam fame urgente expectat dominum? Erubescite à vobisipsis, docete ventres vestros ut sint philosophi. Nulla vobis defensio est: qui potest indere naturæ brutæ, quæ neque loquitut neque rationem habet, tantam philosophiam, multò magis potest sibiipsi. Quia enim diligentiæ humanæ est, & non naturæ, oporteret alioqui omnes canes hoc habere, siatis saltem sicut canes. Vos me cogitis inde similitudines afferre. E Oportebat enim à cœlestibus. Quoniam autem si dixero tale quid, dicis, quod illa magna sunt, propter quod nihil dico cœleste: Et si dixero Paulum, dicetis quod ille Apostolus

A τὸν γὰρ λόγον ἔδει καταπαρῆναι. διὰ τοῦτο καὶ αὐτὸς αὐτὸν περιέτεμεν. ὅρα καὶ ἐνταῦθα ἀπὸ ἐναντιώσεως μέγα τι γινόμενον ἀγαθόν. καὶ ἐπερίσσευον τῷ ἀριθμῷ, φησίν. ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν ἔβλαψε περιτομὴ, ἀλλὰ καὶ τὰ μέγιστα ὠφέλησεν; ὡς δὲ τὸ ὅραμα εἶδεν, εὐθέως, φησὶν, ἐζητήσαμεν ἐξελθεῖν εἰς τὴν Μακεδονίαν, συμβιβάζοντες ὅτι προσκέκληται ἡμᾶς ὁ Κύριος. ὅρα, οὐκ ἔτι δι' Ἀγγέλου καθάπερ Φιλίππῳ, καθάπερ Κορνηλίῳ· ἀλλὰ τί; δι' ὁράματος B φαίνεται αὐτῷ· λοιπὸν ἀνθρωπινώτερον, οὐκέτι θειοτέρως. ἔνθα μὲν γὰρ εὐκολώτερον τὸ πεισθῆναι, ἀνθρωπινώτερον· ἔνθα δὲ πολλὴ ἡ βία, θειότερον. ὅπου μὲν γὰρ κηρύξαι ἠπείγετο μόνον, εἰς τοῦτο ὄναρ φαίνεται αὐτῷ· ὅπου δὲ μὴ κηρύξαι οὐκ ἠνείχετο, εἰς τοῦτο πνεῦμα ἅγιον ἀποκαλύπτει. οὕτω καὶ ἐκεῖ τῷ Πέτρῳ· ἀναστὰς κατάβηθι. οὐ γὰρ δὴ καὶ τὰ εὔκολα ἐργάζεται τὸ πνεῦμα, ἀλλ' ἤρκει καὶ ὄναρ αὐτῷ. καὶ τῷ Ἰωσὴφ δὲ ῥᾳδίως πειθομένῳ ὄναρ φαίνεται· τοῖς δὲ ἄλλοις ὕ- C παρ. οὕτω καὶ Κορνηλίῳ, καὶ αὐτῷ τούτῳ. καὶ ἰδοὺ, φησὶν, ἀνὴρ Μακεδὼν ἑστὼς, παρακαλῶν, καὶ λέγων. οὐκ εἶπεν ἐπιτάττων, ἀλλὰ παρακαλῶν· τουτέστιν, ὑπὲρ αὐτῶν τῶν δεομένων τῆς θεραπείας. τί ἐστι συμβιβάζοντες; στοχαζόμενοι, φησί. τῷ τε γὰρ Παῦλον ἰδεῖν, καὶ μηδένα ἕτερον, καὶ τῷ κωλυθῆναι ὑπὸ τοῦ πνεύματος, καὶ τῷ πρὸς τοῖς ὅροις εἶναι, ἀπὸ τούτων ἁπάντων ταῦτα συνῆγον. ἄλλως δέ· καὶ ὁ πλοῦς τοῦτο ἐνέφαινεν. οὐ γὰρ ἐγένετο χρόνος πολὺς, ὅθεν εἰς αὐτὴν D τὴν ῥίζαν τῆς Μακεδονίας παραγίνονται. ὥστε ὁ παροξυσμὸς συμφερόντως οἰκονομεῖται γεγένηται. οὐκ ἂν γὰρ ἐνήργησε τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἂν τὸν λόγον Μακεδονία ἐδέξατο. ἡ δὲ τοσαύτη προκοπὴ, σημεῖον τοῦ μὴ εἶναί τι ἀνθρώπινον τὸ γεγονός. καίτοι οὐκ ἔφη ὅτι Βαρνάβας παρωξύνθη· ἀλλὰ μεταξὺ αὐτῶν παροξυσμὸς ἐγένετο. εἰ οὗτος οὐ παρωξύνθη, οὐδὲ ἐκεῖνος. ταῦτα εἰδότες, μὴ ἁπλῶς δὴ αὐτὰ ἐκλέγωμεν, ἀλλὰ μανθάνωμεν καὶ παιδευώμεθα. οὐ γὰρ εἰκῇ γέγρα- E πται. μέγα κακὸν ἀγνοεῖν γραφάς. ἀφ' ὧν ὠφελεῖσθαι δεῖ, ἀπὸ τούτων βλαπτόμεθα. οὕτω καὶ φάρμακα πολλάκις φύσιν ἔχοντα θεραπευτικὴν, οὐκ εἰδότων τῶν χρωμένων καλῶς χρῆσθαι αὐτοῖς, διαφθείρει καὶ ἀπόλλυσι· καὶ ὅπλα δυνάμενα φυλάξαι, ἂν μηδεὶς αὐτὰ εἰδῇ περιθέσθαι, ὑπ' αὐτῶν διαφθείρεται· τὸ δὲ αἴτιον, ὅτι πάντα μᾶλλον ζητοῦμεν, ἢ τὸ τῆς ψυχῆς ὄφελος· καὶ τὰ ἀλλότρια μᾶλλον σκοποῦμεν, ἢ τὸ ἡμέτερον συμφέρον. καὶ οἰκίας μὲν σύστασιν A πολλάκις ζητοῦμεν, καὶ οὐκ ἂν ἀνασχοίμεθα παλαιωμένην αὐτὴν ἰδεῖν, οὐδὲ καταπίπτουσαν, οὐδὲ ὑπὸ χειμώνων ἐπηρεαζομένην. περὶ δὲ τῆς ψυχῆς οὐδεμία φροντίς· ἀλλὰ κἂν τοὺς θεμελίους αὐτῆς ἴδωμεν σηπομένους, κἂν τὴν οἰκοδομὴν καὶ τὴν ὀροφὴν, οὐδεὶς ἡμῖν ὁ λόγος ἐστί. πάλιν ἄλογα ἂν ἔχωμεν, τὸ συμφέρον αὐτῶν ζητοῦμεν, καὶ ἱπποφορβοὺς, καὶ ἱππιατροὺς, καὶ πάντα κάλων κινοῦμεν, καὶ οἰκίας ἐπιμελούμεθα, καὶ τοῖς ἐμπεπιστευμένοις παραινοῦμεν, ὥστε μὴ ἁπλῶς B μηδὲ ὡς ἔτυχεν ἐλαύνειν, μηδὲ βάρος ἐπιθεῖναι, μηδὲ ἀωρὶ τῶν νυκτῶν ἐξάγειν, μηδὲ τὰς τροφὰς ἀπεμπολεῖν, καὶ πολλοὶ νόμοι περὶ τοῦ συμφέροντος τῶν ἀλόγων κεῖνται παρ' ἡμῖν· τῆς δὲ ψυχῆς λόγος οὐδείς. πάλιν τί λέγω περὶ ἀλόγων τῶν χρησίμων ἡμῖν; εἰσὶ πολλοὶ οἳ στρουθοὺς ἔχουσιν οὐδὲν ἔχοντας χρήσιμον, ἀλλ' ἢ ἁπλῶς τέρποντας, καὶ πολλοὶ καὶ περὶ ἐκείνων νόμοι, καὶ οὐδὲν ἠμελημένον οὐδὲ ἄτακτόν ἐστι, καὶ πάντων μᾶλλον ἐπιμελούμεθα, ἢ ἡμῶν αὐτῶν. οὕτω C πάντων ἐσμὲν ἀτιμότεροι· κἂν μέν τις ὑμᾶς ὑβρίζων εἴπῃ, κύων, ἀλγοῦμεν· ἡμεῖς δὲ ἡμᾶς αὐτοὺς ὑβρίζοντες οὐ λόγῳ, ἀλλ' ἔργῳ, καὶ μηδὲ τοσαύτης μεταδιδόντες ἐπιμελείας τῇ ψυχῇ ὅσης τοῖς κυσὶν, οὐδὲν ἡγούμεθα πάσχειν δεινόν. ὁρᾶτε ὅσου σκότους τὰ πάντα ἐμπέπλησται; πόσοι φροντίζουσι τῶν κυνῶν, ὥστε μὴ πλέον τοῦ δέοντος ἐμπλησθῆναι, ὥστε ὀξεῖς εἶναι, καὶ θηρατικοὺς ὑπὸ τοῦ λιμοῦ. καὶ τῆς πείνης ἀθουμένους· ἑαυτῶν δὲ οὐκ ἐπιμελοῦνται οὐδὲ ἐπιστατοῦσιν ὥστε μὴ τρυφᾶν. καὶ τὰ μὲν ἄλογα φιλοσοφεῖν δι- D δάσκουσιν· αὐτοὶ δὲ εἰς τὴν τῶν ἀλόγων θηριωδίαν ἀνέχονται καταγόμενοι. αἴνιγμα τὸ πρᾶγμά ἐστι. καὶ ποῦ τὰ ἄλογα φιλόσοφα, φησίν; ἢ οὐ δοκεῖ σοι φιλοσοφίας εἶναι μεγάλης, ὅταν κύων διακνόμενος ὑπὸ τοῦ λιμοῦ, μετὰ τὸ λαβεῖν καὶ θηρεῦσαι παρούσης ἀπέχηται τῆς τροφῆς, καὶ τράπεζαν ὁρῶν παρακειμένην, καὶ τοῦ λιμοῦ κατεπείγοντος ἀναμένει τὸν δεσπότην; αἰσχύνθητε ἑαυτούς· παιδεύσατε τὰς ὑμετέρας γαστέρας οὕτως εἶναι φιλοσόφους. οὐκ E ἔστιν ὑμῖν ἀπολογία. ἀλόγῳ φύσει δυνηθεὶς ἐνθεῖναι, οὔτε φθεγγομένῃ, οὔτε λογισμὸν ἐχούσῃ τοσαύτην φιλοσοφίαν, πολλῷ μᾶλλον δυνήσῃ σαυτῷ· ὅτι γὰρ ἐπιμελείας ἀνθρωπίνης ἐστὶ, καὶ οὐ φύσεως, ἐχρῆν ἅπαντας τοῦτο τοὺς κύνας ἔχειν. γένεσθε οὖν κἂν τοὺς κύνας. ὑμεῖς με ἀναγκάζετε ἐκεῖθεν τὰ παραδείγματα φέρειν. ἔδει μὲν γὰρ ἀπὸ τῶν οὐρανίων· ἐπειδὴ δὲ ἂν εἴπω τι τοιοῦτον, λέγετε ὅτι ἐκεῖνα μεγάλα εἰσὶ, διὰ τοῦτο οὐδὲν λέγω τῶν οὐρανίων. κἂν εἴπω τὸν Παῦλον, λέγετε ὅτι ἐκεῖνος ἀπό-

στολος

στολος ἦν· διὰ τοῦτο οὐδὲ Παῦλον λέγω. ἂν εἴπω ἄνθρωπον, λέγετε ὅτι ἐκεῖνος ἠδύνατο. διὰ τοῦτο οὐδὲ ἄνθρωπον λέγω, ἀλλὰ θηρίον, καὶ θηρίον οὐ φύσει τοῦτο ἔχον, ἵνα μὴ εἴπητε ὅτι φύσει, καὶ οὐ προαιρέσει τοῦτο κατώρθωσε. καὶ τὸ δὴ θαυμαστὸν, προαιρέσει οὐκ οἰκείᾳ, ἀλλὰ τῇ σῇ ἐπιμελείᾳ. οὐχ ὅτι κατεκόπη, οὐχ ὅτι διεσπάσθη τῷ δρόμῳ, οὐχ ὅτι τοῖς οἰκείοις αὐτοῦ πόνοις ἔλαβεν ἐννοεῖ· ἀλλὰ πάντα ταῦτα ῥίψας ἔξω, τὸ τοῦ δεσπότου πρόσταγμα φυλάττει, καὶ γαστρὸς ἀνώτερον γίνεται. ναί, φησι· προσδοκᾷ γὰρ ἐπαινεθήσεσθαι· προσδοκᾷ πλείονος ἀπολαύσεσθαι τραπέζης. εἰπὲ οὖν καὶ σαυτῷ, ὅτι ὁ κύων ἐλπίδι μελλούσης ἡδονῆς, τῆς παρούσης καταφρονεῖ· σὺ δὲ οὐ βούλει ἐλπίδι τῶν μελλόντων ἀγαθῶν τῶν παρόντων καταφρονεῖν· ἀλλ' ἐκεῖνος μὲν οἶδεν ὅτι ἂν ἀκαίρως, καὶ παρὰ τὸ τῷ δεσπότῃ δοκοῦν τῆς τροφῆς ἀπογεύσηται, κἀκείνης ἀποστερηθήσεται, καὶ οὐδὲ τῆς ὡρισμένης ἔχει, πληγὰς λαβὼν ἀντὶ τῆς τροφῆς· σὺ δὲ οὐδὲ τοῦτο δύνασαι ἰδεῖν, καὶ ὅπερ ἀπὸ τῆς συνηθείας ἔμαθεν ἐκεῖνος, τοῦτο σὺ ἀπὸ λόγου οὐ κατορθοῖς. μιμησώμεθα τοὺς κύνας. τοῦτο λέγονται καὶ ἱέρακες ποιεῖν, καὶ ἀετοί. ὅπερ ἐπὶ τῶν ἀλόγων, καὶ τῶν δορκάδων ἐκεῖνοι, τοῦτο ἐπὶ τῶν ὀρνίθων οὗτοι· καὶ οὗτοι δὲ πάλιν ἀπὸ φιλοσοφίας ἀνθρωπίνης. ταῦτα ἡμᾶς καταδικάσαι ἔχει· ταῦτα ἡμᾶς ἑλεῖν. εἴπω καὶ ἕτερον, ἵππους ἀγρίους καὶ ἀνημέρους λαβόντες, λακτίζοντας καὶ δάκνοντας, ἐν βραχεῖ χρόνῳ οὕτω παιδεύουσιν οἱ ἔμπειροι, ὡς τὸν ἐπιβάτην τρυφᾶν τὸν ἐπικαθήμενον τῷ τῆς βαδίσεως εὐτάκτῳ. τῆς δὲ ψυχῆς ἄτακτα βαδιζούσης, οὐδεὶς ἐπιμελεῖται, ἀλλὰ καὶ πηδᾷ, καὶ λακτίζει, καὶ σύρεται χαμαὶ καθάπερ παιδίον, καὶ ἀσχημονεῖ μυρία, καὶ οὐδεὶς αὐτῇ ψαλίδας περιτίθησιν, οὐδὲ ποδόστροφα, οὐδὲ χαλινοὺς, οὐδὲ ἐπικαθίζει τὸν ἔμπειρον ἐπιβάτην, τὸν Χριστὸν λέγω. διά τοι τοῦτο πάντα ἄνω καὶ κάτω γέγονεν. ὅταν γὰρ καὶ γαστρὸς κρατεῖν κύνας παιδεύῃς, καὶ θυμὸν ἐν λέουσι δαμάζῃς, καὶ ἀταξίαν ἐν ἵπποις, καὶ εὐγλωττίαν ἐν ὄρνισι, πῶς οὐκ ἄτοπον ἐν μὲν ἀλόγοις φύσεσι λογικὰ ἐνθεῖναι κατορθώματα· ἐν δὲ λογικαῖς τὰ τῶν ἀλόγων ἐπεισάγειν πάθη; οὐκ ἔστιν ἡμῖν, οὐκ ἔστι συγγνώμη. πάντες ἡμῶν κατηγορήσουσιν οἱ κατωρθωκότες, καὶ πιστοὶ καὶ ἄπιστοι. καὶ γὰρ καὶ ἄπιστοι κατώρθωσαν, καὶ θηρία, καὶ κύνες, οὐκ ἄνθρωποι μόνον· καὶ ἡμεῖς ἡμῶν αὐτῶν κατηγορήσομεν, ὅταν μὲν βουλώμεθα κατορθοῦντες, ὅταν δὲ ῥαθυμοῦμεν, καταπιπτόμενοι. καὶ γὰρ καὶ τῶν ἐν σφόδρα κακίᾳ ὄντων, πολλοὶ πολλάκις θελήσαντες μετέβαλον. τὸ δὲ αἴτιον, ὅπερ ἔφην, ὅτι περιερχόμεθα ἑτέρων συμφέροντα ζητοῦντες, οὐ τὰ ἡμέτερα. ἂν οἰκίαν οἰκοδομήσῃς λαμπρὰν, τὸ τῆς οἰκίας συμφέρον εἶδες, οὐ τὸ σόν· ἂν ἵππον καλὸν, ὡσαύτως. οὐδεὶς ὅπως ἔσται ψυχὴ καλὴ σκοπεῖ· καίτοι ταύτης οὔσης καλῆς, οὐδενὸς ἐκείνων δεῖ· οὐκ οὔσης δὲ, οὐδὲν ἐξ ἐκείνων ὄφελος. καθάπερ γὰρ ἐπὶ νύμφης, κἂν παστάδες ὦσιν ἐκ παραπετασμάτων χρυσῶν, κἂν χοροὶ ὦσι γυναικῶν εὐειδεστάτων καὶ καλῶν, κἂν ῥόδα, κἂν στέμματα, κἂν ὁ νυμφίος καλὸς ᾖ, κἂν αἱ θεράπαιναι, κἂν αἱ φίλαι, κἂν πάντες εὐπρεπεῖς ὦσιν, ἐκείνη δὲ ἀμορφίας ᾖ μεστὴ, ὄφελος οὐδέν· ὥσπερ οὖν οὐδὲ καλῆς οὔσης, βλάβος τι γένοιτ' ἂν ἀπὸ τούτων, ἀλλὰ καὶ τοὐναντίον. ἀπὸ μὲν γὰρ ἐκείνων ἀμόρφου οὔσης, ἀμορφοτέρα ἂν φανείη· ἀπὸ δὲ τούτων ὡραιοτέρα ἂν γένοιτο. οὕτω δὴ καὶ ψυχὴ, ὅταν ᾖ καλὴ, οὐ μόνον οὐδενὸς δεῖται τούτων, ἀλλὰ καὶ συσκιάζει τὸ κάλλος αὐτῆς. τὸν γὰρ φιλόσοφον, οὐχ οὕτως ἐν πλούτῳ, ὡς ἐν πενίᾳ ὀψόμεθα λάμποντα. ἐκεῖ μὲν γὰρ τοῖς χρήμασι τοῦτο πολλοὶ λογίζονται, καὶ τῷ μὴ ἐνδεᾶ χρημάτων εἶναι· ὅταν δὲ πενίᾳ συζῇ, καὶ διὰ πάντων λάμπῃ, καὶ μηδὲν αἰσχρὸν ἀναγκάζηται ποιεῖν, οὐκ ἔτι ἄλλος τις διανέμεται πρὸς αὐτὸν τὸν ἐπὶ τῇ φιλοσοφίᾳ στέφανον. ταύτην οὖν καλλωπίζωμεν, εἴγε βουλοίμεθα πλουτεῖν. τί τὸ ὄφελος, ὅταν αἱ μὲν ἡμίονοι λευκαὶ ὦσι, καὶ σφριγῶσαι, καὶ εὐσωματοῦσαι· σὺ δὲ ὁ καθήμενος λεπτὸς, καὶ ψωραλέος, καὶ δυσειδής; τί δαὶ τὸ κέρδος, ὅταν τὰ μὲν στρώματα ἁπαλὰ, καὶ καλὰ ᾖ, καὶ πολλῆς ποικιλίας γέμοντα καὶ τέχνης· ἡ δὲ ψυχὴ ῥάκια περιβεβλημένη ᾖ καὶ γυμνὴ, καὶ αἰσχρά; τί τὸ κέρδος, ὅταν ὁ μὲν ἵππος εὔτακτα βαδίζῃ, καὶ χορεύοντι μᾶλλον ἐοικὼς ᾖ βαδίζοντι, καὶ μετὰ τῆς χορείας κόσμῳ κεκοσμημένος ᾖ νυμφικῷ· ὁ δὲ ἐπικαθήμενος τῶν χωλῶν μᾶλλον ἀσκωλιάζῃ, καὶ τῶν μεθυόντων, καὶ τῶν μαινομένων μᾶλλον διεστραμμένος ᾖ καὶ χεῖρας καὶ πόδας; εἰπὲ δή μοι· εἴ τίς σοι ἵππον ἐδίδου καλὸν, καὶ τὸ σῶμα διέστρεφε, τί τὸ ὄφελος; νῦν ψυχὴν διεστραμμένην ἔχεις, καὶ οὐδέν σοι μέλει; φροντίσωμεν ἡμῶν αὐτῶν ποτε, παρακαλῶ. μὴ δὴ πάντων ἀτιμοτέρους ἡμᾶς αὐτοὺς καταστήσωμεν. κἂν μὲν ῥήμασί τις ὑβρίζῃ, δακνόμεθα καὶ ἀλγοῦμεν· πράγμασι δὲ ἑαυτοὺς ὑβρίζοντες, οὐκ ἐπιστρεφόμεθα. ἀνανήψωμεν ὀψὲ γοῦν ποτε· ἵνα δυνηθῶμεν, καὶ τῆς ψυχῆς πολλὴν τὴν ἐπιμέλειαν ποιούμενοι, καὶ τῆς ἀρετῆς ἐπιλαβόμενοι, τῶν αἰωνίων τυχεῖν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A fuerit: si dixero hominem, dicetis quod ille potuit: Propter hoc neque hominem dico, sed bestiam. Et bestiam quæ hoc non habet à natura, ne dicatis quod natura, & non electione hoc fecit. Et profectò mirabile, quod non sua electione, sed tua diligentia: non quod fatigata, non quod cursu dilacerata, non quod suis laboribus apprehendit, considerat, sed omnibus illis foras missis, domini præceptum servat, & ventre fit superior. Etiam, inquit, expectat enim laudari, expectat majore
B frui mensa. Dic igitur & tibi ipsi, quod canis spe futuræ voluptatis præsentem contemnit, tu autem non vis spe futurorum bonorum, præsentia despicere: sed ille quidem scit quod si intempestivè, & secus quàm Domino placet alimentum degustat, etiam illo privatur, & neque constitutos cibos accipit, sed plagas pro alimento. Tu autem neque hoc potes videre, & id quod à consuetudine didicit ille, hoc tu per rationem tuam non corrigis. Imitemur canes. Hoc dicuntur facere & aqui-
C læ & accipitres. Et sicut se gerunt canes in feras & capreas: ita illæ in volucres, & idipsum ab humana institutione. Hæc nos condemnare possunt. Hæc nos trahere. Dicam & aliud: Equos agrestes & indomitos apprehensos, licèt recalcitrent ac mordeant, in tam brevi tempore ita periti erudiunt, ut eques ex composito incessu, insidens oblectetur. Animam autem, quum absque ordine graditur, nullus curat, sed & saltat & calcitrat, & humi trahit, sicut puellus, & multa fœdè agit. & nullus illi ad-
D hibet psalides & retinacula pedum, & frænos, neque insidet peritus eques, Christum dico. Propter hoc omnia confusa sunt: Nam quia etiam canes doces imperare ventri. & furorem in leone domas, & ferociam in equo, doces etiam loqui aves: quomodo non absurdum brutis naturis rationalia indere opera: in rationalem autem. brutorum ingenia & affectiones introducere? Nulla nobis est venia. Omnes qui benè agunt, nos accusant, tam fideles quam infideles. Nam & infideles benè agunt, &
E bestiæ, & canes, & non soli homines, sed & nos nosipsos accusabimus, quandoquidem voluerimus benè agere. Si autem ignavi fuerimus, exsibilabimur. Etenim qui excellenter mali sunt, multi sæpe. quia voluerunt, mutati sunt. Causa autem hæc quam dixi: Quia ambulamus quærentes quæ nostra sunt, non quæ proximorum. Si domum extruxeris magnificam, domus utilitatem, non tuam vidisti: si equum bonum curaveris, similiter. Nullus solicitus est, ut sit anima bona: quamvis ubi
A hæc bona fuerit, non est illis opus; si autem non, neque ex illis utilitas est. Sicut & de sponsa dicitur, licèt thalami sint ex velaminibus aureis, etsi sunt chori mulierum pulcherrimarum, etsi rosæ ac corollæ, etsi sponsus pulcher sit, etsi ministræ, etsi amicæ, etsi omnes decentes sint, illa autem deformitate plena, nulla utilitas: sicut neque damnum, si illa pulchra sit, ex illis. Quin & contrarium est, nam si deformis est, ab illis deformior apparet, ab istis autem pulchrior fieret. Ita certè etiam anima
B habet, quando pulchra est, non solùm non opus habet illis, sed etiam obumbrat pulchritudo illius. Philosophum enim non sic videmus in divitiis, ut in paupertate fulgentem: nam illic quidem multi opibus adscribunt virtutem, & quia non indiget pecuniis. Quando autem in paupertate agit, & per omnia clarescit, & nihil turpe admittit, jam nulla corona afferri potest ejuscemodi. Hanc igitur ornemus. si quidem voluerimus di-
C tari. Quæ utilitas, quando mulæ quidem albæ sunt, & pingues ac obesæ: tu autem insidens, macer, scabiosus es, ac deformis? Quæ etiam utilitas, si lecti quidem molles, & variè ornati: anima autem pannosa, nuda ac deformis? Quod lucrum, quando equus quidem compositè ambulat, & saltandi quam gradienti similior est, & cum saltatione ornatus mundo nuptiali, insidens magis claudicet claudis, & ebriis. & insanientibus, distortisque sit pedibus ac manibus? Dic sanè mihi, si quis tibi daret equum bonum & corpus vulneraret. quæ utilitas? Nunc animam di-
D stortam habes, & non est tibi curæ. Curemus nosipsos aliquando, obsecro, oro, ne nos exhibeamus ignominiosiores ac fœdiores quam illi sunt & siquidem verbis convicia in nos jactet quis, mordemur ac dolemus, re autem ipsa nosipsos contumelia afficimus & non convertimur. Resipiscamus vel tardè, ut possimus etiam animæ magnam curam facientes, & virtutem amplexantes, æterna bona assequi, gratia & misericordia Domini no-
E stri Jesu Christi, cum quo Patri simul, ac Spiritui sancto gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA XXXV.

Die autem Sabbatorum, egressi sumus civitatem ad flumen ubi putabatur oratio esse, & sedentes loquebamur mulieribus quæ convenerant. Et mulier quædam, nomine Lydia, purpurarum venditrix, ex civitate Tyatiris, colens Deum, audiit; cujus cor Dominus aperuit, ut attenderet his quæ dicebantur à Paulo.

VIde iterum Paulum Judaizantem, temporisque ac loci rationem habentem. *Ubi putabatur*, inquit, *oratio esse.* Non enim solum ubi synagoga erat, sed etiam foris precabantur, ita ut locum segregarent, quoniam crassiores erant Judæi. *Die autem Sabbatorum*, quando verisimile erat & turbam concursuram. *Et sedentes loquebamur mulieribus quæ convenerant. Et mulier quædam, nomine Lydia, purpurarum venditrix, ex civitate Tyatiris, colens Deum audiit, cujus Dominus aperuit cor ut attenderet his quæ dicebantur à Paulo.* Vide iterum, ut est alienus à fastu. Mulier & humilis ista. Et manifestum ab arte, sed vide quantæ sapientiæ fuerit. Principio quidem datur ei hoc testimonium *quod coluerit Deum.* Deinde quod ipsa vocarit Apostolos. *Ut autem baptizata est illa & domus illius, obsecravit, dicens: Domini mei, si judicatis me fidelem Deo esse, ingressi in domum meam manete: & coegit nos.* D *Ut autem baptizata est*, inquit, *illa, & domus illius.* Considera quomodo omnibus persuasit. Deinde vide sapientiam quomodo blandè loquatur Apostolis, quanta humilitate plena sint verba. *Si judicatis me fidelem Domino.* Nihil contemptibile in his. Quem non mollirent hæc verba? non rogavit simpliciter, non permisit Dominos esse, sed & coëgit valde. Hoc enim est, *coegit nos*, id est, verbis. Vide quomodo statim fructum facit, & magnum lucrum putat vocationem. Quod E autem fidelem judicaveritis manifestum ex eo quod concredidistis mihi talia sacramenta, quæ nequaquam tradidissetis, si me judicassetis indignam. Et non ausa fuit anteà vocare, quam baptizata fuit, manifestum faciens, quod non aliter persuasisset. Quare autem Paulus & sui primum non assenserunt, ita ut etiam cogerentur? vel quod illam provocabant ad majorem alacritatem, vel quoniam dixit Christus: *In quamcunq; civitatem ingressi fueritis, quis sit dignus interrogate, & illic manete.* Atque A

Luc. 10, 7. ita omnia singulari dispensatione fiunt: *Factum est autem euntibus nobis ad orationem, ut puella quædam habens spiritum Pythonis occurreret nobis, quæ quæstum magnum præstabat dominis suis divinando. Hæc subsequuta Paulum ac nos, clamabat dicens: Isti homines, servi Dei altissimi sunt, qui annunciant nobis viam salutis.* Quid? Numquid & dæmon hæc loquebatur, & Paulus prohibuit? & ille malignè agebat, & hic prudenter. Voluit enim hunc non esse dignum fide. Si enim admisisset B illius testimonium Paulus, multos etiam fideles decepisset, utpote ab illo approbatus. Propterea sustinet quæ per se dicunt, ut finem illi faciat. Et ipse permissione quadam usus ad illius interitum. Igitur primum quidem admisit Paulus, & respuit, non volens simpliciter injicere signis. Ubi autem perseveravit hoc dicere diebus multis, & opus monstrabat: *Hi homines*, inquit, *servi Dei altissimi sunt, qui sanè annunciant nobis viam salutis*, tunc præcipit illi ut exiret: *Sed molestè ferens Paulus &* C *conversus spiritui dixit: Præcipio tibi per nomen Jesu Christi, ut exeas ab ea. & exiit in illa hora. Videntes autem domini ejus, quod actum esset de spe quæstus sui, apprehensum Paulum ac Silam traxerunt in forum ad Principes, & offerentes eos magistratibus, dixerunt: Hi homines turbarunt civitatem nostram, quum sint Judæi, & annunciarunt mores, quos non licet nobis suscipere, neq; servare, quum simus Romani.* Ubique malorum causa pecunia. O Paganorum inhumanitatem! ut augeant pecuniam, D puellam à dæmoniis vexari volunt, *Arrepto Paulo & Sila, dixerunt*, inquit. *Hi homines turbarunt civitatem nostram.* Quidnam fecerant? Quare igitur antehac non attraxistis? *Judæi*, inquit, *quum sint.* Ita nomen cavillabantur. *Et annunciant nobis mores, quos non licet nobis suscipere, neq; facere quum Romani simus.* Majestatis læsæ crimen dicunt. Et simul insurrexit turba contra illos. O inconsiderantiam! non exquisierunt, neque communicarunt sermone, quamvis tanto mira- E culo facto, adorare oportebat ut servatores ac benefactores habere: nam si pecunias volebatis, quare his divitiis inventis, non accurristis? Posse dæmones abigere clariores reddit, quàm ipsis credere: Ecce & hic signa, sed pecuniarum cupiditas plus valuit. *Et militum Principes disruptis vestibus suis, jusserunt eos virgis cædi, cùmque multas plagas eis imposuissent,*

ΟΜΙΛΙΑ λέ.

A Τῇ δὲ ἡμέρᾳ τῶν σαββάτων ἐξήλθομεν ἔξω τῆς πόλεως παρὰ ποταμὸν, οὗ ἐνομίζετο προσευχὴ εἶναι, καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν ἤκουσεν· ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου.

B ΟΡΑ πάλιν ἰουδαΐζοντα τὸν Παῦλον, καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ τρόπου. οὗ ἐνομίζετο, φησὶ, προσευχὴ εἶναι. οὐ γὰρ δὴ ἔνθα συναγωγὴ ἦν μόνον, ἀλλὰ καὶ ἔξω ηὔχοντο, ὥσπερ τόπον τινὰ ἀφορίζοντες, ἅτε σωματικώτεροι ὄντες Ἰουδαῖοι. τῇ ἡμέρᾳ δὲ τῶν σαββάτων, ὅτε καὶ ὄχλον εἰκὸς ἦν συνελθεῖν. καὶ καθίσαντες ἐλαλοῦμεν ταῖς συνελθούσαις γυναιξί. καί τις γυνὴ ὀνόματι Λυδία, πορφυρόπωλις, πόλεως Θυατείρων, σεβομένη τὸν Θεὸν, ἤκουσεν, ἧς ὁ Κύριος διήνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύ- C λου. ὅρα τὸ ἄτυφον πάλιν. γυνὴ καὶ ταπεινὴ αὕτη, καὶ δῆλον ἀπὸ τῆς τέχνης. ἀλλ᾽ ὅρα τὸ φιλόσοφον αὐτῆς. πρῶτον μὲν γὰρ αὐτῇ μαρτυρεῖται τοῦτο, τὸ σέβεσθαι τὸν Θεόν· ἔπειτα τὸ καλέσαι τοὺς Ἀποστόλους αὐτήν. ὡς δὲ ἐβαπτίσθη αὐτὴ, καὶ ὁ οἶκος αὐτῆς παρεκάλεσε λέγουσα· Κύριοί μου, εἰ κεκρίκατε με πιστὴν τῷ Κυρίῳ εἶναι, εἰσελθόντες εἰς τὸν οἶκόν μου μείνατε. καὶ παρεβιάσατο ἡμᾶς. ὡς δὲ ἐβαπτίσθη, φησὶν, αὐτὴ καὶ ἡ οἰκία αὐτῆς. σκόπει πῶς ἅπαντας ἔπεισε. D εἶτα βλέπε σύνεσιν. πῶς δυσωπεῖ τοὺς Ἀποστόλους, πόσης ταπεινοφροσύνης γέμει τὰ ῥήματα, πόσης σοφίας. εἰ κεκρίκατέ με, φησὶ, πιστὴν τῷ Κυρίῳ· οὐδὲν εὐτελέστερον· τίνα οὐκ ἂν ἐμάλαξε ταῦτα τὰ ῥήματα; οὐκ ἠξίωσεν· οὐ παρεκάλεσεν ἁπλῶς· οὐκ ἀφῆκε κυρίους εἶναι, ἀλλὰ καὶ ἠνάγκασε σφοδρῶς. τοῦτο γάρ ἐστι τὸ, παρεβιάσατο ἡμᾶς· τουτέστι, τοῖς ῥήμασιν. ὅρα πῶς εὐθέως καρποφορεῖ, καὶ κέρδος ἡγεῖται μέγα τὴν κλῆσιν. ὅτι δὲ πιστὴν ἐκρίνατε, δῆλον ἐκ τοῦ E ἐγχειρίσαι μοι τοιαῦτα μυστήρια, οὐκ ἂν ἐγχειρίσαντες, εἰ μὴ τοιαύτην ἐκρίνατε. καὶ οὐκ ἐτόλμησε πρὸ τούτου καλέσαι, ἀλλ᾽ ὅτε ἐβαπτίσθη· δῆλον ἐντεῦθεν ποιοῦσα, ὅτι οὐκ ἂν ἄλλως ἔπεισε. διατί δὲ οὐκ ἐβούλοντο οἱ περὶ Παῦλον, ἀλλ᾽ ἀνέμειναν ὥστε καὶ βιασθῆναι αὐτούς; ἢ τοι ἐκείνην ἐγκαλοῦμενοι εἰς μείζονα προθυμίαν· ἢ ἐπειδὴ εἶπεν ὁ Χριστὸς, εἰς ἣν ἂν πόλιν εἰσέλθητε, τίς ἐστιν ἄξιος ἐρωτήσατε, καὶ ἐκεῖ μείνατε. ὥστε πάντα δι᾽ οἰκονομίαν ἐποίουν. ἐγένετο δὲ A πορευομένων ἡμῶν εἰς προσευχὴν, παιδίσκην τινὰ ἔχουσαν πνεῦμα Πύθωνος ἀπαντῆσαι ἡμῖν, ἥτις ἐργασίαν πολλὴν παρεῖχε τοῖς κυρίοις αὐτῆς μαντευομένη. αὕτη κατακολουθήσασα τῷ Παύλῳ καὶ ἡμῖν, ἔκραζε λέγουσα· οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν. οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. τί δήποτε καὶ ὁ δαίμων ταῦτα ἐφθέγγετο, καὶ ὁ Παῦλος ἐκώλυσε; κἀκεῖνος κακοῦργως ἐποίει, καὶ οὗτος συνετῶς. ἐβούλετο γὰρ μὴ ἀξιόπιστον B αὐτὸν ποιεῖν. εἰ γὰρ προσήκατο αὐτοῦ τὴν μαρτυρίαν ὁ Παῦλος, πολλοὺς ἂν καὶ τῶν πιστῶν ἠπάτησεν, ἅτε ὑπ᾽ ἐκείνου δεχθείς. διὰ τοῦτο ἀνέχεται τὰ καθ᾽ ἑαυτοὺς εἰπεῖν, ἵνα στήσῃ τὰ ὑπὲρ αὐτοῦ, καὶ αὐτὸς συγκαλύψασθαι κέχρηται πρὸς τὴν ἀπώλειαν. τὸ μὲν οὖν πρῶτον οὐ προσήκατο Παῦλος, ἀλλὰ διέπτυσεν, οὐ βουλόμενος ἑαυτὸν ἐπιρρίπτειν ἁπλῶς τοῖς σημείοις· ὡς δὲ ἐπέμενε τοῦτο ποιῶν ἐπὶ πολλὰς ἡμέρας, καὶ τὸ ἔργον ἐδείκνυ, οὗτοι οἱ ἄνθρωποι, λέγων, δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσὶν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. τότε ἐκέλευσεν C αὐτῷ ἐξελθεῖν. διαπονηθεὶς δὲ ὁ Παῦλος, καὶ ἐπιστρέψας τῷ πνεύματι εἶπε· παραγγέλλω σοι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, ἐξελθεῖν ἀπ᾽ αὐτῆς. καὶ ἐξῆλθεν αὐτῇ τῇ ὥρᾳ. ἰδόντες δὲ οἱ κύριοι αὐτῆς ὅτι ἐξῆλθεν ἡ ἐλπὶς τῆς ἐργασίας αὐτῶν, ἐπιλαβόμενοι τὸν Παῦλον καὶ τὸν Σίλαν, εἵλκυσαν εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ προσαγαγόντες αὐτοὺς τοῖς στρατηγοῖς, εἶπον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν Ἰουδαῖοι ὑπάρχοντες, καὶ καταγγέλλουσιν ἔθη ἃ οὐκ ἔξεστιν D ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσι. πανταχοῦ τὰ χρήματα αἴτια τῶν κακῶν. ὢ τῆς ἀμότητος τῶν Ἑλλήνων! ἐβούλοντο δαιμονᾶν τὸ κοράσιον, ὥστε χρηματίζεσθαι. ἐπιλαβόμενοι, φησὶ, τὸν Παῦλον καὶ τὸν Σίλαν ἔλεγον· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί ποιήσαντες; διατί οὖν μὴ πρὸ τούτου εἱλκύσατε; Ἰουδαῖοι, φησὶν, ὑπάρχοντες. οὕτω τὸ ὄνομα διεβέβλητο. καὶ καταγγέλλουσιν ἔθη, ἃ οὐκ ἔξεστιν ἡμῖν παραδέχεσθαι, οὐδὲ ποιεῖν Ῥωμαίοις οὖσιν. εἰς καθοσίωσιν τὸ πρᾶγμα E ἤγαγον. καὶ συνεπέστη ὁ ὄχλος κατ᾽ αὐτῶν. ὢ τῆς ἀλογίας! οὐκ ἐξήτασαν, οὐ μετέδωκαν λόγου· καίτοι τοσούτου θαύματος γενομένου, δέον προσκυνῆσαι, δέον ὡς σωτῆρας καὶ εὐεργέτας ἔχειν. εἰ γὰρ χρήματα ἐβούλεσθε, διατί τοιοῦτον πλοῦτον εὑρόντες, μὴ προσεδράμετε; τοῦτο λαμπροτέρους ποιεῖ, τὸ δύνασθαι δαίμονας ἀπελαύνειν, ἢ τὸ αὐτοῖς πεισθῆναι. ἰδοὺ καὶ σημεῖα. καὶ ἡ φιλοχρηματία πλέον ἴσχυσε. καὶ οἱ στρατηγοὶ περιρρήξαντες τὰ ἱμάτια αὐτῶν, ἐκέλευον ῥαβδίζειν, πολλάς τε ἐπιθέντες αὐτοῖς πληγὰς, ἔβαλον εἰς φυλακὴν,

φυλακὴν, παραγγείλαντες τῷ δεσμοφύλακι ἀσφαλῶς τηρεῖν αὐτούς. ὁ μὲν οὖν Παῦλος, τὸ πᾶν εἰργάσατο, καὶ τὰ θαύματα, καὶ τὴν διδασκαλίαν· τῶν δὲ κινδύνων, καὶ ὁ Σίλας κοινωνεῖ. τί ἐστι, διαπονηθεὶς δὲ ὁ Παῦλος; τὴν κακουργίαν, φησὶν, ἰδὼν τοῦ δαίμονος, καθὼς αὐτὸς ἀλλαχοῦ λέγει· οὐ γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν. διατί μὴ εἶπον, ὅτι τὰ δαιμόνια ἐξέβαλον; ὅτι εἰς Θεὸν ἠσέβησαν; ἀλλ' ἐπὶ καθοσιώσει τρέπονται; ἧττα αὐτοῖς τοῦτο ἦν. οὕτω καὶ ἐπὶ τοῦ Χριστοῦ τότε ἔλεγον· οὐκ ἔχομεν βασιλέα, εἰ μὴ Καίσαρα. πᾶς ὁ ἑαυτὸν ποιεῖ βασιλέα, ἀντιλέγει τῷ Καίσαρι. καὶ ἔβαλον αὐτούς, φησιν, εἰς φυλακήν. πολὺς ὁ θυμός. ὃς παραγγελίαν τοιαύτην εἰληφὼς, ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, καὶ τοὺς πόδας αὐτῶν ἠσφαλίσατο εἰς τὸ ξύλον. ὅρα κἀκεῖνος πάλιν εἰς τὴν ἐσωτέραν φυλακὴν αὐτοὺς ἐνέβαλε, καὶ τοῦτο οἰκονομικῶς. ἐπειδὴ γὰρ θαῦμα ἔμελλε γίνεσθαι μέγα, ἐπιτήδειος ὁ τόπος πρὸς τὴν ἀκρόασιν ὁ ἔξω τῆς πόλεως κείμενος, πειρασμῶν ἀπηλλαγμένος, καὶ κινδύνων. ὅρα πῶς οὐκ αἰσχύνεται τὰ ἐπιτηδεύματα καταλέγειν ὁ τὴν ἱστορίαν γράφων; ἅτε δὴ καὶ ἀργίας οὔσης, μᾶλλον προσεῖχον τοῖς λεγομένοις· καὶ οὐδὲ ἡ πόλις αὕτη μεγάλη ἡ τῶν Φιλιππησίων. ταῦτα δὴ μαθόντες, καὶ ἡμεῖς, μηδένα ἐπαισχυνώμεθα. παρὰ βυρσεῖ μένει Πέτρος· παρὰ πορφυροπώλιδι Παῦλος· ποῦ ὁ τῦφος; ἄρα τοῦ Θεοῦ δεόμεθα, ὥστε ἀνοῖξαι καρδίαν. ὁ Θεὸς δὲ ἀνοίγει καρδίας τὰς βουλομένας. ἔστι γὰρ καὶ πεπηρωμένας ἰδεῖν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. γυνή φησι, πορφυρόπωλις, ἧς ὁ Κύριος ἤνοιξε τὴν καρδίαν προσέχειν τοῖς λαλουμένοις ὑπὸ τοῦ Παύλου. τὸ μὲν οὖν ἀνοῖξαι, τοῦ Θεοῦ· τὸ δὲ προσέχειν, αὐτῆς. ὥστε καὶ θεῖον, καὶ ἀνθρώπινον ἦν. ὡς δὲ ἐβαπτίσθη, φησί, παρεκάλεσε λέγουσα· εἰ κεκρίκατέ με. ὅρα· καὶ βαπτίζεται, καὶ δέχεται τοὺς Ἀποστόλους μετὰ τοσαύτης ἱκετηρίας, μετὰ πλείονος ἢ ὁ Ἀβραάμ. καὶ οὐκ εἶπεν οὐδὲν ἄλλο τεκμήριον, ἀλλ' ἐκεῖνο ἀφ' οὗ ἐσώθη. οὐκ εἶπεν, εἰ μεγάλην γυναῖκα, εἰ εὐλαβῆ κεκρίκατέ με· ἀλλὰ τί; πιστὴν τῷ Κυρίῳ, εἰ τῷ Κυρίῳ, πολλῷ μᾶλλον ὑμῖν, εἰ μὴ ἀμφισβητεῖτε. καὶ οὐκ εἶπε, παρ' ἐμοὶ, ἀλλ' εἰς τὸν οἶκόν μου μείνατε, ὥστε δεῖξαι ὅτι μετὰ πολλῆς τοῦτο ἐποίει προθυμίας. οὕτως πιστὴ ἡ γυνή. εἰπὲ δή μοι· τίς οὗτός ἐστιν ὁ δαίμων; Θεὸς, φησὶ, Πύθων. ἀπὸ [τοῦ] τόπου οὕτω λέγεται. ὁρᾷς ὅτι καὶ ὁ Ἀπόλλων δαίμων ἐστί; καὶ ἐπεὶ ἐβούλετο εἰς πειρασμοὺς αὐτοὺς ἐμβαλεῖν, ὥστε μᾶλλον παροξῦναι, παρῴρμησε λέγειν· οἱ μιαροὶ καὶ παμμίαροι· εἰ τοίνυν οἶδας ὅτι ὁδὸν σωτηρίας καταγγέλλουσι, τί μὴ ἐξίστασαι ἑκών; ἀλλ' ὅπερ Σίμων ἐβούλετο, λέγων· δότε μοι ἵνα ᾧ ἂν ἐπιθῶ τὰς χεῖρας, λαμβάνῃ πνεῦμα ἅγιον, τοῦτο καὶ οὗτος ἐποίει. ἐπειδὴ εἶδεν εὐδοκιμοῦντας, καὶ οὐδὲ ὑποκρίνεται· ταύτῃ προσεδόκησεν ἑαυτὸν ἀφεθῆναι ἐν τῷ σώματι εἰ ταῦτα κηρύξειεν. εἰ δὲ παρὰ ἀνθρώπου οὐχ ὡραῖος ὁ αἶνος ἐν στόματι ἁμαρτωλοῦ, πολλῷ μᾶλλον παρὰ δαίμονος. εἰ παρὰ ἀνθρώπων τὴν μαρτυρίαν οὐ λαμβάνει ὁ Χριστὸς, οὐδὲ παρὰ Ἰωάννου, πολλῷ μᾶλλον παρὰ δαίμονος. τὸ γὰρ κηρύττειν, οὐκ ἀνθρώπων, ἀλλὰ πνεύματος ἁγίου. ἐπεὶ οὖν ἀλαζονικῶς ἐποίουν βοῶντες, τῇ κραυγῇ καταπλήξειν ἐνόμισαν, λέγοντες· οὗτοι οἱ ἄνθρωποι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. τί λέγεις; πείθῃ τῷ δαίμονι; διατί οὐχὶ καὶ ἐνταῦθα; ἐκεῖνος λέγει, ὅτι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου· σὺ λέγεις, ὅτι ἐκταράσσουσιν ἡμῶν τὴν πόλιν. ἐκεῖνος λέγει, ὅτι καταγγέλλουσιν ἡμῖν ὁδὸν σωτηρίας. σὺ λέγεις, παραδιδόασιν ἡμῖν ἔθη, ἃ οὐκ ἔξεστι παραδέχεσθαι. ὅρα οὐδὲ τῷ δαίμονι αὐτοὺς προσέχοντας, ἀλλὰ πρὸς ἓν ὁρῶντας, τὴν φιλαργυρίαν. εἵλκυσάν τε αὐτούς, φησιν, εἰς τὴν ἀγορὰν ἐπὶ τοὺς ἄρχοντας, καὶ συνεπέστη ὁ ὄχλος κατ' αὐτῶν. ὅρα αὐτοὺς οὐκ ἀποκρινομένους οὐδὲ ἀπολογουμένους ἵνα μείζονος ἄξιοι θαύματος γένωνται. ὅταν γάρ, φησιν, ἀσθενῶ, τότε δυνατός εἰμι. ἀρκεῖ σοι ἡ χάρις μου. ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. ὥστε καὶ ἀπὸ τῆς ἐπιεικείας θαυμασθῆναι αὐτοὺς ἔδει. ὅσῳ ἀκριβεστέρα ἡ φυλακὴ γίνεται, τοσούτῳ τὸ θαῦμα λαμπρότερον. ἴσως τὴν στάσιν ἐκκόψαι βουλόμενοι τοῦτο ἐποίουν ἐκεῖνοι, ἐπειδὴ εἶδον τὸν ὄχλον ἐφεστῶτα, ταῖς μὲν πληγαῖς τὸν θυμὸν τέως στῆσαι ἐβούλοντο. τῷ δὲ εἰς δεσμωτήριον ἐμβαλεῖν, καὶ παραγγεῖλαι ἀσφαλῶς τηρεῖν, ἀκοῦσαι ἤθελον τοῦ πράγματος. καὶ ἠσφαλίσατο, φησιν, εἰς τὸ ξύλον, ὡς ἂν εἴποι τις, εἰς τὸ νέρβον. πόσων δακρύων ταῦτα νῦν ἄξια; ἐκεῖνοι μὲν ἔπαθον ὅσα καὶ ἔπαθον· ἡμεῖς δὲ ἐν τρυφῇ· ἡμεῖς δὲ ἐν θεάτροις. ὅθεν καὶ ἀπολλύμεθα, καὶ καταποντιζόμεθα ἄνεσιν ζητοῦντες πανταχοῦ, καὶ οὐδὲ μέχρις ὀνειδισμοῦ διὰ τὸν Χριστὸν ἀνεχόμενοι λυπηθῆναι, οὐδὲ μέχρι λόγου. τούτους συνεχῶς ἀναμιμνήσκωμεν ἑαυτοὺς παρακαλῶ, ὅσα ἔπαθον, ὅσα ὑπέμειναν. πῶς οὐκ ἐθορυβοῦντο; πῶς οὐκ ἐσκανδαλίζοντο; τὸ τοῦ Θεοῦ ἔργον ἐποίουν, καὶ ταῦτα ἔπασχον, οὐκ ἔλεγον δὲ· τοῦτο κηρύττομεν, καὶ οὐ προΐσταται ἡμῶν ὁ Θεός;

conjecerunt eos in carcerem, præcipientes custodi carceris, ut diligenter custodiret eos. Itaque Paulus quidem totum fecit, & miracula & doctrinam, periculorum autem & Silas particeps fuit. Quid est, *moleste ferens Paulus?* Malitia, inquit, dæmonis visa, sicut ipse alibi dicit: *Non enim illius versutias ignoramus.* (2. Cor. 2, 11) Quare non dixerunt, quod dæmonem ejecerunt? quod in Deum impiè egerunt? sed majestatis læsæ crimen faciunt, unde & victos se declarant. Ita & de Christo dicebant. *Non habemus regem nisi Cæsarem.* (Joh. 19, 14) *Omnis qui seipsum regem facit, contradicit Cæsari. Et conjecerunt illos*, inquit, *in carcerem.* Magnus furor. *Qui quum tale præceptum accepisset, conjecit illos in interiorem carcerem, & pedes illorum diligenter asservavit ad lignum.* Vide & ille iterum in interiorem carcerem illos conjecit. Et hoc singulari dispensatione contigit. Quoniam enim magnum miraculum erat futurum, idoneus locus ad auditorium ille qui extra civitatem, judicatur, liber à tentationibus ac periculis. Vide ut historiæ scriptor illorum studia enumerare non erubescit: Utpote quum esset otium, magis auscultabant his quæ dicebantur, & neque civitas ista Philipporum magna erat. Hæc sanè scientes & nos, neminem erubescamus. Apud coriarium manet Petrus, apud purpurariam Paulus: Ubi fastus? Igitur Deum oremus ut aperiat cor. Deus autem aperit corda quæ volunt, est enim & excæcata corda videre. Sed videamus iterum quæ dicta sunt: *Mulier*, inquit, *purpurarum venditrix, cujus Dominus aperuit cor, ut attenderet his quæ dicebantur à Paulo.* Itaque *aperire* Dei est, *attendere* autem illius, & ita erat divinum ac humanum. *Ut autem baptizata est*, inquit *obsecravit, dicens: Si judicaveritis me.* Vide, & baptizatur & accipit Apostolos cum tanta supplicatione, multo majore quàm Abraham. Et non dixit ullam aliam conjecturam, sed illud per quod servata fuit. Non dixit, si magnam mulierem, si piam judicaveritis me. Sed quid? *fidelem domino.* Si *domino*, multò magis vobis, nisi dubitetis. Et non dixit apud me, sed *in domum meam* manete, ita ut ostendat hoc cum magna faciendum alacritate. Revera fidelis mulier. Dic oro mihi, quis hic est dæmon? Deus, inquit, Python. A loco sic dicitur. Vides quod & Apollo dæmon est? Et quoniam volebat in tentationes illos injicere, atque ita magis manifestavit exacerbare & dicere: O scelesti & scelestissimi. Si igitur scis, quod viam salutis annunciant, cur non egrederis lubens? sed id quod Simon volebat, dicens: *Date mihi ut cui imposuero manus, accipiat Spiritum sanctum.* (Act. 8) Hoc & ille faciebat. Quoniam vidit clarescere etiam hoc loco simulat. Hac ratione expectabat se relinqui in corpore, quod hæc prædicaret. Si autem de homine dictum, quod non est pulchra laus in ore peccatorum, multò magis de dæmone. Si ab hominibus testimonium non accepit Christus, neque multò minus ab dæmone. Hoc enim prædicare non hominum, sed Spiritus sancti est. Quoniam igitur arrogantius faciebant, clamantes, clamore obstupefieri putarunt, dicentes: *Hi homines turbant nostram civitatem.* Quid dicis? persuades dæmoni? quare non & hic? ille dicit: *Filii Dei excelsi*; Tu dicis *quod turbant nostram civitatem*: ille dicit, *quod annunciant nobis viam salutis*, tu dicis, *tradunt nobis mores quos non licet suscipere.* Vide illos neque dæmoni auscultantes, sed unam avaritiam scilicet spectantes. *Traxeruntq; illos*, inquit, *in forum ad Principes*, & simul insurrexit turba contra illos. Vide illos non respondere, neque defensionem dare, ut majore digni miraculo fiant. *Quando enim*, inquit, *infirmor, tunc potens sum. Sufficit tibi gratia mea, potentia mea in infirmitate perficitur.* (2 Cor. 12, 9) Ita etiam ob mansuetudinem admirabiles erant. Quantò diligentior custodia fuit, tantò miraculum clarius: forsan seditionem illic voluerunt sedare, quoniam videbant turbam assistentem, & plagis quidem furorem jam sistere volebant. Quia in carcerem conjiciunt, & præcipiunt diligenter servandum, volebant causam audire. Et diligenter asservare voluit in ligno, quasi dicat, quis, in nervo. Quantis lachrymis prosequi oportet præsentis seculi statum? Illi quidem passi sunt, quæcumque scilicet passi sunt, nos autem in deliciis, nos in spectaculo. Unde & perimus, & submergimur, remissionem & oblectamenta ubique sectantes, & neque patimur, vel probro, vel sermone aliquo propter Christum contristari. Horum exemplorum oro continuam habeamus memoriam, quanta passi sint quanta sustinuerint, quomodo non turbati sint, quomodo non offensi sint. Dei opus faciebant, & hæc patiebantur. Non dicebant: Cur hoc prædicamus, & non affert nobis præsidium Deus?

Verum & per hoc illis proderat, & absque præsidio constantiores ac fortiores reddebat. Rom. 5.4 *Tribulatio*, inquit, *sustinentiam operatur.* Obsecro igitur ne fluxam, & remissam quæramus vitam: nam quemadmodum hîc duplex bonum, quod & fortes fiunt, & magna sunt præmia: Ita illic duplex malum, & quod molliores efficiuntur, & quod in nullo bono, sed in malo versantur. Nihil enim inutilius fuerit homine, qui omne tempus in deliciis, & remissione consumit. Vir enim, inquit, non prol[...]us, etiam reprobus. Reprobus non in his certaminibus, [...] in aliis omnibus. Delicia res inutilis est, & in ipsis deliciis nihil ita fructu carens, ut delicatè agere. Habet enim suam satietatem, neque tanta alimentorum, neque remissionis voluptas est, sed omnia frivola fiunt ac diffluunt. Agè ne inquiramus hanc. Si enim considerare voluerimus uter suavius agat, qui laborat & in ærumnis vivit, vel qui in deliciis versatur, illum magis inveniemus: nam primò corpus quidem ejus qui talis est, enerve & ineptum est: deinde & sensus corporis non sunt tam sinceri ac sani, sed molles ac languidi; ubi autem illi non sunt, neque sanitatis voluptas apparet. Quis equus utilis est, is qui in deliciis, vel qui exercetur. Quæ navis, eáne quæ navigat, vel quæ in littore manet? Quæ aqua, eáne quæ fluit vel quæ stat? Quod ferrum, an quod movetur, vel quo nemo utitur? Nónne illud quidem splendet ac argento simile est: hoc autem rubigine consumitur, & ubique inutile est, ac etiam aliquid suæ materiæ amittens? Tale quiddam fit etiam in ociosa anima. Rubigo enim quædam apprehendit illam, & consumit splendorem ac alia omnia. Itaque quánam re detergetur rubigo illa? Cote tribulationum. Illæ utilem facient animam, & ad omnia accommodam. Quomodo enim poterit affectiones scindere, acie hebetata, & quasi plumbea esset, flexili? Quomodo diabolum sauciabit? Cui autem non est onerosus homo aqualiculum pinguissimum parans, & quasi belua marina trahendus? Non loquor de his qui natura sunt tales, sed de his qui ex delicata vita, corpora sua effecerunt talia. Oritur sol, & claros ubique diffundit radios, excitat singulos ad opera. Agricola arrepto ligone egreditur, faber ferrarius suos folles apprehendit, & singuli opifices quod sibi congruit, & invenies unumquemque sua instrumenta in manus sumere. Mulier fusum vel contexta. Ille autem quasi porci statim à matutinis horis ad pascendum ventrem egreditur, quærens ut mensam præsumptuosam instruat; tametsi hoc solùm sit brutorum, primo manè pasci, quoniam ad nihil utilia sunt quàm ad mactandum. Illa autem quæ dorso gestant, & operibus apta, etiam ipsa à nocte ad opus egrediuntur. Hic autem à lecto surgit: Sole jam totum implente forum, & omnibus labore satiatis. Surgit autem sese distendens, sicut sus ipsa quæ impinguatur, optima diei parte in tenebris consumpta. Deinde sedet longo tempore in lecto, præ hesterna crapula invenire vestes & alia non valens, & consumpta magna parte in illis, tum seipsum comit ac ornat, & procedit turpitudinis spectaculum, nihil habens hominis, sed omnia quæ sunt bestiæ, in humana forma apparent, oculi lippiunt, vinum os olet, misera anima quasi in lectum conjecta, ob varietatem ciborum sine modo infusorum, pondus carnium circumferens sicut elephans: tandem veniens sedet in locis, dicit, facitque talia, ut melius esset illum adhuc dormire quàm vigilem esse. Si pericula gravia denunciantur, quavis puella trepidior fit: si utilia, puello quovis laxior ac mollior est. Vultus ejus oscitationibus plenus est, omnibus adhæret, & si non ipsis hominibus, certè illorum affectionibus. Et ira talem facilè excitat, & concupiscentia, & invidia, & omnia. Omnes adulantur, omnes ministrant, molliorem quàm est facientes animam, & quotidie prodit cum insigni quadam novi morbi accessione. Ubi in rerum inciderit difficultatem, cinis & pulvis fit, & nihil ei sericæ vestes prosunt. Hæc à nobis non sine causa dicta sunt, ne quis dissolutè & inutiliter vivat. Ocium enim & voluptas ad operationes inutiles, gloriam solùm, & ad delicias respiciunt. Quomodo non omnes talem condemnabunt, & domestici, & amici, & cognati? Quis autem non jure dicet: Onus hic est terræ, frustra advenit in mundum talis, imò non frustrà, sed in malum sui capitis, in damnum proprium, in detrimentum aliorum? Quid igitur videtur dulcius, hoc enim nunc quæritur, ocio & feriatione? Et quid fœdius homine, qui non habet quod operetur, quid laboriosius, quid miserius:

A ἀλλὰ καὶ τοῦτο αὐτοὺς ὠφέλει, καὶ χωρὶς τῆς βοηθείας αὐτῷ τῷ πράγματι εὐτονωτέρους ἐποίει, ἰσχυροτέρους, ἀκαταπλήκτους. ἡ θλῖψις, φησὶν, ὑπομονὴν κατεργάζεται. μὴ δὴ τὸν ὑγρὸν, καὶ διακεχυμένον ζητῶμεν βίον. ὥσπερ γὰρ ἐνταῦθα διπλοῦν τὸ καλὸν, ὅτι τε ἰσχυροὶ γίνονται, καὶ ὅτι μεγάλοι οἱ μισθοὶ, οὕτως ἐκεῖ διπλοῦν τὸ κακὸν, ὅτι τε μαλακώτεροι καθίστανται, καὶ ὅτι ἐπ' οὐδενὶ χρηστῷ, ἀλλὰ καὶ ἐπὶ κακῷ. οὐδὲν γὰρ ἀχρηστότερον ἀνθρώπου γένοιτ' ἂν τοῦ ἐν B ἀνέσει καὶ τρυφῇ τὸν ἅπαντα διατελοῦντος χρόνον. ἀνὴρ γὰρ, φησιν, ἀπείραστος, καὶ ἀδόκιμος. ἀδόκιμος, οὐκ ἐν τοῖς ἀγῶσι τούτοις, ἀλλὰ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν· ἄχρηστον πρᾶγμα ἡ ἄνεσις, καὶ ἐν αὐτῇ δὲ τῇ τρυφῇ οὐδὲν οὕτως ἀνεπιτήδειον, ὡς τὸ τρυφᾶν. προσκορὴς γάρ ἐστιν. οὔτε σιτίων ἡδονὴ τοσαύτη, οὔτε ἀνέσεως, ἀλλὰ πάντα ἐξίτηλα γίνεται, καὶ διαρρεῖ. μὴ δὴ ταύτην ἐπιζητῶμεν. εἰ γὰρ σκοπεῖν θελήσομεν τίς ἥδιον διάγει· ὁ πονούμενος καὶ ταλαιπω- C ρούμενος ἢ ὁ τρυφῶν; τοῦτον μᾶλλον εὑρήσομεν. πρῶτον μὲν γὰρ τοῦ τοιούτου τὸ σῶμα αὐτὸ, ἔκλυτον καὶ πεπλαδηκός· ἔπειτα καὶ αἱ τοῦ σώματος αἰσθήσεις οὐκ εἰσὶν εἰλικρινεῖς οὐδὲ ὑγιεῖς ἀλλὰ χαῦναι καὶ μαλακαί· τούτων δὲ οὐκ οὐσῶν, οὐδὲ τῆς ὑγιείας ἡδονὴ φαίνεται. ποῖος ἵππος χρήσιμος, ὁ τρυφῶν, ἢ ὁ γυμναζόμενος; ποία ναῦς, ἡ πλέουσα, ἢ ἡ ἀργοῦσα; ποῖον ὕδωρ, τὸ τρέχον, ἢ τὸ ἑστός; ποῖος σίδηρος, ὁ κινούμενος ἢ ὁ μὴ ἐργαζόμενος; οὐχ ὁ μὲν ἀπο- D λάμπει, καὶ ἀργύρῳ προσέοικεν· ὁ δὲ κατιοῦται πανταχοῦ ἄχρηστος ὤν, καὶ τῆς ὕλης ἀπολλύς τι τῆς οἰκείας; τοιοῦτόν τι γίνεται, καὶ ἐπὶ τῆς ἀργούσης ψυχῆς· ἰός τις αὐτῆς καταχεῖται, καὶ τρώγει τήν τε λαμπρότητα, καὶ τὰ ἄλλα πάντα. τίνι οὖν ἄν τις τοῦτον ἀποσμήξειε τὸν ἰόν; τῇ τῶν θλίψεων ἀκόνῃ. αὗται χρησίμην ἐργάσονται τὴν ψυχὴν, καὶ ἐν πᾶσιν ἐπιτηδείαν. πῶς γὰρ, εἰπέ μοι, δυνήσεται τὰ πάθη τέμνειν, τῆς ἀκμῆς ἀμβλυνθείσης, καὶ μολυβδίνης δίκην ἐπανακαμπτομένης; πῶς τὸν διάβολον τρώσει; τίνι δὲ οὐκ E ἔστιν ἀηδὴς ἄνθρωπος πολυσαρκίαν ἀσκῶν, φώκης δίκην συρόμενος; οὐ περὶ τῶν φύσει ὄντων τοῦτο λέγω· ἀλλὰ περὶ τῶν ἐκ τῆς τρυφῆς τοιαῦτα κατασκευασάντων τὰ σώματα, περὶ τῶν μὴ λεπτῶν κατὰ φύσιν. ἀνέτειλεν ὁ ἥλιος, λαμπρὰς ἀφῆκε πανταχοῦ τὰς ἀκτῖνας, ἤγειρεν ἕκαστον ἐπὶ τὰ ἔργα· ὁ γεωργὸς, τὴν δίκελλαν λαβὼν, ἔξεισιν· ὁ χαλκοτύπος τὴν σφῦραν, καὶ τὸ κατάλληλον ἕκαστος τῶν δημιουργῶν, καὶ εὑρήσεις ἕκαστον τὰ οἰκεῖα ὄργανα A μεταχειριζόμενον· ἡ γυνὴ ἠλακάτην, ἢ τὰ ὑφάσματα· αὐτὸς δὲ καθάπερ ὁ χοῖρος εὐθέως ἀπὸ πρωῒ ἐπὶ βοσκὴν ἔξεισι τῆς γαστρὸς, ζητῶν πῶς τράπεζαν πολυτελῆ κατασκευάσει. καίτοι τῶν ἀλόγων ἐστὶ μόνον ἀπὸ πρωῒ τρέφεσθαι, ἐπειδὴ πρὸς οὐδέν ἐστι χρήσιμα, ἀλλὰ πρὸς τὸ σφάζεσθαι. τὰ δὲ νωτοφόρα αὐτῶν καὶ ἐργασίαν ἀναδεχόμενα, καὶ αὐτὰ ἀπὸ νυκτὸς ἐπὶ τὸ ἔργον ἔξεισιν. οὗτος δὲ ἀπὸ τῆς κλίνης ἀναστὰς, τοῦ ἡλίου τὴν ἀγορὰν ἐμπλήσαντος, B καὶ πάντων κοπωθέντων τῆς οἰκείας ἐργασίας. ἀνίσταται διατεινόμενος, καθάπερ ὄντως ὗς πιαινόμενος, τὸ κάλλιστον τῆς ἡμέρας ἐν σκότει καταναλώσας. εἶτα κάθηται πολὺν ἐπὶ τῆς κλίνης καιρὸν, πολλάκις οὐδὲ ἐνεγκεῖν δυνάμενος ἀπὸ τῆς ἑσπερινῆς μέθης, καταναλώσας τὸν πλείονα καιρὸν ἐν τούτοις. εἶτα καλλωπίζει ἑαυτὸν, καὶ πρόεισιν ἀσχημοσύνης θέατρον, οὐδὲν ἔχων ἀνθρώπου, ἀλλὰ πάντα θηρίου ἀνθρωπομόρφου· οἱ ὀφθαλμοὶ δίυγροι· οἴνου τὸ C στόμα ἀπόζον· ἡ ταλαίπωρος ψυχὴ καθάπερ ἐπὶ κλίνης βεβλημένη ὑπὸ τῆς ἀμέτρως ἐγχεαμένης [illegible], τὸ μέγεθος τῶν σαρκῶν περιφέρουσα, καθάπερ ἐλέφας. εἶτα ἐλθὼν κάθηται ἐν τόποις, καὶ λέγει τοιαῦτα, καὶ ποιεῖ, ὡς βέλτιον εἶναι ὅτι καθεύδειν αὐτὸν ἢ ἐγρηγορέναι. ἂν δεινὰ ἐπαγγελθῇ, παντὸς κορασίου μαλακώτερος γίνεται· ἂν χρηστὰ, παντὸς παιδίου χαυνότερος. χασμῆς αὐτῷ ἡ ὄψις γέμει· πᾶσι πρό- D κειται τοῖς βουλομένοις κακῶς ποιεῖν. εἰ καὶ μὴ τοῖς ἀνθρώποις, ἀλλὰ τοῖς πάθεσι. καὶ θυμὸς τὸν τοιοῦτον ἐγείρει ῥᾳδίως, καὶ ἐπιθυμία, καὶ βασκανία, καὶ πάντα· πάντες κολακεύουσι, πάντες θεραπεύουσι, μαλακωτέραν ἢ ἔστιν ἐργαζόμενοι τὴν ψυχὴν· καὶ καθ' ἑκάστην ἡμέραν πρόεισι, πολύ τι τῆς νόσου προσλαμβάνων. ἂν εἰς πραγμάτων ἐμπέσῃ περίστασιν, τέφρα καὶ κόνις γίνεται, καὶ οὐδὲν αὐτῷ τὰ σηρικὰ ἱμάτια συμβάλλεται. ταῦτα E ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα παιδεύσωμεν μηδένα ἀργῶς ζῆν, μηδὲ εἰκῇ. ἡ γὰρ ἀργία, καὶ ἡ τρυφὴ, πρὸς ἐργασίαν ἀνεπιτηδείους πρὸς δόξαν μόνον πρὸς ἡδονήν. πῶς πάντες τὸν τοιοῦτον οὐ καταγνώσονται, καὶ οἰκεῖοι, καὶ φίλοι, καὶ συγγενεῖς; τί δὲ οὐ δικαίως ἐρεῖ, ἄχθος οὗτος ἀρούρης; εἰκῇ παρῆλθεν εἰς τὸν κόσμον ὁ τοιοῦτος· μᾶλλον δὲ οὐκ εἰκῇ, ἀλλὰ καὶ ἐπὶ κακῷ τῆς ἑαυτοῦ κεφαλῆς. ἐπὶ λύμῃ ἰδίᾳ, ἐπὶ βλάβῃ ἑτέρων. τί οὖν ἥδιον αὐτῇ ἴδωμεν. τοῦτο γάρ ἐστι τὸ ζητούμενον σχολὴ, καὶ ἀπραξία. καὶ τί αἴσχιον γένοιτ' ἂν ἀνθρώπου οὐδὲν ἔχοντος ποιεῖν; τί μοχθηρότερον; τί ταλαιπωρότερον;

μυρίων

μυρίων οὐ χεῖρον τοῦτο δεσμῶν, χασμᾶσθαι καὶ κεχηνέναι διὰ παντὸς ἐπὶ τῆς ἀγορᾶς καθήμενον ὁρῶντα τοὺς παριόντας; ἡ γὰρ ψυχὴ φύσιν ἔχουσα τοῦ κινεῖσθαι διαπαντὸς οὐκ ἀνέχεται ἠρεμεῖν. ἔμπρακτον τὸ ζῶον τοῦτο ἐποίησεν ὁ Θεὸς, καὶ κατὰ φύσιν αὐτῷ ἐστι τὸ ἐργάζεσθαι, παρὰ φύσιν δὲ τὸ ἀργεῖν. μὴ ἀπὸ τῶν νοσούντων τὰ πράγματα δοκιμάζωμεν, ἀλλὰ τοῦ πράγματος πεῖραν λάβωμεν. οὐδὲν σχολῆς μοχθηρότερον, οὐδὲν ἀργίας. διὰ τοῦτο εἰς ἀνάγκην ἡμᾶς κατέστησεν ἐργασίας ὁ Θεός. πάντα γὰρ ἡ ἀργία βλάπτει, καὶ τὰ μέλη τοῦ σώματος [καὶ] αὐτὰ βλάπτει πως ἡ ἀργία. καὶ γὰρ καὶ ὀφθαλμὸς εἰ μὴ ἐργάζοιτο τὸ αὐτοῦ, καὶ στόμα, καὶ γαστὴρ, καὶ πᾶν οἷον ἂν εἴποι τις τῶν μελῶν, ὡς νόσον ἐμπίπτει τὴν ἐσχάτην. οὐδὲν δὲ οὕτως, ὡς ψυχή. ὥσπερ δὲ ἀργία κακὸν, οὕτω καὶ ἐργασία ἡ μὴ προσήκουσα. καθάπερ γὰρ εἴ τις μὴ ἐσθίει εἰς τοὺς ὀδόντας βλάπτεται, κἂν ἐσθίῃ τὰ μὴ προσήκοντα, ποιεῖ αὐτοὺς αἱμωδιᾶν. οὕτω δὴ καὶ ἐνταῦθα, ἄν τε μὴ ἐργάζηται, ἄν τε ἐργάζηται τὰ μὴ προσήκοντα, τὴν οἰκείαν ἀπόλλυσιν ἰσχύν. οὐκοῦν ἀμφότερα φεύγειν σπουδάζωμεν, καὶ ἀργίαν, καὶ ἐργασίαν ἀργίας χαλεπωτέραν. ποία δὲ αὕτη ἐστί; πλεονεξία, θυμὸς, βασκανία, ἔριδες, φόνοι, ζῆλοι, καὶ τὰ ὑπόλοιπα τῶν ἀκαθέκτων παθῶν. ἐν τούτοις ὀφείλομεν τὴν ἀργίαν μεταδιώκειν, καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν μετὰ πάσης σπουδῆς ἐργάζεσθαι, ἵνα καὶ τῶν ἐπηγγελμένων ἡμῖν ἀγαθῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ. λϛʹ.

Κατὰ δὲ τὸ μεσονύκτιον Παῦλος, καὶ Σίλας προσευχόμενοι ὕμνουν τὸν Θεὸν, καὶ ἐπηκροῶντο αὐτῶν οἱ δέσμιοι. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου· ἀνεῴχθησάν τε παραχρῆμα αἱ θύραι πᾶσαι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη.

ΤΙ τούτων ἴσον γένοιτ' ἂν τῶν ψυχῶν; ἐμαστίχθησαν πολλὰς πληγὰς λαβόντες, ὑβρίσθησαν, περὶ τῶν ἐσχάτων ἐκινδύνευσαν· εἰς τὸ ξύλον ἦσαν ἐμβεβλημένοι, εἰς τὴν ἐσωτέραν φυλακήν. καὶ οὐδὲ οὕτω καθεύδειν ἠνείχοντο, ἀλλ' ἐπαννύχιζον. ὁρᾶτε ὅσον ἡ θλῖψις ἀγαθόν; ἡμεῖς δὲ οὐδὲ ἐν ἁπαλοῖς ὄντες στρώμασιν, οὐδένα δεδοικότες, ὅλην τὴν νύκτα καθεύδομεν, τάχα διὰ τοῦτο ἐπαννύχιζον, ἐπειδὴ ἐν τούτοις ἦσαν. οὐχ ἡ τοῦ ὕπνου τυραννὶς αὐτοὺς εἷλεν, οὐχ ἡ ἀλγηδὼν ἔκαμψεν, οὐχ ὁ φόβος εἰς ἀπορίαν ἐνέβαλεν, ἀλλ' αὐτὰ δὴ ταῦτα πολλῷ μᾶλλον ἦν τὰ διεγείροντα αὐτοὺς, καὶ ἡδονῆς πληροῦντα πολλῆς. κατὰ δὲ τὸ μεσονύκτιον ὕμνουν τὸν Θεόν, φησίν· ἐπηκροῶντο δὲ αὐτῶν οἱ δέσμιοι. ξένον γὰρ ἐδόκει εἶναι καὶ παράδοξον. ἄφνω δὲ σεισμὸς ἐγένετο μέγας, ὥστε σαλευθῆναι τὰ θεμέλια τοῦ δεσμωτηρίου, ἀνεῴχθησάν τε παραχρῆμα πᾶσαι αἱ θύραι, καὶ πάντων τὰ δεσμὰ ἀνέθη. σεισμὸς ἐγένετο, ὥστε ἀφυπνισθῆναι ἐκεῖνον· καὶ αἱ θύραι ἀνεῴχθησαν, ὥστε θαυμάσαι τὸ γεγονός. ταῦτα οἱ δέσμιοι οὐχ ἑώρων· ἦ γὰρ ἂν ἔφυγον ἅπαντες. ἔξυπνος δὲ γενόμενος ὁ δεσμοφύλαξ ἰδὼν ἀνεῳγμένας τὰς θύρας τῆς φυλακῆς, σπασάμενος μάχαιραν ἔμελλεν ἑαυτὸν ἀναιρεῖν, νομίζων ἐκπεφευγέναι τοὺς δεσμίους· ἐφώνησε δὲ φωνῇ μεγάλῃ ὁ Παῦλος, λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν, ἅπαντες γάρ ἐσμεν ἐνθάδε. ἐθαύμασε μᾶλλον τὴν φιλανθρωπίαν Παύλου· ἐξεπλάγη τὴν ἀνδρείαν, ὅτι καὶ φυγεῖν δυνάμενος οὐκ ἔφυγε· καὶ ὅτι αὐτὸν ἐκώλυσε τῆς σφαγῆς. αἰτήσας δὲ φῶτα εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ. εἶδες πῶς αὐτὸν εἷλε τὸ θαῦμα; οἱ δὲ εἶπον, πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ σωθήσῃ σὺ καὶ ὁ οἶκός σου. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον τοῦ κυρίου, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. ἐκ τοῦ εὐθέως λαλῆσαι αὐτῷ, ἐπεδείξαντο τὴν περὶ αὐτὸν φιλανθρωπίαν. καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτὸς, ἔλουσεν ἀπὸ τῶν πληγῶν. καὶ ἐβαπτίσθη αὐτὸς, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα. ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον, παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ. ἔλουσεν αὐτοὺς, ὥσπερ ἀμειβόμενος τὴν χάριν, καὶ τιμῶν αὐτοὺς δι' ὧν ἐποίει. ἡμέρας δὲ γενομένης, ἀπέστειλαν οἱ στρατηγοὶ τοὺς ῥαβδούχους, λέγοντες· ἀπόλυσον τοὺς ἀνθρώπους ἐκείνους. ἔγνωσαν ἴσως τὸ γεγονὸς οἱ στρατηγοὶ, καὶ οὐκ ἐτόλμων ἀφ' ἑαυτῶν ἀφεῖναι. ἀπήγγειλε δὲ ὁ δεσμοφύλαξ τοὺς λόγους πρὸς τὸν Παῦλον φήσας, ὅτι ἀπεστάλκασιν οἱ στρατηγοὶ, ἵνα ἀπολυθῆτε. νῦν οὖν ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ. ὁ δὲ Παῦλος ἔφη πρὸς αὐτούς· δείραντες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν. καὶ νῦν λάθρα ἡμᾶς ἐκβάλλουσιν. οὐ γάρ. ἀλλὰ ἐλθόντες, αὐτοὶ ἡμᾶς ἐξαγαγέτωσαν. ἀνήγγειλαν δὲ τοῖς στρατηγοῖς οἱ ῥαβδοῦχοι τὰ ῥήματα ταῦτα. καὶ ἐφοβήθησαν ἀκούσαντες, ὅτι Ῥωμαῖοί εἰσι. καὶ ἐξελθόντες παρεκάλεσαν αὐτοὺς, καὶ ἐξαγαγόντες ἠρώτων ἐξελθεῖν τῆς πόλεως. ἐξελθόντες δὲ ἐκ τῆς φυλακῆς εἰσῆλθον πρὸς τὴν Λυδίαν. καὶ ἰδόντες τοὺς ἀδελφοὺς παρεκάλεσαν αὐτοὺς καὶ ἐξῆλθον.

A Nónne hoc plurimis vinculis deterius? toto die in foro quotidie oscitare, & spectare homines prætereuntes. Animæ enim natura est, ut semper moveatur & quiescere nequeat. Deus hoc animal condidit operationibus deditum, & ex natura ejus est operari, & præter naturam ejus, esse otiosum: ne ab ægrotantibus causam probemus, sed à re ipsa experimentum capiamus. Nihil vacatione molestius, nihil otio. Ideò necessitatem operandi indidit nobis Deus. Omnia enim ab B otio damnum accipiunt. Etenim, & oculus, & os, & venter, & unumquodque membrorum, nisi quod suum est operetur, in extremum incidit morbum. Hoc autem maximè in anima est: nam sicut otium mala res est, ita & operatio quæ non congruit. Sicut enim si quis non comedit, dentibus nocet: ita qui comedit quæ non accommoda, stupere illos facit: Ita sanè & hoc loco, si vel non operatur, vel operatur quæ non convenit. Igitur utrumque fugere studeamus, C & otium, & opus otio deterius. Et quod est illud? avaritia, ira, invidia, & reliquæ affectiones: ab his vacemus, ut æterna nobis bona promissa consequamur, gratia & misericordia Domini nostri Jesu Christi, cui cum Patre simul, ac Spiritu sancto sit gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

D

HOMILIA XXXVI.

Media autem nocte Paulus ac Silas orantes, laudabant Deum & audiebant illos vincti. Repentè autem terræmotus factus est magnus, ita ut moverentur fundamenta carceris. Aperta sunt autem statim januæ & omnium vincula soluta sunt.

QUid illis animabus conferendum? Multis plagis acceptis flagellati sunt, contumeliis affecti sunt, extremè pericli- E tati sunt, in nervum conjecti sunt, inque carcerem interiorem, & neque sic dormire poterant, sed tota nocte vigilant. Videtis quantum bonum sit afflictio? nos autem & in mollibus lectis, & metu territi, totas noctes dormimus, fortassis propterea insomnes manserunt, quoniam in periculis fuerunt. Numquid somni tyrannis illos cepit? numquid dolor inflexit? numquid metus consternatos reddidit? Atqui hæc A quæ illos excitabant alacresque faciebant, etiam magna voluptate implebant. *Media autem nocte*, inquit, *orantes laudabant Deum, audiebant autem illos, vincti.* Novum enim videbatur esse ac admirabile. *Repentè autem terræmotus factus est magnus, ita ut commoverentur fundamenta carceris, apertæ autem sunt statim omnes januæ, & omnium vincula soluta sunt.* Terræmotus factus est, ita ut custos è somno excitaretur, & januæ apertæ sunt, ut factum fieret mirabile. Hæc vincti B non videbant, alioqui fugissent omnes. *Expergefactus autem custos carceris, videns apertas januas carceris, arrepto gladio seipsum interempturus erat, putans effugisse vinctos: clamavit autem voce magna Paulus: dicens: Nihil mali tibiipsi feceris, omnes enim hic sumus.* Admiratus magis est humanitatem Pauli, obstupuit fortitudinem, quia & fugere quum posset, non fugit, & se à cæde prohibuit. *Petito autem lumine, irrupit ac tremefactus procidit ante Paulum & Silam, & dixit,* C *domini, quid me oportet facere, ut salvus fiam?* Vidisti quanta illum cepit admiratio? *Illi autem dixerunt. Crede in Dominum Jesum Christum, & servaberis tu ac omnis domus tua, & loquuti sunt illi sermonem domini, & omnibus qui in domo ejus erant.* Quia statim loquuti sunt ei, declararunt misericordiam erga illum. *Et assumptis illis in eadem hora noctis, lavit à plagis, & baptizatus est ipse, & omnes qui illius erant continuo. Et quum perduxisset illos in domum, apposuit mensam, & exultavit cum tota domo, credens Deo.* Abluit eos D redditurus illis gratiam, & honorans eos propter ea quæ fecerant. *Die autem facto miserunt militum Principes lictores dicentes, dimitte homines illos.* Cognoverant fortasse factum, & non audebant per seipsos dimittere. *Annunciavit autem custos carceris sermones Paulo, dicens: Miserunt militum Principes ut dimittamini: nunc igitur egressi ite in pace. Paulus verò dixit ad illos: Cæsos nos publicè, indicta causa homines Romanos conjecerunt in carcerem, & nunc clam nos ejiciunt?* E *Non profectò, sed veniant ipsi, & educant nos. Annunciaverunt autem militum principibus lictores verba hæc, & timuerunt quum audissent Romanos esse. Et egressi oraverunt illos, & eductos rogabant ut egrederentur è civitate: egressi autem carcere, intraverunt ad Lydiam, visisque fratribus, exhortati sunt eos & profecti sunt.*

Etiam

Etiam principibus militum denunciantibus Paulus non exit, A forsan propter Lydiam & alios fratres, vel etiam terret illos, ne putentur ipsi nihil esse qui perirent: Et ut etiam illos confidentiores faceret. Triplex, dilecte, crimen erat, quod *Romanos*, & *non audita causa*, & *publicè* conjecerant in carcerem. Vides quod etiam multa humano more agebant. Exquiramus ad illam noctem noctes nostras. Ibi convivia, & ebrietates, libidines. Ibi somnus nihil à morte differens, ibi vigiliæ somno molestiores: Nam alii quidem dormiunt ita ut B nihil sentiant, alii autem vigilant miserabiliter ac miserè, fervos percutiendo, pro pecuniis curas gerendo, cogitando ut ulciscantur eos qui se læserant, inimicitias meditando, verba contumeliosa per diem objecta enumerando, & ita ignem iræ succendendo, intolerabiliáque faciendo. Considera quomodo Paulus dormivit, miro & singulari dispensatione hoc factum fuit. Angelus enim aderat, & nullum oportebat videre quod factum erat. Jam autem & hoc benè factum, quod prohibe- C tur custos carceris seipsum occidere. Et quare non aliud miraculum factum? quia hoc sufficiebat ad illiciendum illum, quod nisi evenisset, etiam ipse in periculum venisset. Non enim ita trahunt miracula ulla, ut ea quæ ad salutem nostram attinent. Et ne videatur à seipso factus terræ motus, & naturalis, sequutum est hoc testimonium quod illud confirmet. Et in nocte apparet: Nihil enim ad ostentationem, sed omnia ad salutem aliorum faciebant. Non erat malus carceris custos. D Conjecerat illos in interiorem carcerem, mandato sic accepto, & non à seipso. Et quare non anteà clamavit Paulus? Tumultu ac turbatione plenus erat homo, & non suscepisset verba. Idcircò ubi vidit illum sibiipsi mortem velle consciscere, præoccupat ac clamat, dicens: *Omnes sumus hic*: eapropter & *petito lumine irrupit, & procidit ante Paulum ac Silam.* Ad pedes vincti cadit custos, & præmittit illos foras, ac dixit: *Quid mihi faciendum est ut server?* Quidnam dixerunt? E Vide illum, non ob hoc diligere, quia servatus erat, sed quia virtutem obstupescebat. Vidisti quid illic factum, & quid hic? Illic puella liberata à spiritu, & in carcerem conjecerunt illos quod liberaverunt illam à dæmonio. Hic solùm monstrarunt portas carceris apertas, & aperuit portas cordis illius. Solvit vincula duplicia. Accendit illic lumen, nam & in corde illius lux fulsit. Et irrupit ac procidit. Nec interrogavit: Quomodo hoc factum est? Sed statim dicit: A *Quid mihi faciendum est, ut server?* Quid igitur Paulus? *Crede in Dominum Jesum Christum, & servaberis*, inquit, *tu, ac domus tua.* Maximè homines conciliat, quod etiam sua domus liberanda sit. *Et loquuti sunt ei sermonem, & omnibus qui in domo illius.* Lavit illos & ablutus est. Illos quidem à plagis abluit, ipse autem à peccatis lotus est. Aluit & pastus est. Exultavit, inquit, quamvis nihil erat, sed verba solùm & bona spes. Hoc signum erat, quod ipse credi- B dit, se ab omnibus liberatum. Quid carceris custode pejus? quid crudelius? quid ferocius? attamen cum multo illos honore suscepit, & lætatus est, non quia salvatus est, sed quia credidit Deo. *Crede*, inquit, *in dominum.* Idcirco dixit: *Qui credidit Deo.* Et ne videatur quasi reus ac peccator perire, propterea dicunt: *Cæsos nos publicè & indicta causa conjecerunt in carcerem*, ut non solùm gratiæ, sed etiam ipsorum C sit opus. Vide ut varia dispenset gratia. Quomodo ille egressus est, quomodo hic, tametsi uterque Apostolus. *Timuerunt*, inquit, *quod Romani essent*, non quod injustè conjecissent in carcerem. *Et rogaverunt illos ut exirent ex civitate.* Hanc gratiam petiverunt. Illi autem, ut venerunt ad Lydiam, & confirmaverunt illam, sic tandem profecti sunt. Non enim hospitem illam dimittere oportebat in agone & solicitudine. Egressi autem sunt non illis obtemperantes, sed ad prædicationem festinantes, utilitate per hoc miraculum sufficiente civi- D tati data. Non enim ultra oportebat ibi manere. Etenim miraculum magis clarescit, ubi abierint illi qui ipsum operati sunt. Et fides custodis carceris pro voce erat. Quid huic par? ligatur & solvit. Ligatus solvit duplici vinculo, eum qui ligavit, solvit per hoc quod ligatus est. Revera hæc gratiæ opera sunt: Nunc igitur, inquit, *egressi ite in pace*, hoc est, cum securitate, nihil timentes. Et aliter: Et hunc extra periculum volunt fieri, ne post hæc accusetur. Et non E dicunt: Cæsos nos conjecerunt in carcerem, quia miracula operati sumus. Neque enim illa attendebant, sed quod maximè illorum mentes concutere potuit: *Indicta causa*, inquit, *& quum Romani simus.* Semper memores simus hujus custodis carceris & non miraculi.

A καὶ τῶν στρατηγῶν δηλωσάντων, ὁ Παῦλος οὐκ ἐξέρχεται. τάχα διὰ τὴν Λυδίαν. καὶ τοὺς ἄλλους ἀδελφούς· ἢ καὶ φοβῶν αὐτοὺς, ἵνα μὴ νομισθῶσιν ἠξιωκότες ἀπολελύσθαι· ἵνα καὶ τοὺς ἄλλους ἐν παῤῥησίᾳ καταστήσωσι. τριπλοῦν, ἀγαπητὲ, τὸ ἔγκλημα ἦν· ὅτι καὶ Ῥωμαίους, καὶ ἀκατακρίτους, καὶ δημοσίᾳ ἔβαλον εἰς φυλακήν. ὁρᾷς ὅτι καὶ ἀνθρώπινα κατεσκεύαζον πολλά. ἐξετάσωμεν πρὸς ἐκείνην τὴν νύκτα ταύτας τὰς νύκτας, ἔνθα κῶμοι, καὶ μέθαι, καὶ ἀσέλγειαι· ἔν- B θα ὕπνος θανάτου οὐδὲν διεστηκώς· ἔνθα ἀγρυπνίαι ὕπνου χαλεπώτεραι. οἱ μὲν γὰρ καθεύδουσιν ἀνεπαισθήτως· οἱ δὲ ἐγρηγόρασιν ἐλεεινῶς καὶ ἀθλίως, δούλους ῥαπίζοντες, ὑπὲρ χρημάτων φροντίζοντες ὅπως ἀμυνῶνται τοὺς ἀδικοῦντας σπουδάζοντες, ἔχθραν μελετῶντες, ῥήματα ὑβριστικὰ μεθ' ἡμέραν ἀναλεγόμενοι· οὕτω τὸ πῦρ σκαλεύουσι τῆς ὀργῆς, τὰ ἀφόρητα ἐργαζόμενοι. σκόπει πῶς Πέτρος ἐκάθευδεν οἰκονομικῶς ἐκεῖνο γέγονεν. ὁ ἄγγελος γὰρ παρ- C ῆλθεν, καὶ οὐδένα ἐξῆν ἰδεῖν τὸ γινόμενον· καὶ τοῦτο πάλιν καλῶς, ἵνα κωλυθῇ ὁ δεσμοφύλαξ ἀνελεῖν ἑαυτόν. καὶ διατί μὴ ἄλλο σημεῖον γέγονεν; ὅτι τοῦτο μάλιστα αὐτὸν ἐφελκύσαι, καὶ πεῖσαι ἱκανὸν ἦν, ὅπου γε καὶ αὐτὸς ἐκινδύνευσεν ἄν, εἰ μὴ γέγονεν. οὐ γὰρ οὕτω τὰ θαύματα ἡμᾶς αἱρεῖ, ὡς τὰ εἰς σωτηρίαν ἡμετέραν ἥκοντα. ἵνα μὴ δόξῃ ἀπὸ ταὐτομάτου γεγενῆσθαι ὁ σεισμὸς, ἐπηκολούθησε καὶ τοῦτο ἐκείνῳ μαρτυροῦν, καὶ ἐν νυκτὶ φαίνεται. οὐδὲν γὰρ πρὸς ἐπίδειξιν, ἀλ- D λὰ πρὸς σωτηρίαν ἐποίουν. οὐκ ἦν πονηρὸς ὁ δεσμοφύλαξ. ἔβαλεν αὐτοὺς εἰς τὴν ἐσωτέραν φυλακὴν, παραγγελίαν τοιαύτην λαβὼν, οὐκ ἀφ' ἑαυτοῦ. καὶ διατί μὴ πρὸ τούτου ἐβόησεν ὁ Παῦλος; θορύβου μεστὸς ὁ ἄνθρωπος ἦν καὶ ταραχῆς, καὶ οὐκ ἂν παρεδέξατο. διὰ τοῦτο ὅτε εἶδεν ἑαυτὸν μέλλοντα ἀναιρεῖν, προλαβὼν καὶ ἀνέκραγε καὶ βοᾷ, λέγων· πάντες ἐσμὲν ἐνθάδε. διὰ τοῦτο καὶ αἰτήσας φῶτα εἰσεπήδησε, καὶ προσέπεσε τῷ Παύλῳ φησὶ, καὶ τῷ Σίλᾳ. εἰς τοὺς πόδας προσ- E πίπτει τοῦ δεσμώτου ὁ φύλαξ. καὶ προάγει αὐτοὺς ἔξω, καὶ λέγει· κύριοι τί με δεῖ ποιεῖν, ἵνα σωθῶ; τί γὰρ εἶπον; ὅρα αὐτὸν οὐκ ἐπειδὴ διεσώθη ἐπὶ τούτῳ στέργοντα· ἀλλὰ τὴν δύναμιν ἐκπλαγέντα. εἶδες τί ἐκεῖ γέγονε, καὶ τί ἐνταῦθα; ἐκεῖ παιδίσκη ἀπηλλάγη πνεύματος, καὶ εἰς δεσμωτήριον ἐνέβαλον αὐτοὺς ὅτι ἠλευθέρωσαν αὐτὴν τοῦ δαίμονος· ἐνταῦθα μόνον ἔδειξαν θύρας ἀνεῳγυίας καὶ ἤνοιξεν αὐτοῦ τῆς καρδίας τὰς θύρας, ἔλυσε δεσμὰ διπλᾶ· ἧψεν ἐκεῖ- A νο τὸ φῶς· τὸ γὰρ ἐν τῇ καρδίᾳ αὐτοῦ ἔλαμπε, καὶ εἰσεπήδησε, καὶ προσέπεσε καὶ οὐκ ἐρωτᾷ πῶς τοῦτο γεγένηται γέγονεν; ἀλλ' εὐθέως φησί· τί με δεῖ ποιεῖν ἵνα σωθῶ; τί οὖν ὁ Παῦλος; πίστευσον ἐπὶ τὸν Κύριον Ἰησοῦν Χριστὸν. καὶ σωθήσῃ, φησὶ, σὺ καὶ ὁ οἶκός σου. μάλιστα τοῦτο τοὺς ἀνθρώπους ἐφέλκεται, τὸ καὶ τὸν οἶκον αὐτοῦ σωθῆναι. καὶ ἐλάλησαν αὐτῷ τὸν λόγον, καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. ἔλουσεν αὐτοὺς, καὶ ἐλούθη· ἐκείνους μὲν ἀπὸ τῶν πληγῶν ἔλουσεν, αὐτὸς δὲ ἀπὸ τῶν ἁμαρτιῶν ἐλούθη. ἔθρεψε, καὶ ἐτράφη· καὶ ἠγαλλιᾶτο, B φησί· καί τοι οὐδὲν ἦν, ἀλλὰ ῥήματα μόνον, καὶ ἐλπίδες χρησταί. τοῦτο σημεῖον ἦν τοῦ πεπιστευκέναι αὐτὸν ὅτι πάντων ἀφέθη. τί δεσμοφύλακος χεῖρον; τί δὲ ὠμότερον; τί δὲ ἀγριώτερον; ἀλλ' ὅμως μετὰ πολλῆς αὐτοὺς ὑπεδέξατο τῆς τιμῆς. οὐκ ἐπειδὴ ἐσώθη, εὐφράνθη, ἀλλὰ πεπιστευκὼς τῷ Θεῷ. πίστευσον, φησιν, ἐπὶ τὸν Κύριον. διὰ τοῦτο εἶπε, πεπιστευκὼς τῷ Θεῷ, ἵνα μὴ δόξῃ ὡς καταδίκος ἀπολλυσθαι, καὶ ὡς ἡμαρτηκώς. διὰ τοῦτο λέγουσι· δείραν- C τες ἡμᾶς δημοσίᾳ ἀκατακρίτους ἀνθρώπους ἔβαλον εἰς φυλακήν. ἵνα μὴ μόνον τῆς χάριτος, ἀλλὰ καὶ αὐτῶν ᾖ τὸ πρᾶγμα. ὅρα διάφορα τὴν χάριν οἰκονομοῦσαν· πῶς ἐκεῖνος ἐξῆλθε πῶς οὗτος. καί τοι ἀμφότεροι Ἀπόστολοι. ἐφοβήθησαν, φησί. φοβοῦνται ὅτι Ῥωμαῖοί εἰσιν, οὐχ ὅτι ἀδίκως ἐνέβαλον. καὶ ἠρώτησαν αὐτοὺς ἐξελθεῖν ἀπὸ τῆς πόλεως. χάριν ᾔτησαν ταύτην. οἱ δὲ ἐλθόντες πρὸς τὴν Λυδίαν καὶ βεβαιώσαντες αὐτὴν, οὕτως ἐξῆλθον. οὐ γὰρ D ἔδει τὴν ξενοδόχον ἀφεῖναι ἐν ἀγῶνι καὶ μερίμνῃ. ἐξῆλθον δὲ οὐκ ἐκείνοις πειθόμενοι ἀλλὰ ἐπὶ τὸ κήρυγμα σπεύδοντες, τῆς πόλεως διὰ τοῦ θαύματος ἱκανῶς ὠφεληθείσης. ἔδει γὰρ μὴ παραμένειν λοιπόν. τὸ γὰρ θαῦμα μεῖζον φαίνεται, τῶν ἐργασαμένων ἀποδημησάντων αὐτὸ μᾶλλον βοῶν. ἡ γὰρ τοῦ δεσμοφύλακος πίστις, ἀντὶ φωνῆς ἦν. τί τούτου ἴσον; δεσμεῖται καὶ λύει διπλοῦν δεσμόν· τὸν δήσαντα ἔλυσε διὰ τοῦ δεθῆναι. ὄντως ταῦτα χάριτος ἔργα. νῦν E οὖν, φησιν, ἐξελθόντες πορεύεσθε ἐν εἰρήνῃ· τουτέστι, μετὰ ἀσφαλείας, μηδὲν δεδοικότες. ἄλλως δέ· καὶ τοῦτον ἔξω κινδύνου βούλονται γενέσθαι, ἵνα μὴ μετὰ ταῦτα ἐγκαλῆται. καὶ οὐ λέγουσι δείραντες ἡμᾶς ἔβαλον εἰς φυλακὴν, θαύματα ἐργασαμένους· οὐδὲ γὰρ τούτοις προσεῖχον· ἀλλ' ὃ μάλιστα αὐτῶν σεῖσαι τὴν διάνοιαν

ἐδήσατε, ἀκατακρίτους, φησὶ, καὶ Ῥωμαίους ὑπάρχοντας. τούτου μνημονεύωμεν τοῦ δεσμοφύλακος διαπαντὸς, μὴ τοῦ θαύματος.

ἔστω

Τί ἐροῦσιν Ἕλληνες; πῶς δεσμώτης ὢν τὸν δεσμοφύλακα ἔπεισε; καὶ τίνα, φησί, πεισθῆναι ἐχρῆν, ἢ μιαρὸν ἄνθρωπον, καὶ ταλαίπωρον, καὶ οὐκ ἔχοντα νοῦν, μυρίων γέμοντα κακῶν καὶ εὐπαράγωγον; εἶτα καὶ ταῦτα προφέρουσι· τίς γὰρ, ἡ βυρσεὺς, πορφυρόπωλις, εὐνοῦχος, δεσμοφύλαξ, δοῦλοι καὶ γυναῖκες, ἐπίστευσαν; τί οὖν εἰπεῖν δυνήσονται, ὅταν καὶ τοὺς ἐν ἀξιώμασι παραγάγωμεν; τὸν ἑκατόνταρχον, τὸν ἀνθύπατον, τοὺς ἐξ ἐκείνου μέχρι τοῦ νῦν, αὐτοὺς τοὺς κρατοῦντας, τοὺς βασιλεῖς; ἐγὼ δὲ ἕτερον λέγω τούτου μεῖζον, αὐτοὺς τοὺς εὐτελεῖς ἴδωμεν. καὶ ποῦ τὸ θαυμαστόν, φησι; τοῦτο μὲν οὖν θαυμαστόν. ἂν μὲν γὰρ πεισθῇ τις περὶ τῶν τυχόντων, οὐδὲν θαυμαστόν· ὅταν δὲ περὶ ἀναστάσεως, περὶ βασιλείας οὐρανῶν, περὶ βίου φιλοσόφου ἀνδράσιν εὐτελέσι διαλέγηται καὶ πείθῃ, θαυμαστότερον ἔσται, ἢ εἰ σοφοὺς ἔπεισεν. ὅταν γὰρ μὴ ᾖ κίνδυνος καὶ πείθῃ τις, καλῶς τὴν ἄνοιαν εἰς μέσον φέρουσιν· ὅταν δὲ λέγῃ τῷ δούλῳ κατὰ σὲ, ὅτε ἂν πεισθῇς ἐμοὶ κινδυνεύσεις, πάντας ἕξεις πολεμίους, δεῖ σε ἀποθανεῖν, μυρία παθεῖν κακά· εἶτα οὕτως ἕλῃ τὴν ψυχὴν ἐκείνου. οὐκ ἔτι τοῦτο ἀνοίας. εἰ μὲν γὰρ τὰ δόγματα ἡδονὴν εἶχεν, εἰκότως ἄν τις τοῦτο εἶπεν. εἰ δὲ ὅπερ οὐκ ἂν εἵλοντο φιλόσοφοι μαθεῖν, τοῦτο ὁ δοῦλος μανθάνει, μεῖζον τὸ θαῦμα. καὶ εἰ βούλεσθε, τὸν βυρσοδέψην αὐτὸν εἰς μέσον ἐνέγκωμεν, καὶ ἴδωμεν τί αὐτῷ διελέξατο ὁ Πέτρος· ἢ εἰ θέλεις, αὐτὸν τοῦτον τὸν δεσμοφύλακα. τί οὖν αὐτῷ εἶπεν ὁ Παῦλος; ὅτι ὁ Χριστὸς ἀνέστη, φησίν· ὅτι ἀνάστασίς ἐστι νεκρῶν, ὅτι βασιλεία· καὶ ἔπεισεν εἰκότως εὐπαράγωγον ὄντα. τί οὖν; περὶ βίου οὐδὲν εἶπεν, ὅτι σωφρονεῖν δεῖ; ὅτι χρημάτων κρατεῖν; ὅτι μὴ εἶναι ὠμόν; ὅτι τὰ αὐτοῦ διδόναι ἑτέροις; οὐ γὰρ δὴ καὶ τὸ ταῦτα πεισθῆναι ἀνοίας ἦν, ἀλλὰ καὶ μεγάλης ψυχῆς. ἔστω γὰρ τὰ δόγματα ὑπὸ ἀνοίας μᾶλλον αὐτοὺς παραδέχεσθαι· τὸ βίον οὕτω φιλόσοφον καταδέχεσθαι, ποίας ἀνοίας ἦν; ὥστε ὅσῳ ἂν ἀνόητος ᾖ ὁ πειθόμενος· πείθηται δὲ ταῦτα ἃ μηδὲ φιλόσοφοι πεῖσαι ἴσχυσαν τοὺς φιλοσόφους· μεῖζον τὸ θαῦμα γίνεται. μάλιστα δὲ ὅταν καὶ γυναῖκες, καὶ δοῦλοι πείθωνται, καὶ διὰ τῶν ἔργων ταῦτα ἐπιδείκνυνται, ἅπερ Πλάτωνες, καὶ πάντες ἐκεῖνοι οὐδένα πεῖσαι ἴσχυσαν. καὶ τί λέγω ὅτι οὐδένα; οὐδὲ ἑαυτούς. ὅτι γὰρ χρημάτων οὐ δεῖ καταφρονεῖν, Πλάτων ἔπεισε, τοσαύτην περιουσίαν, καὶ πλῆθος χρημάτων, καὶ δακτυλίους χρυσοῦς, καὶ φιάλας περιποιησάμενος. ὅτι δὲ δόξης οὐ χρὴ καταφρονεῖν τῆς παρὰ τῶν πολλῶν, Σωκράτης αὐτοῖς, κἂν μυρία φιλοσοφῇ, περὶ τούτου δείκνυσι. πάντα γὰρ πρὸς δόξαν ὁρῶν ἐποίει. καὶ εἴγε τῶν ἐκείνου λόγων ἔμπειροι ἦτε, πολὺν ἂν τὸν ὑπὲρ τούτων ἐκίνησα λόγον, καὶ ἔδειξα πολλὴν παρ' αὐτοῖς τὴν εἰρωνείαν, εἴγε ὡς ὁ μαθητὴς αὐτοῦ λέγει πείθεσθαι χρὴ, καὶ πῶς ἀπὸ κενοδοξίας πάντα αὐτῷ τὰ γράμματα τὴν ὑπόθεσιν ἔχει. ἀλλ' ἐκείνους ἀφέντες, πρὸς ἡμᾶς αὐτοὺς διαλεχθῶμεν. μετὰ γὰρ τῶν εἰρημένων, καὶ τοῦτό ἐστιν εἰπεῖν· ὅτι καὶ μετὰ κινδύνων ταῦτα ἐπείθοντο. μὴ οὖν ἀναισχύντει· ἀλλ' ἐννόησον ἐκείνην τὴν νύκτα, τὸ ξύλον, τοὺς ὕμνους, καὶ τοῦτο ποιεῖν σπουδάζωμεν καὶ ἡμεῖς, καὶ ἀνοίξομεν ἡμῖν οὐχὶ δεσμωτήριον, ἀλλ' οὐρανόν. ἂν εὐχώμεθα, καὶ τὸν οὐρανὸν ἀνοῖξαι δυνησόμεθα. Ἠλίας καὶ ἔκλεισε, καὶ ἤνοιξε τὸν οὐρανὸν τῇ εὐχῇ. ἔστι καὶ ἐν οὐρανῷ δεσμωτήριον. „ὅσα ἄν, φησι, δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ. εὐχώμεθα κατὰ νύκτα, καὶ λύσομεν ταῦτα τὰ δεσμά. ὅτι γὰρ εὐχαὶ ἁμαρτήματα λύουσι, πειθέτω ἡμᾶς ἡ χήρα· πειθέτω ἡμᾶς ἐκεῖνος ὁ φίλος, ὁ ἀωρὶ „τῶν νυκτῶν ἐπιμένων καὶ κρούων· πειθέτω ἡμᾶς Κορνήλιος. αἱ προσευ„χαί σου γάρ, φησι, καὶ αἱ ἐλεημοσύναι σου ἀνέβησαν ἐνώπιον τοῦ „Θεοῦ. πειθέτω ἡμᾶς Παῦλος λέγων· ἡ δὲ ὄντως χήρα, καὶ μεμονω„μένη ἤλπικεν ἐπὶ τὸν Θεόν, καὶ προσμένει ταῖς δεήσεσι νυκτὸς καὶ ἡ„μέρας. εἰ περὶ χήρας, ἐκεῖνος δὲ, ταῦτα λέγει ἀσθενοῦς γυναικός, πολλῷ μᾶλλον περὶ ἀνδρῶν. καὶ ἤδη διελέχθην ὑμῖν, καὶ νῦν ἐρῶ. διεγειρώμεθα τὴν νύκτα. κἂν μὴ πολλὰς εὐχὰς ποιῇς, μίαν ποίησον μετὰ νήψεως, καὶ ἀρκεῖ. οὐδὲν πλέον ἀπαιτῶ. κἂν μὴ μεσονύκτιον, πρὸς αὐτὸν γοῦν τὸν ὄρθρον. δεῖξον ὅτι οὐ τοῦ σώματος μόνον ἐστὶν ἡ νύξ, ἀλλὰ καὶ τῆς ψυχῆς. μὴ ἀνάσχῃ παρελθεῖν αὐτὴν ἀργῶς· ἀλλ' ἀμεῖψαι τὸν δεσπότην ἀμοιβὴν ταύτην· μᾶλλον δὲ καὶ αὐτὴ εἰς σὲ περιέρχεται. εἰπὲ δή μοι· εἰ πράγματι περιπέσοιμεν χαλεπῷ, τίνα οὐκ ἀξιοῦμεν; κἂν ταχέως τῆς αἰτήσεως τύχωμεν, ἀναπνέομεν. τίς σοι δῷ ἕτοιμον εἶναι τὸν ἀξιούμενον χάριν σοι ἔχειν ὅτι ἀξιοῖς; τίς σοι δῷ μὴ περιιέναι, καὶ ζητεῖν τίνα ἀξιώσῃς, ἀλλ' εὑρεῖν ἕτοιμον; μὴ ἑτέρων δεῖσθαι, ἵνα δι' ἐκείνων ἀξιώσῃς; τί τούτου μεῖζον; οὗτος γὰρ τότε μάλιστα ποιεῖ, ὅταν μὴ ἑτέρων δεηθῶμεν. καθάπερ φίλος γνήσιος, τότε μάλιστα ἡμῖν ἐγκαλεῖ, ὡς οὐ θαρροῦσιν αὐτοῦ τῇ φιλίᾳ, ὅταν ἑτέρων πρὸς αὐτὸν δεηθῶμεν τῶν ἀξιούντων. οὕτω καὶ ἡμεῖς ποιοῦμεν ἐπὶ τῶν ἡμᾶς ἀξιούντων, τότε μάλιστα αὐτοῖς χαριζόμεθα,

A Quid dicent Gentiles, quomodo quum esset vinctus, persuasit vincienti? Et quem, dicit, persuaderi oportebat, num scelestum hominem & miserum, & non habentem mentem, innumeris malis plenum, & facilè adducibilem? Addunt & hæc. Quis ille vel coriarius, vel purpuratum venditrix, Eunuchus, custos carceris? Servi & mulieres crediderunt. Quid igitur dicere poterunt, quando & eos qui in dignitatibus constituti sunt, adducemus? Centurionem, Proconsulem, eos qui ex illo usque in hunc diem, ipsosque B Imperatores ac Reges? Ego autem aliud dico quod hoc majus est. Illos contemptiores videamus. Et ubi, inquit, hoc miraculum? Profectò miraculum est. Nam siquidem crederet quis de rebus vulgaribus, non esset miraculum: quando autem de resurrectione, de regno cœlorum, & de vita philosophi, popularibus loquitur quis & persuaserit, mirabilior erit, quàm si sapientibus persuaderet. Quando enim C non est periculum & persuaserit quis, benè insipientiam in medium afferunt. Quando autem dixerit quis servo sicut tu es: Si credideris mihi periclitabere, omnes hostes tui erunt, oportebit te mori, & innumera mala ferre, & deinde ceperis animam illius, neutiquam hoc erit insipientiæ: nam si hæc dogmata voluptatem habuissent, meritò quis hoc dixisset. Si autem id quod non didicerunt philosophi, servus discit, utique magnum est miraculum. Et si pla- D cet coriarium illum in medium afferamus, & videamus quid illi narrarit Petrus: vel si vis, illum hunc carceris custodem. Quid igitur illi dixit Paulus? Christus resurrexit, inquit. Est resurrectio mortuorum, est regnum, & persuasit facilè credulo. Quid igitur, de vita nihil dixit? utique quod temperatè vivendum, quod pecuniis imperandum, quod cavenda crudelitas, quod propria danda aliis: nunquid & de his persuaderi erat parvæ sapientiæ, & non magnæ animæ? Esto autem E quod illi dogmata per insipientiam receperint, vitam ita philosophicam agere, nunquid insipientior fuerit? Atque ita quantò insipientior est cui persuadentur ea quæ neque philosophi philosophis persuadere potuerunt, tantò majus fit miraculum, maximè autem quando & mulieres ac servi persuadentur, & operibus id declarant ea quæ Platones & omnes illi persuadere nequiverunt. Et quid dico, quod nulli persuaserint; quum neque sibiipsis. Quòd enim Plato non persuasum habuit contemnandas pecunias, hinc habes, quod tantas facultates, aureos- A que annulos, ac phialas possedit. Item vanam gloriam non esse expetendam, Socrates qui omnia faciebat, ad gloriam spectans, neutiquam ostendit. Et siquidem illius sermones noti essent vobis, longum super ea re moverem sermonem, ostenderem multam apud illum esse ironiam, siquidem credendum est his quæ discipulus ejus de eo dicit, & quomodo à vana gloria, omnes ejus literæ argumentum habent? At illis relictis, nobisipsis loquamur. Nam cum his quæ dicta sunt, etiam hoc B est dicendum, quia & cum periculis hæc persuadebantur. Ne igitur impudens sis, sed cogita illam noctem, nervos, hymnos. Et hoc studeamus etiam facere, & aperiemus nobis non carcerem, sed cœlum. Si oraverimus, & cœlum apetire poterimus: Elias etiam clausit ac aperuit cœlum oratione. Est etiam in cœlo carcer. *Quæcumque ligaveritis in terra, erunt & ligata in cœlo.* Matt. 16,19
Oremus per noctem, & solvemus hæc vincula. Luc. 18,2.
C Nam quod preces peccata solvant, persuadeat nobis *vidua*, Ibidem 11
persuadeat nobis *ille amicus*, qui *intempesta nocte perseverat ac pulsat*: persuadeat nobis Cornelius. *Orationes tuæ*, inquit, *& eleemosynæ tuæ ascenderunt coram Deo.* Sup. 10. 4.
Persuadeat nobis Paulus, dicens: 1. Tim. 5.
Quæ autem vera vidua est, & solitaria, speravit in Deum, & adhæret precibus die ac nocte. Si de vidua ille hæc dicit, de infirma muliere, multò magis de viris. Et jam dixi, & nunc dico: Excitemur nocte, etiamsi D non multas preces facias, unam fac cum sobrietate & sufficit, nihil amplius peto, etiamsi non fit media nox, saltem sub ipsum diluculum. Ostende quod non corporis solùm est nox, sed etiam animæ. Ne sinas illam otiosè transire, sed da domino hoc donum, imò & ipsum ad te redit. Dic enim oro, si in graves incidissemus facultates, quem non rogaremus? si forsan petitionis compotes fieremus, respiramus. Quis tibi daret, ut paratus sit is qui rogatur ad habendum tibi gra- E tiam, quod rogas? Quid tibi daret, ne obambules, & quæras quemnam roges, sed invenias paratum? Ne aliis opus habeas per quos roges, ut per illos preceris. Quid hoc majus? Hic enim tunc maximè facit, quando non alios rogamus, sicut amicus germanus, & nos tunc maximè objurgat quasi non fidamus illius amicitia, quando alios oramus qui pro nobis ad illum intercedant. Ita etiam nos facimus, quando aliqui nos rogant, tunc potissimum illis largimur,

quando per seipsos & non per alios nos accesserint. Quid igitur, inquit, si offenderim? Cessa offendere, & lachrymas funde, & ita accede, & statim in primis invenies illum propitium. Dic solùm, offendi, dic ex animo & pura mente, & soluta sunt omnia. Non adeò cupis dimitti peccata tua, sicut ille cupit peccata tua dimitti. Quod enim non concupiscis tu, cogita, quia neque vigilias suscipis, neque pecunias effundis: ipse autem ut dimittat peccata nostra, unigenito suo non pepercit, germano ejusdemque solii ac potestatis filio. Vides quod ipse magis concupiscit dimittere peccata tua? ne segnes simus, ne moras nectamus. Misericors est ac bonus, solùm occasionem illi demus, idque, ne nos inutiles fiamus ac otiosi, quamvis & absque illa absolveret, sed sicut nos multa in ministris nostris formamus & componimus, ita & ipse multa in nostram facit salutem. Præoccupemus faciem ejus in confessione, quoniam bonus est ac suavis & misericors. Si autem non invocaveris ex veritate, neque volueris ex corde loqui; Dimitte, sed ex ore, quid ille faciet? Quid est in veritate invocare? Cum electione voluntatis, cum alacritate, cum mente sincera: sicut de unguentis dicunt, verum esse, si nihil habet adulterinum, ita & illic revera illum invocat: & qui revera illum invocat, tam diu assidet, nec desistit, donec assequatur. Qui autem obiter defungitur, & sic legem implet, non invocat in veritate. Quisquis ergo fueris, ne dic: Peccator sum solùm, sed etiam da operam, ut ab hac existimatione te liberes: nec dic solùm, sed & dole: si doles, operam adhibes: si non doles, operam non adhibes: si non doles, subsannas. Quis dicens, ægroto, non facit etiam omnia ut liberetur à morbo? Magna arma sunt preces.

Luc. 11, 13. *Si vos*, inquit, *scitis bona dare filiis vestris, multò magis pater vester.* Quare non vis accedere? amat te: plus omnibus potest. Et vult & potest. Quid prohibet? nihil. Igitur accedamus cum fide, accedamus dona afferentes quæ vult, ultionis oblivionem, benignitatem, mansuetudinem. Et si peccator fueris, cum fiducia ab illo petes peccatorum remissionem, qui potest ostendere tibi ipsi, quod hoc tibi concessum sit. Sin justus fueris, & non habes ut ab ultione desistas nihil profuit. Non est possibile quod homo qui dimiserit proximo, non plenam remissionem assequatur: Incomparabiliter magis misericors est Deus quam nos, hoc omnibus manifestum est. Quid dicis? Si dicens, injuria affectus fui, iram domui, furoris vim pertuli propter tuum præceptum, non dimittet etiam ille? omnino utique dimittet. Et ita si purificaverimus animam ab ultionis cupiditate, sufficiet nobis ad hoc ut audiamur, & cum sobrietate, & multa sedulitate oremus, ut obtenta ab eo copiosa misericordia, bona promissa consequamur, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul, ac sancto Spiritui sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum. Amen.

HOMILIA XXXVII.

Cap. XVII *Transierunt autem per Amphipolim & Apolloniam, & venerunt in Thessalonicam, ubi erat synagoga Judæorum. Pro more autem suo Paulus intravit ad illos, & per sabbata tria loquebatur illis de scripturis, aperiens & allegans quòd Christum oportebat pati, & resurgere ex mortuis, & quod hic est Christus Jesus quem ego annuncio vobis.*

ITERUM parvas civitates transeunt, & ad majores festinant, unde quasi ex fontibus quibusdam, in vicinas divulgandus sermo. *Pro more autem suo intravit Paulus in synagogam Judæorum*, quamvis dixerat: *Convertimur ad Gentes*: non relinquebat illos, magno enim amore prosequebatur eos. Audi enim illum dicentem: *Fratres, expectatio quidem cordis mei, & oratio ad Deum pro Israel est ut serventur*, &, *oravi anathema esse à Christo pro fratribus meis.* Faciebat autem hoc propter promissionem Dei ac gloriam, & ne offendiculum esset gentibus. *Et sabbata tria loquebatur illis de scripturis, aperiens & allegans, quòd Christum oportebat pati, & resurgere ex mortuis. Et quod hic est Jesus ille Christus, quem ego annuncio vobis* Vides quod ante omnia passionem prædicat. Sic de illa non confundebantur, sed prædicabant ut salutarem. *Et quidam ex illis crediderunt, & adjuncti sunt Paulo ac Silæ: Et religiosorum Græcorum multitudo magna, mulieresque primariæ non paucæ.* Summam dixit sermonum, alienus ab omni superfluitate, non ubique conciones totas dicendo. *Zelo autem commoti Judæi increduli, &*

Luc. 13. 46. (margin: Luc. 13, 46.) Rom. 10, 1. Ibid. 9, 3.

ὅταν δι' ἑαυτῶν ἡμῶν, καὶ οὐ δι' ἑτέρων προσίωσι. Τί οὖν, φησὶν, ἂν προσκεκρουκὼς ὦ; παῦσαι προσκρούων καὶ δάκρυσον, καὶ οὕτω πρόσελθε, καὶ ταχέως ἐπὶ τοῖς προτέροις αὐτὸν ἵλεων ποιήσεις. εἰπὲ μόνον, ὅτι προσέκρουσα· εἰπὲ ἐκ ψυχῆς καὶ γνησίας διανοίας, καὶ πάντα λέλυται. οὐκ ἐπιθυμεῖς οὕτως ἀφεθῆναί σοι τὰς ἁμαρτίας σου, ὡς αὐτὸς ἐπιθυμεῖ ἀφεῖναί σοι τὰ ἁμαρτήματα. ὅτι γὰρ οὐκ ἐπιθυμεῖς σὺ, ἐννόησον ὅτι οὔτε ἀγρυπνεῖν καταδέχῃ, οὔτε χρήματα προέσθαι· αὐτὸς δὲ, ἵνα ἀφῇ ἡμῶν τὰς ἁμαρτίας, τοῦ μονογενοῦς οὐκ ἐφείσατο, τοῦ γνησίου παιδὸς, τοῦ συνθρόνου. ὁρᾷς ὅτι αὐτὸς μᾶλλον ἐπιθυμεῖ ἀφεῖναί σοι τὰ ἁμαρτήματα; μὴ δὴ ὀκνῶμεν, μηδὲ ἀναβαλλώμεθα. φιλάνθρωπός ἐστι καὶ ἀγαθός· μόνον ἀφορμὴν αὐτῷ δῶμεν· καὶ τοῦτο, ἵνα ἡμεῖς μὴ ἄχρηστοι γενώμεθα. ἐπεὶ καὶ χωρὶς τούτου ἀπέλυσεν ἄν. ἀλλ' ὥσπερ ἡμεῖς ἐπὶ τῶν οἰκετῶν τῶν ἡμετέρων μυρία πλαττόμεθα καὶ συντίθεμεν· οὕτω καὶ αὐτὸς ἐπὶ τῆς ἡμετέρας σωτηρίας ποιεῖ. προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, ὅτι [ὁ] χρηστός ἐστι καὶ ἐπιεικής. ἐὰν δὲ μὴ ἐπικαλῇ ἐν ἀληθείᾳ, μηδὲ θέλῃς εἰπεῖν ἐκ καρδίας ὅτι ἄφες, ἀλλ' ἀπὸ στόματος, τί ποιήσει αὐτός; τί ἐστιν ἐν ἀληθείᾳ καλεῖν; μετὰ προαιρέσεως, μετὰ προθυμίας, μετὰ διανοίας εἰλικρινοῦς. ὅπερ ἐπὶ τῶν μύρων λέγουσιν, ἀληθινόν ἐστιν, οὐδὲν ἔχει νόθον· οὕτω καὶ ἐκεῖ, ὁ ὄντως αὐτὸν καλῶν, καὶ ὁ ὄντως αὐτὸν ὀνόμενος, προσεδρεύει διαπαντὸς, [καὶ] οὐκ ἀφίσταται ἕως ἂν λάβῃ· ὁ δὲ ἁπλῶς ἀφοσιούμενος, καὶ οὕτω τὸν νόμον πληρῶν, οὐκ ἐν ἀληθείᾳ καλεῖ· πᾶς ὅστις ἂν ᾖς, μὴ λέγε ὅτι ἁμαρτωλός εἰμι μόνον, ἀλλὰ καὶ σπούδαζε ἀπαλλάξαι σαυτὸν ταύτης τῆς δόξης. μὴ λέγε, ἀλλὰ καὶ ἄλγει. εἰ ἀλγεῖς, σπουδάζεις· εἰ μὴ σπουδάζεις, οὐκ ἀλγεῖς· εἰ μὴ ἀλγεῖς, χλευάζεις. τίς λέγων ὅτι νοσῶ, οὐ πάντα ποιεῖ ὥστε ἀπαλλαγῆναι; μέγα ὅπλον εὐχή. εἰ ὑμεῖς οἴδατε, φησὶ, δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν; διατί οὐ θέλεις προσελθεῖν; φιλεῖ σε· δύναται πάντων πλέον· καὶ βούλεται καὶ δύναται. τί τὸ κωλῦον; οὐδέν. οὐκοῦν προσίωμεν μετὰ πίστεως· προσίωμεν τὰ δῶρα προσφέροντες ἃ βούλεται, ἀμνησικακίαν, χρηστότητα, πρᾳότητα. κἂν ἁμαρτωλὸς ᾖς, μετὰ παρρησίας αὐτὸν ἀπαιτήσεις τὴν συγχώρησιν τῶν ἁμαρτημάτων, ἔχων δεῖξαι παρὰ σαυτῷ τοῦτο γεγενημένον· ἂν δὲ δίκαιος ᾖς, καὶ τοῦτο μὴ ἔχῃς τὸ ἀμνησικακεῖν, οὐδὲν ὤνησας. οὐκ ἔστιν ἄνθρωπον ἀφέντα τῷ πλησίον, μὴ ἀκριβῶς τυχεῖν τῆς ἀφέσεως. φιλανθρωπότερος γὰρ ἡμῶν ἀσυγκρίτως ἐστὶν ὁ Θεός. τοῦτο παντὶ δῆλον. τί λέγεις; ἐὰν εἴπῃς, ἠδικήθην, ὀργῆς ἐκράτησα, θυμοῦ ἐπήνεγκα, ἔπαθον διὰ τὸ σὸν πρόσταγμα, οὐκ ἀφήσει καὶ αὐτός; πάντως γοῦν ἀφήσει. ὥστε καθαρίσωμεν τὴν ψυχὴν τῆς μνησικακίας. ἀρκεῖ τοῦτο ἡμῖν πρὸς τὸ ἀκουσθῆναι, καὶ μετὰ νήψεως προσευχώμεθα, καὶ πολλῆς τῆς προσεδρείας· ἵνα δαψιλοῦς τῆς παρ' αὐτοῦ φιλανθρωπίας ἀπολαύσαντες, καταξιωθῶμεν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

ΟΜΙΛΙΑ λζ'.

Διοδεύσαντες δὲ τὴν Ἀμφίπολιν καὶ Ἀπολλωνίαν, ἦλθον εἰς Θεσσαλονίκην, ὅπου ἦν ἡ συναγωγὴ τῶν Ἰουδαίων. κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ εἰσῆλθε πρὸς αὐτοὺς, καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν· καὶ ὅτι οὗτός ἐστι Χριστὸς Ἰησοῦς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν.

ΠΑΛΙΝ τὰς μὲν μικρὰς παρατρέχουσι πόλεις· ἐπὶ δὲ τὰς μείζους ἐπείγονται, ὅθεν καθάπερ ἔκ τινος πηγῆς μέλλοντος τοῦ λόγου διαρρεῖν εἰς τὰς πλησίον. κατὰ δὲ τὸ εἰωθὸς τῷ Παύλῳ, εἰσῆλθεν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων. καίτοι εἰπὼν, ὅτι στρεφόμεθα εἰς τὰ ἔθνη, οὐκ ἠφίει τούτους. πολλὴν γὰρ πρὸς αὐτοὺς εἶχε ποθὴν. ἄκουε γὰρ αὐτοῦ λέγοντος· ἀδελφοὶ, ἡ μὲν εὐδοκία τῆς ἐμῆς καρδίας, καὶ ἡ δέησις ἡ πρὸς τὸν Θεὸν, ὑπὲρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν, καὶ, ηὐχόμην ἀνάθεμα εἶναι ἀπὸ τοῦ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου. ἐποίει δὲ τοῦτο, διὰ τὴν ἐπαγγελίαν τοῦ Θεοῦ καὶ τὴν δόξαν, καὶ ἵνα μὴ σκάνδαλον ᾖ τοῦτο τοῖς Ἕλλησι. καὶ ἐπὶ σάββατα τρία διελέγετο αὐτοῖς ἀπὸ τῶν γραφῶν, διανοίγων καὶ παρατιθέμενος, ὅτι τὸν Χριστὸν ἔδει παθεῖν, καὶ ἀναστῆναι ἐκ νεκρῶν, καὶ ὅτι οὗτός ἐστιν Ἰησοῦς ὁ Χριστὸς, ὃν ἐγὼ καταγγέλλω ὑμῖν. ὁρᾷς ὅτι πρὸ πάντων τὸ πάθος κηρύττει· οὕτως οὐκ ᾐσχύνοντο, ἀλλ' ᾔδεσαν τοῦτο σωτήριον ὄν. καί τινες ἐξ αὐτῶν ἐπείσθησαν, καὶ προσεκληρώθησαν τῷ Παύλῳ, καὶ τῷ Σίλᾳ, τῶν τε σεβομένων Ἑλλήνων πλῆθος πολὺ, γυναικῶν τε τῶν πρώτων οὐκ ὀλίγαι. τὸ κεφάλαιον εἶπε τῆς διαλέξεως. οὕτως ἀπέριττός ἐστιν, οὐ πανταχοῦ τὰς δημηγορίας αὐτοῦ λέγων. ζηλώσαντες δὲ οἱ ἀπειθοῦντες

θῦντες Ἰουδαῖοι, καὶ προσλαβόμενοι τῶν ἀγοραίων τινὰς ἄνδρας πονηροὺς, καὶ ὀχλοποιήσαντες, ἐθορύβουν τὴν πόλιν· ἐπιστάντες τε τῇ οἰκίᾳ Ἰάσονος, ἐζήτουν αὐτοὺς ἀγαγεῖν εἰς τὸν δῆμον. μὴ εὑρόντες δὲ αὐτοὺς, ἔσυρον τὸν Ἰάσονα, καί τινας ἀδελφοὺς ἐπὶ τοὺς πολιτάρχας βοῶντες· ὅτι οἱ τὴν οἰκουμένην ἀναστατώσαντες, οὗτοι καὶ ἐνθάδε πάρεισιν, οὓς ὑποδέδεκται Ἰάσων. καὶ οὗτοι πάντες ἀπέναντι τῶν δογμάτων Καίσαρος πράσσουσι, βασιλέα ἕτερον λέγοντες εἶναι Ἰησοῦν. ὢ τῆς κατηγορίας· πάλιν εἰς καθοσίωσιν διέβαλλον αὐτοὺς, λέγοντες εἶναι, φησὶν, ἕτερον βασιλέα Ἰησοῦν. ἐτάραξαν δὲ τὸν ὄχλον, καὶ τοὺς πολιτάρχας ἀκούοντας ταῦτα, καὶ λαβόντες τὸ ἱκανὸν παρὰ τοῦ Ἰάσονος, καὶ τῶν λοιπῶν, ἀπέλυσαν αὐτούς. θαυμαστὸς ὁ ἀνὴρ, εἰς κίνδυνον ἑαυτὸν ἐκδοὺς καὶ ἐκπέμψας αὐτούς. οἱ δὲ ἀδελφοὶ εὐθέως διὰ τῆς νυκτὸς ἐξέπεμψαν τόν τε Παῦλον, καὶ τὸν Σίλαν εἰς Βέροιαν. οἵτινες παραγενόμενοι εἰς τὴν συναγωγὴν ἀπῄεσαν τῶν Ἰουδαίων. οὗτοι δὲ ἦσαν εὐγενέστεροι τῶν ἐν Θεσσαλονίκῃ. οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχοι ταῦτα οὕτως. εὐγενέστεροι, φησί· τουτέστιν, ἐπιεικέστεροι. καὶ ὅρα, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ ἀκριβείας ἀνηρεύνων τὰς γραφάς. τοῦτο γάρ ἐστι τὸ, ἀνέκρινον, βουλόμενοι ἀπ' αὐτῶν πληροφορίαν μᾶλλον περὶ τοῦ πάθους λαβεῖν. ἤδη γὰρ ἦσαν πιστεύσαντες. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ὡς δὲ ἔγνωσαν οἱ ἀπὸ τῆς Θεσσαλονίκης Ἰουδαῖοι, ὅτι καὶ ἐν τῇ Βεροίᾳ κατηγγέλη ὑπὸ τοῦ Παύλου ὁ λόγος τοῦ Θεοῦ, ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους. εὐθέως δὲ τότε τὸν Παῦλον ἐξαπέστειλαν οἱ ἀδελφοὶ πορεύεσθαι ὡς ἐπὶ τὴν θάλασσαν. ὑπέμενον δὲ ὅ τε Σίλας καὶ ὁ Τιμόθεος ἐκεῖ. ὅρα αὐτὸν καὶ ὑποχωροῦντα καὶ ἐνιστάμενον, καὶ πολλὰ ἀνθρωπίνως ποιοῦντα. οἱ δὲ καθιστῶντες τὸν Παῦλον, ἤγαγον αὐτὸν ἕως Ἀθηνῶν, καὶ λαβόντες ἐντολὴν πρὸς τὸν Σίλαν καὶ Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῄεσαν. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἐπὶ σάββατα τρία, φησὶ, διελέχθη αὐτοῖς, διανοίγων ἀπὸ τῶν γραφῶν. καλῶς ὅτε ἤργουν. τοῦτο γὰρ καὶ ὁ Χριστὸς ἐποίει, ἄνω καὶ κάτω ἀπὸ τῶν γραφῶν διαλεγόμενος, καὶ οὐ πανταχοῦ ἀπὸ τῶν σημείων. ἐπειδὴ γὰρ πρὸς τοῦτον ἐναντίως εἶχον, καὶ ὡς πλάνον καὶ γόητα διέβαλλον, διὰ τοῦτο καὶ αὐτὸς ἀπὸ τῶν γραφῶν διαλέγεται. ὁ μὲν γὰρ ἀπὸ τῶν σημείων ἐπιχειρῶν μόνον πείθειν, εἰκότως ὑποπτεύεται· ὁ δὲ ἀπὸ τῶν γραφῶν πείθων, οὐκ ἔχει ταύτην τὴν ὑπόνοιαν. καὶ πολλαχοῦ εὑρίσκομεν ἀπὸ διδασκαλίας αὐτὸν πείσαντα· καὶ ἐν Ἀντιοχείᾳ δὲ πᾶσα διδάσκοντι αὐτῷ συνήχθη ἡ πόλις. οὕτω μέγα τι καὶ τοῦτό ἐστι, καὶ οὐ μικρὸν σημεῖον, ἀλλὰ καὶ σφόδρα ἐστὶ μέγα τοῦτο. καὶ ἵνα μὴ νομίσωσιν ὅτι αὐτοὶ ἴσχυσαν τὸ πᾶν, συγχωρεῖ αὐτοὺς ὁ Θεὸς ἐλαύνεσθαι. δύο γὰρ ἐκ τούτου συνέβαινεν· οὔτε μέγα ἐφρόνουν ὡς αὐτοὶ κατορθοῦντες, οὔτε πάλιν ἐφοβοῦντο ὡς ὑπεύθυνοι. οὕτως οἰκονομίας ἦν καὶ τὸ καλεῖσθαι. τῶν τε σεβομένων Ἑλλήνων, φησὶ, πολὺ πλῆθος, καὶ τῶν Ἑλληνίδων γυναικῶν τῶν εὐσχημόνων ἐπίστευσαν, καὶ ἀνδρῶν οὐκ ὀλίγοι. ἐκεῖνοι δὲ τοὐναντίον. πῶς δὲ λέγων, ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομὴν, διαλέγεται τοῖς Ἰουδαίοις; ἐκ περιουσίας τοῦτο ποιῶν. ἐπεὶ εἰ Ἰουδαίοις διαλέγεσθαι οὐκ ἐχρῆν, πῶς ἔλεγε πάλιν· ὁ γὰρ ἐνεργήσας ἐκείνοις εἰς τὴν περιτομὴν, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη; ὥσπερ ἐκεῖνοι καὶ ἔθνεσιν ὡμίλησαν, καίτοι γε εἰς τὴν περιτομὴν ἀφωρισμένοι· οὕτω καὶ οὗτος. τὸ μὲν οὖν πλέον ἐν αὐτοῖς· πλὴν οὐδὲ ἐκείνων ἠμέλησεν, ἵνα μὴ δόξωσιν διεσχίσθαι. καὶ πῶς, φησὶ, προηγουμένως εἰς τὰς συναγωγὰς εἰσῄει; ἀλλ' Ἕλληνας ἔπειθε διὰ τῶν Ἰουδαίων, ἐξ ὧν Ἰουδαίοις διελέγετο. ᾔδει δὲ ὅτι τοῦτο μάλιστα ἔθνεσιν ἁρμόζον ἦν πρὸς πίστιν προσαγαγόν. διὰ τοῦτο ἔλεγεν, ἐφ' ὅσον εἰμὶ ἐγὼ ἐθνῶν Ἀπόστολος. καὶ αἱ ἐπιστολαὶ δὲ αὐτοῦ πρὸς Ἰουδαίους πᾶσαι εἰσὶν ἀπομαχόμεναι, ὅτι τὸν Χριστὸν, φησὶν, ἔδει παθεῖν. εἰ παθεῖν ἔδει, πάντως καὶ ἀναστῆναι. πολλῷ γὰρ ἐκείνου θαυμασιώτερον τοῦτο. εἰ γὰρ τὸν οὐδὲν ἠδικηκότα εἰς θάνατον ἐξέδωκε, πολλῷ μᾶλλον ἀνέστησεν αὐτόν. προσλαβόμενοι δέ τινας τῶν ἀγοραίων οἱ ἀπειθοῦντες Ἰουδαῖοι, ἐθορύβουν τὴν πόλιν, φησίν. ὥστε πλείους ἦσαν οἱ Ἕλληνες. καὶ προσλαμβάνουσί τινας, ἐπειδὴ οὐκ ἐνόμισαν ἑαυτοὺς ἀρκεῖν πρὸς τὴν στάσιν οἱ Ἰουδαῖοι· καὶ ἐπειδὴ οὐκ εἶχον αἰτίαν εὔλογον, θορύβῳ ἀεὶ τὰ τοιαῦτα ἀνύουσι, καὶ προσλήψει ἀνδρῶν πονηρῶν. μὴ εὑρόντες δὲ αὐτοὺς, φησὶν, ἔσυρον τὸν Ἰάσονα. ὢ τῆς τυραννίδος! ἀπὸ τῆς οἰκίας εἷλκον αὐτοὺς ἁπλῶς. οὗτοι πάντες ἀπέναντι τῶν τοῦ Καίσαρος δογμάτων πράσσουσι. βασιλέα, φησὶ, λέγοντες ἕτερον εἶναι Ἰησοῦν. ἐπειδὴ οὐδὲν ἐναντίον ἔλεγον τοῖς δεδογμένοις, οὐδὲ παρεκίνουν τὴν πόλιν, ἐφ' ἕτερον ἔγκλημα αὐτοὺς ἄγουσι, καὶ εἰς καθοσίωσιν διαβάλλουσι. καὶ τί φοβεῖσθε, εἴγε τέθνηκεν; ὅρα τοὺς διωγμοὺς πανταχοῦ τὸ κήρυγμα ἐκτείνοντας.

A *assumptis quibusdam forensibus viris malis, & turba coacta concitaverunt civitatem. Et urgentes domum Jasonis; quærebant illos ut ducerent ad plebem. Non invenientes autem illos, traxerunt Jasonem & fratres quosdam ad principes civitatis, clamantes: Hi qui orbem terrarum concitarunt, huc quoque venerunt, quos hospitio excepit clam Jason. Et hi omnes contra decreta Cæsaris faciunt, regem alium dicentes esse Jesum.* O accusationem! Iterum accusant violatæ majestatis & reipublicæ. *Dicentes*, inquit, B *regem alium esse Jesum. Concitaverunt autem turbam & principes civitatis audientes hæc, & accepta satisfactione ab Jasone & a cæteris, dimiserunt illos.* Admirabilis etat vir ille, dimisit illos, & periculo se exposuit. *Fratres autem statim per noctem emiserunt simul Paulum & Silam in Berœam. Qui quum advenissent, intraverunt in synagogam Judæorum. Hi autem qui erant generosissimi Thessalonicensium, qui receperant verbum cum omni alacritate quotidie dijudicantes scripturas, num hæc ita se* C *habeant:* Et multi quidem crediderunt ex eis, & mulierum Gentilium honestarum, & viri non pauci. *Generosissimi*, inquit, *erant*, hoc est, humanissimi. Et vide non simpliciter, sed cum diligentia scrutabantur scripturas. Hoc enim est *dijudicantes*, volebant enim & à seipsis certissimam persuasionem habere de passione. Jam enim crediderant. *Itaque multi ex illis crediderunt, etiam Græcæ mulieres honestæ, & non pauci viri. Ubi autem cognoverunt Thessalonicenses Judæi, quod & in Berœa à* D *Paulo annunciatum esset verbum Dei, venerunt, & illic concitaverunt turbas: Statim autem tunc Paulum emiserunt fratres, ut iret velut ad mare, manserunt Silas & Timotheus illic.* Vide illum & cedentem & urgentem, & multa humano consilio facientem. *Porrò qui prosequebantur Paulum, duxerunt illum usque ad Athenas, & accepto mandato ad Silam & Timotheum, ut quam celerrimè ad illum veniant profecti sunt.* Videamus autem iterum quæ dicta sunt: *Per sabbata tria*, inquit, *loquebatur illis,* E *aperiens ex scripturis.* Bene, quando vacabant, hoc & Christus faciebat, multum de scripturis disserens, & non semper signa faciens. Quoniam enim illi adversabantur, & eum ut impostorem & incantatorem calumniabantur, ideo & ipse de scripturis disserit. Qui enim solis signis attentat persuadere, meritò suspectus est. Qui autem ex scripturis persuadet, non venit in eam suspicionem. Et ubique invenimus illum doctrinis persuadere. Sed & quum in Antiochia doceret, A congregata est ad ipsum civitas. Ita magnum quoddam etiam hoc est, & non parvum signum, sed verè valdè magnum. Et ne putent quòd ipsi possent totum, permittit illos Deus expelli. Duo enim inde proveniebant, nempe quòd quasi depositi non superbiebant, & iterum quòd neque ut rei terrebantur; ita etiam singulari ordinatione vocabantur. *Religiosorum Græcorum*, inquit, *magna multitudo, & Græcarum mulierum crediderunt, etiam* B *viri non pauci.* Illi autem contrà faciebant. Quomodo autem dicens: *Ut nos ad gentes, ipsi autem ad circumcisionem*, loquitur Judæis? Gal. 2,9. Hoc ex superabundantia faciebat. Quoniam si Judæis loqui non oportebat, quomodo dicebat iterum: *Qui enim cooperabatur illi in circumcisione, cooperatus est & mihi in gentibus.* Quemadmodum enim & illi gentibus loquuti sunt, quamvis ad circumcisionem segregati: ita & hic. Et quamvis amplius hos C curabat, non tamen illos negligebat, ne videantur divisi esse. Et quomodo, dicet quis, prius ad synagogas ingreditur? Græcis persuadebat per Judæos dum Judæis loquitur. Sciebat enim quod hoc ad gentes conciliandas multùm valebat. Idcirco dicebat: *Quoniam ego* Rom 11,13 *gentium sum Apostolus.* 1. Tim. 2,7. Et epistolæ illius omnes contra Judæos pugnant. *Quod Christum*, inqoit, *oportebat pati.* Si pati oportebat, omnino & resurgere, multò magis mirabile D hoc quàm illud. Si enim illum qui nihil injustè egit, morti exposuit, multò magis suscitavit illum. *Judæi autem increduli, assumptis forensibus quibusdam, turbarunt civitatem*, inquit. Ita quum plures essent Græci, assumebant quosdam. Quoniam non putaverunt Judæi se sufficere ad seditionem movendam, nec justam causam habeant, tumultu semper talia perficiunt, idque assumptis viris malis: *Non invenientes autem illos*, inquit, *traxerunt Jasonem.* O tyrannidem! ab ædibus sine E causa illos extrahunt. *Hi omnes contraria decreto Cæsaris faciunt. Regem*, inquit, *dicentes esse Jesum.* Quoniam nihil contrarium dicebat decretis, neqoe commovebant civitatem, in aliud crimen illos ducunt, & læsæ majestatis ac reipublicæ accusant. Et quid timetis, siquidem mortuus est? Vide persequutiones semper prædicationem promovere.

Itaque *hi erant*, inquit, *generosissimi Thessalonicensium*, hoc est, nihil mali facientes, sed alii quidem crediderunt, hi autem contrarium faciunt turbantes illos. Igitur multi quidem crediderunt ex illis, etiam Græcæ mulieres: Iterum hic credunt Græci. Tu autem vide qua dispensatione fugerunt metuentes. Nónne si cessassent prædicare, etiam amplius exacerbassent? Duo fiebant, & illorum furor extinguebatur, & prædicatio crescebat. Meritò autem & illorum malos mores ponit. *Venerunt & illuc concitantes turbas*, irrefrænabilem insaniam illorum insinuat. *Statim autem emiserunt Paulum fratres, ut iret*, inquit, *quasi ad mare*. Hic jam Paulum solum mittunt. Metuebant ne quid ipsi mali accideret, qui caput illorum omnium erat. Sic non ubique gratia operabatur, sed sinit illos etiam humano consilio agere, exuscitans illos & in solicitudinem immittens. Vide saltem ut Philippis servarit solùm, hic non item. *Et accepto mandato*, inquit, *ad Silam & Timotheum, ut quàm celerrime veniant ad ipsum, profecti sunt*. Et hoc meritò: Nam licèt Paulus erat, attamen illis opus habebat. Igitur bene in Macedoniam à Deo impellebantur. Clara enim tum erat Græcia, alioqui & alia
1. Cor 9,14 præter necessit item faciebat: *Christus præcipiebat ex evangelio vivere*, hic autem hoc non faciebat. *Christus non misit illum baptizare*, hic autem baptizabat. Vide quomodo conferendus omnibus erat: Petrus in circumcisionem, hic ad gentes, & in majorem partem. *Et accepta satisfactione à Jasone dimiserunt illos*. Vide quomodo satisfaciens Jason emisit Paulum, & ita animam suam pro Paulo exposuit. *Hi*, inquit, *erant generosissimi Thessalonicenses*, hoc est, virtutibus & fide erga Deum præditi. *Qui scilicet susceperunt sermonem cum omni alacritate*, inquit, *quotidie dijudicantes scripturas, si hæc sic habeant*. Non simpliciter impetu, neque zelo. Et quia major civitas erat, forenses homines erant in illa. Mirabile autem non est, si in majore civitate deteriores sint, imo maximè verisimile est, in majore esse pejores, ubi multæ tumultuum occasiones: Nam sicut in corpore, quando difficilior morbus fuerit, plus habet materiæ & alimenti: Ita certè hoc loco, id quod & in Iconio factum est, & egreditur Paulus, ut & perditionis aliorum pœnam dent:

Ib. 1,17.

1. Thes. 2, 16. Idcirco & Paulus dicit, *prohibentibus nos loqui gentibus*. Et quare non manserunt, inquit, ibi? quare non signa fecerunt? Si enim illic ubi lapidatus est, mansisset multo tempore, multò magis ibi. Quare? Deus non semper voluit illos facere signa. Non enim minus signum est, vincere absque signo eos qui persequuntur, quàm signa facere, atque ita sicut nunc absque signis prævalet, ita & tunc ubique volebat potens esse. Itaque nec
1. Cor 1,23. apostoli ubique ad signa confugiunt. *Nos autem prædicamus Christum crucifixum signa quærentibus, & sapientiam*. Hæc dedimus quæ neque signis persuaderi possunt. Et persuademus, adeóque magnum hoc signum erat. Igitur vide ubi extenta prædicatio, quomodo statim ad signa accurrunt: oportebat enim posteà propter eos qui crediderant majora esse signa, quam quæ aliis fiebant, ideo & fiunt, sed recedendo & accedendo ea faciebant. *Emiserunt illum quasi ad mare*. Quare? ut non possit facilè deprehendi. Ita enim illum eripere voluerunt, quasi pro hoc magni quippiam perfecissent. Vide quanto studio & reliqui discipuli erga præcipuos Apostolos usi sunt, & non quemadmodum nunc separati sumus. Separamur enim inter nos parvi & magni. Alii quidem extollimur, alii autem invidemus: propter hoc & illi invident, quia nos inflamur, & non patimur cum illis æqualiter salvari. Idcirco in corpore est moderatio qualitatum & harmonia, quia non est inflatio: non est autem inflatio, quia membra ita constituta sunt, ut seipsis invicem utantur necessario, & caput pedibus eget, & pedes capite. Et nobis hoc fecit Deus, & neque sic fieri sustinemus. Etenim etiam si hoc non esset, oportebat charitatem ac pacem habere. An non audistis illos qui foris calumniantur nos? Quando dicunt: Utiles amicitiæ, laici nobis opus habent, & nos iterum propter illos sumus. Ita & doctor & princeps non esset, nisi etiam discipuli essent ac subditi, neque facerent quæ sua sunt, sicut terra opus habet agricolâ, & agricola terrâ: ita & hic. Quam enim habet mercedem doctor, non habens cui ostendat edoctos? quam etiam hi qui docentur, si non optima fruantur doctrina? Et ita iterum similiter alter altero opus habet, & principes his qui reguntur, & duces subditis. Principes enim multorum gratia sunt.

A οὗτοι μὲν οὖν, φησὶν, εὐγενέστεροι ἦσαν τῶν ἐν Θεσσαλονίκῃ· τουτέστιν, οὐδὲν πονηρὸν πράττοντες· ἀλλ' οἱ μὲν ἐπείσθησαν, οὗτοι δὲ καὶ τὸ ἐναντίον ποιοῦσι θορυβοῦντες αὐτούς. πολλοὶ μὲν οὖν ἐξ αὐτῶν ἐπίστευσαν, καὶ τῶν Ἑλληνίδων, φησὶ, γυναικῶν. πάλιν ἐνταῦθα πιστεύουσιν Ἕλληνες. σὺ δέ μοι θέα, πῶς οἰκονομικῶς ἔφυγον οἱ δειλιῶντες. ἢ γὰρ ἂν, ἐπαύσαντο κηρύττοντες, καὶ οὐχὶ μᾶλλον παρώξυναν. ἀλλ' ἐκ τούτου δύο ἐγένοντο· καὶ ἐκείνων ὁ θυμὸς ἐσβέννυτο, καὶ τὸ κήρυγμα ἐπεδίδου. ἀ-
B ξίως δὲ τὴν ἀταξίαν αὐτῶν εἶπεν· οἳ ἦλθον κἀκεῖ σαλεύοντες τοὺς ὄχλους, τὴν ἀκάθεκτον μανίαν αὐτῶν αἰνιττόμενος. εὐθέως δὲ ἐξαπέστειλαν τὸν Παῦλον οἱ ἀδελφοὶ πορεύεσθαι, φησὶν, ὡς ἐπὶ τὴν θάλασσαν. ἐνταῦθα λοιπὸν τὸν Παῦλον πέμπουσι μόνον. περὶ γὰρ ἐκείνου ἐδεδοίκεισαν μή τι πάθῃ, τὸ κεφάλαιον αὐτῶν ὄν. οὕτως οὐ πανταχοῦ ἡ χάρις ἐνήργει· ἀλλ' εἴα αὐτοὺς καὶ ἀνθρώπινα ποιεῖν, διανιστῶσα αὐτοὺς καὶ διυπνίζουσα, καὶ εἰς μέριμναν ἐμβάλλουσα. ὅρα γοῦν, ἕως
C Φιλίππων ἔσωσε μόνον, ἐντεῦθεν δὲ οὐκ ἔτι. καὶ λαβόντες ἐντολὴν, φησὶ, πρὸς τὸν Σίλαν καὶ τὸν Τιμόθεον, ἵνα ὡς τάχιστα ἔλθωσι πρὸς αὐτὸν, ἐξῄεσαν. καὶ τοῦτο εἰκότως. εἰ γὰρ καὶ Παῦλος ἦν, ὅμως ἐδεῖτο ἐκείνων. ἄρα καλῶς ἠπείγοντο εἰς Μακεδονίαν ὑπὸ τοῦ Θεοῦ. λαμπρὰ γὰρ ἦν καὶ ἡ Ἑλλὰς λοιπὸν, ἐπεὶ καὶ ἄλλα περιττὰ ἐποίει. ὁ Χριστὸς διέταξεν ἐκ τοῦ εὐαγγελίου ζῆν· οὗτος δὲ αὐτὸ οὐκ ἐποίει. ὁ Χριστὸς οὐκ ἀπέστειλεν αὐτὸν βαπτίζειν· οὗτος δὲ ἐβάπτιζεν. ὅρα πῶς ἀντίρροπος
D πάντων ἦν. Πέτρος εἰς τὴν περιτομήν· οὗτος εἰς τὰ ἔθνη, καὶ τὸ πλεῖον μέρος. καὶ λαβόντες τὸ ἱκανὸν, φησὶ, παρὰ τοῦ Ἰάσονος, ἀπέλυσαν αὐτούς. ὅρα πῶς ἱκανὰ δοὺς Ἰάσων ἐξέπεμψε Παῦλον, ὥστε τὴν ψυχὴν αὐτοῦ ἔδωκεν ὑπὲρ αὐτοῦ. οὗτοι, φησὶν, ἦσαν εὐγενέστεροι ἐν Θεσσαλονίκῃ· τουτέστι, κατὰ τὴν ἀρετὴν ὄντες οὗτοι καὶ τὴν πρὸς τὸν Θεὸν πίστιν. οἵτινες ἐδέξαντο τὸν λόγον μετὰ πάσης προθυμίας, φησὶ, τὸ καθ' ἡμέραν ἀνακρίνοντες τὰς γραφὰς εἰ ἔχοι ταῦτα οὕτως. οὐχ ἁπλῶς
E ῥύμῃ, οὐδὲ ζήλῳ. καίτοι μείζων ἡ πόλις ἦν, ἀγοραῖοι ἄνθρωποι ἦσαν ἐν αὐτῇ. θαυμαστὸν δὲ οὐδὲν, καὶ οἱ ἐν μείζονι χείρους εἰσί. μάλιστα μὲν οὖν εἰς τὴν μείζονα χείρους εἰκὸς, ἔνθα πολλαὶ τῶν ταραχῶν αἱ ἀφορμαί. καθάπερ γὰρ ἐν σώματι, ὅταν ἡ νόσος χαλεπωτέρα ᾖ, πλείονα ἔχει τὴν ὕλην, καὶ τὴν τροφήν· οὕτω δὴ καὶ ἐνταῦθα, ὅπερ ἐν Ἰκονίῳ γέγονε, καὶ νῦν γίνεται. καὶ ἐξέρχεται ὁ Παῦλος, ἵνα καὶ τῆς ἑτέρων ἀπωλείας δίκην δῶσι. διὰ τοῦτο καὶ Παῦλος ἔλεγε·
A κωλυόντων ἡμᾶς τοῖς ἔθνεσι λαλῆσαι. καὶ διατί μὴ ἐνέμειναν, φησὶν, ἐνταῦθα; διατί μὴ σημεῖα ἐποίησαν; εἰ γὰρ ἐκεῖ οὗ ἐλιθάζετο ἔμεινεν ἱκανὸν χρόνον· πολλῷ μᾶλλον ἐνταῦθα. διατί; οὐκ ἀεὶ ἐβούλετο τούτους σημεῖα ποιεῖν ὁ Θεός. τοῦ γὰρ σημεῖα ποιεῖν, οὐχ ἧττον σημεῖον τὸ διωκομένους περιγενέσθαι χωρὶς σημείων. ὥστε καθάπερ νῦν χωρὶς σημείων κρατεῖ· οὕτω καὶ τότε πολλαχοῦ ἐβούλετο κρατεῖν. οὐ τοίνυν οὐδὲ οἱ Ἀπόστολοι ἐπέτρεχον τοῖς σημείοις, ὥσπερ οὖν καὶ
B αὐτός φησιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, τοῖς σημεῖα ζητοῦσι, τοῖς σοφίαν. ταῦτα διδάσκομεν, ἃ μηδὲ μετὰ σημείων δύναται πεῖσαι, καὶ πείθομεν. ὥστε μέγα τοῦτο σημεῖον ἦν. ὅρα γοῦν ἐπιδοθέντος τοῦ κηρύγματος, πῶς ταχέως ἐπιτρέχουσι τοῖς σημείοις. ἔδει γὰρ λοιπὸν διὰ τοὺς πιστεύσαντας, μείζονα εἶναι σημεῖα τῶν λοιπῶν, διὸ καὶ γίνονται· ἀλλὰ τῷ ὑποχωρεῖν καὶ ἐπιέναι ταῦτα ἐποίουν. ἐξαπέστειλαν αὐτὸν, φησὶν, ὡς ἐπὶ τὴν θάλασσαν. τί δήποτε;
C ὥστε μὴ γενέσθαι αὐτοῖς εὔκολον τὴν κατάληψιν. οὕτω γὰρ καθ' ἑαυτοὺς μέγα τι ἔπραξαν ἂν, καὶ μετ' ἐκείνου πολλὰ ἤνυσαν καὶ κατώρθωσαν. τέως ἐκεῖνον ἐξαρπάσαι ἐβούλοντο. ὅρα πόσῃ καὶ οἱ λοιποὶ μαθηταὶ περὶ τοὺς κορυφαίους ἐχρῶντο τῇ σπουδῇ· ἀλλ' οὐχ ὥσπερ νῦν κεχωρίσμεθα, διῃρήμεθα μεγάλοι καὶ μικροί· οἱ μὲν ἐπαιρόμεθα, οἱ δὲ φθονοῦμεν· διὰ τοῦτο κἀκεῖνοι φθονοῦσιν, ἐπεὶ ἡμεῖς τυφούμεθα, οὐκ ἀνεχόμεθα ἰσηγορεῖσθαι μετ' αὐτῶν. διὰ τοῦτο ἐν τῷ
D σώματι ἡ συμφωνία ἐστὶν, ἐπειδὴ οὐκ ἔστι φυσίωσις. οὐκ ἔστι δὲ φυσίωσις, ἐπειδὴ εἰς ἀνάγκην τοῦ χρείαν ἀλλήλων ἔχειν τὰ μέλη καθέστηκε. καὶ ἡ κεφαλὴ τῶν ποδῶν δεῖται, καὶ τῶν ποδῶν ἡ κεφαλή. καὶ ἡμῖν τοῦτο ἐποίησεν ὁ Θεὸς, καὶ οὐδὲ οὕτως ἀνεχόμεθα. ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου ἀγάπην εἶναι. ἢ οὐκ ἀκούεις αὐτῶν τῶν ἔξω διαβαλλόντων ἡμᾶς, ὅταν λέγωσιν· αἱ χρεῖαι φιλίαι, οἱ λαϊκοὶ δέονται ἡμῶν· ἡμεῖς δὲ πάλιν δι' αὐτούς ἐσμεν. οὕτω καὶ διδάσκαλος, καὶ ἄρχων οὐκ
E ἂν εἴη, μὴ τῶν διδασκομένων ὄντων, καὶ τῶν ἀρχομένων, οὐδ' ἂν ἐπιδείξαιντο τὰ αὐτῶν. οὐ γὰρ ἂν δύναιντο. καθάπερ ἡ γῆ τοῦ γεωργοῦ, καὶ ὁ γεωργὸς δεῖται τῆς γῆς. οὕτω καὶ ἐνταῦθα. ποῖον γὰρ ἔχει μισθὸν διδάσκαλος, οὐκ ἔχων ἐπιδεῖξαι τοὺς διδαχθέντας; ποῖον δὲ οἱ διδασκόμενοι, μὴ ἀπολαύσαντες διδασκαλίας ἀρίστης; ὥστε ὁμοίως ἀλλήλων χρῄζομεν πάλιν, καὶ ἄρχοντες ἀρχομένων, καὶ ἡγεμόνες ὑπηκόων. ἄρχοντες μὲν γὰρ, πολλῶν εἰσιν

ἕνεκεν

οὐδεὶς γὰρ ἀρκεῖ καθ' ἑαυτὸν τι πρᾶξαι, ἄν τε χειροτονῆσαι δέῃ, ἄν τε βουλὰς συμψηφίσασθαι, καὶ γνώμας, ἀλλὰ τιμιώτεροι γίνονται ἀπὸ τῆς συνόδου, καὶ τοῦ πλήθους. οἷον, οἱ πένητες τῶν διδόντων χρήζουσιν· οἱ διδόντες τῶν λαμβανόντων πάλιν. ἀλλήλους, φησὶ, κατανοοῦντες εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων. διὰ τοῦτο μείζονα δύναται τὸ κοινὸν τῆς ἐκκλησίας· καὶ ἅπερ καθ' ἑαυτὸν οὐ δύναταί τις, μετὰ τῶν ἄλλων γινόμενος ἰσχύει. διὰ τοῦτο μάλιστα ἀναγκαῖαι αἱ εὐχαὶ ἐνταῦθα γίνονται ὑπὲρ τῆς οἰκουμένης, ὑπὲρ τῆς ἐκκλησίας τῆς ἐπὶ περάτων, ὑπὲρ τῆς εἰρήνης, ὑπὲρ τῶν ἐν συμφοραῖς. καὶ τοῦτο ὁ Παῦλος δηλοῖ, λέγων· ἵνα τὸ εἰς ἡμᾶς χάρισμα ἐν πολλῷ προσώπῳ διὰ πολλῶν εὐχαριστηθῇ ὑπὲρ ἡμῶν· τουτέστιν, ἵνα πολλοῖς χαρίσηται. καὶ πολλάκις αὐτῶν τὰς εὐχὰς ἐπιζητεῖ. ὅρα καὶ ἐπὶ τῶν Νινευιτῶν τί φησιν ὁ Θεός· ἐγὼ δὲ οὐ φείσομαι τῆς πόλεως, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες; ὅπου δύο ἢ τρεῖς εἰσι συνηγμένοι, φησὶν, εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν. εἰ δὲ δύο μέγα ἰσχύουσι, πόσῳ μᾶλλον πλείους. εἰ δὲ καὶ εἷς ὢν ἰσχύσεις, ἀλλ' οὐχ ὁμοίως. διατί δὲ καὶ εἷς εἶ; διατί οὐκ ἐργάζῃ πολλούς; διατί μὴ γίνῃ δημιουργὸς ἀγάπης; διατί μὴ κατασκευάζεις φιλίαν; τὸ μέγιστον τῆς ἀρετῆς ἐγκώμιον οὐκ ἔχεις. ὥσπερ γὰρ τὸ ἐκ συνθήκης εἶναι κακοὺς μᾶλλον παροξύνει τὸν Θεόν· οὕτω καὶ τὸ ἐν ὁμονοίᾳ εἶναι ἀγαθοὺς, μᾶλλον εὐφραίνει. οὐκ ἔσῃ, φησὶ, μετὰ πολλῶν ἐπὶ κακίᾳ. πάντες ἐξέκλιναν ἅμα, ἠχρειώθησαν, καὶ ἐγένοντο ὡς ἄδοντες ἐν ταῖς κακίαις αὐτῶν. κατασκεύασόν μοι φίλους πρὸ τῶν οἰκείων, πρὸ τῶν ἄλλων ἁπάντων. εἰ ὁ εἰρηνοποιὸς υἱὸς Θεοῦ· ὁ καὶ φίλους κατασκευάζων, πόσῳ μᾶλλον. εἰ ὁ καταλλάττων μόνον, υἱὸς Θεοῦ καλεῖται· ὁ τοὺς καταλλαττομένους φίλους ποιῶν, τίνος οὐκ ἔσται ἄξιος; ταύτην ποιώμεθα τὴν ἐμπορίαν, φίλους ποιῶμεν ἀλλήλοις τοὺς ἐχθρούς· καὶ τοὺς οὐκ ἐχθροὺς μὲν, οὐ φίλους δὲ, καὶ τούτους συναγάγωμεν, καὶ πρὸ πάντων ἡμᾶς αὐτούς. καθάπερ γὰρ ὁ ἐν τῇ οἰκίᾳ ἔχθραν ἔχων, καὶ πρὸς τὴν γυναῖκα τὴν ἑαυτοῦ διεστηκὼς, οὐκ ἔστιν ἀξιόπιστος ἑτέρους καταλλάττων, ἀλλ' ἀκούσεται, ἰατρὲ, θεράπευσον σεαυτόν· οὕτω δὴ καὶ ἐνταῦθα ἀκούσεται. τίς οὖν ἐστιν ἡμῖν ἡ ἔχθρα; ἡ τῆς ψυχῆς πρὸς τὸ σῶμα· ἡ τῆς κακίας πρὸς τὴν ἀρετήν. ταύτην καταλύσωμεν· τοῦτον ἀνέλωμεν τὸν πόλεμον. καὶ τότε μετ' εἰρήνης, καὶ τοῖς ἄλλοις διαλεξόμεθα, μετὰ πολλῆς τῆς παρρησίας, οὐ κατηγοροῦντος ἡμῶν τοῦ συνειδότος. μάχεται θυμὸς ἐπιεικείᾳ· μάχεται χρημάτων ἔρως ὑπεροψίᾳ χρημάτων· μάχεται βασκανία χρηστότητι. τοῦτον λύσωμεν τὸν πόλεμον· τούτους κατενέγκωμεν τοὺς ἐχθρούς· ταῦτα στήσωμεν τὰ τρόπαια· ἐν τῇ πόλει τῇ ἡμετέρᾳ κατασκευάσωμεν εἰρήνην. πόλις γὰρ ἡμῖν ἐστι, καὶ πολιτεία, καὶ πολῖται, καὶ ξένοι πολλοί· ἀλλὰ ξενηλασίαν ποιήσωμεν, ὥστε μὴ τοὺς οἰκείους φθείρεσθαι. μηδὲν ἀλλότριον, μηδὲν νόθον ἐπεισίτω δόγμα, μηδὲν φρόνημα σαρκικόν. οὐχ ὁρῶμεν ὅτι τῶν πολεμίων τις ἐν ταῖς πόλεσιν ἂν ἁλῷ, ὡς κατάσκοπος κρίνεται; οὐκοῦν ξενηλασίαν ποιώμεθα· μᾶλλον δὲ μὴ ξενηλασίαν μόνον, ἀλλὰ καὶ τοὺς πολεμίους ἀπελαύνωμεν· ἂν ἴδωμέν τινα, παραδῶμεν τῷ ἄρχοντι τῷ νῷ, τὸν λογισμὸν ἐκεῖνον, τὸν βεβαρβαρωμένον μὲν, κατεσκευασμένον δὲ ἐσθῆτι πολιτικῇ. πολλοὶ παρ' ἡμῖν λογισμοὶ τοιοῦτοι, φύσει μὲν ἐχθροὶ, περιβεβλημένοι δὲ δορὰν προβάτων. καθάπερ οἱ Πέρσαι τὴν τιάραν περιελόντες, καὶ τὰς ἀναξυρίδας, καὶ τὰ ὑποδήματα τὰ βαρβαρικὰ, τὴν ἄλλην στολὴν τὴν ἡμῖν ἐπιχώριον ὑπελθόντες, καὶ κεκαρμένοι ἐν χρῷ, καὶ τῇ συνήθει γλώττῃ διαλεγόμενοι, κρύπτουσι τῷ σχήματι τὸν πόλεμον· ἂν δὲ βασάνους εὐθέως προσαγάγῃς, τὸ κρυπτόμενον ἔδειξας. οὕτω καὶ ἐνταῦθα, βασάνισον μυριάκις τὸν τοιοῦτον λογισμὸν, καὶ ταχέως ὄψει τὸ βαρβαρικὸν φρόνημα. ἵνα δὲ καὶ ἐπὶ ὑποδείγματος ὑμῖν δείξω τοὺς τοιούτους κατασκόπους, οὓς προκαθίησιν ὁ διάβολος ἰδεῖν τὰ ἐν ἡμῖν, φέρε, ἕνα ἀποδύσωμεν, καὶ ἐπὶ τοῦ δικαστηρίου ἐξετάσωμεν μετὰ ἀκριβείας. καὶ εἰ βούλεσθε, τῶν ὑπὸ Παύλου φωραθέντων τινὰς παραγάγωμεν. ἅτινά ἐστι, φησι, λόγον μὲν ἔχοντα σοφίας, ἐν ἐθελοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι πρὸς πλησμονὴν τῆς σαρκός. οἷον ἐβούλετο Ἰουδαϊσμὸν εἰσαγαγεῖν ὁ διάβολος. εἰ μὲν οὖν αὐτόθεν αὐτὸν εἰσήγαγεν, οὐκ ἂν ἔπεισεν. ὅρα τοίνυν πῶς αὐτὸν κατεσκεύασε. δεῖ τοῦ σώματος ἀφειδεῖν, φησι. φιλοσοφία τοῦτό ἐστι, τὸ μὴ προσίεσθαι βρῶμα, ἀλλὰ παρατηρεῖν. ταπεινοφροσύνη τοῦτό ἐστι. καὶ νῦν δὲ πάλιν ἐπὶ τῶν αἱρετικῶν ἐβούλετο ἡμᾶς εἰς τὴν κτίσιν καταγαγεῖν. ὅρα γοῦν πῶς κατεσκεύασε τὸν δόλον. εἰ εἶπεν, ὅτι κτίσιν προσκύνει· ἑάλω ἄν· ἀλλὰ τί; ὁ Θεός, φησι, κτιστός ἐστιν. ἀλλὰ ἀποδύσωμεν παρὰ τῇ ψήφῳ τῶν δικαζόντων τὸν νοῦν τῶν γραφῶν τῶν Ἀποστολικῶν· ἐκεῖ αὐτὸν ἀγάγωμεν. αὐτοὶ ἐπιγνώσονται, καὶ τὸ κήρυγμα, καὶ τὴν λαλιάν.

Nullus enim sufficit per seipsum aliquid operari, sive suffragia dare oportet, sive consilia & sententias, honestiores fiunt à congregatione & multitudine. Exempli gratia, pauperes dantibus egent, dantes accipientibus. Iterum considerantes, inquit, mutuum ad incitationem dilectionis ac bonorum operum. propterea majora potest communitas Ecclesiæ. Quæ per seipsum nullus potest, cum aliis potest: Propterea maximè necessariæ fiunt preces hoc loco pro universo orbe, pro Ecclesia quæ in finibus, pro pace, pro his qui in calamitatibus. Et hoc Paulus manifestat, dicens: *Ut quod in nos beneficium, in multa persona, per multos gratia dicantur pro nobis*: hoc est, ut multis concedatur. Et sæpe preces illorum petit. Vide etiam de Ninivitis quid dicat Deus: *Ego autem non parcerem civitati, in qua habitant plures quam duodecim myriades? Ubi duo vel tres sunt congregati*, inquit, *in meo nomine, illic sum in medio illorum.* Si autem duo magna possunt, multò magis plures: quamvis unus sis, multum valeas, sed non similiter. Quare autem & unus es & non facis multos? quare non es author charitatis? quare non concilias amicitiam? Maximum virtutis encomium nescis. Sicut enim Deum magis exacerbat, per conspirationem esse malos, ita magis illum lætificat in concordia esse bonos. *Non eris*, inquit, *cum multis in malum. Omnes declinaverunt, inutiles facti sunt, & facti sunt quasi fœtentes in malitiis suis.* Fac tibi amicos præ domesticis, præque omnibus aliis. Si quis pacificus est, idem filius est Dei, utique multò magis & is qui amicos parat. Si is qui reconciliat, filius Dei dicitur, quo nomine appellandus est qui eos qui reconciliantur amicos facit? Hanc negotiationem exerceamus. Amicos faciamus inter se qui inimici erant, & eos qui non inimici, & nec amici, congregemus quidem & hos, & ante omnes, nosipsos. Sicut enim qui in domo inimicitias habet & cum uxore sua dissidet, non est fide dignus, quod alios conciliet, sed audiet: Medice, cura teipsum. Ita profectò & hic dicetur. Quæ igitur sunt nostræ inimicitiæ? anima dissidet cum corpore, malitia pugnat contra virtutem. Has solvamus, hoc bellum componamus, & tunc cum pace etiam aliis loquemur, cúmque multa fiducia, non reprehendente nos conscientia nostra. Pugnat ita cum mansuetudine, pugnat avaritia cum contemptu divitiarum, pugnat invidia cum benignitate. Dissolvamus hoc bellum, hos inimicos dejiciamus, hos statuamus triumphos. In civitate nostra præparemus pacem. Civitas enim nobis est, & administratio, & cives, & peregrini multi, sed peregrinorum ejectionem faciamus, ita ut neque domesticos corrumpamus, neque alienum & adulterinum dogma introducatur, neque carnalis sensus. Non videmus quod si quis hostium in civitate aliqua capitur, quasi explorator judicatur. Igitur peregrinorum ejectionem faciamus, imò non solùm peregrinorum, sed etiam hostium, si quem viderimus, tradamus principi, menti inquam cogitationem illam, quæ barbara quidem est, sed ovili veste induta. Multæ apud vos cogitationes tales sunt, natura quidem inimicæ, amictæ autem ovillo vellere: Sicut Persæ tiara sublata, & gladiis peculiaribus quos anaxyrides vocant, & calciamentis barbaricis dimissis, alieno in habitu regionem nostrem ingrediuntur, & rasi in corpore, & familiari lingua loquentes, habitu bellum occultant. Si autem tormenta statim adhibueris, eum qui latet deprehendes. Ita & hic, examina sæpius talem cogitationem, & statim videbis barbaricum sensum. Ut autem in exemplo tales exploratores ostendam, quos præmittit diabolus, ut videant, quomodo res nostræ habeant: Age unum despoliemus, & in tribunali diligenter examinemus: Et si placet, quosdam ex his quos Paulus deprehenderat, adducamus. Qualia sunt, inquit, quæ rationem quidem habent sapientiæ per superstitionem & humilitatem animi, & abstinentiam corporis, non per honorem aliquem ad satietatem carnis. Exempli gratia: Judaismum inducere vult diabolus, itaque si inde adduceret, nihil persuaderet. Vide igitur quomodo illum efficiat? Oportet, inquit, abstinentiam habere corpus, hoc ad philosophiam & bonam vitam pertinet, ne admittas cibum, sed ut caveas. Humilis ille sensus est. Et nunc iterum hæreticorum quis volebat vos ad creaturam abducere. Vide igitur quomodo præparavit dolum. Si dixisset: Creaturam adora, captus esset. Sed cur? Responderetur enim, Deus conditor est. Porrò exerceamus juxta sententiam dijudicantium Scripturarum Apostolicarum mentem, illuc eum ducamus, ipsi agnoscent & prædicationem & loquacitatem.

2. Cor. 1. 11
Joh. 4. ult.
Matt. 18, 19
Psal. 13, 1.
Persarum mentitus habitus.
Col. 2, 23.

Multi lucra magna lucrifaciunt, ut habeant quod dent pauperibus. Injusta lucra, & hæc cogitatio molesta, sed exoneremus eam, & exploremus, redarguamus, ne capiamur. Cæterùm effugientes omnes versutias diaboli, ut cum diligentia sana dogmata retinere valeamus, securéque præsentem vitam transigere, æternáque bona assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

πολλοὶ κέρδη κερδαίνουσιν, ἵνα ἔχωσι διδόναι πένησι. κέρδη ἄδικα, καὶ οὗτος χαλεπὸς ὁ λογισμός. ἀλλ' ἀποσκευασώμεθα αὐτόν· ἐλέγξωμεν, ἵνα μὴ ἁλῶμεν, ἀλλὰ πάσας διαφυγόντες τὰς μηχανὰς τοῦ διαβόλου δυνηθῶμεν μετ' ἀκριβείας τὰ ὑγιῆ δόγματα κατέχοντες, μετ' ἀσφαλείας, καὶ τὸν παρόντα βίον διανύσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

HOMILIA XXXVIII.

Paulo autem expectante illos Athenis, exacerbabat spiritus illius in ipso, quum videret idololatriæ deditam esse civitatem. Disputabat igitur in synagoga cum Judæis & religiosis, & in foro quotidie cum his qui ipsum forte adissent.

Vide quòd majores tentationes habet apud Judæos quàm apud gentes. Athenis enim nihil tale patitur, nihil enim præter risum passus est. Apud Judæos autem multæ difficultates, adeò erant irritati. Ideo & dicit: *Paulo autem expectante illos Athenis, exacerbabat spiritus illius in ipso, quum spectaret civitatem idolis obnoxiam.* Meritò. Vix enim alibi tot videbantur idola. *Disputabat igitur in synagoga, & in foro quotidie cum his qui forte ipsum adissent.* Vide iterum disserit apud Judæos, undiq; obstruens ora eorum, qui dicebant quòd Judæos reliquisset, propterea quod ad gentes se convertisset. Mirum est quod philosophi sic illo loquente non statim deriserunt eum cum contumeliis, neque à prædicatione resilierunt, dicentes: Procul à philosophia abest, quia nihil fastus habebat. Et aliter: quia neque cogitabant, neque intelligebant ea quæ dicebantur: Quomodo enim, quum alii ex eis corpus dicebant Deum, alii verò voluptatem felicitatem. *Quidam autem Epicurei ac Stoici philosophi conflictabantur cum eo, & quidam dicebant: Quid vult verbisator ille dicere? Alii verò: Novorum dæmoniorum annunciator esse videtur, quia Jesum & resurrectionem evangelizabat.* Etenim resurrectionem Deum quendam esse putabant, quia & fœminas colebant. *Apprehensum autem illum ad Ariopagum duxerunt, dicentes: Possumus ne scire quænam nova ista quæ à te docetur doctrina, nova enim quædam ingeris auribus nostris. Volumus igitur scire quidnam velint hæc esse. Duxerunt illum ad Ariopagum*, non ut discerent, sed ut punirent. Ibi erant judicia sanguinis. Vide igitur quomodo etiam sub spe discendi ubique, novam doctrinam objiciunt. Loquacium civitas, civitas illa erat. *Athenienses autem omnes & hospites qui illic versabantur, ad nihil aliud vacabant, quam ut dicant & audiant aliquid novi. Stans autem Paulus in medio Ariopagi, dicebat: Viri Athenienses, per omnia ferè superstitiosiores vos video. Transiens enim & contemplans culturas vestras, inveni & aram in qua inscriptum erat: Ignoto Deo.* Quid est hoc? Athenienses, quia per multa tempora acceperant Deos etiam extraneos, utpote templum Minervæ, & Panem, & alios aliunde, timentes ne forsan & alius quispiam esset, quem ignorarent, ipsis quidem nondum cognitus, qui tamen alibi colatur, propter majorem igitur securitatem etiam illi altare erexerunt: & quoniam non erat manifestus Deus, inscriptum est: *Ignoto Deo.* Hunc igitur Christum Jesum esse Paulus dicit: *Quem igitur ignorantes bene colitis, hunc ego annuncio vobis.* Vide quomodo ostendit, quod ipsum præoccuparint. Nihil extraneum, inquit, nihil novum affero. Multum illi objiciebant: *Quæ est ista quæ dicitur à te doctrina? Nova enim quædam ingeris auribus nostris.* Statim igitur suspicionem illorum aufert, ac dicit, *Deus qui fecit cœlum & omnia quæ in illo, hic cœli ac terræ Dominus existens.* Deinde ne putent unum ex multis esse corrigens deinceps subdit: *Non in manu factis templis habitat, nec manibus humanis colitur, aliquo indigens.* Vides quomodo paulatim philosophiam inducit, quomodo deridet errorem gentilium? *Dans vitam & spiritum, & omnia, fecitque ex uno sanguine omne genus hominum, quod habitat super omnem faciem terræ.* Hoc Dei proprium. Vide igitur num hæc & de filio dici possint. *Præfinitque præstituta tempora, præfixitque terminos habitationis eorum, ut quærerent Deum, si forsassis palpent ac inveniant eum, tametsi non longè absit ab unoquoque nostrûm. In ipso enim vivimus & movemur & sumus, sicut & quidam ex Poetis vestris dixerunt. Nam hujus & progenies*

ΟΜΙΛΙΑ λή.

Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις, καὶ τοῖς σεβομένοις, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας.

ΟΡΑ αὐτὸν μείζους ἔχοντα πειρασμοὺς παρὰ Ἰουδαίοις, ἢ παρ' Ἕλλησιν. ἐν γοῦν Ἀθήναις οὐδὲν πάσχει τοιοῦτον, ἀλλὰ μέχρι γέλωτος τὸ πᾶν προεχώρησε, καί τοι γε ἔπεισεν· ἐν δὲ Ἰουδαίοις πολλὰ τὰ δεινά. οὕτως ἦσαν ἐκπεπολεμωμένοι μᾶλλον. διὸ καί φησιν· ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, θεωροῦντι κατείδωλον οὖσαν τὴν πόλιν· εἰκότως παροξύνεται. οὐ γὰρ ἦν ἀλλαχοῦ τοσαῦτα ἰδεῖν εἴδωλα. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ, καὶ ἐν τῇ ἀγορᾷ κατὰ πᾶσαν ἡμέραν πρὸς τοὺς παρατυγχάνοντας. ὅρα, πάλιν Ἰουδαίοις διαλέγεται, πανταχόθεν ἐπιστομίζων τοὺς καταλιπεῖν αὐτοὺς λέγοντας διὰ τὸ πρὸς τὰ ἔθνη ἐπιστραφῆναι. θαυμαστὸν, πῶς οὐ κατεγέλασαν οἱ φιλόσοφοι, οὕτως αὐτοῦ φθεγγομένου ὑβριστικῶς εὐθέως, οὐδὲ ἀπεπήδησαν ἀπὸ τοῦ κηρύγματος, εἰπόντες· μακρὸν οὗτος φιλοσοφίας. διὰ τὸ οὐδένα τῦφον ἔχειν. ἄλλως δέ· ὅτι οὐκ ἐνόουν οὐδὲ συνίεσαν τὰ λεγόμενα. πῶς γὰρ οἱ μὲν σῶμα τὸν Θεὸν λέγοντες, οἱ δὲ ἡδονὴν τὴν μακαριότητα; τινὲς δὲ καὶ τῶν Ἐπικουρείων, καὶ τῶν Στωϊκῶν φιλοσόφων συνέβαλλον αὐτῷ, καί τινες ἔλεγον· τί ἂν θέλοι ὁ σπερμολόγος οὗτος λέγειν; οἱ δέ· ξένων δαιμονίων [δοκεῖ] καταγγελεὺς εἶναι, ὅτι τὸν Ἰησοῦν, καὶ τὴν ἀνάστασιν εὐηγγελίζετο. καὶ γὰρ τὴν ἀνάστασιν, θεόν τινα εἶναι ἐνόμιζον, ἅτε εἰωθότες, καὶ θηλείας σέβειν. ἐπιλαβόμενοί τε αὐτοῦ, ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες· δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή· ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. βουλόμεθα οὖν γνῶναι τί ἂν θέλοι ταῦτα εἶναι. ἦγον αὐτὸν ἐπὶ τὸν Ἄρειον πάγον, οὐχ ὥστε μαθεῖν, ἀλλ' ὥστε κολάσαι, ἔνθα αἱ φονικαὶ δίκαι. ὅρα γοῦν πῶς καὶ ἐν ἐλπίδι τοῦ μαθεῖν, καὶ πανταχοῦ τὴν καινοτομίαν ἐγκαλοῦσι. λάλων πόλις, ἡ πόλις ἐκείνων ἦν. Ἀθηναῖοι δὲ πάντες καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς ἕτερον οὐδὲν εὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου, ἔφη· ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν, εὗρον καὶ βωμὸν ἐν ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ θεῷ· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὥσπερ ἐγκωμιάζων αὐτοὺς, δοκεῖ οὐδὲν λέγειν βαρύ. ὡς δεισιδαιμονεστέρους ὑμᾶς, φησὶ, θεωρῶ· τουτέστιν, εὐλαβεστέρους. ἐν ᾧ ἐπεγέγραπτο, ἀγνώστῳ θεῷ· τί ἐστι τοῦτο; οἱ Ἀθηναῖοι, ἐπειδὴ κατὰ καιροὺς πολλοὺς ἐδέξαντο θεοὺς, καὶ ἀπὸ τῆς ὑπερορίας, οἷον τὸ τῆς Ἀθηνᾶς ἱερὸν, τὸν Πᾶνα, καὶ ἄλλους ἀλλαχόθεν, δεδοικότες μή ποτε, καὶ ἄλλος τίς ἐστι αὐτοῖς μὲν οὐδέπω γνώριμος, θεραπευόμενος δὲ ἀλλαχοῦ· ὑπὲρ πλείονος δῆθεν ἀσφαλείας, καὶ τούτῳ βωμὸν ἔστησαν, καὶ ἐπειδὴ οὐκ ἦν δῆλος ὁ Θεὸς, ἐπεγέγραπτο, ἀγνώστῳ θεῷ. τοῦτον οὖν Χριστὸν Ἰησοῦν εἶναι Παῦλος λέγει· μᾶλλον δὲ τὸν πάντων Θεόν. ὃν οὖν ἀγνοοῦντες, φησὶν, εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὅρα πῶς δείκνυσι προειληφότας αὐτόν. οὐδὲν ξένον, φησὶν, οὐδὲν καινὸν εἰσφέρω. ἄνω καὶ κάτω τοῦτο ἔλεγον ἐκεῖνοι· τίς ἡ καινὴ αὕτη ἡ λαλουμένη ὑπὸ σοῦ διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις, εἰς τὰς ἀκοὰς ἡμῶν. εὐθέως οὖν ἀναιρεῖ αὐτῶν τὴν ὑπόληψιν, καί φησιν· ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς Κύριος ὑπάρχων. εἶτα ἵνα μὴ νομίσωσιν ἕνα τῶν πολλῶν εἶναι, διορθοῦται λοιπὸν ἐπάγων· οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος. ὁρᾷς ὅπως κατὰ μικρὸν εἰσάγει τὴν φιλοσοφίαν; πῶς καταγελᾷ τῆς Ἑλληνικῆς πλάνης; διδοὺς ζωὴν, καὶ πνοὴν, καὶ τὰ πάντα, ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ παντὸς τοῦ προσώπου τῆς γῆς. τοῦτο Θεοῦ ἴδιον. ὅρα τίνων εἰ μὴ καὶ ἐπὶ τοῦ υἱοῦ ταῦτα λέγεσθαι δυνατόν. οὐρανοῦ, φησι, καὶ γῆς Κύριος ὑπάρχων, ἅπερ ἐνόμιζον εἶναι θεούς. καὶ τὴν δημιουργίαν ἐδήλωσε, καὶ τοὺς ἀνθρώπους. ὁρίσας προστεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ζητεῖν τὸν Θεὸν, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν· καί τοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν. ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασι· τοῦ γὰρ καὶ γένος ἐσμέν.

ἐσμέν. τοῦτο Ἄρατος εἴρηκεν ὁ ποιητής. ὅρα καὶ ἀπὸ τῶν ὑπ' αὐτῶν γινομένων, καὶ ἀπὸ τῶν εἰρημένων τὰς ἀποδείξεις παρέχοντα. Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν νομίζειν χρυσῷ ἢ ἀργύρῳ, ἢ λίθῳ, χαράγματι τέχνης, καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. καὶ μὴν διὰ τοῦτο, φησὶν, ὀφείλομεν. οὐδαμῶς. οὐ γὰρ δὴ ἡμεῖς ὅμοιοι, οὐδὲ αἱ ψυχαὶ αἱ ἡμέτεραι. τί δήποτε οὐκ ἦλθε πρὸς φιλοσοφίαν εὐθὺς, καὶ εἶπεν· ὁ Θεὸς ἀσώματός φύσει ἀόρατος, καὶ ἀσχημάτιστος; ὅτι περιττὸν τέως ἐδόκει ταῦτα λέγειν πρὸς ἀνθρώπους μήπω μαθόντας, ὅτι εἷς ἐστι μόνος Θεός. διὰ τοῦτο ἐκεῖνα εἰπεῖν ἀφεὶς, πρὸς τὸ ζητούμενον ἵσταται, καί φησι· Τοὺς μὲν οὖν χρόνους τῆς ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. διότι ἔστησεν ἡμέραν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, ἐν ἀνδρὶ ᾧ ὥρισε πίστιν παρασχὼν πᾶσιν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ὅρα, καταπλήξας αὐτῶν τὴν διάνοιαν, τῷ εἰπεῖν, ἔστησεν ἡμέραν, καὶ φοβήσας, τότε εὐκαίρως ἐπάγει τοῦτο, τὸ ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἐν δὲ ταῖς Ἀθήναις ἐκδεχομένου αὐτοὺς τοῦ Παύλου, παρωξύνετο, φησὶ, τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ. οὐκ ὀργὴν ἐνταῦθα, οὐδὲ ἀγανάκτησιν ὁ παροξυσμὸς, ἀλλὰ διέγερσιν, καὶ ζῆλον δηλοῖ, καθάπερ καὶ ἀλλαχοῦ· ἐγένετο, φησὶ, παροξυσμὸς μεταξὺ αὐτῶν. ὅρα δὲ πῶς οἰκονομεῖται, καὶ ἄκοντα μεῖναι ἐκεῖ ἐκδεχόμενον ἐκείνους. τί οὖν ἐστι, παρωξύνετο; ἀντὶ τοῦ διηγείρετο. ὀργῆς γὰρ καὶ ἀγανακτήσεως πόῤῥω τὸ χάρισμα· οὐκ ἔφερεν, ἀλλ' ἐτήκετο. διελέγετο μὲν οὖν ἐν τῇ συναγωγῇ τοῖς Ἰουδαίοις, φησὶ, καὶ τοῖς σεβομένοις. ὅρα πάλιν αὐτὸν πρὸς Ἰουδαίους διαλεγόμενον. σεβομένους δὲ, τοὺς προσηλύτους λέγει. διεσπάρησαν γὰρ οἱ Ἰουδαῖοι πανταχοῦ ἀπὸ τῆς τοῦ Χριστοῦ παρουσίας· ἅμα μὲν ἐξ ἐκείνου τοῦ νόμου λυομένου, ἅμα δὲ διδάσκοντες εὐσέβειαν τοὺς ἀνθρώπους. ἀλλ' οὐδὲν ἐκέρδαινον ἐκεῖνοι· ἀλλ' ἢ μόνον μαρτυρίας εἶχον τῶν οἰκείων συμφορῶν. Τινὲς δὲ, φησὶ, τῶν Ἐπικουρείων καὶ τῶν Στωϊκῶν φιλοσόφων, συνέβαλλον αὐτῷ. οὐκέτι Ἀθηναῖοι τοῖς οἰκείοις νόμοις ἐχρῶντο, ἅτε ὑποταγέντες ἤδη τοῖς Ῥωμαίοις. καὶ πόθεν ἠθέλησαν οὗτοι συμβαλεῖν; ἐπειδὴ καὶ ἄλλους ἑώρων διαλεγομένους, καὶ δόξαν ἔχοντα τὸν ἄνθρωπον. καὶ ὅρα, εὐθέως ὑβριστικῶς. ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. Ξένων δαιμονίων, φησὶ, δοκεῖ καταγγελεὺς εἶναι. δαιμόνια τοὺς θεοὺς αὐτῶν ἐκάλουν. ἦσαν γὰρ αἱ πόλεις εἰδώλων πλήρεις. Ἐπιλαβόμενοί τε αὐτοῦ ἐπὶ τὸν Ἄρειον πάγον ἤγαγον, λέγοντες. διατί εἰς Ἄρειον πάγον αὐτὸν εἷλκον; ὡς καταπλήξοντες, ἔνθα τὰς φονικὰς δίκας ἐδίκαζον. Δυνάμεθα γνῶναι τίς ἡ καινὴ αὕτη ἡ ὑπὸ σοῦ λαλουμένη διδαχή; ξενίζοντα γάρ τινα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν. Ἀθηναῖοι δὲ πάντες, καὶ οἱ ἐπιδημοῦντες ξένοι, εἰς οὐδὲν ἕτερον ηὐκαίρουν, ἢ λέγειν τι καὶ ἀκούειν καινότερον. ἐνταῦθα ἐκεῖνο ἐπισημαίνεται, ὅτι καίτοι ἀεὶ ἐν τούτῳ ἀσχολούμενοι, τῷ λαλεῖν καὶ ἀκούειν, ὅμως ξενίζοντα ἐνόμιζον εἶναι ἐκεῖνα, ἅπερ οὐδέποτε ἤκουσαν. Σταθεὶς δὲ ὁ Παῦλος ἐν μέσῳ τοῦ Ἀρείου πάγου ἔφη· Ἄνδρες Ἀθηναῖοι, κατὰ πάντα ὡς δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν. οὐκ εἶπε τοὺς δαίμονας ἁπλῶς, ἀλλὰ προοδοποιεῖ τῷ λόγῳ. διὰ τοῦτο εἶπε, δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ, διὰ τὸν βωμόν. Ὁ Θεὸς, φησὶν, ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. ἐφθέγξατο φωνὴν μίαν, δι' ἧς πάντα κατέστρεψε τὰ τῶν φιλοσόφων. οἱ μὲν γὰρ Ἐπικούρειοι, αὐτόματά φασιν εἶναι τὰ πάντα, καὶ ἀπὸ ἀτόμων συνεστάναι· οἱ δὲ Στωϊκοὶ, σῶμα καὶ ἐκπύρωσιν· ὁ δὲ ἔργον Θεοῦ λέγει τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. ὁρᾷς συντομίαν, καὶ ἐν συντομίᾳ σαφήνειαν; καὶ σκόπει τίνα ἦν ξενίζοντα αὐτούς· ὅτι ὁ Θεὸς τὸν κόσμον ἐποίησεν. ἃ καὶ τῶν τυχόντων ἴσασί τινες νῦν, ταῦτα οὐκ ᾔδεσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων οἱ σοφοί. εἰ γὰρ ἐποίησε, δῆλον ὅτι καὶ Κύριος. ὅρα τί φησι, θεότητος εἶναι γνώρισμα· τὸ δημιουργικόν. ὅπερ ἔχει καὶ ὁ υἱός. καὶ γὰρ οἱ προφῆται πανταχοῦ τοῦτο λέγουσι, Θεοῦ εἶναι τὸ δημιουργεῖν· οὐχ ὥσπερ ἐκεῖνοι, ἄλλον μὲν εἶναι τὸν ποιητὴν, οὐ Κύριον δὲ, τὴν δὲ ἀγέννητον ὕλην ὑποτιθέντες. ἐνταῦθα λοιπὸν αἰνιγματωδῶς εἶπε τὸ αὐτοῦ, καὶ ἔστησε, καὶ καθαιρεῖ τὸ ἐκείνων. Οὐκ ἐν χειροποιήτοις, φησὶ, κατοικεῖ. οἰκεῖ μὲν γὰρ ἐν ναοῖς· ἀλλ' οὐκ ἐν τούτοις, ἀλλ' ἐν ἀνθρωπίνῃ ψυχῇ. ὅρα, τὴν σωματικὴν ἀνεῖλε λατρείαν. τί οὖν; οὐ κατῴκει ἐν τῷ ναῷ τῷ ἐν Ἱεροσολύμοις; οὐ δῆτα· ἀλλ' ἐνήργει. πῶς οὖν ἐθεραπεύετο ὑπὸ χειρῶν ἀνθρώπων παρὰ Ἰουδαίοις; οὐχ ὑπὸ χειρῶν, ἀλλ' ὑπὸ διανοίας. ἐπεὶ ἐκεῖνά γε οὐκ ἐζήτει οὕτως ὡς προσδεόμενος. μὴ φάγομαι, γάρ, φησι, κρέα ταύρων ἢ αἷμα τράγων πίομαι; εἶτα εἰπὼν, οὐδὲ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεται προσδεόμενός τινος. ἐπεὶ οὐδὲ τοῦτο ἤρκει τὸ μηδενὸς δεῖσθαι ὅπερ ἀπεφήνατο.

A *sumus.* Hoc Aratus poëta dixerat. Vide, ut probationes adhibet etiam ab his quæ apud illos fiebant ac dicebantur. *Progenies igitur quum simus Dei non debemus putare auro vel argento, vel lapidi arte sculpto, & invento humano Deum esse similem.* Et certè propter hoc, inquit aliquis, debemus? Minimè. Quandoquidem neque nos illis similes, neque animæ nostræ. Cur autem non recta juxta philosophiam ingreditur, dicens: Deus natura incorporeus est, invisibilis, & infigurabilis? Quia superfluum videba- B tur jam hæc dicere ad homines quidem nondum edoctos unum esse Deum. Propter hoc illa dicere omisit, sed in quæstione consistit, ac dicit: *Et tempora quidem hujus ignorantiæ quum dissimularit Deus, nunc annunciat hominibus omnibus ubique ut resipiscant, eo quod statuit diem in quo judicaturus est orbem in justitia, in viro cui decrevit, fide præstita omnibus resuscitando illum ex mortuis.* Vide, concussa mente illorum dicendo: *Statuit diem,* & territa, tunc opportunè adjicit hoc: *Resuscitando illum ex mor-* C *tuis.* Sed videamus iterum quæ dicta sunt: *Paulo autem expectante illos Athenis, exacerbabat,* inquit, *spiritus illius in ipso.* Non ira hoc loco, neque indignatio est exacerbatio vel incandescentia, sed excitationem ac zelum significat. Sicut etiam alibi: *Facta est,* inquit, *exacerbatio inter illos.* (Sup. 15. 39.) Et vide, singulari ordinatione evenit, quod illic expectans illos invitus manserit. Quid igitur est παρωξύνετο *exacerbabat?* pro eo quod dicimus, excitabatur. Procul enim est ab ira & indignatione, donum spiritus. Non fe- D rebat, sed mordebatur. Itaque *disputabat quidem in synagoga cum Judæis,* inquit, *ac religiosis.* Vides, ut ille iterum cum Judæis disputat? *Religiosos* autem, proselytos dicit. Dispersi enim fuere Judæi ubique ab adventu Christi, nam simul & lex ab illo tempore solvebatur, & docebant homines pietatem, etiamsi ipsi nullam acciperent utilitatem, quàm quod habebant suarum calamitatum testimonia. *Quidam autem Epicurei & Stoici philo-* E *sophi conflictabantur cum illo.* Non jam legibus suis utebantur Athenienses, utpote Romanis jam subjecti. Et unde voluerunt hi conflictare? quoniam videbant & alios conferentes, & hominem existimationis cujusdam. Et vide statim cum contumelia aggrediuntur. *Animalis enim homo non capit ea quæ sunt spiritus.* (1 Cor. 2. 14.) *Novorum dæmoniorum videtur,* inquit, *annunciator esse. Dæmonia* Deos suos appellabant. Erant enim civitates illæ idolis plenæ. *Apprehensum enim illum ad Arium pagum* A *duxerunt dicentes:* (Quare in Arium pagum illum traxerunt? ut perterreretur. Ibi enim capitales causas judicabant, & homicidia.) *Possumusne scire, quæ nova illa quæ à te dicitur doctrina? Nova enim quædam ingeris auribus nostris.* Athenienses autem omnes, & peregrini qui illic versabantur, *ad nihil aliud vacabant, quam ut dicerent vel audirent quippiam novi.* Hic illud assignatur quod quamvis semper occuparentur in eo quod audirent vel dicerent aliquid novi: attamen illa no- B va putabant, ut pote quæ nunquam audierant. *Stans autem Paulus in medio Arii pagi, dixit: Viri Athenienses, per omnia ferè superstitiosiores vos video. Transiens enim & considerans culturas vestras.* Non dixit dæmones simpliciter, sed viam parat sermoni, propter hoc dixit: *Superstitiosiores vos video,* propter altare. *Deus,* inquit, *qui fecit mundum, & omnia quæ in illo:* locutus est vocem unam, per quam omnia quæ philosophi tradebant, subvertit. Epicurei enim providentiam Dei negantes, C omnia per se ferri dicebant, & ex atomis constituta esse: Stoici autem corpus & fervorem. Ille verò dicit, opus Dei esse mundum, & omnia quæ in illo. Vides quàm succinctus sit, & quàm dilucidæ brevitatis. Et vide quæ erant quæ auribus illorum ingerebat, nempe quod Deus mundum fecerit. Quæ etiam plebeji nunc sciunt, hoc ignorabant Athenienses, & Athenientium sapientes. Si enim fecit, manifestum quod & dominus. Vide quid dicit Deitatis esse indicia, nempe esse con- D ditorem, id quod & filius habet. Etenim prophetæ ubique hoc dicunt, Dei esse creare mundum. Non sicut illi alium quidem esse factorem, sed non dominum, ponentes materiam ingenitam. Ibi nunc latenter dogma suum asserit, & illorum dogmata refutat, *Non in manufactis,* inquit, *templis habitat:* nam habitat quidem in templis, sed non in talibus, sed in anima humana. Vide, corporalem sustulit cultum. Quid igitur, non habitabat in templo, quod in Hierosolymis? E Minimè, sed operabatur. Quomodo igitur colebatur manibus humanis apud Judæos? non à manibus, sed à mentibus. Quia illa non quærebat, quasi opus illis habeat. *Nunquid enim,* inquit, (Psal. 49. 13.) *comedam adipes taurorum, vel sanguinem hircorum potabo?* Alioqui neq; hoc suffecisset quod nullo indigeat, id quod affirmabat.

Nam

Nam divinum quidem & hoc, sed oportebat etiam aliud accedere: adjicit: *Ipse dans omnibus vitam & spiritum, & omnia.* Duas conjecturas deitatis ostendit. Et quòd ipse nullo egeat, & quòd omnia cunctis suppeditet. Confer cum his omnia quæ de Deo Plato philosophatus est, quæcunque & Epicurus; & nugæ apparebunt. *Dans*, inquit, *vitam & spiritum.* Ecce etiam animæ opificem illum facit, non genitorem. Vide iterum quomodo destruit sermonem de materia. *Fecitque ex uno sanguine omne genus hominum, ut habitet super omnem faciem terræ.* Hæc meliora sunt quam quæ illi tradunt, & confundunt atomos ac hylen. Hic etiã ostendit quod non est portio, neque anima hominis Deus, quod etiam illi dicunt. Non esset enim hoc esse conditorem: Dicens autem, *non humanis manibus coli Deum*, insinuat quod mente ac corde ei servitur. Hic inquit, cœli ac terræ dominus. Igitur non sunt dæmones partiti ac provinciales, quorum partes ac provinciæ quædam propriæ, in quibus domini sunt. Deus est qui fecit mundum, & omnia quæ in illo. Ostenso quomodo cœlum factũ, ostendit quod non in manufactis habitat: quasi diceret: Si Deus, omnia scilicet fecit, si autem non fecit, neque Deus est. Dii qui cœlum & terram non fecerunt, pereant. Multò majora quàm illi dogmata inducit, tametsi nondum adhuc magna dixisset. Nondum enim tempus, sed tanquam pueris loquitur de conditione mundi, & dominatione Dei, cui nulla re opus est. Ubi autem dixit *quòd omne genus hominum ex uno sanguine fecit*: manifestavit omnium bonorum authorem. Quid huic sublimitati par? Nam mirabile est, quòd *ex uno* fecit tot: quod autem omnibus ille simul imperat, adhuc mirabilius. *Dans enim*, inquit, *omnibus spiritum ac vitam.* Quid est, *quum præfinierit tempora præstituta, præfixeritque terminos habitationis illorum, ut quærant Deum, si forsan palpent illum ac inveniant?* Quia non coactus est quis, inquit, obambulare & quærere Deum. Vel si non hoc, quia decrevit ut quæratur Deus. Sed non semper hoc finivit, sed *præstitutis temporibus.* Hoc autem dicit ostendens quod neque hunc qui quæsiverunt invenerint, quamvis ita manifeste inveniri queat, quemadmodum si quod in medio positum palpemus. Neque ibi quidem cœlum est, alibi non, & in hoc tempore fuit, in alio non. Et ita omni tempore, & in omnibus præfixis terminis habitationis nostræ possibile est quod inveniamus illũ. Ita enim pulchra dispensatione inquisitionem ordinavit, ut neque loco, neque tempore prohibeamur. Certè & istuc ipsum maximè illis conducibile fuisset, siquidem voluissent, quod ubique sit cœlum, & stet in omni tempore. Idcirco & sic dixit: *Quamvis non longè sit ab unoquoque nostrûm*, sed propè sit omnibus. Quod autem dicit, hoc est: Non solùm dedit vitam ac spiritum & omnia, sed etiam quod est summa omnium, duxit ad sui notitiam, dando hæc per quæ possemus illum invenire ac comprehendere. sed noluimus quærere, quamvis ante pedes esset. *Non longè*, inquit, *ab unoquoque nostrûm quum sit.* Papæ, omnibus propè esse dicit, qui in toto orbe sunt. Quid hoc majus? Vide quomodo Mericos dæmones refutat. Quid dico procul? Tam propè est, ut absque illo non vivamus. *In illo enim vivimus, movemur, ac sumus.* Hoc dicit quasi corporali exemplo. Sicut impossibile est ignorare aërem ubique diffusum, & non longè ab unoquoque nostrûm existentem, imò etiam in nobis existentem, ita profectò & omnium opificem. Vide quomodo omnia illi dicit esse, providentiã illius esse dicit, ac conservationem esse ab illo, operandi vim, actum habere, & non perire. Et non dixit per illum, sed quod propius fuerit, *in illo.* Nihil tale dixerat Poëta ille, dicens: *Hujus enim & genus sumus.* Sed ille quidem de Jove dixerat, hic vero de omnium opifice assumit, & non illum hoc dicto intelligens: Absit, sed quæ propriè de vero Deo dicta ei adscribens. Quoniam & altare hujus dixerat, non illius quem colebant. Dicta enim sunt quædam, & fiunt huic, & nesciunt Græci quod fiant ei, sed ea ipsi de alio intellexerunt. Dic enim, de quo dicitur propriè: *Ignoto Deo?* De conditore omnium, an dæmone, quum & illum ignorarint, hunc verũ scierint? Similiter etiam quod omnia fecit, congruerit de Deo dictum esse, non de Jove scelesto quodam homine & abominabili ac mago. Ita etiam Paulus non similiter sicut ille dixit: Hujus enim & genus sumus. Absit, sed alia mente, *Genus enim Dei nos esse* dixit, hoc est, familiares, proximos, & quasi quis dicat: Proximè habitantes ac vicinos. Ut enim non iterum dicant: Nova ingeris auribus nostris. Nihil enim hominibus contrarium, ducit poëtam in medium. Et non dixit: Non debetis putare auro vel argento Deum esse similem, ô scelesti ac impii: Sed humilius: *Hoc non debemus putare*, inquit. Sed super hoc. Quidnam est: Super hoc? Deus, sed neque hoc.

Θεῖον μὲν γὰρ καὶ τοῦτο· ἀλλὰ δεῖ καὶ ἕτερον προσθεῖναι. ἐπάγει τὸ, αὐτὸς διδοὺς πᾶσι ζωὴν καὶ πνοὴν, καὶ τὰ πάντα. δύο τεκμήρια θεότητος δείκνυσι, τό τε αὐτὸν μηδενὸς δεῖσθαι, καὶ πᾶσι πάντα παρέχειν. πάρεχε ἐνταῦθα ὅσα περὶ Θεοῦ Πλάτων ἐφιλοσόφησεν, ὅσα Ἐπίκουρος, καὶ τὰ πάντα λῆρος πρὸς ταῦτα. διδοὺς, φησὶ, ζωὴν καὶ πνοήν. ἰδοὺ καὶ τῆς ψυχῆς δημιουργὸν αὐτὸν ποιεῖ, οὐ γεννήτορα. ὅρα πάλιν πῶς καθαιρεῖ τὸν περὶ τῆς ὕλης λόγον, ἐποίησέ τε εἰπὼν ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀνθρώπων κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. ταῦτα βελτίω ἐκείνων, καὶ κατηγορία τῶν τε ἀτόμων καὶ τῆς ὕλης. ἐνταῦθα δείκνυσιν, ὅτι οὐκ ἔστι μερικὴ, οὐδὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου. ὅπερ δὲ ἐκεῖνοί φασιν, οὐκ ἔστι τοῦτο δημιουργὸν εἶναι. λέγων δὲ, μὴ ὑπὸ χειρῶν ἀνθρώπων θεραπεύεσθαι τὸν Θεὸν, αἰνίττεται ὅτι διανοίᾳ καὶ νῷ θεραπεύεται. οὗτος, φησὶν, οὐρανοῦ καὶ γῆς Κύριος. οὐκοῦν οὐχ οἱ μερικοὶ δαίμονες. ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον, καὶ πάντα τὰ ἐν αὐτῷ. πῶς οὐρανὸς γέγονε πρότερον δείξας, τότε ἀποφαίνεται, ὅτι οὐκ ἐν χειροποιήτοις κατοικεῖ. ὡσεὶ ἔλεγεν· εἰ Θεὸς, πάντα ἐποίησε δηλονότι· εἰ δὲ μὴ ἐποίησεν, οὐ Θεός. θεοὶ, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν, φησὶν, οὐκ ἐποίησαν, ἀπολέσθωσαν. πολλῷ μείζονα ἐκείνων δόγματα εἰσάγει· καίτοι οὐδέπω τὰ μεγάλα εἶπεν· οὔπω γὰρ καιρός· ἀλλ' ὡς παισὶ διαλέγεται, τὴν δημιουργίαν, τὴν κυριότητα, τὸ ἀνενδεές. εἰπὼν δὲ, ὅτι πᾶν ἔθνος ἀνθρώπων ἐξ ἑνὸς αἵματος ἐποίησε, τὸν πάντων αἴτιον τῶν ἀγαθῶν ἐδήλωσε. τί τούτου οὖν ὑψηλοῦ ἴσον; θαυμαστὸν μὲν γὰρ καὶ τὸ ἐξ ἑνὸς ποιῆσαι τοσούτους· τὸ δὲ πάντας αὐτοῦ συγκρατεῖν, ἔτι πολλῷ θαυμαστότερον. διδοὺς γὰρ, φησὶ, πᾶσι πνοὴν καὶ ζωήν. τί ἐστιν ὁρίσας προτεταγμένους καιροὺς, καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸν Θεὸν, εἰ ἄραγε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν; ὅτι οὐκ ἠναγκάζετό τις, φησὶ, περιιέναι καὶ ζητεῖν τὸν Θεόν· ἢ εἰ μὴ τοῦτο, ὅτι ὥρισε ζητῆσαι τὸν Θεόν. ἀλλ' οὐ διαπαντὸς τοῦτο ὥρισεν, ἀλλὰ προτεταγμένους καιρούς. τοῦτο δὲ λέγει, δεικνὺς ὅτι οὐδὲ νῦν ζητήσαντες εὗρον· καίτοι οὕτως ἦν φανερὸς πρὸς τὸ εὑρίσκεσθαι, ὥσπερ ἂν εἰς μέσον τι ψηλαφώμενον. οὐδὲ γὰρ ἐνταῦθα μὲν ἦν οὐρανὸς, ἀλλαχοῦ δὲ οὔ· οὐδὲ ἐν τούτῳ τῷ χρόνῳ ἦν, ἐν ἄλλῳ δὲ οὔ. ὥστε καὶ κατὰ πάντα καιρὸν, καὶ κατὰ πᾶσαν ὁροθεσίαν, δυνατὸν αὐτὸν εὑρεῖν. οὕτως ᾠκονόμησε τὸ ζητεῖσθαι, ὥστε μή τε τόπῳ κωλύεσθαι, μή τε χρόνῳ· καὶ αὐτὸ δὲ τοῦτο μάλιστα αὐτοῖς συνέβαλλε, εἴγε ἠβούλοντο, τὸ πανταχοῦ εἶναι τὸν οὐρανὸν, τὸ ἐν παντὶ χρόνῳ ἑστάναι. διὸ καὶ οὕτως εἶπε· καίτοι γε οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, ἀλλ' ἐγγὺς ὄντα πᾶσιν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐ μόνον τὴν ζωὴν ἔδωκε καὶ τὴν πνοὴν, καὶ τὰ πάντα· ἀλλὰ καὶ τὸ κεφάλαιον ἁπάντων, εἰς γνῶσιν ἤγαγεν αὐτοῦ, δοὺς ταῦτα δι' ὧν δυνάμεθα εὑρεῖν αὐτὸν καὶ καταλαβεῖν. ἀλλ' οὐκ ἠθελήσαμεν ζητῆσαι, καίτοι πρὸ ποδῶν ὄντα· οὐ μακρὰν, φησὶν, ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα. βαβαί· πᾶσιν ἐγγὺς εἶναι λέγει τοῖς πανταχοῦ τῆς οἰκουμένης οὖσι. τί τούτου μεῖζον; ὅρα πῶς καὶ καθαιρεῖ τοὺς μερικούς. τί λέγω μακράν; οὕτως ἐγγύς ἐστιν, ὡς χωρὶς αὐτοῦ μὴ ζῆν. ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα, καί ἐσμεν. ὡς ἐν σωματικῷ ὑποδείγματι τοῦτόν τι λέγει. ὥσπερ ἀδύνατον ἀγνοῆσαι τὸν ἀέρα πανταχοῦ κεχυμένον, καὶ οὐ μακρὰν ἀφ' ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντα, μᾶλλον δὲ καὶ ἐν ἡμῖν ὄντα· οὕτω δὴ καὶ τὸν τῶν ὅλων δημιουργόν. ὅρα πῶς πάντα αὐτῷ λέγει εἶναι· τὴν πρόνοιαν αὐτοῦ, φησὶ, καὶ τὴν συγκράτησιν· τὸ εἶναι παρ' αὐτοῦ, τὸ ἐνεργεῖν, τὸ μὴ ἀπολέσθαι, καὶ οὐκ εἶπε, δι' αὐτοῦ, ἀλλ' ὃ ἐγγύτερον ἦν, ἐν αὐτῷ. οὐδὲν ἴσον εἶπεν ὁ ποιητὴς ἐκεῖνος, τοῦ γὰρ καὶ γένος εἶπεν ἐσμέν· ἀλλ' ἐκεῖνος μὲν περὶ τοῦ Διὸς εἶπεν· οὗτος δὲ περὶ δημιουργοῦ αὐτὸ λαμβάνει. οὐ τὸν αὐτὸν ἐκείνῳ λέγων, μὴ γένοιτο· ἀλλὰ τὰ κυρίως ἐπ' αὐτῷ εἰρημένα ἁρμόζων. ἐπεὶ καὶ βωμὸν τούτου εἶπεν, οὐκ ἐκείνου, ὃν ἐσέβοντο. εἴρηται μὲν γάρ τινα καὶ πράττεται εἰς τοῦτον; ἀλλ' οὐκ ἴσασιν Ἕλληνες ὅτι εἰς αὐτὸν, ἀλλ' εἰς ἕτερον αὐτὰ νενοήκασιν. εἰπὲ γάρ μοι, περὶ τίνος ἂν λεχθείη κυρίως, ἀγνώστῳ Θεῷ, περὶ τοῦ δημιουργοῦ, ἢ περὶ τοῦ δαίμονος; δῆλον ὅτι περὶ τοῦ δημιουργοῦ· εἰ καὶ τὸν μὲν ἠγνόουν, τὸν δὲ ᾔδεσαν. ὁμοίως καὶ ὅτι πάντα πεποίηκε, περὶ τοῦ Θεοῦ ἂν εἰρῆσθαι κυρίως ἁρμόσειεν, ἢ τοῦ Διὸς, μιαροῦ τινος ἀνθρώπου καὶ καταπτύστου, καὶ γόητος; οὕτως οὐχ ὁμοίως ἐκείνῳ Παῦλος εἶπε, μὴ γένοιτο, καὶ τὸ, τοῦ γὰρ καὶ γένος ἐσμέν· ἀλλ' ἑτέρῳ νῷ. γένος γὰρ Θεοῦ εἶπεν ἡμᾶς εἶναι· τουτέστιν, οἰκείους, ἐγγυτάτους· ἢ ὡς ἄν τις εἴποι, παροίκους καὶ γείτονας. ἵνα γὰρ μὴ πάλιν λέγωσι· ξενίζοντα εἰσφέρεις εἰς τὰς ἀκοὰς ἡμῶν· οὐδὲν γὰρ οὕτως ἀνθρώποις ἐναντίον, ἄγει τὸν ποιητὴν εἰς μέσον, καὶ οὐκ εἶπεν, οὐκ ὀφείλετε νομίζειν χρυσῷ ἢ ἀργύρῳ τὸ θεῖον εἶναι ὅμοιον, ὦ μιαροὶ καὶ παμμίαροι· ἀλλὰ ταπεινότερον, οὐκ ὀφείλομεν νομίζειν, φησὶν, ἀλλ' ὑπὲρ τοῦτο. τί δαὶ τὸ ὑπὲρ τοῦτο; Θεός· ἀλλ' οὐδὲ τοῦτο·

ἐπαγγελίας

ἐνεργείας γάρ ἐστιν ὄνομα· ἀλλὰ τέως τοῦτο, πλὴν οὐ λέγομεν τούτῳ τὸ θεῖον εἶναι ὅμοιον; τίς γὰρ ἂν εἴποι; ὅρα πῶς τὸ ἀσώματον εἰσήγαγεν· ἡ γὰρ διάνοια ὅταν ὑποπτεύσῃ σῶμα, καὶ διάστημα ὑπονοεῖ. Γένος οὖν ὑπάρχοντες τοῦ Θεοῦ, οὐκ ὀφείλομεν, φησί, χρυσῷ ἢ ἀργύρῳ, ἢ λίθῳ χαράγματι τέχνης, καὶ ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον. ἀλλ' εἴποι ἄν τις· οὐ τοῦτο νομίζομεν. τί οὖν ταῦτα λέγει; ἀλλὰ πρὸς τοὺς πολλοὺς ὁ λόγος ἦν αὐτῷ. καλῶς οὕτως εἶπεν. εἰ γὰρ ἡμεῖς ἐσμὲν ὅμοιοι ἐκείνοις τὸ κατὰ ψυχήν, πολλῷ μᾶλλον ὁ Θεός. τέως ἀπάγει αὐτοὺς τῆς ὑπονοίας. οὐ μόνον δὲ χαράγματι τέχνης τὸ θεῖον οὐκ ἔστιν ὅμοιον· ἀλλ' οὐδὲ ἄλλῃ τινὶ ἀνθρωπίνῃ ὑπονοίᾳ ὑποβάλλεται. ἢ γὰρ τέχνη, ἢ διάνοια εὗρε. διὰ τοῦτο οὕτως εἶπεν· ὅπερ οὖν τέχνη ἀνθρωπίνη ἢ διάνοια εὗρε, τοῦτο ὁ Θεός, καὶ ἐν λίθῳ οὐσία Θεοῦ. πῶς οὖν οἱ ἐν αὐτῷ ζῶμεν, οὐχ εὑρίσκομεν αὐτόν; διπλοῦν τὸ ἔγκλημα· ὅτι τε ἐκεῖνον οὐχ εὗρον, καὶ ὅτι τούτους εὗρον. οὐδαμοῦ ἡ διάνοια ἀξιόπιστος καθ' ἑαυτήν, ἀλλ' ἐπειδὴ κατέσεισεν αὐτῶν τὴν ψυχήν, δείξας ἀναπολογήτους, ὅρα τί ἐπάγει. Τοὺς μὲν χρόνους τῆς ἀγνοίας ὑπεριδών, τὰ νῦν παραγγέλλει τοῖς ἀνθρώποις πᾶσι πανταχοῦ μετανοεῖν. τί οὖν; οὐδεὶς κολάζεται τούτων; οὐδεὶς τῶν θελόντων μετανοεῖν. περὶ τούτων λέγει· οὐ περὶ τῶν ἀπελθόντων, ἀλλ' οἷς παραγγέλλει· οὐκ ἀπαιτεῖ λόγον ὑμᾶς, φησίν· οὐκ εἶπεν, ἐκεῖνος παρεῖδεν· οὐκ εἶπεν, εἴασεν· ἀλλ' ὑμεῖς ἠγνοήσατε. ὑπεριδών· τουτέστιν, οὐκ ἀπαιτεῖ κόλασιν ὡς ἀξίους ὄντας κολάσεως. ἠγνοήσατε. καὶ οὐ λέγει, ἑκόντες ἐκακουργήσατε· ἀλλὰ τοῦτο διὰ τῶν ἄνω ἔδειξε. πανταχοῦ μετανοεῖν εἰπών. ἐνταῦθα πᾶσαν τὴν οἰκουμένην αἰνίττεται. ὅρα πῶς αὐτοὺς ἀπάγει τῶν μερικῶν. Διότι ἔστησεν ἡμέραν, φησίν, ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην ἐν δικαιοσύνῃ· ὅρα πάλιν τὴν οἰκουμένην εἶπεν, οὕτω τοὺς ἀνθρώπους καλῶν. Ἐν ἀνδρὶ ᾧ ὥρισεν, ἀναστήσας αὐτὸν ἐκ νεκρῶν. ὅρα πῶς πάλιν τὸ πάθος ἐδήλωσεν, ἀναστάσεως μνημονεύσας. ὅτι δὲ ἀληθὴς ἡ κρίσις, δῆλον ἐκ τῆς ἀναστάσεως. συγκατασκευάζεται γάρ. καὶ ὅτι πάντα ἀληθείᾳ εἶπε, δῆλον ἐξ ὧν ἀνέστη. ὅτι καὶ πᾶσι ταύτην παρέχων πίστιν, τὸ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν· καὶ τοῦτο λοιπὸν δῆλον. ταῦτα εἴρηται μὲν πρὸς Ἀθηναίους· καιρὸν δ' ἂν ἔχοι καὶ πρὸς ἡμᾶς λέγεσθαι, ὅτι πάντας πανταχοῦ μετανοεῖν δεῖ, ὅτι ὥρισεν ἡμέραν ἐν ᾗ μέλλει κρίνειν τὴν οἰκουμένην. ὅρα καὶ πῶς καὶ δικαστὴν αὐτὸν εἰσάγει, καὶ προνοοῦντα τοῦ κόσμου, καὶ φιλάνθρωπον, καὶ συγγνωμονικόν, καὶ δυνατόν, καὶ σοφόν· καὶ πάντα ἁπλῶς δημιουργοῦ ἔχοντα. ἀπόδειξιν δίδωσι τοῦ ἀναστῆσαι αὐτὸν ἐκ νεκρῶν τὰ εἰρημένα. μετανοήσωμεν οὖν. πάντως γὰρ κριθῆναι δεῖ. εἰ μὴ ἀνέστη ὁ Χριστός, οὐ κρινόμεθα· εἰ δὲ ἀνέστη, πάντως κρινόμεθα. εἰς τοῦτο γὰρ καὶ ἀπέθανεν, ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ, φησί. καὶ πάλιν· πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ, ἵνα ἕκαστος κομίσηται πρὸς ἃ ἔπραξε. μὴ δὴ νομίσητε ῥήματα μόνον εἶναι ταῦτα. ἰδοὺ καὶ τὸν περὶ τῆς ἀναστάσεως τῶν πάντων εἰσήγαγε λόγον. οὐ γὰρ ἄλλως κρίνεται ἡ οἰκουμένη. καὶ τό, ἀναστήσας δὲ αὐτὸν ἐκ νεκρῶν, περὶ σώματός ἐστιν εἰρημένον. τοῦτο γὰρ καὶ νεκρόν. τοῦτο καὶ πεπτωκός. παρὰ δὲ Ἕλλησιν ὥσπερ τὰ τῆς δημιουργίας, οὕτω καὶ τὰ τῆς κρίσεως ἀθετοῦνται. ταῦτα δὲ παίδων εὑρήματα καὶ μεθυόντων ἀνθρώπων ἐστίν· ἀλλ' ἡμεῖς οἱ περὶ τούτων ἀκριβῶς εἰδότες, πράττωμέν τι τῶν χρησίμων, καὶ σπουδάζωμεν οἰκειωθῆναι τῷ Χριστῷ. μέχρι πότε ἐχθραίνομεν πρὸς αὐτόν; μέχρι πότε πρὸς αὐτὸν ἀηδῶς ἔχομεν; μὴ γένοιτο, φησί· τί ταῦτα λέγεις; οὐκ ἐβουλόμην ταῦτα λέγειν, εἰ μὴ ταῦτα ἐπράττετε ὑμεῖς. νῦν δὲ τί τὸ κέρδος τῆς τῶν λόγων σιγῆς, τῶν πραγμάτων οὕτω βοώντων μετὰ πάσης περιφανείας; πῶς οὖν αὐτὸν φιλήσομεν; εἶπον μὲν μυριάκις μυρία· ἐρῶ δὲ καὶ νῦν. τρόπον ἕνα εὑρηκέναι μοι δοκῶ πολὺ μέγαν καὶ θαυμαστόν, μετὰ τοῦ τὰ κοινῇ γινόμενα λογίζεσθαι ὑπὸ τοῦ Θεοῦ τοσαῦτα ὄντα, ὅσα οὐδὲ ἀριθμῆσαί τις δυνήσεται· καὶ ὑπὲρ τούτων ἁπάντων χάριτας ὁμολογεῖν αὐτῷ, καὶ τὰ ἑκάστῳ ἡμῶν γεγενημένα ἐννοῶμεν πάντες, καὶ καθ' ἑκάστην ἀναλογιζώμεθα τὴν ἡμέραν· ἐπειδὴ ταύτην μεγάλην ἔχει τὴν ἰσχὺν ταῦτα, ἕκαστος ἡμῶν ἀναλογιζέσθω παρ' ἑαυτῷ καὶ μετὰ ἀκριβείας ἀνερευνάτω, εἴ ποτε εἰς κινδύνους περιπεσὼν διέφυγε τὰς τῶν ἐναντίων χεῖρας. καὶ καθάπερ ἐν βιβλίῳ τὰς εὐεργεσίας ἀναγεγραμμένας ἐχέτω τοῦ Θεοῦ· οἷον, εἴ ποτε ἐξελθὼν ἐν ἀωρίᾳ διέφυγε κίνδυνον· εἴ ποτε πονηροῖς ἀνθρώποις συμβαλὼν, ἀνώτερος αὐτῶν γέγονεν· εἴ ποτε νόσῳ περιπεσὼν πάντων ἀπεγνωκότων ἀνήνεγκε. μέγα γὰρ τοῦτο δύναται πρὸς τὸ οἰκειῶσαι ἡμᾶς τῷ Θεῷ. εἰ γὰρ δὴ Μαρδοχαῖος ἐκεῖνος τὰ ὑπ' αὐτοῦ γεγενημένα ἀγαθὰ ἔργα εἰς μνήμην ἐλθόντα τοῦ βασιλέως οὕτως εἶχε περιστάμενα, ὡς πάλιν ἐπὶ τὴν λαμπρότητα ἐκείνην ἐλθεῖν· πολλῷ μᾶλλον ἡμεῖς ἂν ἀναμνησθῶμεν, καὶ δι' ὃ τούτων ἀκριβῆ ποιησώμεθα ἐξέτασιν τῶν πραγμάτων· τί μὲν ἡμαρτήκαμεν ἡμεῖς εἰς Θεόν, τί δαὶ αὐτὸς εἰς ἡμᾶς ἀγαθὸν εἰργάσατο.

A Est enim efficaciæ nomen: verum jam hoc, nisi quod non dicimus huic Deum esse similem. Quis enim diceret? Vide quomodo incorporeum introducit: Mens enim quando suspicatur corpus, etiam distantiam imaginatur. *Genus igitur existentes Dei, non debemus*, inquit, *auro vel argento, vel lapidi sculpto arte & figmento hominis, Deum esse similem putare.* Jam dixerit quis: Non hoc putamus, quare igitur hæc dicit? Sed ad multos loquebatur ille, unde & bene dixit. Nam si nos su-

B mus illis similes juxta animam, multò magis Deus. Tunc abducit illos à suspicione. Non solùm autem sculpturæ artis Deus non est similis, sed neque alteri cuipiam humanæ cogitationi subjicitur. Nam vel ars, vel mens invenit. Idcirco sic dixit: Itaque si id quod ars humana vel mens invenit, hoc Deus & in lapide substantia Dei, quomodo in illo vivimus, & non invenimus illum? Duplex objectio. Et quod illum non invenerunt, & quòd tales invenerunt, minimè per seipsam fide dignas. At

C ubi concussa illorum anima ostendit eos esse inexcusabiles, vide quid subdit: *Tempora quidem ignorantiæ dissimulans, nunc annunciat hominibus omnibus ubiq; ut pœnitentiam agant.* Quid igitur? Nullus horum punitur? nullus qui pœnitentiam vult agere? de his dicit, non de his qui defuncti sunt, sed quibus annunciat. Non exigit à vobis rationem, inquit: non dixit, ille despexit: non dixit, permisit: sed vos ignorastis, *dissimulavit*: hoc est, non exigit pœnam, quasi digni sitis pœna. Ignorastis,

D & non dixit, spontè malè egistis, sed hoc per superiora monstravit, ut ubique pœnitentiam agant. dicens: Hic totum orbem insinuavit. Vide quomodo illos abducit à Mericis, hoc est, provincialibus diis. *Quapropter statuit diem, in quo judicaturus est orbem in justitia.* Vide iterum orbem dixit, sic homines vocans. *In viro cui decrevit suscitando illum ex mortuis.* Vide quomodo iterum passionem manifestavit, memor factus resurrectionis. Quòd autem verum sit judicium, manifestum ex

E resurrectione. Simul enim præparata sunt. Et quod omnia vera sint, inquit, manifestum ex eo quod resurrexerit. Et resurrexisse illum ex mortuis *omnibus hanc fidem adhibet*, idque jam manifestum. Hæc quidem dicta sunt ad Athenienses, tempestivum autem etiam vobis dici, omnibus ubique agendam esse pœnitentiam, quia præfinivit diem in quo judicaturus est orbem. Vide quomodo & judicem illum inducit, & cum providentia gubernantem mundum, & misericordem, & condonantem ve-

A niam, & potentem ac sapientem, & omnia simpliciter quæ sunt conditoris habentem. Confirmationem dictorum ponit, quoniam ille resurrexerit ex mortuis. Pœnitentiam igitur agamus. Omnino enim judicari oportet: si non surrexit Christus, non judicamur: si autem surrexit, omnino judicamur. *In hoc enim & mortuus est, ut & mortuorum ac vivorum Dominus sit*, inquit. Et iterum. *Omnes enim assistemus tribunali Christi, ut unusquisq; ferat secundum ea quæ operatus est.* Ne au- Rom. 14. 9. 2 Cor. 5. 10.

B tem putes hæc esse solum verba. Ecce & de resurrectione omnium introduxit sermonem. Neque enim aliter judicatur orbis. Etiam hoc quod suscitavit illum à mortuis, de corpore est dictum: hoc enim & mortuum erat, hoc & cecidit. Apud gentes sicut creatio, ita & judicium reprobatur: Hæc autem puerorum commenta sunt, & ebriorum hominum. At nos qui de his melius instructi sumus, faciamus utile aliquid, & studeamus familiarissimi esse Christo: Hactenus inimici ejus fuimus,

C hactenus minus suaviter erga illum affecti fuimus. Absit, dicet quispiam, cur hæc dicis? Non vellem hæc dicere, nisi ea fecissetis vos. Nunc autem quæ utilitas, si sermones taceantur, & res cum omni claritate sic clament? Itaque quomodo illum diligemus? Dixi quidem sexcenties, dicam tamen & nunc: modum unum invenisse mihi videor maximum & mirabilem, nempe ut cum eo quod recogitamus innumerabilia & maxima beneficia, quæ communiter cum aliis à Deo accepimus, & pro qui-

D bus gratias habemus; recogitemus etiam singuli, quid sibi peculiariter datum sit, recogitemus autem id quotidie. Igitur quòd magnam hæc habeant vim, unusquisque nostrum apud seipsum recogitet, & diligenter scrutetur: num aliquando in periculum prolapsus, hostium manus effugerit, & beneficia Dei quæ conscribi præ multitudine nequeunt, tanquam in libro habeat: utpote si fortè ante lucem egressus in viam: periculum evasit: si fortè incidens in malos homines, eos vicit: si fortè morbo cor-

E reptus, desperantibus omnibus iterum convaluit. Multùm enim & hoc valet ad conciliandum nos Deo. Sanè si Mardochæus illa ita habuit subsidiaria bona opera quæ ab ipso facta, quum venissent in memoriam regis ut ad illam gloriæ claritudinem perveniret, multo magis nos si memores fuerimus. Et duorum istorum operum diligens faciamus examen, quid nos quidem peccaverimus in Deum, & quid boni ille nobis fecerit.

A Ita & grati erimus, & omnia effundemus. At nullus hæc recogitat, sed quemadmodum de peccatis loquimur, esse nos peccatores peccata non in specie memorantes & exquirentes, ita & de beneficiis Dei, quod benefecerit nobis Deus dicentes, non specialem illa examinamus, non dicimus ubi & quanta, & in quo tempore: sed ex præsenti magnam faciemus diligentiam. Nam si quis etiam vetera repetere potest, omnia diligenter consideret, grandem inventurus est thesaurum. Hoc etiam nobis utile est, ut non desperemus. Nam B quando viderimus quod sæpe nobis præsidio fuerit: non desperabimus, neque putabimus nos abjici, sed ingens illius pignus accipiemus, suam erga nos providentiam ac curam cogitantes quòd peccantes non punimur, sed etiam præsidio fruimur. Dicam autem quiddam & ego, quod à quopiam audivi: Erat puer quidam, quem cum matre contigit, quum nondum decimum & quintum ageret annum, in agro, aëre perquam corrupto, febribus laborare. Erat autem post au- C tumnum. Et mater quidem festinavit ingredi in civitatem, puer verò illic jubentibus medicis & mansit, & quum flagraret febris, cœpit gargarizare, inde abstinentiam meditans, imò ignem extingui putans. Nisi autem mox quod optabat acciperet, ut puta puer existens ob intempestivam contentionem, posteà non accipiebat. Ubi autem venit in civitatem proposita sunt ea quæ illius linguæ erant ac sermonis, & valde diu fuit non loquens, & nihil articulatum pronuncians, D sed legebat quidem & doctores multo tempore invisebat, & simpliciter absque signis erat, & abjecta fuit de eo spes omnis: eràtque mater dolore plena, & plurima adinvenerant medici, multa etiam alii, sed nihil horum proderat: donec misericors Deus linguæ vinculum sanavit, & tunc convaluit, & pristinam loquendi facilitatem ac claritatem accepit. Narravit autem illius mater, quod etiam quum parvus esset puer in naribus habuerit morbum, quem polypum vocant, & iterum E medici desperaverunt, oravítque mater ut moreretur, & pater illi maledicebat. Adhuc enim vivebat, & iterum omnia facta sunt difficilia. Et ille statim unguibus fricans à foramine narium, bestiolam illam impetu spiritus à naribus erasit, & omnes difficultates solutæ sunt. Hoc autem sedato, fluxus per oculos acutus & viscosus continenter fluebat, magnásque & crassas lemas efficiebat, ita ut pupilla oculi obduceretur pellicula se interponente, & gravem cæcitatem afferebat. A omnésque dicebant actum esse, sed etiam ab hoc morbo statim per gratiam Dei liberatus est. Et hæc quidem sunt quæ audivi, quæ autem ipse scio, narrabo vobis. Mota est olim me adhuc adolescentulo, magna tyrannorum hostilitas, militibus etiam foris extra civitatem ad insidias positis, fortè fortuito libellos quærebant incantatorios & magicos. Et qui scripserat librum, nondum perfectum in flumen abjecerat, & captus, quum postularetur ab eo, reddere non poterat, sed B ducebatur per totam civitatem vinctus. Et ita quum accusaretur dedit pœnam: tunc ego in martyris ædem proficisci volens, transibam per hortos juxta flumen cum alio quodam: ille autem viso libro, qui in superficie fluebat, primum quidem putabat linteum esse: propior autem factus, agnovit esse librum, & descendens recepit. Ego autem contendebam ut de communi invento, & ridebam. Sed videamus, inquit, quidnam hoc sit, revolvit partem paginæ, & invenit scripta C magica. Accidit autem eodem tempore militem transire, qui hoc animadvertens abiit, & timere nos fecit. Quis enim credidisset quod è flumine sumptum sustulissemus, quum omnes tunc etiam qui non suspecti detinerentur: & abjicere non audebamus, ne videremur. Idem etiam periculum erat, si divideremus. Concessit igitur Deus, & abjecimus, & posteà à periculis sumus liberati. Et innumera dicere possem, si omnia enumerare vellem. Et hæc propter vos dixi, ut etiam D si non talia, sed alia quædam habetis, in perpetua memoria sint: ut si lapis quidam illatus in te tortus, super te non venit. Hoc semper habe in memoria. Magnam hæc nobis cum Deo amicitiam faciunt: si enim memores beneficiorum ab hominibus acceptorum, multum dolemus quod non possumus illis aliquid rependere: multò magis hoc in his quæ à Deo accepimus. Si igitur volumus non contristari, dicamus oro: *Si* E

Job.2,10. *bona suscepimus a Domino, mala non sustinebimus?* Et Paulus propter hoc dicebat, unde liberatus sit. Vide & Jacob, quomodo

Gen.48,16. hæc in mente habebat. Ideo etiam dicebat: *Angelus qui eripuit me à nativitate mea.* Et non solùm quod eripuit, sed quomodo, & etiam in quo cogitemus. Vide igitur & illum seorsim, memorem

Ib.32,11. esse beneficiorum. *In baculo meo*, inquit, *transivi per Jordanem.*

A οὕτω καὶ εὐχάριστοι ἐσόμεθα, καὶ πάντα περιησόμεθα. ἀλλ' οὐδεὶς τούτων οὐδαμῶς ποιεῖται μνήμην· ἀλλ' ὥσπερ περὶ ἁμαρτημάτων λέγομεν, ὅτι ἁμαρτωλοί ἐσμεν οὐ κατ' εἶδος αὐτὰ ἐξετάζοντες, οὕτω καὶ περὶ τῶν εὐεργεσιῶν τοῦ Θεοῦ, ὅτι εὐηργέτησεν ἡμᾶς λέγοντες ὁ Θεός, οὐ κατ' εἶδος αὐτὰ ἐξετάζομεν. οὐ λέγομεν, ποῦ, καὶ πόσα, καὶ ἐν ποίῳ καιρῷ. ἀλλ' ἀπὸ τοῦ νῦν πολλὴν ποιησώμεθα τὴν ἀκρίβειαν. εἰ μὲν γάρ τις καὶ τὰ πάλαι ἀναλαβεῖν δύναται, πάν- B τα ἀναλογιζέσθω ἀκριβῶς ὡς μέγαν εὑρήσων θησαυρόν. τοῦτο καὶ πρὸς τὸ μὴ ἀπογινώσκειν χρήσιμον ἡμῖν. ὅταν γὰρ ἴδωμεν ὅτι περιέσωσε πολλάκις ἡμᾶς, οὐκ ἀπογνωσόμεθα, οὐδὲ ἡγησόμεθα ἀπερρίφθαι· ἀλλ' ἐνέχυρον αὐτοῦ μέγα ληψόμεθα τῆς περὶ ἡμᾶς κηδεμονίας· ὅταν ἐννοήσωμεν, ὅτι ἁμαρτάνοντες οὐ κολαζόμεθα, ἀλλὰ καὶ προστασίας ἀπολαύομεν. εἴπω δή τι κἀγὼ ὅπερ ἀκήκοα παρά τινος. γέγονέ που τις παῖς, καί ποτε συνέβη αὐτὸν εἶναι ἐν C ἀγρῷ μετὰ τῆς μητρὸς, οὔπω πεντεκαιδεκαέτη γεγονότα. τότε δὴ χαλεποῦ τινος ἀέρος συμβάντος, πυρετὸς ἐπέπεσεν ἀμφοτέροις. καὶ γὰρ τὸ μετόπωρον ἦν. τότε δὴ ἡ μὲν μήτηρ ἔφθασεν εἰσελθεῖν ἐπὶ τῆς πόλεως· ὁ δὲ παῖς τῶν ἰατρῶν ἐκεῖ κελευόντων μένειν, καὶ τοῦ πυρετοῦ καίοντος, ἀνακογχυλίζειν ἤρξατο δῆθεν φιλοσοφῶν, μᾶλλον τὸ πῦρ σβεννύναι οἰόμενος, εἰ μηδ' ὅπερ ἐπόθει λάβοι· ἅτε δὴ οὖν παῖς, ὑπὸ φιλονεικίας ἀκαίρου οὐ προσήκατο. ὡς δὲ ἐπέβη D τῆς πόλεως παρέθη τὰ τῆς γλώττης, καὶ ἄλαλος ἦν ἐπὶ πολὺ, οὐδὲν ἔναρθρον φθεγγόμενος· ἀλλὰ ἀνεγίνωσκε μὲν, καὶ εἰς διδασκάλους ἐφοίτα ἐπὶ πολὺν χρόνον· ἁπλῶς δὲ καὶ ἄσημα. πάντα οὖν αὐτοῦ τὰ τῆς ἐλπίδος ἐκκέκοπτο, καὶ ὀδύνης ἦν ἡ μήτηρ μεστή· καὶ πολλὰ μὲν ἐπενόησαν ἰατροὶ, πολλὰ δὲ ἄλλα πολλοί· ἴσχυε δὲ οὐδεὶς, ἕως ὅτε ὁ φιλάνθρωπος Θεὸς ἰάσατο τὸν τῆς γλώττης δεσμὸν, καὶ τότε ἀνήνεγκε, καὶ εἰς τὴν προτέραν ἐπανήγαγεν εὐγλωττίαν αὐτὸν καὶ τρανό- E τητα. διηγήσατο δὲ αὐτοῦ ἡ μήτηρ, καὶ ὅτι δὴ παιδίον ὂν σφόδρα μικρὸν, περὶ τὴν ῥῖνα πάθος ἔσχεν ὃ καλοῦσι πολύπουν· καὶ πάλιν ἰατροὶ ἀπεγνώκεισαν, καὶ τελευτῆσαι ηὔχετο ἡ μήτηρ, καὶ ὁ πατὴρ αὐτῷ κατηρᾶτο· ἔτι γὰρ ἐτύγχανε ζῶν· καὶ πάλιν πάντα ἐν ἀπορίᾳ ἦν. ὁ δὲ εὐθέως βήξας ἀπὸ μύγματος τὸ θηρίον ἐκεῖνο τῇ ῥύμῃ τοῦ πνεύματος ἐξέωσεν ἀπὸ τῶν ῥινῶν, καὶ πάντα λέλυτο τὰ δεινά. τούτου δὲ σβεσθέντος, ῥεῦμα κατὰ τῶν ὀφθαλμῶν δριμὺ, καὶ γλίσχρον ἐπιρρέον ἀεὶ τοσαύτας ἐποίει τὰς λήμας, καὶ οὕτω παχείας, ὡς ἀντὶ διαφράγματος γίνεσθαι τῇ κόρῃ, καὶ τὸ δεινὸν πήρωσιν ἐμελέτα, καὶ πάντες ἔλεγον τοῦτο συμβήσεσθαι. ἀλλὰ καὶ τούτου χάριτι τοῦ Θεοῦ ταχέως ἀπηλλάγη καὶ πάθους. καὶ ταῦτα μὲν ἅπερ ἤκουσα, ἃ δὲ αὐτὸς ἐπίσταμαι, ἐρῶ πρὸς ὑμᾶς. ἐκινήθη ποτὲ τυράννων ὑποψία ἐν τῇ πόλει τῇ ἡμετέρᾳ. τότε δὲ ἔτι μειράκιον ἤμην· καὶ πάντων ἔξωθεν τὴν πόλιν παρακαθημένων τῶν στρατιωτῶν, τυχὸν ἀπλάστως βιβλία ἐζήτουν γοητικὰ καὶ μαγικά, καὶ ὁ γράψας τὸ βιβλίον ῥίψας ἀκατασκεύα- B στον εἰς ποταμὸν ἑάλω, καὶ ἀπαιτούμενος οὐκ εἶχε δοῦναι, ἀλλὰ περιήγετο τὴν πόλιν ἅπασαν δέσμιος. ὡς δὲ τὸν ἔλεγχον ἐπιτεινομένων δέδωκε δίκην, τότε ἐγὼ εἰς μαρτύριον ἀπιέναι βουλόμενος, ἐπανῄειν διὰ τῶν κήπων παρὰ ποταμὸν μετὰ καὶ ἑτέρου τινός. ἰδὼν δὲ ἐκεῖνος τὸ βιβλίον ἄνω ἐπιπλέον, τὸ μὲν πρῶτον ἐνόμιζεν ὀθόνην εἶναι· γενόμενος δὲ ἐγγὺς, ἔγνω ὅτι βιβλίον ἦν, καὶ καταβὰς ἀνείλετο. ἐγὼ δὲ ἐφιλονείκουν, ὥστε κοινὴν εἶναι τὴν εὕρεσιν, καὶ ἐγέ- C λων. ἀλλ' ἴδωμεν φησίν, ὅ, τί ποτε, καὶ ἐστίν. ἀνακλᾷ μέρος τῆς σελίδος, καὶ εὑρίσκει ἐγγεγραμμένα μαγικά. συνέβη δὲ κατὰ ταυτὸν στρατιώτην παριέναι. εἶτα ἔνδοθεν λαβὼν ἀπῄει, καὶ ἐπεπήγει τῷ δέει. τίς γὰρ ἂν καὶ ἐπίστευσεν ὅτι ἀπὸ τοῦ ποταμοῦ λαβόντες ἀνειλόμεθα, πάντων τότε καὶ τῶν ἀνυπόπτων κατεχομένων, καὶ ῥῖψαι οὐκ ἐτολμῶμεν, μὴ ὀφθῶμεν, καὶ καταμερίσαι αὐτὸ πάλιν ὅμοιον δέος ἦν. ἔδωκε γοῦν ὁ Θεὸς, καὶ ἐρρίψαμεν, καὶ ἔσχατον D ἀπηλλάγημεν τότε τῶν κινδύνων. καὶ μυρία ἂν ἔχοιμι λέγειν, εἰ πάντα καταλέγειν ἐθέλοιμι. καὶ ταῦτα δὲ ὑμῶν ἕνεκεν εἶπον, ὥστε εἴ τις κἂν μὴ τοιαῦτα, ἀλλ' ἕτερά τινα ἔχοι, ταῦτα μεμνῆσθαι διηνεκῶς· οἷον, εἴποτε λίθος τις ἐνεχθεὶς, μέλλων ἐπὶ σὲ ἔρχεσθαι, οὐκ ἐπὶ σὲ ἦλθε, τοῦτο ἀείμνηστον ἔχε. μεγάλην ταῦτα ποιεῖ πρὸς Θεὸν φιλίαν ἡμῖν. εἰ γὰρ ἀνθρώπων ἀναμνησθέντες τῶν διασωσάντων ἡμᾶς, πάνυ δακνόμεθα ὅταν αὐτοὺς ἀμείψασθαι μὴ δυνη- E θῶμεν· πολλῷ μᾶλλον ἐπὶ Θεοῦ. τοῦτο καὶ ἀλλαχοῦ χρήσιμον. ὅταν οὖν βουλώμεθα μὴ ἀλύειν, λέγωμεν δή· εἰ τὰ ἀγαθὰ " ἐδεξάμεθα παρὰ κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; καὶ Παῦλος " διὰ τοῦτο ἔλεγεν ὅθεν ἐρρύσθη, ἵνα κἀκείνους ἀναμνήσῃ. ὅρα καὶ ὁ Ἰακὼβ πῶς πάντα ταῦτα ἐν νῷ εἶχε. διὸ καὶ ἔλεγεν· ὁ ἄγγελος ὁ " ῥυόμενός με ἐκ νεότητός μου. καὶ μὴ μόνον ὅτι ἐρρύσατο, ἀλλὰ πῶς " καὶ ἐπὶ τίσιν ἐννοῶμεν. ὅρα γοῦν κἀκεῖνον ἰδικῶς μνημονεύοντα τῶν εὐεργεσιῶν. ἐν τῇ ῥάβδῳ μου, φησὶ, διῆλθον τὸν Ἰορδάνην.

οἱ δὲ Ἰουδαῖοι, καὶ τὰ ἐπὶ τῶν προγόνων μέμνηνται ἀεὶ, τὰ κατὰ τὴν Αἴγυπτον στρέφοντες. Ἐκείνων πολλῷ μᾶλλον ἡμεῖς τῶν οἰκείων καὶ εἰς ἡμᾶς συμβεβηκότων, ποσάκις εἰς ἐπηρείας καὶ συμφορὰς ἐμπεπτώκαμεν. καὶ εἰ μὴ ὁ Θεὸς χεῖρα ὑπώρεξε, πάλαι ἂν ἀπωλώλειμεν. Ταῦτα ἐννοοῦντες ἅπαντες, καὶ ἀναλεγόμενοι καθ' ἑκάστην, χάριν εἰδῶμεν διηνεκῶς τῷ Θεῷ, καὶ πάντες κοινῇ δόξαν αὐτῷ ἀναπέμψωμεν, καὶ δοξάζοντες αὐτὸν μὴ διαλιμπάνωμεν, ἵνα τῆς εὐγνωμοσύνης πολλὴν τὴν ἀμοιβὴν κομισώμεθα, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, μεθ' οὗ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ λθ'.

Ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν περὶ τούτου. καὶ οὕτως ὁ Παῦλος ἐξῆλθεν ἐκ μέσου αὐτῶν.

Τί δήποτε πείσαντος οὕτως αὐτοὺς ὡς καὶ εἰπεῖν Ἀθηναίους, ἀκουσόμεθά σου πάλιν περὶ τούτου, καὶ κινδύνων οὐκ ὄντων, ἐπείγεται τὰς Ἀθήνας ἀφεῖναι ὁ Παῦλος; ἴσως ᾔδει οὐ μέγα ὄφελος ὄν. ἄλλως τε, καὶ ὑπὸ τοῦ πνεύματος εἰς Κόρινθον ἤγετο. Τινὲς δὲ ἄνδρες κολληθέντες αὐτῷ, ἐπίστευσαν, ἐν οἷς καὶ Διονύσιος ὁ Ἀρεοπαγίτης, καὶ γυνὴ ὀνόματι Δάμαρις, καὶ ἕτεροι σὺν αὐτοῖς.

Μετὰ δὲ ταῦτα χωρισθεὶς ὁ Παῦλος ἐκ τῶν Ἀθηνῶν, ἦλθεν εἰς Κόρινθον. καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, καὶ Πρίσκιλλαν γυναῖκα αὐτοῦ, διὰ τὸ διατεταχέναι Κλαύδιον χωρίζεσθαι πάντας τοὺς Ἰουδαίους ἐκ τῆς Ῥώμης, προσῆλθεν αὐτοῖς, καὶ διὰ τὸ ὁμότεχνον εἶναι, ἔμενε παρ' αὐτοῖς καὶ εἰργάζετο. ἦσαν γὰρ σκηνοποιοὶ τῇ τέχνῃ. Εἰκότως εἰς Κόρινθον ὡς ἔφην ὑπὸ τοῦ πνεύματος ἤγετο, ἐν ᾗ μένειν ἔδει. οἱ γὰρ Ἀθηναῖοι καίτοι ξένης ὄντες ἀκροάσεως ἐρασταὶ, ὅμως οὐ προσεῖχον. οὐ γὰρ τοῦτο ἐσπούδαζον, ἀλλ' ὥστε ἀεί τι ἔχειν εἰπεῖν· ὅπερ αὐτοὺς καὶ ἀποσχέσθαι ἐποίησεν. Εἰ δὲ τοῦτο ἦν αὐτοῖς ἔθος, πῶς ἐγκαλοῦσιν [ὅτι] ξένων δαιμονίων δοκεῖ καταγγελεὺς εἶναι, ἀλλὰ ταῦτα σφόδρα ἦν ἄπορα. ἀλλ' ὅμως ἔπεισε τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην, καὶ ἑτέρους τινάς. οἱ μὲν γὰρ ἐπιμελεστέρου βίου, ταχέως ἐδέξαντο τὸν λόγον· οἱ δὲ λοιποὶ οὐχ οὕτως. Εἰκότως οὖν ἔχειν ἔδοξε τῷ Παύλῳ τὸ καταβαλεῖν τέως τὰ σπέρματα. τὸ γὰρ πλέον αὐτοῦ τῆς ζωῆς ἐνταῦθα προεκεχωρήκει. ἐπὶ μὲν γὰρ Νέρωνος ἐτελεύτα· ἀπὸ δὲ Κλαυδίου ἀνερριπίζετο λοιπὸν ὁ πρὸς Ἰουδαίους πόλεμος, μακρόθεν μὲν, οὐκ ἀπεικὸς δὲ, ὥστε καὶ οὕτω σωφρονισθῆναι. καὶ ἀπὸ Ῥώμης ὡς λυμεῶνες ἠλαύνοντο. Διὰ τοῦτο οἰκονομεῖται τοῦτον ὡς δέσμιον ἀπαχθῆναι ἐκεῖ, ἵνα μὴ ὡς Ἰουδαῖος ἀπελαύνηται, ἀλλ' ὡς ὑπὸ τῇ τάξει τρέφηται καὶ φυλάττηται ἐκεῖ. καὶ ἔμενε, φησὶ, παρ' αὐτοῖς. Βαβαὶ ποίαν δικαιοσύνην εὗρε συνοικῆσαι; ἐπειδὴ γὰρ ἐνταῦθα μάλιστα ἔδει αὐτὸν μὴ λαβεῖν, καθὼς φησιν· ἵνα ἐν ᾧ καυχῶνται εὑρεθῶσι καθὼς καὶ ἡμεῖς, οἰκονομεῖται αὐτὸν μένειν ἐκεῖ. Διελέγετο δὲ ἐν τῇ συναγωγῇ κατὰ πᾶν σάββατον, ἔπειθέ τε Ἰουδαίους καὶ Ἕλληνας. ὡς δὲ κατῆλθον ἀπὸ τῆς Μακεδονίας ὅ τε Σίλας καὶ ὁ Τιμόθεος, συνείχετο τῷ πνεύματι ὁ Παῦλος διαμαρτυρόμενος τοῖς Ἰουδαίοις τὸν Χριστὸν Ἰησοῦν. τουτέστιν, ἐπηρέαζον αὐτῷ, ἐφίσταντο αὐτῷ. ἀλλ' οἱ μὲν οὕτω· τί δὲ ὁ Παῦλος; ἀφίσταται αὐτῶν, καὶ μετὰ πολλοῦ τοῦ φόβου. οὐκέτι γὰρ ὑμῖν, φησὶν, ἦν ἀναγκαῖον λαληθῆναι τὸν λόγον, ἀλλὰ καὶ αἰνίττεται αὐτούς. Ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἐκτιναξάμενος τὰ ἱμάτια, εἶπε πρὸς αὐτούς· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. καθαρὸς ἐγώ. ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύσομαι. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν τινὸς ὀνόματι Ἰούστου σεβομένου τὸν Θεὸν, οὗ ἡ οἰκία ἦν συνομοροῦσα τῇ συναγωγῇ. Κρίσπος [δὲ] ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, καὶ πολλοὶ τῶν Κορινθίων ἀκούοντες, ἐπίστευον καὶ ἐβαπτίζοντο. Ὅρα πῶς πάλιν εἰπὼν, ἀπὸ τοῦ νῦν, οὐδὲ οὕτως αὐτῶν ἀμελεῖ. ὥστε τοῦ διεγεῖραι ἕνεκεν εἶπε τοῦτο. καὶ λοιπὸν ἦλθε πρὸς Ἰοῦστον, οὗ ἦν ἡ οἰκία ὁμοροῦσα τῇ συναγωγῇ. ἐγειτνίαζεν ὥστε καὶ ζῆλον ἔχειν ἀπὸ τῆς γειτνιάσεως εἴπερ ἤθελον. Κρίσπος δέ, φησιν, ὁ ἀρχισυνάγωγος ἐπίστευσε τῷ Κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. καὶ τοῦτο μάλιστα ἱκανὸν πρὸς τὸ ἐπαγαγέσθαι. Εἶπε δὲ ὁ Κύριος δι' ὁράματος ἐν νυκτὶ τῷ Παύλῳ· μὴ φοβοῦ, ἀλλὰ λάλει, καὶ μὴ σιωπήσῃς, διότι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε, διότι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. Ὅρα διὰ πόσων αὐτὸν πείθει, καὶ πῶς ὃ μάλιστα αὐτὸν ᾑρεῖ, τοῦτο ὕστερον αὐτῷ λέγει· ὅτι λαός ἐστί μοι πολὺς ἐν τῇ πόλει ταύτῃ. Πῶς οὖν συνεπέθεντο αὐτῷ, εἴποι τις ἄν; καὶ μὴν οὐδὲν ἴσχυσαν, ἀλλ' ἤγαγον αὐτὸν μόνον πρὸς τὸν ἀνθύπατον. Ἐκάθισέ τε ἐνιαυτὸν καὶ μῆνας ἕξ, διδάσκων ἐν αὐτοῖς τὸν λόγον τοῦ Θεοῦ. Γαλλίωνος δὲ ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ, καὶ ἤγαγον αὐτὸν ἐπὶ τὸ βῆμα λέγοντες· ὅτι παρὰ τὸν νόμον οὗτος ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι

Judæi autem etiam eorum quæ patribus evenerant, memores semper erant repetentes subinde ea quæ in Ægypto facta sunt. Igitur multò magis nos propria quæ nobis acciderunt, quoties in pericula & angustias incidimus. & si Deus manum non adhibuisset, olim periissemus. Hæc cogitantes omnes & quotidie recensentes nobiscum gratias perpetuas habeamus Deo, & omnes communiter gloriam ei demus, & glorificantes illum ne deficiamus, ut offeremus ei cum gratitudine magnam retributionem, gratia & miserationibus unigeniti Filii ejus, cum quo Patri simul ac sancto Spiritui gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA XXXIX.

Audita autem resurrectione mortuorum, alii quidem irridebant, alii verò dicebant: Audiemus te iterum super hac re. Et sic Paulus exivit de medio eorum.

Cur nam Paulus, quum sic persuaserit, ut & Athenienses dixerint: *Audiemus te iterum super hac re*, quúmque periculo non essent, festinat relinquere Athenienses? Fortassis sciebat se non magnum lucrum facturum. Et aliter: Etiam à spiritu in Corinthum ducebatur. *Quidam verò viri adhærentes ei, crediderunt, in quibus erat Dionysius Areopagita, & mulier nomine Damaris, & alii cum illis.*

Post hæc autem separatus Paulus ab Athenis, venit in Corinthum, & inventa Judæo quodam, cui nomen Aquilas, qui & genere Ponticus erat, nuperque ab Italia venerat, & Priscilla uxore illius, eo quòd præcepisset Claudius separari omnes Judæos à Roma, accessit illos. eo quod ejusdem opificii essent: mansit apud illos, & operatus est. Erat ars illorum texere tabernacula. Cap. XVIII. Meritò in Corinthum à spiritu ducitur, in qua manere oportebat. Athenienses enim quamvis novæ doctrinæ amatores essent, attamen non attendebant, neque enim hoc curabant, sed ut semper haberent novi aliquid quod fabularentur, studebant. Nisi enim hic mos illorum fuisset, non dixissent: *Novorum dæmoniorum annunciator videtur hic esse.* Sup. 17, 18. Sed hæc erant illis admodum obscura. Attamen persuasit *Dionysio Areopagitæ & aliis quibusdam.* Nam illi forsan, utpote vitæ moderatioris, citius acceperunt sermonem, alii verò non item. Igitur verisimile visum est, quod jam seminarium ac fundamentum jecerit. Tum enim potior pars vitæ illius jam processerat. Sub Nerone enim occisus est. A Claudio autem nunc bellum Judæis inferri cœpit, procul adhuc, ut etiam sic castigentur. Etiam à Roma ut scelesti abigebantur. Et hoc dispensatione factum, ut vinctus illuc ducatur, & ne tanquam Judæus expellatur, sed tanquam sub militibus agens illic asservetur. *Et mansit*, inquit, *apud illos.* Papæ, quam justitiam invenit ut cohabitaret? quoniam illic potissimum non oportebat accipere. *Et in quo gloriantur, inveniantur sicut etiam nos.* 2 Cor. 11, 12. *Disputabat autem in synagoga per omne sabbatum, persuasitque Judæis & gentibus. Ut autem descendit à Macedonia Silas ac Timotheus, coarctabatur spiritu Paulus, testificans Judæis, quod Jesus esset Christus*, hoc est, urgebant illum, & illi quidem molesti erant. Quid autem Paulus? Relinquit eos, multúmque terret. Non ulterà, inquit, vobis erit necessarium dici sermonem: hoc tamen obscurius eis loquitur. *Contradicentibus autem illis & blasphema loquentibus, excussis vestimentis, dixit ad illos: Sanguis vester super caput vestrum, Mundus ego: ab hoc tempore ad Gentes vadam. Et digressus inde venit in domum cujusdam nomine Justi, colentis Deum, cujus domus erat contigua Synagogæ. Crispus Synagogæ princeps credidit Domino cum tota domo sua. Et multi Corinthii audientes crediderunt, ac baptizati sunt.* Vide quomodo iterùm licet dicat *ab hoc tempore ad Gentes ibo*, neque sic tamen illos negligit, adeóque illud dixisse videtur, illos excitandi ergò. Et posteà venit ad Justum, *cujus domus synagogæ contigua*, ut etiam sic si vellent ex vicinia zelum haberent. *Crispus autem*, inquit, *princeps synagogæ credidit Domino cum tota domo sua.* Et hoc plurimum faciebat ad illos adducendos. *Dixit autem Dominus per visionem in nocte Paulo: Ne timeas, sed loquere, & ne sileas, eo quòd ego sum tecum, & nullus adorietur te ut affligat te, eo quod est mihi populus magnus in hac civitate.* Vide quot rationibus illi persuadet, & quomodo id quod maximè placebat ei, ultimo loco ponit. Et dices: Quomodo igitur simul aggressi sunt eum? Profectò non prævaluerunt, sed ad proconsulem duntaxat adduxerunt. *Seditque annum & menses sex, docens inter illos sermonem Dei. Cæterum quum Gallio ageret proconsulem Achaiæ: insurrexerunt unanimiter Judæi contra Paulum, & duxerunt illum ad tribunal, dicentes: Quia contra legem hic persuadet hominibus colere Deum.*

Vides quare illi semper publicas accusationes texebant? vide saltem hic. Quum illi dixissent, *quod contra legem persuadet hominibus colere Deum*, nihil horum curæ fuit Proconsuli, sed magis defendit Paulum, & audi quomodo respondet: *Si qua esset injuria, vel quod facinus malum contingens civitatem, ô Judæi, meritò sustinerem vos.* Justus ille homo mihi esse videtur, & manifestum est ex his quæ respondet. *Quum autem Paulus aperturus esset os suum, dixit Gallio ad Judæos: Siquidem esset injuria, vel facinus malum, ô Judæi, meritò sustinerem vos. Si autem quæstio est de sermone & nominibus, & lege vestrate, videritis ipsi. Judex enim ego hujus esse nolo. Et abegit illos à tribunali. Omnes autem Græci apprehensum Sosthenem synagogæ principem verberabant ante tribunal, neq; quicquam eorum Gallioni curæ erat.* Et hinc iterum justitia viri monstratur: nam quum ille verberaretur, non censuit privatam injuriam esse. Adeò impudentes erant Judæi. Videamus autem iterum quæ lecta sunt. *Audita autem resurrectione mortuorum, alii quidem subsannabant, alii verò dixerunt: Audiemus te iterum.* Quàm magna & sublimia audierant? & nec sic attendebant, sed irridebant, resurrectionem

1.Cor.2,14. autem irridebant. *Animalis enim homo non percipit ea quæ sunt spiritus.* *Et ita*, inquit, *exiit Paulus è medio illorum. Ita.* Quomodo? aliis quidem persuasis, aliis verò non credentibus. *Separatus autem ab Athenis*, inquit, *venit in Corinthum. Et invento quodam Judæo, cui nomen Aquilas, qui genere Ponticus nuper venerat ab Italia, mansit apud illos & operabatur.* Vide quomodo lex incipit jam solvi. Judæus enim quum esset, rasus posteà in Cenchreis, in Syriam proficiscitur cum Paulo, neque in Hierusalem, neque in vicina ire festinat, sed valdè procul. Apud illum igitur manet, & non confunditur manere, sed manet: imò propter hoc ipsum manet, quia commodum diversorium nactus erat, & quavis regia magis idoneum. Nec rideas dilecte. Sic enim palæstra pugili magis utilis quàm molles lecti, & militi ferreus gladius magis quàm aureus probatur. Et operabatur prædicans. Erubescamus nos, qui etiam absque prædicatione vivimus otiosè. *Disputabat autem in synagogis per omne sabbatum, persuasitq; Judæis ac Græcis. Contradicentibus autem eis ac blasphema verba dicentibus, discessit.* Hac ratione expectans illos discessit, ut magis attraheret. Quare enim elegit illa relicta migrare in domum synagogæ contiguam, nónne propter hoc? neque enim periculum videbat ibi. *Testificans illis*, inquit, non jam docet, sed testificatur. *Contradicentibus autem illis*, inquit, *excussis vestibus dixit: Sanguis vester super caput vestrum.* Hoc facit, ut non solo verbo, sed etiam opere terreat, & vehementius dixerit, utpote multis persuasis. *Mundus sum*, inquit, *ego. Ab hoc tempore ad gentes ibo.* Igitur & nos rei sumus sanguinis eorum, qui nobis concrediti sunt, negligentes

Gal.6,17. illos. Atque adeo quando dicit: *In posterum negotium mihi nullus facessat.* Non enim sic illos terrebat pœna, ut hoc cruciabat. Et *digressus illinc venit in domum Justi.* Transit volens illis persuadere quod ad gentes festinet. *Crispus autem Archisynagogus credidit*, inquit, *cum omni domo sua.* Vide fideles cum tota domo hoc facere. Hoc autem facto statim & alii multi credentes baptizati sunt. Hunc dicit synagogæ prin-

1.Cor.1,14. cipem, de quo scribens inquit: *Nullum alium baptizavi, nisi Crispum & Cajum.* Opinor autem hunc etiam Sosthenem dici, qui in tantum fidelis fuerit, ut etiam percusserit & Paulo semper affuerit. *Dixit autem Dominus per visionem in nocte Paulo. Ne timeas sed loquere.* Eapropter multo tempore manet illic. Nam persuasit quidem illi & multitudo, & familiaritas Christi amplior. Majus enim periculum fuit posteà etiam pluribus credentibus & synagogæ principe. *Ne timeas*, inquit. Hoc ad excitandum sufficiebat, quia redargutus est timens, vel non redargutus, sed confortatur quasi nihil passurus. Non enim semper illos affligi sinit, ne infirmiores fiant. Nihil enim ita contristabat Paulum atque increduli quasi contradicentes. Hoc etiam periculis eis gravius fuit. Et *ne sileas*, inquit, *eo quod mihi populus multus est in hac civitate.* Fortassis etiam propter hoc illi apparet Christus. *Quum autem Gallio ageret proconsulem Achaiæ, insurrexerunt unanimiter Judæi contra Paulum.* Vide post annum & sex menses aggrediuntur, quando non jam poterant propriis legibus uti. Hoc maximè inflavit Corinthios quod maximè persuadebantur: quia neque princeps sese demittit. Non enim idem erat ex contentione contẽdere, & docere illos: quia neque curæ erant illi negotia. Et considera quàm sapiens ille fuerit. Non enim statim dixit respondens: Non est mihi curæ. Sed quid? *Igitur si qua injustitia, vel quod facinus malum, ô Judæi,*

Θεόν. ὁρᾷς διατί ἐκεῖνοι ἀεὶ δημοσίᾳ ἔπλεκον κατηγορήματα; ὅρα γοῦν ἐνταῦθα. εἰπόντων τούτων, ὅτι παρὰ τὸν νόμον ἀναπείθει τοὺς ἀνθρώπους σέβεσθαι τὸν Θεόν, οὐδὲν τούτων ἠμέλησε τῷ ἀνθυπάτῳ· ἀλλ' ὑπὲρ Παύλου μᾶλλον ἀπολογεῖται· καὶ ἄκουε πῶς ἀποκρίνεται· „εἰ μὲν ἦν τι τῆς πόλεως ἁπτόμενον ἀδίκημα ἢ ῥᾳδιούργημα πονη„ρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν. ἐπιεικής τις ἄνθρωπος οὗτος εἶναί μοι δοκεῖ· καὶ δῆλον ἐξ ὧν ἀποκρίνεται. „Μέλλοντος δὲ τοῦ Παύλου, φησίν, ἀνοίγειν τὸ στόμα, εἶπεν ὁ „Γαλλίων πρὸς τοὺς Ἰουδαίους· εἰ μὲν ἦν ἀδίκημά τι ἢ ῥᾳδιούργη„μα πονηρόν, ὦ Ἰουδαῖοι, κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν. εἰ δὲ ζή„τημά ἐστι περὶ λόγου καὶ ὀνομάτων, καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε „αὐτοί. κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. καὶ ἀπήλασεν αὐτοὺς „ἀπὸ τοῦ βήματος. ἐπιλαβόμενοι δὲ πάντες οἱ Ἕλληνες Σωσθένην „τὸν ἀρχισυνάγωγον ἔτυπτον ἔμπροσθεν τοῦ βήματος· καὶ οὐδὲν τού„των Γαλλίωνι ἔμελε. καὶ ἐντεῦθεν τὸ πάλιν ἐπιεικὲς τοῦ ἀνδρὸς δείκνυται. τυπτομένου γὰρ αὐτοῦ, οὐχ ἡγήσατο ἰδίαν ὕβριν εἶναι. οὕτως ἦσαν ἰταμοὶ οἱ Ἰουδαῖοι. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀνεγνωσμένα. ἀκούσαντες δὲ ἀνάστασιν νεκρῶν, οἱ μὲν ἐχλεύαζον, οἱ δὲ εἶπον· ἀκουσόμεθά σου πάλιν. πόσα μεγάλα, καὶ ὑψηλὰ ἀκούσαντες, οὐδὲ προσεῖχον, ἀλλ' ἐχλεύαζον. τὴν ἀνάστασιν δὲ ἐχλεύαζον· ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. καὶ οὕτω, φησίν, ἐξῆλθεν ὁ Παῦλος ἐκ μέσου αὐτῶν. οὕτω. πῶς; τοὺς μὲν πείσας· ὑπὸ δὲ τῶν γελώμενος. χωρισθεὶς δὲ ἀπὸ Ἀθηνῶν, φησίν, ἦλθεν εἰς Κόρινθον. καὶ εὑρών τινα Ἰουδαῖον ὀνόματι Ἀκύλαν, Ποντικὸν τῷ γένει, προσφάτως ἐληλυθότα ἀπὸ τῆς Ἰταλίας, ἔμενε παρ' αὐτοῖς καὶ εἰργάζετο. ὅρα πῶς ὁ νόμος ἄρχεται καταλύεσθαι λοιπόν. κειράμενος γὰρ Ἰουδαῖος ὢν οὗτος ἐν Κεγχρεαῖς μετὰ ταῦτα, εἰς Συρίαν συναπέρχεται Παύλῳ. Ποντικὸς ὤν, οὐκ ἐν Ἱεροσολύμοις, οὐδὲ πλησίον σπεύδει ἐλθεῖν, ἀλλὰ μακροτέρω. παρ' αὐτῷ γοῦν μένει, καὶ οὐκ αἰσχύνεται μένων· ἀλλὰ καὶ δι' αὐτὸ τοῦτο μένει, ὡς ἐπιτήδειον εὑρὼν καταγώγιον. πολλῷ γὰρ αὐτῷ τῆς βασιλείας ἐπιτηδειότερον ἦν. καὶ μὴ γελάσῃς ἀκούων ἀγαπητέ. καθάπερ γὰρ ἀθλητῇ ἡ παλαίστρα τῶν ἁπαλῶν στρωμάτων μᾶλλον χρήσιμον· οὕτω καὶ τῷ πολεμιστῇ τὸ ξίφος τὸ σιδηροῦν, ἀλλ' οὐ τὸ χρυσοῦν. καὶ εἰργάζετο κηρύττων. αἰσχυνθῶμεν ἡμεῖς, οἱ καὶ χωρὶς τοῦ κηρύττειν ἀργῶς ζῶντες. διελέγετο δὲ ἐν τῇ συναγωγῇ, φησί, κατὰ πᾶν σάββατον ἔπειθέ τε Ἰουδαίους τε καὶ Ἕλληνας. ἀντιτασσομένων δὲ αὐτῶν καὶ βλασφημούντων, ἀπέστη. ταύτῃ προσδοκῶν αὐτοὺς ἕλξειν μᾶλλον ἀφίσταται. διατί γὰρ ἀφεὶς ἐκείνην τὴν οἰκίαν, ἦλθε πλησίον τῆς συναγωγῆς, ἆρ' οὐχὶ διὰ τοῦτο; οὐδὲ γὰρ κίνδυνον ἑώρα ἐνταῦθα. διαμαρτυρόμενος αὐτοῖς, φησίν. οὐκ ἔτι διδάσκει, ἀλλὰ διαμαρτύρεται. ἀντιτασσομένων δὲ αὐτῶν, φησί, [καὶ βλασφημούντων,] ἐκτιναξάμενος τὰ ἱμάτια εἶπε· τὸ αἷμα ὑμῶν ἐπὶ τὴν κεφαλὴν ὑμῶν. τοῦτο ποιεῖ, ὥστε μὴ ῥήματι μόνον, ἀλλὰ καὶ πράγματι φοβῆσαι καὶ σφοδρότερον διαλέγεται, ἅτε καὶ πολλοὺς πεπεικώς. καθαρός εἰμι, φησίν, ἐγώ. ἀπὸ τοῦ νῦν εἰς τὰ ἔθνη πορεύομαι. ἆρα καὶ ἡμεῖς ὑπεύθυνοί ἐσμεν τοῦ αἵματος τῶν ἡμῖν ἐγκεχειρισμένων, ἀμελοῦντες αὐτῶν. ὥστε καὶ ὅταν λέγῃ, τὸ λοιπὸν κόπους μοι μηδεὶς παρεχέτω, φοβῶν, φησίν. οὐ γὰρ οὕτως αὐτοὺς ἐφόβει ἡ τιμωρία, ὡς ἔδακνε τοῦτο. καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς οἰκίαν Ἰούστου. μεταβαίνει βουλόμενος αὐτοὺς πεῖσαι, ὅτι πρὸς τὰ ἔθνη ἠπείγετο. Κρίσπος δὲ ὁ ἀρχισυνάγωγος, φησίν, ἐπίστευσε τῷ κυρίῳ σὺν ὅλῳ τῷ οἴκῳ αὐτοῦ. ὅρα τοὺς πιστοὺς τότε μετὰ τῆς οἰκίας τοῦτο ποιοῦντας ὁλοκλήρου. τούτου δὲ γινομένου, εὐθέως καὶ ἕτεροι πολλοὶ πιστεύσαντες ἐβαπτίσθησαν. οὗτον Κρίσπον λέγει τὸν ἀρχισυνάγωγον. περὶ οὗ, φησί, γράφων οὐδένα ἄλλον ἐβάπτισα, „εἰ μὴ Κρίσπον καὶ Γάϊον. οἶμαι δὲ τοῦτον καὶ Σωσθένην λέγεσθαι, ὃς τοσοῦτον „ἀνὴρ πιστὸς ἦν, ὥστε καὶ τύπτεσθαι καὶ παρεῖναι ἀεὶ τῷ Παύλῳ. μὴ φοβοῦ, ἀλλὰ λάλει. διὰ τοῦτο πολὺν χρόνον μένει ἐκεῖ. ἔπειθε μὲν γὰρ αὐτὸν καὶ τὸ πλῆθος· ἡ δὲ οἰκείωσις τοῦ Χριστοῦ, πλέον. μείζων γὰρ ὁ κίνδυνος ἐγίνετο λοιπὸν καὶ τῶν πλειόνων πιστευόντων, καὶ τοῦ ἀρχισυναγώγου. μὴ φοβοῦ, φησί. τοῦτο ἱκανὸν αὐτὸν διαναστῆσαι, ὅτι ἠλέγχθη μέν, ἀλλ' ὥστε μηδὲ τοῦτο παθεῖν, παραθαρρύνεται. οὐ γὰρ ἀεὶ αὐτοὺς πάσχειν εἴα κακῶς, ὥστε μὴ ἀσθενεστέρους γενέσθαι· οὐδὲν δὲ οὕτως ἔλυπε τὸν Παῦλον, ὡς οἱ ἀπειθοῦντες, ὡς οἱ ἀντιτασσόμενοι. τοῦτο καὶ τῶν κινδύνων αὐτῷ χαλεπώτερον ἦν. καὶ μὴ σιωπήσῃς, φησί, διότι λαός πολύς ἐστί μοι ἐν τῇ πόλει ταύτῃ. τάχα διὰ τοῦτο αὐτῷ καὶ φαίνεται ὁ Χριστός. Γαλλίωνος δέ, φησιν, ἀνθυπατεύοντος τῆς Ἀχαΐας, κατεπέστησαν ὁμοθυμαδὸν οἱ Ἰουδαῖοι τῷ Παύλῳ. ὅρα, μετὰ τὸν ἐνιαυτὸν καὶ τοὺς ἓξ μῆνας ἐπιτίθενται, ὅτε οὐκ ἔτι ἴσχυον νόμοις χρῆσθαι ἰδίοις. τοῦτο μάλιστα ἐπῆρε Κορινθίους, τὸ μάλιστα πεισθῆναι, ὅτι οὐδὲ καθῆκεν ἑαυτὸν ὁ ἄρχων. οὐ γὰρ ἴσον ἐξ ἀντιλογίας νικῆσαι, καὶ μαθεῖν ἐκείνους ὅτι οὐδὲν μέλει αὐτῷ τὰ τοῦ πράγματος. καὶ σκόπει ἐκεῖνος πῶς ἦν συνετός. οὐ γὰρ εἶπεν εὐθέως ἀποκρινόμενος, οὐ μέλει μοι· ἀλλὰ τί; εἰ μὲν ἦν τι ἀδίκημα ἢ ῥᾳδιούργημα πονηρόν, ὦ Ἰουδαῖοι.

κατὰ λόγον ἂν ἠνεσχόμην ὑμῶν· εἰ δὲ ζήτημά ἐστι περὶ λόγου καὶ ὀνομάτων, καὶ νόμου τοῦ καθ' ὑμᾶς, ὄψεσθε αὐτοί· κριτὴς γὰρ ἐγὼ τούτων οὐ βούλομαι εἶναι. ἀπήλασεν αὐτοὺς τοῦ δικαστηρίου. λαμπρὰ γέγονεν ἡ νίκη. ἐπιλαβόμενοι δὲ Σωσθένην τὸν ἀρχισυνάγωγον, ἔτυπτον ἔμπροσθεν τοῦ βήματος, καὶ οὐδὲν τούτων τῷ Γαλλίωνι ἔμελεν. ὢ τῆς αἰσχύνης, ἣν ᾐσχύνθησαν. καὶ οὐδὲν τούτων, φησὶ, τῷ Γαλλίωνι ἔμελε. καίτοι ὡς τὴν ἑαυτοῦ ὕβριν τὸ πᾶν ἦν. ἀλλ' ὡς δῆθεν ἐξουσίαν λαβόντες αὐτοὶ τύπτουσιν, ἔργον ἀκρίτου θυμοῦ διὰ τῆς αἰσχύνης ποιοῦντες. καὶ διατί μὴ ἐκεῖνος ἀντετύπτησε· καίτοι καὶ αὐτὸς ἐξουσίαν εἶχεν; ἀλλ' ἐπαιδεύοντο φιλοσοφεῖν, οὐκ ἀντιτύπτειν δὲ, ὥστε καὶ τὸν δικαστὴν μαθεῖν, τίς ἦν ὁ ἐπιεικέστερος. οὐ μικρὰ τοῦτο ὤνησε τοὺς παρόντας. ἐδίδαξε γὰρ ἥ τε τούτων ἐπιείκεια καὶ ἡ ἐκείνων θρασύτης, ὅτι τὰ τοιαῦτα δικαστικῆς ψήφου δεῖται. ἀλλ' οὗτοι πάντα ἀτάκτως ποιοῦσι. καὶ οὐκ εἶπεν, οὐ δεῖ, ἵνα μὴ πάλιν κόπτωσιν αὐτόν· ἀλλ' οὐ θέλω. κριτὴς γάρ, φησιν, ἐγὼ τούτων εἶναι οὐ βούλομαι· οὕτως ἐπιεικὴς ἦν ὁ ἀνήρ. τοῦτο καὶ Πιλάτος ἔλεγεν ἐπὶ τοῦ Χριστοῦ· λάβετε αὐτὸν ὑμεῖς καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε. ὁ μὲν κατὰ τὸν νόμον ἠξίου κρίνειν αὐτούς· οἱ δὲ, ὥσπερ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι οὕτω διέκειντο. διὰ τοῦτο ἐχωρίζετο τῶν Ἀθηνῶν, ἐπειδὴ λαὸς ἦν πολύς. ἐτύπτετο, καὶ οὐδὲν ἔλεγε. τοῦτον καὶ ἡμεῖς μιμησώμεθα. ἀντιτυπήσωμεν τοὺς τύπτοντας τῇ ἐπιεικείᾳ, τῇ σιγῇ, τῇ μακροθυμίᾳ. χαλεπώτερα ταῦτα τὰ τραύματα· μείζων ἡ πληγὴ καὶ φορτικωτέρα. οὐ γὰρ τὸ πλῆξαι τὸ σῶμα, ἀλλὰ τὸ τὴν διάνοιαν, χαλεπόν. πολλοὺς πλήττομεν· ἀλλ' ἐπειδὴ ἐν τάξει φιλίας, καὶ ἥδονται. ἂν δὲ τὸν τυχόντα πλήξῃς ὑβριστικῶς, ἐπειδὴ τῆς καρδίας ἥψω, σφόδρα ἐλύπησας. οὕτω μᾶλλον τὴν καρδίαν αὐτῶν πλήττομεν. ὅτι δὲ μειζόνως ἐπιείκεια πλήττει θρασύτητος, φέρε ἀποδείξωμεν ὡς δυνατὸν τῷ λόγῳ. ἡ μὲν γὰρ σαφὴς ἀπόδειξις, διὰ τῶν ἔργων καὶ τῆς πείρας ἐστίν. εἰ δὲ δοκεῖ, καὶ τῷ λόγῳ τὴν ἐξέτασιν ποιησώμεθα· καίτοι πολλάκις καὶ ἤδη ἐποιησάμεθα. ἐν γὰρ ταῖς ὕβρεσιν οὐδὲν οὕτως ὑμᾶς λυπεῖ, ὡς ἡ παρὰ τῶν ὁρώντων ψῆφος. οὐ γὰρ ἴσον δημοσίᾳ τὸ ὑβρίζεσθαι καὶ ἰδίᾳ· ἀλλ' ἐκείνας μὲν καὶ φέρομεν εὐκόλως τὰς ὕβρεις, ὅταν ἐπ' ἐρημίας, ὅταν μηδενὸς ὄντος τοῦ μαρτυροῦντος τοῦτο πάθωμεν, μηδὲ τοῦ συνειδότος. οὕτως οὐχ ἡ τῆς ὕβρεως φύσις ἐστὶν ἡ δάκνουσα, ἀλλὰ τὸ ἐπὶ πάντων τοῦτο παθεῖν, ὡς εἴ γέ τις τιμῶν ἐπὶ πάντων, ὑβρίζοι κατ' ἰδίαν, καὶ χάριν εἰσόμεθα. οὐκοῦν οὐκ ἐν τῇ τῆς ὕβρεως φύσει τὸ λυπηρόν ἐστιν, ἀλλ' ἐν τῇ ψήφῳ τῶν ὁρώντων, ὥστε μὴ δόξαι εὐκαταφρόνητον εἶναι. τί οὖν, ἂν αὕτη ὑπὲρ ἡμῶν ᾖ; οὐχὶ μᾶλλον ὁ ὑβρίζων ὕβρισται, ὅταν ὑπὲρ ἡμῶν τὰς ψήφους φέρωσιν; εἰπέ μοι· τίνος καταφρονοῦσιν οἱ παρόντες; τοῦ ὑβρίζοντος, ἢ τοῦ ὑβρισθέντος καὶ σιγῶντος; ὁ μὲν γὰρ θυμὸς ὑποβάλλει ὅσα τοῦ ὑβριζομένου· νῦν δὲ ὅτε καθαροὶ τοῦ πάθους ἐσμὲν, ἴδωμεν ἵνα μὴ τότε συναρπασθῶμεν. τίνος οὖν καταγινώσκομεν ἅπαντες; εὔδηλον ὅτι τοῦ ὑβρίζοντος. κἂν μὲν ἐλάττων ᾖ, καὶ μαίνεσθαι αὐτὸν φήσομεν· ἂν δὲ ὁμότιμος, ἀνοηταίνειν· ἂν δὲ μείζων, οὐδὲ οὕτως ἀποδεξόμεθα. τίς γὰρ, εἰπέ μοι, ἀποδοχῆς ἄξιος; ὁ σαλευόμενος· ὁ χειμαζόμενος· ὁ ἐκθηριούμενος· ὁ πρὸς τὴν κοινὴν φύσιν οὕτω διακείμενος· ἢ ὁ ἐν γαλήνῃ καὶ λιμένι, καὶ φιλοσοφίᾳ πολλῇ; οὐχ ὁ μὲν ἀγγέλῳ προσέοικεν· ὁ δὲ οὐδὲ ἀνθρώπῳ; ὁ μὲν γὰρ οὐδὲ τὰ οἰκεῖα δύναται βαστάσαι κακά· ἐκεῖνος δὲ καὶ τὰ ἀλλότρια. οὗτος [οὐ] δὲ ἑαυτὸν ἐνεγκεῖν ἐδυνήθη· ἐκεῖνος δὲ καὶ ἕτερον. ὁ μὲν ἐν ναυαγίῳ ἐστίν· οὗτος δὲ ἐν ἀσφαλείᾳ πλεῖ, ἐξουρίων αὐτῷ τῆς νηὸς φερομένης. οὐ γὰρ εἴασε τὸ τοῦ θυμοῦ πνεῦμα τοῖς ἱστίοις ἐμπεσὸν, ἀνατρέψαι τῆς διανοίας τὸ σκάφος· ἀλλὰ λεπτή τις αὔρα καὶ ἡδεῖα προσπνεύσασα τῆς ἀνεξικακίας ἡ πνοὴ, μετὰ πολλῆς αὐτὸν τῆς ἡσυχίας ἐπὶ τὸν τῆς φιλοσοφίας ἄγει λιμένα. καὶ καθάπερ ἐν πλοίῳ ναυαγοῦντι οἱ ναῦται οὐκ ἴσασιν ἃ ῥίπτουσιν, ἄν τε τῶν οἰκείων, ἄν τε τῶν ἀλλοτρίων λάβωσι παρακαταθήκας, ἀλλὰ πάντων ὁμοίως ἐκβάλλουσι τῶν ἐγκειμένων, τῶν τε τιμίων τῶν τε οὐ τοιούτων· ἐπειδὰν δὲ ὁ χειμὼν παύσηται, τότε ἀναλογιζόμενοι ὅσα ἐξέβαλον δακρύουσι, καὶ τῆς γαλήνης οὐκ αἰσθάνονται διὰ τὴν ζημίαν τῆς ἐκβολῆς· οὕτω δὴ καὶ ἐνταῦθα, ὅταν ὁ θυμὸς πνεύσῃ, καὶ ὁ χειμὼν αἴρηται, οὐκ ἴσασιν ἐν τάξει ἐκβάλλειν τὰ δέοντα· ὅταν δὲ παύσηται ὁ θυμὸς, τότε ἀναλογιζόμενοι ποῖα ἐξέβαλον, ἐννοοῦσι τὴν ζημίαν, καὶ οὐκ αἰσθάνονται τῆς ἀναπαύσεως, τῶν ῥημάτων μεμνημένοι δι' ὧν κατῄσχυναν ἑαυτούς, καὶ τὰ μέγιστα ἐζημιώθησαν, οὐ περὶ χρήματα, ἀλλὰ περὶ δόξαν ἐπιεικείας καὶ πραότητος. οὕτως σκότος ἐστὶν ὁ θυμός· εἶπεν ἄφρων, φησὶν ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός. τάχα καὶ περὶ τοῦ θυμουμένου τοῦτο εἴποι τις εὔκαιρον, ὅτι εἶπεν ὁ θυμούμενος οὐκ ἔστι Θεός. κατὰ γὰρ τὸ πλῆθος, φησὶ, τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. ὃς γὰρ ἂν ἐπεισέλθῃ λογισμὸς εὐσεβὴς, πάντας διωθεῖται καὶ διαρρίπτεται, πάντας πονηροὺς λογισμούς. εἰ μὴ σὺ μᾶλλον ἀλγεῖς

A meritò *sustinerem vos. Si autem quæstio est de sermone & nominibus, déque lege vestrate, vos videritis. Judex enim horum ego nolim esse. Separavit illos a tribunali.* Clara facta est victoria. *Apprehensum autem Sosthenem synagogæ principem percutiebant coram tribunali: Et nihil horum Gallioni curæ erat.* O confusionem qua confusi sunt. *Et nihil horum*, inquit, *Gallioni cura erat*, quamvis hoc totum in ipsius contumeliam fuerit? sed qua inde potestate accepta percutiunt B ipsi facientes indiscreti furoris per confusionem opus. Et quare ille non repercussit, quum & ipse potestatem habuerit, sed docebantur modestè & patienter vivere, & non referire, ut & judex discat quis sit mansuetior. Non parum hoc profuit præsentibus. Docuit enim horum æquitas, & illorum temeritas, quod talia judiciariam sententiam postulant. At hi omnia citra ordinem faciunt. Et non dixit: Non oportet, ne percutiant illum, sed *nolim. Judex enim horum*, inquit, C *ego esse nolim.* Adeò æquus erat vir. Hoc & Pilatus dicebat de Christo: *Accipite illum vos, & juxta legem vestram judicate.* Ille quidem secundum legem volebat judicare eos: ipsi autem quasi ebrii & insanientes affecti erant. Propter hoc digressus est ab Athenis, quoniam populus multus erat illic. Verberabatur, & nihil dicebat. Hunc & nos imitemur. Referiamus percutientes mansuetudine, silentio, longanimitate. Difficiliora sunt hæc vulnera. Major plaga & onerosior. D Gravius enim est percutere animam quàm corpus. Multos percutimus, sed ut amici, & delectantur: sed quem percusseris cum contumelia, quoniam cor tetigisti, valde contristasti. Ita magis cor illorum percutimus. Quòd autem lenitas magis verberet quàm temeritas, agè demonstremus quantum possibile est sermone. Manifesta enim demonstratio per opera & experientiam est. Si autem videtur etiam sermone examen faciemus, quamvis sæpius etiam fecerimus. In con- E tumeliis nihil ita nos contristat, ut eorum qui nos vident sententia. Non enim æquale est publicè contumelia aspergi & privatim, sed illas quidem privatas contumelias facilè ferimus, quando in solitudine, quando nemo conscius, & sine teste hoc patimur. Ut siquidem quis honoret coram omnibus, contumelia afficiat privatim, etiam gratias habebimus. Itaque quod triste, non ex natura contumeliæ, sed in sententia spectantium, ut ita non videatur contemptibilis esse. Quid igitur, A si hæc pro nobis sit? nónne qui contumelia afficit, ignominiosus fit, quando pro nobis sententias fert? Utrum contemnunt præsentes, eum qui contumelia afficit, an eum qui contumelia afficitur, & silet? Furor enim suggerit quicquid in eo qui contumeliis afficitur, desideratur: nunc autem quando puri ab affectione sumus, sciamus, ne tunc simul rapiamur. Utrum igitur condemnamus omnes? manifestum quod eum qui contumelia afficit: & si minor quidem sit, insanire illum B dicemus: sin par honore, desipere: si autem major, neque approbabimus. Utet enim approbatione dignior, is ne qui tempestatibus agitur, in turbulentia versatur, exasperatus erga communem naturam sic afficitur, vel qui in tranquillitate & portu, ac bona animi constitutione sibi imperat? Nónne hic quidem Angelo, ille verò nec homini similis est: & ille neque propria mala ferre potest, hic etiam aliena: hic seipsum ferre non potuit, ille & alium: ille naufragatur, hic securus navi- C gat, nave ejus secundis ventis fruente. Non enim in vela sua irruere furoris spiritum permisit, qui mentis navem subvertat, sed afflantur illa à tenui blandáque aura, quæ est patientiæ spiratio, ipsum ad philosophiæ cursum cum magno silentio ducens. Et sicut nautæ in naufragio nesciunt quæ abjiciunt, si à suis & ab alienis deposita receperint, sed omnia quæ posita in nave similiter ejiciunt, tam preciosa, quàm non preciosa: Ubi autem cessarit tempestas, tunc cogitantes quanta eje- D cerint, lachrymantur, & propter jacturæ damnum serenitate non gaudent: ita & hic, quando ira spirat, excitatúrque animi tempestas, nesciunt quæ suo ordine ejicere debeant: ubi verò ira cessaverit, tunc cogitantes qualia effutiverint, considerant damnum, & quietem non sentiunt, memores verborum, ex his per quæ confuderunt seipsos, damnúmque maximum passi sunt, non in pecunia, sed in existimatione mansuetudinis ac humanitatis. Profectò ira tenebrosa est. *Dixit enim insipiens* Psal. 13, 1 E *in corde suo, non est Deus.* Forsan & de eo qui ita exasperatur hoc dicere tempestivè poterit quis. Dixit iratus, non est Deus: nam *ob multitudinem iram suam illum non quærit.* Pia enim cogitatio in- Psal. 9, 25 gressa, omnes repellit & abjicit sinistras. An non tu magis doles,

Joh. 18, 31

quam

quam is qui contumelia afficitur? Contumelia proscinde alium, qui nihil improperat, an non conscientiæ tribunal te propter multa flagellabit? Quando enim audis quod is qui contumelia afficitur, nullum malum verbum loquutus est: nónne hac ratione tu magis doles? Dic oro, quomodo mansuetum, humilem, & æquum innumeris perpluere conviciis ausus es? Hæc subinde dicimus, sed non videmus eos qui id opere præstent. Homo enim quum sis, hominem contumelia afficis, servus conservum? Sed quid hoc admiror, quandoquidem multi sunt qui & Deum contumelia afficiunt. Hæc vobis qui contumelia afficimini, consolatio est. Contumelia afficimini, contumelia afficitur & Deus: exprobramini, exprobratur & Deus: conspuimini, sanè nobiscum communicavit etiam Dominus noster. Nunquam autem contumelia affecit, neque injustè egit. Et ita nos sumus qui communicamus Christo, non vos. Ferre enim eum qui contumelia afficit, Dei est: contumelia autem afficere immeritum, dæmonibus congruit. Videte duas partes, *dæmonium habet*, dictum est Christo. *Alapa cæsus est à servo principis sacerdotum.* Itaque qui contumelia afficiunt, cum illis stant. Meritò. Nam si Petrus & *satanas* dictus est propter unum verbum, multò magis hi Judæi dicentur, si eadem quæ Judæi faciunt. Sicut & illi *diaboli filii, quoniam opera diaboli operabantur.* Contumelia afficis. Quis existens, dic oro, imò propter hoc contumelia afficis, quoniam nihil es. Nullus enim qui homo est contumelia afficit. Atque ita quod in bellis dicitur: Tu quis es, è diverso oportebat dici: Contumelia affice. Nihil enim es. Et nunc dicentibus vobis, quasi aliquis sis, contumelia afficis, quasi melior te sit, per omnia auditur, quamvis contrarium dicendum erat. At quoniam nos malè rogamus, propter hoc & illi malè respondent, atque adeò nos authores sumus, quasi magnorum virorum sit contumelia afficere, sic dicimus, quis tu qui contumelia afficis: Idcirco & illi sic respondent. Contrarium dicere oportebat, contumelia afficis? contumelia affice, nullus enim es. Ad eos autem qui contumelia non afficiunt: Quis es tu, dicere oportebat, qui contumelia non afficis? Transgressus es humanam naturam. Hoc esset nobilitas, libertas, nihil illiberale loqui, etiam de eo qui meretur asperius tractari. Dic autem oro, quot sunt qui non indigni ut occidantur? Attamen per se judex hoc non facit. Si autem judex non dignatur per se loqui homini malo, sed per præconem quendam hoc agit: molto magis nos eos qui in pari honore sunt, contumelia afficere non oportet. Non enim contumelia afficiendo illis meliores sumus: ut si doceamur, quod ipsos nos contumelia afficimus. Itaque malos propter hoc non oportet contumelia afficere: bonos autem etiam aliam ob causam, quia non merentur: & tertia, quia non decet esse contumeliosum. Nunc autem vide quæ fiant. Homo contumelia afficitur & irritatur: est etiam homo qui irritat, & sunt spectantes homines. Quid igitur? Oportebat bestias in medium producere & dissolvi. Hoc enim officium erat. Quando enim qui oblectantur injustitia, homines essent, bestias reconciliari curarent. Igitur sicut Dominis pugnantibus in domo, servorum fuerit illos conciliare. Hoc enim rei natura petit, licet hac ratione facilè non fiat: ita & hoc loco contumelia afficis. Meritò. Neque enim homo es. Ea propter magnum aliquid videtur esse contumelia, & videtur magnis congruere. Servis autem magis congruit, sicut benè loqui liberos decet. Sicut enim malè facere illorum est, ita & bene facere horum. Contumelia est ancilla fur, quæ clàm ea quæ sunt Dominæ surripit? & quasi dicat quis, sicut fur qui ob hoc unum venit, ut ubique sublegat, circumspicit ut ubique aliquid exportet. Forsan & alio quopiam exemplo depingemus: Quemadmodum si quis vasa immunda furetur è domo, & ea coram omnibus educat, non confundunt furtum sublata in tantum, quantum ipse seipsum: ita & accidit conviciatori. Ejectis enim coram omnibus immundis verbis, non alios confundit, sed seipsum per verba, productis talibus, & coinquinata ipsius tum lingua, tum mente. Idem enim fit, quando cum malis pugnamus, ac si quis sterquilinio obvolutum percutiat, qui dimissis in lotum manibus suis, dum illum ferire studet, sese coinquinat. Hæc sanè, oro, omnia cogitantes, fugiamus damnum quod inde oritur, & modestam habeamus linguam, ut puri existentes ab omni contumelia, possimus præsentem vitam diligenter perficere, & bona diligentibus Deum promissa assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritui sancto, gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

Joh. 8,48. Ibid 18,22. Matth. 16,23. Joh. 8,44.

A τοῦ ὑβρισθέντος, ὑβρίζει· κἂν μηδεὶς ὁ ἐγκαλῶν εἰ μὴ τὸ τοῦ συνειδότος δικαστήριον ἱδρυμένον σε λαβὸν μαστίζῃ μυρία· ὅταν ἂν ἀκούσῃς ὅτι ὁ ὑβριζόμενος οὐδὲν ἐξέβαλε ῥῆμα πικρόν, οὐχὶ ταύτῃ μᾶλλον ἀλγεῖς; εἰπέ μοι, πῶς ἄνθρωπον πρᾶον καὶ ταπεινόν, καὶ ἐπιεικῆ μυρίαις ἐπαντλεῖς λοιδορίαις; ταῦτα λέγομεν συνεχῶς, οὐχ ὁρῶμεν δὲ ἐπιδεικνυμένους διὰ τῶν ἔργων. ἄνθρωπος ὢν ἄνθρωπον ὑβρίζεις; δοῦλος ὢν, τὸν ὁμόδουλον; ἀλλὰ τί τοῦτο θαυμάζω, ὅπου γε καὶ
B Θεὸν ὑβρίζουσι πολλοί; τοῦτο πρὸς ὑμᾶς ἔστω παραμυθία τοὺς ὑβριζομένους. ὑβρίζεσθε; ὑβρίζεται καὶ Θεός. ὀνειδίζεσθε; ὀνειδίζεται καὶ Θεός· διαπτύεσθε; καὶ γὰρ [καὶ] ὁ δεσπότης ὁ ἡμέτερος. ἐν μὲν οὖν τούτοις ἡμῖν κοινωνεῖ· ἐν δὲ τοῖς ἐναντίοις οὐκ ἔτι. οὐ γὰρ ὕβρισεν ἀδίκως ποτὲ μὴ γένοιτο· οὐδὲ ὠνείδισεν ἁπλῶς, οὐδὲ ἠδίκησεν. ὥστε ἡμεῖς ἐσμεν οἱ κοινωνοῦντες, οὐχ ὑμεῖς. τὸ μὲν γὰρ ὑβριζόμενον φέρειν, θεῖον· τὸ δὲ ὑβρίζειν ἁπλῶς, δαιμόνιον. ἴδετε τὰς δύο μερίδας. δαιμό-
C νιον ἔχεις, ἤκουσεν ὁ Χριστός· ἐρραπίσθη ἀπὸ τοῦ δούλου τοῦ ἀρχιερέως. οἱ ὑβρίζοντες τοίνυν ἀδίκως, μετ' ἐκείνων ἑστήκασιν. εἰκότως. εἰ γὰρ ὁ Πέτρος καὶ Σατανᾶς ἤκουσε δι' ἓν ῥῆμα, πολλῷ μᾶλλον οὗτοι Ἰουδαῖοι ἀκούσονται, ὅταν τὰ Ἰουδαίων ποιῶσιν· ὥσπερ κἀκεῖνοι διαβόλου τέκνα, ἐπειδὴ τὰ τοῦ διαβόλου εἰργάζοντο. ὑβρίζεις, τίς ὤν, εἰπέ μοι; μᾶλλον δὲ διὰ τοῦτο ὑβρίζεις, ἐπειδὴ οὐδὲν εἶ. οὐδεὶς γὰρ ἄνθρωπος ὢν ὑβρίζει. ὥστε ὃ λέγεται ἐν ταῖς μάχαις, σὺ τίς εἶ, ἐξ ἐναν-
D τίας ἔδει λέγεσθαι· οἷον ὑβρίζεις; λέγειν ἐχρῆν, οὐδὲν γὰρ εἶ. νῦν δὲ λεγόντων ἡμῶν, σὺ τίς ὑβρίζεις; ὡς βελτίων σὺ διὰ πάντων ἀκούει ἐστί, καίτοι τὸ ἐναντίον ἔδει λέγειν· ἀλλ' ἐπειδὴ ἡμεῖς κακῶς ἐρωτῶμεν, διὰ τοῦτο κἀκεῖνοι κακῶς ἀποκρίνονται. ὥστε ἡμεῖς αἴτιοι. ὡς μεγάλων γὰρ ἀνδρῶν ὄντων τῶν ὑβριζόντων, οὕτω λέγομεν, σὺ τίς ὑβρίζεις; διὰ τοῦτο κἀκεῖνοι οὕτως ἀποκρίνονται. τοὐναντίον δὲ ἐχρῆν λέγειν ὑβρίζεις; ὑβρίζε· οὐδεὶς γάρ εἶ. … δὲ τοὺς οὐχ ὑβρίζοντας, τοῦτο μᾶλλον ἔδει λέ-
E γεσθαι· σὺ τίς οὐχ ὑβρίζεις; ὑπερέβης τὴν ἀνθρωπίνην φύσιν· τοῦτο εὐγένεια· τοῦτο ἐλευθερία, μηδὲν ἀνελεύθερον φθέγξασθαι, κἂν ἄξιος ᾖ τις ἀκούειν. εἰπὲ δή μοι, πόσοι οὐκ ἄξιοί εἰσιν ἀναιρεθῆναι; ἀλλ' ὅμως οὐ ποιεῖ τοῦτο δι' ἑαυτοῦ ὁ δικαστής, ἀλλ' ἐρωτᾷ· καὶ οὐδὲ τοῦτο δι' ἑαυτοῦ. εἰ δὲ διαλέγεσθαι ἀνθρώπῳ πονηρῷ οὐκ ἀνέχεται δικάζοντα, ἀλλὰ μέσῳ τινὶ κέχρηται, πολλῷ μᾶλλον ἡμᾶς τοὺς ὁμοτίμους ὑβρίζειν οὐ χρή. οὐ γὰρ οὕτω τῷ ὑβρίσαι πλεονεκτήσομεν αὐτῶν, ὡς τῷ διδαχθῆ-
A ναι ὅτι ὑβρίσαμεν ἑαυτούς. τοὺς μὲν οὖν πονηρούς, διὰ τοῦτο οὐχ ὑβρίζειν χρή· τοὺς δὲ ἀγαθούς, καὶ δι' ἕτερον, ὡς οὐκ ἄξιοι· καὶ τρίτον, ὅτι ὑβριστὴν εἶναι οὐ χρή. νῦν δὲ ὅρα τί γίνεται. ὑβρίζεται καὶ ἐρεθίζεται ἄνθρωπος, καὶ ὁ ἐρεθίζων ἄνθρωπος, καὶ οἱ θεωροῦντες ἄνθρωποι. τί οὖν; τὰ θηρία δεῖ εἰς μέσον ἐλθεῖν καὶ διαλῦσαι; τοῦτο γὰρ λείπεται. ὅταν γὰρ οἱ τερπόμενοι τῇ ἀδικίᾳ ἄνθρωποι ὦσι, τοῖς θηρίοις ἡ καταλλαγὴ λείπεται. ὥσπερ οὖν δεσποτῶν μαχομένων ἐν οἰ-
B κίᾳ, λείπεται τοὺς οἰκέτας καταλλάττειν. τοῦτο γὰρ ἡ τοῦ πράγματος φύσις ἀπαιτεῖ, εἰ καὶ ταύτῃ τάχα μὴ γίνεται. οὕτω καὶ ἐνταῦθα. ὑβρίζεις εἰκότως. οὐδὲ γὰρ ἄνθρωπος εἶ. διὰ τοῦτο ἔδοξε μέγα εἶναι ἡ ὕβρις, καὶ ἔδοξε τοῖς μεγάλοις προσήκειν. τὸ δὲ ἀνδραπόδοις μᾶλλον προσήκει. ὥσπερ τὸ εὐφημεῖν ἐλευθέροις ἐμπρέπει. ὥσπερ γὰρ τὸ κακῶς ποιεῖν ἐκείνων· οὕτω τὸ κακῶς πάσχειν τούτων. ἐὰν ᾖ κλέπτρια δούλη τὰ τοῦ δεσπότου λαθραίως ὑφαιροῦσα, τοιοῦτόν τι
C ἐστὶ καὶ ἡ ὕβρις. καὶ ὡς ἂν εἴποι τις, καθάπερ ὁ κλέπτης ἀπὸ τοῦ εἰσιέναι, πανταχοῦ περιβλέπεται ὑφελέσθαι τι ἀσπάζων· οὕτω καὶ οὗτος πάντα περισκοπεῖ, ἐκβάλλειν τι βουλόμενος· τάχα ἑτέρῳ τινὶ παραδείγματι αὐτὸν διαγράψομεν. ὥσπερ οὖν εἴ τις σκεύη ἀκάθαρτα κλέπτων ἐξ οἰκίας καὶ ἐξάγων πάντων ἔμπροσθεν, οὐχὶ τὰ ὑφαιρεθέντα ᾔσχυνε τοσοῦτον, ὅσον αὐτὸς ἑαυτόν· ταῦτα ὑφελόμενος καὶ ἐξάγων· οὕτω δὴ καὶ οὗτος ἐκβάλλων ἔμπροσθεν πάντων ἀκάθαρτα ῥήματα, οὐχὶ ἑτέρους ᾔσχυνεν, ἀλλ' ἑαυτὸν διὰ τῶν ῥημάτων προσα-
D γαγὼν τοιαῦτα καὶ καταρρυπάνας αὐτοῦ καὶ τὴν γλῶτταν, καὶ τὴν διάνοιαν. ταῦτα γὰρ γίνεται, ὅταν πρὸς τοὺς πονηροὺς μαχώμεθα. ὥσπερ ἂν εἴ τις ἄνθρωπον τὸν ἐν σηπεδόνι ὄντα, ὥσπερ τοῦ πλῆξαι μολύνῃ ἑαυτὸν καθεὶς ἑαυτοῦ τὰς χεῖρας εἰς τὸν βόρβορον. ταῦτα δὴ παρακαλῶ πάντα ἀναλογιζόμενοι, φύγωμεν τὴν ἐντεῦθεν βλάβην, καὶ εὔφημον ἔχωμεν γλῶτταν, ἵνα καθαρεύοντες πάσης ὕβρεως, δυνηθῶμεν μετ' ἀκριβείας τὸν παρόντα βίον διανύσαι, καὶ τῶν
E ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

ΟΜΙΛΙΑ μʹ.

Ο δὲ Παῦλος ἔτι προσμείνας ἡμέρας ἱκανὰς τοῖς ἀδελφοῖς, ἀποταξάμενος ἐξέπλει εἰς τὴν Συρίαν, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, κειράμενος τὴν κεφαλὴν ἐν Κεγχρεαῖς. εἶχε γὰρ εὐχήν.

ΟΡΑ πῶς ὁ νόμος καταλύεται. ὅρα πῶς τῷ συνειδότι κατείχοντο. ἔστι Ἰουδαϊκὸν ἦν τὸ κείρασθαι τὰς κεφαλὰς κατ' εὐχήν. πλὴν ἔδει καὶ θυσίαν γενέσθαι, ἥτις οὐκ ἐγένετο μετὰ τὸ τυπτηθῆναι τὸν Σωσθένην. ἔδει ἀπελθεῖν αὐτὸν, διὸ καὶ ἐπείγεται. καὶ παρακαλούμενος μεῖναι παρ' αὐτοῖς ἐν Ἐφέσῳ, οὐκ ἀνέχεται. τίνος οὖν ἕνεκεν πάλιν τὴν Ἀντιόχειαν καταλαμβάνει; ἀναβὰς γάρ, φησι, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν κατέβη εἰς Ἀντιόχειαν. ἐπιθυμίαν εἶχε τῆς πόλεως πάθος τι ἀνθρώπινον πρὸς αὐτήν. ἐνταῦθα γὰρ ἐχρημάτισαν οἱ μαθηταὶ καλεῖσθαι Χριστιανοί· ἐνταῦθα παρεδόθη τῇ χάριτι τοῦ Θεοῦ· ἐνταῦθα λύουσι πράγματα τὰ κατὰ τὸ δόγμα. καὶ ὁ μὲν εἰς Συρίαν ἐξέπλει· τούτους δὲ ἀφῆκεν εἰς Ἔφεσον, εἰκότως, ὡς διδάξοντας. τοσοῦτον αὐτῷ συγγενόμενοι χρόνον, πολλὰ ἔμαθον· καὶ ὅμως τῆς συνηθείας αὐτοὺς οὐκ ἀπήγαγεν οὐδέπω τῆς Ἰουδαϊκῆς. ἰδοὺ καὶ γυνὴ τὸ ἴσον ἀνδράσι ποιοῦσα καὶ διδάσκουσα. διὰ τοῦτο ἐκωλύετο εἰς τὴν Ἀσίαν ἐλθεῖν, πρὸς τὰ κατεπείγοντα οἶμαι ἐλαυνόμενος. ὅρα γοῦν ἐνταῦθα καὶ παρακαλούμενον αὐτὸν μεῖναι, καὶ οὐκ ἀνεχόμενον, ἐπειδὴ ἠπείγετο ἀπελθεῖν. οὐ μὴν ἁπλῶς αὐτοὺς εἴασεν, ἀλλὰ μετὰ ὑποσχέσεως. καὶ ὅπως, ἄκουε. κατήντησε δέ, φησιν, εἰς Ἔφεσον, καὶ ἐκείνους κατέλιπεν αὐτοῦ· αὐτὸς δὲ εἰσελθὼν εἰς τὴν συναγωγὴν, διελέχθη τοῖς Ἰουδαίοις. ἐρωτώντων δὲ αὐτῶν ἐπὶ πλείονα χρόνον μεῖναι παρ' αὐτοῖς, οὐκ ἐπένευσεν, ἀλλ' ἀπετάξατο αὐτοῖς εἰπών· δεῖ με πάντως τὴν ἑορτὴν τὴν ἐρχομένην ποιῆσαι εἰς Ἱεροσόλυμα· πάλιν δὲ ἀνακάμψω πρὸς ὑμᾶς τοῦ Θεοῦ θέλοντος. καὶ ἀνήχθη ἀπὸ τῆς Ἐφέσου, καὶ κατελθὼν εἰς Καισάρειαν, ἀναβὰς, καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν κατέβη εἰς Ἀντιόχειαν, καὶ ποιήσας χρόνον τινὰ, ἐξῆλθε διερχόμενος καθεξῆς τὴν Γαλατικὴν χώραν καὶ Φρυγίαν, ἐπιστηρίζων πάντας τοὺς μαθητάς. καὶ ὅρα. ἐκείνους τοὺς τόπους καταλαμβάνει, οἷς ἐπέβη πρὸ τούτου. Ἰουδαῖος δέ τις Ἀπολλὼς ὀνόματι, Ἀλεξανδρεὺς τῷ γένει, ἀνὴρ λόγιος, κατήντησεν εἰς Ἔφεσον, δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. ἰδοὺ καὶ λόγιοι ἐπείγονται κηρύττειν. καὶ ἀποδημοῦσι λοιπὸν οἱ μαθηταί. ὁρᾷς ἐπίδοσιν τοῦ κηρύγματος; οὗτος ἦν κατηχημένος τὴν ὁδὸν τοῦ Κυρίου, καὶ ζέων τῷ πνεύματι ἐλάλει, καὶ ἐδίδασκεν ἀκριβῶς τὰ περὶ τοῦ Κυρίου, ἐπιστάμενος μόνον τὸ βάπτισμα Ἰωάννου. οὗτός τε ἤρξατο παῤῥησιάζεσθαι ἐν τῇ συναγωγῇ. ἀκούσαντες δὲ αὐτοῦ Ἀκύλας καὶ Πρίσκιλλα, προσελάβοντο αὐτὸν, καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν. εἰ τὸ βάπτισμα Ἰωάννου μόνον ἠπίστατο οὗτος, πῶς τῷ πνεύματι ἔζει; τὸ γὰρ πνεῦμα οὐχ οὕτως ἐδίδοτο. εἰ δὲ καὶ οἱ μετὰ τοῦτον ἐδεήθησαν τοῦ βαπτίσματος τοῦ Χριστοῦ· πολλῷ μᾶλλον οὗτος ἐδεήθη ἄν. τί οὖν ἐστιν εἰπεῖν; οὐδὲ γὰρ ἁπλῶς ἐφεξῆς ἔθηκεν ἀμφότερα ὁ συγγραφεύς. ἐμοὶ δοκεῖ εἷς οὗτος εἶναι τῶν ἑκατὸν εἴκοσι τῶν μετὰ τῶν Ἀποστόλων βαπτισθέντων· ἢ εἰ μὴ οὗτος, ὅπερ ἐπὶ τοῦ Κορνηλίου γέγονε, γεγένηται καὶ ἐπὶ τούτου. ἀλλ' οὐ βαπτίζεται ἀλλ' ὅτε ἀκριβέστερον αὐτῷ ἐξέθεντο. τοῦτο δὲ εἶναί μοι ἀληθὲς φαίνεται ὅτι καὶ βαπτισθῆναι αὐτὸν ἔδει· ἐπεὶ οἱ δώδεκα οἱ ἄλλοι οὐδὲν ᾔδεσαν ἀκριβὲς, οὐδὲ τὰ περὶ τοῦ Ἰησοῦ. εἰκὸς δὲ αὐτὸν καὶ βαπτισθῆναι. πλὴν εἰ καὶ αὐτοὶ οἱ Ἰωάννου μετὰ τὸ βάπτισμα πάλιν ἐβαπτίζοντο, ἔδει καὶ τοὺς μαθητὰς τοῦτο ποιῆσαι. βουλομένου δὲ αὐτοῦ διελθεῖν εἰς τὴν Ἀχαΐαν, προτρεψάμενοι οἱ ἀδελφοὶ ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. ὃς παραγενόμενος συνεβάλετο πολὺ τοῖς πεπιστευκόσι διὰ τῆς χάριτος. εὐτόνως γὰρ τοῖς Ἰουδαίοις διακατηλέγχετο δημοσίᾳ, ἐπιδεικνὺς διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

Ἐγένετο δὲ ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον. καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον πρὸς αὐτόν· ἀλλ' οὐδὲ εἰ πνεῦμα ἅγιον ἐστιν ἠκούσαμεν. εἶπέ τε πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου βάπτισμα. εἶπε δὲ Παῦλος· Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας τῷ λαῷ λέγων, εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι· τουτέστιν, εἰς τὸν Χριστὸν Ἰησοῦν. ἀκούσαντες δὲ ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον; ἦσαν δὲ οἱ πάντες ἄνδρες ὡσεὶ δεκαδύο. πολλῷ τοι ἐκείνου διεστήκασιν, οἳ μηδὲ εἰ πνεῦμα ἅγιόν ἐστιν εἰδότες. οὗτοι, οἳ καὶ ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν ὁδὸν τοῦ Κυρίου, καὶ προπέμπουσι, καὶ γράμματα ἐπιδιδόασιν. ἐβούλετο μὲν οὖν καὶ αὐτὸς ἀπελθεῖν εἰς Ἀχαΐαν· πρὸ δὲ τοῦ προτρέψαι, καὶ γράμματα δοῦναι αὐτῷ τοὺς ἀδελφοὺς, οὐκ ἀναχωρεῖ. ὃς παραγενόμενος συνεβάλετο, φησί, τοῖς πεπιστευκόσιν· εὐτόνως γὰρ διακατηλέγχετο δημοσίᾳ ἐπιδεικνύων διὰ τῶν γραφῶν εἶναι τὸν Χριστὸν Ἰησοῦν.

HOMILIA XL.

Paulus autem expectans dies multos, vale dicto fratribus abnavigavit in Syriam, & cum Priscilla ac Aquila, posteaquam raserat caput in Cenchreis: habebat enim votum.

VIde quomodo lex soluta est, vide quomodo conscientia detinebantur: Judaicum erat capita radi ex voto, veruntamen oportebat etiam sacrificium fieri, quod non est factum post verberatum Sosthenem. Oportebat abire illum, ideo & festinat, & quum orarent ut apud ipsos maneret in Epheso, non annuit. Quare igitur iterum in Antiochiam venit? *Digressus enim*, inquit, *& salutata Ecclesia pervenit in Antiochiam.* Tenebatur humana quadam affectione erga civitatem illam. Ibi enim appellati sunt discipuli Christiani. Ibi traditus est gratiæ Dei, ibi negotium dogmatis absolvit. Et ipse quidem in Syriam abnavigat: hos autem reliquit in Epheso. Merito, utpote docturos, quia tanto tempore secum versati erant, multa didicerant. Attamen illos nondum à Judaica consuetudine abduxerat. Ecce & mulier idem quod viri, facit ac docet. Propterea prohibetur in Asiam venire: opinor quia ad ea quæ urgebant, impellebatur: Vide saltem hoc loco, & rogatum illum ut maneat, & non morem gerentem: quoniam festinabat abire. Certè non simpliciter illos dimisit, sed cum promissione. Et quo pacto, audi: *Devenitq; Ephesum, & illos ibi reliquit. Ipse autem ingressus in synagogam disputavit cum Judæis. Rogantibus autem illis, ut ampliore tempore maneret apud illos, non annuit, sed vale dixit eis, dicens: Oportet me omnino festum quod instat, agere in Hierusalem. Iterum autem revertar ad vos Deo volente: & solvit ab Epheso. Et ut pervenit in Cæsaream, ascendissetq; & salutasset Ecclesiam, descendit Antiochiam. Et facto multo tempore exivit: transivit deinceps per Galaticam regionem ac Phrygiam, confirmans omnes discipulos.* Vide, iterum venit ad loca in quibus anteà erat. *Judæus autem quidam Apollo nomine, Alexandrinus genere, vir eloquens devenit in Ephesum, potens in scripturis.* Ecce & eruditi emittuntur prædicare, & discipuli esse incipiunt. Vides incrementum prædicationis? *Hic erat edoctus viam Domini, & fervens spiritu loquebatur ac docebat diligenter de Domino, sciens solum baptisma Joannis. Hic cœpit liberè annunciare in synagoga. Audientes autem illum Priscilla & Aquila, assumpserunt eum, & diligenter prædicaverunt viam Dei.* Si ad baptisma Joannis solum crediderat hic, quomodo spiritu fervebat? nondum enim datus erat sic spiritus. Si autem qui post illum, opus habuerunt baptismate Christi, multò magis ille. Quid igitur dicendum? neque enim utrumque simpliciter posuit scriptor. Mihi videtur ille esse unus ex centum viginti, qui cum Apostolis baptizati. Vel si non est hoc, factum est idem cum hoc quod & cum Cornelio, sed non baptizatur antequam diligentius ei exposuerunt. Hoc autem esse mihi verum videtur, quia & baptizari illum oportebat, quoniam duodecim alii nihil perfectum sciverunt, neque ea quæ de Jesu. Meritò autem & ille baptizabatur. Veruntamen si illi post baptisma Joannis iterum baptizabantur, oportebat etiam discipulos hoc facere. *Volente autem illo transire in Achaiam, exhortati sunt fratres, & scripserunt discipulis ut reciperent illum: qui ut advenit, contulit multum his qui crediderant per gratiam. Vehementer enim Judæos revincebat publicè monstrans per scripturas Jesum esse Christum.*

Factum est autem quum Apollo esset in Corintho, ut Paulus peragratis superioribus partibus veniret in Ephesum & inventis discipulis quibusdam, dixit ad illos: Num Spiritum sanctum accepistis, posteaquam credidistis? Illi autem dixerunt ad illum: Sed neq; an sit Spiritus sanctus audivimus. Dixitq; ad illos: Ad quid igitur baptizati estis? Illi autem dixerunt: In baptisma Joannis. Dixitq; Paulus: Joannes quidem baptizavit baptismo pœnitentiæ, populo dicens, ut in eum qui post ipsum venturus esset, crederent, hoc est, in Christum Jesum. Ut autem audierunt, baptizati sunt in nomine Domini Jesu Christi. Et postquam imposuit Paulus illis manus, venit Spiritus sanctus super illos, loquebanturq; linguis, & prophetizabant. Erantq; omnes viri quasi duodecim. Multum hi ab illo differebant, *neq; Spiritum sanctum esse scientes.* Hi igitur qui & diligentius illi exposuerant viam Domini, præmittunt etiam, literasque addunt. Igitur volebat & ille in Achaiam venire. Anteà autem quàm exhortati sunt fratres, & literas dant ei, non recedit. *Qui ut venit* inquit, *contulit multum his qui crediderunt. Vehementer enim Judæos revincebat publicè, ostendens per scripturas esse Christum Jesum.*

Ubi Christiani primum nominati.

Cap. XIX

Hinc

Hinc quam potens erat in scripturis Apollo ostendit. Nam Judæis quidem valde os obturavit. Hoc enim est quod inquit, *revincebat*: unde & fideles confidentiores magis fiebant, & stabiliores in fide. *Factum est ut Paulus transivit per superiores partes, venit in Ephesum.* Hæc autem sunt quæ juxta Cæsaream & civitates reliquas. *Et inventis quibusdam discipulis, dixit ad illos: Num Spiritum sanctum accepistis postquam credidistis?* Quòd neque in Christum crediderant hi, manifestum ex eo, quod Joannes dixerat, *ut credant in illum qui post ipsum venturus.* Et non dixit: Nihil est baptisma Joannis, sed imperfectum: & neque hoc addidit simpliciter, sed ut doceat ac persuadeat illis in nomine Jesu baptizari, quod & faciunt & spiritum accipiunt, impositione manuum Pauli. *Impositis enim*, inquit, *illis Pauli manibus, venit Spiritus sanctus super illos.* Et ita hi quibus manus imponit, spiritum accipiebant. Verisimile igitur illos spiritum habere, sed non apparere, sed efficacia, & linguarum loquutione nunc declarabant. Sed videamus iterum quæ lecta: *Paulus abnavigavit in Syriam*, inquit, *& cum illo Priscilla & Aquilas, quos etiam ut pervenit Ephesum reliquit ibi*: vel quod non volebat circumducere illos, & propter hoc reliquit, vel magis ut doctores maneant Ephesiis. Ipsi autem postea habitarunt in Corintho, quibus etiam testimonium dat, Romanisque scribens. Unde mihi videtur postea illos Romam venisse, utpute conversantes multùm in illis locis, unde ejecti sub Nerone. *Et descendens*, inquit, *in Cæsaream, ascendit, & salutatis Ecclesiis pervenit in Antiochiam, factoq; ibi tempore quodam exiit, transiens Galaticam per omnem regionem ac Phrygiam.* Mihi videntur adhuc & fideles illic congregari. Neque enim statim relinquit. Vide autem quomodo ad illos festinat, & ad has regiones iterum transit, & ita adventu suo discipulos firmat. *Judæus autem quidam*, inquit: *Apollo nomine, pervenit in Ephesum, qui potens erat in scripturis.* Valde alacer erat. unde & legationem pro illo ipso mittit, *Qui ut venit*, inquit, *in Achaiam, vehementer revincebat Judæos publicè.* De quo scribens dicebat, *De Apollo*

1. Cor. 16. 12.

autem fratre. Nam *publicè* quidem redarguere, libertatem ejus in dicendo monstrabat: *vehementer* verò, virtutem manifestabat: ex divinis autem scripturis, exercitationem comprobabat. Neque enim dicendi libertas aliquid conducit, ubi non est facultas, neque facultas, ubi non est fiducia. Itaque non sine causa reliquit Aquilam in Epheso, sed propter Apollo forsan hoc spiritus dispensavit, ut & fortior ascenderet in Corinthum. Et cur nam huic quidem nihil fecerunt, Paulo autem insidiantur? Sciebant enim quod ille princeps esset, vel quod magnum nomen viri erat. *Assumentes autem*, inquit, *illum Priscilla & Aquilas diligentius ei exponebant viam Domini.* Vide quomodo omnia fide fiebant, & nusquam odium, nusquam invidia. Aquilas docet, imò autem & hic docetur. Etenim simul aliquanto tempore conversantes, sic edocti fuerunt, ut etiam ad alios docendos fierent idonei. *Quum igitur vellet transire in Achaiam, scripserunt discipulis, ut susciperent illum.* Cujus gratia literas mittunt, interpretatur. *Ut illum*, inquit, *suscipiant.* Et unde manifestum, quod illi quum in Epheso essent, baptisma Joannis habuerint? quia rogati, in quo baptizati estis? *In Joannis* dicunt *baptismo.* Forsan tunc peregrè iverant in Hierosolyma, & abierunt, & baptizati sunt: sed etiam baptizati Jesum non crediderunt. Et non dicit illis: Creditis in Jesum. Sed quid: *Num Spiritum sanctum accepistis?* Sciebat enim quod non habebant, & vult illos fateri, ut cognoscant quid ipsis desit & petant. *Et quum imposuisset*, inquit, *Paulus illis manus, venit Spiritus sanctus super illos, & loquebantur linguis, ac prophetabant.* Ab ipso baptismo prophetant. Hoc autem Joannis baptismus non habebat. Ideo & imperfectus erat. Ut autem talibus digni fierent, prius illos præparavit atque hoc volebat Joannes baptizans, *ut crederent in eum qui post se venturus.* Hinc ostenditur dogma magnum, quod perfectè purgantur à peccatis qui baptizantur. Nisi enim purgarentur, non accepissent illi spiritum, non tam statim consequuti essent charismata. Et vide quod duplex donum fuerit, & linguæ, & prophetiæ. Bene autem dixit: *Baptisma pœnitentiæ*, quod Joannis est, & non remissionis, adducens illos & suadens, quod absque ea sit illud. Posterius enim dati baptismatis opus, est remissio. Et quomodo qui acceperant spiritum non docebant, sed Apollo nondum accepto spiritu? Quia nondum erant ita ferventes, neq; initiati: ille autem & edoctus erat, & valde fervens. Mihi a. videtur, quamvis multa esset libertas viri, diligenterq; loqueretur ea quæ de Jesu, attamen opus ei erat adhuc exactiore doctrina. Sic quamvis nesciret omnia, ob alacritatem Spiritum S. consequutus est, sicut etiam Cornelius.

ἐντεῦθεν ποῖος ἦν δυνατὸς ἐν ταῖς γραφαῖς Ἀπολλὼς δείκνυσι. τοὺς μὲν γὰρ Ἰουδαίους σφόδρα ἐπεστόμιζε. τοῦτο γάρ ἐστι τὸ, διακατηλέγχετο· τοὺς δὲ πιστεύοντας θαρρεῖν μᾶλλον ἐποίει, καὶ ἑδραίους πρὸς τὴν πίστιν. ἐγένετο δὲ, φησὶ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη ἐλθεῖν εἰς Ἔφεσον. ταῦτα δὴ τὰ κατὰ Καισάρειαν καὶ τὰ λοιπά. καὶ εὑρών τινας μαθητὰς, εἶπε πρὸς αὐτούς· εἰ πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; ὅτι οὐδὲ εἰς Χριστὸν ἐπίστευον οὗτοι, δῆλον ἐκ τοῦ εἰπεῖν εἰς τὸν ἐρχόμενον κατ' αὐτὸν ἵνα πιστεύσωσι· καὶ οὐκ εἶπεν, οὐδέν ἐστι τὸ βάπτισμα Ἰωάννου· ἀλλ' ὅτι ἀτελές. καὶ οὐδὲ τοῦτο προσέθηκεν ἁπλῶς, ἀλλ' ἵνα διδάξῃ, καὶ πείσῃ αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Ἰησοῦ βαπτισθῆναι, ὃ καὶ ποιοῦσι, καὶ τὸ πνεῦμα λαμβάνουσι τῇ ἐπιθέσει τῶν χειρῶν Παύλου. ἐπιθέντος γὰρ, φησὶν, αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτούς. ὥστε οἷς ἐπετίθει τὰς χεῖρας, τὸ πνεῦμα ἐλάμβανον. εἰκὸς τοίνυν ἦν πνεῦμα μὲν αὐτοὺς ἔχειν, μὴ φαίνεσθαι δέ· ἀλλ' ἐκ τῆς ἐνεργείας, καὶ τὰ ἀφ' ὧν γλώσσαις ἐλάλουν, τοῦτο ἐνέφαινον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. ὁ δὲ Παῦλος ἐξέπλει εἰς τὴν Συρίαν, φησὶ, καὶ σὺν αὐτῷ Πρίσκιλλα καὶ Ἀκύλας, οὓς καὶ καταντήσας εἰς Ἔφεσον κατέλιπεν αὐτοῦ. ἢ ὅτι οὐκ ἐβούλετο περιάγειν αὐτοὺς, καὶ διὰ τοῦτο κατέλιπεν· ἢ μᾶλλον ἵνα διδάσκαλοι μένωσι τοῖς ἐν Ἐφέσῳ. αὐτοὶ δὲ μετὰ ταῦτα τὴν Κόρινθον ᾤκησαν, οἷς καὶ μεγάλα μαρτυρεῖ, καὶ Ῥωμαίοις ἐπιστέλλων προσαγορεύει αὐτούς. ὅθεν μοι δοκεῖ μετὰ ταῦτα αὐτοὺς εἰς Ῥώμην ἀπελθεῖν, ἅτε ἐμφιλοχωροῦντας τοῖς τόποις ἐκείνοις ὅθεν ἐξέπεσον ἐπὶ Νέρωνος. καὶ καταβὰς, φησὶν, εἰς Καισάρειαν, ἀναβὰς καὶ ἀσπασάμενος τὴν ἐκκλησίαν, κατέβη εἰς Ἀντιόχειαν, καὶ ποιήσας χρόνον τινά, ἐξῆλθε, διερχόμενος τὴν Γαλατικὴν καθεξῆς χώραν, καὶ Φρυγίαν. ἐμοὶ δοκοῦσι, καὶ οἱ πιστοὶ ἔτι ἐκεῖ συνάγεσθαι. οὐ γὰρ εὐθέως αὐτοὺς ἀπέστη. ὅρα δὲ πῶς αὐτοὺς ἐπείγεται, καὶ ταύτας τὰς χώρας πάλιν διέρχεται, ὥστε τῇ παρουσίᾳ βεβαιῶσαι τοὺς μαθητάς. Ἰουδαῖος δέ τις, φησὶν, Ἀπολλὼς ὀνόματι, κατήντησεν εἰς Ἔφεσον δυνατὸς ὢν ἐν ταῖς γραφαῖς. διεγηγερμένος ἦν ὁ ἄνθρωπος. διὸ καὶ ἀποδημίας στέλλεται ὑπὲρ τούτου αὐτοῦ. ὃς παραγενόμενος, φησὶν, εἰς Ἀχαΐαν, εὐτόνως διακατηλέγχετο τοῖς Ἰουδαίοις δημοσίᾳ. περὶ τούτου γράφων ἔλεγε· περὶ δὲ Ἀπολλὼ τοῦ ἀδελφοῦ. τῷ μὲν οὖν δημοσίᾳ ἐλέγχειν, ἡ παρρησία ἐδείκνυτο· τῷ δὲ εὐτόνως, ἡ δύναμις ἐδηλοῦτο· τῷ δὲ ἐκ τῶν θείων γραφῶν ἐπιδεικνύειν, ἡ ἐμπειρία. οὔτε γὰρ ἡ παρρησία τι συντελεῖ καθ' ἑαυτὴν οὐκ οὔσης δυνάμεως· οὔθ' ἡ δύναμις, οὐκ οὔσης παρρησίας. ἄρα οὐκ εἰκῇ Ἀκύλαν κατέλιπεν εἰς Ἔφεσον· ἀλλὰ διὰ τὸν Ἀπολλὼ τάχα τὸ πνεῦμα τοῦτο ᾠκονόμησεν, ὥστε ἰσχυρότερον ἐπιβῆναι τῇ Κορίνθῳ. καὶ τί δήποτε τούτῳ μὲν οὐδὲν ἐποίησαν, Παύλῳ δὲ ἐπετίθεντο; ᾔδεσαν ὅτι ἐκεῖνος ὁ κορυφαῖος ἦν· ἢ καὶ ὅτι πολὺ τὸ ὄνομα τοῦ ἀνδρὸς ἦν. προσλαβόμενοι δὲ, φησὶν, αὐτὸν Ἀκύλας καὶ Πρίσκιλλα, ἀκριβέστερον αὐτῷ ἐξέθεντο τὴν τοῦ Θεοῦ ὁδόν. ὅρα πῶς πάντα πιστῶς ἐγίνετο, καὶ οὐδαμοῦ φθόνος, οὐδαμοῦ βασκανία. Ἀκύλας διδάσκει· μᾶλλον δὲ καὶ οὗτος διδάσκεται. καὶ γὰρ χρόνον αὐτῷ συγγενόμενοι οὕτως ἐδιδάχθησαν, ὡς καὶ ἄλλους ἱκανοὺς εἶναι διδάσκειν. βουλομένου δὲ αὐτοῦ διελθεῖν, φησὶν, εἰς τὴν Ἀχαΐαν, ἔγραψαν τοῖς μαθηταῖς ἀποδέξασθαι αὐτόν. τίνος ἕνεκεν γράμματα πέμπουσιν, ἑρμηνεύει· ἵνα, φησὶν, αὐτὸν ἀποδέξωνται. καὶ πόθεν δῆλον ἐκείνους ἐν Ἐφέσῳ ὄντας τὸ βάπτισμα ἔχειν Ἰωάννου; ὅτι ἐρωτώμενοι, εἰς τί ἐβαπτίσθητε, εἰς τὸ Ἰωάννου λέγουσι βάπτισμα. ἴσως ἐπεδήμησαν τοῖς Ἱεροσολύμοις τότε, καὶ ἀπῆλθον, καὶ ἐβαπτίσαντο· ἀλλὰ καὶ βαπτισθέντες, τὸν Ἰησοῦν οὐκ ἠπίσταντο, καὶ οὐ λέγει αὐτοῖς, πιστεύετε εἰς τὸν Ἰησοῦν; ἀλλὰ τί; εἰ πνεῦμα ἅγιον ἐλάβετε; ᾔδει γὰρ ὅτι οὐκ εἶχον, καὶ βούλεται αὐτοὺς εἰπεῖν, ἵνα μαθόντες ὧν ἀπεστέρηνται, αἰτήσωσι. καὶ ἐπιθέντος αὐτοῖς, φησὶ, τὰς χεῖρας τοῦ Παύλου, ἦλθε τὸ πνεῦμα τὸ ἅγιον ἐπ' αὐτοὺς, καὶ ἐλάλουν γλώσσαις, καὶ προεφήτευον. ἀπ' αὐτοῦ τοῦ βαπτίσματος προφητεύουσι. τοῦτο δὲ τὸ Ἰωάννου βάπτισμα οὐκ εἶχε· διὸ καὶ ἀτελὲς ἦν. ἵνα δὲ τῶν τοιούτων ἀξιωθῶσι, προπαρασκευάζει μᾶλλον αὐτούς. ὥστε τοῦτο ἐβούλετο Ἰωάννης βαπτίζων, πιστεῦσαι εἰς τὸν ἐρχόμενον μετ' αὐτόν. ἐντεῦθεν δείκνυται δόγμα μέγα, ὅτι τελείως καθαίρονται τῶν ἁμαρτημάτων οἱ βαπτιζόμενοι. εἰ μὴ γὰρ ἐκαθαίροντο, οὐκ ἂν τὸ πνεῦμα ἐδέχοντο οὕτω, οὐκ ἂν χαρισμάτων εὐθέως ἠξιοῦντο. καὶ ὅρα ὅτι διπλοῦν τὸ χάρισμα ἦν, καὶ γλῶσσαι, καὶ προφητεῖαι. καλῶς δὲ εἶπε βάπτισμα μετανοίας τὸ Ἰωάννου, καὶ οὐκ ἀφέσεως, ἀνάγων αὐτοὺς, καὶ πείθων, ὅτι τοῦτο ἔρημον ἦν ἐκείνου. τοῦ γὰρ ὕστερον δοθέντος ἔργον ἡ ἄφεσις γέγονε. καὶ πῶς οἱ λαβόντες τὸ πνεῦμα οὐκ ἐδίδασκον, ἀλλ' Ἀπολλὼς μήπω τὸ πνεῦμα λαβών; ὅτι οὐκ ἦσαν οὕτω ζέοντες, οὐδὲ κατηχημένοι· ἐκεῖνος δὲ καὶ κατηχημένος ἦν, καὶ σφόδρα ζέων. ἐμοὶ δὲ δοκεῖ ὅτι καὶ πολλὴ ἦν ἡ παρρησία τοῦ ἀνδρός. ἀλλ' εἰ καὶ ἀκριβῶς ἐλάλει τὰ περὶ τοῦ Ἰησοῦ, ὅμως ἐδεῖτο ἀκριβεστέρας διδασκαλίας. οὕτω καί τι οὐκ εἰδὼς πάντα, ἀπὸ τῆς προθυμίας ἐπεσπάσατο τὸ πνεῦμα τὸ ἅγιον, καθάπερ οἱ περὶ Κορνήλιον.

τάχα

τάχα πολλοὶ ποθοῦσιν, εἰ καὶ νῦν ἦν τὸ τοῦ Ἰωάννου βάπτισμα. ἀλλὰ πολλοὶ ἂν ἠμέλησαν βίου ἐναρέτου, ἢ καὶ ἐνομίσθη ἂν ἕκαστος διὰ τοῦτο, καὶ οὐ διὰ βασιλείαν οὐρανῶν ἐφίεσθαι τῆς ἀρετῆς. ἄλλως δὲ πολλοὶ ἂν ἐγένοντο ψευδοπροφῆται, καὶ οὐκ ἂν λοιπὸν οἱ δόκιμοι σφόδρα ἐφάνησαν, οὐδ' ἂν ἐμακαρίσθησαν οἱ τὴν πίστιν ἁπλῶς παραδεξάμενοι. ὥσπερ οὖν οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες μακάριοι, οὕτως οἱ χωρὶς σημείων πιστεύοντες. εἰπὲ δή μοι· οὐκ ὀνειδίζων Ἰουδαίοις ἔλεγεν ὁ Χριστός· ἐὰν μὴ σημεῖα ἴδητε, οὐ μὴ πιστεύσετε; οὐκοῦν οὐδὲν παραβλαβησόμεθα εἰ θέλοιμεν προσέχειν ἑαυτοῖς. τὸ κεφάλαιον ἔχομεν τῶν ἀγαθῶν διὰ τοῦ βαπτίσματος· ἄφεσιν ἁμαρτημάτων ἐλάβομεν, ἁγιασμὸν, πνεύματος μετάληψιν, υἱοθεσίαν, ζωὴν αἰώνιον· τί βούλεσθε πλέον; σημεῖα; ἀλλὰ καταργεῖται. πίστιν ἔχεις, ἐλπίδα, ἀγάπην, τὰ μένοντα· ταῦτα ζήτει· ταῦτα σημείων μείζω. οὐδὲν ἀγάπης ἴσον· μείζων πάντων ἡ ἀγάπη, φησί. νῦν δὲ [ἡ ἀγάπη] κινδυνεύει. ὄνομα γὰρ αὐτῆς ὑπολέλειπται μόνον· τὸ δὲ ἔργον, οὐδαμοῦ, ἀλλὰ διῃρήμεθα ἀπ' ἀλλήλων. τί οὖν ἄν τις ἐργάσαιτο ὥστε συνάψαι; τὸ μὲν γὰρ ἐγκαλέσαι, εὔκολον· ἀλλὰ τοῦτο ἥμισύ ἐστιν. οὐκοῦν δεικνύναι δεῖ πῶς ἂν ἐργασθείη φιλία. τοῦτο γάρ ἐστι τὸ σπουδαζόμενον· πῶς τὰ μέλη τὰ διεσπασμένα συναγάγωμεν. οὐ γὰρ τοῦτό ἐστι τὸ ζητούμενον ἁπλῶς, εἰ μίαν ἐκκλησίαν ἔχομεν ἢ ἓν δόγμα· ἀλλὰ τὸ δεινὸν τοῦτό ἐστιν, ὅτι ἐν τοῖς ἄλλοις κοινωνοῦντες ἀλλήλοις, ἐν τοῖς ἀναγκαίοις οὐ κοινωνοῦμεν, καὶ μετὰ πάντων εἰρηνεύοντες, ἐν ἀλλήλοις στασιάζομεν. μὴ γὰρ εἰ μὴ μάχας καθ' ἑκάστην ποιοῦμεν σκόπει· ἀλλ' ὅτι οὐδὲ ἀγάπην γνησίαν ἔχομεν καὶ ἀκλινῆ. ἐπιδέσμων χρεία καὶ ἐλαίου. ἐννοήσωμεν, ὅτι γνώρισμά ἐστιν ἡ ἀγάπη τῶν μαθητῶν τοῦ Χριστοῦ· ὅτι ταύτης χωρὶς οὐδὲν ἰσχύει τὰ ἄλλα· ὅτι ἄπονόν ἐστι πρᾶγμα ἐὰν θέλωμεν. ναί φησιν, οἴδαμεν ταῦτα· ἀλλὰ πῶς ἵνα κατορθωθῇ; τί ἵνα γένηται; πῶς ἵνα φιλῶμεν ἀλλήλους; πρότερον τὰ ἀναιρετικὰ τῆς ἀγάπης ἐξέλωμεν, καὶ τότε στήσομεν ταύτην. μηδεὶς ἔστω μνησίκακος· μηδεὶς ἔστω βάσκανος· μηδεὶς χαιρέκακος. ταῦτά ἐστι τὰ κωλυτικά· τὰ δὲ ποιητικὰ ἕτερα. οὐκ ἀρκεῖ κωλύοντα ἀνελεῖν, ἀλλὰ καὶ τὰ ἱστῶντα χρὴ ὑποδεικνύναι. ὁ μὲν οὖν Σιρὰχ λέγει τὰ ἀναιρετικὰ, οὐκ ἔτι τὰ συνάπτοντα, ὀνειδισμὸν φάσκων, καὶ μυστηρίου ἀποκάλυψιν, καὶ πληγὴν δολίαν· ἀλλ' ἐπ' ἐκείνων μὲν εἰκότως ταῦτα, ἅτε σαρκικῶν ὄντων· ἐφ' ἡμῶν δὲ μὴ γένοιτο. οὐκ ἀπὸ τούτων ὑμᾶς ἐνάγομεν, ἀλλ' ἀπὸ τῶν ἄλλων. οὐδὲν ἡμῖν ἐστι χρηστὸν, φιλίας χωρίς. ἔστω μυρία ἀγαθά· ἀλλὰ τί τὸ ὄφελος; ἔστω πλοῦτος· ἔστω τρυφὴ φίλων χωρίς· ἀλλὰ τί τὸ κέρδος, οὐδὲν κτῆμα τούτου κάλλιον, καὶ ἐν τοῖς βιωτικοῖς πράγμασιν, ὥσπερ οὖν τῶν ἐχθραινόντων οὐδὲν χαλεπώτερον. ἀγάπη καλύπτει πλῆθος ἁμαρτημάτων· ἡ δὲ ἔχθρα, καὶ τὰ οὐκ ὄντα ὑποπτεύει. οὐκ ἀρκεῖ μὴ εἶναι ἐχθρόν· ἀλλὰ δεῖ καὶ φιλεῖν. ἐννόησον ὅτι ὁ Χριστὸς ἐκέλευσε, καὶ ἀρκεῖ τοῦτο. καὶ θλίψις ποιεῖ φιλίας, καὶ συνάγει. τί οὖν, φησι, νῦν; ὅτι θλίψις οὐκ ἔστιν. εἰπὲ, πῶς ἵνα γενώμεθα φίλοι; οὐκ ἔχετε φίλους ἄλλους, εἰπέ μοι; πῶς αὐτοὶ ἐστὲ φίλοι; πῶς διαμένετε; τέως μηδεὶς μηδένα ἐχθρὸν ἐχέτω· οὐκ ἔστι τοῦτο μικρόν. μηδεὶς φθονείτω. οὐκ ἔνι τὸν μὴ φθονοῦντα κατηγορεῖν. μίαν οἰκοῦμεν οἰκουμένην ἅπαντες, τοῖς αὐτοῖς τρεφόμεθα καρποῖς. ἀλλὰ ταῦτα μικρά· τοῖς αὐτοῖς μυστηρίοις, τῆς αὐτῆς πνευματικῆς τροφῆς ἀπολαύομεν. ταῦτα δήπου ἐστὶ δικαιώματα τοῦ φιλεῖν. πῶς οὖν θερμῶς διακεισόμεθα, φησί; τί ποιεῖ σωμάτων ἔρωτα; λαμπρότης σώματος. οὐκοῦν καὶ τὰς ψυχὰς καλὰς ἐργασώμεθα, καὶ ἐσόμεθα ἀλλήλοις ἐπέραστοι. οὐ γὰρ δὴ φιλεῖν δεῖ μόνον, ἀλλὰ καὶ φιλεῖσθαι. πρῶτον τοῦτο κατορθώσωμεν, ὥστε φιλεῖσθαι, καὶ ἐκεῖνο εὔκολον ἔσται. πῶς οὖν ἔσται ἵνα φιλώμεθα; γινώμεθα καλοί. καὶ τοῦτο ἐργαζώμεθα, ὥστε ἐραστὰς ἔχειν ἀεί. μηδεὶς σπουδαζέτω [μὴ] χρήματα κτᾶσθαι· μὴ ἀνδράποδα· μὴ οἰκίας, ὡς τὸ φιλεῖσθαι, ὡς ὄνομα χρηστὸν ἔχειν· κρεῖττον ὄνομα, ἢ πλοῦτος πολύς. τὸ μὲν γὰρ μένει, ὁ δὲ ἀπόλλυται· καὶ τὸ μὲν δυνατὸν κτήσασθαι, ἐκεῖνο δὲ ἀδύνατον. ὁ μὲν γὰρ πονηρὰν δόξαν λαβὼν, δυσκόλως αὐτὴν ἀποθήσεται· ὁ δὲ πένης ταχέως ἀπὸ τοῦ ὀνόματος ἔσται πλούσιος. ἔστω τις μυρία τάλαντα ἔχων· ὁ δὲ φίλους ἑκατόν· οὗτος ἐκείνου εὐπορώτερος. μὴ τοίνυν ἁπλῶς τοῦτο ποιῶμεν· ἀλλ' ἐργαζώμεθα ὡς εὐπορίαν τινά· καὶ πῶς δυνάμεθά, φησι; λάρυγξ γλυκὺς πληθύνει φίλους αὐτοῦ, καὶ γλῶσσα εὔχαρις. στόμα εὔφημον κτησώμεθα, καὶ τρόπους καθαρούς. οὐκ ἔνι λαθεῖν τὸν οὕτω διακείμενον·

A Forsan multi desiderant, utinam & nunc esset Joannis baptisma: at sic multi neglexissent vitam virtutibus claram, vel etiam approbaretur propter donum hoc, & non propter regnum cœlorum. Et aliter: Multi facti essent pseudoprophetæ, & non ultimò valde probi apparuissent, neque beati habiti essent, qui fidem simpliciter suscepissent. Igitur quemadmodum ii qui non viderunt & crediderunt, beati: ita & qui absque signis crediderunt. Dic oro mihi, nónne exprobrans Judæis di-
B cebat Christus: *Nisi videritis signa, non credetis?* Igitur nihil damni erit nobis, si attendere voluerimus nobisipsis. Summam bonorum habemus per baptismum, remissionem peccatorum accepimus, sanctificationem, spiritus participationem, adoptionem, vitam æternam. Quid vultis magis? signa? sed abolentur. Fidem habes, spem, charitatem, hæc manent: hæc quære, hæc signis sunt majora. Nihil æquale charitati: *maxima omnium charitas*, inquit. Nunc autem peri-
C clitatur, nomen enim illius reliquum est, opus minimè, sed divisi sumus inter nos. Quid igitur quis fecerit, ut charitate aliis connectatur? Nam reprehendere quidem facile est, sed id dimidium & imperfectum est. Oportebat igitur ostendi, quomodo amicitia efficiatur. Hoc enim est, quod nobis curæ, quomodo membra divulsa congregemus. Non enim hoc est quod quæritur simpliciter, an unam Ecclesiam habeamus vel dogma: sed hoc grave est, quod in aliis quidem communi-
D camus mutuum: in necessariis autem non item. Et cum omnibus pacem habentes, inter nos ipsos seditiosi sumus. Non enim hoc specta, quod non quotidie prælia committimus, sed quod neque charitatem habemus sinceram & immobilem. Nobis opus esset & vulnerum obligationibus & oleo. Consideremus signum esse, quo discipuli Christi internoscuntur, charitatem, sine hac nihil valere alia, rem hanc si voluerimus, minimè molestam esse. At dicis: Scimus quidem hæc, sed quâ ratio-
E ne huc perveniemus, ut illa corrigantur, & constet inter nos amicitia? Primum abjiciamus è medio ea quæ charitatem tollunt, & tunc etiam hanc firmabimus. Nullus sit qui ultionem desideret & malum alteri meditetur, nullus sit invidus. Hæc enim dilectionem prohibent. Alia autem sunt, quæ illam nobis exhibent. Nec sufficit tollere quod obest, sed adhibenda etiam sunt quæ eam constituant. Itaque Sirach dicit, ea quæ illam auferunt, & non ea quæ conciliant: *Exprobrationem* dicens, &
A *arcanorum revelationem, & dolosam plagam.* Sed ab illis, utpote carnalibus, meritò proveniunt talia. Absit autem ut apud nos hæc fiant. Non ab his, sed ab aliis vos inducemus. Nihil nobis est absque dilectione suave, licet sint innumera bona, sed quæ illorum utilitas? Sint divitiæ, sint delitiæ absque amicitia, & quod lucrum? Nulla possessio etiam in sæcularibus negotiis honestior, quàm hæc: quemadmodum scilicet nihil molestius his qui hostili in se sunt animo. *Charitas multi-*
B *tudinem peccatorum tegit*: inimicitiæ autem, etiam ea quæ non sunt suspicantur. Non enim sufficit non esse inimicum, sed oportet etiam amare. Considera quod Christus jussit, ac sufficit hoc. Etiam afflictio facit amicitias & congregat. Quid igitur, inquit, nunc? Quia enim afflictio non est, quomodo erimus amici? Non habetis, dic oro, amicos alios? quomodo illorum estis amici? quomodo permanetis? Jam nullus nullum habeat inimicum. Non est hoc parvum, nullus
C invideat. Non potest qui non invidet calumniari. Unum habitamus orbem terrarum omnes: iisdem alimur fructibus. Sed hæc parva sunt, iisdem sacramentis ejusdem spiritualis cibi alimur. Hæc sanè amicitiæ symbola sunt, & dilectionem requirunt. Quomodo igitur, inquit, ferventiùs inter nos afficiemur? Quid facit amorem corporum? Corporis luculentia & formositas, itaque & animas faciamus pulchras & luculentas, & erimus inter nos mutuum amatores. Non enim
D solum oportet amare, sed etiam amari. Primum hoc curemus, ut amemur, eritque secundum factu facillimum. Simus pulchri ac boni, & hoc efficiemus, & ita semper habebimus amatores. Nullus curet pecunias possidere, servos, domus, sed cura una sit, ut diligatur, utque nomen bonum habeat. *Melius est enim nomen bonum, quàm divitiæ multæ*, quandoquidem illud quidem manet: hæ autem dispereunt: & has quidem possidere possibile est, illud autem difficile.
E Nam qui semel infamia laborare cœpit, ægrè illam abluet. Pauper autem facilè nomen divitis habebit. Sit qui multas talentorum myriades possideat, abundantior illo erit, cui centum sunt amici. Ne igitur hoc obiter curemus, sed ut negotiationem quandam utilissimam. Et quomodo possumus, inquit: Faux dulcis multiplicat amicos, & lingua gratitudinis studiosa. Possideamus mores puros, & os bene loquens: nec erit possibile, ut is qui sic afficitur, lateat,

Joh. 4,48.
1. Cor. 13.
Eccl. 22,22.
1. Pet. 4,8.
Prov. 22,1.

Vide

Vide quanta externi amoris conciliabula excogitarunt, adoptionem, viciniam, cognationem, proles. Sed his omnibus ea quæ apud nos, sunt majora. Mensa ista magis reverenda est. Multi autem ex his qui accedimus, neque nos mutuum novimus. Multitudo, inquit, hoc facit? Minimè, sed nostra ignavia. *Tria millia erant, & quinque millia: & omnes habebant animam unam.* Nunc autem unusquisque fratrem ignorat, & non erubescit, multitudinem prætexens. Jam qui multos amicos habet, à nullo capi potest. Hic omni tyranno fortior est, non sic regem lancearii custodiunt, ut hunc amici; & est hic illo multum clarior: nam ille quidem à servis custoditur, hic autem ab his qui in pari honore sunt: & ille quidem ab involuntariis & metuentibus, hic autem à volentibus, & nihil metuentibus. Et est videre mirabilem rem, in multis unum, & in uno multos. Et ut in cithara varias quidem voces habes, unam autem harmoniam, & unus musicus est, qui citharam in manum sumit: Si hoc in loco, Cithara quidem est charitas ipsa, voces loquentes verba, quæ ad charitatem conciliandam pertinent, omnes in unam suavem conspirant consonantiam. Musicus verò est charitatis vis, illa dulcem melodiam pulsando affert. Vellem te ducere in civitatem talem, siquidem possibile, ubi anima una esset, & videres quomodo quavis cithara & tibia consonantius ac suavius omnia sonent, nihilque absurdi sit. Hæc melodia & Deum & Angelos lætificat. Hoc totum in cœlo spectaculum excitat, hoc & dæmonum furorem compescit, & affectionum demulcet impetus. Hæc melodia non solum affectiones compescit, sed nec exurgere sinit, magnúmque silentium facit: quemadmodum etiam in spectaculo musicorum chorus: omnes enim cum silentio audiunt, & nemo interturbat. Ita & inter amicos dum charitas citharam pulsat, omnes affectiones silent ac dormiscunt, quasi bestiæ blanditiis demulsæ ac mitigatæ. Igitur sicut in inimicitiis, contrà eveniunt omnia, sed de illis nunc nihil loquamur, de amicitia dicamus solùm. Si dixeris aliquid temerarium, nullus est qui assumit, sed omnes ignoscunt: si feceris, nullus suspicatur, sed magna est condonatio: omnes cadenti manum alacriter porrigunt, omnes prompti sunt, ut sistant. Verè amicitia murus est, qui non rumpitur, & nec à diabolo capitur, nedum ab hominibus. Non potest in pericula incidere, cui plurimi sunt amici. Non est possibile, ut sit occasio iræ, sed ubique materia suavitatis offertur. In risu semper est ac deliciis. Nullus etiam invidiæ fomes est, vel ultionis inferendæ, cupiditati locus. Vides, ut talis & spiritualia & carnalia facilè corrigere potest. Quid igitur huic conferendum? Quasi civitas quædam mœnibus undique cincta, talis est: alius autem est, quasi sine muris civitas. Magnæ sapientiæ est, posse esse amicitiæ conditorem. Tolle amicitiam, & omnia sustuleris, omnia confuderis. Si autem imago amicitiæ tantam vim habet, ipsa veritas quid non valebit: Oro igitur, ut multos amicos nobis paremus, & hanc unusquisque habeat artem. Sed ecce, inquit, ego quidem valde hoc curo, sed non idem etiam aliis placet. Itaque major tibi merces erit. At dicis: Verum est: sed difficultas etiam amplior. Quomodo, dic oro? Ecce testificor, ac dico: Si decem soli sic firmiter conjungeremini, & ut Apostoli opus prædicationis, ut prophetæ doctrinæ opus habent: ita etiam vos opus faciendi amicos in manus acciperetis, merces futura esset magna. Regias nobis imagines faciamus. Hoc enim symbolum est, quo noscuntur discipuli, & quodammodo non minus operamur, quam si virtutem illis excitandi mortuos daremus. Diadema & paludamentum ostendit regem: & si hæc non sit, licèt aureas vestes habeat, nondum rex est manifestus. Ita etiam nunc, fac hoc symbolum, & facies tibi & aliis amicos. Discamus quomodo contemperentur colores, per quos ista imago constituitur. Exhibeamus nos ad colloquium faciles, ne expectemus proximos: ne dicas si videro aliquem expectantem; deterior eo efficior: sed magis quando videris assume, & extingue ejus affectionem. Vides ægrotantem, & auges morbum? Hoc maximè ante omnia faciamus, ut præveniamus mutuum honore. Itaque si præveneris honore, teipsum honore magno ornasti: accelerans, ut magis honoreris, ubique primatus aliis concedamus, nihil eorum quæ erga nos facta sunt malorum cogitemus, sed si quid bonum. Nihil sic facit amicum ut lingua gratitudinis studiosa, os bene loqui solens, anima sine fastu, contemptus vanæ gloriæ, contemptus honoris. Si hæc fecerimus, poterimus fieri incomprehensibiles è diaboli laqueis,

A ἆρα πόσα οἱ ἔξωθεν ἐπενόησαν φιλικά· συντεχνίαν, γειτνίαν, συγγενείας. ἀλλὰ τούτων πάντων τὰ παρ' ἡμῖν μείζονα· ἡ τράπεζα αὕτη αἰδεσιμωτέρα. πολλοὶ δὲ τῶν προσιόντων, οὐδὲ ἴσμεν ἀλλήλους. τὸ πλῆθος τοῦτο ποιεῖ, φησίν. οὐδαμῶς· ἀλλ' ἡ ἡμετέρα ῥαθυμία. τρισχίλιοι ἦσαν καὶ πεντακισχίλιοι, καὶ πάντες εἶχον ψυχὴν μίαν. νῦν δὲ ἕκαστος τὸν ἀδελφὸν ἀγνοεῖ, καὶ οὐκ αἰσχύνεται τὸ πλῆθος αἰτιώμενος. ὁ μέντοι πολλοὺς φίλους ἔχων, ἀνάλωτος ἅπασίν ἐστι, τυράννου B παντὸς οὗτος ἰσχυρότερος. οὐχ οὕτως ἐκεῖνον οἱ δορυφόροι φυλάττουσιν, ὡς τοῦτον οἱ φίλοι· καὶ λαμπρότερος οὗτος ἐκείνου. ὁ μὲν γὰρ παρὰ τῶν αὐτοῦ δούλων φυλάττεται. ὁ δὲ παρὰ τῶν ὁμοτίμων. καὶ ὁ μὲν παρὰ ἀκόντων, καὶ δεδοικότων· οὗτος δὲ παρὰ ἑκόντων, καὶ οὐ δεδοικότων. καὶ ἔστιν ἰδεῖν πρᾶγμα θαυμαστὸν, ἐν πολλοῖς ἕνα, καὶ ἐν ἑνὶ πολλούς. καὶ καθάπερ ἐπὶ κιθάρας, διάφοροι μὲν οἱ φθόγγοι, μία δὲ ἡ συμφωνία, εἷς δὲ ὁ μουσικὸς ὁ τὴν κιθάραν μεταχειρίζων· οὕτως ἐν- C ταῦθα, κιθάρα μέν ἐστιν αὐτὴ ἡ ἀγάπη· φθόγγοι δὲ ἠχοῦντες, τὰ δι' ἀγάπης προφερόμενα ῥήματα φιλικὰ, μίαν καὶ τὴν αὐτὴν ἅπαντες ἀφιέντες ἁρμονίαν, καὶ συμφωνίαν· ὁ δὲ μουσικὸς, ἡ τῆς ἀγάπης δύναμις. αὕτη κρούει τὸ μέλος τὸ ἡδύ. ἐβουλόμην ὑμᾶς ἀγαγεῖν εἰς πόλιν τοιαύτην, εἴγε δυνατὸν ἔνθα μία ψυχὴ ἦν, καὶ εἶδες ἂν ὅπως πάσης κιθάρας, καὶ παντὸς αὐλοῦ ἁρμοδιωτέρα ἡ ἐκεῖ συμφωνία, οὐδὲν ἀπηχὲς ᾄδουσα μέλος. τοῦτο καὶ ἀγγέλους, καὶ τὸν ἀγγέλων D δεσπότην θεὸν εὐφραίνει τὸ μέλος· τοῦτο ὅλον τὸ ἐν τῷ οὐρανῷ θέατρον διανίστησι· τοῦτο καὶ δαιμόνων κηλεῖ θυμόν· παθῶν καταστέλλει ὁρμάς. τοῦτο τὸ μέλος, οὐ μόνον πάθη κηλεῖ, ἀλλ' οὐδὲ διαναστῆναι ἀφίησι, καὶ πολλὴν τὴν σιγὴν ἐργάζεται. καθάπερ γὰρ ἐν θεάτρῳ χοροῦ μουσικῶν πάντες μετὰ σιγῆς ἐπακούουσι, καὶ οὐδεὶς ἐκεῖ θόρυβος· οὕτω καὶ ἐν τοῖς φίλοις, τῆς ἀγάπης κρουούσης, πάντα ἠρεμεῖ τὰ πάθη, καὶ κατακοιμίζεται, καθάπερ θηρία κηλούμενα καὶ θελγόμενα· ὥσπερ E οὖν ἔνθα ἔχθρα, πάντα τὰ ἐναντία. ἀλλὰ μηδὲν περὶ ἔχθρας τέως εἴπωμεν· περὶ φιλίας λέγομεν μόνον. ἂν εἴπῃς τί προπετὲς, οὐδεὶς ὁ ἐπιλαμβανόμενος, ἀλλὰ πάντες συγγινώσκουσιν· ἂν πράξῃς, οὐδεὶς ὑποπτεύει, ἀλλὰ πολλὴ ἡ συγγνώμη. πάντες οἱ χεῖρα ὀρέγοντες πίπτοντι πρόχειροι· πάντες οἱ βουλόμενοι στῆναι πρόθυμοι. τεῖχος ὄντως ἄρραγές ἡ φιλία, καὶ οὐδὲ τῷ διαβόλῳ ἁλώσιμον, μή τί γε ἀνθρώποις. οὐκ ἔνι κινδύνῳ περιπεσεῖν τὸν φίλους κεκτημέ- A νον πολλούς· οὐκ ἔνι ὀργῆς ὑπόθεσιν σχεῖν, ἀλλὰ θυμηδίας. ἐν γέλωτι ἀεί ἐστι καὶ τρυφῇ. οὐκ ἔνι βασκανίας ὑπόθεσιν σχεῖν· οὐκ ἔνι μνησικακίας ἀφορμήν. ὅρα τὸν τοιοῦτον, καὶ τὰ πνευματικὰ, καὶ τὰ σαρκικὰ κατορθοῦντα μετ' εὐκολίας. τί δὴ οὖν τούτῳ ἴσον γένοιτ' ἄν; ὥσπερ πόλις τετειχισμένη πάντοθεν οὗτός ἐστιν· ἐκεῖνος δὲ ὥσπερ πόλις ἀτείχιστος. μεγάλης σοφίας, τὸ δύνασθαι φιλίας εἶναι δημιουργόν. ἄνελε τὴν φιλίαν, καὶ πάντα ἀνεῖλες, πάντα συνέ- B χεες. εἰ δὲ εἰκὼν φιλίας τοσαύτην ἔχει τὴν ἰσχὺν, αὐτὴ ἡ ἀλήθεια πόση τις ἂν εἴη; κατασκευάσωμεν τοίνυν ἡμῖν φίλους παρακαλῶ, καὶ ταύτην ἕκαστος ἐχέτω τὴν τέχνην. ἀλλ' ἰδοὺ, φησίν, ἐγὼ σπουδάζω· ἐκεῖνος δὲ οὐ σπουδάζει. πλείων ὁ μισθὸς οὕτως ἔσται σοι. ναὶ, φησίν· ἀλλὰ τὸ πρᾶγμα δυσκολώτερον. πῶς εἰπέ μοι; ἰδοὺ διαμαρτύρομαι, καὶ λέγω· ὅτι δέκα μόνον, ἐὰν συμφράξητε ἑαυτοὺς, καὶ ἔργον τοῦτο θῆτε, καθάπερ οἱ Ἀπόστολοι τὸ κηρύττειν, καθάπερ οἱ C προφῆται τὸ διδάσκειν, οὕτω καὶ ἡμεῖς τὸ φίλους ποιεῖν, μισθὸς ἔσται μέγας. βασιλικὰς εἰκόνας ἡμῶν αὐτοῖς κατασκευάζομεν. τοῦτο γνώρισμα μαθητῶν. καὶ πῶς οὐ μεῖζον ἐργαζόμεθα ἢ εἰ δύναμιν αὐτοῖς ἐνετίθεμεν νεκροὺς ἀνιστᾶν; τὸ διάδημα καὶ ἡ ἁλουργὶς δείκνυσι τὸν βασιλέα· καὶ τούτων οὐκ ὄντων, κἂν χρυσᾶ ἔχῃ ἱμάτια, οὔπω ὁ βασιλεὺς δῆλος. οὕτω δὴ καὶ νῦν τὸ γνώρισμα σὺ ἐργάζου, καὶ ποίη- D σον σεαυτῷ φίλους, καὶ ἄλλοις. οὐδείς ἐστιν ὅστις φιλούμενος θελήσει μισεῖν. μάθωμεν τὰ χρώματα δι' ὧν κεράννυται, δι' ὧν αὕτη συντίθεται ἡ εἰκών. εὐπροσήγοροι ὦμεν· μὴ περιμένωμεν τοὺς πλησίον. μὴ εἴπῃς, ἐὰν ἴδω τινὰ περιμένοντα, χείρων αὐτοῦ γίνομαι, ἀλλὰ μᾶλλον ὅτ' ἂν ἴδῃς, πρόλαβε καὶ σβέσον αὐτοῦ τὸ πάθος. ὁρᾷς κάμνοντα, καὶ ἐπιτείνεις τὴν νόσον; τοῦτο μάλιστα πρὸ πάντων κατορθώσωμεν, τὸ προηγεῖσθαι τῇ τιμῇ ἀλλήλους· τὸ ἡγεῖσθαι ἀλλή- E λους ὑπερέχοντας ἑαυτῶν. μὴ νομίσῃς ἐλαττοῦσθαι, ἂν ἄρα προηγήσῃ τῇ τιμῇ· σαυτὸν ἐτίμησας πλέον, εἰς τὸ πλέον τιμηθῆναι ἐπισπώμενος. πανταχοῦ τῶν πρωτείων ἑτέροις παραχωρῶμεν. μηδὲν τῶν εἰς ἡμᾶς εἰργασμένων δεινῶν μνημονεύωμεν, ἀλλ' εἴ τι ἀγαθόν. οὐδὲν οὕτω ποιεῖ φίλον, ὡς γλῶσσα εὐχάριστος, στόμα εὔφημον, ψυχὴ ἄτυφος, κενοδοξίας ὑπεροψία, τιμῆς καταφρόνησις. ἂν ταῦτα κατορθώσωμεν, δυνησόμεθα γενέσθαι ἀχείρωτοι ταῖς παγίσι τοῦ διαβόλου,

τῇ

καὶ μετὰ ἀκριβείας τὴν ἀρετὴν διανύσαντες τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ μα΄.

Εἰσελθὼν δὲ εἰς τὴν συναγωγὴν, ἐπαῤῥησιάζετο ἐπὶ μῆνας τρεῖς διαλεγόμενος καὶ πείθων τὰ περὶ τῆς βασιλείας τοῦ Θεοῦ.

ΟΡΑ πανταχοῦ ἑαυτὸν εἰσωθοῦντα εἰς τὰς συναγωγὰς, καὶ οὕτως ἐξιόντα. πανταχοῦ γὰρ παρ' αὐτῶν ἐβούλετο λαβεῖν ἀφορμὴν ὅπερ ἔφην. τά τε γὰρ ἔθνη παρεζήλου λοιπὸν καὶ προθύμως ἀπεδέχοντο αὐτὸν, οἵ τε Ἰουδαῖοι τῶν ἐθνῶν δεχομένων μετενόουν. ἐβούλετο ἀποστῆσαι τοὺς μαθητὰς ἐκεῖθεν καὶ παρ' αὐτῶν λαβεῖν τὴν ἀρχὴν ὥστε μὴ συνάγεσθαι, καὶ οὐχ ἁπλῶς τοῦτο ἐποίει. διὰ τοῦτο διελέγετο αὐτοῖς συνεχῶς, ὅτι ἔπειθε. μὴ οὖν ἐπειδὴ παῤῥησίαν ἤκουσας, τραχύτητα νομίσῃς. περὶ χρηστῶν πραγμάτων διελέγετο, περὶ βασιλείας. τίς οὐκ ἂν ἤκουσεν; „ὡς δέ τινες ἐσκληρύνοντο καὶ ἠπείθουν, κακολογοῦντες τὴν ὁδὸν „ἐνώπιον τοῦ πλήθους, ἀποστὰς ἀπ' αὐτῶν, ἀφώρισε τοὺς μαθητὰς, „καθ' ἡμέραν διαλεγόμενος ἐν τῇ σχολῇ Τυράννου τινός. τοῦτο δὲ „ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας τοὺς κατοικοῦντας τὴν Ἀσίαν ἀκοῦ„σαι τὸν λόγον τοῦ Κυρίου Ἰησοῦ, Ἰουδαίους τε καὶ Ἕλληνας. ὁδὸν τὸ κήρυγμα εἰκότως ἐκάλουν. ὄντως γὰρ αὕτη ἡ ὁδὸς ἦν ἡ ἀπάγουσα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ἐν τῇ σχολῇ, φησὶ, Τυράννου τινὸς διελέγετο, καὶ τοῦτο ἐγένετο ἐπὶ ἔτη δύο, ὥστε πάντας ἀκοῦσαι τὸν λόγον Ἰουδαίους τε καὶ Ἕλληνας. ὁρᾷς πόσον ἤνυσεν ἡ ἐπιστασία; καὶ Ἰουδαῖοι καὶ Ἕλλη„νες ἤκουον. δυνάμεις τε οὐ τὰς τυχούσας ἐποίει ὁ Θεὸς διὰ τῶν χει„ρῶν Παύλου, ὥστε καὶ ἐπὶ τοὺς ἀσθενοῦντας ἐπιφέρεσθαι ἀπὸ τοῦ χρω„τὸς αὐτοῦ σουδάρια ἢ σιμικίνθια, καὶ ἀπαλλάσσεσθαι ἀπ' αὐτῶν „τὰς νόσους, τά τε πνεύματα τὰ πονηρὰ ἐξέρχεσθαι ἀπ' αὐτῶν. οὐχὶ φέροντες ἧπτοντο μόνον, ἀλλὰ καὶ λαμβάνοντες ἐπετίθεσαν. διὰ τοῦτο οὐκ εἴα ὁ Χριστὸς ἀπελθεῖν αὐτὸν εἰς τὴν Ἀσίαν, τηρῶν τοῦτον τὸν καιρὸν „ὡς ἔγωγε οἶμαι. ἐπεχείρησαν δέ τινες ἀπὸ τῶν περιερχομένων Ἰου„δαίων ἐξορκιστῶν, ὀνομάζειν ἐπὶ τοὺς ἔχοντας τὰ πνεύματα τὰ πο„νηρὰ τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, λέγοντες· ὁρκίζομεν ὑμᾶς τὸν Ἰησοῦν ὃν Παῦλος κηρύσσει. οὕτω πάντα ἐποίουν πραγματείας ἕνεκεν. ὅρα· πιστεῦσαι μὲν οὐκ ἤθελον· διὰ δὲ τοῦ ὀνόματος ἤθελον ἐκβάλλειν τοὺς δαίμονας. Βαβαὶ τὸ ὄνομα τοῦ Παύλου πόσον ἦν! ἦσαν δέ „τινες υἱοὶ Σκευᾶ Ἰουδαίου ἀρχιερέως ἑπτὰ οἱ τοῦτο ποιοῦντες. ἀποκρι„θὲν δὲ τὸ πνεῦμα τὸ πονηρὸν, εἶπεν αὐτοῖς· τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦ„λον ἐπίσταμαι· ὑμεῖς δὲ τίνες ἐστέ; καὶ ἐφαλλόμενος ἐπ' αὐτοὺς ὁ „ἄνθρωπος, ἐν ᾧ ἦν τὸ πνεῦμα τὸ πονηρὸν καὶ κατακυριεύσας αὐτῶν, „ἴσχυσε κατ' αὐτῶν, ὥστε γυμνοὺς καὶ τετραυματισμένους ἐκφυγεῖν ἐκ „τοῦ οἴκου ἐκείνου. τοῦτο δὲ ἐγένετο γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι „κατοικοῦσι τὴν Ἔφεσον. οὐκοῦν λανθάνοντας ἐποίουν· εἶτα ἐκπομ„πεύεται αὐτῶν ἡ ἀσθένεια. καὶ ἐπέπεσε φόβος ἐπὶ πάντας αὐτοὺς, καὶ „ἐμεγαλύνετο τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ, πολλοί τε τῶν πεπιστευκότων „ἤρχοντο, ἐξομολογούμενοι, καὶ ἀναγγέλλοντες τὰς πράξεις αὐτῶν. ἐπειδὴ γὰρ τοσαύτην ἰσχὺν εἶχον, ὥστε διὰ τῶν δαιμονίων τοιαῦτα ποιεῖν, εἰκό„τως ταῦτα γίνεται. ἱκανοί τε τῶν περίεργα πραξάντων συνενέγκαν„τες τὰς βίβλους, κατέκαιον ἐνώπιον πάντων, καὶ συνεψήφισαν τὰς „τιμὰς αὐτῶν, καὶ εὗρον ἀργυρίου μυριάδας πέντε. οὕτω κατὰ κράτος ὁ „λόγος τοῦ Κυρίου ηὔξανε καὶ ἴσχυεν. ἰδόντες ὅτι οὐδὲν αὐτῶν ὄφελος λοιπὸν ἦν, κατακαίουσι τὰς βίβλους, ὅτε καὶ αὐτοὶ οἱ δαίμονες ταῦτα ποιοῦσιν. οὐκ ἄρα τὸ ὄνομά τι ποιεῖ ἂν μὴ μετὰ πίστεως λέγηται. καλῶς ἄρα ἔλεγεν, ὁ πιστεύων εἰς ἐμὲ μείζονα ποιήσει, τοῦτο τὸ τῶν σκιῶν αἰνιττόμενος, ὅρα πῶς τοῖς ὅπλοις καθ' ἑαυτῶν ἐχρήσαντο. καὶ διελέγετο, φησὶν, ἐν τῇ σχολῇ Τυράννου τινὸς ἐπὶ ἔτη δύο. ἔνθα πιστοὶ ἦσαν, καὶ σφόδρα πιστοί. οὕτως οὐδὲν μέγα ἐνόμιζον τὸν Ἰησοῦν, ὅτε καὶ τὸν Παῦλον προσετίθεσαν ὡς αὐτῶν ταύτῃ μέγα τι νομίζοντες εἶναι. ἄξιον ἐνταῦθα θαυμάσαι, πῶς ὁ δαίμων οὐ συνέπραξεν ἐκεῖνος τῇ τῶν ἐξορκιστῶν πλάνῃ, ἀλλὰ διήλεγξεν αὐτοὺς καὶ τὴν σκηνὴν αὐτῶν φανερὰν ἐποίησεν. ἐμοὶ δοκεῖ σφόδρα θυμωθεὶς, ὥσπερ ἂν εἴ τις περὶ τῶν ἐσχάτων κινδυνεύων, ὑπό τινος οἰκτροῦ καὶ ταλαιπώρου διελέγχοιτο, καὶ πάντα εἰς ἐκεῖνον ἀφεῖναι βούλεται τὸν θυμόν. ἵνα γὰρ μὴ δόξῃ καταφρονεῖσθαι τὸ ὄνομα τοῦ Ἰησοῦ, πρότερον ὁμολογήσας, τότε ἔλαβεν ἐξουσίαν. εἰ γὰρ οὐ τοῦ ὀνόματος ἦν ἀσθένεια, ἀλλὰ τῆς ἐκείνων ἀπάτης τὸ πᾶν, ἐπὶ Παύλου διατί μὴ ταῦτα γεγένηται; καὶ ἐφαλλόμενος, φησὶν, ὁ ἄνθρωπος ἐπ' αὐτούς. ἴσως διέῤῥηξεν αὐτῶν τὰ ἱμάτια καὶ προσέῤῥαξεν αὐτῶν τὰς κεφαλάς. τοῦτο γὰρ ἐδήλωσε τῷ εἰπεῖν, ἐφαλλόμενος· τουτέστι, μετὰ ῥύμης ἐπιπηδήσας, ὥστε ἱκανὸν ἦν τοῦτο ἐργάσασθαι. τί ἐστιν, ἀποστὰς ἀπ' αὐτῶν ἀφώρισε τοὺς μαθητάς; ἐνέκοψεν αὐτῶν, φησὶ, τὴν κακολογίαν. τοῦτο δὲ ποιεῖ καὶ ἀφίσταται, ἐπεὶ οὐκ ἠβούλετο ἐκκαῦσαι αὐτῶν τὸν φθόνον, οὐδὲ εἰς ἔριν ἐμβαλεῖν πλείονα. τὸ δὲ ἐπαῤῥησιάζετο λέγει, δηλῶν ὅτι καὶ πρὸς κινδύνους ἦν παρατεταγμένος, καὶ φανερώτερον διελέγετο οὐ συσκιάζων τὰ δόγματα.

& bene hac vita transacta, bona diligentibus Deum promissa assequi, gratia & misericordia Domini nostri Jesu Christi, cui cum Patre simul ac sancto Spiritu sit gloria, imperium, & honor, & nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XLI.

Ingressus autem in Synagogam liberè loquutus est ad menses tres disserens & suadens ea quæ de regno Dei.

VIde ubique, ut seipsum in synagogas intrudit, & sic egreditur. Semper enim ab illis volebat occasionem sumere, ut dixi. Nam & gentes exstimulabat jam, & alacriter suscipiebant eum. Judæi autem suscipientibus fidem gentibus, pœnitudine ducebantur. Volebat discipulos illinc abstrahere, & inde facere initium, magis quam congregentur illic. Et non simpliciter hoc faciebat. Propter hoc disserebat illis continuò, quia persuadebat. Ne igitur quoniam libertatem dicendi audisti, asperitatem putes. De utilibus rebus disputabat, *de regno.* Quis non audisset? *Quia autem quidam indurabantur, & non persuadebantur malè loquentes de via Domini coram multitudine, digressus ab illis segregavit discipulos, quotidie disserens in schola Tyranni cujusdam. Hoc autem factum est per annos duos: ita ut omnes, qui habitant in Asia, audirent verbum Domini Jesu, tam Judæi quam Græci. Viam Domini*, prædicationem meritò vocabant: verè enim *via* est, quæ ducit in regnum cœlorum. *In schola*, inquit, *Tyranni cujusdam disputabat. Et hoc factum est per duos annos: ita ut omnes audirent sermonem, tam Judæi, quàm Græci.* Vides quantùm profuit continuò urgere? Et Judæi, & Græci audierunt. *Virtutésque non vulgares faciebat Deus per manus Pauli. Et ita ut etiam super infirmos auferrent à corpore ejus sudaria, & simicinctia, & liberarentur ab infirmitatibus suis, egrederenturque ab eis spiritus immundi.* Non referentes tangebant solum, sed & accipientes apponebant. Idcirco Christus non permittit illum abire in Asiam, observans, ut equidem opinor, tempus hoc. *Attentaverunt autem quidam ex Judæis, exorcistis, qui obambulabant, nominare super eos qui habebant spiritus malos, nomen domini Jesu, dicentes: Exorcizamus vos per Jesum quem Paulus prædicat.* Ita omnia faciebant negociationis ac lucri gratia. Noluerunt quidem credere, sed per nomen voluerunt ejicere dæmones. Papæ, quantum erat nomen Pauli. *Erant filii Sceva Judæi principis Sacerdotum, septem, qui hoc faciebant. Respondens autem spiritus malus, dixit eis: Jesum cognosco, & Paulum scio. Vos autem qui estis? Et insiliens in eos homo, in quo erat spiritus malus, invaluit contra eos, ita ut nudi ac saucii effugerent de domo illius. Hoc autem notum factum est Judæis, Græcisque omnibus qui habitabant in Epheso.* Igitur clam faciebant. Posteà divulgata est eorum infirmitas. *Et irruit timor super omnes illos, & magnificatum est nomen Domini nostri Jesu Christi: Et multi eorum qui crediderant, venerunt confitentes ac annunciantes opera sua.* Quoniam autem tantam potestatem habebant, ut etiam per dæmonia talia facerent, meritò hæc fiunt. *Multi autem erant ex his, qui curiosas artes exercuerant, qui comportatos libros excusserunt coram omnibus, & computaverunt precium illorum, & repererunt quinquaginta millia nummorum.* Ita validè sermo Domini crevit, & invaluit. Videntes autem, quod nihil illis posteà utilitatis esset, excusserunt libros. Quando & ipsi dæmones hæc faciunt. Non igitur nomen aliquid facit, si non cum fide dicatur. Bene igitur dicebat: *Qui credit in me, majora his faciet*, has umbras insinuans. Joh. 14,12. Vide quomodo armis contra seipsos usi sunt. *Et disputabant*, inquit, *in schola Tyranni cujusdam, ad annos duos.* Ubi fideles fuerunt, valdéque fideles. Ita nihil magnum putabant esse Jesum, quia & Paulum addiderant, quia & ipsum hac ratione magnum quiddam esse putabant. Dignum est hic admiratione, quomodo dæmon ille non cooperatus est errori illorum, sed refutavit eos, & omnem dolum eorum manifestavit. Mihi videtur valde succensuisse, quemadmodum si quis extremè periclitetur, è miserabili & ærumnoso quodam refutetur, & omnem in illum remittere velit furorem. Ut enim ne videatur contemni, nomen Jesu prius confessus est, & tunc accepit potestatem. Quod enim non nominis fuerit infirmitas, sed omnino à deceptione illorum, quare hoc ipsum non etiam Paulo accidit? *Et insiliens*, inquit, *homo in illos.* Fortassis disrupit illorum vestes, & dedolavit illorum capita. Hoc enim manifestavit dicendo: *Insiliens*: atque adeò satis erat hoc facere: Quid est: *Digressus ab illis, segregavit discipulos?* Impedivit illorum maledicentiam. Hoc autem facit digrediens: quia noluit illorum invidiam accendere, neque in majorem incitare rixam. Quod autem dicit: Liberè loquutus est: manifestat & ad pericula promptum fuisse, & non adumbratis dogmatis aperte disseruisse.

Hinc

Hinc discimus, quod nos immiscere non debemus maledicentibus, sed abeundum ab eis. Quum malediceretur, non maledixit etiam ipse, sed potius quotidie disputabat: & hanc ob causam potissimum sibi familiares faciebat, quod quamvis malè audiret, non tamen recederet, neque resiliret. Et observa, postquam tentatio ab extraneis cessavit, à dæmoniis incipit. Vides cæcitatem Judaicam. Vestes illius videbant efficaces, & non attendebant. Quid hac re majus fieret? Alii, gentes inquam, omnino secus agebant. Si quis Græcorum non crederet, videns umbram hæc operari, crederet: Sic dum illi ab his separantur, alii quidem maledicendo & calumniando dogma, vincuntur. Hoc enim vocavit *viam*. Ipse autem digressus est, ne discipuli secederent, & ne illi in furorem concitarentur: ostendens semper, quod salutem repellant: Et jam hic neque defendit illos, utpote ubique gentibus credentibus: ac disserit, non simpliciter inquisito loco, sed ubi schola erat, ut commodius illic congregentur. Papæ, quanta eorum qui crediderant virtus, quæ & aliis facere concedit? Quanta autem cæcitas illorum, etiam post demonstrationem virtutis adhuc manentium in infidelitate? Igitur quemadmodum Simon propter lucrum quærebat gratiam spiritus, ita & hi propter idipsum hoc faciebant. Quanta cæcitas? Et quidnam ad hæc Paulus? Non increpat. Quia habitum opus invidiæ, propter hoc singulari dispensatione hac utitur. Hoc & Christus egit. Sed tunc quidem non prohibebatur. Principium enim rerum erat, quoniam & Judas fur non prohibebatur. Ananias autem & Sapphira etiam occisi sunt. Et multi quidem Judæi etiam insurgentes, nihil patiebantur. Elymas autem magus

Joh.3,17. excæcatus est. *Non enim veni, inquit: ut judicem mundum, sed ut servetur mundus.* Vide impietatem pollutissimam. Judæi quum adhuc manerent in impietate, per ipsum nomen negociari voluerunt: atque sic omnia faciebant ad vanam gloriam & lucrum. Vide ubique, quod non sic homines convertuntur per utilia, sicut per terribilia. Ubi de Sapphira mentio fuit, irruit timor super ecclesiam, & non audebant adhærere illis. Hic sudaria & semicinctia accipiunt, & sanant. Et post hæc venerunt confitentes peccata sua. Ex eo quod insiliebat, ostenditur dæmonum magna quædam vis esse, quam contra infideles habent. Et quare non dixit spiritus malus: Quis est Jesus? Sed dixit magis inutilia verba. Terrebatur, ne & ipse pœnam det. Sciebat enim, concedi ei, illos ulcisci quod hujus nominis illusores fecerat. Quare autem & miseri non dixerunt illi: Credimus? Timuerunt Paulum, quamvis certè multò clariores fuissent, siquidem sibi familiarem illum fecissent. Et aliter: Etiam hoc quod in Philippis contigit & illos castigavit. Tu autem vide, ut scriptor hic minimè sit molestus, & historiam solum scribit, & non accusat. Hoc Apostolos faciebat admirabiles. Sed cujus fuerint filii, nomen dicit & numerum, dans his qui tunc erant, indicium, quàm certa scribat. Quare autem & obambulabant? Lucri, & non annunciandi verbi, gratia. Quomodo enim? Bene autem currebant, postea prædicantes, propter ea quæ patiebantur. Unde hoc manifestans dicit: *Et factum est, inquit, notum omnibus tam Judæis, quàm gentibus, qui habitabant in Epheso.* Nonne hoc etiam eos, qui obdurescebant convertere debuit? Dic oro. Sed non convertit, & ne mireris. Malitiæ enim nihil est quod persuadeat. Age & istuc ipsum, quanta videlicet sit exorcistarum malitia, videamus. Quare hoc non Christo ipsi accidit, alterius, & non præsentis temporis quæstio fuerit: Verùm quod bene hoc factum sit, & utiliter. Mihi enim videntur illi per irrisionem fecisse, unde & puniuntur. Et ita etiam ne postea ausit quis nomen illud nominare tam temerè, terrentur alii, & magnum argumentum habent Deum scire omnia: maximum argumentum erat, priusquam à dæmonibus redarguerentur, seipsos accusabant, terrentur, ne eadem patiantur. Quando enim adjutores illorum dæmones accusare illos cœperunt, & non jam adjuvabant, qualis jam spes ultrà; quam per opera confessio? Vide autem qualia paulò pòst mala fiunt, factis signis? Talis enim est hominum natura. Statim beneficiorum obliviscitur. An non meministis, quod in ipsis quæ nobiscum facta, idem accidit? Nonne superiori anno concussit Deus civitatem totam? Quid? Nónne omnes ad illuminationem currebant? Nónne scortatores & molles & effœminati, dimissis possessionibus & locis in quibus conversabantur, conversi sunt & facti religiosi? Ubi autem tres dies transierunt, iterum redierunt ad suam malitiam. Unde hoc factum? Ex magna ignavia.

ἐντεῦθεν μανθάνομεν, μὴ ἐμόσε χωρεῖν τοῖς κακολογοῦσιν, ἀλλ' ἀφίστασθαι αὐτῶν. οὐκ ἐκακολόγησε κακῶς ἀκούων καὶ αὐτὸς, ἀλλὰ μᾶλλον διελέγετο καθ' ἡμέραν, καὶ ταύτῃ μάλιστα οἰκειούμενος τοὺς πολλοὺς τῷ κακῶς, καί τι ἀκούσας μὴ ἀποπηδῆσαι μηδὲ χωρισθῆναι. καὶ σκόπει· ἐπεὶ ὁ τῶν ἔξω πειρασμὸς ἐπαύσατο, ἀπὸ τῶν δαιμόνων ἤρξατο. ὁρᾷς πώρωσιν Ἰουδαϊκήν; τὰ ἱμάτια αὐτοῦ ἰδόντες ἐνεργοῦντα, οὐ προσεῖχον· τί τούτου μεῖζον ἂν γένοιτο; τίς δὲ μᾶλλον εἰς τοὐναντίον περιέστη. εἴ τις Ἑλλήνων ἀπιστεῖ τὴν σκιὰν ὁρῶν ταῦτα ἐργαζομένην, πιστευέτω· οὕτω τῷ ἐξ αὐτῶν ἀποστῆναι, οἱ μὲν κακολογοῦντες, καὶ διαβάλλοντες τὸ δόγμα ἡττῶνται. τοῦτο γὰρ ἐκάλεσεν ὁδόν· αὐτὸς δὲ ἀφίσταται, ὡς μήτε τοὺς μαθητὰς ἀναχωρῆσαι, μήτε ἐκείνους εἰς θυμὸν ἐγεῖραι, δεικνὺς πανταχοῦ διωθουμένους τὴν σωτηρίαν. καὶ λοιπὸν ἐνταῦθα οὐδὲ ἀπολογεῖται αὐτοῖς, ἅτε πανταχοῦ τῶν ἐθνῶν πιστευσάντων· καὶ διαλέγεται, οὐχ ἁπλῶς τὸν τόπον ζητήσας, ἀλλ' ἔνθα σχολὴ ἦν, ὡς ἐπιτηδειότερος διὰ τὸ ἐκεῖ συνάγεσθαι. Βαβαὶ πόση τῶν πιστευσάντων ἡ δύναμις, καὶ ἑτέροις τοῦ τὰ αὐτὰ ποιεῖν γίνεται· πόση δὲ πώρωσις τῶν καὶ μετὰ τὴν ἀπόδειξιν τῆς δυνάμεως ἐπιμενόντων τῇ ἀπιστίᾳ. ὥσπερ οὖν Σίμων ἐμπορίας ἕνεκεν ἐζήτει τοῦ πνεύματος τὴν χάριν, οὕτω καὶ οὗτοι τοῦ αὐτοῦ τούτου ἕνεκεν τοῦτο ἐποίουν. πόση πώρωσις; καὶ τί δήποτε ὁ Παῦλος οὐκ ἐπιτιμᾷ; ὅτι ἔδοξεν ἂν βασκανίας εἶναι τὸ πρᾶγμα, διὰ τοῦτο οἰκονομεῖται οὕτω. τοῦτο καὶ ἐπὶ τοῦ Χριστοῦ γέγονεν· ἀλλὰ τότε μὲν οὐ κωλύεται· ἀρχὴ γὰρ τῶν πραγμάτων ἦν· ἐπεὶ καὶ Ἰούδας κλέπτων οὐκ ἐκωλύετο· Ἀνανίας δὲ καὶ Σάπφειρα, καὶ ἀνῃρέθησαν. καὶ πολλοὶ Ἰουδαῖοι μὲν καὶ ἀνθιστάμενοι οὐδὲν ἔπασχον, Ἐλύμας δὲ ἐτυφλώθη. οὐ γὰρ ἦλθον, φησὶν, ἵνα κρίνω τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος. ὅρα μιαρίαν. Ἰουδαῖοι μένοντες ἔτι, ἀπὸ τοῦ ὀνόματος χρηματίζειν ἤθελον, ὥστε πάντα πρὸς δόξαν ἐποίουν καὶ πορισμόν. θέα πανταχοῦ οὐχ οὕτω τοὺς ἀνθρώπους ἐπιστρεφομένους ἀπὸ τῶν χρηστῶν, ὡς ἀπὸ τῶν φοβερῶν. ἐπὶ Σαπφείρας φόβος ἐπέπεσεν ἐπὶ τὴν ἐκκλησίαν, καὶ οὐκ ἐτόλμων κολλᾶσθαι αὐτοῖς. ἐνταῦθα σουδάρια καὶ σιμικίνθια ἐλάμβανον καὶ ἰῶντο, καὶ μετὰ τοῦτο τότε ἦλθον ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. ἀπὸ τοῦ ἐφάλλεσθαι δείκνυται τῶν δαιμόνων ἡ δύναμις μεγάλη τις οὖσα, ὅτ' ἂν πρὸς ἀπίστους ἔχῃ. καὶ διατί μὴ εἶπε, τίς ἐστιν ὁ Ἰησοῦς, τὸ πνεῦμα τὸ πονηρόν; ἀλλ' εἶπε, μᾶλλον τὰ ἀνόητα ῥήματα; ἐφοβεῖτο μὴ καὶ αὐτὸς δίκην δῷ. ᾔδει γὰρ ὅτι τὸ συγχωρηθῆναι αὐτῷ ἐκείνους ἀμύνασθαι τοὺς καταπαίζοντας αὐτοῦ τοῦτο τὸ ὄνομα πεποίηκε. διατί δὲ καὶ οἱ ἄθλιοι μὴ εἶπον αὐτῷ, πιστεύομεν; ἐδεδοίκεσαν Παῦλον. καίτοι πόσῳ μᾶλλον λαμπρότεροι ἂν ἦσαν τοῦτο εἰπόντες, εἴγε ᾠκειώσαντο αὐτοῦ τὴν δεσποτείαν; ἄλλως τε· καὶ τὸ ἐν Φιλίπποις γινόμενον, καὶ τούτους ἐσωφρόνισε. σὺ δέ μοι σκόπει τοῦ συγγραφέως ἐνταῦθα τὸ ἀνεπαχθές· καὶ πῶς ἱστορίαν μόνον γράφει, καὶ οὐ διαβάλλει. τοῦτο τοὺς Ἀποστόλους ἐποίει θαυμαστούς. ἀλλὰ τίνος ἦσαν υἱοὶ τὸ ὄνομα λέγει, καὶ τὸν ἀριθμόν· διδοὺς τοῖς τότε τεκμήριον ἀξιόπιστον ὧν ἔγραφε. τίνος δὲ ἕνεκεν καὶ περιήρχοντο; ἐμπορίας χάριν. οὐ γὰρ δὴ τὸν λόγον καταγγέλλοντες· πῶς γάρ; καλῶς δὲ ἔτρεχον λοιπὸν, κηρύττοντες δι' ὧν ἔπασχον. ὅθεν τοῦτο δηλῶν, καὶ ἐγένετο, φησὶ, γνωστὸν πᾶσιν Ἰουδαίοις τε καὶ Ἕλλησι τοῖς κατοικοῦσι τὴν Ἔφεσον. τοῦτο οὐχὶ καὶ τοὺς σκληρυνομένους ἐπιστρέψαι ὤφειλεν, εἰπέ μοι; ἀλλ' οὐκ ἐπέστρεψε. καὶ μὴ θαυμάσῃς. τὴν γὰρ κακίαν οὐδὲν πείθει. φέρε δὲ καὶ αὐτὸ τὸ τῶν ἐξορκιστῶν ἴδωμεν ὅσης ἐστὶ κακίας. τίνος δὲ ἕνεκεν ἐπὶ τοῦ Χριστοῦ τοῦτο μὴ γέγονεν, ἑτέρου καιροῦ, καὶ οὐ τοῦ παρόντος ζητῆσαι· πλὴν ὅτι καλῶς τοῦτο ἐνταῦθα γέγονε καὶ χρησίμως. ἐμοὶ γὰρ δοκεῖ χλευάζοντας αὐτοὺς τοῦτο ποιεῖν, ὅθεν τιμωροῦνται, ὥστε καὶ ἀπὸ τούτου μηδένα τολμᾶν μηδὲ ὡς ἔτυχε τὸ ὄνομα ὀνομάζειν λοιπόν. τοῦτο πολλοὺς τῶν πιστευσάντων εἰς ἐξομολόγησιν ἤγαγε· τοῦτο καὶ φόβον αὐτοῖς ἐνέβαλε, καὶ τοῦ πάντα εἰδέναι τὸν Θεὸν μέγιστον τοῦτο τεκμήριον γέγονε, πρὶν ἢ ὑπὸ τῶν δαιμόνων ἐλεγχθῆναι ἑαυτῶν κατηγόρουν, φοβούμενοι μὴ τὰ αὐτὰ πάθωσιν. εἰκότως. ὅτ' ἂν γὰρ οἱ βοηθοῦντες δαίμονες κατήγοροι αὐτῶν ὦσι, καὶ οὐ σύμμαχοι, ποία λοιπὸν ἐλπὶς, ἢ διὰ τῶν ἔργων ἐξομολόγησις; ὅρα δὲ οἷα μετὰ μικρὸν γίνεται κακὰ [τοιούτων] σημείων γινομένων. τοιαύτη γὰρ ἡ ἀνθρωπίνη φύσις, ταχέως ἐπιλανθάνεται ὧν εὐεργετεῖται· ἢ οὐ μέμνησθε ὅτι καὶ ἐπὶ τῶν καθ' ἡμᾶς γινομένων τὸ αὐτὸ τοῦτο γέγονεν; εἰπὲ γάρ μοι· οὐ πέρυσιν ἐτίναξεν ὁ Θεὸς τὴν πόλιν πᾶσαν; τί δαί; οὐχὶ πάντες ἐπὶ τὸ φώτισμα ἔδραμον; οὐχὶ πόρνοι καὶ μαλακοὶ, καὶ διεφθαρμένοι οἰκήματα ἀφέντες, καὶ τοὺς τόπους ἐν οἷς διέτριβον, μετετίθεσαν, καὶ γεγόνασιν εὐλαβεῖς; ἐπειδὴ δὲ τρεῖς ἡμέραι παρῆλθον, πάλιν ἐπὶ τὴν οἰκείαν ἐπανῆλθον κακίαν. πόθεν [δὲ] τοῦτο γίνεται; ἀπὸ τῆς πολλῆς νωθείας.

καὶ τί θαυμαστὸν εἰ τῶν πραγμάτων παρελθόντων, ὅπουγε τῶν εἰκόνων διηνεκῶς μενουσῶν, τὸ αὐτὸ γίνεται; τὰ ἐν Σοδόμοις, εἰπέ μοι, οὐχὶ διηνεκῆ τυγχάνει; τί οὖν; οἱ προσοικοῦντες ἀπὸ τούτων γεγόνασι βελτίους; οὐδαμῶς. τί δαὶ ὁ τοῦ Νῶε υἱός; οὐχὶ τοιοῦτος ἦν; οὐχὶ ἐν ὄρεσι βλέπων ἐρημίαν τοσαύτην κακὸς ἦν; μὴ δὴ θαυμάζωμεν πῶς οὐκ ἐπίστευσαν τούτων γινομένων, ὅπουγε αὐτὴ ἡ πίστις πολλάκις εἰς τοὐναντίον αὐτοὺς περιτρέπεται εἰς κακίαν. οἷον ὡς ὅταν δαιμονῶντα λέγωσι τὸν υἱὸν τοῦ Θεοῦ. ἢ οὐχ ὁρᾶτε, καὶ νῦν ταῦτα γινόμενα, καὶ ὀφιώδεις ἀνθρώπους ὄντας πολλοὺς ἀπίστους τε καὶ ἀγνώμονας, οἳ καὶ κατὰ τοὺς ἔχεις ὅταν ἀπολαύσωσιν εὐεργεσίας, καὶ φιλανθρωπευθῶσιν ὑπό τινων, τότε λυποῦσι τοὺς εὐεργέτας; ταῦτα ἡμῖν εἴρηται, ἵνα μή τις θαυμάζῃ πῶς τοιούτων σημείων γινομένων οὐ πάντες ἐπέστρεψαν. ἴδετε γὰρ ἐπὶ τῶν καιρῶν τῶν ἡμετέρων τὰ κατὰ τὸν μακάριον Βαβύλαν γέγονε· τὰ κατὰ τὰ Ἱεροσόλυμα· τὰ κατὰ τὴν καθαίρεσιν τῶν ἱερῶν, καὶ οὐ πάντες ἐπέστρεψαν. τί δεῖ τὰ παλαιὰ λέγειν; πέρυσιν ἔναγχος ὑμῖν οἷον γέγονε, καὶ οὐδεὶς προσέσχεν· ἀλλὰ πάλιν κατὰ μικρὸν ὑπερρύησαν, καὶ κατέπεσον. ἕστηκε διηνεκῶς ὁ οὐρανὸς βοῶν ὅτι δεσπότην ἔχει, καὶ τεχνίτου τινός ἐστι τόδε τὸ πᾶν. τὸν κόσμον λέγω, καὶ λέγουσί τινες, ὅτι οὐχί. τὰ κατὰ Θεόδωρον ἐκεῖνον γεγενημένα πέρυσι, τίνα οὐκ ἐξέπληξε; καὶ ὅμως οὐδὲν πλέον γέγονεν· ἀλλὰ πρὸς καιρὸν γινόμενοι εὐλαβεῖς, πάλιν ἐπανῆλθον ὅθεν γεγόνασιν εὐλαβεῖς. τοῦτο καὶ ἐπὶ τῶν Ἑβραίων τότε συνέβη. διὸ καὶ ἔλεγεν ὁ προφήτης· ὅταν ἀπέκτεινεν αὐτοὺς, τότε ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεόν. καὶ τί δεῖ λέγειν τὰ καθολικά; πόσοι νόσοις περιέπεσον; πόσοι ἐπηγγείλαντο ἀναστάντες πολλὴν τὴν μεταβολὴν ἐργάσασθαι, καὶ πάλιν οἱ αὐτοὶ γεγόνασι; τοῦτο μάλιστα δείκνυσιν ἡμῖν τὴν προαίρεσιν, καὶ τὴν ἐλευθερίαν τῆς ἡμετέρας φύσεως, ἡ ἀθρόα μεταβολή. εἰ γὰρ φυσικὰ ἦν τὰ κακὰ, οὐδ' ἂν αὕτη γέγονε. τὰ γὰρ κατὰ φύσιν καὶ ἀνάγκην, οὐ δυνάμεθα μεθίστασθαι. καὶ μὴν μεθιστάμεθα, φησί. οὐ βλέπομεν γάρ τινας φύσει μὲν ἔχοντας βλέπειν· ὑπὸ δὲ τοῦ φόβου δὲ τυφλουμένους. ἐπειδὴ καὶ τοῦτο φύσεώς ἐστι συστέλλεσθαι, ὅταν φύσις ἑτέρα προσέλθῃ. ὥστε κατὰ φύσιν ἡμῶν ἐστι τὸ πεφοβημένους μὴ βλέπειν· κατὰ φύσιν δὲ, καὶ τοῦ μείζονος ἐπιγινομένου φόβου τὸν ἕτερον ὑπεξίστασθαι. τί οὖν ἂν καὶ ἡ σωφροσύνη, φησὶ, κατὰ μὲν φύσιν ᾖ, ὁ δὲ φόβος κρατήσας ταύτην ἐκβάλλῃ; τί οὖν ἂν δείξω τινὰς, μηδὲ τότε σωφρονιζομένους, ἀλλὰ καὶ ἐν τούτοις τοῖς φόβοις ὄντας ἰταμούς; οὐ φυσικὸν τοῦτό ἐστιν. εἴπω τὰ παλαιά; ἀλλὰ τὰ νέα; πόσοι δὴ ἐν αὐτοῖς ἐκείνοις τοῖς φόβοις ἐναπέμειναν γελῶντες, χλευάζοντες, καὶ οὐδὲν ἔπαθον τοιοῦτον; εἰπέ μοι· ὁ Φαραὼ οὐκ εὐθέως μετέστη, καὶ ἐπὶ τὴν προτέραν κακίαν ἀνέτρεχε; ἐνταῦθα δὲ, ἐπὶ τῶν τὰ δαιμόνια ἐχόντων, καί τοι οὐκ ἀγνοούντων αὐτῶν, προσετίθεσαν ἁπλῶς οἱ λέγοντες, τὸν Ἰησοῦν ὁρκίζομεν ὑμᾶς ὃν Παῦλος κηρύσσει. δι' ὧν γὰρ ἀπολογοῦνται, δείκνυνται οἶδασι. τὸν Ἰησοῦν δὲ λέγουσιν ἐκεῖνοι ἁπλῶς, δέον εἰπεῖν τὸν τῆς οἰκουμένης σωτῆρα, τὸν ἀναστάντα. ἀλλ' οὐκ ἤθελον ὁμολογῆσαι τὴν δόξαν αὐτοῦ. διὸ καὶ ἐλέγχει αὐτοὺς ὁ δαίμων ἐπιπηδήσας αὐτοῖς, καὶ εἰπὼν τὸν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι. ὡσεὶ ἔλεγεν· ὑμεῖς οὐ πιστεύετε· ἀλλ' ἀποκεχρημένοι τῷ ὀνόματι ταῦτά φατε. ἐκεῖνον ἔρημος ὁ ναός· εὐκαταγώνιστον τὸ σκεῦος. ὥστε οὐκ ἐστὲ κήρυκες· ἀλλ' ἐμοί, φησιν, ἐστέ. πολὺς ὁ θυμὸς τοῦ δαίμονος. ἠδύναντο ταῦτα αὐτοὺς ἐργάσασθαι οἱ Ἀπόστολοι· ἀλλ' οὐκ ἐποίουν τέως. οἱ γὰρ τῶν ἐργαζομένων αὐτοὺς ταῦτα κρατοῦντες πολλῷ μᾶλλον αὐτῶν. ὅρα πῶς δείκνυται αὐτῶν ἡ ἐπιείκεια, ὅτι οἱ μὲν ἐλαυνόμενοι τοιαῦτα ποιοῦσιν· οἱ δὲ θεραπευόμενοι δαίμονες τἀναντία. τὸν Ἰησοῦν, φησὶ γινώσκω. ἐκεῖνον αἰσχύνθητε οἱ ἀγνοοῦντες ὑμεῖς. καὶ τὸν Παῦλον ἐπίσταμαι. καλῶς καὶ τοῦτο. ᾔδει γὰρ Θεοῦ ὄντα κήρυκα. εἶτα ἐφάλλεται ἐπ' αὐτοὺς, καὶ διαρρήγνυσι τὰ ἱμάτια. δι' ὧν ἐποίει αὐτοῖς, τοῦτο μονονουχὶ λέγει· μὴ νομίσητε ὅτι καταφρονῶν ἐκείνων ταῦτα ποιῶ. πολὺς ὁ φόβος τοῦ δαίμονος. καὶ διατί χωρὶς τῶν ῥημάτων τούτων οὐ διέρρηξεν αὐτῶν τὰ ἱμάτια; οὕτω γὰρ ἂν καὶ τὸν θυμὸν ἐπλήρωσε, καὶ τὴν πλάνην ἔστησεν. ἐφοβεῖτο ὅπερ ἔφην τὴν ἀπρόσιτον δύναμιν, καὶ οὐκ ἂν τοσοῦτον ἴσχυσεν εἰ μὴ τοῦτο εἶπεν. ὅρα δὴ πανταχοῦ τοὺς δαίμονας εὐγνωμονεστέρους τῶν Ἰουδαίων, καὶ οὐ τολμῶντας ἀντειπεῖν οὐδὲ κατηγορῆσαι τῶν Ἀποστόλων οὐδὲ τοῦ Χριστοῦ. ἐκεῖ λέγουσιν, οἴδαμέν σε τίς εἶ. καὶ, τί ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς; καὶ πάλιν, οἶδά σε τίς εἶ, ὁ υἱὸς τοῦ Θεοῦ· ἐνταῦθα δὲ, οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί· καὶ πάλιν, τὸν μὲν Ἰησοῦν γινώσκω, καὶ τὸν Παῦλον ἐπίσταμαι.

A Et quid mirum, si ubi res transierint, quum scilicet & perpetuò manentibus signis idem fit, ut est in Sodomis. Dic enim oro: Nónne perpetua sunt? Quid igitur? Nunquid vicini propterea meliores facti sunt? Minimè. Quid & Noë filius? Nónne idem permansit: Nónne in montibus videns tantam solitudinem malus erat? Ne igitur admiremur, quomodo non crediderunt, qui tales facti: ubi scilicet ipsa fides dum negare non possunt sæpe in diversum eos B compulit, nempe in malitiam, ut quando dæmoniacum dicunt filium Dei. An non videtis etiam nunc hæc fieri? & multos homines similes serpentibus esse, incredulos & ingratos, qui & ipsi sicut serpentes, quando beneficia acceperint, & ab aliquibus humaniter tractati fuerint, benefactoribus infesti fiunt. Hæc à nobis dicta sunt, ne quis miretur, quare non omnes conversi fuerint. Vide oro, quæ & nostris acciderunt temporibus: & apud Babylæ mar- C tyris sepulchrum, & in reparatione templi Hierosolymitani per Judæos, & quæ in destructione templorum; & non omnes conversi sunt. Quid oportet referre vetera? superiore anno dixi vobis quanta res acciderit, & nullus attendit: sed iterum paulatim defluxerunt, & collapsi sunt. Stat semper cœlum clamans, quod Dominum habeat, & à quo sit opifice. Dico autem totum mundum. Et dicunt quidam quod non, ut Theodorus ille, facta sint superiore anno. D Quem non concussit: attamen nihil amplius factum est, sed ad tempus facti Religiosi, iterum redierunt, unde facti sunt Religiosi. Hoc etiam Hebræis tunc contigit. Propterea Propheta quoque dicebat: *Quando occidebat illos, tunc inquirebant illum, & conversi sunt, & manè surrexerunt ad Deum.* Psal.77,34. Et quid referuntur generalia, quot incidunt in morbos, quot promittunt, si surrexerint pœnitentiam se acturos & conversuros, & illi ipsi manent? Maximè ostendit nobis E esse electionem & libertatem nostræ naturæ, repentina mutatio. Si enim naturalia essent mala, neque natura facta esset. Ea enim quæ naturæ sunt ac necessaria, non possumus mutare. Certè, inquit, etiam mutamur. Nónne videmus quosdam natura videre, à timore autem excæcari? Quoniam & hoc naturæ est sic humiliari, & in angustiis fieri, quando natura alia accesserit: & ita natura nobis accidit, quando terremur, ut non videamus. Secundùm naturam autem, etiam quan- A do major metus advenit, alius evadit. Quid igitur, si & temperantia, inquit, secundùm naturam quidem sit, metus autem invalescens illam ejiciat? Quid igitur, si ostendero, quosdam neque tunc temperatiores fieri, sed etiam in ipsis malis esse impudentes? Numquid hoc naturale est? Dicam vetera? Sed nova. Quot manserunt in illis ipsis malis ridentes, subsannantes, & nihil tale senserunt? B Dic oro: Pharao nónne statim mutatus est, & ad pristinam malitiam recurrit? Hoc autem loco, in his qui dæmonia habebant, quamvis ipsi non ignorarent, adjecerunt simpliciter, dicentes: *Per Jesum adjuramus vos, quem Paulus prædicat.* Per quæ enim defendunt, ostenditur quod sciunt. Jesum verò dicunt illum simpliciter: oportebat dicere: Servatorem orbis, qui resurrexit. Sed noluerunt dicere C gloriam ipsius. Ideò & reprehendit illos dæmon, insultans in eos, & dicens: *Jesum cognosco, & Paulum scio.* Quasi diceret: Vos non creditis, sed abutentes hoc nomine, talia dicitis. Igitur desertum templum, & facilè expugnabilia arma estis: & ita non estis præcones, sed mei, inquit, estis. Magnus furor dæmonis. Potuissent hæc illis facere Apostoli, sed non faciebant nunc. Nam qui imperabant illis, qui hæc faciebant, multo magis & ipsi D facere potuissent. Vide quomodo illorum mansuetudo monstratur. Quia illi quidem exigebantur, qui talia faciebant, Dæmones autem quibus serviebant, planè contrà. *Jesum*, inquit, *cognosco.* Confundamini igitur vos, qui ignoratis. *Et Paulum scio.* Bene & hoc. Sciebat enim & præconem esse. Mox insilit in alios, & disrumpit vestes, per ea quæ faciebat ipsis hoc solùm dicit, ne putetis, quod contemnens illos, hæc dico. Magnus timor dæmonis, & quare absque verbis istis non E disrumpit illorum vestes? sic enim & furorem implevit, & errorem statuit. Timuit, id quod dixi, potestatem inaccessam: & non tantum potuisset, si non hoc dixisset. Vide ubique gratiores dæmones quam Judæos, & non audentes contradicere neq; accusare, vel Apostolos, vel Christum. Illic dicunt: *Scimus te quis sis, & cur venisti huc ante tempus torquere nos?* Matt.8.29. Et iterum: *Scio te quis sis, filius Dei.* Hic autem: *Hi homines, servi Dei excelsi sunt.* Et iterum, *Jesum quidem cognosco, & Paulum scio:* Act.16.16.

Omnino

Omnino enim formidarunt, & timuerunt sanctos illos. Forsan quis nos audiens, cupit in hac esse potestate, ne possint dæmones contra ipsum obtinere. Et beatos dicit sanctos illos, propter hoc quod tantam habuerint potestatem. Sed audiat Christum dicentem : *Ne gaudete quod dæ-*
Luc. 10, 20. *monia vobis subjiciuntur.* Quoniam sciebat omnes homines maximè vanâ gloriâ gaudere. Si enim quod Deo placet quæris, & quod communiter prodest, alia major est via. Non est ita magnum à dæmone liberari, ut eripi à peccato. Dæmon non prohibet regnum cœlorum assequi, licèt cooperatur, invitus quidem : Cooperatur autem faciens habentem se continentiorem : peccatum autem ejicit. Jam forsan dicet quis : Absit, ut sic assequar continentiam. Neque ego vellem, neque alius est qui velit. Omnia ob amorem Christi facienda sunt. Si autem hoc, quod absit, contingat, & pro hoc orandum. Si igitur hic quidem non ejicit, illud autem ejicit : liberare à peccato majoris beneficii est. Igitur ab hoc curemus liberare proximum, & ante proximum nos ipsos. Videamus, ne dæmonem habeamus. Scrutemur nos ipsos exactè. Peccatum gravius est dæmone : Nam ille quidem humiles facit. Ao non videtis dæmoniacos, quando resipuerint à morbo, quàm sint submissi, quàm tristi vultu, quanta erubescentia vultus illorum pleni sunt, quomodo neque obtueri audent ? Vide absurditatem. Illi quidem propter ea qoæ patiuntur, confunduntur : Nos auteoi neque pro his quæ operamur, confundimur. Illi injustitia affecti, erubescunt : Nos injustitia afficientes, non erubescemus : quamvis causa illorum non sit confusione digna, sed misericordia, & humanitate, & venia & magna admiratione, multisque laudibus, quando & cum tali certant dæmone, & omnia cum gratiarum actione ferunt. Res autem nostræ profectò risu, confusione, accusatione, supplicio, pœna, extremisque malis, & gehenna, nulláque venia dignæ. Vides quod peccatum dæmone gravius sit. Et illi quidem ex his qoæ graviter ferunt, duplex lucrum reportant. Unum quidem, quòd humiliores & modestiores fiunt : Alterum, quod pœnas hîc suorum peccatorum dantes, puri ad Dominum migrant. Etenim de hoc sæpe disseruimus, & ostendimus, & eos qui hîc puniuntur, si benigne ferant, verisimile est multa peccata deponere. A peccatis autem duplicia gravia sunt : Unum quidem, quod impingimus : Alterum, quod deteriores efficimur. Attendite, oro, quod dirimus : Non in hoc solùm lædimur à peccato, quod peccamus : sed & aliud gravat, quod anima recipit habitum : sicut in corpore per exemplum manifestius videre licet. Sicut enim qui febre laborat, non in hoc solum læditur, quod ægrotat, sed etiam quòd post morbum infirmior fit, licet à morbo diutino ad bonam valetudinem redeat. Ita sanè & de peccato dicendum, licet sanemur, adhuc tamen egemus magna fortitudine : Vide enim oro, quendam qui contumelia affecit, & non supplicio affectum : non propter hoc solùm debet lachrymari, quia non contumeliæ dat pœnam, sed etiam propter aliam causam, ut lugeat dignum. Et qualis hæc ? Quia impudentior facta est anima. Nam unumquodque peccatum, obi patratum fuerit, & ad finem pervenerit, relinquit in anima venenum. Non audis quosdam dicentes, quando à morbo confirmati fuerint : Non ausim aquam bibere ? quamvis sanus sit, sed ita morbus læsit. Et illi quidem malè affecti, gratias agunt. Nos autem bene habentes, blasphemamus Deum, & offendimus. Plures enim invenias in sanitate ac divitiis hoc facientes, quam in paupertate & mala valetudine. Stat enim dæmon quasi lictor, revera vehementer minax : & sicot pædagogus quidam lorum intendens, & nusquam divertere sinens. Si autem quidam neque sic sobrii sunt, itaque illi dant pœnam. Non parvum autem & hoc. Nam quemadmodum stulti, quemadmodum insanientes; quemadmodum pueri non dant pœnas, sic neque hi. Ex his enim qui inscienter agunt, nullus tam crudelis, ut supplicium exigat. Nónne peccantes deterius affecti sumus, quam dæmonio vexati ? sed quod non spumamus, neque pupillas distorquemus, neque manus : utinam in corpore hoc pateremur, & non in anima. Vis tibi monstremus animam spumabundam, immundam, & distortos oculos mentis ? Cogita irascentes, ac ebrios à furore, qua saliva non immundiora verba ejiciunt, profectò fœtidum sputum eructant. Et sicut illi nullum ex præsentibus norunt : ita neque hi. Obumbrata est enim eorum mens, & distorti sunt oculi : non amicum, non inimicum,

A πάνυ γὰρ ἐδεδοίκεισαν, καὶ ἔτρεμον τοὺς ἁγίους ἐκείνους. Τάχα τις ὑμῶν, ἀκούων ποθεῖ ἐπὶ ταύτης γενέσθαι τῆς ἐξουσίας, ὥστε μὴ δύνασθαι δαίμονας ἀντιβλέπειν αὐτῷ, καὶ μακαρίζει τοὺς ἁγίους ἐκείνους διὰ τοῦτο, ὅτι τοσαύτην εἶχον ἰσχύν. ἀλλ᾽ ἀκουέτω τοῦ Χριστοῦ λέγοντος· μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἐπειδὴ ᾔδει πάντας ἀνθρώπους μάλιστα τούτῳ χαίροντας διὰ κενοδοξίαν. εἰ γὰρ τὸ τῷ Θεῷ δοκοῦν ζητεῖς, καὶ τὸ κοινῇ συμφέρον, ἑτέρα μείζων B ἐστὶν ὁδός. οὐκ ἔστιν οὕτω μέγα δαίμονος ἀπαλλάξαι, ὡς ἁμαρτίας ἐξελέσθαι. δαίμων οὐ κωλύει βασιλείας οὐρανῶν ἐπιτυχεῖν, ἀλλὰ καὶ συμπράττει· ἄκων μὲν, συμπράττει δὲ, σωφρονέστερον τὸν ἔχοντα ποιῶν· ἁμαρτία δὲ ἐκβάλλει. ἀλλ᾽ ἴσως ἐρεῖ τις· μὴ γένοιτό μοι τοιούτου τυχεῖν σωφρονισμοῦ, οὐδὲ ἐγὼ βούλομαι, ἀλλ᾽ ἑτέρως, ἀπὸ τοῦ πόθου τοῦ Χριστοῦ πάντα ποιεῖν. εἰ δὲ, ὃ μὴ γένοιτο, συμβαίη, καὶ ὑπὲρ τούτου παρακαλεῖν. εἰ τοίνυν οὗτος μὲν οὐκ ἐκ- C βάλλει, ἐκείνη δὲ ἐκβάλλει, τὸ ἐκείνης ἀπαλλάξαι, μείζονος εὐεργεσίας. οὐκοῦν ταύτης σπουδάζωμεν ἀπαλλάττειν τοὺς πλησίον, καὶ πρὸ τῶν πλησίον, ἡμᾶς αὐτούς. ἴδωμεν μὴ δαιμόνια ἔχωμεν· ἐξετάσωμεν ἑαυτοὺς ἀκριβῶς. δαίμονος χαλεπώτερον ἁμαρτία. ἐκεῖνος μὲν γὰρ, ταπεινοὺς ποιεῖ. ἢ οὐχ ὁρᾶτε τοὺς δαιμονῶντας, ὅτ᾽ ἂν ἀνανήψωσιν ἀπὸ τῆς νόσου, πῶς εἰσι κατηφεῖς, πῶς σκυθρωποί; πῶς αἰσχύνης τὰ πρόσωπα αὐτῶν γέμει; πῶς οὐδὲ ἀντιβλέψαι τολμῶσιν; ὅρα τὴν ἀτο- D πίαν. ἐκεῖνοι μὲν ὑπὲρ ὧν πάσχουσιν αἰσχύνονται· ἡμεῖς δὲ ὑπὲρ ὧν πράττομεν οὐκ αἰσχυνόμεθα. ἐκεῖνοι ἀδικούμενοι αἰδοῦνται· ἡμεῖς ἀδικοῦντες οὐκ αἰδούμεθα. καί τοι τὰ ἐκείνων οὐκ αἰσχύνης ἄξια, ἀλλ᾽ ἐλέου καὶ φιλανθρωπίας, καὶ συγγνώμης, καὶ πολλοῦ τοῦ θαύματος, καὶ μυρίων τῶν ἐπαίνων, ὅτ᾽ ἂν καὶ τοιούτῳ προσπαλαίοντες δαίμονι, πάντα εὐχαρίστως φέρωσι. τὰ δὲ ἡμέτερα γέλωτος ὄντως, αἰσχύνης, κατηγορίας, κολάσεως, τιμωρίας, τῶν ἐσχάτων E κακῶν, καὶ γεέννης, ἀλλ᾽ οὐδὲ μιᾶς ἄξια συγγνώμης. ὁρᾷς ὅτι χαλεπώτερον δαίμονος ἁμαρτία; καὶ ἐκεῖνοι μὲν ἐξ ὧν πάσχουσι κακῶς, κερδαίνουσι κέρδος διπλοῦν· ἓν μὲν, τὸ σωφρονίζεσθαι, καὶ φιλοσοφώτεροι εἶναι· δεύτερον δὲ, τὸ τὴν κόλασιν ἐνταῦθα τῶν οἰκείων ἁμαρτημάτων δόντας, καθαροὺς πρὸς τὸν δεσπότην ἀπελθεῖν. καὶ γὰρ ὑπὲρ τούτου διελέχθημεν πολλάκις, καὶ ἐδείξαμεν, ὅτι τοὺς ἐνταῦθα κολαζομένους ἂν εὐγνωμόνως φέρωσι, πολλὰ τῶν ἁμαρ- A τημάτων ἀποτίθεσθαι εἰκός· ἀπὸ δὲ τῶν ἁμαρτημάτων, διπλᾶ τὰ δεινά· ἓν μὲν, ὅτι προσκρούομεν· ἕτερον δὲ, ὅτι χείρους γινόμεθα. προσέχετε ὃ λέγω. οὐ τοῦτο μόνον ἀδικούμεθα ἀπὸ τῆς ἁμαρτίας, ὅτι ἁμαρτάνομεν· ἀλλὰ καὶ ἕτερον. ὅτι ἕξιν δέχεται ἡ ψυχή, οἷον ὡς ἐπὶ σώματος. σαφέστερον γὰρ ἔσται ἐπὶ ὑποδείγματος λεγόμενον. καθάπερ γὰρ ὁ πυρέξας, οὐ τοῦτο μόνον ἠδίκηται ὅτι νοσεῖ, ἀλλ᾽ ὅτι μετὰ τὴν νόσον ἀσθενέστερος γίνεται λοιπὸν, κἂν εἰς ὑγείαν ἐπανέλθοι B ἀπὸ νόσου μακρᾶς· οὕτω δὴ καὶ ἐπὶ τῆς ἁμαρτίας, κἂν ὑγιαίνωμεν, ὅτι πολλῆς δεόμεθα τῆς ἰσχύος. ἰδὲ γάρ μοι ὑβρισθέντα τινὰ, καὶ μὴ τιμωρηθέντα, οὐ διὰ τοῦτο μόνον δακρύειν, ὅτι οὐ τῆς ὕβρεως δίκην δέδωκεν, ἀλλὰ καὶ δι᾽ ἕτερον πένθους ἄξιον. ποῖον δὴ τοῦτο; ὅτι ἀναισχυντοτέρα γέγονε λοιπὸν ἡ ψυχή. ἑκάστου γὰρ τῶν ἁμαρτημάτων, καὶ τῆς ἁμαρτίας ἐργασθείσης, καὶ παυσαμένης, ἐναποτίθεταί τις ἡμῶν ἰὸς τῇ ψυχῇ. οὐκ ἀκούεις λεγόντων τινῶν, ὅτ᾽ ἂν ἐκ C νόσου ὑγιάνωσιν, ὅτι οὐκ ἔτι τολμῶ ὕδωρ πιεῖν; καί τοι γε ὑγίανεν, ἀλλ᾽ ἡ νόσος, καὶ τοῦτο ἠδίκησε. κἀκεῖνοι μὲν κακῶς πάσχοντες, εὐχαριστοῦσιν· ἡμεῖς δὲ εὖ πράττοντες, βλασφημοῦμεν τὸν Θεὸν, καὶ ἀποδυσπετοῦμεν. πλείους γὰρ εὕροις ἂν ἐν ὑγιείᾳ, καὶ πλούτῳ τοῦτο ποιοῦντας, ἢ ἐν πενίᾳ, καὶ ἀρρωστίᾳ. ἐφέστηκε γὰρ ὁ δαίμων ὡς δήμιος οὕτως σφόδρα ἀπειλῶν πολλὰ, καθάπερ τις παιδαγωγὸς τὸν ἱμάντα ἀνατείνων, καὶ οὐδαμόθεν ἀποσχέσθαι ἀφιείς. εἰ δέ τινες μηδὲ οὕτω νήφουσιν· ἀλλ᾽ οὐκ ἐκεῖνοι διδόασι δίκην. D οὐ μικρὸν δὲ καὶ τοῦτο. καθάπερ γὰρ οἱ μωροί· καθάπερ καὶ οἱ μαινόμενοι· καθάπερ οἱ παῖδες οὐκ ἀπαιτοῦνται εὐθύνας· οὕτως οὐδὲ οὗτοι. τῶν γὰρ οὐκ ἐν γνώσει πραττομένων, οὐδεὶς οὕτως ὠμὸς, ὥστε ἀπαιτῆσαι δίκην ποτέ. ἆρα πολλῷ τῶν δαιμονώντων χεῖρον διακείμεθα οἱ ἁμαρτάνοντες. ἀλλ᾽ ὅτι οὐκ ἀφρίζομεν, οὐδὲ διαστρέφομεν τὰς κόρας. οὐδὲ τὰς χεῖρας; εἴθε ἐν τῷ σώματι τοῦτο ἐπάττομεν, καὶ μὴ ἐν τῇ ψυχῇ. βούλει σοι δείξω ψυχὴν ἀφρίζουσαν E ἀκάθαρτον, καὶ διεστραμμένα ὄμματα διανοίας; ἐννόησον τοὺς ὀργιζομένους, καὶ μεθύοντας ὑπὸ τοῦ θυμοῦ· πόσον ἀφρὸν οὐκ ἀκαθαρτότερα ἐκβάλλουσι ῥήματα; ὄντως ὥσπερ δυσώδη σίελον ἀποβλύζουσι. καὶ καθάπερ ἐκεῖνοι οὐδένα ἴσασι τῶν παρόντων· οὕτως οὐδὲ οὗτοι. σκοτισθείσης γὰρ αὐτοῖς τῆς διανοίας καὶ διαστραφέντων τῶν ὀφθαλμῶν, οὐ φίλον, οὐκ ἐχθρὸν,

οὐ

οὐκ αἰδέσιμον, οὐκ εὐκαταφρόνητον; ἀλλὰ πάντας ἁπλῶς ὁρῶσιν. οὐχ ὁρᾷς αὐτοὺς καὶ τρέμοντας καθάπερ ἐκείνους, ἀλλ' οὐ πίπτουσι χαμαί; ἀλλὰ ἡ ψυχὴ αὐτῶν χαμαὶ κεῖται, καὶ πίπτει σπαίρουσα. εἰ γὰρ ὀρθὴ εἱστήκει, οὐκ ἂν ἔπαθεν ἐκεῖνα ἅπερ ἔπαθεν. ἢ οὐ δοκεῖ σοι καταβεβλημένης εἶναι ψυχῆς, καὶ τὴν οἰκείαν νῆψιν ἀπολωλεκυίας, καὶ ἃ ποιοῦσι, καὶ λέγουσι μεθύοντες τῷ θυμῷ; ἔστι δὲ καὶ ἕτερον μανίας εἶδος τούτου χαλεπώτερον. ποῖον δὴ τοῦτο; ὅταν μηδὲ ἀφεῖναι τὴν ὀργὴν ἀνέχωνται, ἀλλὰ τρέφωσι παρ' ἑαυτοῖς οἰκειακὸν καθάπερ τινὰ δήμιον τὴν μνησικακίαν. αὐτοὺς γὰρ πρώτους ἀπόλλυσι τὸ μνησικακεῖν, ἐντεῦθεν ἤδη, ἵνα τὰ μέλλοντα παρῶ. πόσην γὰρ οἴει βάσανον εἶναι ἀνθρώπῳ πεπληγμένῳ τὴν ψυχὴν, καθ' ἑκάστην ἡμέραν σκοπεῖν ὅπως ἀμύνηται τὸν ἐχθρόν; πρότερον ἑαυτὸν κολάζει ὁ τοιοῦτος, καὶ τιμωρεῖται οἰδαίνων, πρὸς ἑαυτὸν μαχόμενος, ἐμπυριζόμενος. ἀνάγκη γὰρ διαπαντὸς καίεσθαι παρά σοι τὸ πῦρ. καὶ τὸν πυρετὸν ἐπὶ τοσοῦτον ἐκτείνων, οὐκ ἀφίης παρακμάσαι, καὶ νομίζεις ἐκείνῳ διδόναι τι κακόν· αὐτὸς δὲ σεαυτὸν τήκεις, διαπαντὸς τὴν φλόγα ἀκμάζουσαν φέρων, καὶ διαναπαύσασθαι τὴν ψυχὴν οὐκ ἐῶν, ἀλλ' ἐκθηριούμενος ἀεὶ καὶ ἐν ταραχῇ καὶ ἐν χειμῶνι τὸν λογισμὸν ἔχων. τί ταύτης χαλεπώτερον τῆς μανίας, διαπαντὸς λυπεῖσθαι, καὶ οἰδεῖν, καὶ φλεγμαίνειν; τοιαῦται γὰρ αἱ τῶν μνησικάκων ψυχαί· ἔνθα ἂν ἴδωσιν ὃν βούλονται ἀμύνασθαι, εὐθέως ἐπλήγησαν. ἂν φωνῆς ἀκούσωσι, κατέπεσον, τρέμουσιν· ἂν ἐπὶ κλίνης ὦσι, μυρίας ἑαυτοῖς ὑπογράφουσι τιμωρίας, ἀναρτῶντες, βασανίζοντες ἐκεῖνον τὸν ἐχθρόν. πρὸς δὲ τούτοις ἂν καὶ εὐδοκιμοῦντα ἴδωσι, βαβαὶ τῆς τιμωρίας. ἄφες αὐτῷ τὸ ἁμάρτημα, καὶ ἀπάλλαξον σαυτὸν τῆς βασάνου. τί μένεις διαπαντὸς κολαζόμενος, ἵνα ἐκεῖνον ἅπαξ κολάσῃς, καὶ τιμωρήσῃ; τί κατασκευάζεις ἑκτικὸν σαυτῷ νόσημα; τί βουλόμενον ἀπαλλαγῆναί σου τὸν θυμὸν κατέχεις; μηδὲ μέχρις ἑσπέρας μενέτω, φησὶν, ὁ Παῦλος· καθάπερ γὰρ τηκεδών τις καὶ σὴς, οὕτω τὴν ῥίζαν τῆς ἡμετέρας διατρώγει διανοίας. τί θηρίον ἐναποκλείεις εἰς τὰ σπλάγχνα τὰ σά; βέλτιον ὄφιν ἢ ἔχιν ἐγκεῖσθαι τῇ καρδίᾳ, ἢ θυμὸν καὶ μνησικακίαν. ἐκεῖνα μὲν γὰρ, εὐθέως ἂν ἡμᾶς ἀπήλλαξεν· οὗτος δὲ μένει διαπαντὸς τοὺς ὀδόντας ἐμπηγνὺς τὸν ἰὸν ἐντιθεὶς, τοὺς χαλεποὺς ἐκστρατεύων λογισμούς. ἀλλὰ ταῦτα ποιῶ, φησὶν, ἵνα μὴ καταγελάσῃ· ἵνα μὴ καταφρονήσῃ. ἄθλιε ἄνθρωπε, καὶ ταλαίπωρε· οὐ βούλει καταγελασθῆναι παρὰ τοῦ συνδούλου· ἀλλὰ μισηθῆναι παρὰ τοῦ σοῦ δεσπότου; οὐ βούλει καταφρονηθῆναι παρὰ τοῦ ὁμοδούλου· ἀλλὰ καταφρονεῖς τοῦ δεσπότου; καταφρονηθῆναι παρ' αὐτοῦ οὐκ ἀνέχῃ· τὸν δὲ Θεὸν ἀγανακτεῖν οὐκ οἴει ἐπὶ αὐτοῦ καταγελᾷς. ὅτι αὐτοῦ καταφρονεῖς, οὐ βουλόμενος αὐτῷ πείθεσθαι; ὅτι δὲ οὐδὲ καταγελάσεταί σου, δῆλον ἐκεῖθεν. ἂν μὲν οὖν ἐπεξέλθῃς, πολὺς ὁ γέλως, πολλὴ ἡ καταφρόνησις· μικροψυχίας γὰρ τὸ πρᾶγμα· ἂν δὲ ἀφῇς, πολὺ τὸ θαῦμα. μεγαλοψυχίας γὰρ τοῦτο. ἀλλ' ἐκεῖνος οὐκ οἶδε, φησίν. ἴστω ὁ Θεὸς, ἵνα μείζονα ἔχῃς τὸν „ μισθόν. δανείζετε γὰρ, φησὶ, παρ' ὧν οὐκ ἐλπίζετε ἀπολαβεῖν. οὕτω καὶ εὐεργετῶμεν τοὺς μηδὲ αἰσθανομένους ὅτι εὐεργετοῦνται, ἵνα μὴ ἀντιδόντες ἡμῖν τὸν ἔπαινον ἢ ὁτιδήποτε, ἐλαττώσωσιν ἡμῖν τὸν μισθόν. ὅταν γὰρ μηδὲν παρὰ ἀνθρώπων λάβωμεν, τότε μείζονα παρὰ τοῦ Θεοῦ ληψόμεθα. τί δὲ καταγελαστότερον; τί δὲ ψυχρότερον ψυχῆς ὀργιζομένης διαπαντὸς, καὶ βουλομένης ἐπεξελθεῖν; γυναικώδης αὕτη ἡ προαίρεσις καὶ παιδική. καθάπερ γὰρ ἐκείνη, καὶ πρὸς τὰ ἄψυχα ὀργίζεται· κἂν μὴ πλήξῃ τὸ ἔδαφος οὐκ ἀφίησι τὴν ὀργήν· οὕτω δὴ καὶ οὗτοι, τοὺς λυπήσαντας ἀμύνασθαι βούλονται. ἄρα αὐτοὶ γέλωτος ἄξιοι. τὸ γὰρ ὑπὸ θυμοῦ κρατεῖσθαι, παιδικῆς διανοίας· τὸ δὲ κρατεῖν, ἀνδρειότητος. ἄρα οὐχ ἡμεῖς καταγελώμεθα ὅταν φιλοσοφῶμεν, ἀλλ' ἐκεῖνοι. οὐκ ἔστι τοῦτο εὐκαταφρονήτων ἀνθρώπων, τὸ μὴ ἡττᾶσθαι πάθει· εὐκαταφρονήτων δέ ἐστι, τὸ οὕτω τρέμειν τὸν ἔξωθεν γέλωτα, ὡς διὰ τοῦτο αἱρεῖσθαι, καὶ πάθει ὑποπίπτειν οἰκείῳ, καὶ Θεῷ προσκρούειν, καὶ ἑαυτὸν ἀμύνασθαι. ταῦτα ὄντως γέλωτος ἄξια. οὐκοῦν ταῦτα φύγωμεν· λεγέτω ὅτι μυρία ἡμᾶς ἐργασάμενος κακὰ, οὐδὲν αὐτὸς ἔπαθε· λεγέτω, ὅτι καὶ πάλιν ἡμῖν εἰ ἐπικωμάσειεν, οὐδὲν πείσεται, οὐκ ἂν ἑτέρως ἡμῶν ἐκήρυξε τὴν ἀρετὴν, οὐκ ἂν ἄλλα ἐζήτησε ῥήματα εἰ ἐπαινέσαι ἡμᾶς ἐβούλετο, ἀλλ' ἢ ταῦτα ἃ δοκεῖ κακίζων λέγειν, εἴθε πάντες περὶ ἐμοῦ ταῦτα ἔλεγον, ὅτι ψυχρὸς ἄνθρωπος, καὶ ταλαίπωρός ἐστι. πάντες εἰς αὐτὸν ὑβρίζουσιν, αὐτὸς δὲ φέρει· πάντες ἐνάλλονται, αὐτὸς δὲ οὐκ ἀμύνεται. εἴθε προσετίθεσαν, ὅτι οὐδὲ ἐὰν θέλῃ δύναται, ἵνα μοι ὁ ἔπαινος ᾖ ἐκ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἀνθρώπων. λεγέτω, ὅτι διὰ ψυχρότητα οὐκ ἀμυνόμεθα. οὐδὲν ἡμᾶς βλάπτει τοῦτο, ὅταν ὁ Θεὸς εἰδῇ· ἀλλ' ἐν μείζονι καθίστησιν ἡμῶν τὸν θησαυρὸν φυλακῇ.

non reverendum, non contemptibilem, sed omnes simpliciter vident. Non vides hos tremere sicut illos? Non cadunt in humum, sed anima illorum humi sita est, & cadit turbine acta. Si enim recta staret, nequaquam pateretur illa quæ patitur. An non videtur tibi esse animæ abjectæ, & suam perdentis sobrietatem? Etiam ea dicunt & faciunt, quæ ebrii furoris œstro perciti. Est quædam & alia insaniæ species hac gravior. Qualisnam illa? quando neque remitti iram sustinent: sed apud seipsos alunt familiarem scilicet lictorem, se torquentem, ulciscendi, inquam, cupiditatem. Ipsos enim ulciscendi avidos primum perdit ultionum meditatio, ut futura prætercam. Nam quantum putas tormentum esse hominis afflictæ animæ, quotidie cogitare ut ulciscatur inimicum? Prius teipsum puni, qui talis es. Et punitur inflatus contra seipsum pugnans & incensus. Necessarium enim semper apud te flagrare ignem, & incendium in tantum extendens, non finis decrescere, cogitans inferre alteri malum quiddam. Ipse autem teipsum mordes, semper flammam vigescentem ferens, & animam interquiescere non finens, sed semper in exasperatione, & in turbatione, & in tempestate mentem habens. Quid hac insania molestius? Semper inquam contristari, & inflari, & ardere. Tales enim sunt animæ eorum, qui ultionem meditantur. Nam ubi viderint eum quem volunt ulcisci, statim perculsi sunt: Si vocem audiant, conciderunt, tremunt: si in lecto fuerint, innumeras pœnas apud se scribunt, dilacerantes, torquentes illum inimicum: Ad hæc si illum clarescere viderint, Papæ, ô pœnas. Remitte illi peccatum, & libera teipsum à tormento. Cur perseveras, semper ut te punias, ut illum semel flagelles, & in eum animadvertas? Quid paras tibi ipsi morbum? Quid animum tuum liberari volentem detines? *Ira neque usque ad vesperam maneat*, in- Eph. 4, 26.
quit Paulus. Sicut enim putredo quædam ac tinea, ita mentis nostræ radicem arrodit. Quare bestiam in viscera tua includis? Melius esset viperam vel serpentem in corde positam esse, quàm iram, vel invidiam: Nam illæ quidem statim nos liberarent: hæc autem manet semper, dentes fortiter infigens, immissóque veneno, pessimarum cogitationum exercitus producit. Sed hæc facio, ne derideat, ne contemnat. Miser homo & ærumnose, non vis à conservo derideri, sed odio haberi à Domino tuo? Non vis contemni à conservo tuo, & contemnis Dominum? Non putas indignari Deum, quod illum contemnis, & quod illum deridens, non vis ei obtemperare? Quod autem neque te deridebit, manifestum est hinc. At siquidem sic pergas, magnus erit risus, magnúsque contemptus: pusillanimitatis enim opus est. Si autem cessaris, magna erit admiratio, hoc enim magnanimitatis est. At ille, inquit, ignorat. Sciat Deus, ut majorem habeas mercedem. *Usuram enim accipitis ab his*, inquit, Luc. 14, 14.
à quibus non sperabatis vos recepturos. Ita & benefaciamus his qui non sentiunt quod eis bene fit: ne nobis laudem, vel quidlibet retribuant, mercedémque imminuant. Nihil enim ab hominibus recipientes, à Deo majora recepturi sumus. Quid autem magis ridiculum, & quid frigidius anima quæ semper irascitur, & vult ulcisci? Muliebris, ac puerilis voluntas est. Nam ut illa etiam contra inanimata irascitur, & si non percutiat pavimentum, non dimittit iram: Ita profectò & hi. Volunt ulcisci de his qui contristarant. Igitur ipsi risu digni. Etenim iræ imperium ferre, puerilis animi est: imperare autem, fortitudinis fuerit. Igitur non nos ridemus, si sapienter agamus, sed illi: Ab affectione non vinci, non est contemptibilium hominum. Ita autem timere externum risum, ut propter hunc affectioni propriæ subjacere, & Deum offendere ac teipsum ulcisci velis, utique contemptissimorum fuerit. Hæc revera digna sunt risu. Igitur hæc fugiamus. Dicat, quod innumera mala nobis licèt exhibuerit, nihil tamen passus sit. Dicat, quod & iterum nos si conviciis incessant, nihil patiantur. Non aliter nostram prædicasset virtutem, non alia exquisisset verba, si nos laudare voluisset, quàm hæc quæ dicit, dum putat nos affligere. Utinam omnes de me hoc dicerent: Inutilis & miser homo est: omnes in illum contumelias jaciunt, ipse autem fert: Omnes insiliunt, ipse autem non ulciscitur. Utinam apposuissent: Neque si vellet, posset: ut mea laus sit ex Deo, & non ex hominibus. Dicat: Propter timiditatem & ignaviam non ulciscimur. Nihil hoc nobis nocet, quando Deus scit: sed thesaurus noster tantò fidelius observatur.

Si

Si ad illa spectabimus, omnibus destituemur. Videamus, non quid dicant, sed quid nos deceat. Aliqui autem dicunt: Ne me deriseris, & gloriantur quidam. O insipientiam! Nullus me lædens derisit me, inquit, hoc est, ultus sum: Quin ob hoc derideri mereris, quia ultus es. Unde hæc verba introducta, quæ confusio, perditioque vitæ nostræ sunt? Nónne illa quæ licet Deo adversa sunt, loquimur? Non ulcisci enim Deo facit æqualem. Risúmne hoc putas? Nonne propter hoc rideri meremur & à nostris & à gentibus, ita contradicentes Deo? Narrare volo aliquid apud veteres gestum, non de ira, sed de pecunia. Erat cuidam prædium, occultum thesaurum continens, nescio Domino, quod ille vendidit. Qui autem emerat, effodiendo ut plantaret & curaret, occultum thesaurum invenit. Ut is qui vendiderat, rescivit, venit & coëgit eum qui emerat, reddere thesaurum. Prædium enim venditum dicebat, non thesaurum. Quem ille iterum repulit, dicens agrum cum thesauro venditum esse: & se hoc non curare. Perventum est utrinque in disceptationem: Et ille quidem accipere volebat, hic autem contendens non dare. Et nacti hominem quendam ei exponebant, ac rogabant, cuinam adjudicandus thesaurus. Ille verò non pronunciavit. Dixit autem, contentionem eorum esse tollendam: quod ipse horum sit Dominus. Et accepto thesauro, quem illi sponte permiserunt: innumera postea mala sustinuit, & reipsa didicit, meritò illos ab hoc abstinuisse. Hoc & de ira fieri oportet, ut & nos contendamus non ulcisci: & qui contristarunt, contendant ut dent pœnam. Sed forsan & hæc cuipiam ridicula erant. Quando enim insania supra modum invaluerit, ridentur molestè agentes. Et inter multos qui insaniunt, insanire videtur qui non insanit. Ideo oro, ut resipiscamus, & similes fiamus illis, qui purificati à perniciosa affectione hac, regnum cœlorum assequamur: gratia & misericordia Domini nostri Jesu Christi, cui cum Patre simul ac Sancto Spiritu sit gloria, imperium, & honor, & nunc & semper, & in secula seculorum, Amen.

εἰ μέλλοιμεν πρὸς ἐκείνους ὁρᾷν, πάντων ἀποστερηθησόμεθα. μὴ τί λέγουσιν, ἀλλὰ τί ἡμῖν πρέπει ἴδωμεν. οἱ δέ· μὴ γάρ μου καταγελάσῃ, φασὶ, καὶ καυχῶνταί τινες. ὢ τῆς ἀνοίας! οὐδείς με ἀδικήσας κατεγέλασέ μου, φησί· τουτέστιν, ἐπεξῆλθον· καὶ μὴν τούτῳ καταγελᾶσθαι ὀφείλεις, ὅτι ἐπεξῆλθες. πόθεν ταῦτα τὰ ῥήματα ἐπεισῆλθεν, αἰσχύνη καὶ ὄλεθρος ὄντα, καὶ ἀνατροπὴ τῆς ζωῆς τῆς ἡμετέρας, καὶ τῆς πολιτείας. ἆρα οὐκ ἀπὸ τοῦ ἀπεναντίας τῷ Θεῷ φθέγγεσθαι; ὁ γὰρ ποιεῖ Θεῷ ἴσον, τὸ μὴ ἀμύνασθαι, τοῦτο γέλωτα νομίζεις. οὐ διὰ ταῦτα γελᾶσθαί ἐσμεν ἄξιοι καὶ παρ᾽ ἡμῶν αὐτῶν, καὶ παρ᾽ Ἑλλήνων, οὕτως ἀντιφθεγγόμενοι τῷ Θεῷ; βούλομαί τι διηγήσασθαι γενόμενον ἐπὶ τῶν παλαιῶν· οὐ περὶ ὀργῆς, ἀλλὰ περὶ χρημάτων. ἦν τινι χωρίον θησαυρὸν ἔχον ἐγκεκρυμμένον οὐκ εἰδότος τοῦ δεσπότου. οὗτος ἐκεῖνος τὸ χωρίον ἀπέδοτο. ὁ πριάμενος διασκάπτων ὥστε φυτεῦσαι, καὶ ἐπιμελήσασθαι, εὗρε τὸν θησαυρὸν ἐναποκείμενον. μαθὼν ὁ ἀποδόμενος οὗτος, ἐλθὼν ἐβιάζετο τὸν ἠγορακότα ἀπολαβεῖν τὸν θησαυρόν. χωρίον γὰρ ἔλεγε πεπρακέναι οὐ θησαυρόν. πάλιν ἐκεῖνος διωθεῖτο αὐτὸν, λέγων· τὸ χωρίον ἠγορακέναι μετὰ τοῦ θησαυροῦ, καὶ οὐδένα λόγον ποιεῖν ὑπὲρ τούτου. εἰς ἀμφισβήτησιν κατέστησαν ἀμφότεροι, ὁ μὲν λαβεῖν βουλόμενος, ὁ δὲ φιλονεικῶν μὴ δοῦναι, καὶ ἐπιτυχόντες ἀνθρώπου τινὸς διελέγοντο. εἶτα ἠρώτων αὐτὸν, τίνι δεῖ προσγενέσθαι τὸν θησαυρόν. ὁ δὲ οὐκ ἀπεφήνατο· ἔφη δὲ καταλῦσαι αὐτῶν τὴν ἀμφισβήτησιν, αὐτὸς γὰρ ἔσεσθαι κύριος. καὶ λαβὼν τὸν θησαυρὸν ἑκόντων παραχωρησάντων ἐκείνων, μυρία ὕστερον ὑπέστη κακὰ, καὶ ἔργῳ ἐμάνθανεν, ὅτι εἰκότως ἐκεῖνοι τούτου ἀπέστησαν. οὕτω καὶ περὶ τῆς ὀργῆς δεῖ γενέσθαι, καὶ ἡμᾶς φιλονεικεῖν μὴ ἀμύνασθαι, καὶ τοὺς λελυπηκότας φιλονεικεῖν δοῦναι δίκην. ἀλλὰ τάχα ταῦτα καὶ γέλως τις εἶναι δοκεῖ. ὅτ᾽ ἂν γὰρ ἐπιπλέον ἡ μανία κατάσχῃ, οἱ σωφρονοῦντες γελῶνται, καὶ ἐν πολλοῖς μαινομένοις, ὁ μὴ μαινόμενος δοκεῖ μαίνεσθαι. διὸ παρακαλῶ ἀνενεγκεῖν, καὶ ἡμῶν αὐτῶν γενέσθαι, ἵνα δυνηθῶμεν τοῦ ὀλεθρίου τούτου πάθους καθαρεύοντες τῆς τῶν οὐρανῶν βασιλείας ἀξιωθῆναι, χάριτι καὶ οἰκτιρμοῖς τοῦ μονογενοῦς αὐτοῦ παιδὸς μεθ᾽ οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

HOMILIA XLII.

Impletis autem his, proposuit Paulus in spiritu, transita Macedonia & Achaia, proficisci in Hierusalem, dicens: Postquam illic fuero, oportet me & Romam videre. Missis autem in Macedoniam duobus qui sibi ministrabant, Timotheo & Erasto, & ipse mansit ad tempus in Asia: ortus est autem tempore illo tumultus non parvus de illa via.

SAt diu conversatus in civitate, vult iterùm aliò transire: unde *mittit Timotheum ac Erastum in Macedoniam: ipse verò manet in Epheso.* Quomodo autem ab initio volens in Syriam abire, iterum revertit in Macedoniam, ostendens quod omnia non sua virtute faciebat: jam prophetat, dicens: *Oportet me etiam Romam videre.* Hoc autem dicens fortassis consolatur eos quod non abfuturus, sed brevi iterum rediturus, & prophetia discipulorum excitat mentes. Hinc mihi videtur scribere Corinthiis ab

Eph.1,8. Ephesò, ac dicere: *Nolim vos ignorare fratres de afflictione quæ accidit nobis in Asia.* Quoniam enim promiserat se venturum in Corinthum, rationem reddit quod moretur. Et dicit: *Ultra tentationem:* narrans quæ cum Demetrio facta sint. Quam hic insinuat, *tumultum non parvum* dicens *de via hac factum esse.* Iterum periculum: iterum tumultus. Vides claritudinem? Facta sunt signa duplicia, illi autem contra dicebant. Ita ubique contexit opera. *Nam quidam nomine Demetrius, faber argentarius, qui faciebat delubra argentea Dianæ, præstabat artificibus non exiguum quæstum. Quibus convocatis & iis qui similium rerum erant opifices, dixit: Viri, scitis, quod opificio quæstus noster est: & videtis, & auditis, quod non solùm Ephesi, sed etiam totius Asiæ, Paulus hic persuasit, & avertit turbam multam, dicens: Non esse Deos manu factos. Non solùm autem hac pars mihi in periculum venit, ne reprobetur: verum etiam magnæ Deæ Dianæ templum in nihilum reputabitur, destruetúrque majestas ejus, quam tota Asia & orbis colit. Faciebat,* inquit, *delubra argentea.* Et quomodo possibile erat fieri delubra argentea? Fortassis ædiculas & coopercula, quæ Ciboria vocant. Magnus enim erat honor illius in Ephesò,

ΟΜΙΛΙΑ μβ΄.

Ὡς δὲ ἐπληρώθη ταῦτα, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱερουσαλὴμ εἰπὼν, ὅτι μετὰ τὸ γενέσθαι με ἐκεῖ, δεῖ με καὶ Ῥώμην ἰδεῖν. ἀποστείλας δὲ εἰς τὴν Μακεδονίαν δύο τῶν διακονούντων αὐτῷ, Τιμόθεον καὶ Ἔραστον, καὶ αὐτὸς ἐπέσχε χρόνον εἰς τὴν Ἀσίαν. ἐγένετο δὲ κατὰ τὸν καιρὸν ἐκεῖνον τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ.

ΙΚΑΝΩΣ ἐνδιατρίψας τῇ πόλει βούλεται μεταστῆναι πάλιν. διὸ καὶ πέμπει τὸν Τιμόθεον, καὶ τὸν Ἔραστον εἰς Μακεδονίαν, αὐτὸς δὲ μένει εἰς Ἔφεσον. πῶς δὲ ἐξ ἀρχῆς ἑλόμενος εἰς Συρίαν ἀπελθεῖν, εἰς Μακεδονίαν ὑποστρέφει; δεικνὺς ὅτι πάντα οὐκ οἰκείᾳ δυνάμει ἔπραττεν. ἤδη προφητεύει, λέγων, δεῖ με καὶ Ῥώμην ἰδεῖν. τοῦτο δὲ εἶπεν, ἴσως παραμυθούμενος αὐτοὺς ὡς οὐκ ἀπομένων, ἀλλ᾽ ὡς πάλιν ἐγγυτέρω γινόμενος αὐτῶν, καὶ διανιστῶν τὰς ψυχὰς τῶν μαθητῶν τῇ προφητείᾳ· ἐντεῦθέν μοι δοκεῖ γράφειν Κορινθίοις ἀπὸ Ἐφέσου, καὶ λέγειν· ὅτι οὐ θέλω ὑμᾶς ἀγνοεῖν ὑπὲρ τῆς θλίψεως τῆς γενομένης ἡμῖν ἐν τῇ Ἀσίᾳ· ἐπειδὴ γὰρ ἐπηγγέλλετο εἰς Κόρινθον ἀπελθεῖν, ἀπολογεῖται ἅτε βραδύνας, καὶ λέγει τὸν πειρασμὸν λοιπὸν, τὰ κατὰ Δημήτριον διηγούμενος. τοῦτον γὰρ αἰνίττεται, τάραχον οὐκ ὀλίγον εἰπὼν περὶ τῆς ὁδοῦ γεγενῆσθαι. πάλιν κίνδυνος· πάλιν τάραχος. ὁρᾷς τὴν εὐδοκίμησιν; ἐγένετο σημεῖα διπλᾶ· οἱ δὲ ἀντέλεγον. οὕτω διὰ πάντων ὑφαίνεται τὰ πράγματα. "Δημήτριος γάρ τις ὀνόματι ἀργυροκόπος, ποιῶν ναοὺς ἀργυροῦς Ἀρτέμιδος, παρείχετο τοῖς τεχνίταις ἐργασίαν οὐκ ὀλίγην. οὓς καὶ συναθροίσας καὶ ἐπισυναγαγὼν τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε ὅτι ἐκ ταύτης τῆς ἐργασίας ἡ εὐπορία ἡμῶν ἐστι, καὶ θεωρεῖτε, καὶ ἀκούετε, ὅτι οὐ μόνον Ἐφέσου, ἀλλὰ καὶ σχεδὸν πάσης τῆς Ἀσίας ὁ Παῦλος οὗτος πείσας μετέστησεν ὄχλον ἱκανὸν, λέγων, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν [ἀνθρώπων] γινόμενοι· οὐ μόνον δὲ τοῦτο κινδυνεύει ἡμῖν τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν, ἀλλὰ καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος εἰς οὐδὲν λογισθῆναι· μέλλειν δὲ καὶ καθαιρεῖσθαι τὴν μεγαλειότητα αὐτῆς, ἣν ὅλη ἡ Ἀσία, καὶ ἡ οἰκουμένη σέβεται." ποιῶν, φησι, ναοὺς ἀργυροῦς Ἀρτέμιδος. καὶ πῶς ἔνι ναοὺς ἀργυροῦς γενέσθαι; ἴσως ὡς κιβώρια μικρά. πολλὴ γὰρ ταύτης ἦν ἡ τιμὴ ἐν Ἐφέσῳ.

ὅπου καὶ τὸ ἱερὸν αὐτῶν ἐμπρησθὲν οὕτως ἐλύπησεν αὐτοὺς, ὡς τὸν ἐμπρήσαντα κελεύειν μηδὲ ὀνόματι λέγεσθαι. ὅρα πανταχοῦ τὴν εἰδωλολατρείαν ἀπὸ χρημάτων γινομένην. κἀκεῖνοι διὰ χρήματα, καὶ οὗτος διὰ χρήματα· οὐχ ὡς τῆς εὐσεβείας κινδυνευούσης αὐτοῖς, ἀλλ' ὡς τοῦ πορισμοῦ τὴν ὑπόθεσιν οὐκ ἔχοντος. καὶ σκόπει κακίαν ἀνδρός. εὔπορος ἦν αὐτὸς, καὶ αὐτῷ μὲν οὐ τοσαύτη ἔμελλε βλάβη γίνεσθαι ἐκ τούτου· ἐκείνοις δὲ ἦν πολλὴ, ἅτε πένησιν οὖσι, καὶ ἀπὸ τῆς καθημερινῆς ἐργασίας τρεφομένοις. καὶ ὅμως οὗτοι μὲν οὐδὲν λέγουσιν· αὐτοὺς δὲ κοινωνοὺς ὄντας αὐτοῖς τῆς τέχνης, κοινωνοὺς λαμβάνει καὶ τοῦ θορύβου. εἶτα καὶ τὸν κίνδυνον ηὔξησεν, ἐπαγαγὼν ὅτι κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν. τοῦτο γὰρ χωρὶς διὰ τούτου δηλοῖ, ὅτι ἀπὸ τῆς τέχνης ταύτης κινδυνεύομεν εἰς λιμὸν ἐμπεσεῖν. καίτοι τὰ εἰρημένα ἱκανὰ εἰς εὐσέβειαν αὐτοὺς ἀγαγεῖν· ἀλλὰ ταλαίπωροί τινες ὄντες καὶ ψυχροὶ, ἐπισυνίστανται μᾶλλον, καὶ οὐκ ἐννοοῦσιν, ὅτι εἰ ὁ ἄνθρωπος οὗτος τοσαῦτα ἰσχύει, ὡς μεταστῆσαι πάντας, καὶ κινδυνεύει τὰ τῶν θεῶν, ἡλίκος ὁ τούτου Θεός. καὶ ὅτι πολλῷ μᾶλλον ἐκεῖνα ἡμῖν δώσει ὑπὲρ ὧν φοβούμεθα. ἤδη προκατέλαβεν αὐτῶν τὰς ψυχὰς, λέγων, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ ὑπὸ χειρῶν ἀνθρώπων γινόμενοι. ὅρα ὑπὲρ τίνος ἀγανακτοῦσιν Ἕλληνες. ἐπειδὴ εἶπεν, ὅτι οἱ ὑπὸ ἀνθρώπων γινόμενοι, οὐκ εἰσὶ θεοί· πανταχοῦ εἰς τὴν τέχνην ὠθεῖ τὸν λόγον· εἶτα τὸ μάλιστα αὐτοὺς λυποῦν ὕστερον τίθησι, λέγων· οὐ μόνον δὲ τοῦτο τὸ μέρος κινδυνεύει· τουτέστι, τῶν μὲν ἄλλων οὐδεὶς λόγος· ἀλλ' ὅτι καὶ τὸ τῆς μεγάλης θεᾶς ἱερὸν Ἀρτέμιδος κινδυνεύει καθαιρεῖσθαι. εἶτα ἵνα μὴ δόξῃ χρηματισμοῦ ἕνεκεν λέγειν ταῦτα, ὅρα τί προσέθηκεν· ἣν ἡ οἰκουμένη σέβεται. ὁρᾷς πῶς ἔδειξε μείζω τὴν τοῦ Παύλου δύναμιν, πάντας ἀθλίους, καὶ ταλαιπώρους αὐτοὺς ἀποφαίνων, εἴγε ἄνθρωπος ἐλαυνόμενος, καὶ σκηνοποιὸς τοσαῦτα δύναται; ὅρα παρ' ἐχθρῶν τὰς μαρτυρίας τοῖς Ἀποστόλοις γινομένας. ἐκεῖ μὲν ἔλεγον, ἰδοὺ πεπληρώκατε τὴν Ἱερουσαλὴμ τῆς διδαχῆς ὑμῶν· ἐνταῦθα, ὅτι μέλλει καθαιρεῖσθαι τῆς Ἀρτέμιδος ἡ μεγαλειότης. τότε οἱ τὴν οἰκουμένην ἀναστατώσαντες ἥκασιν, ὅτι οὗτοι καὶ ἐνθάδε πάρεισι, νῦν ὅτι κινδυνεύει ἡμῖν τοῦτο τὸ μέρος εἰς ἀπελεγμὸν ἐλθεῖν. οὕτω καὶ Ἰουδαῖοι ἐπὶ τοῦ Χριστοῦ ἔλεγον· ὁρᾶτε ὅτι ὁ κόσμος ὀπίσω αὐτοῦ ὑπάγει; καὶ ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν τὴν πόλιν. ἀκούσαντες δὲ ταῦτα ἐπλήσθησαν θυμοῦ. πότε ὁ θυμὸς γέγονεν; ὅτε περὶ τῆς Ἀρτέμιδος ἤκουσαν· ὅτε περὶ τοῦ πορισμοῦ. τοιαῦτα γὰρ τὰ τῶν ἀγοραίων ἤθη, ἀπὸ τοῦ τυχόντος συναρπάζεσθαι, καὶ ἐκκαίεσθαι. διὰ ταῦτα μεθ' ἐξετάσεως δεῖ ποιεῖν πάντα. ὅρα δὲ πῶς καὶ ἦσαν εὐκαταφρόνητοι, οἱ πᾶσι περικαίεσθαι. ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ, φησὶν, ἔκραζον, λέγοντες· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. καὶ ἐπλήσθη ἡ πόλις ὅλη τῆς συγχύσεως· ὥρμησάν τε ὁμοθυμαδὸν εἰς τὸ θέατρον. συναρπάσαντες δὲ Γάϊον, καὶ Ἀρίσταρχον Μακεδόνας συνεκδήμους Παύλου, εἵλκυσαν αὐτούς. ἁπλῶς πάλιν ἐπιτιθέασιν ὡς ἐπὶ Ἰάσονος Ἰουδαῖοι, καὶ παρ' ἀρχὴν αὐτοῖς πεπόνθεσαν. οὕτως οὐδὲν εἶχον κόμπου γέμον οὐδὲ δόξης. τοῦ δὲ Παύλου βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί. τινὲς δὲ τῶν Ἀσιαρχῶν ὄντες αὐτοῦ φίλοι, πέμψαντες πρὸς αὐτὸν παρεκάλουν μὴ δοῦναι ἑαυτὸν εἰς τὸ θέατρον. παρακαλοῦσιν, ὅτι ἄτακτος ἦν ὁ δῆμος ἀλογίστῳ ῥύμῃ πάντα τολμῶντες. καὶ ὁ Παῦλος πείθεται. οὐ γὰρ ἦν κενόδοξος, οὐδὲ φιλότιμος. ἄλλοι μὲν οὖν ἄλλο τι ἔκραζον, ἦν γὰρ ἡ ἐκκλησία συγκεχυμένη. τοιοῦτον γὰρ τὸ πλῆθος, ἁπλῶς ἕπεται, καθάπερ πῦρ εἰς ὕλην ἐμπεσόν. καὶ οἱ πλείους οὐκ ᾔδεισαν τίνος ἕνεκεν συνεληλύθεισαν. ἐκ δὲ τοῦ ὄχλου προεβίβασαν Ἀλέξανδρον, προβαλόντων αὐτὸν τῶν Ἰουδαίων· προβάλλονται Ἰουδαῖοι οἰκονομικῶς ἵνα μηδὲν ἔχωσιν ὕστερον ἀντιλέγειν· οὗτος καὶ προβάλλεται, καὶ φθέγγεται. καὶ τί, ἄκουε. ὁ δὲ Ἀλέξανδρος κατασείσας τῇ χειρὶ ἤθελεν ἀπολογεῖσθαι τῷ δήμῳ. ἐπιγνόντες δὲ ὅτι Ἰουδαῖός ἐστι, φωνὴ ἐγένετο μία ἐκ πάντων ὡς ἐπὶ ὥρας δύο κραζόντων· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. παιδικὴ ὄντως ἡ διάνοια. καθάπερ φοβούμενοι μὴ σβεσθῇ τὸ σέβας αὐτῶν συνεχῶς ἐβόων. δύο ἔτη ἐκάθισεν ἐκεῖ, καὶ ὅρα πόσοι Ἕλληνες ἦσαν. καταστείλας δὲ ὁ γραμματεὺς τὸν ὄχλον, φησίν· ἄνδρες Ἐφέσιοι, τίς γάρ ἐστιν ἄνθρωπος ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν, νεωκόρον οὖσαν τῆς μεγάλης θεᾶς Ἀρτέμιδος καὶ τοῦ Διοπετοῦς; τοῦτο τὸν θυμὸν αὐτῶν ἔσβεσε. καὶ τοῦ Διοπετοῦς, τοῦτο λέγει, ὡς οὐκ ὄντος δήλου τοῦ πράγματος. ἱερὸν δὲ ἕτερον οὕτως ἐκαλεῖτο Διοπετές· ἤτοι τὸ εἴδωλον τοίνυν τὸ Ἀρτέμιδος Διοπετὲς ἔλεγον, ὡς ἐκ τοῦ Διὸς τὸ ὄστρακον ἐκεῖνο πεπτωκὸς καὶ οὐχ ὑπὸ ἀνθρώπων γινόμενον· ἢ ἕτερον ἄγαλμα παρ' αὐτοῖς οὕτως ἐλέγετο. ἀναντιρρήτων οὖν ὄντων τούτων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν, καὶ μηδὲν προπετὲς πράσσειν. ἠγάγετε γὰρ τοὺς ἄνδρας τούτους, οὔτε ἱεροσύλους, οὔτε βλασφημοῦντας τὴν θεὸν ὑμῶν. ἄρα τὸ πᾶν ψεῦδος· ταῦτα δὲ πρὸς τὸν δῆμον ὥστε καταστεῖλαι ἐπιτεχνώμενος γίνεται, φησίν.

A ubi atiam templum illorum succensum ita contristavit eos, ot eum qui succendisset, ne nominari quidem vellent. Vide ubique idololatriam à divitus fieri. Et illi propter pecunias. Et hic propter pecunias dolent, non quòd illis pietas periclitetur, sed quod materiam lucri non habituri sint. Et considera malignitatem viri. Abundans ille erat: Et ipsi quidem non tantum damnum inde futurum: illis autem plurimum, utpote pauperibus, qui & quotidiano opificio victita- B bant. Attamen hi quidem nihil dicunt. Ipsa autem, eos qui erant socii artis, socios assumit & tumultus. Deinde etiam periculum exaggerat, addens. Periclitatur nobis portio hæc, ne reprobetur. Hæc anim fore manifestat, quod periculum sit famem passuros hujus artis opifices. Et quamvis hæc dicta sufficiebant illos ad impietatem adducera, sed miseri quidam ac viles quum assent, insistunt magis: & non considerant, quod si homo hic valet tantùm, ut omnes con- C vartat, & periclitentur dii: qualis illius Deus: Et quòd multò magis illa nobis dabit, propter quæ timemus. Jam præoccupaverat illorum animos, dicens: *Non esse Deos, ab hominum manu factos.* Vida pro quo indignantur gentas. Quoniam dixerat, quòd ii qui ab hominibus facti, non sunt dii: semper in artem refert sermonem: Deinde, quod maximè illos contristabat, subdit, dicens: *Non solùm autem hac pars periclitatur nobis*: hoc est: Aliorum nobis nulla sit ra- D tio. *Sed etiam magna Dea Diana majestas in periculo est*, ne destruatur. Deinde na videatur lucri gratia dixisse, vide quid apponit: *Quam orbis colit.* Vides quòd ostendit majorem Pauli virtutem, omnes miseros & ærumnosos illos vocans? siquidam homo qui fugabatur hinc inde, & tabernaculorum factor tanta potest? Vide ab inimicis testimonia dari Apostolis. Illic quidem dicebant: *Ecce implestis Hierusalem doctrina vestra.* Hîc, quod destruenda est Dianæ majestas. Supr. 17, 6.

E Tunc dicebantur *commovisse orbem terrarum*, quòd hi & hic parebant. Nunc, quod periclitatur nobis portio nostra: ne reprobetur, & abeat. Sic & Judæi da Christo, dicebant: *Videtis quod mundus post illum vadit.* Et: *Venient Romani, & tollent nostram civitatem. Auditis autem his, impleti sunt furore.* Unde furor factus est? Quando de Diana audierunt: quando de lucri jactura: tales enim vulgarium mores sunt, facilè corripi, & accendi solent. Ea- Joh. 12, 19. Ibid. 11, 48.

A propter cum inquisitione facienda sunt hæc omnia. Vida autem quam contemptibiles fuerint, qui ad omnia sic afficiebantur. *His auditis impleti sunt ira*, inquit, *& clamaverunt dicentes: Magna Diana Ephesiorum. Et impleta est civitas tota confusione, impetumq; fecerunt unanimiter in theatrum. Et correptis Gaio & Aristarcho Macedonibus Pauli comitibus traxerunt illos.* Simpliciter iterum invadunt, sicut Jasonem Judæi, & semper similiter afficiuntur: ita nullum vel gloriæ, B vel honesti, respectum habebant. *Paulo autem volente intrare ad turbam non permiserunt fratres. Quidam autem Asia primoribus, quum essent amici ejus, miserunt ad eum. Et obsecrabant, ne committeret se theatro.* Obsecrant quia populus incompositus irrationabili impetu omnia audet. Et Paulus obtemperat. Non enim erat vanæ gloriæ cupidus, neque arrogans. Igitur alii quidem, aliud quiddam clamabant: erat enim congragatio confusa: *& pleriq; nesciebant qua ex causa* C *convenissent.* Talis enim turba simpliciter sequitur, sicut flamma in fomitem cadens. *Ex turba autem protraxerunt Alexandrum propellentibus illum Judæis.* Propellebant illum Judæi singulari dispensatione, ut nihil possent posteà contradicere. Hic & protruditur & loquitur. Et quid, audi: *Alexander autem manu silentio postulato, voluit rationem dare populo. Agnoscentes autem quod Judæus esset, vox facta est una omnium quasi ad duas horas clamantium, Magna est Diana* D *Ephesiorum.* Puerilis revera cogitatio, quasi timentes ne extinguerentur cultus illorum, continuò clamabant. Ad duos annos sederat illic, & vide quot adhuc Pagani. *Quum autem sedasset scriba turbam, dixit: Viri Ephesii, quis est hominum qui nesciat Ephesiorum civitatem Neocorum esse magnæ Deæ Dianæ & Diopetis?* Hoc primum furorem illorum restinguit. Et Διοπετοῦς, hoc dicit, quasi non sit manifesta res. Sacrum autem aliud sic vocabatur Διοπετὴς, vel idolum Dianæ: sic di- E cebat, quod ax Jove tasta illa delapsa, & non ab homine facta, vel aliud idolum apud illos sic dicebatur. *Quum igitur his nemo contradicat, oportet vos sedatos esse, & nihil præcipitanter agere. Adduxistis enim viros hos neq; sacrilegos neq; contumeliosos in Deam vestram.* Hoc igitur totum mendacium est. Ista autem ad populum sedandum dicebat:

Itaque si Demetrius, & qui cum illo sunt artifices, habent adversus aliquem causam, conventus forenses aguntur, & Proconsules sunt, accusent invicem. Si autem quid de aliis rebus quæritis, in legitima congregatione dirimetur. Nam periculum est, ne seditionis hodierna fiamus rei: quum nulla sit causa, unde poterimus rationem reddere istius concursus. Et his dictis solvit contionem. *Legitimam congregationem* vocat, eo quod tres conciones juxta legem quolibet mense fierent. Illa autem erat propter legem. Ad hæc terruit illos, dicens: *Periculum est, ne seditionis accusemur.* Sed videamus iterum lecta: *His autem impletis,* inquit, *posuit Paulus in spiritu, transita Macedonia & Achaia, in Hierusalem proficisci.* Non jam hoc humana ratione facit, sed spiritu, quo etiam decrevit transire. Hoc est enim, *posuit:* & hunc sensum habet sermo. Quare autem mittit Timotheum & Erastum, non dicit. Mihi videtur etiam de hoc dicere, *In spiritu:* ut non ultrà lateant. Statueramus; ut relinquerentur Athenis soli. Et vide: Duos qui sibi ministrabant, mittebat, ut adventum suum significent, & alacriores reddant. Maximè in Asia versatur: Meritò. Illic enim erat magna fraternitas philosophorum: & ut venit; iterum loquitur illis. Etenim magna erat illic superstitio. *Demetrius enim quidam faber argentarius, collectis iis qui ejusdem opificii erant, dixit: Viri, scitis & videtis, & auditis.* Ita manifestum erat quod fiebat. *Hic,* inquit, *Paulus persuadens, convertit magnam turbam.* Et ita non violenter, si persuasit. Ita persuadendæ sunt civitates. Deinde adducit, id quod illis dolebat: *Non esse Deos, qui manibus fiunt.* Quid est hoc? Subvertit, inquit, artem nostram. Et ne cogitent ac dicant, quod solus homo talia possit: & si tantùm possit, ei sit credendum: subdidit: *Quam tota Asia & orbis colit.* Vocem illorum putabant divino spiritui obfuturam. Verè pueri Græci. Ex hoc, inquit, opificio victitamus, & lucrum nostrum est. Et si ex hoc opificio quæstus noster est, quomodo persuasit vilis homo? Quomodo tantæ consuetudini prævaluit? Quid faciendo, vel quid dicendo? Non est Pauli, non est hominis. Et hoc sufficit dixisse, *quod non sunt dii.* Itaque si sic tam facilè deprehenditur impietas, olim condemnatam esse oportebat. Si autem foris, non tam statim tollenda. Non solùm autem hæc pars nostra periclitatur. Sic sanè aliquid majus dicens, hoc subdidit. *Auditis autem illis, impleti furore clamabant: Magna Diana Ephesiorum.* Singulæ enim orbes suos habebant Deos. Et ita afficiebantur, quasi vocibus cultum ejus reparaturi, & quæ facta erant retexturi. Vide incompositam multitudinem. *Paulo autem,* inquit, *volente ingredi ad plebem, non permittebant eum discipuli.* Itaque Paulus volebat ingredi, ut concionaretur. Nam persequutiones ad doctrinam assumebat. sed discipuli non sinebant illum. Et considera, quanta erga illum usi sunt providentia ubique, & ab initio illum eduxerunt, ne lethalem acciperet plagam: quamvis sanè audivissent, quod oportebat etiam Romam videre: ettamen prohibent: cum singulari autem dispensatione prænunciat, ne post factum turbentur, ita neque pati illum aliquid volebant. *Et quidam principes Asiæ obsecrabant illum,* inquit, *ne intraret in theatrum.* Scientes ejus promptitudinem obsecrabant, sic omnes illum amabant fideles. Et quare, inquit, Alexander voluit rationem reddere? Nónne ipse intrusus erat? Ut & data occasione confutaret totum, & furorem populi extingueret. Vidistis furorem omni carentem ordine. Bene & cum increpatione scriba: *Quis est,* inquit, *qui nescit Ephesiorum civitatem?* Sic dixit id quod timebant. Quasi diceret: Nónne colitis illam? Et non dixit: Quis est enim, qui non nosrit Dianam: sed *civitatem nostram:* curans illos. Quum igitur his contradici nequeat, oportebat vos modestius agere. Hæc sanè objurgat, quasi dicens: Quid igitur quæritis, quasi incerta sint? Manifestum quod contumelia ad Deum pertingit. Ex pietate, avaritiæ prætextum quærunt. Deinde clam perstringit illos, ostendens quod absque ratione convenerint. *Et nihil,* inquit, *præcipitanter facere,* ostendens quòd temerè ac præcipitanter egerint. Hoc dixit. *Itaque si Demetrius & qui cum illo sunt, habent causam quandam, proconsules sunt.* Et hoc objicit, ostendens, quod non oportebat privatorum criminum causa congregationem generalem facere. *Etenim periculum est,* inquit, *ne accusemur.*

" εἰ μὲν οὖν Δημήτριος, καὶ οἱ σὺν αὐτῷ τεχνῖται, ἔχουσι πρός τινα λόγον, ἀγοραῖοι ἄγονται, καὶ ἀνθύπατοί εἰσιν, ἐγκαλείτωσαν ἀλλήλοις. εἰ δέ τι περὶ ἑτέρων ἐπιζητεῖτε, ἐν τῇ ἐννόμῳ ἐκκλησίᾳ ἐπιλυθήσεται. καὶ γὰρ κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως περὶ τῆς σήμερον, μηδενὸς αἰτίου ὑπάρχοντος περὶ οὗ [οὐ] δυνησόμεθα ἀποδοῦναι λόγον τῆς συστροφῆς ταύτης. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν. " ἔννομον ἐκκλησίαν, φησὶ, διὰ τὸ τρεῖς ἐκκλησίας γίνεσθαι κατὰ νόμον καθ' ἕκαστον μῆνα· αὕτη δὲ ἦν παρὰ νόμον. εἶτα καὶ ἐφόβησεν αὐτοὺς, εἰπὼν, κινδυνεύομεν ἐγκαλεῖσθαι στάσεως. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ὡς δὲ ἐπληρώθη ταῦτα, φησὶν, ἔθετο ὁ Παῦλος ἐν τῷ πνεύματι διελθὼν τὴν Μακεδονίαν, καὶ Ἀχαΐαν, πορεύεσθαι εἰς Ἱεροσόλυμα. οὐκ ἔτι ἀνθρωπίνως ἐνταῦθα ποιεῖ, ἀλλὰ πνευματικῶς, ᾧ καὶ προείλετο διελθεῖν. τοῦτο γάρ ἐστι τὸ, ἔθετο, καὶ τοιαύτην ὁ λόγος ἔννοιαν ἔχει. τίνος δὲ ἕνεκεν ἀποστέλλει Τιμόθεον καὶ Ἔραστον, οὐ λέγει. ἐμοὶ [δὲ] δοκεῖ καὶ περὶ τούτου εἰπεῖν τὸ, ἐν πνεύματι· διὰ μηκέτι στέγοντες, εὐδοκήσαμεν καταλειφθῆναι ἐν Ἀθήναις μόνοι. καὶ ὅρα· δύο τῶν διακονουμένων αὐτῷ ἀπέστειλε, τήν τε παρουσίαν ἀπαγγεῖλαι, καὶ προθυμοτέρους ποιῆσαι· μάλιστα πάντων τῇ Ἀσίᾳ ἐνδιατρίβει· εἰκότως. ἐκεῖ γὰρ ἦν ἡ πολλὴ φατρία τῶν φιλοσόφων. καὶ ἐλθὼν, πάλιν αὐτοῖς διαλέγεται. καὶ γὰρ πολλὴ ἦν ἐκεῖ δεισιδαιμονία· Δημήτριος γάρ τις, φησὶν, ἀργυροκόπος, συναθροίσας τοὺς περὶ τὰ τοιαῦτα ἐργάτας, εἶπεν· ἄνδρες, ἐπίστασθε, καὶ θεωρεῖτε, καὶ ἀκούετε. οὕτω κατάδηλον ἦν τὸ γινόμενον· ὅτι οὗτος, φησὶν, ὁ Παῦλος πείσας μετέστησεν ἱκανὸν ὄχλον. ὥστε οὐ βιαίως, εἰ ἔπεισεν. οὕτω δεῖ πείθειν πόλιν. εἶτα ἐπάγει ὅπερ αὐτῶν καθήπτετο, ὅτι οὐκ εἰσὶ θεοὶ οἱ διὰ χειρῶν γινόμενοι· τί ἐστι τοῦτο; ἀνατρέπει, φησὶ, τὴν τέχνην τὴν ἡμετέραν. καὶ ἵνα μὴ ἐννοήσωσι, καὶ εἴπωσιν, ὅτι μόνος ἄνθρωπος τοιαῦτα ἰσχύει· καὶ εἰ τοσοῦτον ἰσχύει, αὐτῷ δεῖ πείθεσθαι, ἐπήγαγεν· ἣν ὅλη ἡ Ἀσία, καὶ ἡ οἰκουμένη σέβεται· τὴν φωνὴν αὐτῶν ᾤοντο ἐπιτειχίζειν τῷ πνεύματι τῷ θείῳ. ὄντως παῖδες Ἕλληνες. ἐκ ταύτης τῆς ἐργασίας, φησὶν, ἡ εὐπορία ἡμῶν ἐστι. καὶ εἰ ἀπὸ ταύτης τῆς ἐργασίας εὐπορία ὑμῖν περιγίνεται, πῶς ἔπεισεν ἄνθρωπος εὐτελής; πῶς τοσαύτης ἐκράτησε συνηθείας; τί ποιῶν ἢ τί λέγων; οὐκ ἔστι Παύλου· οὐκ ἔστιν ἀνδρός. καὶ τοῦτο ἀρκεῖ τὸ εἰπεῖν, ὅτι οὐκ εἰσὶ θεοί. εἰ μὲν οὖν οὕτως εὐφώρατον τὸ τῆς ἀσεβείας, πάλαι καταγνωσθῆναι ἔδει· εἰ δὲ ἰσχυρὸν, οὐχ οὕτως ἀναιρεθῆναι ταχέως. οὐ μόνον δὲ, φησὶ, τοῦτο κινδυνεύει ἡμῶν τὸ μέρος. ὡς δή τι ποτὲ μεῖζον λέγων, τοῦτο ἐπήγαγεν· ἀκούσαντες δὲ καὶ γενόμενοι πλήρεις θυμοῦ ἔκραζον· μεγάλη ἡ Ἄρτεμις Ἐφεσίων. κατὰ πόλιν γὰρ αὐτοῖς ἦσαν θεοί· καὶ οὕτω διέκειντο, ὡς διὰ τῆς φωνῆς ἀνακτώμενοι τὸ σέβας αὐτῆς, καὶ τὰ γεγενημένα ἀναλύοντες. ὅρα ἄτακτον πλῆθος. τοῦ δὲ Παύλου, φησὶ, βουλομένου εἰσελθεῖν εἰς τὸν δῆμον, οὐκ εἴων αὐτὸν οἱ μαθηταί· ὁ μὲν οὖν Παῦλος ἐβούλετο εἰσελθεῖν δημηγορῆσαι· τοὺς γὰρ διωγμοὺς ἐλάμβανεν εἰς διδασκαλίαν· ἀλλ' οἱ μαθηταὶ οὐκ εἴων αὐτόν. σκόπει πόσῃ περὶ αὐτὸν προνοίᾳ κέχρηνται πανταχοῦ; καὶ ἐξ ἀρχῆς αὐτὸν ἐξήγαγον, ὥστε μὴ περὶ τὰ καίρια λαβεῖν τὴν πληγήν. καίτοι γε ἤκουσαν, ὅτι δεῖ καὶ Ῥώμην ἰδεῖν· ὅμως κωλύουσιν. οἰκονομικῶς δὲ προαγορεύει, ἵνα μὴ τῷ γινομένῳ θορυβηθῶσιν. οὕτως οὐδὲ πάσχειν τι αὐτὸν ἐβούλοντο. καὶ τῶν ἀσιαρχῶν δέ τινες παρεκάλουν αὐτὸν, φησὶ, μὴ εἰσελθεῖν εἰς τὸ θέατρον. εἰδότες αὐτοῦ τὴν προθυμίαν παρεκάλουν· οὕτω πάντες αὐτὸν ἐφίλουν οἱ πιστοί. καὶ τίνος ἕνεκεν, φησὶν, ὁ Ἀλέξανδρος ἐβούλετο ἀπολογεῖσθαι; μὴ γὰρ αὐτὸς ἐνεκλήθη; ὥστε καιρὸν εὑρεῖν, καὶ τὸ πᾶν καταστρέψαι, καὶ ἐκκαῦσαι τοῦ δήμου τὸν θυμόν. εἴδετε θυμὸν ἄτακτον; καλῶς καὶ ἐπιτιμητικῶς ὁ γραμματεὺς, τίς ἐστί, φησιν, ὃς οὐ γινώσκει τὴν Ἐφεσίων πόλιν; οὕτως εἰπὼν περὶ οὗ ἐφοβοῦντο. ἀντὶ τοῦ ἔλεγεν· οὐ θεραπεύετε αὐτήν. καὶ οὐκ εἶπε, τίς γάρ ἐστιν ὃς οὐ γινώσκει τὴν Ἄρτεμιν· ἀλλὰ τὴν πόλιν τὴν ἡμετέραν, θεραπεύων αὐτούς. ἀναντιρρήτων οὖν τούτων ὄντων, δέον ἐστὶν ὑμᾶς κατεσταλμένους ὑπάρχειν. ταῦτα δῆθεν ἐγκαλεῖ μονονουχὶ, λέγων· τί τοίνυν ζητεῖτε ὡς ἀδήλων ὄντων; φανερὸν ὡς ἡ ὕβρις εἰς τὸν Θεὸν διαβαίνει. πρόσχημα τὴν εὐσέβειαν ἐβούλοντο ποιεῖν τοῦ χρηματισμοῦ. εἶτα ἠρέμα καθάπτεται αὐτῶν, δεικνὺς ὅτι ἀλογίστως συνῆλθον. καὶ μηδὲν, φησὶ, προπετὲς πράττειν· δεικνὺς ὅτι προπετῶς ἔπραξαν. τοῦτο εἶπεν, εἰ μὲν οὖν Δημήτριος, καὶ οἱ σὺν αὐτῷ ἔχουσί τινα λόγον, ἀνθύπατοί εἰσι. καὶ τοῦτο ἐγκαλῶν, καὶ δεικνὺς ὅτι οὐκ ἔδει ἰδιωτικῶν ἐγκλημάτων ἕνεκεν, κοινὴν ἐκκλησίαν ποιεῖσθαι. καὶ γὰρ κινδυνεύομεν, φησιν, ἐγκαλεῖσθαι.

τούτῳ σφόδρα αὐτοὺς διηπόρησεν· οὐδενὸς αἰτίου φησὶν ὑπάρχοντος περὶ οὗ [οὐ] δυνησόμεθα λόγον δοῦναι τῆς συστροφῆς ταύτης· ὅρα πῶς οἱ ἄπιστοι φρονίμως ἀπολογοῦνται· πῶς συνετῶς. οὕτως ἔσβεσε τὸν θυμόν. ὥσπερ γὰρ ῥᾳδίως ἐξάπτεται, οὕτω καὶ ῥᾳδίως σβέννυται. καὶ ταῦτα εἰπὼν, ἀπέλυσε τὴν ἐκκλησίαν, φησίν. ὁρᾷς τὸν Θεὸν συγχωροῦντα τοὺς πειρασμοὺς, καὶ διεγείροντα, καὶ ἀφυπνίζοντα τοὺς μαθητὰς τούτοις, καὶ σφοδροτέρους ἐργαζόμενον; μὴ δὴ καταπίπτωμεν τοῖς πειρασμοῖς. αὐτὸς γὰρ ποιήσει, καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν. οὐδὲν οὕτω φίλους ποιεῖ, καὶ συγκροτεῖ, ὡς θλίψις· οὐδὲν οὕτω συνδεῖ, καὶ ἐπιστρέφει τὰς τῶν πιστῶν ψυχάς· οὐδὲν ἡμῖν τοῖς διδασκάλοις οὕτως ἐπιτήδειον πρὸς τὸ τὰ παρ' ἡμῶν λεγόμενα ἀκούεσθαι. ἐν μὲν γὰρ ἀνέσει τυγχάνων ἀκροατὴς, χαῦνός τέ ἐστι καὶ ῥάθυμος, καὶ ἐνοχλεῖσθαι δοκεῖ παρὰ τοῦ λέγοντος· ἐν δὲ θλίψει, καὶ στενοχωρίᾳ, εἰς πολλὴν ἐπιθυμίαν ἀκροάσεως ἐμπίπτει. στενοχωρούμενος γὰρ τὴν ψυχὴν, πανταχόθεν ζητεῖ παραμυθίαν τῆς θλίψεως εὑρεῖν. οὐ μικρὰν δὲ φέρει λόγος παραμυθίαν. τί οὖν, φησιν, οἱ Ἰουδαῖοι; πῶς θλιβόμενοι ἀπὸ τῆς ὀλιγοψυχίας οὐκ ἤκουον, ὅτι Ἰουδαῖοι ἦσαν, οἱ ἀεὶ ἀσθενεῖς, καὶ ταλαίπωροι; ἄλλως τε· καὶ ὅτι, καὶ ἐκεῖ πολλὴ ἡ θλίψις ἦν. ἡμῖν δὲ περὶ συμμέτρου ὁ λόγος. ὅρα γάρ· προσεδόκησαν ἀπαλλάττεσθαι τῶν κατεχόντων αὐτοὺς κακῶν ἐκεῖνοι, καὶ μυρίοις περιέπεσον μᾶλλον δεινοῖς. τοῦτο δὲ οὐχ ὡς ἔτυχεν ἀπορεῖ ψυχήν. αἱ θλίψεις, ἀποσχίζουσιν ἡμᾶς τῆς συμπαθείας τῆς πρὸς τὸν παρόντα κόσμον. εὐθέως γοῦν τὸν θάνατον αἰτοῦμεν, καὶ οὐκ ἐσμὲν φιλοσώματοι· ὅπερ μέγιστον φιλοσοφίας μέρος ἐστί· μὴ κεχηνέναι, μηδὲ προσδεδέσθαι τῇ παρούσῃ ζωῇ. ἡ θλιβομένη ψυχὴ οὐ βούλεται περὶ πολλὰ εἶναι. ἀλλ' ἀναπαύσεώς τινος μόνον, καὶ ἡσυχίας ἐρᾷ· ἀγαπητὸν αὐτῇ τῶν παρόντων ἀπαλλαγῆναι, κἂν μηδὲν ἕτερον ᾖ. καθάπερ σῶμα πεπονηκὸς, καὶ ταλαιπωρηθὲν, οὐκ ἐρᾶν βούλεται, οὐ γαστρίζεσθαι, ἀλλ' ἀναπαύεσθαι, καὶ ἡσυχῇ κεῖσθαι· οὕτω καὶ ψυχὴ μυρίοις βαρυνθεῖσα κακοῖς, πρὸς ἀνάπαυσιν, καὶ ἡσυχίαν ἐπείγεται [εἶναι.] ἡ ἐν ἀνέσει οὖσα, ἐπτόηται, τεθορύβηται, μετέωρός ἐστιν· αὕτη δὲ οὐδὲν κεχηνὸς ἔχουσα, οὐδὲ διερρυὲν, ὅλη συνέσφιγκται, καὶ μένει ἀμετέωρος. καὶ ἡ μὲν ἀνδρειοτέρα, ἡ δὲ παιδικωτέρα ἐστί· καὶ ἡ μὲν βαρυτέρα, ἡ δὲ κουφοτέρα. καὶ καθάπερ ἐν πολλῷ ὕδατι ἐμπεσὸν τι, κοῦφον σαλεύεται· οὕτω καὶ εἰς πολλὴν χαρὰν ἐμπεσοῦσα ψυχή. καὶ τὰ μέγιστα δὲ ἡμῖν ἁμαρτήματα, ἀπὸ πολλῆς ἡδονῆς γεγενημένα ἴδοι τις ἄν. καὶ εἰ βούλεσθε, οἰκίας ὑπογράψωμεν δύο· τὴν μὲν, γαμούντων· τὴν δὲ, πενθούντων. εἰσέλθωμεν τῷ λόγῳ πρὸς ἑκατέρας· ἴδωμεν τίς τίνος βελτίων. εὑρήσομεν γὰρ ἡ τοῦ πενθοῦντος φιλοσοφίας γέμουσα· ἡ δὲ τοῦ γαμοῦντος ἀσχημοσύνης. ὅρα γάρ· αἰσχρὰ ἐκεῖ ῥήματα· γέλως ἄτακτος· βήματα ἀτακτότερα· στολὴ καὶ βάδισις ἀσχημοσύνης γέμουσα· σχήματα πολλῆς ἀνοίας, καὶ μωρίας· καὶ ὅλως οὐδὲν ἕτερον, ἢ πάντα γέλως, καὶ κατάγελως τὰ ἐκεῖ· οὐχ ὁ γάμος, λέγω, μὴ γένοιτο· ἀλλὰ τὰ περὶ τὸν γάμον. ἐκβακχεύεται τότε ἡ φύσις· ἄλογα ἀντὶ ἀνθρώπων οἱ παρόντες γίνονται· οἱ μὲν ὡς ἵπποι χρεμετίζουσιν, οἱ δὲ ὡς ὄνοι λακτίζουσι. πολλὴ ἡ διάχυσις· πολλὴ ἡ διάλυσις, οὐδὲν σπουδαῖον, οὐδὲν γενναῖον, πολλὴ ἐκεῖ τοῦ διαβόλου ἡ πομπὴ, κύμβαλα, αὐλοὶ, καὶ ᾄσματα πορνείας γέμοντα καὶ μοιχείας. ἀλλ' οὐκ ἐκεῖ ἔνθα τὸ πένθος. ἀλλὰ πάντα εὔτακτα. πολλὴ γὰρ ἡ σιγή· πολλὴ ἡ ἡσυχία, πολλὴ ἡ καταστολὴ, οὐδὲν ἄτακτον, οὐδὲν ἄρρυθμον. εἴ τίς τι καὶ ἐφθέγξατο, πάντα φιλοσοφίας γέμοντα ῥήματα ἐφθέγξατο. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι παρ' ἐκεῖνον τὸν καιρὸν, οὐκ ἄνδρες μόνον, ἀλλὰ καὶ οἰκέται, καὶ γυναῖκες φιλοσοφοῦσι. τοιαύτη γὰρ ἡ τοῦ πένθους φύσις. καὶ δοκοῦσι μὲν παρακαλεῖν τὸν πενθοῦντα, μυρία δὲ φθέγγονται δόγματα φιλοσοφίας μεστά· εὐχαὶ εὐθέως ὥστε μέχρι τούτου στῆναι, καὶ ἱκανοὶ οἱ τὸν πεπονηκότα παραμυθούμενοι, καὶ ἀπαριθμήσεις τῶν τοιαῦτα πενθούντων μυρίαι. τί γάρ ἐστιν ἄνθρωπος; τῆς φύσεως ἐξέτασις τῆς ἡμετέρας. τί ποτέ ἐστιν ἄνθρωπος; τοῦ βίου, καὶ τῆς εὐτελείας αὐτοῦ κατηγορία. ἀνάμνησις τῶν ἐν τῷ μέλλοντι πραγμάτων, τῆς κρίσεως, ἕκαστος οἴκαδε ἀναχωρεῖ, ἀπὸ μὲν γάμου λυπούμενος, ὅτι δὴ αὐτὸς μὴ ἐν εὐπραγίᾳ ἐστὶν, ἀπὸ δὲ πένθους, ἀνειμένος, ὅτι δὴ μὴ τοιαῦτα ἔπαθε, καὶ τὴν φλεγμονὴν σβέσας ἅπασαν ἀπῆλθεν. ἀλλὰ τί; θέλεις τὰ δεσμωτήρια, καὶ τὰ θέατρα ἀντεξετάσωμεν; ὁ μὲν γὰρ θλίψεως, ὁ δὲ ἡδονῆς τόπος. φέρε οὖν, ἴδωμεν τὰ ἐξ ἑκατέρων συμβαίνοντα. ἐκεῖ φιλοσοφία πολλή. ἔνθα γὰρ ἀθυμία, καὶ φιλοσοφία πάντως. ὁ περὶ τούτου πλουτῶν, ὁ μεγάλα φυσῶν, καὶ τῷ

A Hoc dicto, in magnas angustias eos conjicit, quum nulla
causa subsit: unde non poterimus rationem reddere concur-
sus istius. Vide quam prudenter increduli rationem red-
dunt, quamque sapienter. Sic extinxit furorem: nam ut
facilè accenditur, ita etiam facilè extinguitur. *Et his dictis*
dimisit concionem. Vides Deum permittere tentationem,
discipulósque excitare, & excutere eis somnum, & sic ala-
criores reddere? Oro ne succumbamus tentationibus. Ipse
B enim exitum quoque dabit, ut possimus sufferre. Nihil
ita amicos facit ac conjungit, ac tribulatio. Nihil nobis
doctoribus ita utile ut audiantur quæ à nobis dicuntur. Au-
ditor enim quando in deliciis agit, oscitans est ac ignavus,
& à loquente quodam interturbari videtur. In afflictione
autem & tribulatione, in magnum auditorii desiderium inci-
dit. Nam quum anima angustiatur, undique consolatio-
nem afflictionis invenire quærit. Non parvam autem con-
C solationem affert sermo. Quid igitur, inquit, Judæi quum
affligerentur, præ pusillanimitate non audierunt? quia Ju-
dæi erant, qui semper infirmi ac ærumnosi. Et aliter. Quia
& illic magna afflictio erat, nobis autem de moderata sermo
est. Vide enim: Espectabant liberari à malis quæ illos
detinebant, & in plurima inciderant mala. Hoc autem non
vulgariter animos perplexos reddit. Afflictiones abstrahunt
nos ab affectione erga præsentem mundum Itaque statim
D mortem petimus, & non sumus amatores corporis, quæ sanè
maxima Philosophiæ pars est, non deditum neque adstrictum
esse præsenti vitæ. Anima quæ affligitur, non vult in mul-
tis occupationibus, sed solum refocillationem & quietem a-
mat. Facile est ei à præsentibus liberari, etiamsi nihil aliud
sit. Quemadmodum corpus quod laboribus fatigatum &
exhaustum, non diligi vult, neque ventri indulgere, sed re-
quiescere, & silenter jacere: ita & anima plurimis onerata,
E in quiete ac silentio esse festinat: quæ in refocillatione est ac
deliciis, respuit, turbata est, superba est. Illa quæ nihil
habet fusum & effusum, tota constringitur & aliena est ab
omni superbia: & hæc quidem virilior est, hæc autem pue-
rilior, & hæc quidem gravior, illa autem levior. Et sic-
ut si quid lapsum fuerit in multas aquas, quod levius est tur-
batur: ita & anima ubi multis gaudiis impleta fuerit, &
maxima quis peccata viderit à nimiis gaudiis provenisse. Et
A si volueritis domus duas depingemus: unam habentium
nuptias, alteram in luctu agentium. Ingrediamur consi-
deratione utramque, videamus utra melior: invenietur enim
lugentis domus plena Philosophiæ: domus autem nuptia-
rum, referta fœditate. Vide enim turpia illic verba, ri-
sum incompositum, sessiones magis incompositas, vestem &
gressum plenum turpitudine, & gestus stultitiam & insipientiam
præ se ferentes, omnia illic risum & ridicula: non ipsas nuptias
B dico, absit, sed ea quæ in nuptiis fiunt. Insanit nunc
natura, præsentes pro hominibus bruta fiunt, & alii quidem
ut equi hinniunt, alii verò ut asini calcitrant, magna disso-
lutio, nihil maturum, nihil generosum. Magna ibi dia-
boli pompa, cymbala, tibiæ, & cantica plena scortatio-
num ac adulteriorum. At non ita agitur ubi luctus, sed
ibi omnia bene composita: magnum enim silentium, magna
quies, magna submissio, nihil sine moderatione, nihil in-
C compositum, si quis etiam aliquid locutus fuerit, omnia
quæ loqueretur Philosophiam sapient. Et hoc profectò
mirum, quod per illud tempus non viri soli, sed etiam mu-
lieres ac domestici philosophantur. Talis est enim natura
luctus. Et videntur quidem consolari lugentem, plurima
autem Philosophiæ decreta narrant. Preces statim quæ
hactenus intermissæ audiuntur, & ad consolandum afflictos
sufficiunt. Et enumerabimus innumera id genus dicta de-
D plorantium. Quid est enim homo? naturæ nostræ inqui-
sitio. Quid igitur est homo? vitæ & nostræ pravitatis ac-
cusatio, commemoratio eorum quæ in futuro judicio. U-
nusquisque domum redit, à nuptiis quidem tristitia affectus,
eo quod ipse minus feliciter agat: à luctu autem seipsum
consolans, concupiscentiarum igne restincto quod talia passus
non sit. Sed quid? Vis carcerem & theatrum confera-
mus? Ille quidem afflictionis, hoc autem voluptatis est
E locus. Agè igitur videamus ea quæ utrisque contingunt.
Illic Philolophia multa est. Ubi enim mœstitia, & Phi-
losophia. Qui anteà opibus inhiabat, qui valde inflabatur,

& vix permittebat vulgarem hominem sibi loqui, is tunc humilis fit, quasi igne quodam in animam ejus illapso, & duritiem molliente metu ac tristitia, tunc mœstus fit, tunc secularem mutationem sentit, tunc fortis fit ad omnia. At in theatro omnia contraria, risus, turpitudo, pompa diabolica, effusio, consumptio temporis, & expensio dierum inutilis, concupiscentiæ absurdæ præparatio, adulterii meditatio, scortationis gymnasium, intemperantiæ schola, adhortatio turpitudinis, occasio risus, turpitudinis exempla: sed non sic agitur in carcere ubi humilitas animi; exhortatio, & extimulatio ad Philosophiam, contemptus rerum secularium, omnia conculcata & despecta. Et quasi pædagogus puero metus assistit, ad omnia quæ oportet illum componens. Sed si vis iterum aliter inquiremus illa loca. Vellem te occurrere viro à theatro venienti, & alteri è carcere egredienti: & videres illius animam fastidientem, turbatam, veréque constrictam: hujus autem solutam, promptam, & ferè alatam. Nam ille à theatro recedit, oculis mulierum quæ illic sunt adstrictus, quovis ferro graviora ferens vincula: nempè loca quæ illic erant, verba, habitus. Qui autem à carcere, ab omnibus liberatus, non jam putabit se aliquid grave pati, sua cum alienis comparans, quod qui non est ligatus gratiam nunc habet, contemnit humanas res, multos divites videns in calamitatibus, multa & magna potentes & ligatos illic, etiamsi injustè quid patiatur, etiam sic fortis est. Quin & illius loci multa exempla in cogitationem ducent futuri judicii, & horrebit loca ea ibi jam videns. Sicut enim ibi qui in carcere conclusus, mitis erga omnes est: ita & illi ante judicium, ante futurum diem, erga mulierem, erga pueros, erga domesticos erunt æquiores. Sed à theatro non sic reditur, injucundius enim vir aspiciet mulierem, & importunus ministris erit, exacerbabitur erga pueros, efferabitur in omnes. Magna mala theatra efficiunt civitatibus, magna, & neque hoc scimus quod magna. Si autem non fatigaremini, etiam loca risus, symposia dico, inquiremus. Ibi parasiti adulatores & magnæ delitiæ. Et loca alia ubi claudi & cæci. Iterum illic quidem ebrietas & delitiæ, & hilaritas, hic autem contrarium. Vide & in corpore, quando phlegmate abundat, quando valdè incolume est, faciliùs in morbum cadit: quando autem castigatum fuerit, non sic. Ut autem manifestius vobis faciam quod dico, sit corpus habens multum sanguinem, & carnes multas, ac in deliciis. Hoc etiam à fortuito eventu febrem parere potest, si simpliciter doluerit. Sit autem aliud fame ac tribulatione magis firmum, hoc vix à morbo comprehendetur ac fatigabitur. Sanguis licet sanus sit in nobis, sæpe tamen multitudine morbum attulit: si autem modicus sit, & non sanus, facilè compesci potest. Ita profectò & de anima dixerim. Quæ enim in deliciis & refocillatione, valde propensos ad peccatum habet impetus. Stat enim propè arrogantiam & voluptatem, & vanam gloriam, & invidiam, & insidias ac calumnias. An non frugalitas in afflictione, & ab omnibus illis libertas? Ecce quam magna est nostra illa civitas. Unde igitur nascuntur mala, nónne ab opulentis? nónne à gaudentibus? Qui in vincula trahunt? qui facultates dilapidant? qui miseri & abjecti? nónne qui multum inflantur ac gaudent? Non potest ab afflicta anima aliquid mali

Rom. 5. 3. fieri. Noverat illius virtutem Paulus, & propter hoc dicit: *Tribulatio patientiam operatur, patientia autem probationem, probatio autem spem, spes verò non confundit.* Oro ne succumbamus afflictionibus, sed in omnibus gratias agamus, ut quid magni lucrifaciamus, ut probemur Deo, qui tentationes permittit. Magnum bonum est afflictio. Et hoc à pueris nostris discimus. Nam absque afflictione nulli utilia discunt. Nos autem magis quàm illi egemus afflictione. Nam si illi cum afflictiones eis desint lasciviunt, multo magis nos, & maximè tantis jam obnoxii, unde nobis magis opus erat pædagogis. A pueris enim non tam magna peccata fiunt, quàm à nobis maxima. Noster autem pædagogus est afflictio. Igitur tribulationem futuram ne nobis asciscamus, præsentem strenuè feramus, quò divina gratia bona diligentibus Deum reposita assequamur in Christo Jesu Domino nostro, cum quo Patri simul ac Spiritui sancto gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

τυχὸν τότε ἀνέξεται διαλεγομένου πρὸς αὐτόν, τοῦ φόβου καὶ τῆς ἀθυμίας καθάπερ τινὸς πυρὸς σφοδροτέρου ἐπιπεσόντος αὐτοῦ τῇ ψυχῇ, καὶ μαλάττοντος τὸ σκληρόν, τότε ταπεινὸς γίνεται, τότε σκυθρωπός, τότε τῆς μεταβολῆς αἰσθάνεται τῆς βιωτικῆς, τότε καρτερεῖ πρὸς πάντα. ἐν δὲ θεάτρῳ πάντα τὰ ἐναντία, γέλως, αἰσχρότης, πομπὴ διαβολική, διάχυσις, ἀνάλωμα χρόνου, καὶ δαπάνη ἡμερῶν περιττή, ἐπιθυμίας ἀτόπου κατασκευή, μοιχείας μελέτη, πορνείας γυμνάσιον, ἀκολασίας διδασκαλεῖον, προτροπὴ αἰσχρότητος, γέλωτος ὑπόθεσις, ἀσχημοσύνης παραδείγματα. ἀλλ' οὐ τὸ δεσμωτήριον τοιοῦτον· ἀλλ' ἐκεῖ ταπεινοφροσύνη, παράκλησις, φιλοσοφίας προτροπή, ὑπεροψία τῶν βιωτικῶν· πάντα πεπάτηται καὶ καταπεφρόνηται, καὶ καθάπερ παιδίῳ παιδαγωγὸς ὁ φόβος ἐφέστηκε, πρὸς πάντα τὰ δέοντα ῥυθμίζων αὐτόν. ἀλλ' εἰ βούλει, πάλιν ἑτέρως ἐξετάσωμεν τοὺς αὐτοὺς τόπους· ἐβουλόμην συντυχεῖν ἀνθρώπῳ ἀπὸ θεάτρου κατιόντι, καὶ ἄλλῳ ἀπὸ δεσμωτηρίου ἐξιόντι, καὶ εἶδες ἂν τοῦ μὲν τὴν ψυχὴν ἐπτοημένην, τεθορυβημένην, δεδεμένην ὄντως· τοῦ δὲ ἀνειμένην, λελυμένην, ἐπτερωμένην. ὁ μὲν γὰρ ἀπὸ τοῦ θεάτρου ἀναχωρεῖ, ταῖς ὄψεσι τῶν ἐκεῖ γυναικῶν προσδεθείς, παντὸς σιδήρου χαλεπώτερα φέρων δεσμά, τοὺς τόπους τοὺς ἐκεῖ, τὰ ῥήματα, τὰ σχήματα· ὁ δὲ ἀπὸ δεσμωτηρίου, πάντων ἀνεθείς, οὐκ ἔτι ἡγήσεται πάσχειν τι δεινόν, τοῖς τῶν ἑτέρων τὰ αὐτοῦ παραβάλλων· ὅτι οὐ δέδεται, χάριν εἴσεται· λοιπὸν καταφρονήσει τῶν ἀνθρωπίνων πραγμάτων, πολλοὺς πλουτοῦντας ὁρῶν ἐν συμφοραῖς, πολλοὺς καὶ μεγάλα δυναμένους, καὶ δεδεμένους ἐκεῖ. κἂν ἀδίκως τι πάθῃ, καὶ πρὸς τοῦτο καρτερήσει· καὶ γὰρ καὶ τούτου πολλὰ ἐκεῖ τὰ ὑποδείγματα. εἰς ἔννοιαν ἐλεύσεται τῆς μελλούσης κρίσεως, καὶ φρίξει τοὺς τόπους ἐνταῦθα ὁρῶν. καθάπερ γὰρ ἐνταῦθα ἐν δεσμωτηρίῳ συγκεκλεισμένος, ἐπιεικὴς πρὸς πάντας ἐστίν· οὕτω κἀκεῖνοι πρὸ τῆς κρίσεως, πρὸ τῆς μελλούσης ἡμέρας, πρὸς γυναῖκα, πρὸς παιδία, πρὸς τοὺς οἰκέτας ἔσονται ἐπιεικέστεροι. ἀλλ' ἀπὸ τοῦ θεάτρου οὐχ οὕτως· ἀλλ' ἀηδέστερον ὄψεται τὴν γυναῖκα, καὶ δυσχερὴς πρὸς τοὺς οἰκείους ἔσται, παροξυνθήσεται πρὸς τὰ παιδία, ἐκθηριωθήσεται πρὸς πάντας. μεγάλα κακὰ τὰ θέατρα παρασκευάζει ταῖς πόλεσι, μεγάλα, καὶ οὐδὲ τοῦτο ἴσμεν ὅτι μεγάλα. εἰ δὲ οὐκ ἀποκάμνετε, ἐξετάσωμεν καὶ τοὺς τοῦ γέλωτος τόπους, τὰ συμπόσια λέγω, ἔνθα παράσιτοι καὶ κόλακες, καὶ πολλὴ ἡ τρυφή, καὶ τόπους ἑτέρους, ἔνθα χωλοὶ καὶ ἀνάπηροι. πάλιν ἐκεῖ μὲν μέθη, καὶ τρυφή, καὶ διάχυσις· ἐνταῦθα δὲ τοὐναντίον. ὅρα καὶ ἐπὶ τοῦ σώματος, ὅτ' ἂν φλεγμαίνῃ, ὅτ' ἂν εὐπαθῇ, ταχίστην ἔχει πρὸς νόσον μετάπτωσιν· ὅτ' ἂν δὲ κατεσταλμένον ᾖ, οὐχ οὕτως. ἵνα δὲ σαφέστερον ὑμῖν ὃ λέγω ποιήσω, ἔστω σῶμα ἔχον πολὺ αἷμα, καὶ σάρκας πολλὰς καὶ σφριγῶν· τοῦτο καὶ ἀπὸ τῆς τυχούσης τροφῆς πυρετὸν δυνήσεται τεκεῖν, ἂν ἁπλῶς ἀλγήσῃ. ἔστω δὲ ἕτερον λιμῷ μᾶλλον παλαῖον καὶ θλίψει· τοῦτο δυσάλωτον, καὶ δυσκαταγώνιστον πρὸς ἀρρωστίαν. αἷμα, κἂν ὑγιὲς ᾖ ἐν ἡμῖν, τῷ πλήθει πολλάκις νόσον ἔτεκεν· ἂν δὲ ὀλίγον ᾖ, κἂν μὴ ὑγιές, εὐκόλως κατεργασθῆναι δύναται. οὕτω δὴ καὶ ἐπὶ ψυχῆς· ἡ μὲν ἐν ἀνέσει καὶ τρυφῇ, ὀξυρρόπως ἔχει πρὸς ἁμαρτίαν τὰς ὁρμάς· καὶ γὰρ ἀπονοίας ἐγγὺς ἡ τοιαύτη ἕστηκε, καὶ ἡδονῆς, καὶ κενοδοξίας, καὶ φθόνου, καὶ ἐπιβουλῶν, καὶ συκοφαντιῶν. ἀλλ' οὐχ ἡ ἐν θλίψει καὶ αὐταρκείᾳ· ἀλλὰ πάντων τούτων ἀπήλλακται. ἰδοὺ ἡλίκη πόλις ἡμῖν ἐστιν ἡ μεγάλη αὕτη. πόθεν οὖν τίκτεται τὰ κακά; οὐκ ἀπὸ τῶν πλουτούντων; οὐκ ἀπὸ τῶν χαιρόντων; τίνες εἰς δικαστήρια ἕλκουσι; τίνες οὐσίας διασπαθῶσιν; οἱ ταλαίπωροι καὶ ἀπερριμμένοι, ἢ οἱ μεγάλα φυσῶντες, καὶ χαίροντες; οὐκ ἔστιν ἀπὸ ψυχῆς τεθλιμμένης γενέσθαι τι κακόν. οἶδεν αὐτῆς τὸ κέρδος ὁ Παῦλος, διὰ τοῦτό φησιν, ἡ θλῖψις ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονή, δοκιμήν· ἡ δὲ δοκιμή, ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει. μὴ δὴ καταπιπτώμεθα ἐν ταῖς θλίψεσιν, ἀλλ' ἐν ἅπασιν εὐχαριστῶμεν, ἵνα τι κερδάνωμεν μέγα, ἵνα εὐδοκιμήσωμεν παρὰ τῷ Θεῷ τῷ τὰς θλίψεις συγχωροῦντι. μέγα θλῖψις ἀγαθόν, καὶ τοῦτο ἀπὸ τῶν παιδίων τῶν ἡμετέρων μανθάνομεν. χωρὶς γὰρ θλίψεως, οὐδὲν ἂν μάθοι χρήσιμον. ἡμεῖς δὲ μᾶλλον αὐτῶν δεόμεθα θλίψεως. εἰ γὰρ ἐκεῖνα τῶν παθῶν κρατούντων αὐτοῖς θάλλει· πολλῷ μᾶλλον ἡμεῖς, καὶ μάλιστα τούτοις συνεχόμενοι. ἀλλ' ἡμεῖς μᾶλλον παιδαγωγοὺς ἔχειν ἐχρῆν. παρὰ μὲν γὰρ τῶν παιδίων τὰ ἁμαρτήματα οὐκ ἂν μεγάλα γένοιτο· παρὰ δὲ ἡμῶν, σφόδρα μεγάλα. παιδαγωγὸς δὲ ἡμῶν ἡ θλῖψις· μήτε οὖν ἐπισπώμεθα αὐτήν, καὶ παροῦσαν γενναίως φέρωμεν, ἀεὶ μυρίων οὖσαν ἀγαθῶν αἰτίαν, ἵνα καὶ τῆς παρὰ τοῦ Θεοῦ ῥοπῆς ἀπολαύσωμεν, καὶ τῶν ἀποκειμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτόν. ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ μγʹ.

Μετὰ δὲ τὸ παύσασθαι τὸν θόρυβον προσκαλεσάμενος ὁ Παῦλος τοὺς μαθητὰς καὶ ἀσπασάμενος, ἐξῆλθε πορευθῆναι εἰς τὴν Μακεδονίαν.

ΕΔΕΙ πολλῆς παρακλήσεως ἀπὸ τῆς ταραχῆς ἐκείνης. τοῦτο δὴ καὶ ποιεῖ, καὶ ἵνα παρακαλέσῃ τοὺς μαθητὰς, ἔρχεται εἰς Μακεδονίαν, εἶτα εἰς τὴν Ἑλλάδα. καὶ ὅτι σφόδρα αὐτοὺς παρεκάλεσεν, ἄκουε. Διελθὼν δὲ τὰ μέρη ἐκεῖνα, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. ποιήσας τε μῆνας τρεῖς, γενομένης αὐτῷ ἐπιβουλῆς ὑπὸ τῶν Ἰουδαίων μέλλοντι ἀνάγεσθαι εἰς τὴν Συρίαν, ἐγένετο γνώμη τοῦ ὑποστρέφειν διὰ Μακεδονίας. συνείπετο δὲ αὐτῷ ἄχρι τῆς Ἀσίας Σώπατρος Βεροιαῖος, Θεσσαλονικέων δὲ, Ἀρίσταρχος, καὶ Σεκοῦνδος, καὶ Γάϊος Δερβαῖος, καὶ Τιμόθεος. Ἀσιανοὶ δὲ, Τυχικὸς καὶ Τρόφιμος. οὗτοι προσελθόντες, ἔμενον ἡμᾶς ἐν Τρωάδι. πάλιν διώκεται ὑπὸ Ἰουδαίων, καὶ ἔρχεται εἰς Μακεδονίαν. πῶς δὲ τὸν Τιμόθεον Θεσσαλονικέα, φησίν; οὐ τοῦτο λέγει· ἀλλὰ προέλαβον, φησίν, οὗτοι εἰς τὴν Τρωάδα προοδοποιοῦντες αὐτῷ. ἡμεῖς δὲ ἐξεπλεύσαμεν μετὰ τὰς ἡμέρας τῶν ἀζύμων ἀπὸ Φιλίππων, καὶ ἤλθομεν πρὸς αὐτοὺς εἰς τὴν Τρωάδα ἄχρις ἡμερῶν πέντε, οὗ διετρίψαμεν ἡμέρας ἑπτά. καὶ γὰρ τὰς ἑορτὰς ἐμοὶ δοκεῖ σπουδάζειν αὐτὸν ποιεῖν ἐν ταῖς μεγάλαις πόλεσιν. ἀπὸ Φιλίππων ἐκπλεῖ, ἔνθα τὰ κατὰ τὸ δεσμωτήριον ἐγένετο. τρίτον δὲ οὗτος εἰς Μακεδονίαν ἐπανῆλθε, καὶ πολλὰ μαρτυρεῖ τοῖς Φιλιππησίοις· διὸ καὶ ἐνδιατρίβει ἐκεῖ. ἐν δὲ τῇ μιᾷ τῶν σαββάτων, συνηγμένων ἡμῶν κλάσαι ἄρτον, ὁ Παῦλος διελέγετο αὐτοῖς μέλλων ἐξιέναι, παρέτεινέ τε τὸν λόγον μέχρι μεσονυκτίου. ὅρα πῶς πάντα πάρεργα ἦν τοῦ κηρύγματος. πεντηκοστὴ τότε ἦν, καὶ κυριακὴ ἦν, ὁ δὲ καὶ μέχρι μεσονυκτίου τὴν διδασκαλίαν ἐκτείνει. οὕτω τῆς τῶν μαθητῶν σωτηρίας ἐφίετο, ὅτι οὐδὲ τὴν νύκτα ἐσίγα· ἀλλὰ τότε μᾶλλον διελέγετο, ἅτε ἡσυχίας οὔσης. ὅρα πῶς καὶ πολλὰ διελέγετο, καὶ παρ' αὐτὸν τοῦ δείπνου τὸν καιρόν. ἀλλὰ συνετάραξε τὴν ἑορτὴν ὁ διάβολος οὐ μὴν ἴσχυσε, βαπτίσας τὸν ἀκροατὴν ὕπνῳ, καὶ κατενεγκών. καὶ ὅπως συμβαίνει, ἡρμήνευσεν ἐπαγαγών. ἦσαν δὲ λαμπάδες ἱκαναὶ ἐν τῷ ὑπερῴῳ, οὗ ἦμεν συνηγμένοι. καθήμενος δέ τις νεανίας, ὀνόματι Εὔτυχος ἐπὶ τῆς θυρίδος, καταφερόμενος ὕπνῳ βαθεῖ, διαλεγομένου τοῦ Παύλου ἐπὶ πλεῖον, κατενεχθεὶς ὑπὸ τοῦ ὕπνου ἔπεσεν ἀπὸ τοῦ τριστέγου κάτω, καὶ ἤρθη νεκρός. καταβὰς δὲ ὁ Παῦλος ἐπέπεσεν ἐπ' αὐτῷ, καὶ συμπεριλαβὼν αὐτὸν, εἶπε, μὴ θορυβεῖσθε· ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. ἀναβὰς δὲ καὶ κλάσας ἄρτον, καὶ γευσάμενος, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. θέα δέ μοι τὸ θέατρον, ὅπως ἦν συγκεκροτημένον συνηγμένων, γὰρ τῶν μαθητῶν, φησί· καὶ τὸ σημεῖον. ἐπὶ θυρίδος γάρ, φησιν, ἐκάθητο, καὶ ἀωρὶ τῶν νυκτῶν. τοσοῦτος ἦν ὁ πόθος τῆς ἀκροάσεως. αἰσχυνθῶμεν ἡμεῖς, μηδὲ ἐν ἡμέρᾳ τοῦτο ποιοῦντες. ἀλλὰ Παῦλος διελέγετο, φησί, τότε. τί λέγεις; καὶ νῦν Παῦλος διαλέγεται, μᾶλλον δὲ οὐδὲ τότε Παῦλος οὐδὲ νῦν, ἀλλ' ὁ Χριστὸς, καὶ οὐδεὶς ἀκούει. οὐχὶ θυρίς ἐστι νῦν, οὐ πεῖνα, οὐχ ὕπνος ἐνοχλεῖ, καὶ ὅμως οὐκ ἀκούομεν· οὐ στενοχωρία τόπου οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. καὶ τὸ δὴ θαυμαστὸν ὅτι καί τοι νεανίας ἐκεῖνος ὤν, οὐκ ἦν ῥάθυμος, καὶ ὕπνῳ καταφερόμενος, οὐκ ἀπέστη, οὐδὲ ἔδεισε τὸν κίνδυνον μὴ κατενεχθῇ, εἰ δὲ καὶ νυστάξας κατέπεσε, μὴ θαυμάσῃς. οὐ γὰρ ἀπὸ ῥαθυμίας ἐνύσταξεν, ἀλλ' ἀπὸ ἀνάγκης φύσεως. σὺ δέ μοι θέα, ὅτι οὕτως ἔζεον τῇ προθυμίᾳ, ὅτι καὶ ἐν τριστέγῳ ἦσαν. οὔπω γὰρ ἦν ἡ ἐκκλησία· μὴ θορυβεῖσθε, φησιν, ἡ γὰρ ψυχὴ αὐτοῦ ἐν αὐτῷ ἐστιν. οὐκ εἶπεν, ἀναστήσεται, ἐγερῶ γὰρ αὐτόν· ἀλλὰ τί; μὴ θορυβεῖσθε. ὅρα τὸ ἄτυφον, καὶ παρακλητικόν. ἀναβὰς καὶ κλάσας, φησὶν, ἄρτον καὶ γευσάμενος. τοῦτο διέκοψε τὸν λόγον, οὐ μὴν ἔβλαψεν. ὁρᾷς τοῦ δείπνου τὸ ἀπέριττον; καὶ γευσάμενός, φησιν, ἐφ' ἱκανόν τε ὁμιλήσας ἄχρις αὐγῆς, οὕτως ἐξῆλθεν. ὁρᾷς πῶς διενυκτέρευον; τοιαῦται αἱ τράπεζαι ἦσαν, ὡς νήφοντας πάλιν ἀπιέναι τοὺς ἀκροατὰς, καὶ πρὸς ἀκρόασιν εἶναι ἐπιτηδείους. τί κυνῶν διαφέρομεν ἡμεῖς; ὁρᾶτε πόσον τὸ διάφορον; ἤγαγον δὲ τὸν παῖδα ζῶντα, καὶ παρεκλήθησαν οὐ μετρίως. σφόδρα παρακαλοῦνται, ὅτι τε ζῶντα ἀπέλαβον, ὅτι τε σημεῖον γέγονεν. ἡμεῖς δὲ προσελθόντες ἐπὶ τὸ πλοῖον, ἀνήχθημεν εἰς τὴν Ἆσσον, ἐκεῖθεν μέλλοντες ἀναλαμβάνειν τὸν Παῦλον. οὕτω γὰρ ἦν διατεταγμένος μέλλων αὐτὸς πεζεύειν. ὡς δὲ συνέβαλεν ἡμῖν εἰς τὴν Ἆσσον, ἀναλαβόντες αὐτὸν ἤλθομεν εἰς Μιτυλήνην. πολλαχοῦ τῶν μαθητῶν ὁ Παῦλος χωρίζεται.

HOMILIA XLIII.

Postquam autem cessavit tumultus, vocavit ad se Paulus discipulos, complexusq; illos profectus est, ut iret in Macedoniam. Cap. XX.

AB hoc tumultu, multa consolatione opus erat. Hoc sanè & facit, & ut consoletur discipulos, vadit in Macedoniam, deinde in Græciam. Et quod multum illos consolatus fuerit, audi: *Cum autem perambulasset partes illas, & exhortatus fuisset eos multo sermone, venit in Graciam. Et ibi peractis mensibus tribus, cum essent illi structa insidiæ à Judæis, soluturo in Syriam, habebat in animo, ut reverteretur per Macedoniam: Comitatus est autem eum usq; ad Asiam Sopater Berrœensis, Thessalonicensium verò Aristarchus & Secundus, & Gajus Derbæus, & Timotheus. Asiani verò Tychicus & Trophimus. Hi pragressi expectarunt nos in Troade.* Iterum persecutio fit à Judæis, & venit in Macedoniam. Quomodo autem Timotheum Thessalonicensem dicit? Non dicit hoc. Sed præoccuparant hi, inquit, & prius venerant in Troadem viam eò parantes. *Nos verò abnavigavimus post dies azymorum à Philippis, & venimus ad eos Troadem intra dies quinque, ubi demorati sumus diebus septem.* Etenim mihi videtur dies festos celebrasse in magnis urbibus. A Philippis abnavigat, ubi facta ea quæ de carceris custode habes. Tertiò autem nunc in Macedoniam venit, & magnum testimonium dat Philippensibus, ideò & demoratur illic. *In die autem Sabbathorum congregatis nobis ut frangeremus panem, Paulus disserebat eis, postridie abiturus, protraxitq; sermonem in medium noctem.* Vide ut omnia adjuncta sunt prædicationi. Pentecoste tunc erat, & dies Dominicus, & usque ad noctis dimidium sermonem extendit, adeò salutem discipulorum cupiebat, quod neque per noctem silebat, sed tunc propter silentium magis disserebat, & ad ipsum cœnæ tempus. At conturbavit festum diabolus quantum potuit, demergens somno auditorem ac deprimens, & ut autem contigerit, interpretatur addens: *Erant autem lampades multæ in cœnaculo in quo erant congregati. Sedens autem quidam adolescens nomine Eutychus, in fenestra cum degravaretur somno profundo, disserentes diutius Paulo magis depressus à somno decidit ex tertio cœnaculo deorsum, & sublatus est mortuus. Cum descendisset autem Paulus, incubuit super eum, & complexus dixit: Nolite turbari, anima enim ejus in ipso est. Cum ascendisset autem, fregissetq; panem ac degustasset, diu collocutus est usq; ad diluculum, ita demum profectus est: adduxerunt autem puerum viventem, & lætati sunt non mediocriter.* Vide, oro, spectaculum ut erant coadunati. *Congregatis enim discipulis*, inquit, etiam signum. *In fenestra enim*, inquit, *sedebat*, & *intempesta nocte.* Tantum erat audiendi desiderium. Confundamur nos, qui neque in die hoc faciamus. Sed Paulus, dicis, disserebat tunc. Quid dicis? Etiamnum Paulus disserit, imò neque tunc, neque nunc Paulus, sed Christus, & nullus audit, non fenestra nunc, non fames, non somnus interturbat, attamen non audimus: non angustia loci, non aliquid horum. Et hoc sanè miraculum, quòd etiam ille cum esset adolescens, non erat ignavus, & cùm somno gravaretur, non recessit, neque timuit periculum, ne delaberetur. Ne mireris, non enim ab ignavia dormitavit, sed à necessitate naturæ. Tu autem vide oro, promptitudinem, quod etiam in tertio cœnaculo erant. Nondum enim erat Ecclesia. *Ne turbemini*, inquit, *anima illius in ipso est.* Non dixit, resurget, excitabo enim illum: sed quid? *ne turbemini.* Vide, ut fastu caret, & promptè consolatur. *Et ut ascendit, fregitq; panem*, inquit, *ac gustavit.* Hoc sermonem interpellavit, non offendit. Vide sine superfluitate cœnam. *Et ut gustavit*, inquit, *diu collocutus est usq; ad diluculum*, & ita exiit. Vides quomodo pernoctarint, quales mensæ fuerint: quam sobriè iterum auditores abierint, quàm studiosi ad audiendum fuerint. Quid nos à canibus distamus? Videtis quantum discrimen. *Adduxerunt autem puerum vivum, & consolationem habuerunt non vulgarem.* Magna hæc consolatio, & quod vivum recipiunt, & quòd miraculum factum est. *Nos autem conscensa navi solvimus Assum, illic expectaturi Paulum. Sic enim constituerat, ipse per terram iter facturus. Cum a. convenissemus Assum, recepto eo venimus in Mytilenen.* Ubiq; à discipulis segregatur Paul*.

Ecce enim ipse quidem pedes viam ingreditur, illi autem navigio vadunt, permittit illis quod levius, eligens sibi quod molestius. Pedes vadit, partim multa gerens sapienter, partim docens illos à se non separari. *Et inde navigantes sequenti die venimus contra Chium. Postridie vero appulimus Samum, & commorati Trogyllii, proximo die venimus in Miletum.* Vides quomodo festinante Paulo pergunt, & non moram trahunt, sed prætereunt insulas. Proposuerat enim Paulus prænavigare Ephesum, ne tempus tereret in Asia. *Festinabat enim si possibile esset, ut diem Pentecostes ageret in Hierusalem.* Quid vult festinatio illa? non erat propter festum, sed propter multitudinem: interim hoc Judæis dabat quasi colat festivitatem, & rapere volens inimicos, festinabat sermonem annunciare. Vide igitur quantum fuit lucrum omnibus præsentibus? Et aliter. Ne Ephesii negligantur, interim dispensat & curat. Sed iterum videamus quæ lecta sunt: *Et complexus*, inquit: *discipulos, exiit profecturus in Macedoniam, & exhortatus est illos sermonibus multis, ac venit in Græciam, & hac ratione illos iterum refocillavit, magnam consolationem illis dans.* Vide ut ubique sermonibus, non signis omnia corrigit. *Soluturo autem in Syriam.* Continuo nobis ostendit illum festinantem in Syriam. In causa erat Ecclesia & Hierusalem, adeo desiderabat etiam ea quæ illic erant corrigere. Quamvis non magna Troas sit. Cur igitur septem diebus illic manent? magna forsan erat juxta fidelium numerum. Et cum dies septem ibi mansisset, noctem sequentem insumpsit in doctrinam. Ita ægrè ab illis ipse avellebatur. *Congregatis autem nobis, ut frangeremus panem.* Per illud tempus quo monstrabatur esurire, & erat intempestivum. Principio sermo sumptus productus est. Et ita non simpliciter docuit, sed convenerant quidem ad frangendum panem, inciderant autem in sermonem, ac doctrinam productiorem fecerant. Vide quomodo & mensæ Paulinæ omnes socii erant. Mihi videtur quod etiam ad mensam sedens docuerit, erudieritque ut omnes omnia reliqua pro patergis & accessorus habeamus. Considerate autem nobiscum domum illam ubi lampades erant, ubi turba, ubi Paulus medius disserebat, ubi & fenestras multi occupabant, ut audiant turbam illam, & amabilem vultum intueantur, & quantam hinc voluptatem acceperint. Quare autem in nocte disserebat? quoniam exituri erant, & non jam in nocte illum visuri, sed hoc quidem illis non dicit, ut pote infirmioribus, aliis autem dicebat. Interim & noctis istius memoriam conservabat miraculum istud insigne. Magna voluptas auditorum erat, quod & interpolatus sermo magis productus est. Et ita pro doctore casus fuit. Et aliter: Etiam omnes ignavos ipse increpiturus erat, qui propter hoc mortuus, ut Paulum audiat. Et quare, inquit, enumerat singula, & quò ierunt, & unde abierunt, & ubi quidem morati sunt, quæ etiam loca prætemavigarunt? Ut ostendat nunc otiosius illum navigare, idque humana ratione, & præternavigare. Statuerat enim præternavigare Ephesum, ne diu tempus, inquit, tereret in Asia. Bene. Illuc enim veniens non potuisset prætemavigare, quoniam noluisset contristare eos qui se in tantum expectabant. Vel igitur hoc est quod dicit, vel etiam quod festinavit. Dicit enim: *Festinabat, si possibile esset, ut diem Pentecostes ageret in Hierusalem.* Unde non poterat manere. Vide illum etiam humana ratione moveri, & cupere, ac festinare, & sæpe non assequi. Fiunt autem hæc ideò, ne putemus quod sint super humanam naturam. Sancti enim & magni viri illi, ejusdem naturæ, cujus & nos participes erant, non ejusdem voluntatis. Ideò & magnam gratiam consequebantur. Vide igitur quanta etiam per seipsos gerant.
1.Cor.9. Ea propter dicebat: *Ne demus offendiculum his*
2.Cor.6,3. *qui volunt.* Et iterum: *Ne infametur ministerium nostrum.* Ecce & vita irreprehensibilis, & magna submissio. Hoc dicunus dispensationem, venire in fastigium & excelsæ virtutis, & modestiæ submittentis se ad aliorum mores. Et audi quomodo absque præceptorum Christi transgressione, hic iterum omnium humillimus fuit. *O-*
1.Cor.9,22. *mnibus omnia factus sum*, inquit, *ut omnes lucrifaciam.* Idem etiam in pericula se misit, sicut alibi di-
2.Cor.6,4. xit: *In patientia multa, in afflictionibus, in necessitatibus, in angustiis, in plagis, in vinculis,* & magnus erat amor ejus erga Christum, sine quo omnia superflua, & humilis in rebus gerendis ordinatio, &
Ibid.11,29. irreprehensibilis vita, & periclitatio. *Quis infirmatur*, inquit,

A ἰδοὺ γὰρ πάλιν, αὐτὸς μὲν πεζεύει, ἐκεῖνοι δὲ τῷ πλοίῳ ἀνάγονται· τὸ μὲν κουφότερον ἐκείνοις ἐπιτρέπων, τὸ δὲ ἐπιπονώτερον αὐτὸς αἱρούμενος. ἐπέζευεν, ἅμα καὶ πολλὰ οἰκονομῶν, ἅμα καὶ παιδεύων μηδὲ αὐτοὺς χωρίζεσθαι αὐτοῦ. Κἀκεῖθεν ἀποπλεύσαντες τῇ ἐπιούσῃ, κατηντήσαμεν ἀντικρὺ Χίου· τῇ δὲ ἑτέρᾳ παρεβάλομεν εἰς Σάμον, καὶ μείναντες ἐν Τρωγυλλίῳ, τῇ ἐχομένῃ ἤλθομεν εἰς Μίλητον. ὅρα πῶς ἐπειγομένου τοῦ
B Παύλου ἀνάγονται, καὶ οὐ χρονοτριβοῦσιν, ἀλλὰ παρέρχονται τὰς νήσους. ἔκρινε γὰρ ὁ Παῦλος παραπλεῦσαι τὴν Ἔφεσον, ὅπως μὴ γένηται αὐτῷ χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. ἔσπευδε γὰρ εἰ δυνατὸν ἦν αὐτῷ τὴν ἡμέραν τῆς Πεντηκοστῆς γενέσθαι εἰς Ἱεροσόλυμα. τίς ἡ ἔπειξις αὕτη; οὐ διὰ τὴν ἑορτὴν, ἀλλὰ διὰ τὸ πλῆθος· ἅμα καὶ τοῦτο Ἰουδαίοις ἐπήγετο, ὡς δὴ τιμῶν τὰς ἑορτάς· καὶ τοὺς ἐχθροὺς ἑλεῖν βουλόμενος ἅμα, ἔσπευδε τὸν λόγον καθεῖναι. ὅρα γοῦν
C εὐηγγέλιον κέρδος, πάντων παρόντων. ἄλλως δὲ, ἵνα μὴ διὰ τοῦτο ἀμεληθῇ τὰ κατὰ τὴν Ἔφεσον, ᾠκονόμησεν ἑτέρως· ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Καὶ ἀσπασάμενος, φησὶ, τοὺς μαθητὰς, ἐξῆλθε πορευθῆναι εἰς Μακεδονίαν, καὶ παρακαλέσας αὐτοὺς λόγῳ πολλῷ, ἦλθεν εἰς τὴν Ἑλλάδα. καὶ τούτῳ πάλιν ἀνεκτήσατο, ἱκανὴν διδοὺς παραμυθίαν. ὅρα πανταχοῦ διὰ λόγων τὸ πᾶν κατορθοῦντα, οὐ διὰ σημείων. Μέλλοντα δὲ, φησὶν, ἀνάγε-
D σθαι εἰς τὴν Συρίαν. συνεχῶς ἡμῖν αὐτὸν δείκνυσιν ἐπειγόμενον εἰς τὴν Συρίαν. τὸ δὲ αἴτιον, ἡ ἐκκλησία ἦν καὶ τὰ Ἱεροσόλυμα. οὕτως εἶχε πόθον, καὶ ἐκεῖ κατορθοῦν. καίτοι οὐ μεγάλη ἡ Τρῳάς ἐστι· τί οὖν ἡμερῶν ἀριθμὸν ἑπτὰ ἐν αὐτῇ ποιοῦσι; μεγάλη ἴσως ἦν κατὰ τοὺς πιστούς. καὶ ἡμέρας δὲ διατρίψας ἑπτὰ, τὴν ἐπιοῦσαν τὴν νύκτα, ἀναλίσκει εἰς τὴν διδασκαλίαν. οὕτω δυσαποσπάστως, καὶ αὐτὸς αὐτῶν εἶχε, καὶ αὐτοὶ αὐτοῦ. Συνηγμένων
E δὲ, φησὶν, ἡμῶν κλάσαι ἄρτον. πρὸς αὐτὸν τὸν καιρὸν, ᾧ ἐνεδείκνυτο πεινῆν, καὶ οὐκ ἦν ἄκαιρον, ἀρχὴν ὁ λόγος λαβὼν παρετάθη· ὥστε οὐ προηγουμένως εἰς διδασκαλίαν καθῆκεν· ἀλλὰ συνῆλθον μὲν κλάσαι ἄρτον, ἐμπεσὼν δὲ λόγος, παρέτεινε τὴν διδασκαλίαν. ὅρα πῶς, καὶ τῇ τραπέζῃ τοῦ Παύλου πάντες ἐκοινώνουν. ἐμοὶ δοκεῖ, καὶ παρὰ τὴν τράπεζαν αὐτὸν καθήμενον διαλέγεσθαι, παιδεύοντα ἡμᾶς πάντα τὰ λοιπὰ
A πάρεργα ἡγεῖσθαι· ὑποτυπώσατέ μοι τὸν οἶκον ἐκεῖνον ἔνθα λαμπάδες ἦσαν· ἔνθα ὄχλος, ἔνθα Παῦλος μέσος ὢν διελέγετο· ἔνθα καὶ τὰς θυρίδας πολλοὶ κατελάμβανον· καὶ τῆς σάλπιγγος ἀκοῦσαι ἐκείνης, καὶ τὸ πρόσωπον τὸ χάριεν θεάσασθαι· τί εἰκὸς εἶναι τοὺς διδασκομένους, καὶ πόσην καρποῦσθαι τὴν ἡδονήν; τίνος δὲ ἕνεκεν ἐν νυκτὶ διελέγετο; ἐπειδὴ ἔμελλεν ἐξιέναι, καὶ οὐκ ἔτι ὁρᾶν αὐτοὺς λοιπόν. ἀλλὰ τοῦτο μὲν αὐτοῖς οὐ λέγει, ἅτε
B ἀσθενεστέροις οὖσι, τοῖς δὲ ἄλλοις ἔλεγεν. ἅμα δὲ αὐτοῖς καὶ τὸ γενόμενον σημεῖον, διαπαντὸς ἐποίει μεμνῆσθαι τῆς ἑσπέρας ἐκείνης. πολλὴ ἡ ἡδονὴ τῶν ἀκροατῶν, ὅτι καὶ ἐκκοπεῖσα ἐπετάθη μᾶλλον· ὥστε ὑπὲρ τοῦ διδασκάλου ἡ πτῶσις γέγονεν. ἄλλως τε, καὶ πᾶσιν ἔμελλεν ἐκεῖνος ἐπιτιμᾶν τοῖς ῥαθύμοις, ὁ διὰ τοῦτο ἀποθανὼν, ἵνα Παύλου ἀκούσῃ. καὶ τίνος ἕνεκεν, φησὶ, καταλέγει ἕκαστα, καὶ ποῦ ἦλθον, καὶ ποῦ ἀπῆλθον, καὶ ποῦ μὲν ἐνδιέτριψαν, τίνα δὲ παρέπλευ-
C σαν; ἵνα δείξῃ τέως, σχολαιότερον αὐτὸν πλέοντα, καὶ τοῦτο ἀνθρωπίνως, καὶ παραπλέοντα. ἔκρινε γὰρ παραπλεῦσαι τὴν Ἔφεσον, ἵνα μὴ γένηται αὐτῷ, φησὶ, χρονοτριβῆσαι ἐν τῇ Ἀσίᾳ. καλῶς. οὐ γὰρ ἠδύνατο γενόμενος ἐκεῖ παραπλεῦσαι, ἐπειδὴ οὐκ ἐβούλετο λυπῆσαι τοὺς μένειν ἀξιοῦντας αὐτόν. ἢ τοίνυν τοῦτό ἐστιν εἰπεῖν, ἢ ὅτι ἐσπούδαζεν. ἔσπευδε γὰρ, φησὶν, εἰ δυνατὸν ἦν αὐτῷ τὴν ἡμέραν τῆς Πεντηκοστῆς ποιῆσαι ἐν Ἱεροσολύμοις. ὥστε καὶ διὰ τοῦτο μένειν οὐκ ἦν δυνατόν. ὅρα δὲ ἀνθρωπίνως αὐτὸν κινούμενον, καὶ ἐπιθυμοῦντα, καὶ
D σπεύδοντα, καὶ οὐκ ἐπιτυγχάνοντα, πολλάκις. διὰ τοῦτο δὲ ταῦτα γίνεται, ἵνα μὴ νομίσωμεν, ὅτι ὑπὲρ φύσιν ἦν τὴν ἀνθρωπίνην. οἱ γὰρ ἅγιοι καὶ μεγάλοι ἄνδρες ἐκεῖνοι, τῆς μὲν φύσεως τῆς αὐτῆς ἡμῖν ἐκοινώνουν· τῆς δὲ προαιρέσεως οὐκέτι· διὸ καὶ πολλὴν ἐπεσπῶντο τὴν χάριν. ὅρα γοῦν, πόσα καὶ ἀφ' ἑαυτοῦ οἰκονομοῦσι. διὰ τοῦτο καὶ ἔλεγεν· ἵνα μὴ δῶμεν προσκοπὴν τοῖς βουλομένοις· καὶ πάλιν, ἵνα μὴ μωμηθῇ
E ἡ διακονία ἡμῶν. ἰδοὺ καὶ βίος ἄληπτος, καὶ πολλὴ ἡ συγκατάβασις. τοῦτο οἰκονομία λέγεται, τὸ εἰς ἀκρότητα εἶναι, καὶ ὕψος ἀρετῆς, καὶ ταπεινοφροσύνης συγκαταβάσεως. καὶ ἄκουε πῶς οὐ παραβαίνων τὰ παραγγέλματα τοῦ Χριστοῦ, οὗτος πάλιν πάντων ταπεινότερος ἦν. πᾶσι πάντα γέγονα, φησὶν, ἵνα πάντας κερδήσω. αὐτὸς καὶ εἰς κινδύνους ἑαυτὸν ἐνέβαλε, καθὼς ἑτέρωθί φησιν· ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς. καὶ πολὺς ἦν αὐτῷ ὁ πόθος, ὁ περὶ τὸν Χριστόν. ἂν γὰρ τοῦτο μὴ ᾖ, πάντα περιττὰ, καὶ τὰ τῆς οἰκονομίας, καὶ τοῦ ἀλήπτου βίου, καὶ τοῦ παρακινδυνευομένου. τίς ἀσθενεῖ, φησὶ,

καὶ

καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ταῦτα παρακαλῶ, καὶ ἡμεῖς μιμώμεθα τὰ ῥήματα, καὶ εἰς κινδύνους ῥίπτωμεν ἑαυτοὺς διὰ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους. κἂν πῦρ ᾖ, κἂν σίδηρος, ῥῖψον σαυτὸν ἀγαπητὲ, ἵνα σοῦ τὸ μέλος ἐξέλῃς· ῥῖψον, μὴ φοβηθῇς. μαθητὴς εἶ τοῦ Χριστοῦ τοῦ διὰ τοὺς ἀδελφοὺς τὴν ψυχὴν θέντος· συμμαθητὴς Παύλου, τοῦ μυρία ἑλομένου παθεῖν δεινὰ διὰ τοὺς ἐχθροὺς, διὰ τοὺς πολεμοῦντας αὐτῷ· ἐμπλήσθητι ζήλου, μίμησαι τὸν Μωσέα. εἶδεν ἀδικούμενον, καὶ ἤμυνε, κατεφρόνησε τρυφῆς βασιλικῆς, καὶ γέγονε διὰ τοὺς καταπονουμένους φυγὰς, πλανήτης, ἔρημος συγγενῶν, καὶ οἰκίας. ἐν ἀλλοτρίᾳ διετέλεσε τοσοῦτον χρόνον· καὶ οὐκ ἐμέμψατο ἑαυτῷ, οὐδὲ εἶπε, τί τοῦτο; βασιλείας κατεφρόνησα, τιμῆς τοσαύτης, καὶ δόξης, εἰλόμην ἀμῦναι τοῖς ἀδικουμένοις, καὶ περιεῖδεν ὁ Θεός. καὶ οὐ μόνον οὐκ ἐπανήγαγέ με ἐπὶ τὴν προτέραν τιμὴν, ἀλλὰ καὶ τεσσαράκοντα ἔτη ἐν ἀλλοτρίᾳ διάγω. καλῶς γε· οὐ γὰρ τοὺς μισθοὺς ἀπέλαβον. ἀλλ' οὐδὲν τούτων εἶπεν, οὐδὲ ἐνενόησεν· οὕτω καὶ σύ. κἂν κακόν τι πάθῃς ἀγαθοποιῶν, κἂν ἐπὶ πολὺν χρόνον, μὴ σκανδαλίζου, μηδὲ θορυβοῦ. πάντως ἀποδώσει σοι τὴν ἀμοιβὴν ὁ Θεός. ὅσῳ ἂν χρονίζῃ ἡ ἀντίδοσις, τοσούτῳ οἱ τόκοι ἐπιτείνονται. οὐκοῦν ἔχωμεν ψυχὴν συμπαθητικήν· ἔχωμεν διάνοιαν εἰδυῖαν συναλγεῖν, μηδὲν ἔστω παρ' ἡμῖν ὠμὸν, μηδὲν ἀπάνθρωπον. κἂν μηδὲν δυνηθῇς εἰσενεγκεῖν, δάκρυσον, στέναξον, ἄλγησον ἐπὶ τοῖς γινομένοις. οὐδὲ ταῦτά σοι ἔσται εἰκῇ. εἰ τοῖς ὑπὸ τοῦ Θεοῦ κολαζομένοις δικαίως συναλγεῖν χρὴ, πολλῷ μᾶλλον τοῖς ὑπὸ ἀνθρώπων ἀδίκως πάσχουσιν· οὐκ ἐξῆλθόν, φησιν, αἰνὰν κόψασθαι οἶκον ἐχόμενον αὐτῆς, λήψονται ὀδύνην ἀνθ' ὧν ᾠκοδόμησαν εἰς καταγέλατα. τοῦτο ἐγκαλεῖ ὁ Ιεζεκιὴλ ὅτι οὐ συνήλγησαν. τί λέγεις, ὦ προφῆτα; ὁ Θεὸς κολάζει, κἀγὼ συναλγήσω τοῖς κολαζομένοις; ναί· τοῦτο γὰρ αὐτὸς ὁ κολάζων βούλεται. οὐδὲ γὰρ αὐτὸς ἥδεται κολάζων, ἀλλὰ μάλιστα καὶ ἀλγεῖ· ἐπεὶ οὖν οὐδὲ αὐτὸς εὐφραίνεται ὁ κολάζων, μὴ τοίνυν μηδὲ σὺ εὐφραίνου. ἀλλ' εἰ δικαίως, φησὶ, κολάζονται, οὐ δεῖ ἀλγεῖν, ὅτι ἄξιοι κολάσεως ἐφάνησαν. εἰπὲ δή μοι· ὅταν ἴδῃς τὸν υἱόν τὸν σὸν καιόμενον ἢ τεμνόμενον μὴ οὐκ ἀλγεῖς; εὔδηλον ὅτι. καὶ οὐ λέγεις πρὸς σεαυτόν. τί τοῦτο; πρὸς ὑγιείαν ἡ τομὴ βλέπει, ὑπὲρ ἀπαλλαγῆς ἐστιν ἡ καῦσις, ἀλλ' ὅμως ὅταν ἀκούσῃς ὀλολύζοντος, οὐ φέροντος τὰς ὀδύνας, ἀλγεῖς· καὶ οὐχ ἱκανὴ ἡ τῆς ὑγιείας ἐλπὶς ἀφελεῖν τὴν σύγχυσιν τῆς φύσεως. οὕτω καὶ ἐπὶ τούτοις κἂν εἰς ὑγιείαν κολάζωνται, ὅμως ἀδελφικὴν ἐπιδεικνύωμεν ἡμεῖς προαίρεσιν ὑπὲρ αὐτοὺς, καὶ πατρικὴν διάθεσιν. τομαὶ καὶ καύσεις εἰσὶν αἱ τιμωρίαι τοῦ Θεοῦ· ἀλλὰ διὰ τοῦτο ὀφείλομεν κλαίειν, ὅτι ἐνόσησαν, ὅτι τοιαύτης ἐδεήθησαν ἰατρείας. ἐάν τις ἐπὶ στεφάνοις ταῦτα πάσχῃ, τότε μὴ ἄλγει· οἷον ὁ Παῦλος, καὶ Πέτρος· ὅταν δὲ ἐπὶ τιμωρίᾳ τίνῃ δίκην, τότε δάκρυσον, τότε στέναξον. τοιοῦτοι ἦσαν οἱ προφῆται, διὸ καί τις αὐτῶν ἔλεγεν· οἴ μοι κύριε, ἐξαλείφεις σὺ τὸ κατάλοιπον τοῦ Ἰσραήλ; ἀνδροφόνους ὁρῶμεν, μιαροὺς ἄνδρας κολαζομένους πολλάκις, καὶ δακνόμεθα, καὶ ἀλγοῦμεν, καὶ οὐ λέγομεν, μὴ ὑπὲρ τὸ μέτρον· φιλόσοφοι ὦμεν, ἐλεήμονες γενώμεθα, ἵνα ἐλεηθῶμεν, οὐδὲν ἴσον τούτου τοῦ καλοῦ· οὐδὲν οὕτω τὸν ἀνθρώπινον ἡμῖν ὑποδείκνυσι χαρακτῆρα εἶναι. διὰ τοῦτο καὶ οἱ νόμοι τοῖς δημίοις τὸ πᾶν ἐπιτρέπουσι, τὸν δικαστὴν μέχρι τῆς ἀποφάσεως ἀναγκάσαντες τιμωρεῖσθαι, εἰς δὲ τὸ ἔργον ἐκείνους ἐξήγαγον. οὕτω κἂν δικαίως γίνηται, οὐχὶ ψυχῆς φιλοσόφου τὸ κολάζειν, ἀλλά τινος ἑτέρου δεῖται τοῦτο. ἐπεὶ καὶ ὁ Θεὸς οὐ δι' ἑαυτοῦ κολάζει, ἀλλὰ διὰ τῶν Ἀγγέλων. δήμιοι οὖν εἰσιν οἱ Ἄγγελοι; μὴ γένοιτο· οὐ τοῦτό φημι· ἀλλὰ τιμωρητικαὶ δυνάμεις εἰσίν. ὅτε τὰ Σόδομα κατεστρέφετο, δι' ἐκείνων ἅπαντα ἐγίνετο· ὅτε τὰ κατ' Αἴγυπτον, δι' ἐκείνων. ἀποστολὴν γάρ, φησι, δι' Ἀγγέλων πονηρῶν. ὅτε μέντοι σῶσαι χρὴ, δι' ἑαυτοῦ τοῦτο ποιεῖ. οὕτω τὸν υἱὸν ἔπεμψεν ἐπὶ σωτηρίᾳ τοῦ γένους· καὶ πάλιν, τότε φησὶν, ἐρῶ τοῖς Ἀγγέλοις, συλλέξατε τοὺς ποιοῦντας τὴν ἀνομίαν, καὶ βάλετε εἰς τὴν κάμινον. περὶ δὲ τῶν δικαίων οὐχ οὕτως· ἀλλ' ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ πάλιν, δήσατε αὐτοῦ χεῖρας καὶ πόδας, καὶ βάλετε εἰς τὸ σκότος τὸ ἐξώτερον. ὅρα ἐκεῖ τοὺς δούλους διακονουμένους· ὅταν δὲ εὐεργετεῖν δέῃ, αὐτὸς εὐεργετοῦντα, αὐτὸς καλοῦντα· δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. ὅταν διαλέγεσθαι δέῃ τῷ Ἀβραὰμ, αὐτὸς παραγίνεται· ὅταν εἰς Σόδομα ἀπελθεῖν, τοὺς δούλους πέμπει, καθάπερ τις δικαστὴς ἀνιστὰς τοὺς μέλλοντας κολάζειν, καὶ πάλιν· εὖ δοῦλε ἀγαθὲ, καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολλῶν σε καταστήσω· καὶ τοῦτον μὲν αὐτὸς εὐλογεῖ. ἐκεῖνον δὲ τὸν πονηρὸν οὐκ αὐτὸς, ἀλλὰ δοῦλοι δεσμεύουσι.

& non infirmus sum ego? Quis offenditur, & non uror ego? Hæc obsecro & nos imitemur verba, & in pericula jaciamus nos propter fratres, sive ignis, sive ferrum fuerit. Abjice teipsum, dilecte, ut tuum membrum eruas. Abjice teipsum, ne timeas. Discipulus es Christi, qui propter fratres animam suam posuit. Condiscipulus es Pauli, qui innumera mala pati propter eos qui se impugnabant inimicos, voluit. Implere zelo, imitare Mosem, videbat injustè læsum, & ultus est, regiásque delicias contempsit, & factus est propter ærumnosos illos exul, erro, destitutus cognatis, & domo, inque aliena terra longo tempore versatus est, & non reprehendit seipsum, nec dixit hæc verba: Regnum contempsi, honorémque tantum & gloriam, volebam ulcisci eos, qui injustè affligebantur, & despexit Deus. Et non solum non reduxit me ad pristinum honorem, sed quadraginta annis in aliena terra versor. Bene scilicet. Non enim mercedes accepi, sed nihil horum vel dixit, vel cogitavit. Ita & tu, etiamsi malum quid patiaris, benefacias, etiamsi multo tempore, ne offendaris neque turberis, omnino retribuet tibi retributionem Deus. Quantum differtur merces, tantum usuræ augentur. Igitur habeamus animam compassioni deditam, habeamus mentem condolere scientem. Nihil sit vobiscum vel crudele, vel inhumanum, etiamsi nihil possis afferre: lachrymare, ingemisce, dole in his quæ fiunt, neq; erunt hæc frustra. Si his qui à Deo puniuntur condolere oportet, multo magis his qui ab hominibus injustè patiuntur. *Non egrediebantur*, inquit, *Senan ad plorandum domum suam vicinam, accipient dolorem, propter quæ extruxerunt in derisionem.* (Mich. 1. 11. Ezec. 18, 2.) Hoc accusat Michæas, quòd non condoluerunt. Quid dicis, ô Propheta? Deus punit, & ego condolerem his qui puniuntur? Etiam. Hoc enim vult ille qui punit, neque enim ipse qui punit, oblectatur. Quoniam igitur neque is qui punit lætatur, igitur & tu quoque ne læteris. Sed si juste quidem, inquit, puniuntur, non oportet dolere. Etiam propter hoc est dolendum, quia digni supplicio visi fuerunt. Dic obsecro, quando videris filium tuum uri vel secari, nónne doles? Manifestum quod doles. Et non dicis tibiipsi: Cur hoc? Ad sanitatem sectio spectat, pro liberatione est ustio. Attamen quando audieris ululantem, nec ferentem dolorem, & non sufficit illa sanitatis spes ad auferendam naturæ confusionem: Ita & in illis, etiamsi ad sanitatem puniantur, attamen fraternam declaremus nos affectionem erga illos, paternámque voluntatem. Sectiones & ustiones sunt penè Dei; sed propter hoc debemus flere, quòd ægrotarunt, quòd tali opus habuerunt medicina. Si quis propter coronas hæc patiatur, tunc non dole; ut Paulus ac Petrus. Quando autem in pœnam jure fert, tunc plora, tunc ingemisce. Tales fuerunt Prophetæ. Idcirco & quidam illorum dicebat: *Hei mihi Domine. Delebis tu reliquias Israel?* (Ezech. 9, 8.) Homicidas videmus sæpe ac scelestos viros qui sæpe puniuntur, & cruciamur ac dolemus; & non dicimus quod supra modum: Philosophi simus, *misericordes fiamus, ut misericordiam consequamur.* (Matth. 5, 7.) Nihil illi bono conferendum est. Nihil ita humanum ostendit charactêrem, ut misereri & humanum esse. Propter hoc & leges lictoribus omnia permittunt, volentes judicem usque ad pronunciationem sententiæ punire, educunt autem illos ad opus. Ita etiamsi justè fiat, non est animæ virtutum studiosæ punire, sed aliquo alio hoc habet opus. Quia & Deus non per seipsum punit, sed per Angelos. Lictores igitur sunt Angeli? Absit, non hoc dixerim. Sed absque ultione etiam virtutes sunt. Quando Sodoma subversa sunt, propter illos facta sunt omnia: similiter & ea quæ in Ægypto acciderunt, per illos acciderunt. *Immissionem enim*, inquit, *per Angelos malos.* (Ps. 77, 49.) Igitur quando servare oportet, per seipsum hoc facit. Ita filium misit in salutem generis. Et iterum: *Tunc*, inquit, *dicam Angelis: Congregate facientes iniquitatem, & projicite in caminum.* (Mat. 13, 41.) De justis verò dicit non sic: Sed, *qui vos suscipit, suscipit me.* Et iterum: *Ligate illius pedes, & manus, & mittite in tenebras exteriores.* (Mat. 22, 13.) Vide illic servos qui ministrant. Quando autem beneficiis opus est, seipsum benefactorem vocat. *Venite benedicti Patris mei, percipite præparatum vobis regnum.* (ib. 25, 34.) Quando loquendum cum Abraham, ipse adest: quando in Sodoma abeundum, servos mittit, sicut judex quis exsuscitans puniendos. Et iterum: *Euge serve bone & fidelis, super pauca fuisti fidelis, super multa te constituam.* Et hunc quidem ipse benedicit, illum autem malum non ipse, sed servi ligant.

Hæc

Hæc scientes non gaudeamus in his qui puniuntur, sed etiam A doleamus, ploremus eos, ut etiam hinc mercedem accipiamus. Nunc autem multi, etiam in his qui malè patiuntur injustè gaudent, sed non nos, imò nos omnem compassionem declaremus, ut & ipsi divinam assequamur, gratia & misericordia unigeniti Dei, cum quo Patri & Spiritui sancto sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XLIV.

A Mileto missis Ephesum nunciis, accersivit Presbyteros Ecclesiæ, qui cùm pervenissent ad ipsum, dixit eis: Vos scitis à primo die quo ingressus sum Asiam, quomodo vobiscum per omne tempus fuerim, serviens Domino cum omni animi humilitate, cumq́ multis lachrymis ac tentationibus, C *quæ mihi acciderunt ex insidiis Judæorum, ut nihil subterfugerim eorum quæ essent in rem vestram, quin annunciarem vobis, & docerem vos publicè, ac per omnes domos, testificans Judæis simul ac Græcis, eam quæ erga Deum est pœnitentiam, & fidem quæ est in Dominum nostrum Jesum Christum.*

VIde ut ille urgeat quo propius adnavigetur, & non despi- D ciat, sed totum probe dispenset, accersens principes, & cum illis quæ dicta sunt, tractans. Et admiratione dignum est quod quando necessitas adigit, tam eximia de seipso dicere attentat omni modestiâ utens. Sicut enim Samuel traditurus Sauli
1.Reg.10.4 principatum de seipso dicit: *Nunquid à vobis accepi, vos testes*
1.Reg.17.34. *ac Deus.* Et David cum fides non haberetur ei, dicit: *In ovili eram pascens oves patris mei, & quando venit ursus manibus illum discerpsi.* Et ipse Paulus Corinthiis dicit: *Insipiens*
2.Cor.12.11. *fui, vos me coegistis.* Et Deus quoque illud ipsum facit, non simpliciter de seipso dicens, sed quando ei non credunt, beneficia profert. Vide igitur & hic quid facit? Primum ipsorum testimonium affert, ne putes superba esse verba, etiam auditores adhibet in testes eorum quæ dicuntur, quod minimè ipsis mentiatur. Hæc doctoris virtus est, quando suorum operum testes habet discipulos. Et mirabile est, quod non unam & alteram diem in hoc opere perseveravit, sed plurimis annis. *Vos enim,* A inquit, *scitis, quomodo vobiscum omni tempore egerim.* Vult igitur illos exhortari, ut fortiter ferant omnia, & separationem suam & futuras tentationes. Quemadmodum & de Mose ac Jesu legimus. Et vide quid addidit ut dixit, *quomodo vobiscum fuerim omni tempore serviens Domino cum omni animi humilitate.* Memor humilitatis est, quæ his qui præsunt maximè congruit, eo quod facillimè in arrogantiam tolluntur. Hæc virtus bonorum est hypothesis, & fundamentum, quemadmodum sci- B
Matth.5.3. licet, & Christus dicebat: *Beati pauperes spiritu.* Non simpliciter autem humilitatem dixit, sed *cum omni humilitate.* Multa enim sciebat pertinere ad humilitatem. Est enim humilitas in sermone & in opere erga eos qui præsunt, & erga eos qui subditi sunt. Vultis vobis modos dicam humilitatis? Sunt quidam qui erga humiles existunt humiles, erga sublimes autem sublimes, quod tamen non est humilitatis indicium. Sunt iterum alii non tales, sed erga utrósque humilitatem & sublimitatem C servant, quod etiam maximæ humilitatis est. Docturus igitur illos talia, ne videatur arrogans esse, prius fundamentum jacit, suspicionem tollens. Si enim *cum omni humilitate* factus sum, inquit, non ex insipientia loquor quæ dico. Deinde mansuetudinem narrat: *Vobiscum*, inquit, *fui, serviens Domino*: Socios operum ostendens illos. Ita ubique societas bona est. Communia igitur facit opera, & nihil suum ponit eximium. Quid enim inquit? Neglectóne Deo arrogans esse potuit? Etiam D multi sunt, qui non laudantes Deum arrogantes sunt. Is autem nihil præter discipulorum laudem sibi arrogat. Doctoris opus est, suis operibus discipulos moderari. Deinde suam fortitudinem ostendit, quam & ipsam elevat ac imminuit: Cum multis lachrymis ac tentationibus quæ mihi acciderunt ex insidiis Judæorum. Vides quod dolet in his quæ fiebant? Hic autem suam compassionem videtur significare. Afficiebatur enim sic pro his qui peribant, quique hoc faciebant: nam pro his quæ sibi E
Supr.5.41. fiebant, gaudebat. Erat enim ex illorum choro, *qui gaudebant*
Col.1.24. *quod digni habiti sunt qui pro nomine illius contumeliam ferant.*
2.Cor.4.17. Et iterum alibi dicit: *Et nunc gaudeo in passionibus meis, nam momentanea levitas afflictionis nostra mirè supra modum æternum*

A Ταῦτα εἰδότες, μὴ χαίρωμεν ἐπὶ τοῖς κολαζομένοις, ἀλλὰ καὶ ἀλγῶμεν· τούτους πενθῶμεν· τούτους δακρύωμεν· ἵνα καὶ τοῦτον μισθὸν λάβωμεν· νῦν δὲ πολλοὶ καὶ ἐπὶ τοῖς κακῶς πάσχουσιν ἀδίκως χαίρουσιν· ἀλλὰ μὴ ἡμεῖς οὕτω ποιῶμεν· ἀλλὰ πᾶσαν συμπάθειαν ἐπιδεικνυώμεθα· συμπάσχωμεν, καὶ συναλγῶμεν αὐτοῖς· ἵνα καὶ αὐτοὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύ- B ματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ μδʹ

Ἀπὸ δὲ τῆς Μιλήτου πέμψας εἰς Ἔφεσον, μετεκαλέσατο τοὺς πρεσβυτέρους τῆς ἐκκλησίας. ὡς δὲ παρεγένοντο πρὸς αὐτὸν, εἶπεν αὐτοῖς· ὑμεῖς ἐπίστασθε ἀπὸ πρώτης ἡμέρας, ἧς ἐπέβην εἰς τὴν Ἀσίαν, πῶς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην, δουλεύων τῷ Κυρίῳ C μετὰ πάσης ταπεινοφροσύνης καὶ πολλῶν δακρύων, καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων, ὡς οὐδὲν ὑπεστειλάμην τῶν συμφερόντων τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, καὶ διδάξαι ὑμᾶς δημοσίᾳ, καὶ κατ' οἴκους, διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς Θεὸν μετάνοιαν, καὶ πίστιν τὴν εἰς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν.

ΟΡΑ αὐτὸν καὶ ἐπειγόμενον παραπλεῦσαι, καὶ μὴ παρορῶντα, ἀλλὰ D τὸ πᾶν οἰκονομοῦντα. τοὺς ἄρχοντας μεταπεμψάμενος, ἐπ' αὐτῶν τὰ εἰρημένα διέξεισι. καὶ ἄξιον θαυμάσαι πῶς εἰς ἀνάγκην ἐμπεσὼν, τοῦ μεγάλα τινὰ περὶ ἑαυτοῦ εἰπεῖν, πειρᾶται μετριάζειν. καθάπερ γὰρ ὁ Σαμουὴλ μέλλων παραδιδόναι τῷ Σαοὺλ τὴν ἀρχὴν ἐπ' αὐτοῦ λέγει· μή τι παρ' ὑμῶν εἴληφα; ὑμεῖς μάρτυρες καὶ ὁ Θεός. καὶ ὁ Δαβὶδ ἀπιστηθεὶς λέγει· ἐν τῷ ποιμνίῳ ἤμην ποιμαίνων τὰ πρόβατα τοῦ πατρός μου· καὶ ὅτε ἦλθεν ἡ ἄρκτος, ταῖς χερσὶν E αὐτὴν ἀπέσπων. καὶ αὐτὸς καὶ ὁ Παῦλος πρὸς Κορινθίους φησίν· ἄφρων γέγονα, ὑμεῖς με ἠναγκάσατε. καὶ ὁ Θεὸς δὲ αὐτὸ τοῦτο ποιεῖ, οὐχ ἁπλῶς περὶ ἑαυτοῦ, λέγων· ἀλλ' ὅταν ἀπιστῆται, καὶ τὰς εὐεργεσίας προφέρει. ὅρα γοῦν καὶ ἐνταῦθα τί ποιεῖ. πρῶτον αὐτῶν τὴν μαρτυρίαν παράγει, ἵνα μὴ νομίσῃς κόμπον εἶναι τὰ ῥήματα, καὶ τοὺς ἀκροατὰς αὐτοὺς μάρτυρας καλεῖ τῶν λεγομένων, ὡς οὐκ ἂν ψευσάμενος ἐπ' αὐτῶν. αὕτη διδασκάλου ἀρετὴ, ὅταν τῶν οἰκείων κατορθωμάτων A μάρτυρας ἔχῃ τοὺς μαθητευομένους. καὶ τὸ θαυμαστὸν, ὅτι οὐ μίαν ἡμέραν, οὐδὲ δευτέραν τοῦτο ποιῶν διετέλεσεν, ἀλλὰ πολὺ πλῆθος ἐτῶν. ὑμεῖς γάρ φησιν, ἐπίστασθε, πῶς μεθ' ὑμῶν πάντα τὸν χρόνον ἐγενόμην. βούλεται τοίνυν αὐτοὺς παρακαλέσαι, ὥστε γενναίως φέρειν ἅπαντα, καὶ τὸν αὐτοῦ χωρισμὸν, καὶ τοὺς πειρασμοὺς τοὺς μέλλοντας συμβαίνειν. καθάπερ οὖν καὶ Μωσέως, καὶ Ἰησοῦ γέγονε. καὶ ὅρα τί ἐπήγαγεν εἰπών· πῶς μεθ' ὑμῶν ἐγενόμην πάντα τὸν χρόνον, δου- B λεύων τῷ Κυρίῳ μετὰ πάσης ταπεινοφροσύνης. πράγματος τῆς ταπεινοφροσύνης μνησθεὶς, ὃ μάλιστα ἄρχουσιν ἁρμόζει, διὰ τὸ ἀνάγκην εἶναι πρὸς ἀπόνοιαν αὐτοὺς αἴρεσθαι. τοῦτο ὑπόθεσις τῶν ἀγαθῶν, ὥσπερ οὖν καὶ ὁ Χριστὸς ἔλεγε· μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. οὐχ ἁπλῶς δὲ ταπεινοφροσύνης εἶπεν, ἀλλὰ μετὰ πάσης. πολλὰ γὰρ εἴδη τῆς ταπεινοφροσύνης, καὶ ἔστι ταπεινοφροσύνην ἰδεῖν ἐν λόγῳ, ἐν ἔργῳ, πρὸς ἄρχοντας, πρὸς ἀρχομένους. βούλεσθε ὑμῖν C τρόπους εἴπω ταπεινοφροσύνης; εἰσί τινες οἱ πρὸς μὲν τοὺς ταπεινοὺς ταπεινοὶ τυγχάνοντές εἰσι· πρὸς δὲ τοὺς ὑψηλοὺς ὑψηλοί. οὐ τοῦτο δὲ οὐ ταπεινοφροσύνης. εἰσὶ δὲ πάλιν ἕτεροι οὐ τοιοῦτοι· ἀλλ' ἐφ' ἑκατέρων τῶν προσώπων εἰς καιρὸν, καὶ τὸ ταπεινὸν τηροῦντες, καὶ τὸ ὑψηλόν. ὃ καὶ μάλιστά ἐστι ταπεινοφροσύνης. μέλλων τοίνυν διδάσκειν αὐτοὺς τὰ τοιαῦτα, ἵνα μὴ δόξῃ ἀπονενοῆσθαι, προκαταβάλλει θεμέλιον τὴν ὑποψίαν ἀναιρῶν. εἰ γὰρ μετὰ πάσης ταπεινοφροσύνης γέγονα, φησιν, οὐκ ἐξ ἀπονοίας λέγω ἃ λέγω. εἶτα τὸ ἥμερον. μεθ' ὑμῶν, φη- D σιν, ἐγενόμην, δουλεύων τῷ Κυρίῳ, κοινωνοὺς τοῦ κατορθώματος δεικνὺς αὐτούς. οὕτω πανταχοῦ ἡ κοινωνία καλόν. κοινὰ τοίνυν ποιεῖται τὰ κατορθώματα, καὶ οὐδὲν αὐτοῦ τίθησιν ἐξαίρετον· τί γάρ φησι; κατὰ τοῦ Θεοῦ ἀπονοηθῆναι εἶχε; καὶ μὴν πολλοί εἰσιν οἱ ἀπονοοῦνται κατ' αὐτοῦ. οὗτος δὲ, οὐδὲ κατὰ τῶν μαθητῶν ἑαυτοῦ ἀπενοήθη. οὗτος κατόρθωμα διδασκάλου, ἀπὸ τῶν οἰκείων κατορθωμάτων τοὺς μαθητὰς ῥυθμίζειν. εἶτα τὴν ἀνδρείαν, φησὶν, ἣν καὶ αὐτὴν ὑποτέμνεται. μετὰ E πολλῶν δακρύων, καὶ πειρασμῶν τῶν συμβάντων μοι ἐν ταῖς ἐπιβουλαῖς τῶν Ἰουδαίων. ὁρᾷς ὅτι ἀλγεῖ τοῖς γινομένοις; ἐνταῦθα δὲ αὐτὸ καὶ τὸ συμπαθὲς δοκεῖ δηλοῦν. ἔπασχε γὰρ ὑπὲρ τῶν ἀπολλυμένων ὑπὲρ αὐτῶν τῶν ποιούντων· ἐπεὶ ὑπὲρ τῶν εἰς αὐτὸν, καὶ ἔχαιρεν. ἐκεῖνος γὰρ ἦν τοῦ χοροῦ τοῦ χαίροντος, οἳ κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ ἀτιμασθῆναι· καὶ πάλιν ἀλλαχοῦ λέγει· νῦν χαίρω ἐν τοῖς παθήμασί μου ὑπὲρ ὑμῶν· καὶ πάλιν, τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως, καθ' ὑπερβολὴν αἰώνιον βάρος

βάρος δόξης κατεργάζεται ἡμῖν. ἀλλὰ ταῦτα λέγει μετριάζων. ἐνταῦθα δὲ δείκνυσιν αὐτοῦ τὴν ἀνδρείαν· καὶ οὐ ταύτην τὴν ἀνδρείαν, ὅσον τὴν ὑπομονήν. ὡσεὶ ἔλεγεν· ἔπασχον ἐγὼ κακῶς, ἀλλὰ μεθ' ὑμῶν· καὶ τὸ δεινὸν, ὅτι ὑπὸ Ἰουδαίων. ἴδε μοι ἐνταῦθα χαρακτῆρα διδασκαλίας· καὶ τὴν ἀγάπην τίθησι, καὶ τὴν ἀνδρείαν. ὡς οὐδὲν ὑπεστειλάμην, φησί. τὸ ἄφθονον δείκνυσι διὰ τούτων ὑμῖν, καὶ τὸ ἄοκνον. καὶ τῶν συμφερόντων. καλῶς οὕτως εἶπεν. ἦν γὰρ ἃ οὐκ ἔδει μαθεῖν. ὥσπερ δὲ τὸ, ἔνια ἀποκρύπτειν, φθόνου· οὕτω τὸ πάντα λέγειν, ἀνοίας. διὰ τοῦτο προσέθηκε τῶν συμφερόντων, δηλῶν ὅτι οὐκ εἶπον μόνον, ἀλλὰ καὶ ἐδίδαξα· οὐχ ὡς αὐτὸ τοῦτο ἀφοσιούμενος, φησίν. ὅτι δὲ τοῦτο δηλοῖ, ἄκουε τῶν ἑξῆς. ἐπήγαγε γάρ· δημοσίᾳ καὶ κατ' οἴκους, τὴν μακρὰν ταλαιπωρίαν, καὶ τὴν πολλὴν σπουδὴν, καὶ τὴν καρτερίαν ἐπιδεικνύμενος. διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησιν. οὐχὶ πρὸς ὑμᾶς, φησὶ, μόνον, ἀλλὰ καὶ πρὸς Ἕλληνας. ἐνταῦθα ἡ παῤῥησία· καὶ ὅτι κἂν μηδὲν ὠφελῶμεν, λέγειν δεῖ. τὸ γὰρ διαμαρτύρεσθαι τοῦτό ἐστιν, ὅτ' ἂν πρὸς τοὺς μὴ προσέχοντας λέγωμεν. τὸ γὰρ διαμαρτύρεσθαι, ὡς ἐπὶ τὸ πολὺ τοῦτό ἐστι. διαμαρτύρομαι, φησὶν ὁ Μωϋσῆς, τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ νῦν αὐτός. διαμαρτυρόμενος Ἰουδαίοις τε καὶ Ἕλλησι τὴν εἰς τὸν Θεὸν μετάνοιαν. τί διαμαρτύρῃ; ὥστε βίου ἐπιμεληθῆναι· ὥστε μετανοῆσαι καὶ προσελθεῖν τῷ Θεῷ. οὐδὲ γὰρ Ἰουδαῖοι ᾔδεσαν αὐτὸν, διά τε τὸν υἱὸν ἀγνοεῖν, διά τε τὰ ἔργα καὶ πίστιν μὴ ἔχειν τὴν εἰς τὸν Κύριον Ἰησοῦν. τίνος οὖν ἕνεκεν ταῦτα λέγεις; τίνος ἕνεκεν ταῦτα ὑπομιμνήσκεις; τί γέγονε; μὴ τι ἔχεις ἐγκαλεῖν; πρότερον καταστείσας αὐτῶν τὴν διάνοιαν, τότε ἐπάγει· „καὶ νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ πνεύματι πορεύομαι εἰς Ἱερουσαλὴμ, τὰ ἐν αὐτῇ συναντήσοντά μοι μὴ εἰδώς· πλὴν ὅτι τὸ πνεῦμά μοι τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσιν. ἀλλ' οὐδενὸς λόγον ποιοῦμαι, οὐδὲ ἔχω τὴν ψυχὴν τιμίαν ἐμαυτῷ, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ, διαμαρτύρεσθαι τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. διατί ταῦτα λέγει; παρασκευάζων αὐτοὺς ἀεὶ ἑτοίμους εἶναι πρὸς κινδύνους καὶ δήλους, καὶ ἀδήλους, καὶ πάντα τῷ πνεύματι πείθεσθαι. δείκνυσι δὲ, ὅτι ἐπὶ μεγάλοις ἀπάγεται. πλὴν ὅτι τὸ πνεῦμά μοι, φησὶ, τὸ ἅγιον κατὰ πόλιν διαμαρτύρεται λέγον. ἵνα δείξῃ ὅτι ἑκὼν ἀπέρχεται, καὶ ἵνα μὴ δεσμὸν ἢ ἀνάγκην νομίσῃς, τὸ κατὰ πόλιν, εἶπεν. εἶτα ἐπάγει· ὅτι οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχὴν, ὡς τελειῶσαι τὸν δρόμον μου μετὰ χαρᾶς, καὶ τὴν διακονίαν ἣν ἔλαβον παρὰ τοῦ Κυρίου Ἰησοῦ. ὁρᾷς ὅτι οὐκ ἀποδυρομένου ἦν τὰ ῥήματα, ἀλλὰ μετριάζοντος, καὶ παιδεύοντος ἐκείνους καὶ συμπάσχοντος τοῖς γινομένοις; οὐκ εἶπεν, ὅτι ἀλγοῦμεν, ἀνάγκη δὲ φέρειν· ἀλλ', οὐδὲ ἡγοῦμαι. τοῦτο πάλιν λέγει, οὐκ ἐπαίρων ἑαυτὸν, ἀλλ' ἐκείνους διδάσκων· διὰ μὲν τῶν προτέρων, τὴν ταπεινοφροσύνην· διὰ δὲ τούτων, τὴν ἀνδρείαν, τὴν παῤῥησίαν. ὡσεὶ ἔλεγεν· οὐ φιλῶ αὐτὴν παρὰ ταύτης· προτιμότερον ἡγοῦμαι τὸ τελέσαι τὸν δρόμον, τὸ διαμαρτύρεσθαι. καὶ οὐκ εἶπε, κηρύξαι, διδάξαι· ἀλλὰ τί; διαμαρτύρεσθαι τὸ Εὐαγγέλιον τῆς χάριτος τοῦ Θεοῦ. μέλλει τι φορτικώτερον λέγειν, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων, διὰ τοῦτο προκατασκευάζει, καὶ δείκνυσιν ὅτι οὐδὲν ἐλλείπεται. ἐπεὶ οὖν ἔμελλεν αὐτοῖς ἐπιτιθέναι τὸ βάρος ἅπαν, καὶ τὸ φορτίον, πρότερον καταμαλάττει αὐτῶν τὴν διάνοιαν λέγων· „νῦν ἰδοὺ ἐγὼ οἶδα ὅτι οὐκ ἔτι ὄψεσθε τὸ πρόσωπόν μου· εἶτα τότε ἐπήγαγε τὸ, καθαρός εἰμι ἀπὸ τοῦ αἵματος πάντων. διπλῆ ἡ λύπη· τότε τὸ πρόσωπον αὐτοῦ οὐκ ἔτι ὄψεσθαι, καὶ τὸ, αὐτοὺς „πάντας. οὐκ ἔτι γάρ, φησιν, ὄψεσθε τὸ πρόσωπόν μου ὑμεῖς „πάντες, ἐν οἷς διῆλθον κηρύσσων τὴν βασιλείαν, ὥστε εἰκότως διαμαρτύρομαι ὑμῖν, ἅτε μηκέτι παραγινόμενος. ὅτι καθαρὸς ἐγὼ „ἀπὸ τοῦ αἵματος πάντων. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι „ὑμῖν πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. ὁρᾷς πῶς φοβεῖ, καὶ πεπονημένας αὐτῶν τὰς ψυχὰς καὶ τεθλιμμένας ἐπιτρίβει; καλῶς, ὅτι ἀναγκαῖον ἦν. οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν, φησι, πᾶσαν τὴν βουλὴν τοῦ Θεοῦ. ἄρα ὁ μὴ λέγων, ὑπεύθυνός ἐστι τοῦ αἵματος· τουτέστι τῆς σφαγῆς. οὐδὲν τούτου φοβερώτερον. δείκνυσιν ὅτι κἀκεῖνοι ἂν μὴ ποιῶσιν ὑπεύθυνοί εἰσι τοῦ αἵματος, καὶ δοκεῖ μὲν ἀπολογεῖσθαι, ἐκείνους δὲ φοβεῖ· „προσέχετε οὖν ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. ὁρᾷς; δύο προσέταξεν. οὔτε οὖν τὸ ἑτέρους κατορθοῦν μόνον ἔχει τι κέρδος· φοβοῦμαι γάρ, φησι, μήπως ἄλλοις κηρύξας αὐτὸς ἀδόκιμος γένωμαι· οὔτε τὸ ἑαυτοῦ μόνον ἐπιμελεῖσθαι. ὁ γὰρ τοιοῦτος φίλαυτος, καὶ τὸ ἑαυτοῦ ζητεῖ μόνον, καὶ τῷ τὸ τάλαντον καταχώσαντι ἴσος ἐστί. ταῦτα λέγει, οὐχ ὅτι προτιμοτέρα ἡ ἡμετέρα σωτηρία τοῦ ποιμνίου, ἀλλ' ὅτι ὅτ' ἂν ἑαυτοῖς προσέχωμεν, τότε καὶ τὸ ποίμνιον κερδαίνει. ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ. ὅρα πόσαι ἀνάγκαι. παρὰ τοῦ πνεύματος τὴν χειροτονίαν ἔχετε, φησί· τοῦτο γάρ ἐστι τὸ ἔθετο. μία αὕτη ἀνάγκη. εἶτα, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ.

pondus gloria operatur nobis. Verum hæc ex modestia dicit, hic autem ostendit fortitudinem, & non tantum fortitudinem, quantum patientiam: quasi diceret: Malè equidem patiebar, sed vobiscum. Etiam hoc grave est, quod à Judæis. Vide oro hoc loco characterem doctrinæ, & dilectionem ponit ac fortitudinem. *Quod nihil subterfugerim*, inquit, promptitudinem ac sedulitatem suam ostendit. *Eorum quæ in rem vestram essent.* Erant enim quædam, quæ discere non oportebat. Unde sicut invidiæ est quædam abscondere, ita insipientiæ omnia dicere, propter hoc addidit: *Eorum quæ in rem vestram:* non quasi illa ipsa cum damno subtraxerim, *docui*, inquit, non locutus sum. Et hoc ita esse docent sequentia, subdit enim: *Publicè & per singulas domos*, ostendens magnum laborem, sedulitatem, ac perseverantiam. *Testificans Judæis simul ac Græcis.* Non vobis solum, sed etiam Græcis. Hîc est illa dicendi libertas. Etiam licet nihil profuissemus, dicere oportet. Hoc est enim propriè: *Testificor*: quando non attendentibus loquimur. Ita Moses ait: *Testificor cœlum ac terram.* (Deut. 4, 26.) Et nunc ille: *Testificans Judæis simul ac Græcis pœnitentiam agant, & convertantur ad Deum.* Neque enim Judæi illum sciverunt, eo quod filium ignorarint, & opera ac fidem non habuerint erga Jesum Christum. Quare igitur hæc dicis? quare hæc commemoras? quid accidit, nihil habes quod objicias? Prius concussa illorum mente, deinde subdit: *Et nunc ecce ego alligatus spiritu, vado in Hierusalem, ea quæ in illa mihi occursa sunt ignorans, nisi quod Spiritus Sanctus per singulas civitates mihi testificatur, dicens: quod me vincula & persecutiones expectent. Verum nihil me movet, neque anima mea charior est mihi, ut consummem cursum meum cum gaudio, & ministerium quod accepi à Domino meo Jesu, ut testificer Evangelium gratia Dei.* Præparat illos, ut semper parati sint, ad pericula tam manifesta, quàm non manifesta. Ostendens autem quod ad magna accedat, *nisi quod Spiritus Sanctus*, inquit, *mihi per singulas civitates testificabatur*, ut monstret quod sponte subeat: & ne vincula vel necessitatem putes, *per singulas civitates* dicit, deindéque subdit: *Non habeo preciosiorem meipso animam, ut consummem cursum meum cum gaudio, & ministerium quod accepi à Domino.* Vides quod non plorantis verba sunt, sed molestè loquentis ac docentis illos, ac compatientis in his quæ fiebant. Non dixit, dolemus, necesse autem est ferre: sed *neque censeo.* Hoc iterum dicit, non sese extollens, sed illos docens, per priora quidem humilitatem, per hæc autem fortitudinem, dicendique libertatem, quasi diceret: Non amo illam præ hac, preciosius arbitror consummare cursum ut testificer: non dixit, ut prædicem, doceam. Sed quid: *Ut testificer Evangelium gratia Dei.* Gravius quiddam dicturus. *Mundus ego à sanguine omnium*: ideò prius præparat & ostendit quòd nihil omiserit. Igitur quoniam illis erat omne pondus ac sarcinam impositurus, prius emollit mentem illorum, dicens: *Et nunc ecce ego scio, quod non ultrà videbitis faciem meam.* Deinde hoc subdit: *Mundus ego sum à sanguine omnium.* Duplex tristitia, tunc faciem illius ultra non conspiciendam, & ab ipsis omnibus. *Non enim ultrà*, inquit, *videbitis faciem meam.* Vos omnes, inter quos transivi prædicans regnum, & meritò contestor vobis, utpote non ultrà affuturus. *Mundus ego à sanguine omnium. Non enim subterfugi quo minus annunciem voluntatem omnem Dei.* Vides quomodo terret, & laborantes illorum animas ac contritas atterit. Bene, quia necessarium erat. *Non enim subterfugi, ut non annunciem vobis*, inquit, *omnem voluntatem Dei.* Igitur qui non dicit, reus est sanguinis, hoc est, cædis. Nihil hoc terribilius. Ostendit quod & illi, si non faciant, rei sunt sanguinis. Et videtur quidem rationem reddere, illos autem terret. *Attendite igitur vobisipsis & gregi, in quo vos Spiritus Sanctus posuit Episcopos, ut pascatis Ecclesiam Dei, quam acquisivit per proprium sanguinem.* Vides, duo præcepit. Igitur neque alios corrigere solum, habet quiddam lucri: *Timeo enim, inquit, ne aliis prædicans ipse reprobus efficiar*: (1 Cor. 9, 27.) neque sui solius curam habere. Qui enim seipsum amat, & quæ sua sunt quærit, similis est ei qui talentum defodit: non quod præeligenda sit nostra salus gregi, sed quia quando nobisipsis attendimus, tunc & grex lucrum habet. *In quo vos Spiritus Sanctus posuit Episcopos, ut pascatis Ecclesiam Dei.* Vide quantæ necessitates. A Spiritu Sancto ordinationem habetis, inquit. Hoc enim est, *posuit*, una est ista necessitas. Deinde *ut pascatis Ecclesiam Dei*, ecce

ecce & secunda: *Quam*, inquit, *acquisivit per proprium sanguinem.* Multum ostendit, dum dicit, preciosam rem, & non parvum esse periculum, quandoquidem Dominus pro Ecclesia neque sanguini suo pepercit: nos autem fratrum salutem contemnimus: & ille quidem ut inimicos conciliet, etiam sanguinem effudit, tu autem neque amicos factos potes retinere. *Ego enim scio hoc, quod ingredientur post abitum meum lupi graves in vos, non parcentes gregi.* Iterum aliunde illos admonet à futuris, sicut quando alicubi dicit: *Non est vobis certamen contra* B

Eph. 6, 12. *carnem & sanguinem. Quia ingredientur*, inquit, *post abitionem meam lupi graves in vos.* Duplex malum, & quod ipse non adest, & quod alii imponent. Quid igitur abis, si hoc prævidisti? *Spiritus me trahit*, inquit. Et vide non simpliciter dixit *lupi*, sed apposuit, *graves*, vehementiam & impudentiam illorum insinuans. Et quod gravius, quia illos *ex ipsis surrecturos* dicit. Quod & valde grave est, quando etiam domesticum bellum fuerit. Et bene dixit, *attendite*, ostendens rem esse curatu perquam necessariam. Ecclesia enim est, & magnum periculum: sanguine enim illam redemit & quod duplex est bellum. Hæc igitur manifestans dixit: *Et ex vobisipsis surgent viri loquentes perversa, ut abstrahant discipulos post se.* Quasi à quopiam rogatus dicente: Quomodo igitur custodient? *Vigilate, memores quod triennio nocte & die non cessaverim cum lachrymis unumquemque admonere.* Vide quod insolita dicit, *cum lachrymis*: &, *noctes ac dies*: &, *unumquemque*. Non enim si multos vidisset, eis pepercisset, sed sciebat etiam pro una anima facienda omnia. Itaque sic illos etiam conjunxit. Quod autem dicit, hunc habet sensum: Sufficiunt ea quæ à me sunt acta, triennio mansi. Satis confirmati sunt, satis radices fixerunt. *Cum lachrymis*, inquit. Vides quod propter hoc lachrymæ? Hæc faciamus & nos. Non dolet malus, dole tu, fortassis & ille dolebit. Quemadmodum si quando æger viderit medicum sumentem cibum, etiam ipse incitatur: certe & hic erit: si viderit te plorantem, emollietur bonus vir, ac mitis erit. *Nesciens*, inquit, *quæ eventura sunt mihi.* Quid igitur? Propter hoc abis? Minimè, sed & *probè scio, quod vincula & tribulationes me expectant.* Itaque scio quod expectant me tentationes: non scio autem quale, id quod erat difficilius. Ne igitur deplorantem putetis me hoc dicere, non habeo preciosiorem me ipso animam. Ut excitet illorum mentem hæc dici, & persuadeat non solum ne fugiam, sed etiam strenue ferant. Propter hoc *cursum* & *ministerium* opus vocat, cursu dignitatem, & ministerio debitum insinuans. *Minister*, inquit, *sum*, nihil amplius habeo. Consolans autem illos, ne doleant propter quæ affligitur: postquam dixit cum gaudio se hæc expectare, & monstravit fructum, tunc tristitiam addit. Hoc autem facit, ne mentem illorum obruat. Et unde hæc? Quia dicit: *Ex vobisipsis surgent viri loquentes perversa.* Quid igitur? dixerit quis: Tantum teipsum reputas, ut si proficiscaris, moriamur? Non hoc dico, inquit. quòd mea absentia hoc faciat. Sed quid? *Exurgent quidam inter vos*, non propter abitionem meam, sed *post abitionem meam*, hoc est, profectionem, quamvis etiam jam hoc factum sit. Quod si factum est, multo magis posthac fiet. Deinde & causa ponitur, *ut trahant discipulos post se.* Et ita propter nihil aliud sectæ; quam propter hoc; subjungitur & consolatio: *Quam acquisivit*, inquit, *per proprium sanguinem.* Si autem proprio sanguine acquisivit, omnino defendet. *Noctes & dies non quievi cum lachrymis admonens.* Hæc ad vos meritò dicerentur, & videtur quidem sermo proprie ad doctores, est autem communis etiam ad discipulos spectans. Quid enim ego quidem, *nocte ac die* dico & obsecro, & lachrymor, discipulus autem non persuadetur. Ut enim ne putet quis sufficere ad defensionem esse discipulum, & non opus obedientia, propterea dixit: *Testificor*, subdit, *non enim subterfugi* non annunciare vobis. Igitur hoc solum doctoris, annunciare, prædicare, docere, non subterfugere, nocte ac die orare. Quando autem dum hæc fiunt, nihil proficitur, scitote quid reliquum. Deinde & alia defensio, quia *mundus ego sum à sanguine omnium.* Ne putetis oro, hæc nobis solis dici; etenim ad vos quoque sermo hic est, ut attendatis quæ dicantur, & ne ab auditorio recedatis. Quid faciam? Ecce quotidie clamans disrumpor, ut recedatis à spectaculis, & multi rident nos.

A ἰδοὺ καὶ δευτέρα· καὶ τρίτη, ἣν φησιν, περιεποιήσατο διὰ τοῦ ἰδίου αἵματος. πολὺ δείκνυσι δι' ὧν εἶπε τίμιον τὸ πρᾶγμα, καὶ ὅτι οὐχ ὑπὲρ μικρῶν ὁ κίνδυνος, εἴγε ὁ δεσπότης ὑπὲρ τῆς ἐκκλησίας, οὐδὲ τοῦ αἵματος ἐφείσατο τοῦ ἑαυτοῦ· ἡμεῖς δὲ τῆς τῶν ἀδελφῶν σωτηρίας καταφρονοῦμεν. καὶ ἐκεῖνος μὲν ἵνα ἐχθροὺς καταλλάξῃ, καὶ τὸ αἷμα ἐξέχεε· σὺ δὲ οὐδὲ φίλους γενομένους ἰσχύεις κατασχεῖν. ἐγὼ γὰρ οἶδα τοῦτο, « ὅτι εἰσελεύσονται μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς, μὴ φει- «
B δόμενοι τοῦ ποιμνίου. πάλιν ἄλλοθεν αὐτοὺς ἐπιστρέφει ἀπὸ τῶν ἐσομένων. ὥσπερ ὅτ' ἂν ἀλλαχοῦ λέγῃ· οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα, καὶ σάρκα. ὅτι εἰσελεύσονται, φησὶ, μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς. διπλοῦν τὸ κακόν· ὅτι τε αὐτὸς οὐ πάρεστι, καὶ ὅτι ἕτεροι ἐπιθήσονται. τί οὖν ἀπέρχῃ εἰ τοῦτο προεῖδας; τὸ πνεῦμά με ἕλκει, φησί. καὶ ὅρα. οὐχ ἁπλῶς εἶπε λύκοι, ἀλλὰ προσέθηκε, βαρεῖς, τὸ σφοδρὸν αὐτῶν καὶ ἰταμὸν αἰνιττόμενος, καὶ τὸ χαλεπώτερον, ὅτι αὐτοὺς
C τούτους ἐξ αὐτῶν ἀναστήσεσθαι λέγει. ὃ γὰρ σφόδρα ἐστὶ βαρὺ, ὅτ' ἂν καὶ ἐμφύλιος ὁ πόλεμος ᾖ. καὶ καλῶς εἶπε, προσέχετε, δεικνὺς περισπούδαστον σφόδρα τὸ πρᾶγμα· ἐκκλησία γάρ ἐστι· καὶ ὅτι μέγας ὁ κίνδυνος. αἵματι γὰρ αὐτὴν ἐλυτρώσατο· καὶ ὅτι πολὺς ὁ πόλεμος καὶ διπλοῦς. ταῦτα τοίνυν ἐδήλωσεν εἰπὼν, καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται « ἄνδρες λαλοῦντες διεστραμμένα, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω « αὐτῶν. εἶτα ἐπειδὴ σφόδρα αὐτοὺς ἐφόβησε, τῷ εἰπεῖν λύκους βαρεῖς, καὶ
D ἐξ αὐτῶν ἀναστῆναι τοὺς τὰ διεστραμμένα λαλοῦντας, ὥσπερ ὑπό τινος διαπορηθεὶς, πῶς οὖν, εἰπόντος, καὶ τίς ἔσται φυλακὴ, ἐπάγει, λέγων· γρηγορεῖτε μνημονεύοντες ὅτι τριετίαν νύκτα, καὶ ἡμέραν οὐκ « ἐπαυσάμην μετὰ δακρύων νουθετῶν ἕνα ἕκαστον; ὅρα πόσαι ὑπερ- « βολαί· μετὰ δακρύων, καὶ νύκτα καὶ ἡμέραν, καὶ ἕνα ἕκαστον. οὐ γὰρ εἰ πολλοὺς εἶδε τότε ἐφείδετο· ἀλλ' ᾔδει καὶ ὑπὲρ μιᾶς ψυχῆς πάντα ποιεῖν. οὕτω γοῦν αὐτοὺς καὶ συνεκρότησεν. ὃ δὲ λέγει τοῦτό ἐστιν. ἀρκεῖ τὰ παρ' ἐμοῦ. τριετίαν ἔμεινα, ἱκανῶς ἐστηρίχθησαν, ἱκανῶς ἐῤῥιζώθη-
E σαν. μετὰ δακρύων, φησίν. ὁρᾷς ὅτι τὰ δάκρυα διὰ τοῦτο; ταῦτα ποιῶμεν καὶ ἡμεῖς. οὐκ ἀλγεῖ ὁ κακὸς, ἄλγησον σὺ, ἴσως ἀλγήσει κἀκεῖνος. καθάπερ ὅτ' ἂν ἴδῃ ὁ κάμνων τὸν ἰατρὸν λαμβάνοντα σιτίον, καὶ αὐτὸς προτρέπεται· οὕτω δὴ καὶ ἐνταῦθα ἔσται, ἂν ἴδῃ σε ὀδυρόμενον μαλαχθήσεται, χρηστὸς ἀνὴρ καὶ πρᾶος γενήσεται. οὐκ εἰδὼς φησὶ, τὰ συναντήσοντά μοι. τί οὖν; διὰ τοῦτο ἀπέρχῃ, οὐδαμῶς· ἀλλὰ καὶ σφόδρα γινώσκω ὅτι δεσμά καὶ θλίψεις με μένουσιν. ὅτι μὲν οὖν πειρα-
A σμοί ἐκδέχονταί με, οἶδα· ὁποῖοι δὲ, οὐκ οἶδα, ὅπερ ἦν χαλεπώτερον. μὴ τοίνυν νομίσητέ με ἀποδυρόμενον ταῦτα λέγειν. οὐκ ἔχω τιμίαν τὴν ἐμαυτοῦ ψυχήν. ἵνα ἀναστήσῃ αὐτῶν τὴν διάνοιαν ταῦτά φησι, καὶ πείσῃ μὴ μόνον μὴ φεύγειν, ἀλλὰ καὶ γενναίως φέρειν. διὰ τοῦτο δρόμον καὶ διακονίαν τὸ πρᾶγμα καλεῖ. τὸ μὲν, δεικνὺς τὸ λαμπρὸν ἀπὸ τοῦ δρόμου· τὸ δὲ, τὸ ὀφειλόμενον ἀπὸ τῆς διακονίας. διάκονός εἰμι, φησίν· οὐδὲν πλέον ἔχω. παραμυθησάμενος δὲ αὐτοὺς, ἵνα μὴ ἀλγῶσιν
B ἐφ' οἷς πάσχει κακῶς, καὶ εἰπὼν ὅτι μετὰ χαρᾶς ταῦτα ὑπομένει, καὶ τὸν καρπὸν δείξας, τότε τὸ λυπηρὸν ἐπάγει. τοῦτο δὲ ποιεῖ, ἵνα μὴ καταχώσῃ αὐτῶν τὴν διάνοιαν. ποῖον δὲ τοῦτό ἐστι; τὸ καὶ ἐξ ὑμῶν αὐτῶν ἀναστήσονται ἄνδρες λαλοῦντες διεστραμμένα. τί οὖν εἴποι τις ἄν; τοσοῦτον σαυτὸν ἡγῇ, καὶ ἂν ἀπέλθῃς ἀποθνήσκομεν; οὐ τοῦτο λέγω, φησὶν, ὅτι ἡ ἐμὴ ἀπουσία τοῦτο ποιεῖ· ἀλλὰ τί; ὅτι ἐπαναστήσονταί τινες
C ὑμῶν. οὐκ εἶπε, διὰ τὴν ἄφιξίν μου· τουτέστι τὴν ἀποδημίαν, καίτοι καὶ ἤδη γέγονε τοῦτο. εἰ δὲ γέγονε, πολλῷ μᾶλλον μετὰ ταῦτα γενήσεται. εἶτα καὶ ἡ αἰτία, τοῦ ἀποσπᾶν τοὺς μαθητὰς ὀπίσω αὐτῶν. ὥστε δι' οὐδὲν ἕτερον αἱ αἱρέσεις, ἢ διὰ τοῦτο. εἶτα καὶ παραμυθία, ἣν περιεποιήσατο φησὶ, διὰ τοῦ ἰδίου αἵματος. εἰ δὲ τῷ ἰδίῳ αἵματι περιεποιήσατο, προστήσεται πάντως. νύκτα, φησὶ, καὶ ἡμέραν οὐκ ἐπαυσάμην μετὰ δακρύων νουθετῶν. ταῦτα πρὸς ἡμᾶς εἰκότως ἂν λέγοιτο. καὶ δο-
D κεῖ μὲν εἶναι ἰδικῶς πρὸς τοὺς διδασκάλους ὁ λόγος· ἔστι δὲ κοινὸς, καὶ πρὸς τοὺς μαθητάς. τί γὰρ ἂν ἐγὼ μὲν λέγω, καὶ παρακαλῶ, καὶ δακρύω νύκτα, καὶ ἡμέραν· ὁ δὲ μαθητὴς μὴ πείθηται; ἵνα γὰρ μὴ νομίσῃ τις τοῦτο ἀρκεῖν εἰς ἀπολογίαν, τὸ εἶναι μαθητὴν, καὶ μὴ ὑπείκειν, διὰ τοῦτο διαμαρτύρομαι εἰπὼν, ἐπήγαγεν· οὐ γὰρ ὑπεστειλάμην τοῦ μὴ ἀναγγεῖλαι ὑμῖν. ἄρα τοῦτο διδασκάλου μόνον, ἀναγγεῖλαι, κηρύξαι, διδάξαι, μὴ ὑποστείλασθαι, νύκτα καὶ ἡμέραν
E παρακαλεῖν· ὅταν δὲ τούτων γινομένων μηδὲν πλέον γένηται, ἴστε τὸ λειπόμενον. εἶτα καὶ ἑτέρα ἀπολογία· ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων. μὴ δὴ νομίσητε πρὸς ἡμᾶς ταῦτα λέγεσθαι μόνον· καὶ γὰρ καὶ πρὸς ὑμᾶς ὁ λόγος οὗτός ἐστιν, ὥστε προσέχειν τοῖς λεγομένοις, ὥστε μὴ ἀποπηδᾶν τῆς ἀκροάσεως. τί ποιήσω;

ἰδοὺ καθ' ἑκάστην ἡμέραν διαῤῥήγνυμαι βοῶν, ἀπόστητε τῶν θεάτρων· καὶ πολλοὶ γελῶσιν ἡμᾶς.

ἀπόστητε

ἀπόστητε τοῦ ὀμνύειν, τοῦ πλεονεκτεῖν· μυρία παραινοῦμεν, καὶ οὐδεὶς ὁ ἀκούων. ἀλλ' ἐν νυκτὶ οὐ διαλεγόμεθα; ἐβουλόμην καὶ ἐν νυκτὶ τοῦτο ποιεῖν, καὶ ἐν ταῖς τραπέζαις ταῖς ὑμετέραις εἴγε ἐξῆν, καὶ εἰς μυρία σχισθέντα παραγίνεσθαι ὑμῖν, καὶ διαλέγεσθαι· ἀλλ' εἰ τῆς ἑβδομάδος ἅπαξ καλούμενοι ὑμᾶς καὶ ὀκνεῖτε· καὶ οἱ μὲν οὐδὲ παραγίνεσθε· οἱ δὲ παραγινόμενοι οὐδὲν πλέον κερδάναντες ἄπιτε: τί οὐκ ἂν ἐποιήσατε, εἰ συνεχῶς τοῦτο ἐπράττομεν; τί ποιήσομεν; πολλοὶ οἶδ' ὅτι καὶ διασύρουσιν ἡμᾶς, διὰ τὸ περὶ τῶν αὐτῶν ἀεὶ διαλέγεσθαι, οὕτω γεγόναμεν προσκορεῖς. αἴτιοι δὲ τούτου, οὐχ ἡμεῖς· ἀλλ' αὐτοὶ οἱ ἀκούοντες. ὁ μὲν γὰρ κατορθῶν, ἀεὶ χαίρει τὰ αὐτὰ ἀκούων, ὥσπερ ἐγκωμίων αὐτοῦ λεγομένων. ὁ δὲ μὴ βουλόμενος κατορθοῦν, καὶ ἐνοχλεῖσθαι δοκεῖ· κἂν δεύτερον ἀκούσῃ μόνον, πολλάκις δοκεῖ ἀκούειν. καθαρὸς εἰμὶ ἀπὸ τοῦ αἵματος πάντων, φησί· τοῦτο Παύλῳ μὲν ἥρμοττεν εἰπεῖν, ἡμεῖς δὲ οὐ τολμῶμεν τοῦτο εἰπεῖν, μυρία συνειδότες ἑαυτοῖς. διόπερ ἐκείνῳ τῷ διαπαντὸς ἀγρυπνοῦντι καὶ ἐφεστῶτι, τῷ πάντα ὑπὲρ τῆς σωτηρίας τῶν μαθητευομένων ὑπομένοντι ἥρμοττε λέγειν· ἡμεῖς δὲ τὸ τοῦ Μωσέως ἐροῦμεν, ὅτι ὠργίσθη μοι Κύριος δι' ὑμᾶς· ὅτι εἰς πολλὰ ἁμαρτήματα προάγετε καὶ ἡμᾶς· ὅταν γὰρ ἀθυμῶμεν ὁρῶντες ὑμᾶς οὐ προκόπτοντας, οὐ τὸ πλέον ἡμῖν τῆς ἰσχύος καταπίπτει; τί γὰρ εἰπέ μοι γέγονεν; ἰδοὺ τῇ χάριτι τοῦ Θεοῦ, καὶ ἡμεῖς λοιπὸν τριετίαν ἔχομεν· νύκτα μὲν καὶ ἡμέραν οὐ παρακαλοῦντες, διὰ τριῶν δὲ πολλάκις ἡμερῶν ἢ δι' ἑπτὰ τοῦτο ποιοῦντες. τί γέγονε πλέον; ἐγκαλοῦμεν, ἐπιτιμῶμεν, δακρύομεν, ὀδυνώμεθα, καὶ μὴ φανερῶς, ἀλλὰ κατὰ καρδίαν. ἐκεῖνα δὲ πολὺ τούτων τὰ δάκρυα κουφότερα. ταῦτα γὰρ φέρει τινὰ τοῖς ἀθυμοῦσι παραμυθίαν· ἐκεῖνα δὲ αὐτὴν ἐπιτείνει, καὶ συσφίγγει. οὕτω καὶ ὅταν ἐν ἀθυμίᾳ τις ᾖ, καὶ μὴ δύνηται ἐξενεγκεῖν τὴν ἀλγηδόνα, ὥστε μὴ δόξαι κενόδοξος εἶναι, μείζονα ἄρα πάσχει, ἢ ἂν ταύτην ἐξήνεγκεν. εἰ μή με τις ἔκρινε φιλοτιμίας περιττῆς, εἶδες ἂν καθ' ἑκάστην ἡμέραν πηγὰς δακρύων ἀφιέντα. ταύτας δέ μοι σύνοιδεν ὁ οἰκίσκος, καὶ ἡ ἐρημία. πιστεύσατε γάρ μοι, τῆς ἐμαυτοῦ σωτηρίας ἀπέγνων· τὰ δὲ ὑμέτερα θρηνῶν, οὐδὲ σχολὴν ἔχω τὰ ἐμαυτοῦ κακὰ πενθεῖν. οὕτω μοι πάντα ὑμεῖς ἐστε. κἂν αἴσθωμαι ἐπιδιδόντας ὑμᾶς, οὐκ αἰσθάνομαι τῶν ἐμαυτοῦ κακῶν ὑπὸ τῆς ἡδονῆς· κἂν ἴδω μὴ ἐπιδιδόντας, ὑπὸ τῆς ἀθυμίας πάλιν παραπέμπομαι τὰ ἐμά· φαιδρὸς μὲν ὤν, ἐπὶ τοῖς ὑμετέροις ἀγαθοῖς, κἂν μυρία ἔχω δεινά· σκυθρωπὸς δὲ ἐπὶ τοῖς ὑμετέροις λυπηροῖς, κἂν μυρία μοι κατορθώματα ᾖ. τίς γὰρ ἐλπὶς διδασκάλῳ, τοῦ ποιμνίου διεφθαρμένου; ποία ζωή; ποία προσδοκία; μετὰ ποίας στήσεται παρρησίας πρὸς τὸν Θεόν; τί ἐρεῖ; θῶμεν γὰρ ὅτι οὐδὲ ἐγκαλεῖται, οὐδὲ δίδωσι δίκην, ἀλλ' ἔστι καθαρὸς ἀπὸ αἵματος πάντων, καὶ οὕτως ἀνίατα πείσεται. ἐπεὶ καὶ πατέρες ὑπὲρ παίδων οὐ μέλλοντες ἐγκαλεῖσθαι, ὅμως ἀλγοῦσι, καὶ δάκνονται. καὶ οὐδὲν αὐτοὺς τοῦτο, φησίν, ὠφελεῖ, οὐδὲ περιίσταται, ὅτι αὐτοὶ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν; ἀλλ' ἀγρυπνοῦσιν ὡς λόγον ἀποδώσοντες, καὶ δοκεῖ μέν τισι τοῦτο εἶναι φοβερόν· ἐμοὶ δὲ οὐδεὶς τούτου λόγος μετὰ τὴν ὑμετέραν ἀπώλειαν. εἴτε γὰρ δῶ λόγον, εἴτε μὴ δῶ, οὐδέν μοι τὸ ὄφελος. γένοιτο σωθῆναι ὑμᾶς. καὶ δοῦναι λόγον ἐμὲ δι' ὑμᾶς· ὑμᾶς σωθῆναι, καὶ ἐμὲ ἐγκαλεῖσθαι ὡς μὴ πληρώσαντα τὰ παρ' ἐμαυτοῦ. οὐ γὰρ τοῦ δι' ἐμοῦ σωθῆναι ὑμᾶς φροντίζω· ἀλλὰ τοῦ σωθῆναι μόνον δι' ὅτου δήποτε. οὐκ ἴστε τὴν τυραννίδα τῶν ὠδίνων τῶν πνευματικῶν, πῶς μυριάκις ἕλοιτο ἂν καταπονηθῆναι ὁ τοῦτον τὸν τόκον ὠδίνων, ἢ τῶν τεχθέντων ἕνα ἀπολλύμενον ἰδεῖν καὶ διεφθαρμένον; πόθεν ὑμᾶς πείσομεν; ἑτέρωθεν μὲν οὐδαμόθεν, ἀπὸ δὲ τῶν γινομένων τὰ καθ' ὑμᾶς πάντα ἀπολυσόμεθα. δυνάμεθα καὶ ἡμεῖς λέγειν, ὅτι οὐδὲν ὑπεστειλάμεθα· ἀλλ' ὅμως ἀλγοῦμεν, καὶ ὅτι ἀλγοῦμεν, δῆλον ἐξ ὧν μυρία κατασκευάζομεν, καὶ μηχανόμεθα. καίτοι γε ἐξῆν πρὸς ἡμᾶς αὐτοὺς εἰπεῖν, τί μοι μέλει; ἐγὼ τὸ ἐμαυτοῦ πεποίηκα, ἐγὼ καθαρός εἰμι ἀπὸ τοῦ αἵματος, ἀλλ' οὐκ ἀρκεῖ τοῦτο εἰς παραμυθίαν, εἴγε ἐξῆν τὴν καρδίαν ἡμῶν ἀναρρῆξαι καὶ ἐπιδεῖξαι, εἴδετε ἂν μετὰ πολλῆς ἔνδον ὄντας τῆς εὐρυχωρίας πάντας ὑμᾶς, καὶ γυναῖκας, καὶ παῖδας, καὶ ἄνδρας. τοιαύτη γὰρ ἡ τῆς ἀγάπης δύναμις, οὐρανοῦ εὐρυχωροτέραν ποιεῖ τὴν ψυχήν. χωρήσατε ἡμᾶς ἔλεγεν ὁ Παῦλος, οὐδένα ἠδικήσαμεν, οὐ στενοχωρεῖσθε ἐν ἡμῖν. τοῦτο λέγομεν νῦν καὶ ἡμεῖς, χωρήσατε ἡμᾶς. πᾶσαν τὴν Κόρινθον εἶχεν ἐκεῖνος ἐν τῇ καρδίᾳ ἑαυτοῦ, καὶ ἔλεγε· πλατύνθητε καὶ ὑμεῖς, οὐ στενοχωρεῖσθε· ἀλλ' αὐτὸς οὐκ ἂν ἔχοιμι τοῦτο λέγειν· εὖ γὰρ οἶδα, ὅτι καὶ ὑμεῖς ἡμᾶς ἀγαπᾶτε καὶ χωρεῖτε. ἀλλὰ τί τὸ κέρδος ἢ τῆς ἐμῆς ἀγάπης, ἢ τῆς ὑμῶν, ὅτ' ἂν τὰ κατὰ Θεὸν ἡμῖν μὴ προχωρῇ; μείζονος ἀθυμίας ὑπόθεσις, πλείονος λύπης ἀφορμή. οὐδὲν ἔχω ἐγκαλεῖν ὑμῖν.

Sæpius moneo, ne juretis, ne avari sitis & nemo audit. Sed noctu hoc non agis? Vellem etiam nocte hoc facere, & ad mensas vestras, siquidem liceret, & plurimis occupato, adesse vobis & colloqui. At dum per hebdomadam semel vocamus vos, & ignavi estis, & alii quidem non advenitis, alii autem præsentes sine lucro abitis: quid non faceretis, si continuo hoc faceremus? Quid faciemus? scio multos etiam irrisuros nos, eo quod semper eadem loquimur, tanta vos nostri tenet satietas, nos autem in causa non sumus, sed auditores: nam qui bene facit, semper cupit eadem audire, eo quod laudes suæ dicuntur. Qui autem bene agere non vult, etiam obturbari videtur, etsi alium audiens solùm sæpius videtur audire. *Mundus ego sum à sanguine omnium*, inquit. Hoc Paulo quidem congruebat dicere, nos autem non audemus hoc dicere, multorum nobis conscii, eo quòd ille semper vigilabat & assistebat, & omnia pro salute discipulorum faciens sustinebat, nos autem hoc Mose dicemus: *Iratus est mihi Dominus propter vos, quia in multa peccata adduxistis etiam nos.* Deut. 1, 34 Quando enim mœremus, videntes vos non proficere, nónne quod reliquum est virium nostrarum concidit? Quid enim, dic oro, factum est, quid profecimus? Ecce enim per gratiam Dei & nos triennium jam habemus, noctésque & dies: nónne per tres dies, sæpe etiam per septem exhortamur? Quid amplius assequimur, quàm quod reprehendimus, increpamus, lachrymas fundimus, dolemus, etsi non foris, sed in corde. Illæ autem sæpe internis lachrymis leviores sunt, nam illæ quidem mœrentibus consolationem quandam afferunt, quam hæ augent ac constringunt. Ita ut quando quis in mœstitia fuerit, & dolorem annunciare non poterit, ne videatur vanæ gloriæ sectator esse, majora patietur, quàm si illum annunciet: nisi quis judicaret supra modum honoris cupidum, vidissetis quotidie fontes lachrymarum me emittere, quarum consciæ sunt domicilium & solitudo. Credite enim mihi, de salute quidem mea desperavi, & res vestras deploravi, non vacat mea mala deplorare, adeò totus deditus sum vobis: & si sentio vos obtemperantes, præ gaudio non sentio mala mea: & si video minus obtemperantes, præ dolore iterum intermitto mea. Glorior in vestris bonis, etiamsi ego plurimis graver: & ver: & lugeo in vestris difficultatibus, etiamsi multa bene agam. Quæ enim spes doctori grege corrupto? Qualis vita? Qualis expectatio? cum qua fiducia stabit apud Deum? Ponamus enim quod neque reprehendatur, neque det pœnam: sed sit mundus à sanguine omnium, etiamsi incurabilia patietur. Quoniam & patres licet pro pueris non redarguantur, attamen dolent ac cruciantur. Et nihil-ne, inquit, hoc prodest eis, nec patrocinatur, quod ipsi vigilant pro animabus nostris? sed vigilant ut rationem reddituri: & videtur mihi hoc quibusdam esse terribile, me autem vobis perditis hoc non movet: nam sive dem rationem, sive non dem, nihil mihi utile est: utinam servaremini vos, & dans ego pro vobis rationem, audiam vos quidem servari, me autem officium non per omnia implesse. Non enim cura est, ut vos per me servemini, sed solum ut servemini. Nescitis vim spiritualium in parturitione dolorum, quàm malit sexcenties defatigari qui talem partum enititur, quàm unum ex his qui nati sunt videre perditum ac corruptum. Unde nobis persuadebimus? nusquam certe aliunde, à factis judicabimus omnia vestra. Possumus & nos dicere quod nihil subterfugerimus, nihilominus dolemus: & quod dolemus, manifestum ex his quæ toties apparamus & excogitamus. Quamvis possem vobis dicere: Quid mihi curæ est, ego quod meum est feci, ego mundus sum à sanguine, sed non sufficit hoc ad consolationem: siquidem liceret cor nostrum disrumpere ac ostendere, videretis intus esse in magna latitudine vos omnes, mulieres, pueros. Tanta enim charitatis vis est, ut cœlo latiorem faciat animam. *Capaces nostri estote*, dicebat Paulus, *neminem læsimus, non angusti estis in nobis.* 2. Cor. 7. 2. Hoc dicimus nunc & nos, capaces estote nostri. Totam Corinthum habebat ille Ib. 6, 14. in corde suo, & dicebat: *Dilatamini, & vos, non angusti estis:* sed ipse non possem dicere hoc. Bene enim scio, quod etiam vos me diligitis ac capitis. Sed quod lucrum vel meæ charitatis, vel vestræ, quando in divinis non proceditis, amplioris tristitiæ inde occasio. Nihil possum reprehendere vos.

Gal. 4. 15. *Testor enim vobis, quod si possibile fuisset, effossos oculos vestros dedissetis mihi.* Vicissim vellemus non solum Evangelium, sed etiam animas nostras dare vobis. Amamus & amamur, sed hoc non est quod nunc quæritur. Amemus igitur principiò
Matt. 22. 37 *Christum, primum enim mandatum est: Diliges Dominum Deum tuum: Secundum autem simile ei: Et proximum tuum sicut teipsum.* Secundum habemus: primo opus est mihi & vobis valde, habemus illud, sed non ut oportet. Diligamus illum. Scitis quanta reposita est merces his qui dilexerunt Christum, diligamus illum cum fervore animæ, ut fruentes ejus gratia, effugiamus præsentis vitæ procellas, & bona illum diligentibus promissa assequi mereamur, gratia & misericordia unigeniti Filii, cui cum Patre, simul ac Sancto Spiritu sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XLV.

Nunc commendo vos fratres Deo, & verbo gratiæ ejus, qui potens est vos superstruere, & dare hæreditatem vobis inter omnes sanctificatos.

QUOD in epistolis, hoc & in consiliis agit. Ab admonitione in preces desinit. Quoniam illos valde terruit, dicens: *Lupi graves ingredientur ad vos*, ne consternatas reddat animas, ac perdat: vide consolationem. *Et nunc*, inquit: Sic dixit, manifestans per hoc, quod quasi semper hoc agat, *Commendo vos fratres Deo & verbo gratiæ ejus*: hoc est, gratiæ illius, & bene sic dixit. Sciebat enim quod gratia salvat. Subinde illos memores facit gratiæ, quasi debitores studiosiores faciens, & confidere suadens. *Qui potens est vos superstruere.* Non dixit, extruere, sed *superstruere*, ostendens quòd extructi essent. Deinde spei futuræ meminit dicendo: *Et dare vobis hæreditatem inter omnes sanctificatos.* Subditur iterum admonitio: *Argentum*, inquit, *vel aurum, vel vestem nullius concupivi.* Radicem malorum avaritiam sustulit. *Argentum*, inquit, *vel aurum*: non dixit, non accepi: sed, *neque concupivi.* Nondum magnum hoc. Quod autem post hoc, magnum: *Vos scitis quòd necessitatibus meis, & his qui mecum sunt, ministrarunt manus istæ. Omnia ostendi vobis, quod sic laborantes oportet suscipere infirmos.* Vide illum opere manuario usum: & non simpliciter, sed cum fatigatione. *Necessitatibus meis, & his qui mecum sunt, ministrarunt manus istæ.* Hoc per admonitionem dixit. Et vide quam merito. Non enim dixit, pecuniis fuisse meliores: sed quid? *oportet suscipere infirmos*, non simpliciter omnes, sed *infirmos: ac meminisse sermonis Domini Jesu*, inquit, *quem dixit: Beatius est dare, quam accipere.* Ut ne quis putet ad illos dictum esse, se ponere in exemplar, id quod alibi
Phil. 3. 17. dicit: *Exemplar dantes vobis*, subdidit sententiam Christi dicentis: *Beatum est dare magis, quàm accipere.* Orabat quoque super illis admonendo, operéque idipsum ostendebat. *Et his dictis ac positis genibus suis cum illis adorabat*: non simpliciter, sed cum magna compunctione. Magna consolatio. Et dicendo: *Commendo vos Domino*, obsecrabat. *Et factus est fletus magnus omnium, & ruentes in collum Pauli, deosculabantur illum, dolentes maximè ob sermonem quem dixerat, quod amplius faciem ejus non essent visuri, deducebant autem illum in navim.* Dixerat, *ingressuri sunt lupi rapaces.* Dixerat, *mundus sum à sanguine omnium.* Hæc utraque terribilia, & ad contristandum sufficientia. Maximè autem hoc omnium dolebat, *quod ultra illum visuri non essent*, & hinc agonis istius difficultas. *Deducebant autem illum ad navem*, sic affecti erant erga eum.

Cap. XXI. *Cum autem factum esset, ut solvissemus avulsi ab eis, recto cursu venimus Coum: & sequenti die Rhodum, & inde Pataram, & nacti navem trajicientem in Phœnicen, ea conscensa solvimus. Ubi autem apparuit nobis Cyprus, relicta ea ad sinistram navigavimus in Syriam, ac venimus Tyrum.* Vide, venit in Lyciam, & trajiciens in Phœnicen, relicta Cypro in Tyrum navigavit, *nam illic navis exoneranda erat.* Et hæc erat causa navigandi in Tyrum. *Et inventis fratribus permanserunt ibi ad dies septem, qui scilicet dicebant Paulo per spiritum, ne ascenderet in Hierusalem.* Vide, prophetabant & illi afflictiones. Singulari dispensatione fit, ut etiā per illos dicatur, ut ne quis putet alios simpliciter dixisse: Paulumq; gloriatu esse. Iterū & illic orantes, se mutuū relinquunt.

A μαρτυρῶ γὰρ ὑμῖν, ὅτι εἰ δυνατὸν τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. ὁμειρόμεθα οὐ μόνον τὸ Εὐαγγέλιον, ἀλλὰ καὶ τὰς ἑαυτῶν ψυχὰς δοῦναι ὑμῖν. φιλούμεθα καὶ φιλοῦμεν. ἀλλ᾽ οὐ τοῦτό ἐστι τὸ ζητούμενον. φιλήσωμεν οὖν τὸν Χριστὸν πρῶτον. πρώτη γὰρ ἐντολὴ, ἀγαπήσεις Κύριον τὸν Θεόν σου· δευτέρα δὲ ὁμοία αὐτῇ, καὶ τὸν πλησίον σου ὡς σεαυτόν. τὴν δευτέραν ἔχομεν, τῆς πρώτης ἡμῖν δεῖ, τῆς πρώτης δεῖ μετὰ πολλῆς τῆς ὑπερβολῆς, καὶ ἐμοὶ, καὶ ὑμῖν. ἔχομεν αὐτὴν,
B ἀλλ᾽ οὐχ ὡς χρή· φιλήσωμεν αὐτόν. ἴστε πόσος ἀπόκειται μισθὸς τοῖς φιλήσασι τὸν Χριστόν; φιλήσωμεν αὐτὸν θερμότητι ψυχῆς, ἵνα τῆς παρ᾽ αὐτοῦ εὐνοίας ἀπολαύοντες, διαφύγωμεν τὸν κλύδωνα τοῦ παρόντος βίου, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν καταξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ παιδὸς, μεθ᾽ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

C

ΟΜΙΛΙΑ μέ.

Καὶ τὰ νῦν παρατίθεμαι ὑμᾶς ἀδελφοὶ τῷ Θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ, τῷ δυναμένῳ ἐποικοδομῆσαι, καὶ δοῦναι κληρονομίαν ὑμῖν, ἐν πᾶσι τοῖς ἡγιασμένοις.

ΟΠΕΡ ἐπιστέλλων ποιεῖ, τοῦτο καὶ συμβουλεύων, ἀπὸ παραινέσεως εἰς εὐχὴν τελευτᾷ. ἐπεὶ γὰρ αὐτοὺς σφόδρα ἐφόβησε,
D λέγων· ὅτι λύκοι βαρεῖς εἰς ὑμᾶς εἰσελεύσονται, ἵνα μὴ καταπλήξῃ τῇ διανοίᾳ καὶ ἀπολέσῃ· ὅρα τὴν παραμυθίαν. καὶ τὰ νῦν, φησίν. οὕτως εἶπε, δηλῶν διὰ τούτου ὅτι ὥσπερ ἀεὶ, παρατίθεμαι ὑμᾶς ἀδελφοὶ τῷ Θεῷ, καὶ τῷ λόγῳ τῆς χάριτος αὐτοῦ· τουτέστι, τῇ χάριτι αὐτοῦ. καὶ καλῶς οὕτως εἶπεν. οἶδε γὰρ ὅτι ἡ χάρις σώζει. συνεχῶς αὐτοὺς ἀναμιμνήσκει τῆς χάριτος, σπουδαιοτέρους ποιῶν ὡς ὀφειλέτας, καὶ πείθων θαῤῥεῖν. τῷ δυναμένῳ ὑμᾶς ἐποικοδομῆσαι.
E οὐκ εἶπεν, οἰκοδομῆσαι, ἀλλ᾽ ἐποικοδομῆσαι, δεικνὺς ὅτι ἤδη ᾠκοδομήθησαν. εἶτα τῆς ἐλπίδος ἀνέμνησε τῆς μελλούσης εἰπών· καὶ δοῦναι ὑμῖν κληρονομίαν ἐν πᾶσι τοῖς ἡγιασμένοις. εἶτα πάλιν παραίνεσις· ἀργυρίου, φησὶν, ἢ χρυσίου ἢ ἱματισμοῦ οὐδενὸς ἐπεθύμησα. τὴν ῥίζαν ἀναιρεῖ τῶν κακῶν, τὴν φιλαργυρίαν· ἀργυρίου, φησὶν, ἢ χρυσίου. οὐκ εἶπεν, οὐκ ἔλαβον· ἀλλ᾽ οὐδὲ ἐπεθύμησα. οὔπω μέγα τοῦτο· τὸ δὲ μετὰ τοῦτο, μέγα. ὑμεῖς ἐπίστασθε ὅτι ταῖς χρείαις μου,
A καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ, ὑπηρέτησαν αἱ χεῖρες αὗται· πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. ὅρα αὐτὸν τῷ ἔργῳ κεχρημένον· καὶ οὐχ ἁπλῶς, ἀλλὰ κοπιῶντα. ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ᾽ ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. τοῦτο ἐντρεπτικῶς. καὶ ὅρα πῶς ἀξίως. οὐ γὰρ εἶπε χρημάτων γίνεσθαι κρείττους· ἀλλὰ τί; ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. οὐχ ἁπλῶς πάντων, ἀλλὰ τῶν ἀσθενῶν. μνημονεύειν τε τῶν λόγων τοῦ Κυρίου ὃν εἶπεν, ὅτι μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν. ἵνα μή τις νομίσῃ πρὸς
B ἐκείνους εἰρῆσθαι, καὶ τύπον διδόναι αὐτὸν ὅπερ ἀλλαχοῦ, φησὶ, τύπον διδόντες ὑμῖν, ἐπήγαγε τὴν ἀπόφασιν τοῦ Χριστοῦ λέγοντος, μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν. ἐπηύξατο αὐτοῖς παραινῶν, δείκνυσιν αὐτὸν καὶ ἔργῳ. καὶ ταῦτα εἰπὼν, θεὶς τὰ γόνατα αὐτοῦ σὺν πᾶσιν αὐτοῖς, προσηύξατο· οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς κατανύξεως, πολλὴ ἡ παράκλησις. καὶ τῷ εἰπεῖν δὲ, παρατίθεμαι ὑμᾶς τῷ
C Κυρίῳ, παρακαλεῖ. ἐγένετο δὲ κλαυθμὸς ἱκανὸς πάντων, καὶ ἐπιπεσόντες ἐπὶ τὸν τράχηλον τοῦ Παύλου, κατεφίλουν αὐτὸν ὀδυνώμενοι, μάλιστα ἐπὶ τῷ λόγῳ, ᾧ εἰρήκει, οὐκέτι μέλλουσι τὸ πρόσωπον αὐτοῦ θεωρεῖν. προέπεμπον δὲ αὐτὸν εἰς τὸ πλοῖον. εἶπεν, ὅτι εἰσελεύσονται λύκοι βαρεῖς· εἶπεν, ὅτι καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων· ταῦτα ἑκάτερα φοβερὰ καὶ ἱκανὰ λυπῆσαι, μάλιστα δὲ πλέον πάντων τοῦτο αὐτοὺς ὤδινησε, τὸ μηκέτι ὁρᾶν ἀκοῦσαι αὐτόν· καὶ τοῦτο
D ἐποίει τὸν πόλεμον χαλεπόν. προέπεμπον δὲ, φησὶν, αὐτὸν εἰς τὸ πλοῖον. οὕτως ἐφίλουν αὐτὸν, οὕτως διέκειντο περὶ αὐτόν.

Ὡς ἐγένετο ἀναχθῆναι ἡμᾶς ἀποσπασθέντας ἀπ᾽ αὐτῶν, εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν τῇ δὲ ἑξῆς εἰς Ῥόδον κἀκεῖθεν εἰς Πάταρα· καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην, ἐπιβάντες ἀνήχθημεν ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον, ἐπλέομεν εἰς Συρίαν, καὶ κατήχθημεν εἰς Τύρον. ὅρα, ἦλθεν εἰς Λυκίαν, καὶ διαπερῶν εἰς Φοινίκην, τὴν Κύπρον ἀφεὶς, εἰς Τύρον κατέπλευσεν.
E ἐκεῖσε γὰρ ἦν τὸ πλοῖον ἀποφορτιζόμενον τὸν γόμον. τοῦτο αἰτία τοῦ ἀπελθεῖν εἰς Τύρον. καὶ εὑρόντες μαθητὰς ἐπεμείναμεν πρὸς αὐτοὺς ἡμέρας ἑπτά· οἵτινες τῷ Παύλῳ ἔλεγον διὰ τοῦ πνεύματος μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ. ὅρα, προφητεύουσι κἀκεῖνοι τὰς θλίψεις· οἰκονομεῖται καὶ δι᾽ ἐκείνων λεχθῆναι, ἵνα μή τις νομίσῃ ἁπλῶς ταῦτα λέγειν τὸν Παῦλον καὶ κομπάζειν. πάλιν δὲ ἐκεῖ προσευχόμενοι διαλύονται ἀπ᾽ ἀλλήλων.

ὅτε

ὅτε δὲ ἐγένετο ἡμᾶς ἐξαρτίσαι τὰς ἡμέρας, ἐξελθόντες ἐπορευόμεθα προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ, καὶ τέκνοις ἕως ἔξω τῆς πόλεως. καὶ θέντες τὰ γόνατα ἐπὶ τὸν αἰγιαλὸν, προσευξάμεθα, καὶ ἀσπασάμενοι ἀλλήλους ἐνέβημεν εἰς τὸ πλοῖον. ἐκεῖνοι δὲ ὑπέστρεψαν εἰς τὰ ἴδια. ἡμεῖς δὲ τὸν πλοῦν διανύσαντες ἀπὸ Τύρου, κατηντήσαμεν εἰς Πτολεμαΐδα· καὶ ἀσπασάμενοι τοὺς ἀδελφοὺς, ἐμείναμεν ἡμέραν μίαν παρ' αὐτοῖς. τῇ δὲ ἐπαύριον ἐξελθόντες, ἤλθομεν εἰς Καισάρειαν· καὶ εἰσελθόντες εἰς τὸν οἶκον Φιλίππου τοῦ Εὐαγγελιστοῦ ὄντος ἐκ τῶν ἑπτὰ, ἐμείναμεν παρ' αὐτῷ. εἰς καὶ Καισάρειαν, φησὶν, ἐλθόντες, παρὰ Φιλίππῳ τῷ ἐκ τῶν ἑπτὰ ἐμείναμεν. τούτῳ δὲ ἦσαν θυγατέρες τέσσαρες προφητεύουσαι. ἀλλ' οὐχ αὗται προλέγουσι τῷ Παύλῳ καίτοι προφητεύουσαι, ἀλλ' Ἄγαβος, καὶ ὅπως ἄκουε. ἐπιμενόντων δὲ ἡμῶν ἡμέρας πλείους, ἦλθεν ἀπὸ τῆς Ἰουδαίας προφήτης ὀνόματι Ἄγαβος, καὶ ἐλθὼν πρὸς ἡμᾶς καὶ ἄρας τὴν ζώνην τοῦ Παύλου, δήσας τε αὐτοῦ χεῖρας, καὶ πόδας εἶπε· τάδε λέγει τὸ πνεῦμα τὸ ἅγιον, τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν εἰς Ἱερουσαλὴμ Ἰουδαῖοι, καὶ παραδώσουσιν εἰς χεῖρας ἐθνῶν. ὁ πάλαι τὸν λιμὸν μηνύσας, οὗτος τὸν ἄνδρα, φησὶ, τοῦτον οὗ ἐστιν ἡ ζώνη αὕτη, οὕτω δήσουσιν. ὅπερ οἱ προφῆται ἐποίουν, ὄψει τὰ γινόμενα ὑπογράφοντες ὅτ' ἂν περὶ αἰχμαλωσίας ἔλεγον, ὡς ὁ Ἰεζεκιὴλ, τοῦτο καὶ οὗτος ἐποίησε. καὶ τὸ δὴ χαλεπὸν, ὅτι εἰς χεῖρας ἐθνῶν παραδώσουσιν. ὡς δὲ ἠκούσαμεν ταῦτα, παρεκαλοῦμεν ἡμεῖς τε καὶ οἱ ἐντόπιοι, τοῦ μὴ ἀναβαίνειν αὐτὸν εἰς Ἱερουσαλήμ. καὶ πολλοὶ παρεκάλουν ἀπελθεῖν, καὶ οὐδὲ οὕτως ὑπήκουσεν. ἀπεκρίθη δὲ ὁ Παῦλος· τί ποιεῖτε κλαίοντες, καὶ συνθρύπτοντές μου τὴν καρδίαν; ἐγὼ γὰρ οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν εἰς Ἱερουσαλὴμ ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ κυρίου Ἰησοῦ. μὴ πειθομένου δὲ αὐτοῦ, ἡσυχάσαμεν εἰπόντες· τὸ θέλημα τοῦ κυρίου γινέσθω. ὁρᾷς; ἵνα μὴ ἀκούσας νομίσῃς ἀνάγκης εἶναι τὸ, δεδεμένος τῷ πνεύματι πορεύομαι, μηδὲ ἀγνοοῦντα αὐτὸν ἐμπεσεῖν, διὰ τοῦτο ταῦτα προλέγεται. ἀλλ' οἱ μὲν ἔκλαιον· αὐτὸς δὲ παρεκάλει; ἀλγῶν ἐπὶ τοῖς δάκρυσι τοῖς ἐκείνων. τί ποιεῖτε γὰρ, φησὶ, κλαίοντες καὶ συνθρύπτοντές μου τὴν καρδίαν; οὐδὲν Παύλου φιλοστοργότερον· ὅτι ἑώρα δακρύοντας, ἤλγει ὁ μὴ πάσχων ἐπὶ τοῖς οἰκείοις πειρασμοῖς. ἐμὲ ἀδικεῖτε τοῦτό φησι, ποιοῦντες· μὴ γὰρ ἐγὼ ἀλγῶ; τότε ἐπαύσαντο, ὅτε εἶπε, τί ποιεῖτε συνθρύπτοντές μου τὴν καρδίαν; ἐφ' ὑμῖν κλαίω, φησὶν, οὐκ ἐπὶ τοῖς παθήμασιν. ὑπὲρ γὰρ ἐκείνων, καὶ ἀποθανεῖν βούλομαι. ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ, φησὶν, οὐδενὸς ἐπεθύμησα· αὐτοὶ γινώσκετε ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. οὐκ ἄρα ἐν Κορίνθῳ τοῦτο εἰργάσαντο μόνον οἱ διαφθείροντες τοὺς μαθητὰς ἀλλὰ καὶ ἐν Ἀσίᾳ. οὐδαμοῦ τοῦτο ὀνειδίζει τοῖς Ἐφεσίοις γράφων· τί δήποτε; ὅτι οὐκ ἐνέπεσεν εἰς ἀνάγκην. ἀλλὰ καὶ Κορινθίοις λέγει· οὐκ ἐφράγη τὸ καύχημά μου ἐν τοῖς κλίμασι τῆς Ἀχαΐας. καὶ οὐκ εἶπεν, οὐκ ἐδώκατέ μοι· ἀλλ', ἀργυρίου ἢ χρυσίου ἢ ἱματισμοῦ οὐκ ἐπεθύμησα, ἵνα μὴ δόξῃ ἐκείνων εἶναι τὸ μὴ δοῦναι. καὶ οὐκ εἶπεν, οὐδενὸς ἐπεθύμησα τῶν ἀναγκαίων, ἵνα μὴ δόξῃ πάλιν κατηγορία εἶναι ἐκείνων· ἀλλὰ τοῦτο αἰνίττεται, ὅτι εἰκότως οὐκ ἔλαβεν ὁπότε καὶ ἑτέρους ἔτρεφεν. ὅρα πῶς εἰργάζετο μετὰ σπουδῆς ἄνθρωπος νύκτα καὶ ἡμέραν διαλεγόμενος μετὰ δακρύων, ἕνα ἕκαστον νουθετῶν. πάντα ὑπέδειξα ὑμῖν, ὅτι οὕτω κοπιῶντας δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο εἰπὼν, πάλιν ἐφόβησεν. ὃ δὲ λέγει τοῦτό ἐστιν· οὐκ ἔχετε εἰς ἄγνοιαν καταφυγεῖν· ὑπέδειξα διὰ τῶν ἔργων ὅτι οὕτω κοπιῶντας δεῖ ἐργάζεσθαι. καὶ οὐκ εἶπεν, ὅτι κακὸν τὸ λαβεῖν· ἀλλὰ βέλτιον τὸ μὴ λαβεῖν. μνημονεύειν τε τῶν λόγων, φησὶ, τοῦ Κυρίου, ὃν εἶπε· μακάριόν ἐστι μᾶλλον διδόναι ἢ λαμβάνειν. καὶ ποῦ εἶπεν; ἴσως ἀγράφως παρέδωκαν οἱ Ἀπόστολοι· ἢ ἐξ ὧν ἄν τις συλλογίσαιτο δῆλον. καὶ γὰρ ἔδειξε τὴν παρρησίαν, τὴν πρὸς τοὺς κινδύνους, τὴν συμπάθειαν τὴν πρὸς τοὺς ἀρχομένους, τὴν διδασκαλίαν τὴν μετὰ παρρησίας, τὴν ταπεινοφροσύνην, τὴν ἀκτημοσύνην· τοῦτο δὲ καὶ ἀκτημοσύνης μεῖζον. εἰ γὰρ ἐκεῖ πώλησόν σου, φησὶ, τὰ ὑπάρχοντα εἰ θέλεις τέλειος εἶναι, ὅτ' ἂν πρὸς τῷ μηδὲν λαμβάνειν, καὶ ἑτέρους τρέφῃ. τί τούτου ἴσον; εἷς βαθμὸς τοίνυν, ῥῖψαι τὰ αὐτοῦ· δεύτερος, ἑαυτῷ ἐπαρκεῖν· τρίτος, καὶ ἑτέροις· τέταρτος, τὸ κηρύττοντα καὶ ἐξουσίαν ἔχοντα λαμβάνειν, μὴ λαμβάνειν. ὥστε πολὺ τῶν ἀκτημόνων οὗτος βελτίων ἦν. καὶ καλῶς εἶπεν, οὕτω δεῖ ἀντιλαμβάνεσθαι τῶν ἀσθενούντων. τοῦτο μὲν γὰρ συμπαθείας τὸ πρὸς τοὺς ἀσθενεῖς, τὸ ἐκ τῶν ἰδίων κόπων διδόναι· τὸ δὲ ἐκ τῶν ἀλλοτρίων, οὐ μόνον οὐ καλὸν, ἀλλὰ καὶ ἐπισφαλές. καὶ ἐπιπεσόντες τῷ τραχήλῳ, φησὶν, αὐτοῦ ἔκλαιον. τοῦτο τὴν διάθεσιν τὴν πρὸς αὐτὸν δείκνυσιν. ἐπέπεσον δὲ ἐπὶ τὸν τράχηλον, ἅτε ὑστέρας περιπλοκὰς περιπλεκόμενοι, καὶ πολλὴν ἀπὸ τῆς δημηγορίας λαβόντες τὴν ἀγάπην, καὶ τὸ φίλτρον. εἰ γὰρ ἁπλῶς ἡμεῖς ἀπ' ἀλλήλων διαλυόμενοι στένομεν, καίτοι εἰδότες ὅτι ἀποληψόμεθα ἀλλήλους· πῶς ἂν ἐκεῖνοι τότε Παύλου ἀπαθῶς ἀπεσπάσθησαν;

Diebus autem expletis, profecti ibamus deducentibus nos omnibus cum mulieribus ac liberis, usque extra portam: & positis in littore genibus oravimus, & consalutatis nobis invicem, ascendimus in navim, illi autem reversi sunt in propria. Nos verò navigatione explicita à Tyro, venimus in Ptolemaidem, & salutatis fratribus mansimus die uno apud illos. Sequenti autem die egressi venimus in Cæsaream, & ingressi in domum Philippi Evangelistæ, qui erat unus ex septem, mansimus apud illum. In Cæsaream, inquit, *ut venimus, mansimus apud Philippum, qui erat unus ex septem. Huic erant filiæ quatuor prophetissæ*, sed non istæ prædicunt Paulo, quamvis prophetissæ essent, sed Agabus. Et quomodo? audi: *Et cum permaneremus dies complures, venit à Judæa propheta nomine Agabus: & cum venisset ad nos, & tulisset zonam Pauli, ligassetque illius manus & pedes, dixit: Hæc dicit Spiritus Sanctus, virum cujus est zona ista, sic ligabunt in Hierusalem Judæi, & tradent in manus gentium.* Qui olim famem prædixerat, hic: *Virum*, inquit, *cujus est zona ista, sic ligabunt.* Quod prophetæ faciebant, ante oculos futura præscribentes, quando de captivitate dicebant, sicut Ezechiel: hoc & iste fecit. Et hoc profectò grave, quod in manus gentium tradent. *Ut autem audivimus hæc, obsecravimus nos & qui loci illius erant, ne ascenderet ipse in Hierusalem. Et multi orabant ne abiret, & neque sic audiit. Respondit autem Paulus: Quid facitis flentes & affligentes cor meum? ego enim non solum ligari, sed etiam mori in Hierusalem paratus sum pro nomine Domini Jesu. Quum verò illi non persuaderetur, acquievimus dicentes: Voluntas Domini fiat.* Vides? ut ne audiens, putes vel necessitatis esse: *Alligatus*, inquit, *spiritu proficiscor*, vel ignorantiæ in periculum incidisse, propter hoc ista prædicit. *Sed alii quidem flebant, ipse autem obsecrabat, dolens super lachrymis illorum: Quid facitis* enim, inquit, *flentes ac discerpentes cor meum:* Nihil Paulo in amore indulgentius, quia videbat lachrymantes, dolebat qui in propriis tentationibus non patiebatur. *Me læditis hoc facientes*, inquit. Nunquid enim ego doleo? *Tunc acquieverunt, quando dixit: Quid facitis affligentes cor meum*: Super vos ploro. non meam passionem, pro illis enim & mori volo. Videamus autem iterum quæ lecta sunt: *Argentum vel aurum, vel vestem*, inquit, *nullius concupivi. Istud scitote, quod necessitatibus meis, & his qui mecum sunt, ministraverunt manus istæ.* Igitur non in Corintho hoc solum fecerunt, qui corrumpebant discipulos, sed etiam in Asia. Et Corinthiis dicit: *Non peribit gloriatio mea in regionibus Achaiæ.* Et non dixit: Non dedistis mihi, sed argentum vel aurum, vestimentum non concupivi, ne videatur esse ex eo quod illi non dederint. Et non dixit nullius concupivi necessaria, ne videatur iterum accusare illos: sed hoc insinuat, quod meritò non concupivit, quando & alios pavit. Vide quomodo operabatur cum diligentia, homo nocte ac die disserens cum lachrymis, unumquemque admonens. *Omnia ostendi vobis quod sic laborantes oportet suscipere infirmos.* Hoc dicto iterum terruit, vult autem sic dicere: Non potestis ad ignorantiam confugere, quod sic laborantes oporteat operari. Et non dixit: Malum esse accipere, sed melius non accipere. *Memoresque esse sermonis*, inquit, *domini quum dixit: Beatum est magis dare quàm accipere.* Et ubi dixit? Forsan absque scriptura tradiderant Apostoli, vel ex aliis quis colligere poterit. Etenim ostendit fiduciam quam in periculis, compassionem quam cum subditis, doctrinam quam cum fiducia, humilitatem, paupertatem. Hoc autem & paupertate majus. Si enim illic: *Vende tuas*, inquit, *facultates, si vis perfectus esse*: quando cum eo quod nihil accipit etiam alios pascat, quid huic conferendum? Primus gradus igitur est abjicere propria: Secundus, seipso contentum esse: Tertius, & alios pascere: Quartus, prædicare & habere potestatem accipiendi, & non accipere. Et ita multis pauperibus hic præstantior erat. Et benedixit: *Sic oportet suscipere infirmos.* Nam hoc quidem compassionis erga infirmos, quod ex propriis det. Si autem ex alienis, non solum non est bonum, sed etiam periculosum. *Et ruentes*, inquit, *in collum illius, flebant.* Hoc affectionem quam erga illum gerebant, ostendit. *Ruerunt autem super collum*, utpote postremis complexibus complexuri, & magnas à concione amoris illecebras hauserant. Si enim nos quando simpliciter discedimus, ingemiscimus, tametsi iterum nos mutuum revisuri: quomodo igitur illi tunc citra animi molestiam à Paulo avulsi essent?

Eze. 12.

Sup. 29.

2. Cor. 11, 10.

Matt. 19, 21.

A Ego & Paulum opinor flere. *Avulsi*, inquit: monstrat etiam vim, dicendo avulsos ab illis. Et merito, alioquin maritimo itinere pergere non potuisset. Quid est, *recto cursu venimus in Coum?* Hoc est, non obambulavimus, neque in aliis locis morati sumus. *Sequenti autem die*, inquit, *in Rhodum*. Vide illum festinantem: *& nactus navigium trajecit in Phœnicen:* forsan illic morati, quia non occurrebat alia navis, qua conscensa irent in Cæsaream. *Ut autem apparuit Cyprus, relicta ea ad sinistram.* B Hoc non simpliciter dictum est, sed ut monstret, quod neque illi propiare voluerit: *recta navigantes in Syriam*, ita festinabat. *Deinde & venimus in Tyrum*, inquit, *& inventis discipulis mansimus apud illos:* cum essent prope Hierusalem, non jam currunt, sed etiam manent apud fratres septem diebus. Vide obsecro nunc & dies. Post azyma in Troadem venerunt diebus quinque, deinde ibi fecerunt dies septem, & habes dies duodecim. Deinde in Assum, in Mytilenem, contra Chium in C Trogylium, in Samum, in Miletum; & erunt decem ac octo dies. Postea in Coum, in Rhodum, in Pataram: & viginti & unum dies. Deinde illinc per dies quinque in Tyrum, ut sint dies vinginti sex. Mox illic morantur diebus septem, colligunturque triginta & tres dies. Postea in Ptolemaïdem uno die pertingunt, & fiunt triginta ac quatuor dies. Deinde Cæsareæ manet pluribus aliis diebus, & tunc inde eos adducit Propheta, & sic complentur dies Pentecostes, & ibi illam facit. Vide illum quando spiritus non prohibebat persuaderi, dicebant: *Ne* D *des teipsum in theatrum*, & non dedit. Sæpius illum eduxerunt ac persuasus est, *per fenestram* iterum effugit: & nunc, & sic dicam, innumeris rogantibus tam in Tyro quàm in Cæsarea, & flentibus, & plurima gravia prædicentibus, non sustinet. Etiam non simpliciter gravia prædicebant, sed per spiritum prædicebant. Si igitur spiritus jubebat, quare contradicebant? quia nesciebant quæ videbantur spiritui. Et aliter: Neq; admonitionem per spiritum faciebant. Non enim simpliciter illi gravia præ- E dicebant, sed quia ascendere non oportebat, parcentes ei. *Postquam autem perfecti sunt dies*, hoc est impleti. Dies autem dicit constitutos. *Deducentibus nos omnibus cum mulieribus ac liberis.* Vide quanta consolatio erat. Et iterum orantes divelluntur. Etiam in Ptolemaïde unum diem manent, in Cæsarea verò plures. Et quando audiit quod innumera gravia debuit pati, tunc festinat, non in periculum seipsum conjiciens, sed indicans esse A præceptum spiritus. *Post dies autem hos, sublatis sarcinis conscendebamus Hierusalem:* hoc est, receptis iis quæ ad iter necessaria. *Venerunt autem unà quidam ex discipulis à Cæsarea nobiscum, adducentes cum quo hospitaremur, Mnasonem quendam Cyprium antiquum discipulum. Et cum venissemus Hierusalem, libenter exceperunt nos fratres.* Et vide, non dixit Agabus quod Paulum ligaturi sint, ne videantur ex pacto dicere, sed *virum cujus est zona ista.* Igitur & zonam habuit. Quoniam B non poterant persuadere, idcirco flebant, & postea tacuerunt. Vides Philosophiam? vides amoris vehementiam? *Tacuimus*, inquit, *dicentes: Fiat voluntas Domini. Ducentes*, inquit, *apud quem hospitaremur.* Igitur non in Ecclesia. Nam tunc quidem, quando pro dogmatibus ascenderunt, in Ecclesia manserunt: nunc autem apud discipulum quendam antiquum. Ostendit jam fuisse longum prædicationis tempus. Unde mihi videtur ille in actis multos annos succidere, tantum quæ urgebant, dicens. Quid est, *voluntas Domini fiat?* Dominus, inquit, C quod placitum est in conspectu suo faciat. Tacent autem illi, & non cogunt, fortasse conscii quod esset voluntas Domini, ex alacritate Pauli hoc conjectantes: nam Paulus alioqui ad pericula non tam alacer fuisset, neque Deus permisisset, qui semper in periculis illum eripuit. Ita non voluit gravare Ecclesiam, cum esset alius qui hospitio susciperet, neque authoritatem exigebant. *Libenter nos*, inquit, *susceperunt fratres.* Res enim pacificæ erant apud Judæos, & non ut prius bellum D erat. *Ducentes*, inquit, *apud quem hospitaremur.* Paulum hospitio suscepit ille: forsan quis vestrum dicet. Si quis & mihi Paulum daret hospitem, susciperem promptè magnáque cum alacritate. Ecce Pauli Dominum licet tibi hospitio suscipere,
Matt. 18.5. & non vis. Nam *qui suscipit unum ex minimis, me suscipit.* Quanto minor fuerit frater qui suscipitur, hoc major Christus per illum advenit. Qui enim magnum suscipit, non raro vanæ gloriæ se obnoxium facit? qui autem parvum, is illum E purè propter Christum. Licet tibi etiam patrem Christi hos-
Ib. 25.35. pitio excipere & non vis. *Peregrinus enim eram*, inquit, *& collegistis me.* Et iterum: *In quantum uni minimorum fecistis,*

A ἐγὼ καὶ τὸν Παῦλον οἶμαι κλαίειν. ἀποσπασθέντες φησίν. δείκνυσι καὶ τὴν βίαν, τῷ εἰπεῖν ἀποσπασθέντες ἀπ᾽ αὐτῶν· καὶ εἰκότως. εἰς γὰρ τὴν θάλασσαν λοιπὸν ἐμβῆναι αὐτοὺς οὐκ ἐνῆν. τί ἐστιν εὐθυδρομήσαντες ἤλθομεν εἰς τὴν Κῶν; ἀντὶ τοῦ [οὐ] περιήλθομεν, οὐδὲ διετρίψαμεν ἐν ἑτέροις τόποις. τῇ δὲ ἑξῆς, φησιν, εἰς Ῥόδον. ὅρα αὐτὸν ἐπειγόμενον. καὶ εὑρόντες πλοῖον διαπερῶν εἰς Φοινίκην. ἴσως ἐκεῖνο αὐτόθι διέτριβε· διὸ ἐν αὐτῷ ἐπιβαίνουσιν, οὐχ εὑρόντες ἄλλο εἰς B Καισάρειαν ἀπερχόμενον. ἀναφανέντες δὲ τὴν Κύπρον, καὶ καταλιπόντες αὐτὴν εὐώνυμον. τοῦτο οὐχ ἁπλῶς εἴρηται, ἀλλ᾽ ἵνα δείξῃ, ὅτι οὐδὲ ἐγγὺς αὐτῆς γενέσθαι ἠξίωσε. κατ᾽ εὐθὺ πλέοντες τῆς Συρίας. οὕτως ἔσπευδεν. εἶτα καὶ κατήχθημεν εἰς Τύρον, φησί. καὶ εὑρόντες μαθητὰς, ἐμείναμεν πρὸς αὐτούς. ὅτι πλησίον ἦσαν Ἱεροσολύμων, οὐκ ἔτι τρέχουσιν, ἀλλὰ καὶ μένουσι παρὰ τοῖς ἀδελφοῖς ἑπτὰ ἡμέρας. ἰδὲ μοι λοιπὸν, καὶ τὰς ἡμέρας· μετὰ τὰ Ἄζυμα, εἰς Τρωάδα ἦλθον C δι᾽ ἡμερῶν πέντε· εἶτα ἐκεῖ ἑπτὰ· τὰς πάσας δώδεκα· εἶτα εἰς τὴν Ἄσσον, εἰς Μιτυλήνην, ἀντικρὺ Χίου εἰς Τρωγύλιον. εἰς Σάμον, καὶ εἰς Μίλητον· δεκαοκτὼ ἡμέραι αἱ πᾶσαι· εἶτα εἰς Κῶν, εἰς Ῥόδον, εἰς Πάταρα, εἴκοσι καὶ μία· εἶτα ἐκεῖθεν δι᾽ ἡμερῶν πέντε εἰς Τύρον, ἓξ καὶ εἴκοσι· λοιπὸν ἐκεῖ ἑπτὰ τριάκοντα καὶ τρεῖς· εἶτα εἰς Πτολεμαΐδα μίαν, τριάκοντα τέσσαρες· εἶτα εἰς Καισάρειαν πλείους μένει τῶν ἄλλων· καὶ τότε λοιπὸν ἐκεῖθεν αὐτοὺς ἀνάγει ὁ προφήτης. D οὕτως ἡ Πεντηκοστὴ πληροῦται, καὶ ἐκεῖ αὐτὴν ποιεῖ. ὅρα αὐτὸν ὅτε τὸ πνεῦμα οὐκ ἐκώλυε πειθόμενον. εἶπον, μὴ δῷς σαυτὸν εἰς τὸ θέατρον, καὶ οὐκ ἔδωκε· πολλάκις αὐτὸν ἐξήγαγον, καὶ ἐπείσθη· διὰ θυρίδος πάλιν ἔφυγε· καὶ νῦν ὡς εἰπεῖν μυρίων παρακαλούντων, καὶ τῶν ἐν Τύρῳ, καὶ τῶν ἐν Καισαρείᾳ, καὶ κλαιόντων, καὶ μυρία προλεγόντων δεινὰ, οὐκ ἀνέχεται· καὶ μὴν οὐχ ἁπλῶς τὰ δεινὰ προέλεγον, ἀλλὰ διὰ τοῦ πνεύματος προέλεγον. εἰ τοίνυν τὸ πνεῦ- E μα ἐκέλευσε, διατί ἀντεῖπον; ὅτι οὐκ ᾔδεισαν ἅπερ ἐδόκει τῷ πνεύματι. καὶ ἄλλως δέ· οὐδὲ τὴν παραίνεσιν διὰ τοῦ πνεύματος ἐποιοῦντο. οὐ γὰρ ἁπλῶς αὐτῷ τὰ δεινὰ προὔλεγον, ἀλλ᾽ ὅτι ἀναβῆναι οὐ χρὴ, φειδόμενοι αὐτοῦ. μετὰ δὲ τὸ ἐξαρτίσαι τὰς ἡμέρας, φησί· τουτέστι, πληρῶσαι ἡμέρας δὲ λέγει τὰς τεταγμένας. προπεμπόντων ἡμᾶς πάντων σὺν γυναιξὶ, καὶ τέκνοις. ὅρα πόση ἡ παράκλησις ἦν· καὶ πάλιν εὐχόμενοι διαλύονται. καὶ ἐν Πτολεμαΐδι μίαν A μένουσιν ἡμέραν· ἐν δὲ Καισαρείᾳ πλείους. καὶ ὅτε ἤκουσεν ὅτι μυρία δεινὰ ἔχει παθεῖν, τότε ἐπείγεται· οὐκ ἐπὶ τοὺς κινδύνους ῥιπτῶν ἑαυτὸν, ἀλλ᾽ ἡγούμενος τοῦ πνεύματος εἶναι τὸ πρόσταγμα. μετὰ δὲ τὰς ἡμέρας ταύτας ἐπισκευασάμενοι, φησιν, ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· τουτέστι, τὰ πρὸς τὴν ὁδοιπορίαν λαβόντες. συνῆλθον δὲ καὶ τῶν μαθητῶν ἀπὸ Καισαρείας σὺν ἡμῖν; ἄγοντες παρ᾽ ᾧ ξενισθῶμεν, Μνάσωνί τινι Κυπρίῳ ἀρχαίῳ μαθητῇ. γενομένων δὲ B ἡμῶν εἰς Ἱεροσόλυμα ἀσμένως ἐδέξαντο ἡμᾶς οἱ ἀδελφοί. καὶ ὅρα, οὐκ εἶπεν Ἄγαβος ὅτι Παῦλον δήσουσιν· ἵνα μὴ δόξῃ ἐκ συνθήκης λέγειν· ἀλλὰ, τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη. ἄρα καὶ ζώνην εἶχεν. ἐπειδὴ δὲ οὐκ ἴσχυον πεῖσαι, διατοῦτο ἔκλαιον, εἶτα ἡσύχασαν. ὁρᾷς φιλοσοφίαν; ὁρᾷς φιλοστοργίαν; ἡσυχάσαμεν, φησιν, εἰπόντες· τὸ θέλημα τοῦ κυρίου γενέσθω. ἄγοντες, φησι, παρ᾽ ᾧ ξενισθῶμεν. ἄρα οὐκ εἰς τὴν ἐκκλησίαν. τότε μὲν γὰρ ὅτε C ὑπὲρ δογμάτων ἀνῄεσαν, ἐν τῇ ἐκκλησίᾳ ἐξενίζοντο· νῦν δὲ παρὰ μαθητῇ τινι ἀρχαίῳ. δείκνυσι πολὺν τοῦ κηρύγματος τὸν χρόνον λοιπόν. ὅθεν μοι δοκεῖ πολλὰ ἔτη ἐπιτέμνειν ἐν ταῖς πράξεσιν οὗτος, τὰ κατεπείγοντα μόνον, λέγων· τί ἐστι, τὸ θέλημα τοῦ κυρίου γενέσθω; κύριός, φησιν, αὐτὸς τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. ἡσυχάζουσι δὲ ἐκεῖνοι, καὶ οὐκ ἀναγκάζουσιν, ἴσως συνειδότες ὅτι θέλημα ἦν Θεοῦ, ἀπὸ τῆς Παύλου προθυμίας τοῦτο στοχασάμενοι. οὐ γὰρ ἂν οὕτω Παῦλος προεθυμήθη, οὔτε Θεὸς ἂν εἴασεν ὁ ἀεὶ κιν- D δύνων ἐξαρπάζων αὐτόν. οὕτως οὐκ ἐβούλοντο βαρεῖν τὴν ἐκκλησίαν ὄντος ἑτέρου τοῦ ξενίζοντος αὐτοὺς, οὐδὲ ἀξίωμα ἀπῄτουν· ἀσμένως ἡμᾶς, φησιν, ἀπεδέξαντο οἱ ἀδελφοί· λοιπὸν εἰρήνης ἦν μεστὰ τὰ πράγματα ἐν Ἰουδαίοις, καὶ οὐχ ὡς πρότερον πόλεμος ἦν. ἄγοντες ἡμᾶς, φησι, παρ᾽ ᾧ ξενισθῶμεν. Παῦλον ἐξένιζεν ἐκεῖνος. τάχα τις ὑμῶν ἐρεῖ· εἴ τις κἀμοὶ Παῦλον ἔδωκε ξενίσαι, ἑτοίμως ἂν καὶ μετὰ πολλῆς τῆς προθυμίας τοῦτο ἐ- E ποίησα. ἰδοὺ τὸν Παύλου δεσπότην ἔξεστί σοι ξενίσαι, καὶ οὐ βούλει· ὁ γὰρ δεχόμενος, φησιν, ἕνα τῶν ἐλαχίστων, ἐμὲ δέχεται. ὅσῳ ἂν ἐλάχιστος ᾖ ὁ ἀδελφὸς, τοσούτῳ μᾶλλον ὁ Χριστὸς δι᾽ αὐτοῦ παραγίνεται. ὁ μὲν γὰρ τὸν μέγαν δεχόμενος πολλάκις, καὶ διὰ κενοδοξίαν ποιεῖ· ὁ δὲ τὸν μικρὸν, καθαρῶς διὰ τὸν Χριστόν. ἔξεστί σοι καὶ τὸν πατέρα ξενίσαι τοῦ Χριστοῦ, καὶ οὐ βούλει. ξένος γὰρ ἤμην, φησὶ, καὶ συνηγάγετέ με· καὶ πάλιν, ἐφ᾽ ὅσον ἑνὶ τούτων τῶν ἐλαχίστων ἐποιήσατε,

ἐμοὶ

ἐμοὶ ἐποιήσατε. κἂν μὴ Παῦλος ᾖ, πιστὸς δὲ ᾖ καὶ ἀδελφὸς, κἂν ἐλάχιστος ᾖ, ὁ Χριστὸς δι' αὐτοῦ παραγίνεται. ἄνοιξον τὴν οἰκίαν, ὑπόδεξαι. ὁ δεχόμενος προφήτην, φησὶ, μισθὸν προφήτου λήψεται. οὐκοῦν καὶ ὁ Χριστὸν δεχόμενος, λήψεται μισθὸν τοῦ Χριστοῦ ξενιζόμενος. μὴ ἀπίστει τοῖς ῥήμασιν αὐτοῦ, ἀλλὰ γίνου πιστός. αὐτὸς εἶπεν, ὅτι δι' αὐτῶν ἐγὼ παραγίνομαι, καὶ ἵνα μὴ ἀπιστῇς, καὶ τιμωρίας ὁρίζει τοῖς μὴ δεχομένοις, καὶ τιμὰς τοῖς δεχομένοις· οὐκ ἂν τοῦτο ποιήσας, εἰ μὴ καὶ ὁ τιμηθεὶς καὶ ὁ ὑβρισθεὶς αὐτὸς ἦν. ἐδέξω μέ, φησιν, εἰς τὸ σὸν καταγώγιον, δέξομαί σε εἰς τὴν βασιλείαν τοῦ πατρός μου· ἔλυσάς μοι τὸν λιμὸν, λύσω σοι τὰ ἁμαρτήματα· εἶδές με δεδεμένον, ὁρᾶσθαί σε ποιῶ λελυμένον· εἶδές με ξένον, ποιῶ σε πολίτην τῶν οὐρανῶν· ἔδωκάς μοι ἄρτον, δίδωμί σοι βασιλείαν ὁλόκληρον, ὥστε κληρονομῆσαι καὶ κατασχεῖν. „δεῦτε γάρ, „φησι, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. οὐκ εἶπε, λάβετε, ἀλλὰ κληρονομήσατε, ὅπερ ἐπὶ τῶν κυρίως κτωμένων λέγεται. ὡς ὅταν λέγωμεν, τόδε ἐκληρονόμησα. ἐποίησας εἰς ἐμὲ ἐν κρυπτῷ, ἐγὼ κηρύξω ἐν φανερῷ· καὶ τὰ μὲν σὰ λέγω, ὅτι χάριτός ἐστι· τὰ δὲ ἐμὰ ὀφειλῆς. ἐπειδὴ γὰρ σύ, φησιν, ἦρξω, ἐγὼ ἕπομαι καὶ ἀκολουθῶ· οὐκ αἰσχύνομαι ὁμολογῆσαι τὰς εἰς ἐμὲ γινομένας εὐεργεσίας, οὐδὲ τίνων με ἀπήλλαξας, λιμοῦ καὶ γυμνότητος καὶ πλάνης. εἶδές με δεδεμένον, οὐκ ὄψει τὸ τῆς γεέννης πῦρ· εἶδές με ἀρρωστοῦντα, οὐκ ὄψει τὰ βασανιστήρια οὐδὲ τὰς τιμωρίας. ὦ χεῖρες ὄντως εὐλογημέναι, αἱ τοιαύταις οἰκονομίαις διακονούμεναι, αἱ καταξιούμεναι ὑπηρετεῖν τῷ Χριστῷ. πόδες εἰς δεσμωτήρια βαδίζοντες διὰ τὸν Χριστὸν, εὐκόλως καταφρονοῦσι τοῦ πυρός· οὐ λαμβάνουσι πεῖραν τῶν δεσμῶν χεῖρες, αἱ δεδεμένον αὐτὸν ἰδοῦσαι. ἐνέδυσας ἱμάτιον, καὶ ἐνδύσῃ ἱμάτιον σωτηρίου· ἐγένου ἐν δεσμωτηρίῳ μετ' αὐτοῦ, καὶ γίνῃ ἐν βασιλείᾳ μετ' αὐτοῦ. ταῦτα ὁμολογεῖ οὐκ αἰσχυνόμενος, ἀλλ' εἰδὼς ὅτι αὐτὸν ἐπεσκέψω. οὐκ ᾔδει ἀγγέλους ξενίζων ὁ πατριάρχης, καὶ ἐξένιζεν. αἰσχυνθῶμεν παρακαλῶ. ἐν μεσημβρίᾳ ἐκάθητο ἐπ' ἀλλοτρίας ὢν, ὅπου οὐδὲ βῆμα ποδὸς εἶχε· ξένος ἦν, καὶ ξένους ἐξένιζεν ὁ ξένος. πολίτης γὰρ ἦν τῶν οὐρανῶν. διὰ τοῦτο οὐδὲ ἐπὶ γῆς ὢν, ξένος ἦν. ἡμεῖς ἐκείνου τοῦ ξένου μᾶλλον ξένοι, μὴ δεχόμενοι ξένους. οὐκ εἶχεν οἰκίαν, καὶ καταγώγιον ἦν αὐτῷ ἡ σκηνή· καὶ ὅρα τὸ δαψιλές. μόσχον ἔθυε, καὶ ἄλευρα ἔφυρεν. ἄκουε καὶ τὸ πρόθυμον. δι' ἑαυτοῦ καὶ τῆς γυναικὸς τοῦτο ποιεῖ. σκόπει καὶ τὸ ἄτυφον· προσκυνεῖ καὶ παρακαλεῖ· πάντα γὰρ ταῦτα δεῖ τὸν ξενίζοντα ἔχειν· τὸ πρόθυμον, τὸ φαιδρὸν, τὸ ἄφθονον. ἡ γὰρ τοῦ ξένου ψυχὴ ἐρυθριᾷ καὶ αἰσχύνεται· κἂν μὴ μεθ' ὑπερβολῆς ἐπιδείξῃ χαρὰν, ὡς ἀλογηθεὶς ἀπαλλάσσεται, καὶ λοιπὸν χεῖρον γέγονε τοῦ μὴ ὑποδέξασθαι, τὸ οὕτως ὑποδεχθῆναι. διὰ τοῦτο προσκυνεῖ, διὰ τοῦτο τῷ λόγῳ δέχεται, διὰ τοῦτο τῇ καθέδρᾳ. τίς γὰρ ἂν ἠπορήθη, εἰδὼς ὅτι τοῦτο ἔργον αὐτοῦ ἦν; ἀλλ' οὐκ ἐπὶ ξένης ἐσμὲν ἡμεῖς; ἀλλ' ἐὰν θέλωμεν δυνησόμεθα αὐτὸν μιμήσασθαι. πόσοι ξένοι εἰσὶ τῶν ἀδελφῶν; ἔστιν οἴκημα κοινὸν ἡ ἐκκλησία, ὃ ξενῶνα καλοῦμεν. περιεργάζεσθε καὶ ὑμεῖς· καθέζεσθε παρὰ τὰς θύρας· τοὺς ἐρχομένους ὑποδέχεσθε· κἂν μὴ εἰς τὰς οἰκίας ὑμῶν βούλησθε, ἀλλ' ἑτέρως τὰ πρὸς τὰς χρείας αὐτοῖς χορηγοῦντες. τί γάρ; ἡ ἐκκλησία οὐκ ἔχει, φησίν; ἔχει· ἀλλὰ τί τοῦτο πρὸς ὑμᾶς; μὴ τὸ ἀπὸ τῶν κοινῶν τῆς ἐκκλησίας τρέφεσθαι χρημάτων αὐτοὺς, τοῦτο ὑμᾶς ὠφελῆσαι δύναται; μὴ γὰρ ἂν ἕτερος εὔχηται, σὺ οὐκ ὀφείλεις εὔχεσθαι; διατί μὴ λέγεις· τί γάρ; οὐκ εὔχονται οἱ ἱερεῖς; ἐγὼ τί εὔχομαι; ἀλλ' ἐγώ, φησι, δίδωμι τῷ μὴ δυναμένῳ καταχθῆναι ἐκεῖ. δὸς καὶ ἐκείνῳ. τὸ γὰρ σπουδαζόμενον ἡμῖν τοῦτό ἐστι, τὸ ὅλως δοῦναι· ἄκουσον τί φησιν ὁ Παῦλος· ἵνα ταῖς ὄντως χήραις ἐπαρκέσῃ, καὶ μὴ βαρῆται ἡ ἐκκλησία· ὅπως βούλει, ποίησον· μόνον ποίησον. ἐγὼ δὲ οὐ λέγω ἵνα μὴ βαρῆται ἡ ἐκκλησία, ἀλλ' ἵνα μὴ σὺ βαρῇ. τῷ γὰρ λογισμῷ τούτῳ οὐδὲν ἐργάσῃ πάντα ἐπιτρέπων αὐτῇ. διὰ τοῦτο κοινὸν οἴκημά ἐστιν ὑπὸ τῆς ἐκκλησίας ἀφωρισμένον, ἵνα μὴ ταῦτα λέγῃς. ἀλλ' ἔχει δαπανήματα ἡ ἐκκλησία, φησί. χρήματα ἔχει καὶ προσόδους, εἰπέ μοι· ἀναλώματα δὲ οὐκ ἔχει; δαπάνην δὲ οὐκ ἔχει καθημερινήν; ναί φησι. τί οὖν οὐ βοηθεῖς τῇ μικροτέρᾳ; αἰσχύνομαι μὲν ταῦτα λέγων· πλὴν, ἀλλ' οὐδὲν ἀναγκάζω. εἴ τις νομίζει χρηματισμὸν εἶναι τὰ λεγόμενα, ποιησάτω ἑαυτῷ ξενοδοχεῖον ἐπὶ τῆς οἰκίας· στῆσον ἐκεῖ κλίνην· στῆσον ἐκεῖ τράπεζαν καὶ λυχνίαν. πῶς γὰρ οὐκ ἄτοπον, εἰ μὲν στρατιῶται ἔλθοιεν ἔχειν ὑμᾶς ἀποτεταγμένα οἰκήματα, καὶ πολλὴν ποιεῖσθαι τὴν ἐπιμέλειαν, καὶ πάντα παρέχειν αὐτοῖς, ἐπειδὴ τὸν πόλεμον ὑμῶν ἀμύνουσι τοῦτον τὸν αἰσθητόν· τοὺς δὲ ξένους μὴ ἔχειν ὅπου καταμείνωσι; νίκησον τὴν ἐκκλησίαν. βούλει ἐντρέψαι ἡμᾶς; τοῦτο ποίησον· ὑπερβάλλου τῇ φιλοτιμίᾳ· ἔχε οἴκημα ἔνθα Χριστὸς παραγίνεται. εἰπὲ, τοῦτο τὸ κελλίον τοῦ Χριστοῦ· ἡ οἰκία αὕτη αὐτῷ ἀφώρισται. κἂν κατάγειον ᾖ καὶ εὐτελὲς, οὐκ ἀπαξιοῖ. γυμνὸς καὶ ξένος ὁ Χριστὸς περίεισι· μόνον σκέπης δεόμενος, κἂν τοῦτο πάρεχε· μὴ ὠμὸς ἔσο, μὴ ἀπάνθρωπος·

A metsi minimus, Christus per illum aderit. Aperi domum, recipe. *Qui recipit prophetam*, inquit, *mercedem prophetæ recipiet.* Igitur qui & Christum suscipit, recipiet mercedem ejus qui Christum suscipit. (Ibid. 10, 41.) Ne discredas verbis illius, sed esto fidelis. Ipse dixit, per illos assumi. Et ne incredulus sis, etiam pœnas decernit his qui non suscipiunt, & honores his qui suscipiunt: quod nequaquam fecisset, nisi aut honore, aut contumelia affectus ipse esset. Suscepisti me, inquit, in tuum diversorium, accipiam te in regnum patris mei. Famem meam solvisti, solvam tibi peccata. B Vidisti me ligatum, videri te faciam solutum. Vidisti me peregrinum, faciam te civem cœlorum. Dedisti mihi panem, do tibi regnum integrum, ita ut hæres sis ac possideas. *Venite* enim, inquit, *in hæreditatem, possidete paratum vobis regnum.* Non dixit, accipite: sed *in hæreditatem possidete*, (Mat. 25, 34.) id quod in his qui proprie possederunt dicitur, sicut quando dicimus, hoc in hæreditatem possedi. Misericordiam fecisti C in me in occulto, ego prædicabo in manifesto. Et alia quidem tua dico, quod gratiæ sint: mea autem, quod debiti: nam quoniam tu, inquit, cœpisti, ego sequar, non erubesco confiteri beneficia in me collocata, neque à quibus me liberasti, fame, & nuditate, & errore. Vidisti me ligatum, non videbis ignem gehennæ, non videbis tormentorum loca, neque pœnas. O manus revera benedictæ, quæ talibus ministeriis serviunt, quę dignantur ministrare Christo. Pedes in carceres euntes propter D Christũ, facile contemnũt ignem. Non sentiunt vincula manus, quæ ligatũ illum viderunt. Induisti vestimentũ, & indueris veste salutari. Fuisti in carcere cum illo, & eris in regno cum illo. Hæc confiteris, non erubescens, sed videns quod invisisti: nesciebat Angelos hospitio excipiens Patriarcha, & hospitio excepit. (Gen. 18, 1.) Erubescamus obsecro, in meridie sedebat, existens in terra aliena, in qua neq; vestigium pedis habebat. Peregrinus erat, & peregrinos hospitio excipit peregrinus, civis enim erat cœlorum. Idcirco E neque cum super terram esset, peregrinus erat: nos magis quam ille peregrini sumus, qui non suscipimus peregrinos. Non habebat domum, & diversorium erat ei tabernaculum, & vide liberalitatem, vitulum mactavit, & fermentavit farinam. Audi & alacritatem, per seipsum & uxorem hoc facit. Considera etiam quod alienus est à fastu, adorat & obsecrat. Omnia enim illa habere oportet hospitio excipientem, alacritatem, festivitatem, liberalitatem. Hospitis anima erubescit & confunditur, A si non cum excellentia declaretur gaudium, abalienatur, & mox deterius fuerit quàm non esse susceptam, sic esse susceptam. Idcirco adorat, idcirco sermone suscipit, idcirco & cathedram ponit. Quis enim dubitarit, sciens quod hoc opus ei sit? An non in terra aliena sumus nos? sed si voluerimus, poterimus illum imitari. Quot hospites sunt fratrum? Est domicilium commune Ecclesia, quam hospitalem vocamus? Curiosius inquirite etiam vos, considete ad fores, venientes suscipi- B te, & si non in domus vestras volueritis, sed aliter ea quæ usibus serviunt porrigite. Quid enim Ecclesia non habet, inquit? habet, sed quid hoc ad vos? Num à communibus Ecclesiæ pecuniis pasci, hoc vobis prodesse poterit? nunquid si alius precetur, tu non debes precari? Quare non dicis: Ego quid precor? sed ego, inquit, do ei qui non potest venire illuc, da etiam illi. Quod enim quærimus, hoc est omnino dari. Audi quid inquit Paulus, ut viduis quæ revera viduæ sunt sufficiant, (1. Tim. 5, 16.) C & ne gravetur Ecclesia. Ut vis, fac, solum fac. Ego autem non dico, ne gravetur Ecclesia, sed ut tu non graveris. Ratione enim hac nihil operaris, omnia permittens ei, propter hoc commune domicilium ab Ecclesia segregatum, ne hæc dicas. Sed habet sumptus Ecclesia, inquit, opes, habet & reditus. Dic oro, sumptus non habet, reditus quotidianos non habet? Quid igitur cum non adjuveris minimo? Confundor quidem hæc dicens, sed non cogo. Si quis putat lucrum esse quæ di- D cuntur, faciat sibiipsi xenodochium in domo, statuat illic lectulum, statuat illic mensam ac lucernam. Quomodo enim non absurdum, si quidem milites venerint, ut habeant vobiscum ordinata domicilia, & multam faciant curam, & omnia suppeditentur eis, quoniam juvant vos in hoc sensibili bello, hospites autem non habent ubi maneant? Vince Ecclesiam. Vis nos rubore perfundi? hoc fac, sis excellentior liberalitate, habe domum in quam venit Christus. Dic: Hæc cellula Christi est, E domus ista ei segregata est, licet profundum sit ac vile, non despiciet. Nudus & peregrinus Christus obambulat solum tecto egens, & jam hoc suppedita ne crudelis sis ac inhumanus,

neque

neque in rebus secularibus ita vehemens sis, & in spiritualibus frigidus. Sit etiam inter ministros fidelior, cui hoc concreditum, cæcos, pauperes, & sine tecto introducat. Hæc dico ad confusionem, nam oportebat quidem sursum in domo illos recipi. Si autem non vis, licet infrà etiam ubi muli, etiam ubi ministri, accipe Christum. Fortassis horretis audientes. Quid igitur, quando neque hæc facitis? Ecce adhortor, ecce dico: Sit vobis hoc summo studio. An non vultis sic? igitur aliter facite. Sunt multi pauperes & multæ: segregate omnino, ut ibi maneat aliquis. Sit, licet, custos domus pauper. Sit tibi murulus & sepicula, scutum ac lancea: ubi eleemosyna, non audet accedere diabolus, neque aliud quiddam grave. Oro ne despiciamus tantum lucrum. Nunc autem vehiculo quidem locus est segregatus & curribus, Christo autem erranti nullus. Abraham ubi ipse manebat, ibi & hospites suscipiebat, & uxor ut ancilla stabat, illi autem ut Domini erant. Nesciebat quod Christum suscipiebat, nesciebat quod Angelos: quod siquidem scivisset, erogasset omnia. Nos autem quamvis scientes quod Christum suscipimus, haud tantum declaramus studium, quantum ille putans homines suscipi. At impostores multi sunt, inquit, & ingrati. Et hujus tibi major erit merces, quando propter nomen Christi suscipis. Nam siquidem scires esse impostores, non acciperes in domum. Si autem nescis, cujus simpliciter, accusas. Propter hoc dico, eant in xenodochium. Quæ autem defensio, si neque hos quos scimus suscipimus, sed occludimus omnibus fores? Sit Christi generale receptaculum domus nostra, exigamus ab illis mercedem, non argentum, sed ut faciant nobis receptaculum Christi domum: circumcursemus, undique trahamus, rapiamus feram, majora beneficia accepimus, quam damus. Non jubeo mactare vitulum, panem da esurienti. Ut autem ne hæc prætexas, sit domicilium commune, Ecclesia, illuc mittito, & tu suscipies. Quia etiam ille qui per ministros misit, habuit mercedem. Ita erant etiam eruditi Abrahæ, currebant, & non murmurabant, sicut nostri. Honestos enim ac pios illos cùm fecisset, ad bellum sumpsit, & non murmurarunt, adeo bene instituti erant: Omnium enim similiter curam gerebat, sicut sui

Job. 33 6. ipsius. Tantum non enim sicut Job dicebat, *Similiter formati sumus in eodem ventre.* Igitur & nos curemus nostram salutem, & magnam faciamus ministrorum curam, ut sint boni, & sint etiam minister vester edoctus ea quæ sunt Dei. Non erit posthac nobis virtus minus recta, si illos composuerimus, sicut in bello: cum milites sunt bene ordinati, dux facile pugnat. Contra autem fit, quando hoc non erit. Nautis enim simul idem volentibus gubernator facile gubernaculum manu regit: ita & hic, si sic fuerint eruditi ministri, non exacerbaberis facile, non objurgabis, non irasceris, non convicia proferes, & fieri potest, ut ministros reverearis, si sint admirabiles, & simul adjuvabunt, & laudabunt jucundè. Ab his omnibus omnia erunt quæ Deo placent: & sic omnis domus benedictione implebitur, & ea quæ Deo probantur facientes, magno superno præsidio adjuvabimur: quod contingat omnibus nobis assequi, gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac Spiritu sancto, gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA XLVI.

Sequenti autem die ingrediebatur Paulus nobiscum ad Jacobum, & omnes Presbyteri aderant, quibus salutatis narrabat per singula, quæ Deus fecisset inter gentes per ministerium suum.

HIc frater erat Domini, & Episcopus Hierosolymitanorum hoc tempus, vir magnus & mirabilis, ad hunc ingreditur Paulus, sicut & ante etiam ad illum mittebatur. Et quomodo audi. Sequenti autem die, inquit, *ingrediebatur Paulus nobiscum ad Jacobum.* Vide quàm alienus est à fastu: *omnésque Presbyteri aderant, quibus salutatis, narrabat per singula quæ fecisset Deus in gentibus per ministerium illius.* Iterum illis quæ apud gentes acta sunt, narrat: non vanæ gloriæ studio, absit, sed Dei volens misericordiam declarare, & multo illos implere gaudio. Vide igitur quomodo audientes etiam glorificarint Deum, non Paulum extulerunt, neque admirati sunt, sed Deum glorificarunt. Sic enim narravit, utpote Deo acceptum ferens. *At illi cum audissent, glorificabant Deum, dixeruntque ei: Vides frater quot sunt millia Judæorum qui crediderunt, & hi omnes zelotæ sunt legis. Edocti sunt de te, quod defectionem doceas à Mose,*

μηδὲ ἐν μὲν τοῖς βιωτικοῖς οὕτω σφοδρὸς ἔσο, ἐν δὲ τοῖς πνευματικοῖς ψυχρός. ἔστω καὶ τῶν οἰκετῶν ὁ πιστότερος οὗτος ἐγκεχειρισμένος, καὶ τοὺς ἀναπήρους, τοὺς πτωχούς, τοὺς ἀστέγους εἰσαγέτω. ταῦτα λέγω πρὸς ἐντροπήν. ἔδει μὲν γὰρ ἄνω ἐπὶ τῆς οἰκίας αὐτοὺς δέχεσθαι· εἰ δὲ μὴ βούλει, κἂν κάτω, κἂν ἔνθα αἱ ἡμίονοι, κἂν ἔνθα οἱ οἰκέται, δέξαι τὸν Χριστόν. τάχα φρίττετε ἀκούοντες. τί οὖν ὅταν μηδὲ ταῦτα ποιῆτε; ἰδοὺ παραινῶ, ἰδοὺ λέγω· ἔστω ὑμῖν τοῦτο περισπούδαστον. ἀλλ' οὐ βούλεσθε οὕτως; οὐκοῦν ἑτέρως ποιήσατε. εἰσὶ πολλοὶ πένητες καὶ πενιχραί· ἀφορίσατε δι' ὅλου μένειν ἐκεῖ τινα· ἔστω κἂν φύλαξ τῆς οἰκίας ὁ πένης· ἔστω σοι τειχίον καὶ περίφραγμα, ἀσπὶς καὶ δόρυ. ἔνθα ἐλεημοσύνη, οὐ τολμᾷ προσελθεῖν ὁ διάβολος, οὐδὲ ἄλλο τι τῶν δεινῶν. μὴ δὴ περιίδωμεν τοσοῦτον κέρδος. νῦν δὲ ὀχήματι μὲν τόπος ἐστὶν ἀφωρισμένος, καὶ βαστερνίοις ἕτερος· τῷ δὲ Χριστῷ πλανωμένῳ οὐδὲ εἷς. ὁ Ἀβραὰμ ἔνθα αὐτὸς ἔμενε τοὺς ξένους ὑπεδέχετο· καὶ ἡ μὲν γυνὴ ἐν τάξει θεραπαινίδος εἱστήκει, ἐκεῖνοι δὲ ἐν τάξει δεσποτῶν. οὐκ ᾔδει ὅτι τὸν Χριστὸν ἐδέχετο· οὐκ ᾔδει ὅτι ἀγγέλους· ὡς εἴγε ᾔδει, πάντα ἂν ἐκένωσεν. ἡμεῖς δὲ καίπερ εἰδότες ὅτι τὸν Χριστὸν δεχόμεθα, οὐδὲ τοσαύτην ἐπιδεικνύμεθα τὴν σπουδήν, ὅσην ἐκεῖνος ὁ νομίζων ἀνθρώπους δέχεσθαι. ἀλλ' ἐπιθέται εἰσί φησι πολλοὶ καὶ ἀγνώμονες. καὶ τούτου σοι μείζων ὁ μισθός, ὅταν διὰ τὸ ὄνομα τοῦ Χριστοῦ δέχῃ. εἰ μὲν γὰρ οἶδας ὄντας ἐπιθέτας, μὴ δέχου εἰς τὴν οἰκίαν· εἰ δὲ οὐκ οἶδας, τί ἁπλῶς κατηγορεῖς; διὰ τοῦτο λέγω εἰς τὸ ξενοδοχεῖον ἀπιέναι. ποία δὲ ἀπολογία, ὅταν μηδὲ οὓς ἴσμεν, μηδὲ τούτους δεχώμεθα, ἀλλ' ἀποκλείωμεν πᾶσι τὰς θύρας; ἔστω [τὸ] τοῦ Χριστοῦ πανδοχεῖον ἡμῶν ἡ οἰκία· ἀπαιτῶμεν αὐτοὺς τὸν μισθόν· μὴ ἀργύριον, ἀλλὰ τὸ ποιῆσαι ἡμῖν δοχεῖον τοῦ Χριστοῦ τὴν οἰκίαν. περιτρέχωμεν πανταχοῦ· ἕλκωμεν· ἁρπάζωμεν τὴν θήραν· μείζονα εὐεργετούμεθα ἢ εὐεργετοῦμεν. οὐ κελεύω καταθῦσαι μόσχον· ἄρτον δὸς πεινῶντι, ἱμάτιον γυμνῷ, σκέπην τῷ ξένῳ. ἵνα δὲ μὴ ταῦτα προφασίζῃ· ἔστιν οἴκημα κοινὸν τὸ τῆς ἐκκλησίας, ἐκεῖ κατάβαλε, καὶ σὺ ὑποδέξω. ἐπεὶ καὶ τὴν διὰ τῶν οἰκετῶν γινομένων, ἐκεῖνος εἶχε τὸν μισθόν. οὕτως ἦσαν πεπαιδευμένοι, καὶ οἱ παῖδες αὐτοῦ· ἔτρεχον καὶ οὐκ ἐγόγγυζον καθάπερ ἡμέτεροι. εὐλαβεῖς γὰρ αὐτοὺς ἦν πεποιηκώς. εἰς πόλεμον εἷλκε, καὶ οὐκ ἐγόγγυζον· οὕτως ἦσαν φιλόσοφοι. πάντων γὰρ ὁμοίως ἐπεμελεῖτο ὥσπερ ἑαυτοῦ. μονονουχὶ γὰρ κατὰ τὸν Ἰὼβ ἔλεγεν· ὅτι ὁμοίως ἐπλάσθημεν ἐν τῇ αὐτῇ γαστρί. τοίνυν καὶ ἡμεῖς φροντίζωμεν ἑαυτῶν τῆς σωτηρίας, καὶ πολλὴν ποιώμεθα τῶν οἰκετῶν τὴν ἐπιμέλειαν, ὅπως ἔσονται χρηστοὶ [καὶ ἐπιμελεῖς·] καὶ ἔστω καὶ ὁ οἰκέτης ἡμῶν πεπαιδευμένος τὰ τοῦ Θεοῦ. οὐκ ἔσται δύσκολος ἡμῖν ἡ ἀρετὴ λοιπόν, ἐὰν ἐκείνους ῥυθμίσωμεν. καθάπερ ἐν πολέμῳ στρατιωτῶν ὄντων εὐτάκτων, ὁ στρατηγὸς ῥᾳδίως πολεμεῖ, τοὐναντίον δὲ γίνεται ὅταν μὴ τοῦτο ᾖ. καὶ ναυτῶν δὲ ὁμονοούντων, ὁ κυβερνήτης εὐκόλως τοὺς οἴακας μεταχειρίζεται· οὕτω καὶ ἐνταῦθα, ἐὰν οὕτως ὦσι πεπαιδευμένοι οἱ οἰκέται, οὐ παροξυνθήσῃ ῥᾳδίως, οὐκ ἐγκαλέσεις, οὐκ ὀργισθήσῃ, οὐ λοιδορήσεις. ἔστιν ὅπου καὶ ἐντραπήσῃ τοὺς οἰκέτας, ἐὰν ὦσι θαυμαστοί, καὶ συναντιλήψονταί σοι, καὶ παραινέσουσι τὰ χρηστά. ἀπὸ δὲ τούτων πάντων, πάντα ἔσται τὰ τῷ Θεῷ δοκοῦντα, καὶ οὕτω πᾶσα ἡ οἰκία εὐλογίας πληρωθήσεται, καὶ τὰ τῷ Θεῷ ἀρέσκοντα διαπραττόμενοι, πολλῆς ἀπολαυσόμεθα τῆς ἄνωθεν συμμαχίας. ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ μϛ'.

Τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον, πάντες τε οἱ Πρεσβύτεροι παρεγένοντο· καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ.

ΟΥΤΟΣ ἀδελφὸς ἦν τοῦ Κυρίου καὶ Ἐπίσκοπος τῶν Ἱεροσολύμων, ἀνὴρ μέγας καὶ θαυμαστός. πρὸς τοῦτον εἰσέρχεται Παῦλος, ὥσπερ καὶ πρὸ τούτου, καὶ πρὸς αὐτὸν πέμπεται· καὶ ὅπως ἄκουε. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ, φησίν, εἰσῄει ὁ Παῦλος σὺν ἡμῖν πρὸς Ἰάκωβον. ὅρα τὸ ἄτυφον. πάντες τε παρεγένοντο οἱ πρεσβύτεροι, καὶ ἀσπασάμενος αὐτούς, ἐξηγεῖτο καθ' ἓν ἕκαστον ὧν ἐποίησεν ὁ Θεὸς ἐν τοῖς ἔθνεσι διὰ τῆς διακονίας αὐτοῦ. πάλιν αὐτοῖς τὰ τῶν ἐθνῶν διηγεῖται, οὐ κενοδοξῶν, μὴ γένοιτο· ἀλλὰ τοῦ Θεοῦ θέλων τὴν φιλανθρωπίαν ἐνδείξασθαι, καὶ πολλῆς αὐτοὺς ἐμπλῆσαι χαρᾶς. ὅρα γοῦν πῶς ἀκούσαντες, καὶ ἐδόξαζον τὸν Θεόν. οὐκ ἐκεῖνον ἐπῄρουν, οὐδὲ ἐθαύμαζον· ἀλλὰ τὸν Θεὸν ἐδόξαζον. οὕτω γὰρ διηγήσατο ὡς ἀνατιθέμενος αὐτῷ. οἱ δὲ ἀκούσαντες ἐδόξαζον τὸν Θεὸν εἰπόντες αὐτῷ· θεωρεῖς ἀδελφὲ πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι· κατηχήθησαν δὲ περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως,

τοὺς κατὰ

τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. ὅρα καὶ αὐτοὶ μεθ᾽ ὅσης ὑποστολῆς φασιν, οὐχ ὡς ἐπίσκοπος αὐθεντικῶς διαλέγεται, ἀλλ᾽ αὐτὸν παραλαμβάνουσι κοινωνὸν τῆς γνώμης· ὥσπερ ἂν εἰ εὐθέως καὶ ἀπὸ προοιμίων ἀπολογούμενοι ὅτι οὐκ ἐβουλόμεθα. ὁρᾷς τοῦ πράγματος τὴν ἀνάγκην; θεωρεῖς πόσαι, φησὶ, μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὐκ εἶπον, πόσας μυριάδας κατηχήσαμεν, ἀλλ᾽ εἰσὶ καὶ οὗτοι. φησὶ, πάντες ζηλωταὶ τοῦ νόμου ὑπάρχουσι. δύο αἰτίαι· καὶ τὸ πλῆθος, καὶ ἡ γνώμη. οὔτε γὰρ εἰ ὀλίγοι ἦσαν, καταφρονῆσαι ἐχρῆν. οὔτε εἰ πολλοὶ, καὶ μὴ πάντες τοῦ νόμου ἀντείχοντο, περὶ πολλοῦ ποιεῖσθαι. εἶτα καὶ τρίτη αἰτία. καὶ αὐτοὶ πάντες κατηχήθησαν, φησὶ, περὶ σοῦ, ὅτι ἀποστασίαν διδάσκεις ἀπὸ Μωσέως τοὺς κατὰ τὰ ἔθνη πάντας Ἰουδαίους, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. οὐκ εἶπον, ἤκουσαν ἀλλὰ κατηχήθησαν, τουτέστιν, ἐδιδάχθησαν καὶ ἐπίστευσαν, ὅτι ἀποστασίαν ἀπὸ Μωσέως διδάσκεις, λέγων μὴ περιτέμνειν αὐτοὺς τὰ τέκνα, μηδὲ τοῖς ἔθεσι περιπατεῖν. τοῦτο εἰπὼν, ἐπήγαγε· τί οὖν ἐστι; πάντως δεῖ πλῆθος συνελθεῖν. ἀκούσονται γὰρ ὅτι ἐλήλυθας. τοῦτο οὖν ποίησον ὅ σοι λέγομεν. ὡς συμβουλεύοντες ταῦτα λέγουσιν, οὐχ ὡς ἐπιτάττοντες. εἰσὶν ἡμῖν ἄνδρες τέσσαρες, εὐχὴν ἔχοντες ἐφ᾽ ἑαυτῶν. τούτους παραλαβὼν ἁγνίσθητι σὺν αὐτοῖς, καὶ δαπάνησον ἐπ᾽ αὐτοῖς, ἵνα ξυρήσωνται τὴν κεφαλὴν, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν, ἀλλὰ στοιχεῖς καὶ αὐτὸς φυλάσσων τὸν νόμον. ἔργῳ τὴν ἀπολογίαν ποιῆσαι αὐτὸν συμβουλεύουσιν, οὐ λόγῳ. ἵνα ξυρήσωνται, φησὶ, καὶ γνῶσι πάντες ὅτι ὧν κατήχηνται περὶ σοῦ, οὐδέν ἐστιν. οὐκ εἶπον, ὅτι διδάσκεις· ἀλλὰ κατήχηνται. πάλιν τὸ, ἐδιδάχθησαν διὰ τούτου δηλῶν, καὶ ὅτι στοιχεῖς· τουτέστιν, ἐκ περιουσίας καὶ αὐτὸς φυλάττεις. οὐ γὰρ δὴ τοῦτο μόνον ἦν τὸ ἀγωνιζόμενον, εἰ μὴ ἑτέρους διδάσκει, ἀλλ᾽ ὅτι καὶ αὐτὸς τηρεῖ. τί οὖν ἂν τὰ ἔθνη μάθωσιν· οὐ σκανδαλισθήσονται, φησί; πῶς; ὅπου καὶ ἡμεῖς οἱ τῶν Ἰουδαίων διδάσκαλοι ἐπέμψαμεν πρὸς αὐτούς· περὶ δὲ τῶν πεπιστευκότων ἐθνῶν, ἡμεῖς ἐπεστείλαμεν κρίναντες μηδὲν τοιοῦτον τηρεῖν αὐτοὺς, εἰ μὴ φυλάσσεσθαι αὐτοὺς τὸ εἰδωλόθυτον, καὶ τὸ αἷμα, καὶ τὸ πνικτὸν, καὶ πορνείαν. ἐνταῦθα ἐντρεπτικῶς. ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὥσπερ ἡμεῖς ἐκείνοις ἐπιτάξαμεν, καίτοι γε Ἰουδαίοις κηρύττοντες· οὕτω καὶ σὺ καίτοι ἔθνεσι κηρύττων, σύμπραξον ἡμῖν. ὅρα τὸν Παῦλον· οὐ λέγει, καὶ μὴν ἐδυνάμην Τιμόθεον παραγαγεῖν, ὃν περιέτεμον· καὶ μὴν ἐδυνάμην πεῖσαι τῷ λόγῳ· ἀλλ᾽ ἐπείσθη αὐτοῖς, καὶ πάντα ἐποίησε. καὶ γὰρ οὕτω συνέφερεν. οὐ γὰρ ἦν ἴσον εἰς ἀπολογίαν καταστῆναι, καὶ οὐδενὸς εἰδότος ποιῆσαι ταῦτα. ἀνύποπτον ἦν τὸ καὶ δαπανῆσαι. τότε παραλαβὼν ὁ Παῦλος τοὺς ἄνδρας, τῇ ἐχομένῃ ἡμέρᾳ σὺν αὐτοῖς ἁγνισθεὶς εἰσῄει εἰς τὸ ἱερὸν, διαγγέλλων τὴν ἐκπλήρωσιν τῶν ἡμερῶν τοῦ ἁγνισμοῦ, ἕως οὗ προσηνέχθη ὑπὲρ ἑνὸς ἑκάστου αὐτῶν ἡ προσφορά. διαγγέλλων· τουτέστι, καταγγέλλων· ὥστε αὐτὸς ἦν ὁ δῆλον ἑαυτὸν ποιῶν. ὡς δὲ ἔμελλον αἱ ἑπτὰ ἡμέραι συντελεῖσθαι· ὅρα πῶς μάλιστα δὴ αὐτοῖς ἐγχρονίζει· οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι, θεασάμενοι αὐτὸν ἐν τῷ ἱερῷ, συνέχεον πάντα τὸν ὄχλον, καὶ ἐπέβαλον ἐπ᾽ αὐτὸν τὰς χεῖρας κράζοντες· ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε. οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ, καὶ τοῦ νόμου, καὶ τοῦ τόπου τούτου πάντας πανταχῇ διδάσκων, ἔτι τε καὶ Ἕλληνας εἰσήγαγεν εἰς τὸ ἱερὸν, καὶ κεκοίνωκε τὸν ἅγιον τόπον τοῦτον. ὅρα τὸ ἦθος αὐτῶν πανταχοῦ θορυβῶδες, καὶ ἁπλῶς βοώντων ἐν τῷ μέσῳ. ἦσαν γὰρ ἑωρακότες Τρόφιμον τὸν Ἐφέσιον ἐν τῇ πόλει σὺν αὐτῷ, ὃν ἐνόμιζον ὅτι εἰς τὸ ἱερὸν εἰσήγαγεν ὁ Παῦλος. ἐκινήθη τε ἡ πόλις ὅλη, καὶ ἐγένετο συνδρομὴ τοῦ λαοῦ, καὶ ἐπιλαβόμενοι τοῦ Παύλου, εἷλκον αὐτὸν ἔξω τοῦ ἱεροῦ· καὶ εὐθέως ἐκλείσθησαν αἱ θύραι. ἄνδρες Ἰσραηλῖται, βοηθεῖτε, φησίν, οὗτός ἐστιν ὁ ἄνθρωπος ὁ κατὰ τοῦ λαοῦ καὶ τοῦ νόμου, καὶ τοῦ τόπου τούτου. ἃ μάλιστα αὐτοὺς ἐθορύβει ὁ ναὸς καὶ ὁ νόμος, ταῦτα προφέρουσιν ἐκεῖνοι· καὶ οὐδὲν ἐνεκάλεσε τοῖς Ἀποστόλοις ὁ Παῦλος παθὼν καίτοι τοσαῦτα, ὅτι αὐτοὶ αἴτιοι τούτων γεγόνασιν αὐτῷ· οὕτως ἦν μεγαλόψυχος. καὶ εἷλκον αὐτὸν, φησὶν, ἔξω τοῦ ἱεροῦ. καὶ ἐκλείσθησαν αἱ θύραι. ἐβούλοντο γὰρ αὐτὸν ἀνελεῖν. καὶ διὰ τοῦτο ἔξω εἷλκον, ὥστε μετὰ πλείονος ἀδείας τοῦτο ποιῆσαι. ζητούντων δὲ αὐτὸν ἀποκτεῖναι, ἀνέβη φάσις τῷ χιλιάρχῳ τῆς σπείρας, ὅτι ὅλη συγκέχυται Ἱερουσαλήμ· ὃς ἐξ αὐτῆς παραλαβὼν στρατιώτας καὶ ἑκατοντάρχους, κατέδραμεν ἐπ᾽ αὐτούς. οἱ δὲ ἰδόντες τὸν χιλίαρχον καὶ τοὺς στρατιώτας, ἐπαύσαντο τύπτοντες τὸν Παῦλον. τότε ἐγγίσας ὁ χιλίαρχος, ἐπελάβετο αὐτοῦ, καὶ ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί. καὶ ἐπυνθάνετο τίς ἂν εἴη, καὶ τί ἐστι πεποιηκώς. ἄλλοι δὲ ἄλλα ἐβόων ἐν τῷ ὄχλῳ. καὶ τίνος ἕνεκεν μᾶλλον αὐτὸν ἐξετάζειν, ἐκέλευσε δεθῆναι ἁλύσεσι δυσί; παραμυθούμενος τὸν θυμὸν τοῦ δήμου. μὴ δυνάμενος δὲ γνῶναι τὸ ἀσφαλὲς διὰ τὸν θόρυβον, ἐκέλευσεν ἄγεσθαι αὐτὸν εἰς τὴν παρεμβολήν. ὅτε δὲ ἐγένετο ἐπὶ τοὺς ἀναβαθμοὺς, συνέβη βαστάζεσθαι αὐτὸν ὑπὸ τῶν στρατιωτῶν διὰ τὴν βίαν τοῦ ὄχλου. ἠκολούθει γὰρ τὸ πλῆθος τοῦ λαοῦ κράζον, αἶρε αὐτόν.

A *omnes qui inter gentes sunt Judæos, dicens non debere eos circumcidere filios, neq; his ritibus incedere.* Vides & illi cum quanta submissione loquuntur: non quia Episcopus cum magna authoritate loquitur, sed illum in Concilii socium assumunt, quasi statim & ab initio rationem reddentes: Te tenuentem non vellemus, sed vides negotii necessitates. *Vides*, inquit, *quot sunt millia Judæorum qui crediderunt?* Et non dixerunt: Quot millia à nobis edocta sunt. Nec dicit: Audivimus esse: sed *sunt*. B *Et hi omnes*, inquit, *zelotæ sunt legis*, hoc est, studiosi sectatores. Duæ causæ sunt: Et multitudo, & propositum. Neque enim si pauci fuissent, contemnendi erant: neque si multi, & non omnes legem amplexi essent, multitudo erat curanda valde. Accedit & tertia causa: *Edocti sunt*, inquit, *de te, quod defectionem doceat à Moyse, omnes qui inter gentes sunt Judæos, dicens non debere eos circumcidere filios, neq; his ritibus incidere.* Non dixit, audierunt, sed κατηχήθησαν, C hoc est, edocti sunt: & crediderunt quod defectionem à Mose doceas, dicens non debere eos circumcidere filios, neque his ritibus incedere. Postquam hæc dixit, subdidit: *Quid igitur est? Omnino congreganda est multitudo: audient enim quod venisti: hoc igitur fac, quod tibi dicimus.* Quasi simul consulentes hæc dicunt, non quasi imperantes. *Sunt nobis viri quatuor votum habentes super se. His assumptis purifica te cum illis, & impende super illis ut radantur caput, &* D *sciant omnes quod quæ edocti sunt de te, nihil sunt: sed ambulas & ipse custodiens legem.* Consulunt ut re ipsa & opere, non sermone defensionem afferat. *Ut radantur*, inquit, *caput, & sciant omnes quod quæ de te edocti sunt, nihil sint.* Non dixerunt quod doces: sed iterum κατηχήθησαν, id est, edocti sunt: per hoc manifestans & quod incedis, hoc est, ex abundantia etiam ipse custodis. Non enim hoc solum fuerit, quod quæritur, si non alios doceat, sed etiam an ipse servet. Quid igitur? gen-E tes si cognoverint, nunquid offendentur? sed quomodo, ubi & nos qui Judæorum doctores misimus ad illos. *De his autem qui crediderunt ex gentibus, nos scripsimus, decernentes, ne quid hujusmodi observent illi, nisi ut caveant ipsi ab his quæ sunt immolata simulachris, & à sanguine, & à suffocato, & stupro.* Hic reverenter loquitur. Vult autem sic dicere: Quemadmodum nos illis imperabamus, tametsi Judæis prædicantes, ea tu quamvis gentibus prædicans coopetare nobiscum. Vide Pau-A lum: Non dicit: Possum utique & Timotheum adducere quem circumcidi. & possum hoc persuadere sermonibus, sed obtemperavit eis, & omnia fecit; Sic enim conducibile erat. Non enim idem erat rationem verbis reddere, & nullo conscio hæc facere. Suspicione carebat etiam *impendi. Tunc Paulus assumptis viris, & sequenti die cum illis purificatus, ingrediebatur in templum, denuncians expletionem dierum purificationis, donec offerretur pro unoquoq; eorum oblatio.* Διαγγέλλων, hoc est, denuncians; B & ita ipse seipsum manifestum facit. *Dum autem septem dies jam essent implendi.* Vide quomodo potissimum in illis moratur. *Hi qui ab Asia erant Judæi, cum vidissent eum in templo, conturbarunt totum populum, & injecerunt in illum manus, clamantes: Viri Israelitæ succurrite. Hic est ille homo qui adversus populum & legem, & locum hunc, omnes ubiq; docet. Insuper Græcos induxit in templum, & prophanavit sanctum locum hunc.* Vide mores illorum ubique turbulentos, etiam in medio temerè C clamantes. *Erant enim qui viderant Trophimum Ephesium in civitate cum illo, quem existimarunt quod in templum introduxisset Paulus. Commotaq; est civitas tota, & factus est concursus populi. Et apprehensum Paulum extraxerunt ex templo, & statim clausæ sunt fores. Viri Israelitæ, succurrite*, inquit, *hic est homo qui stat contra populum & legem & locum hunc.* Ea proferunt illi, quæ maximè eos turbabant, nempe *legem & templum.* Paulus autem quamvis tanta passus, non reprehendit eos, quod D ipsi essent horum causa: Adeò erat magnanimus. *Traxerunt illum*, inquit, *extra templum, & statim clausæ sunt fores.* Volebant enim illum occidere, & propterea extrahebant, quò cum majore audacia hæc faciant. *Quærentibus autem illis occidere eum, ascendit rumor ad tribunum cohortis, quòd tota Hierusalem conturbata esset, qui ex illa assumptis militibus ac centurionibus decurrit ad illos. At illi quum vidissent tribunum ac milites, cessaverunt percutere Paulum. Tunc accedens tribunus ap-*E *prehendit eum, & jussit ligari duabus catenis, & interrogabat, quisnam esset, & quid fecisset. Alii autem alia clamabant in turba.* Et quare interrogaturus illum jussit catenis ligari? Volebat populi furorem mitigare. *Et quum non posset certum cognoscere præ tumultu, jussit duci eum in castra. Et quum venisset ad gradus, contigit ut portaretur à militibus, propter violentiam turbæ. Sequebatur enim multitudo populi, clamans: Tolle eum.*

Quid est: *Tolle illum?* Mos erat Judæis contra condemnatos sic loqui, ac dicere: *Tolle illum*: hoc est, ne finas illum videri ultrà inter homines; sicut de Christo dicebant. Sunt quidam qui volunt: *Tolle illum*, idem esse cum eo quod nos juxta Romanam consuetudinem: Immitte illum in signa. *At Paulus in castra inducendus dicit tribuno: Num licet mihi dicere ad te?* Quum gestaretur in gradibus, petit quiddam loqui tribuno, & vide quam modestè. *Num licet mihi loqui ad te?* inquit. *At ille dicit: Nosti Græcè? Nonne tu es ille Ægyptius, qui ante hos dies concitasti seditionem, & eduxisti in solitudinem quatuor millia sicariorum?* Hic Ægyptius vir quidam erat qui nuper prodierat, & seditiosus. Sanè ad hoc rationem reddit Paulus, tollitque dictis suis suspicionem ejus. Sed videamus iterum quæ lecta sunt: *Sunt nobis viri*, inquit, *quatuor, votum habentes super se, his assumptis purifica te cum eis.* Hic Paulus non obnititur, sed obtemperat: unde manifestum, quod non necessariò hoc erat faciendum, ideo & persuadent ei, sed quia per dispensationem & attemperationem morum, non fuit ad remoramentum prædicationis, ubi scilicet etiam ipsi ejusmodi legem illis tulerant. Hoc igitur cum dispensatione quadam etiam ipse Petro objicit. Nam quod hic ipse facit, hoc illic Petrus, tacens & statuens suum dogma. Et non dixerunt, quod non oporteat eos qui inter gentes docere: neque sufficiat quod non prædicetur illic, sed etiam aliquid amplius est faciendum, *ut credant illi, quod servus legem.* Res ad morum attemperantiam geritur, ne terreatis. Vide, non prius persuadent illi, donec dispensatio primum dicatur & luctum. Et quia to Hierusalem hoc faciendum, tolerabile. Fac igitur hoc hic, ut illud extra civitatem tibi facere liceat. *Tunc Paulus assumptis viris*, inquit, *sequenti die.* Non distulit, sed opere monstrans, se persuasum, assumit eos cum quibus erat purificandus. Itaque res hæc magni fervoris erat. Et quomodo, inquit, *Judæi qui in Asia viderunt illum in templo.* Verisimile est quod illi aliquot diebus ibi versati fuerint. Vide item, quomodo hoc singulari ratione contigit. Nam postquam Judæis persuasit, tunc aggrediuntur. Meritò, & ne illi simul aggrediantur. *Adjuvate*, inquit, *viri Israelitæ.* Quasi incidisset in manus ipsorum incomprehensibilis, & quem venatione sua allequi non possent, clamant: *Succurrite. Hic omnes ubique docet:* Non hic solùm, inquit, sed *ubique.* Subditur etiam major accusatio à præsentibus. *Ad hæc etiam*, inquit, *prophanavit templum, inductis viris Græcis.* Quin & ubi de Christo agitur, leguntur ascendisse adoraturi. Sed hi dicunt, eos qui nolebant adorare. *Et apprehensum Paulum traxerunt foris.* Jam enim neque leges, neque tribunalia verebantur. Ita per omnia apparent illi audaces, & impudentes. Ille autem tunc quidem non reddidit rationem, posteà verò. Meritò: Tunc enim non audissent eum. Timebant ne effugeret. At vide quanta cum submissione tribuno loquitur Paulus. Quid enim dicit? *Num licet mihi loqui aliquid ad te?* Adeò humilis erat, ut ubique modestè agere sciret. *Nonne tu es Ægyptius ille?* Vide malignitatem diaboli. Impostor erat & magnus ille Ægyptius, & attentabat per hoc adumbrare, & suorum criminum socios facere Christum & Apostolum, sed non potuit. Attamen adhuc fulgidior facta est veritas, nihil à diaboli machinationibus offensa: sed magis illustrata. Nam siquidem non fuissent malefici, deinde hi vicissent, forsan suspicio fuisset. Quando autem & illi apparuerunt, & hi vincunt, nimirum res est mirabilis. Idcirco & manifestari non prohibentur, ut & sic magis fulgeant. Tale quiddam etiam erat quod Gamaliel dicebat: *Ante hos dies surrexit Theudas.* (Supr. 5,36.) Hos verò *Sicarios*, vocant quosdam à gladiis reconditis quos gestant. Sicæ enim id genus gladiorum à Romanis dicuntur. Alii putant esse unam ex sectis Hebræorum. Tres enim sectæ illis erant, Pharisæi, Sadducæi, & Esseni, qui etiam Hosii, id est, sancti dicuntur. Hoc enim vult nomen Essenorum à vitæ honestate. Illi ipsi & *Sicarii* dicti, eo quod essent zelotæ. Ne igitur doleamus quod sectæ sint, & pseudochristi etiam Christo insidiari voluerunt ante hoc, & post hoc ut veritatem adumbrent, sed illa magis fulget, manifestáque est ubique. Hoc & sub Prophetis fuit, fuerunt pseudoprophetæ, & ex comparatione magis claruerunt. Etenim morbus sanitatem manifestam facit, & tenebræ lucem, & tempestas tranquillitatem. Non possunt dicere Græci, quod Prophetæ & Apostoli impostores ac magi fuerint. Illi enim redarguti sunt. Hoc & Mosi accidit. Permisit Deus aliquid Magis, ne magus putaretur esse Moses: permisit illos docere omnes quantum magia imponit sensibus: ultrà autem non deceperunt,

τί ἐστιν, αἶρε αὐτόν; ἔθος ἦν Ἰουδαίοις, καθ' ὧν ἂν ἀπεφαίνοντο τοῦτο λέγειν, ὡς καὶ ἐπὶ τοῦ Χριστοῦ τὸ αὐτὸ φαίνονται ποιοῦντες καὶ λέγοντες, ἆρον αὐτόν· τουτέστιν, ἐκ τῶν ζώντων ποίησον ἀφανῆ. τινὲς δὲ ὅ παρ' ἡμῖν λέγουσι κατὰ τὴν Ῥωμαϊκὴν συνήθειαν, ἐν τοῖς σίγνοις αὐτὸν ἔμβαλε, τοῦτο εἶναι τὸ αἶρε αὐτόν. μέλλων δὲ εἰς τὴν παρεμβολὴν εἰσάγεσθαι ὁ Παῦλος, λέγει τῷ χιλιάρχῳ, εἰ ἔξεστί μοι εἰπεῖν πρός σε; ἐπὶ τοὺς ἀναβαθμοὺς φερόμενος, ἀξιοῖ πρὸς τὸν χιλίαρχον εἰπεῖν τι. καὶ ὅρα πῶς ἐπιεικῶς· εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; φησίν. ὁ δὲ ἔφη· Ἑλληνιστὶ γινώσκεις; οὐκ ἄρα σὺ εἶ ὁ Αἰγύπτιος, ὁ πρὸ τούτων τῶν ἡμερῶν ἀναστατώσας, καὶ ἐξαγαγὼν εἰς τὴν ἔρημον τοὺς τετρακισχιλίους ἄνδρας τῶν σικαρίων; οὗτος ὁ Αἰγύπτιος ἄνθρωπός τις νεωτεροποιὸς γέγονε καὶ στασιαστής. πρὸς δὴ τοῦτο ἀπολογεῖται ὁ Παῦλος, καὶ δι' ὧν εἶπεν, ἀπάγει τῆς ὑποψίας αὐτόν. ἴδωμεν δὲ ἄνωθεν τὰ ἀναγνωσμένα. εἰσὶν ἡμῖν ἄνδρες, φησὶ, τέσσαρες εὐχὴν ἔχοντες ἐφ' ἑαυτῶν, τούτους παραλαβὼν, ἁγνίσθητι αὐτοῖς. πρὸς δὴ τοῦτο οὐκ ἀντιπίπτει ὁ Παῦλος, ἀλλὰ πείθεται. ὅθεν δῆλον, ὅτι οὐ προηγουμένως ἔδει τοῦτο ποιεῖν· διὸ καὶ πείθουσιν αὐτόν· ἀλλ' ὅτι οἰκονομία τὸ πρᾶγμα καὶ συγκατάβασις ἦν. οὐκ ἄρα ἐγκοπὴ τοῦ κηρύγματος τοῦτο ἦν, ὅπου γε καὶ αὐτοὶ ἐνομοθέτησαν ἐκείνοις τὰ τοιαῦτα. τοῦτο τοίνυν οἰκονομῶν καὶ αὐτὸς Πέτρῳ ἐγκαλεῖ ὕστερον· καὶ οὐχ ἁπλῶς αὐτὸ ποιεῖ. ὅπερ γὰρ ἐνταῦθα ἐποίησεν αὐτὸς, τοῦτο Πέτρος ἐκεῖ, σιγῶν καὶ ἱστῶν αὐτοῦ τὸ δόγμα. καὶ οὐκ εἶπον, ὅτι οὐ χρὴ τοὺς κατὰ τὰ ἔθνη διδάσκειν, οὐδὲ ἀρκεῖ τὸ μὴ κηρύξαι ἐκεῖ. ἀλλὰ δεῖ καὶ πλέον τι ποιῆσαι, ἵνα πιστεύσωσιν ἐκεῖνοι ὅτι φυλάττεις τὸν νόμον. συγκατάβασις τὸ πρᾶγμά ἐστι, μηδὲν φοβηθῇς. καὶ ὅρα, οὐ πρότερον πείθουσιν αὐτὸν, ἕως οὗ εἰπεῖν τὴν οἰκονομίαν πρῶτον καὶ τὸ κέρδος. καὶ τὸ ἐν Ἱεροσολύμοις δὲ τοῦτο ποιεῖν, φορητόν. ποίησον τοίνυν τοῦτο ἐνταῦθα, ἵνα ἐξῇ σοι ἔξω ποιεῖν ἐκεῖνο. τότε παραλαβὼν, φησὶν ὁ Παῦλος τοὺς ἄνδρας τῇ ἐχομένῃ ἡμέρᾳ· οὐκ ἀνεβάλετο, ἀλλ' ἔργῳ δεικνὺς τὴν πειθὼ, παραλαμβάνει, μεθ' ὧν ἔμελλεν ἁγνίζεσθαι. τοιοῦτόν τι ἐστὶ θερμὸν ἡ οἰκονομία. καὶ πῶς, φησὶν, οἱ ἀπὸ τῆς Ἀσίας Ἰουδαῖοι εἶδον αὐτὸν ἐν τῷ ἱερῷ; εἰκὸς ἦν αὐτοὺς ἡμέρας τινὰς ἐκεῖ διατρίβειν. ὅρα δὲ πῶς καὶ οἰκονομία τὸ γινόμενον ἦν. μετὰ γὰρ τὸ πεισθῆναι τοὺς Ἰουδαίους, τότε ἐπιτίθενται, εἰκότως, ἵνα μὴ κατέχοντες συνεπιθῶνται. βοηθεῖτε, φησὶν, ἄνδρες Ἰσραηλῖται. ὡς τινος δυσθηράτου καὶ δυσχειρώτου τῶν ἐκείνων ἐμπεσόντος χερσί. βοηθεῖτε λέγουσι. πάντας πανταχοῦ οὗτός ἐστιν ὁ διδάσκων. οὐκ ἐνταῦθα μόνον, φησὶν, ἀλλὰ πανταχοῦ. εἶτα καὶ ἡ κατηγορία μείζων ἀπὸ τῶν παρόντων. ἔτι δὲ, φησὶ, καὶ κεκοίνωκε τὸ ἱερὸν, ἄνδρας Ἕλληνας εἰσαγαγών. καὶ μὴν καὶ ἐπὶ τοῦ Χριστοῦ ἀνέβησαν προσκυνήσοντες· ἀλλὰ τοὺς οὐκ ἀεὶ βουλομένους προσκυνῆσαι οὗτοι λέγουσι. καὶ ἐπιλαβόμενοι τοῦ Παύλου φησὶν, εἷλκον αὐτὸν ἔξω. σκόπει· ἀπὸ τοῦ ἱεροῦ ἐκβάλλουσιν αὐτόν. οὐκέτι γὰρ νόμων ἐδέοντο, οὐδὲ δικαστηρίων· διὸ καὶ ἔτυπτον αὐτόν. οὕτω διὰ πάντων φαίνονται θρασεῖς ὄντες καὶ ἰταμοί. ὁ δὲ τότε μὲν οὐκ ἀπελογήσατο· ὕστερον δὲ, εἰκότως. τότε γὰρ οὐδ' ἂν ἤκουσαν. καὶ τί δήποτε ἔκραζον, αἶρε αὐτόν; ἐφοβοῦντο μὴ διαφύγῃ. ἀλλ' ὅρα μεθ' ὅσης ὑποστολῆς διαλέγεται ὁ Παῦλος τῷ χιλιάρχῳ. τί γάρ, φησίν; εἰ ἔξεστί μοι εἰπεῖν τι πρός σε; τοσοῦτον ἦν ταπεινὸς, ὅτι καὶ μετριάζειν ᾔδει πανταχοῦ. οὐκ ἄρα σὺ εἶ, φησὶν, ὁ Αἰγύπτιος; ὅρα κακουργίαν διαβόλου. ἀπατεὼν ἦν ἐκεῖνος καὶ γόης ὁ Αἰγύπτιος, καὶ προσεδόκησε συσκιάζειν διὰ τούτου, καὶ κοινωνοὺς ποιεῖν τῶν ἐκείνου προσηκόντων ἐγκλημάτων, καὶ τὸν Χριστὸν, καὶ τοὺς Ἀποστόλους. ἀλλ' οὐδὲν ἴσχυσεν. ἀλλ' ὅμως ἔτι λαμπροτέρα γέγονεν ἡ ἀλήθεια, οὐδὲν παραβλαβεῖσα τοῖς τοῦ διαβόλου μηχανήμασιν, ἀλλὰ καὶ μᾶλλον λάμψασα. εἰ μὲν γὰρ μὴ ἦσαν γόητες, εἶτα οὗτοι ἐκράτησαν, τάχα ἄν τις ὑπελάβετο. ὅτε δὲ καὶ ἐκεῖνοι ἐφάνησαν, καὶ οὗτοι κρατοῦσι, τοῦτό ἐστι τὸ θαυμαστόν. διὸ καὶ φανῆναι οὐ κωλύονται, ἵνα καὶ οὕτω μᾶλλον λάμψωσιν. ὥσπερ οὗτος καὶ ἀλλαχοῦ λέγει, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. τοιοῦτος ἦν ὁ καὶ Γαμαλιὴλ ἔλεγε· ὅτι πρὸ τούτων τῶν ἡμερῶν ἀνέστη Θευδᾶς. τοὺς δὲ σικαρίους, οἱ μὲν γένος τι λῃστῶν φασιν αὐτοὺς εἶναι, οὕτω καλουμένους, ἀφ' ὧν ἐπεφέροντο ξιφῶν, σικῶν λεγομένων παρὰ Ῥωμαίοις· οἱ δὲ τῆς μιᾶς αἱρέσεως τῆς παρ' Ἑβραίοις. τρεῖς γάρ εἰσι παρ' αὐτοῖς αἱρέσεις αἱ γενικαί· Φαρισαῖοι, Σαδδουκαῖοι, καὶ Ἐσσαῖοι οἱ καὶ Ὅσιοι λέγονται· τοῦτο γάρ ἐστι τὸ Ἐσσαίων ὄνομα διὰ τὸ τοῦ βίου σεμνόν. οἱ αὐτοὶ δὲ καὶ Σικάριοι διὰ τὸ εἶναι ζηλωταί. μὴ τοίνυν ἀλγῶμεν, ὅτι αἱρέσεις εἰσὶν, ὅπου καὶ ψευδόχριστοι, καὶ τῷ Χριστῷ ἐπιθέσθαι ἠθέλησαν καὶ περὶ τούτου, καὶ μετὰ τοῦτο, ὥστε συσκιάσαι· ἀλλ' ἡ ἀλήθεια λάμπει καὶ διάδηλός ἐστι πανταχοῦ. τοῦτο καὶ ἐπὶ τῶν προφητῶν γέγονε. γεγόνασι ψευδοπροφῆται, καὶ ἀπὸ συγκρίσεως μᾶλλον ἐλάμψαν. καὶ γὰρ ἡ νόσος τὴν ὑγείαν φανερὰν δείκνυσι καὶ τὸ σκότος τὸ φῶς, καὶ ὁ χειμὼν τὴν γαλήνην. οὐκ ἔχουσιν εἰπεῖν οἱ Ἕλληνες ὅτι πλάνοι καὶ γόητες ἦσαν. ἐκεῖνοι γὰρ ἠλέγχθησαν. τοῦτο καὶ ἐπὶ Μωυσέως γέγονε. συνεχώρησεν ὁ Θεὸς τοῖς μάγοις, ἵνα μὴ μάγος ὑποληφθῇ Μωυσῆς· συνεχώρησεν αὐτοὺς διδάξαι πάντας μέχρι πόσου μαγεία φαντάσαι δύναται· περαιτέρω δὲ οὐκ ἠπάτησαν,

ἀλλ'

ἀλλ' αὐτοὶ τὴν ἧτταν ὡμολόγησαν. οὐδὲν ἡμᾶς βλάπτουσιν οἱ ἐπιθέται· μᾶλλον δὲ καὶ ποιοῦσι βελτίους, ἄν τις θέλῃ προσέχειν τὸν νοῦν. τί οὖν, φησὶν, ὅταν κοινωνῶμεν αὐτοῖς τῆς δόξης; οὐ παρ' ἡμᾶς, ἀλλὰ παρὰ τοὺς οὐκ ἔχοντας κρίσιν; μὴ σφόδρα μελέτω τῆς δόξης ἡμῖν τῆς τῶν πολλῶν, μηδὲ πέρα τοῦ δέοντος αὐτῆς φροντίζωμεν. Θεῷ ζῶμεν, οὐκ ἀνθρώποις· ἐν οὐρανῷ πολιτευόμεθα, οὐκ ἐπὶ τῆς γῆς· ἐκεῖ τὰ βραβεῖα καὶ τὰ ἔπαθλα κεῖται τῶν ἡμετέρων πόνων· ἐκεῖθεν προσδοκῶμεν τοὺς ἐπαίνους· ἐκεῖθεν τοὺς στεφάνους. μέχρι τούτου φροντίζωμεν τῶν ἀνθρώπων, μέχρι τοῦ μὴ διδόναι καὶ παρέχειν αὐτοῖς λαβήν. ἂν δὲ ἡμῶν μὴ παρεχόντων ἐκεῖνοι θέλωσιν ἁπλῶς, καὶ εἰκῇ κατηγορεῖν, γελῶμεν, δακρύωμεν. σὺ προνόει καλὰ ἐνώπιον Κυρίου καὶ ἀνθρώπων. ἂν σοῦ προνοοῦντος καλὰ ἐκεῖνος σκώπτῃ, μηκέτι φρόντιζε. ἔχεις τὰ ὑποδείγματα ἐν ταῖς γραφαῖς. ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν, φησί; καὶ πάλιν, ἀνθρώπους πείθομεν, Θεῷ δὲ πεφανερώμεθα. καὶ ὁ Χριστὸς οὕτως ἐπὶ τῶν σκανδαλιζομένων ἔλεγεν· ἄφες αὐτούς, ὁδηγοί εἰσι τυφλοὶ τυφλῶν. καὶ πάλιν· λαμψάτω τὰ ἔργα ὑμῶν ὅπως ἴδωσιν οἱ ἄνθρωποι, καὶ δοξάσωσι τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. εἰ δὲ ἀλλαχοῦ λέγει· ὃς ἐὰν σκανδαλίσῃ ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ ἵνα κρεμασθῇ μύλος ὀνικὸς περὶ τὸν τράχηλον αὐτοῦ, καὶ καταποντισθῇ ἐν τῷ πελάγει τῆς θαλάσσης, μὴ θαυμάσῃς. οὐ γάρ ἐστι ταῦτα ἐναντία, ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. ὅταν μὲν γὰρ παρ' ἡμᾶς γίνηται, οὐαὶ ἡμῖν· ὅταν δὲ μὴ παρ' ἡμᾶς, οὐκέτι. καὶ πάλιν· οὐαὶ ὑμῖν δι' οὓς τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται. τί οὖν; ἂν ἐγὼ μὲν ποιῶ τι τῶν δεόντων· ἕτερος δὲ βλασφημῇ; οὐδὲν πρὸς σέ, ἀλλὰ πρὸς ἐκεῖνον· δι' ἐκεῖνον γὰρ ἐβλασφημήθη. καὶ πῶς ἔνι πρᾶξαί τι τῶν δεόντων, καὶ δοῦναι τοῖς ἄλλοις λαβήν; πόθεν βούλεσθε; ἀπὸ τῶν νῦν ὄντων, ἢ ἀπὸ τῶν παλαιῶν τὰ παραδείγματα ὑμῖν ἀγάγω; ἵνα μὴ ψοφοδεεῖς ὦμεν· βούλεσθε αὐτὸ δὴ τοῦτο τὸ νῦν μετὰ χεῖρας εἴπωμεν; Ἰουδάϊζεν ὁ Παῦλος ἐν Ἱεροσολύμοις· ἀλλ' ἐν Ἀντιοχείᾳ οὐκ ἔτι. Ἰουδάϊζε καὶ ἐσκανδάλιζοντο, ἀλλ' οὐ δικαίως ἐσκανδαλίζοντο ἐκεῖνοι. λέγεται Νέρωνος καὶ οἰνοχόον, καὶ παλλακίδα ἀσπάσασθαι· πόσα οἴεσθε κατ' αὐτοῦ εἰρηκέναι αὐτοὺς διὰ τοῦτο; ἀλλ' οὐ δικαίως. εἰ μὲν γὰρ ἐπὶ ἀσελγείᾳ ἠσπάσατο, ἢ ἐπὶ πονηροῖς πράγμασιν, εἰκότως· εἰ δὲ ἐπὶ βίῳ ὀρθῷ, τίνος ἕνεκεν; εἴπω τι καὶ τῶν ἐμοὶ συνήθων συμβάν. ἐπέπεσεν ὀργή ποτε τοῦ Θεοῦ, καὶ σφόδρα νέος ὢν ἐκεῖνος, καὶ ἐν τῇ τῶν διακόνων τάξει τυγχάνων, ἐπεὶ τότε ὁ ἐπίσκοπος ἔτυχεν ἀπὼν κατ' ἐκεῖνον τὸν καιρόν, καὶ τῶν πρεσβυτέρων οὐδεὶς ἐφρόντιζεν, ἀλλ' ἁπλῶς ἐποίησαν φωτισθῆναι ἀθρόον ἐν μιᾷ νυκτὶ μυριάδας πολλάς· καὶ ἁπλῶς ἐβαπτίζοντο πάντες οὐδὲν εἰδότες. τούτους ἐκεῖνος λαβὼν κατ' ἰδίαν ὁμοῦ ἑκατὸν, καὶ διακοσίους, διελέγετο· ἄλλο μὲν οὐδέν, τὰ δὲ τῶν μυστηρίων μόνον, ὡς μηδὲ τοῖς ἀμυήτοις συγχωρεῖν παρεῖναι. τοῦτο αὐτὸν ποιοῦντα, ἐνόμισαν πολλοὶ τῆς ἀρχῆς ἐρῶντα τοῦτο ποιεῖν. ἀλλ' οὐκ ἐφρόντισεν ἐκεῖνος τῶν νομιζόντων. οὐκ ἐξέτεινε μέντοι ἐπὶ χρόνον τὸ πρᾶγμα, ἀλλ' εὐθέως ἐπαύσατο. τί οὖν; ἐκεῖνος τοῦ σκανδάλου αἴτιος; οὐκ ἔγωγε οἶμαι. εἰ μὲν γὰρ οὐκ οὔσης αἰτίας τοῦτο ἐποίει, εἰκότως ἐκείνῳ τὴν αἰτίαν ἐπέγραφον, καὶ εἰ πάλιν ἐπεξέτεινεν. ὅταν γὰρ τῶν τῷ Θεῷ δοκούντων κωλύηται, διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονεῖν δεῖ· τότε δὲ φροντίζειν, ὅταν μηδὲν ἀναγκαζώμεθα δι' ἐκεῖνον προσκρούειν Θεῷ. ἐπεί, εἰπέ μοι· ἂν μεταξὺ διαλεγομένων ἡμῶν, καὶ τοὺς μεθύοντας σκωπτόντων σκανδαλίζηταί τις, ἐγὼ παύσομαι λέγων; ἄκουσον τοῦ Χριστοῦ λέγοντος· μὴ καὶ ὑμεῖς βούλεσθε ὑπάγειν; οὕτω οὔτε καταφρονεῖν, οὔτε σφόδρα ἀντιποιεῖσθαι τῆς τῶν πολλῶν ἀσθενείας χρή. ἢ οὐχ ὁρῶμεν καὶ τοὺς ἰατροὺς τοῦτο ποιοῦντας· καὶ ὅταν μὲν ἐγχωρῇ χαριζομένους τοῖς κάμνουσιν· ὅταν δὲ ἡ χάρις ἡ ἐκείνων βλάβην ἐργάζηται, οὐκ ἔτι φειδομένους; πανταχοῦ τὸ μέτρον τιμᾶν καλόν. ἐβλασφήμησαν πολλοὶ κατηχήσεως ἕνεκεν, κόρης τινὸς εὐμόρφου παρθένου μεινάσης· παρέβαλον πρὸς αὐτὴν, καὶ τοὺς κατηχοῦντας ἐλοιδόρησαν. τί οὖν; ἀποστῆναι ἐκείνους ἔδει διὰ τοῦτο; οὐδαμῶς. οὐδὲν γὰρ ἐργάζοντο ἐναντίον· ἀλλὰ καὶ σφόδρα δοκοῦν πρᾶγμα Θεῷ. μὴ τοίνυν εἰ σκανδαλίζονταί τινες ἴδωμεν· ἀλλ' εἰ δικαίως, καὶ εἰ μὴ μετὰ τῆς ἡμετέρας βλάβης. εἰ βρῶμα σκανδαλίζει, φησί, τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέα εἰς τὸν αἰῶνα. εἰκότως. οὐδὲν γὰρ ἔβλαπτε τὸ μὴ φαγεῖν. εἰ μέντοι σκανδαλίζει αὐτόν, ὅτι βούλομαι ἀποτάξασθαι, οὐκ ἔτι φροντίζειν δεῖ. καὶ τίνα, φησί, τοῦτο σκανδαλίζει; πολλοὺς ἔγωγε οἶδα. ὅταν τοίνυν ἀδιάφορον ᾖ τὸ κώλυμα, γινέσθω· ἐπεὶ εἰ μέλλοιμεν πρὸς τοῦτο μόνον ὁρᾶν, πολλῶν ἐχόμεθα ἀποστῆναι· ὥσπερ οὖν καὶ τοὐναντίον, εἰ μέλλοιμεν καταφρονεῖν, πολλοὺς ἀπολλύναι. ἐπεὶ καὶ Παῦλος προενόησε σκανδάλου καὶ πῶς; ἄκουε· ἵνα μὴ τῇ ἁδρότητι, φησί, ταύτῃ τῇ διακονουμένῃ ὑφ' ἡμῶν. οὐδὲν γὰρ ἔβλαπτε τὸ τὴν ὑπόνοιαν ἐξελεῖν. ὅταν δὲ εἰς τοιαύτην ἐμπέσωμεν ἀνάγκην, ὥστε μεγάλα γίνεσθαι κακὰ διὰ τὸ ἑτέρου σκάνδαλον, καταφρονῶμεν ἐκείνου. ἐκεῖνος μὲν γὰρ ἑαυτῷ αἴτιος·

A sed ipsi se victos confessi sunt. Nihil nobis nocent impostores, sed meliores potius reddunt, si quis rectè consideret. Quid igitur, quando eandem cum nobis habent gloriam? Non apud nos, sed apud eos qui judicium non habent. Nobis ne curæ sit quid multi sentiant, neque ultrà quam oportet de gloria soliciti simus. Deo vivimus non hominibus. In cœlo cives sumus, non super terram. Illic præmia & bravia nostrorum laborum jacent, illinc expectamus laudes, illinc coronas, eatenus curemus homines, ne eis offendiculo & damno simus. Si autem B nos illis offendiculum non damus, & illi voluerint simpliciter & absque causa nos vituperare, rideamus, ploremus. Tu provide bona coram Deo & hominibus. Si te providente bona, ille incessat, ne sis adhuc solicitus. Habes exempla in scripturis. *Nunquid enim in hominibus suadeo, an Deo*, inquit? Et iterum: Gal.1.10. *Hominibus suademus, Deo autem manifesti sumus.* Et Christus 2.Cor.5.11. sic in his qui offendebantur, dicebat: *Sine illos, duces sunt cæci* Matt 15.14. C *cæcorum.* Et iterum: *Væ vobis, quando bene de vobis dixerint* Luc.6.26. *omnes homines.* Et iterum: *Luceant opera vestra, ut videant* Matth.5.16. *homines, & glorificent patrem vestrum, qui in cœlis est.* Quòd Ibid.18.6. autem alicubi dicit *qui scandalizarit unum ex pusillis istis, conducit illi, ut suspendatur mola asinaria in collo ejus, & mergatur in profundum maris,* ne mireris. Non sunt enim hæc contraria, sed potius valde consonant: nam quandoquidem apud nos fit; Væ nobis: quando autem non apud nos, non item. Et D iterum: *Væ vobis propter quos nomen Dei blasphematur.* Quid Rom.2.24. igitur, si ego quidem facio quod decet, & alius blasphemat? 2.Pet.2. Nihil ad te, sed ad illum. Nam propter illum blasphematur. Et quomodo possibile ad aliquem facere quod oportet, & esse aliis damnosum? Unde vultis à præsentibus vel à præteritis vobis exempla afferam? ne ostentatores simus, vultis ut id quod nunc in manibus est, dicamus? Judaizat Paulus in Hierusalem, & non in Antiochia. Judaizabat & offendebantur: sed non juE stè offendebantur illi. Dicitur salutasse Neronis pocillatorem & concubinam. Quanta putatis contra illum propter hoc dicta esse, sed non justè? Nam si quidem ob lasciviam salutasset, vel ob mala opera, meritò. Si autem ob vitam rectam, quare? Dicam aliquid, quod uni familiarium meorum accidit. Irato aliquando Deo, quum ille admodum juvenis esset, & in Diaconorum ordine ministraret, abessetque per illud tempus Episcopus, & nullus Presbyterorum curam haberet, sed simpliciter facieA bant simul multa millia in una nocte baptizari, & simpliciter baptizabantur omnes nihil scientes. Quod ut ille intellexit, privatim simul centum ac ducentos docebat: nihil autem, quam quod ad sacramenta attinebat, ne sic migrarent non initiati. Hoc plerique putabant illum ex ambitione fecisse, verùm ille non attendebat sic censentes. Cæterum non ultrà huic rei invigilabat, sed statim cessabat. Quid igitur? Nunquid ille author offendiculi? minimè, mea sententia. Nam si quidem nulla cauB sa fuisset? meritò illum reprehendissent: etiam si iterum produxisset. Contemnendum est propter aliorum offendiculum, si prohibeatur quod Deus approbat. Tunc autem curandum, quando non cogimur propter illum offendere Deum: alioqui dic mihi, si interim quod nos disserimus & ebrios taxamus, offendatur quis, desinam ne ego loqui? Audi Christum dicentem: *Num* Joh.6.67. *& vos vultis abire?* sic neque contemnere, neque valde curare oportet multorum infirmitatem. An non videmus etiam meC dicos hoc facere, & quandoquidem conceditur gratificari laborantibus, quando autem quod fit in gratiam illorum damnum operatur, non jam parcendum. Ubique pulchrum est modum observare. Multi blasphemarant ob doctrinam puellam quandam formosam quæ virgo manserat, scommatis incessebant illam & instituentes eam. Quid igitut num propter hoc illi recedere debebant? Minimè. Nihil enim operabantur contrarium, sed rem valde gratam Deo. Ne igitur videamus, num D offendantur quidam, sed si justè & non cum nostro damno. *Si* 1.Cor.8.13. *cibus*, inquit, *offendit fratrem meum, in æternum non comedam carnem.* Meritò. Nihil enim nocet non comedisse. Siquidem offendit illum quod renunciare volo, non jam curandum. Et quem, inquit, hoc offendit? Multos equidem scio. Quando res indifferens fuerit, prohibitio fiat: alioqui si ad unum hoc attendere volumus, à multis abstinere oportet. Itaque sicutè diverso, si contempturi sumus, multos perdemus, quoniam & E Paulus præcavit offendiculum. Et quomodo audi: *Ne abun-* 2.Cor.8.20. *dantia hac qua ministratur à nobis.* Nihil enim nocebat suspicionem tollere, quando autem in talem inciderimus necessitatem, ita ut magna fiant mala propter alterius offendiculum, illo

quidem

quidem sibi ipsi author, non autem jam nos sumus rei. Non A potuit sine damno illi parci. Multi offensi sunt, quod in templo cubabant fideles quidam, quoniam non oportebat ibi cubare : sed male. Nullum enim inde damnum. Offendebantur, quod

Galat. 2. comedebat cum gentibus Petrus : sed ille quidem parcebat : hic autem non item. Ubique sequi nos decet legem Dei, magnumque studium adhibere, ut nullam occasionem præbeamus offendiculi, ut & ipsi non simus rei, & à Deo misericordiam assequamur, gratia & miserationibus unigeniti filii ejus, cum quo Patri B simul ac sancto Spiritui gloria, imperium, honor, nunc, & semper, & in secula seculorum, Amen.

HOMILIA XLVII.

Dixit autem Paulus, ego sum homo quidem Judæus, Tarsensis Ciliciæ non obscuræ civitatis civis. Rogo autem te : Permitte mihi loqui ad populum. Et quum ille permisisset, Paulus stans in gradibus, annuit manu ad plebem, & magno silentio facto, allocutus est lingua Hebræa, dicens. C

Vide illum, quando cum externis loquitur, non detractat etiam legalibus uti adjumentis, ita memor civitatis suæ illum nunc à temeritate avocat : sicut etiam antea dicebat : *Verberatos*

Sup. 16, 37. *nos publicè, indicta causa, homines Romanos quum simus, conjecerunt in custodiam.* Quoniam enim interrogabatur : *Tu es homo Ægyptius? Ego sum*, inquit, *homo Judæus.* Ut sic dixit, statim illum à sua abduxit suspicione. Et deinde ne putetur ex

1. Cor. 9, 21. gente Judæus, dicit religionem. Etenim & alibi dicit, *se servum, & sub lege Christi.* Quid hoc est? Paulus mentitur? Absit. D Quid igitur? Non negavit? Absit. Judæus enim erat & Christianus, quæcumque oportebat custodiens. Quoniam & lege maximè omnium ipse persuadebatur Christo credens. Et cum

Gal. 2, 15. Petro disserens inquit : *Nos natura Judæi. Oro autem te, permitte mihi loqui ad populum.* Etiam hoc indicium est quod non mentitur, siquidem omnes adducebat testes. Et considera illum cum magna mansuetudine disserentem. Et hoc erat ma- E ximum argumentum, quod nulli crimini erat obnoxius, quod sic paratus erat ad dandam rationem, volebatque sisti ad respondendum Judæis : Vide instructum virum, vide dispensationem, nisi tribunus venisset, nisi ligatus fuisset, non rogasset concedi sibi sermonem ad defensionem, non tantum obtinuisset silentium. *Permittente autem illo, Paulus stabat in gradibus.* & à loco editiore loquendi facultas magna erat ligato. Quid hoc spectaculo par, videre Paulum duabus catenis ligatum concio- A nantem? Quomodo non turbatus est? quomodo non confusus est, tantum populum exasperatum videns astante præside? Primùm sistit furorem illorum deinde narrat. Et vide quàm prudenter : id quod in Epistola ad Hebræos fecit hoc & hic, primum cognatione vocis illos allicit, mox & mansuetudine. Proinde & hoc manifestans dicit : *Allocutus est*, inquit, *Hebraica lingua, dicens :*

Cap. XXII. *Viri fratres ac patres, audite meam ad vos excusationem.* Vide etiam ab adulatione liberum sermonem, justitiamque ha- B bentem. Non enim dixit Domini, neque heri, sed *fratres*, quod maximè amabant, quasi diceret : Non sum alienus ego à vobis, nec contra vos. *Viri fratres ac patres*, inquit. Hoc honoris, illud germanitatis est. *Audite meam quam nunc ad vos habeo excusationem* : non dixit doctrinam, neque concionem, sed defensionem, fitque ut humiliter orans. *Quum autem audirent quòd Hebraico idiomate alloqueretur eos, magis attenti fuerunt.* Vides ut capit illos, vocis patriæ cognitio. Ha- C bebant enim reverentiam quandam linguæ illi. Vide autem quomodo etiam viam paret sermoni sic incipiens & dicens : *Ego quidem sum vir Judæus, natus in Tarso Ciliciæ, educatus in civitate ista ad pedes Gamalielis, eruditus autem accurate in patria lege, sectator existens Dei sicut omnes vos estis hodie. Ego quidem sum*, inquit, *vir Judæus*, quod maxime omnium auditu illis gratum. *Natus in Tarso Ciliciæ* : ne putent ob gentem alieni religionem, addidit, *educatus autem in civitate hac ad* D *pedes Gamalielis* : ostendit sibi ingens erga religionem fuisse studium, quandoquidem tam clara patria, quæque tantum distat relicta : amore legis ibi voluit educari. Vide quomodo iterum in honore habet legem : Hæc autem ad illos loquitur, non solum ut se defendet, verùm etiam ut ostendat se non humano more, sed divina virtute ad prædicationem adductum. Non enim sic eruditus statim factus esset, nisi fuisset eximius quidam, verisimile erat hoc suspicari. Quia autem doctissimus erat in lege, minimè E verisimile, nisi maxima necessitate illum mutatum fuisse. Dixerit quis, nihil ad rem facit, quod ibi educatus est : quid enim si ob negotiationem vel ob aliam causam quandam ibi versatus esset?

A ἡμεῖς δὲ οὐκ ἔτι ὑπεύθυνοι. οὐ γὰρ ἐνῆν ἀβλαβῶς αὐτοῦ φείσασθαι. ἐσκανδαλίσθησαν πολλοὶ, ὅτι εἰς ἱερὰ κατέκειντό τινες πιστοὶ, ἐπειδὴ οὐκ ἔδει κατακεῖσθαι· ἀλλὰ κακῶς. οὐδεμία γὰρ ἀπὸ τούτου βλάβη. ἐσκανδαλίζοντο ὅτι ἤσθιε μετὰ τῶν ἐθνικῶν ὁ Πέτρος· ἀλλ' ἐκεῖνος μὲν ἐφείσατο, αὐτὸς δὲ οὐκ ἔτι. πανταχοῦ προσήκει ἡμᾶς, τοῖς τοῦ Θεοῦ νόμοις κατακολουθοῦντας, πολλὴν ἀσφάλειαν ποιεῖσθαι, ὥστε μηδεμίαν ἀφορμὴν παρέχειν σκανδάλου, ἵνα καὶ αὐτοὶ ἀνεύθυνοι ὦμεν, B καὶ τῆς παρὰ τοῦ Θεοῦ φιλανθρωπίας ἀξιωθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ μζʹ.

Εἶπε δὲ ὁ Παῦλος· ἐγώ εἰμι ἄνθρωπος Ἰουδαῖος Ταρσεὺς τῆς Κιλικίας, οὐκ ἀσήμου πόλεως πολίτης. δέομαι δέ σου, ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσεισε τῇ χειρὶ τῷ λαῷ. πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε τῇ Ἑβραΐδι διαλέκτῳ λέγων. C

ΟΡΑ αὐτὸν ὅταν πρὸς τοὺς ἔξω διαλέγηται, οὐ παραιτούμενον καὶ τοῖς ἀπὸ τῶν νόμων κεχρῆσθαι βοηθήμασιν. ἐνταῦθα αὐτὸν ἀπὸ τῆς πόλεως συνίστησιν. οὕτω καὶ ἔμπροσθεν ἔλεγε· τύψαντες ἡμᾶς δη- D μοσίᾳ ἀκατακρίτους ἀνθρώπους, Ῥωμαίους ὑπάρχοντας, ἔβαλον εἰς φυλακήν. ἐπειδὴ γὰρ ἐπυνθάνετο, σὺ εἶ ὁ Αἰγύπτιος; ἐγώ εἰμι, φησὶν, ἄνθρωπος Ἰουδαῖος· οὕτως εἰπὼν εὐθέως αὐτὸν ταύτης ἀπήγαγε τῆς ὑποψίας. εἶτα ἵνα μὴ νομισθῇ τῷ ἔθνει Ἰουδαῖος, λέγει τὴν θρησκείαν. καὶ γὰρ καὶ ἀλλαχοῦ ἔννομον ἑαυτὸν Χριστοῦ καλεῖ. τί τοῦτό ἐστι, Παῦλος ψεύδεται; ἄπαγε. τί οὖν; οὐκ ἠρνήσατο; μὴ γένοιτο. Ἰουδαῖος γὰρ ἦν καὶ Χριστιανὸς ὅσα ἔδει φυλάττων· ἐπεὶ καὶ E τῷ νόμῳ μάλιστα πάντων αὐτὸς ἐπείθετο τῷ Χριστῷ πιστεύων, καὶ πρὸς Πέτρον διαλεγόμενος φησίν· ἡμεῖς φύσει Ἰουδαῖοι. δέομαι δέ σε ἐπίτρεψόν μοι λαλῆσαι πρὸς τὸν λαόν. καὶ τοῦτο τεκμήριον ὅτι οὐ ψεύδεται, εἴγε πάντας ἐπήγετο μάρτυρας. σκόπει αὐτὸν πάλιν μετὰ ἐπιεικείας διαλεγόμενον. καὶ τοῦτο δὲ τεκμήριον πάλιν μέγιστον τοῦ μηδενὸς εἶναι ὑπεύθυνον, τὸ οὕτως ἕτοιμον εἶναι πρὸς ἀπολογίαν, καὶ βούλεσθαι εἰς λόγον καταστῆναι τῷ δήμῳ τῶν Ἰουδαίων. ὅρα τεταγ- A μένον ἄνδρα· ὅρα οἰκονομίαν. εἰ μὴ χιλίαρχος ἦλθεν, εἰ μὴ ἔδησεν, οὐκ ἂν ἐδεήθη λόγου πρὸς ἀπολογίαν, οὐκ ἂν τοσαύτης ἀπέλαυσε σιγῆς. ἐπιτρέψαντος δὲ αὐτοῦ, ὁ Παῦλος ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν. καὶ ἀπὸ τοῦ τόπου πολλὴ ἡ εὐκολία, τὸ καὶ ὑψηλὸν ὄντα δημηγορεῖν καὶ δεδεμένον. τί τούτου ἴσον τοῦ θεάματος, δυσὶν ἁλύσεσι δεδεμένον ἰδεῖν Παῦλον δημηγοροῦντα, πῶς οὐκ ἐταράχθη; πῶς οὐ συνεχύθη, τοσοῦτον δῆμον ἐκπεπολεμωμένον ὁρῶν τοῦ ἄρχοντος ἐφεστῶτος; πρότερον ἀπέστησεν αὐτοὺς τοῦ θυμοῦ· εἶτα δια- B λέγεται. καὶ ὅρα πῶς φρονίμως. ὅπερ γὰρ ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ ἐποίησε, τοῦτο καὶ ἐνταῦθα. πρῶτον τῇ συγγενείᾳ τῆς φωνῆς αὐτοὺς ἐπισπᾶται· εἶτα αὐτῷ τῷ ἡμέρῳ. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· πολλῆς δὲ σιγῆς γενομένης, προσεφώνησε, φησὶ, τῇ Ἑβραΐδι διαλέκτῳ λέγων.

„Ἄνδρες ἀδελφοὶ καὶ πατέρες, ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν „ἀπολογίας. ὅρα καὶ κολακείας ἀπηλλαγμένον τὸν λόγον, καὶ τὸ ἐπιεικὲς ἔχοντα. οὐ γὰρ εἶπε, δεσπόται, οὐδὲ κύριοι, ἀλλὰ ἀδελφοί· ὃ C μάλιστα ἐπόθουν. ὡσεὶ ἔλεγεν· οὐκ ἀλλότριος ὑμῶν ἐγὼ, οὐδὲ καθ' ὑμῶν. ἄνδρες ἀδελφοὶ καὶ πατέρες, φησί. τοῦτο τιμῆς, ἐκεῖνο γνησιότητος. ἀκούσατέ μου τῆς πρὸς ὑμᾶς νῦν ἀπολογίας· οὐκ εἶπε, διδασκαλίας, οὐδὲ δημηγορίας· ἀλλὰ, ἀπολογίας· ἐν τάξει ἱκέτου ἑαυτὸν καθίστησιν. ἀκούσαντες δὲ ὅτι τῇ Ἑβραΐδι „ διαλέκτῳ προσεφώνει αὐτοῖς, μᾶλλον παρέσχον ἡσυχίαν. „ ὁρᾷς πῶς αὐτοὺς εἷλε τὸ ὁμόφωνον; εἶχον γάρ τινα αἰδῶ πρὸς D τὴν γλῶτταν ἐκείνην. ὅρα δὲ καὶ πῶς προοδοποιεῖ τῷ λόγῳ οὕτως ἀρχόμενος, καὶ λέγων· ἐγὼ μέν εἰμι ἀνὴρ Ἰουδαῖος, γεγεννημένος „ ἐν Ταρσῷ τῆς Κιλικίας, ἀνατεθραμμένος ἐν τῇ πόλει ταύτῃ παρὰ „ τοὺς πόδας Γαμαλιὴλ, πεπαιδευμένος δὲ κατὰ ἀκρίβειαν τοῦ πα- „ τρῴου νόμου, ζηλωτὴς ὑπάρχων τοῦ Θεοῦ, καθὼς πάντες ὑμεῖς ἐστε „ σήμερον. ἐγὼ μέν εἰμι, φησὶν, ἀνὴρ Ἰουδαῖος· ὃ μάλιστα πάν- „ των ἐπόθουν ἀκοῦσαι. γεγεννημένος ἐν Ταρσῷ τῆς Κιλικίας. ἵνα μὴ E πάλιν νομίσωσι τὸ ἔθνος ἄλλο, τὴν θρησκείαν ἐπήγαγεν. ἀνατεθραμμένος δὲ ἐν τῇ πόλει ταύτῃ. τὴν πολλὴν αὐτοῦ δεικνύς σπουδὴν τὴν περὶ τὴν λατρείαν, ὅπου γε καὶ πατρίδα τηλικαύτην ἀφεὶς τοσοῦτον ἀφεστῶσαν, ἐνταῦθα εἵλετο τραφῆναι διὰ τὸν νόμον. ὅρα πῶς ἄνωθεν προσεῖχε τῷ νόμῳ. ταῦτα δὲ οὐ πρὸς ἐκείνους ἀπολογούμενος μόνον, φησίν· ἀλλὰ δεικνὺς ὅτι οὐκ ἀνθρωπίνῳ σκοπῷ πρὸς τὸ κήρυγμα ἦλθεν, ἀλλὰ θείᾳ δυνάμει. οὐ γὰρ ἂν οὕτω πεπαιδευμένος ἀθρόον μετέστη. εἰ μὲν γὰρ ἦν τις τῶν πολλῶν, εἰκὸς ἦν τοῦτο ὑποπτεῦσαι· εἰ δὲ τὸν μάλιστα πάντων κατεχόμενον ὑπὸ τοῦ νόμου, οὐκ ἦν εἰκὸς ἁπλῶς καὶ οὐδεμιᾶς ἀνάγκης ἰσχυρᾶς οὔσης μεταθέσθαι αὐτόν. ἀλλ' ἴσως εἴποι τις ἄν· οὐδὲν τοῦτο ποιεῖ, ὅτι ἐνταῦθα ἀνετράφη. τί γὰρ εἰ κατὰ ἐμπορίαν ἢ κατ' ἄλλην τινὰ αἰτίαν ἐνταῦθα γέγονας;

ὅσα

ἵνα τοίνυν μὴ διὰ τοῦτο νομισθῇ, ἐπήγαγε· παρὰ τοὺς πόδας Γαμαλιὴλ· καὶ οὐχ ἁπλῶς εἶπε, παρὰ Γαμαλιὴλ, ἀλλὰ παρὰ τοὺς πόδας, τὴν καρτερίαν, τὴν προσεδρείαν, τὴν σπουδὴν, τὴν περὶ τὴν ἀκρόασιν, τὴν πολλὴν πρὸς τὸν ἄνδρα αἰδῶ δεικνύς· πεπαιδευμένος κατὰ ἀκρίβειαν τοῦ πατρῴου νόμου. οὐχ ἁπλῶς νόμου, ἀλλὰ τοῦ πατρῴου προστίθησι· δεικνὺς, ὅτι ἄνωθεν τοιοῦτος ἦν, καὶ οὐχ ἁπλῶς εἰδὼς τὸν νόμον. ταῦτα δὲ δοκεῖ μὲν ὑπὲρ ἐκείνων λέγεσθαι, κατ' ἐκείνων δὲ ἦν, εἴγε καὶ εἰδὼς αὐτὸν εἴασεν. εἶτα ἵνα μὴ πάλιν τις ἐπενέγκῃ· τί οὖν εἰ εἶδας μὲν ἀκριβῶς τὸν νόμον, οὐκ ἐκδικεῖς δὲ, οὐδὲ φιλεῖς; ζηλωτὴς, φησὶν, ὑπάρχων· τουτέστιν, οὐχ ἁπλῶς εἰδὼς, ἀλλὰ καὶ σφόδρα ζηλῶν ὑπὲρ αὐτοῦ. εἶτα ἐπειδὴ μεγάλα περὶ αὐτοῦ ἐγκώμια εἶπε, κοινοῖ τὸν λόγον λοιπὸν, ἐπάγων, καθὼς πάντες ὑμεῖς ἐστε σήμερον. δείκνυσι γὰρ αὐτοὺς οὐκ ἀνθρωπίνῳ σκοπῷ ποιοῦντας, ἀλλὰ ζήλῳ θείῳ. τοῦτο δὲ λέγει, χαριζόμενος αὐτοῖς καὶ προκαταλαμβάνων αὐτῶν τὴν διάνοιαν, καὶ κατέχων ἐν οἷς βλάβος οὐδὲν ἦν. εἶτα καὶ τεκμήρια παράγει λέγων· ὃς ταύτην τὴν ὁδὸν ἐδίωξα ἕως θανάτου, δεσμεύων καὶ παραδιδοὺς εἰς φυλακὰς ἄνδρας τε καὶ γυναῖκας, ὡς καὶ ὁ ἀρχιερεὺς μαρτυρεῖ μοι, καὶ πᾶν τὸ πρεσβυτέριον. ἵνα μηδεὶς εἴπῃ, καὶ πόθεν τοῦτο δῆλον, μάρτυρας παράγει αὐτὸν τὸν ἀρχιερέα, καὶ τοὺς πρεσβυτέρους. καὶ λέγει μὲν ἐκείνων, ζηλωτὴς ὑπάρχων καθὼς ὑμεῖς, τουτέστιν, ἴσος ὑμῖν· δείκνυσι δὲ διὰ τῶν ἔργων ὅτι ὑπὲρ αὐτοὺς ἦν. οὐ γὰρ δὴ περιέμενον ὥστε συλλαβεῖν· ἀλλὰ καὶ τοὺς ἱερέας διήγειρον, καὶ ἀποδημίας ἐστελλόμην· καὶ οὐδὲ μέχρις ἀνδρῶν ἐχώρουν καθάπερ ὑμεῖς, ἀλλὰ καὶ γυναικῶν· καὶ δεσμεύων πάντας, καὶ εἰς δεσμωτήρια ἐμβάλλων. ἀναμφισβήτητος ἡ μαρτυρία, ἀναπολόγητα τὰ τῶν Ἰουδαίων. ὅρα πόσους παράγει μάρτυρας. τὸ πρεσβυτέριον, τὸν ἀρχιερέα, τοὺς ἐν τῇ πόλει. βλέπε δὲ αὐτοῦ, καὶ τὴν ἀπολογίαν οὐ δειλίας οὖσαν, ἀλλὰ διδασκαλίας μᾶλλον καὶ κατηχήσεως. εἰ γὰρ μὴ λίθοι ἦσαν οἱ ἀκούοντες, προσεῖχον ἂν τοῖς λεγομένοις. μέχρι γὰρ τούτου μάρτυρας εἶχεν αὐτοὺς, τὰ δὲ λοιπὰ ἀμάρτυρα. παρ' ὧν καὶ ἐπιστολὰς δεξάμενος πρὸς τοὺς ἀδελφοὺς, εἰς Δαμασκὸν ἐπορευόμην, ἄξων καὶ τοὺς ἐκεῖσε ὄντας δεδεμένους εἰς Ἱερουσαλὴμ, ἵνα τιμωρηθῶσιν. ἐγένετο δὲ πορευομένῳ μοι καὶ ἐγγίζοντι τῇ Δαμασκῷ, περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμὲ, ἔπεσόν τε εἰς τὸ ἔδαφος καὶ ἤκουσα φωνῆς λεγούσης μοι. Σαοὺλ, Σαοὺλ, τί με διώκεις; ἐγὼ δὲ ἀπεκρίθην· τίς εἶ Κύριε; εἶπέ τε πρός με· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος, ὃν σὺ διώκεις. μάλιστα μὲν οὖν καὶ ταῦτα ἀξιόπιστα ἔδει εἶναι ἀπὸ τῶν προλαβόντων. οὐ γὰρ ἂν μετεστράφη τί οὖν εἰ κομπάζει, φησίν; οὐδαμῶς. διατί γὰρ τοσοῦτον ἐξαίφνης ἔρριψε ζῆλον, εἰπέ μοι; τιμὴν προσδοκῶν; καὶ μὴν τἀναντία ὑπέμεινεν. ἀλλ' ἄνεσιν; οὐδὲ τοῦτο· ἀλλὰ τί ἕτερον; ἀλλ' οὐδὲν ἀπὸ λογισμῶν εὑρεῖν δυνατόν. ταῦτα τοίνυν ἀφεὶς αὐτοῖς συλλέγειν, τὰ πράγματα διηγεῖται. ἐγγίζοντί μοί, φησι, τῇ Δαμασκῷ περὶ μεσημβρίαν ἐξαίφνης ἐκ τοῦ οὐρανοῦ περιαστράψαι φῶς ἱκανὸν περὶ ἐμὲ, ἔπεσόν τε εἰς τὸ ἔδαφος. ὅρα πόση ἡ ὑπερβολὴ τοῦ φωτός. καὶ ὅτι οὐ κομπάζω, οἱ συνόντες μαρτυροῦσιν οἱ χειραγωγοῦντες· οἱ τὸ φῶς θεασάμενοι. οἱ δὲ σὺν ἐμοὶ ὄντες, τὸ μὲν φῶς ἐθεάσαντο καὶ ἔμφοβοι ἐγένοντο· τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι· μηδὲν ξενισθῇς, εἰ ἐνταῦθα μὲν οὕτως, ἑτέρωθι δὲ λέγει· ὅτι εἱστήκεισαν τὴν μὲν φωνὴν ἀκούοντες, μηδένα δὲ θεωροῦντες. οὐκ ἔστι τοῦτο ἐναντίον. φωναὶ γὰρ δύο ἦσαν· ἡ Παύλου καὶ ἡ τοῦ Κυρίου. τὴν φωνὴν τοίνυν ἐκεῖ τοῦ Παύλου λέγει· ἐνταῦθα δὲ καὶ προστέθηκεν, εἰπὼν τὴν φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι· οὐκοῦν τὸ, μηδένα θεωροῦντες, οὐ τοῦ ἰδεῖν, ἀλλὰ τοῦ μὴ ἀκοῦσαι δηλωτικόν ἐστιν. οὐ γὰρ εἶπεν, ὅτι τὸ φῶς οὐκ ἔβλεπον· ἀλλὰ μηδένα θεωροῦντες εἱστήκεισαν· τουτέστι, λαλοῦντα. εἰκότως δὲ τοῦτο ἐγένετο. αὐτὸν γὰρ ἔδει τῆς φωνῆς καταξιωθῆναι ἐκείνης. εἰ γὰρ ἤκουσαν κἀκεῖνοι, οὐκ ἂν τοσοῦτον ἐγένετο τὸ θαῦμα· ἐπειδὴ τοίνυν οἱ παχύτεροι ὄψει πείθονται μᾶλλον, διὰ τοῦτο καὶ ἐκεῖνοι τὸ φῶς εἶδον μόνον, ὅπερ ἱκανὸν ἦν αὐτοὺς πεῖσαι. ὅθεν καὶ ἔμφοβοι γίνονται· ἄλλως δέ· οὐ περὶ αὐτοὺς τὸ φῶς τοσοῦτον εἰργάσατο, ὅσον περὶ τοῦτον. καὶ γὰρ ἐπήρωσεν αὐτοῦ τὰς ὄψεις, διὰ τῶν εἰς τοῦτον συμβαινόντων, κἀκείνοις διδοὺς ἀναβλέψαι εἴγε ἤθελον. ἐμοὶ γοῦν δοκεῖ καὶ οἰκονομικῶς ἐκείνους μὴ πιστεῦσαι, ὥστε εἶναι μάρτυρας ἀξιοπίστους, εἶπέ τε, φησι, πρὸς ἐμέ· ἐγώ εἰμι Ἰησοῦς ὁ Ναζωραῖος ὃν σὺ διώκεις. καλῶς καὶ ἡ πόλις πρόσκειται, ὥστε ἐπιγνῶναι αὐτούς. καὶ οἱ Ἀπόστολοι οὕτως ἔλεγον· Ἰησοῦν τὸν ἀπὸ Ναζαρέθ. ὅρα καὶ αὐτὸς μαρτυρεῖ ὅτι ἐδίωκεν. οἱ δὲ σὺν ἐμοὶ ὄντες τὸ μὲν φῶς ἐθεάσαντο, καὶ ἔμφοβοι ἐγένοντο, τὴν δὲ φωνὴν οὐκ ἤκουσαν τοῦ λαλοῦντός μοι. εἶπον δέ· τί ποιήσω Κύριε; ὁ δὲ Κύριος εἶπε πρός με· ἀναστὰς πορεύου εἰς Δαμασκὸν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι· ὡς δὲ οὐκ ἐνέβλεπον ἀπὸ τῆς δόξης τοῦ φωτὸς ἐκείνου, χειραγωγούμενος ὑπὸ τῶν συνόντων μοι, ἦλθον εἰς Δαμασκόν· Ἀνανίας δέ τις ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον,

A ut igitur ne tale quid putetur; addidit *apud pedes Gamalielis.* Et non simpliciter dixit, ad Gamalielem; sed *apud pedes*, constantiam; sedulitatem; studium in audiendo, & reverentiam erga virum monstrans. *Eruditus accuratè in patria lege:* non simpliciter lege, sed *patria lege* apponit; ostendens se olim talem fuisse, & non vulgariter sciverat legem. Hæc quidem videntur pro illis dici, sed contra illos erant, quandoquidem & sciens illam reliquit. Quid igitur, si exactè quidem scieris B legem, non ames tamen illam? *Zelotes*, inquit; *existens Dei:* hoc est, non simpliciter sciens; sed etiam valde æmulans pro illa. Posteà quum magnas suas laudes prædicasset, communes laudes facit, dicens: *Sicut vos omnes estis hodie.* Ostendit enim illos facere non hominum respectu, sed divino zelo. Hoc autem dicit gratificans illis, & præoccupans illorum mentem, & detinens in his, in quibus damnum non erat. Posteà etiam conjecturas apponit. *Qui hanc viam persequutus sum usque* C *ad mortem, alligans ac tradens in carceres viros ac mulieres; sicut & princeps sacerdotum testatur mihi, & totus presbyterorum ordo.* Ut nullus dicat, & unde hoc manifestum, testes adducit *principem sacerdotum & presbyteros.* Et dicit quidem mulcens, *zelotes existens sicut vos*, hoc est, æqualis vobis. Ostendit autem per opera quod illos excelluerit. Non enim profectò expectabam donec mihi injungeretur; sed ipse sacerdotes excitabam, & peregrinationem suscepi. *Et non solum viros ca-* D *piebam, sicut vos, sed etiam mulieres, & alligans omnes & in carceres conjiciens.* Indubitatum hoc est testimonium, & irrefutabile à Judæis. Vide quod testes adducit, presbyteros, principem sacerdotum, eos qui in civitate. Vide autem illius etiam defensionem non esse à formidine, sed à doctrina magis & eruditione. Nisi enim lapides fuissent auditores, auscultassent his dictis; nam usque huc illos habuit testes, reliqua autem testimonia carentia. *A quibus etiam epistolis ad fratres acceptis Damascum per-* E *gebam adducturus & illinc qui ibi erant vinctos in Hierusalem, ut punirentur. Factum est autem mihi iter facienti & appropinquanti Damasco circiter meridiem, ut subitò de cœlo circumfulgeret me lux multa, cecidique in solum, & audivi vocem dicentem mihi, Saul, Saul, quid me persequeris? Ego autem respondi: Quis es Domine?* Supr. 9. *Dixitque ad me: Ego sum Jesus ille Nazarenus, quem tu persequeris.* Igitur maximè & hæc digna fide esse oportebat ex his quæ præcesserant. Quid igitur, si gloriantur loquitur? Minimè. A Dic oro, quare se tam repentè in tantum zelum injecisset? honorem expectans? Certè contraria acciderunt. Num spectabat voluptatem? neque hanc obtinuisset. Sed quid aliud, nihil invenire valet ratio. Hæc igitur quum reliquerit; apparet quid sectatus sit. *Mihi iter facienti*, inquit, *Damascum circiter meridiem, repentè ex cœlo circumfulgaravit me lux multa, cecidique in solum.* Vide quanta excellentia luminis: & quod non arrogans loquar, testes sunt qui mecum fuerunt, qui manu duxerunt, qui B lucem viderunt: *qui autem simul mecum, lucem quidem viderunt; & exterriti sunt, vocem autem non audierunt loquentis mihi.* Nihil mireris, si hic quidem sic dicit, alibi autem: *Steterunt, vocem quidem audientes, nullum autem videntes.* Supr. 21. Non sunt hæc contraria: Voces enim duæ erant, una Pauli, altera Domini: Vocem igitur illic Pauli dicit: hic vero etiam addidit, dicens: *Vocem non audierunt loquentis mihi.* Igitur dum dicit; *nullum videntes steterunt:* hoc est, loquentem. Meritò autem hoc factum est. Illum enim C oportebat vocem illam obtinere. Si enim audissent etiam illi; non tantum fuisset miraculum: quoniam igitur crassiores visione magis persuadentur; propter hoc lucem illi viderunt solum; id quod satis erat ad persuadendum illis; unde etiam exterriti sunt. Et aliter: Non est tantum operata lux erga illos, quantum erga hunc. Etenim excæcavit illius oculos: Quo eventu; illi si voluissent; illustrari poterant. Itaque mihi videtur; etiam singulari ordinatione illos non credere, & ita esse te- D stes fide dignos. *Dixitque*, inquit; *ad me: Ego sum Jesus Nazarenus; quem tu persequeris.* Bene etiam civitas apposita est, quò magis cognoscibilis fieret eis. Et Apostoli sic dicebant: *Jesum à Nazareth:* Vide & ille testatur, quod persequutionem patiebatur. *Illi autem qui mecum erant, lucem viderunt, & exterriti facti sunt, vocem autem non audierunt loquentis mihi: Dicebam autem; Quid faciam Domine? At Dominus dixit ad me: Ut surre-* E *xeris vade in Damascum; & illic tibi dicetur quid te oporteat facere. Et quum non viderem præ gloria luminis illius; ad manum deductus à comitibus qui erant mecum, veni ad Damascum. Ananias autem quidam vir pius secundum legem;* testi-

testimonio probatus illic habitantium Judæorum veniens ad me, & astans dixit mihi: Saul frater recipe visum. Et ego eadem hora recepto visu, vidi illum. Ingredere. inquit, *in civitatem, & illic tibi dicetur quid te oporteat facere.* Ecce iterum alius testis, & vide quomodo illum etiam fide dignum faciat. *Ananias autem,* inquit, *vir pius secundum legem, testimonio probatus ab omnibus Judæis, ingressus ad me & astans dixit mihi.* Vide, sic nihil sine testimonio. *Et ego eadem hora vidi.* Jungitur testimonium à rebus ipsis. Et vide quomodo personæ & actiones pulchrè inter se nectantur, personæque propriæ & extraneæ. Personæ, sacerdotes, presbyteri, comites: opera, quæ fecit, quæque passus est, & operibus testimonia dant, non personæ solùm. Vel & aliter: Alienus Ananias: deinde ponitur visio ipsa, mox prophetia. *Ille autem* dixit, *Deus patrum nostrorum præparavit te, ut cognosceres voluntatem suam, & videres illum justum.* Bene dixit: *Patrum nostrorum*, ut ostendat illos non esse Judæos, sed alienos à lege, & invidia, non zelo agere: *ut scias*: inquit, *voluntatem illius, & videas justum illum.* Igitur hæc voluntas ejus. Vide ut narratio doctrinæ loco est. *Et audias vocem ex ore illius, quia eris testis ejus apud omnes populos super his quæ vidisti & audisti. Et ut videas justum illum*, nunc hoc dicit: Si autem *justus*, illi rei. *Et audias vocem ex ore illius.* Vide ut rem extollit. *Quia eris*, inquit, *testis illius.* Igitur propter hoc non amittes visum & auditum, *Super his quæ vidisti, & quæ audisti.* Utrisque illis sensibus datur nobis scientia. *Et nunc quid cunctaris? surgens ut baptizeris & abluas peccata tua, invocato nomine illius.* Hic magnum quiddam loquutus est. Non dixit, ut in nomine illius baptizeris, sed *invocato nomine Christi*, per quod monstrat illum Deum esse. Neque enim alium quàm Deum invocare fas est. Posteà ostendit etiam se non coactum, dum dicit: *Dominus autem dixit ad me: Vade in Damascum, & ibi tibi dicetur, quid te oporteat facere.* Nihil sine testimonio, sed civitatis totius testimonium adducit, quæ scilicet etiam videbat illum ad manus duci. Vide etiam prophetiam egressam, quam audivit se testem fore Domini. Revera enim testis illius fuit, & qualem esse oportebat, & per ea quæ operatus est, & quæ locutus est. Tales & nos oportet esse testes, & non prodere ea quæ concredita sunt nobis, non de solis dogmatis, sed etiam de vita loquor. Vide enim, quod vidit, quódque audivit, testatur cunctis mortalibus; & nihil prohibuit illum. Et nos audivimus quod est resurrectio, & innumera bona. Igitur debemus testificari omnibus hominibus. At dicet quis: Nonne testificamur & credimus? Quomodo dum contraria agimus? Dic oro mihi: Si quis se diceret Christianum, deinde deficiens saperet Judaica, nunquid sufficeret testimonium illud? Minimè. Nam ab operibus testimonium quærerent. Jam certè & nostra est causa. Si dicimus quod resurrectio est ac innumera bona, deinde etiam contemnimus ea, & indigna hæc præsentia præeligimus, quis nobis credet? Omnes enim animadvertunt non quæ dicimus, sed quæ operamur. *Testis eris*, inquit, *apud omnes homines*, non apud domesticos duntaxat, sed etiam *apud infideles*. Testium enim est persuadere non scientibus, sed nescientibus. Fiamus igitur fide digni testes. Quomodo autem erimus fide digni testes? A vita. Insidiabantur illi Judæi, insidiantur nobis passiones, quæ jubent non annunciare testimonium. Sed ne pareamus. Testes sumus à Deo missi. Judicatur apud homines quosdam Deus non esse Deus. Misit nos testificaturos sibi. Testificemur & persuadeamus contendentibus. Si non testificabimur, sumus & nos erroris illorum rei. Si autem in secularium negotiorum judicio non suscipitur testis multis flagitiis notatus, multò magis hic, ubi de talibus rebus consideratur. Nos dicimus quod audiverimus Christum, & crediderimus his quæ annunciavit: dicunt illi: Ostendite hæc per opera. Vita vestra contraria testatur quod non creditis. Vultis ne in usurarios, avaros, & rapaces videamus? in lugentes, plorantes, ædificantes, omniaque agentes, quasi nunquam morituros. Si igitur quod moriamini non creditis, qua re nihil certius: quomodo vobis credam testantibus? Sunt enim multi homines sic affecti, quasi nunquam morituri. Nam quum in longa senecta incipiunt extruere, quando mortem affuturam putabunt? Non parva pœna nobis quidem ad confessionem vocatis, sed testari non valentibus ea quæ vidimus. Vidimus & nos oculis Angelos, & manifestius his qui viderunt. Igitur testificabimur Christo. Etenim non illi soli martyres, sed etiam nos.

μαρτυρούμενος ὑπὸ πάντων τῶν ἐν Δαμασκῷ Ἰουδαίων, ἐλθὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι· Σαοὺλ ἀδελφέ, ἀνάβλεψον. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα εἰς αὐτόν. εἴσελθε, φησὶν, εἰς τὴν πόλιν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι. ἰδοὺ πάλιν ἄλλος μάρτυς. καὶ ὅρα πῶς αὐτὸν καὶ ἀξιόπιστον ποιεῖ· Ἀνανίας δέ τις φησὶν, ἀνὴρ εὐλαβὴς κατὰ τὸν νόμον, μαρτυρούμενος ὑπὸ πάντων τῶν Ἰουδαίων, εἰσελθὼν πρός με καὶ ἐπιστάς, εἶπέ μοι· ἀνάβλεψον, οὕτως οὐδὲν ἀλλότριόν ἐστι. κἀγὼ αὐτῇ τῇ ὥρᾳ ἀνέβλεψα. εἶτα ἡ διὰ τῶν πραγμάτων μαρτυρία. καὶ ὅρα διὰ προσώπων καὶ πραγμάτων αὐτὴν πλεκομένην, προσώπων οἰκείων τε καὶ ἀλλοτρίων. πρόσωπα, οἱ ἱερεῖς, οἱ πρεσβύτεροι, οἱ συνοδεύοντες· τὰ πράγματα, ἃ ἐποίει, ἃ ἔπαθε, καὶ πράγματα πράγμασι μαρτυρεῖ, οὐχὶ πρόσωπα μόνον. ἢ καὶ ἑτέρως. ἀλλότριος ὁ Ἀνανίας. εἶτα τὸ πρᾶγμα αὐτὸ, ἡ ἀνάβλεψις· εἶτα προφητεία μεγάλη. ὁ δὲ εἶπε, φησίν· ὁ Θεὸς τῶν πατέρων ἡμῶν, προεχειρίσατό σε γνῶναι τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. καλῶς εἶπε, τῶν πατέρων, ἵνα δείξῃ αὐτοὺς οὐκ ὄντας Ἰουδαίους, ἀλλὰ ἀλλοτρίους τοῦ νόμου, καὶ φθόνῳ, οὐχὶ ζήλῳ ποιοῦντας. γνῶναι, φησὶ, τὸ θέλημα αὐτοῦ, καὶ ἰδεῖν τὸν δίκαιον. οὐκοῦν αὐτοῦ θέλημα τοῦτο. ὅρα πῶς ἐν τάξει διηγήσεως διδασκαλία ἐστί. καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ, ὅτι ἔσῃ μάρτυς αὐτοῦ πρὸς πάντας ἀνθρώπους, ὧν ἑώρακας καὶ ἤκουσας. καὶ ἰδεῖν, φησὶ, τὸν δίκαιον· τέως τοῦτο λέγει. εἰ δὲ δίκαιος, οὗτοι ὑπεύθυνοι. καὶ ἀκοῦσαι φωνὴν ἐκ τοῦ στόματος αὐτοῦ. ὅρα πῶς τὸ πρᾶγμα ἐπαίρει. ὅτι ἔσῃ, φησὶ, μάρτυς αὐτοῦ. οὐκοῦν διὰ τοῦτο οὐ προδώσεις τὴν ὄψιν, καὶ τὴν ἀκρόασιν, ὧν τε ἑώρακας, καὶ ἤκουσας. δι' ἑκατέρων τῶν αἰσθήσεων αὐτοῦ πιστοῦται. καὶ νῦν τί μέλλεις ἀναστὰς βάπτισαι, καὶ ἀπόλουσαι τὰς ἁμαρτίας σου ἐπικαλεσάμενος τὸ ὄνομα αὐτοῦ. ἐνταῦθα μέγα ἐφθέγξατο. οὐ γὰρ εἶπεν, εἰς τὸ ὄνομα αὐτοῦ βάπτισαι ἀλλ' ἐπικαλεσάμενος τὸ ὄνομα τοῦ Χριστοῦ. τούτῳ δὲ δεικνὺς ὅτι ἐστὶν αὐτὸς Θεὸς ὤν. οὐ γὰρ ἔνι ἕτερόν τινα ἐπικαλέσασθαι εἰ μὴ τὸν Θεόν. εἶτα δείκνυσι καὶ ἑαυτὸν οὐκ ἀναγκασθέντα δι' ὧν λέγει; ὁ δὲ Κύριος εἶπε πρός με· πορεύου εἰς Δαμασκὸν, κἀκεῖ σοι λαληθήσεται τί σε δεῖ ποιῆσαι. οὐδὲν ἀμάρτυρον· ἀλλὰ πόλεως ὁλοκλήρου μαρτυρίαν παράγει, ἥ γε καὶ εἶδεν αὐτὸν χειραγωγούμενον. ὅρα δὲ καὶ τὴν προφητείαν ἐξελθοῦσαν, ἣν ἤκουσε μάρτυρα αὐτὸν ἔσεσθαι τοῦ Κυρίου. μάρτυς γὰρ ὄντως αὐτοῦ γέγονε, καὶ μάρτυς ὡς χρὴ καὶ δι' ὧν ἔπραξε, καὶ δι' ὧν εἶπε. τοιούτους καὶ ἡμᾶς εἶναι χρὴ μάρτυρας, καὶ μὴ προδιδόναι ἃ ἐνεπιστεύθημεν. οὐ περὶ δογμάτων λέγω μόνον, ἀλλὰ καὶ περὶ βίου. ὅρα γάρ· ὅτι εἶδεν καὶ ὅτι ἤκουσε, μαρτυρεῖ πᾶσιν ἀνθρώποις, καὶ οὐδὲν αὐτὸν ἐκώλυσε. καὶ ἡμεῖς ἠκούσαμεν ὅτι ἐστὶν ἀνάστασις καὶ μυρία ἀγαθά. οὐκοῦν ὀφείλομεν τοῦτο μαρτυρῆσαι πᾶσιν ἀνθρώποις. καὶ μὴν μαρτυροῦμεν, φησί τις, καὶ πιστεύομεν· πῶς; τἀναντία πράττοντες. εἰπὲ δή μοι; εἴ τις ἑαυτὸν ἔλεγε Χριστιανόν· εἶτα ἀποστὰς τὰ Ἰουδαϊκὰ ἐφρόνει, ἆρα ἤρκεσεν ἂν ἡ μαρτυρία αὕτη; οὐδαμῶς. ἀπὸ γὰρ τῶν ἔργων τὴν μαρτυρίαν ἐζήτουν ἄν. οὕτω δὴ καὶ ἡμεῖς· εἰ λέγομεν ὅτι ἀνάστασίς ἐστι καὶ μυρία ἀγαθά· εἶτα καταφρονοῦμεν αὐτῶν, καὶ τὰ ἐνταῦθα τιμῶμεν, τίς ἡμῖν πιστεύσει; οὐ γὰρ οἷς λέγομεν, ἀλλ' οἷς πράττομεν προσέχουσιν ἅπαντες· μάρτυς ἔσῃ, φησὶ, πρὸς πάντας ἀνθρώπους. οὐχὶ πρὸς τοὺς οἰκείους μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀπίστους. οἱ γὰρ μάρτυρες τοῦτό εἰσιν· οὐχὶ τοὺς εἰδότας πείθουσιν, ἀλλὰ τοὺς οὐκ εἰδότας. γενώμεθα ἀξιόπιστοι μάρτυρες. πῶς δὲ ἐσόμεθα ἀξιόπιστοι; ἀπὸ τοῦ βίου. ἐπέθεντο ἐκείνῳ Ἰουδαῖοι· ἐπιτίθενται ἡμῖν τὰ πάθη κελεύοντα ἐξομόσασθαι τὴν μαρτυρίαν. ἀλλὰ μὴ πειθώμεθα· μάρτυρές ἐσμεν παρὰ τοῦ Θεοῦ πεμφθέντες. κρίνεται παρὰ ἀνθρώποις τισὶν ὁ Θεὸς ὅτι οὐκ ἔστι Θεός· ἔπεμψεν ἡμᾶς μαρτυρήσοντας αὐτῷ. μαρτυρήσωμεν καὶ πείσωμεν τοὺς δικάζοντας. ἂν μὴ μαρτυρήσωμεν καὶ τῆς ἐκείνων πλάνης ἡμεῖς ἐσμεν αἴτιοι. εἰ δὲ ἐν δικαστηρίῳ ἔνθα βιωτικὰ πράγματα, οὐκ ἄν τις δέξαιτο μάρτυρα μυρίων γέμοντα κακῶν· πολλῷ μᾶλλον ἐνταῦθα ἔνθα περὶ τοιούτων πραγμάτων ἡ σκέψις ἐστίν. ἡμεῖς λέγομεν, ὅτι ἠκούσαμεν τοῦ Χριστοῦ, καὶ πιστεύομεν οἷς ἐπηγγείλατο· λέγουσιν ἐκεῖνοι, δείξατε τοῦτο διὰ τῶν ἔργων. ὁ γὰρ βίος ὑμῶν τὰ ἐναντία μαρτυρεῖ, ὅτι οὐ πιστεύετε. τοὺς χρηματιζομένους, τοὺς ἁρπάζοντας, τοὺς πλεονεκτοῦντας βούλεσθε ἴδωμεν; τοὺς πενθοῦντας, τοὺς κοπτομένους, τοὺς οἰκοδομοῦντας, τοὺς πάντα πραγματευομένους, ὡς οὐκ ἀποθανουμένους; εἰ τοίνυν ὅτι ἀποθανεῖσθε οὐ πιστεύετε, πράγματι οὕτω δήλῳ καὶ φανερῷ, πῶς ὑμῖν πιστεύσομεν μαρτυροῦσιν; εἰσὶ γὰρ, εἰσὶ πολλοὶ τῶν ἀνθρώπων, οἳ οὕτω διάκεινται, ὡς οὐκ ἀποθανούμενοι. ὅταν γὰρ ἐν γήρᾳ μακρῷ ἄρχωνται οἰκοδομεῖν καὶ γεωργεῖν, πότε λογισμὸν λήψονται θανάτου; οὐ μικρὰ ἡ κόλασις ἡμῖν κληθεῖσι μὲν εἰς μαρτυρίαν, μὴ δυνηθεῖσι δὲ μαρτυρῆσαι ἃ εἴδομεν. εἴδομεν καὶ ἡμεῖς ὀφθαλμοῖς τοὺς ἀγγέλους, καὶ σαφέστερον τῶν ἑωρακότων. οὐκοῦν μαρτυρήσωμεν τῷ Χριστῷ; οὐ γὰρ δὴ ἐκεῖνοι μάρτυρες μόνον, ἀλλὰ καὶ ἡμεῖς.

διὰ τοῦτο ἐκεῖνοι λέγονται μάρτυρες, ὅτι κελευόμενοι ἐξομόσασθαι πάντα ὑπομένουσιν, ἵνα τὴν ἀλήθειαν εἴπωσι· καὶ ἡμεῖς, ὅταν ὑπὸ τῶν παθῶν κελευώμεθα ἐξομόσασθαι, μὴ ἡττώμεθα. ὁ χρυσὸς λέγει, εἰπὲ ὅτι ὁ Χριστὸς οὐκ ἔστι Χριστός· μὴ οὖν ἄκουε σὺ ὡς Θεοῦ, ἀλλὰ καταφρόνησον τῶν ἐκείνου προσταγμάτων. αἱ ἐπιθυμίαι αἱ πονηραὶ τὸ αὐτὸ λέγουσιν· ἀλλὰ σὺ μὴ παραπεισθῇς, ἀλλὰ στῆθι γενναίως, ἵνα μὴ καὶ περὶ ἡμῶν λαληθῇ· Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις ἀρνοῦνται. τοῦτο γὰρ οὐ μαρτύρων, ἀλλὰ τὸ ἐναντίον. καὶ τὸ μὲν τοὺς ἄλλους ἀρνεῖσθαι, οὐδὲν θαυμαστόν. τὸ δὲ ἡμᾶς τοὺς εἰς μαρτύριον κληθέντας ἐξάρνους γενέσθαι, βαρὺ καὶ φορτικόν. τοῦτο μάλιστα βλάπτει. τὰ ἡμέτερα εἰς μαρτύριον αὐτοῖς ἀποβήσεται, φησιν, ἀλλ' ὅταν οὐκ ἀποπηδήσωμεν, ὅταν ἐνστῶμεν, εἰ πάντες ἐβουλόμεθα μαρτυρεῖν τῷ Χριστῷ, ταχέως ἂν ἐπείσαμεν τῶν Ἑλλήνων τοὺς πολλούς. μέγα βίος ἀγαπητοί. κἂν σφόδρα θηριώδης ᾖ τις, κἂν φανερῶς οὐ καταγινώσκῃ διὰ τὸ δόγμα, ἀλλ' ἀποδέχεται λάθρα, ἀλλ' ἐπαινέσεται, ἀλλὰ θαυμάσεται. καὶ πόθεν, φησὶν, ἂν γένοιτο βίος ἄριστος; οὐδαμόθεν, ἀλλ' ἢ ἀπὸ θείας ἐνεργείας. τί οὖν ὅταν καὶ Ἕλληνες ὦσι τοιοῦτοι; ἐκεῖνοι εἴπου καὶ εἶεν τοιοῦτοι, οἱ μὲν φύσει, οἱ δὲ διὰ κενοδοξίαν. βούλει μαθεῖν ὅση ἡ τοῦ βίου λαμπρότης; ὅσην ἔχει τὴν πειθώ; πολλοὶ τῶν αἱρετικῶν οὕτως ἴσχυσαν, καὶ τὰ δόγματα καίτοι αὐτοῖς ὄντα διεφθαρμένα, οἱ πολλοὶ τῶν ἀνθρώπων αἰδοῖ τῇ περὶ τὸν βίον, οὐκ ἔτι τὸ δόγμα ἐξήτασαν· ἄλλοι δὲ καὶ καταγινώσκοντες αὐτῶν διὰ τὸ δόγμα, ᾐδέσθησαν διὰ τὸν βίον· οὐ καλῶς μὲν, πλὴν ὅμως τοῦτο ἔπαθον· τοῦτο τὰ σεμνὰ τῆς πίστεως τῆς ἡμετέρας διέβαλε, τοῦτο τὰ πάντα ἀνέτρεψε, τὸ μηδένα λόγον εἶναι βίου μηδενί· τοῦτο τῇ πίστει λυμαίνεται. λέγομεν ὅτι Θεός ἐστιν ὁ Χριστός· μυρία καὶ ἕτερα παράγομεν· μετὰ δὲ τῶν ἄλλων καὶ τοῦτο, ὅτι ἔπεισεν ἅπαντας ὀρθῶς ζῆν. ἀλλὰ τοῦτο ἐν ὀλίγοις ἐστί· τὸ τῆς ἀναστάσεως δόγμα λυμαίνεται, ἡ τοῦ βίου φαυλότης, τὸ τῆς ἀθανασίας τῆς ψυχῆς, τὸ τῆς κρίσεως, πολλὰ καὶ ἕτερα ἐπισπᾶται, εἱμαρμένην, ἀνάγκην, τὸ ἀπρονόητον. ψυχὴ γὰρ βαπτισθεῖσα μυρίοις κακοῖς, ὥσπερ τινὰς παραμυθίας ταύτας ἐπινοεῖν ἑαυτῇ πειρᾶται, ἵνα μὴ λυπῆται λογιζομένη ὅτι κρίσις ἐστὶ, καὶ ὅτι ἐφ' ἡμῖν κεῖται τὰ τῆς ἀρετῆς, καὶ τὰ τῆς κακίας. μυρία ὁ βίος ἐργάζεται κακά· θηρία τοὺς ἀνθρώπους ποιεῖ, καὶ θηρίων ἀλογωτέρους. ἅπερ γὰρ ἐν ἑκάστῃ φύσει τῶν θηρίων ἐστὶ, ταῦτα πολλάκις εἰς ἕνα ἄνθρωπον συνήγαγε, καὶ τὸ πᾶν ἀνέτρεψε. διὰ τοῦτο τὴν εἱμαρμένην εἰσήγαγεν ὁ διάβολος· διὰ τοῦτο ἀπρονόητον ἔφησεν εἶναι τὸν κόσμον· διὰ τοῦτο φύσεις ἀγαθὰς καὶ κακάς· διὰ τοῦτο κακὸν ἄναρχον καὶ ὑλικὸν ὑποτίθεται· διὰ τοῦτο πάντα πράττει, ἵνα διαφθείρῃ τὸν βίον ἡμῶν. οὔτε γὰρ ἀπὸ διεφθαρμένων δογμάτων δυνατὸν ἀνενεγκεῖν βίου ὄντα τοιοῦτον, οὔτε μένειν ἐν ὑγιαινούσῃ πίστει· ἀλλ' ἀνάγκη πολλὴ ταῦτα παραδέξασθαι. οὐ γὰρ οἶμαι ἔγωγε ταχέως τινὰ τῶν οὐκ ὀρθῶς ζώντων εὑρίσκεσθαι, μὴ μυρία σατανικὰ βουλευόμενον, ὅτι γένεσίς ἐστιν, ὅτι ἁπλῶς τὰ πράγματα ἄγεται, ὅτι φύρδην καὶ κεχυμένως πάντα διοικεῖται. διὸ παρακαλῶ, φροντίζωμεν βίου καλοῦ, ἵνα μὴ παραδεχώμεθα δόγματα πονηρά· ὁ Κάϊν ἔλαβε τιμωρίαν στένειν καὶ τρέμειν. τοιοῦτοί εἰσιν οἱ πονηροὶ, καὶ συνειδότες ἑαυτοῖς μυρία κακά. πολλάκις ἐξ ὕπνων ἐξάλλονται· θορυβώδεις αὐτῶν οἱ λογισμοί· τεταραγμένοι οἱ ὀφθαλμοί· ὑποψίας γέμει πάντα· καταπλήττεται πάντα· χαλεπῆς προσδοκίας, δειλίας ἀνάμεστος αὐτῶν ἡ ψυχή, φόβῳ συστρεφομένη καὶ τρόμῳ ἀδρανὴς γίνεται. οὐδὲν τῆς τοιαύτης ψυχῆς μαλακώτερον γένοιτο ἂν· οὐδὲν ἀνοητότερον. καθάπερ οἱ μαινόμενοι οὐχ ἑστήκασιν ἐν ἑαυτοῖς· οὕτως οὐδὲ ἡ τοιαύτη ἐν ἑαυτῇ ἕστηκε. πότε οὖν αὕτη εἰς συναίσθησιν ἔλθῃ τοσαύτην ἔχουσα σκοτοδινίαν, ἣν ἀγαπητὲ γαλήνης ἀπολαύουσα καὶ εὐδίας, δυνηθείη ἐπιγνῶναι τὴν οἰκείαν εὐγένειαν; ὅταν δὲ πάντα αὐτὴν ἐκφοβῇ καὶ ταράττῃ, καὶ ὄνειροι, καὶ ῥήματα, καὶ σχήματα, καὶ ὑποψίαι ἁπλῶς, πότε δυνήσεται εἰς ἑαυτὴν ἰδεῖν, οὕτως ἐκτεταραγμένη καὶ τεθορυβημένη; λύσωμεν τοίνυν αὐτῆς τὸ δέος· διαρρήξωμεν τὰ δεσμά. εἰ γὰρ μὴ κόλασις ἦν, ποίας ταῦτα κολάσεως οὐ χείρω, ὑπὸ φόβῳ ζῆν ἀεὶ, μηδέποτε θαρρεῖν, μηδέποτε ἀνίεσθαι; ταῦτα δὴ πάντα μετ' ἀκριβείας εἰδότες, ἐν γαλήνῃ ἑαυτοὺς διατηρῶμεν, καὶ ἀρετῆς ἐπιμελώμεθα, ἵνα καὶ ὑγιῆ δόγματα ἔχοντες καὶ βίον ὀρθὸν, ἀπροσκόπως τὴν παροῦσαν ζωὴν διανύσωμεν, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν δυνηθῶμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

Eapropter illi dicuntur martyres, quia cum juberentur confiteri, omnia sustinuerint, ut veritatem dicant: & nos quando affectiones nostræ jubent confiteri, succumbimus. Aurum dicit, dic quod Christus non est Deus: ne igitur audito quasi Deum, sed contemne illius præcepta. Concupiscentiæ malæ idem dicunt, sed tu ne persuadeare: sta fortiter, ne etiam de nobis dicatur, *Deum confitentur scire, operibus autem negant.* Tit. 1, 16. Hoc enim non est testium, sed adversariorum. Et quod alii quidem negant, non est mirabile: quod autem nos qui ad confessionem vocati sumus, negamus, valde grave est & onerosum. In testimonium illis eveniet, inquit. Sed quando non resiliemus, sed consistimus, dicentes, velle nos testimonium dare Christo, forsan persuadebimus Græcis plurimis. Multum momenti in vita est, dilecti, licet sit quispiam valde efferus, etiam si per dogma non condemnetur. sed clam approbat, laudabit, & admirabitur. Et unde, dicis, erit vita optima? Non aliunde quam à divina operatione? Quid igitur, quum & Græci sint tales, alii natura, alii vanæ gloriæ studio? Vis discere quantum valeat vitæ claritudo ac honestas? Multi hæretici fortes fuerunt, licet corruptissimis dogmatis imbuti essent. Multi homines dogma non quæsiverunt quod vitæ talis eos puderet. Alii quos propter dogma condemnaverunt, propter vitam reveriti sunt, licet non bene fecerint: hoc tamen eis evenit: hoc religionis nostræ honestatem redarguit: hoc omnia subvertit, quod nullus rationem & curam vitæ habet: hoc religionem pessundat. Dicimus Deum esse Christum, & cum aliis etiam hoc, quia persuasit omnibus rectam vitam, quam in paucis videre licet. Resurrectionis dogma lædit vitæ improbitas, dilacerat immortalitatem animarum, & judicium & multa alia: inducit fatum, necessitatem, negationem providentiæ. Anima enim multis malis immersa, has sibi consolationes excitare attentat, ut ne cogitans esse judicium contristetur, & situm esse in nobis facere bonum & facere malum, negat. Vita talis operatur innumera mala, bestias facit ex hominibus & bestiis stupidiores. Nam quæ in singulis bestiarum ingeniis habes, ea sæpe in uno homine congregat, & totum subvertit. Idcirco fatum introduxit diabolus, idcirco absque providentia dixit mundum gubernari: idcirco ponit naturas bonas & malas: idcirco malum absque initio, & materiale subjicit. Ideo omnia agit, ut vitam nostram corrumpat: neque possibile est, eum qui sic vivit resipiscere, vel in sana fide permanere: Sed magna necessitas est hæc assumere. Equidem opinor non facilè repetiri, non rectè viventem, non innumera satanica sentire: utpote quod tribuat aliquid nativitatibus, & quod temerè fiant omnia, & quod omnia confusè ac sine ordine dispensentur. Ideo oro habeamus curam bonæ vitæ, ne mala dogmata suscipiamus. Cain reportavit, quod tremeret ac gemisceret. Gen. 4. Illius similes sunt mali, & sibi malè conscii plurimorum malorum. Sæpenumero è somno excitantur, turbulentæ sunt cogitationes eorum, turbati oculi, suspicionibus plena sunt omnia, metu & gravi expectatione referta est anima illorum, formidine terroréque turbatur, & imbellis fit, nihil anima illa mollius, nihil insipientius, & ut lunatici instabiles. Unde igitur illa quæ tanta laborat cæcitate ad cognitionem sui veniet? & certè si tranquillitatem haberet, ac serenitatem, posset agnoscere suam nobilitatem: quando autem omnia terrent ac turbant, & somnia, & verba, & habitus, & minimæ suspiciones, quomodo poterit seipsam videre sic turbata ac inquieta? Solvamus igitur illius metum, disrumpamus vincula. Nam si non esset pœna, qua pœna non sunt hæc graviora, semper vivere in timore, nunquam fidenter agere, nunquam refocillari? Hæc omnia exactè scientes, in tranquillitate nos ipsos servemus, & virtutem curemus, ut & sana dogmata habentes, & vitam rectam sine offendiculo, ita hanc vitam perficiamus, quò bona diligentibus Deum promissa assequamur, gratia & misericordia unigeniti ejus, cui cum Patre simul ac sancto Spiritu, gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMI-

HOMILIA XLVIII.

Factum est autem quum essem reversus Hierusalem & orarem in templo, ut fierem in ecstasi, & viderem illum dicentem mihi: Festina, & exi velociter ex Hierusalem, eo quod non suscipient testimonium tuum de me. Et ego dicebam: Domine, illi sciunt quod ego conjiciebam in carcerem, & percutiebam in singulis synagogis credentes in te: & quando effundebatur sanguis Stephani testis tui, etiam ipse assistebam & consentiebam cadi ejus, custodiens vestimenta occidentium illum.

Vide quomodo se in pericula conjicit. Subdit enim. *Factum est autem, quum essem reversus Hierusalem.* Hoc est, venissem post visionem illam in Hierusalem iterum. *Et quum orarem in templo, ut fierem in ecstasi, viderem\[que\] dicentem mihi: Festina & exi velociter ex Hierusalem, eo quod non suscipient testimonium tuum de me.* Vide, neque hoc sine testimonio agitur, sed ab eventu est testimonium. Dixerat, *quod non suscipient testimonium tuum.* Et non susceperunt. Certè ex conjecturis divinari licebat, quod essent suscepturi. *Ego enim eram conjiciens in carcerem, & percutiens,* inquit; unde vel propter hoc suscipere debuerant, & nihilominus non susceperunt. Ideo & hoc *in ecstasi* dicit, quod non erant suscepturi. Hic duo præparat, & quod non possit excusari: Nam præter meritum, & præter rationem ipsum persequebantur: & quod Deus esset Christus, ea quæ præter expectationem prophetizans, & non in ea quæ facta sunt respiciens, sed præsciens futura. Quomodo igitur dicit, *coram gentibus, & regibus filiis\[que\] Israël portabis nomen meum? Portabis,* inquit, *non autem omnino persuadebis.* Et iterum: *Judæi alibi quidem persuadebantur, hic autem non. Et quando effundebatur sanguis Stephani martyris tui, etiam ipse assistebam, & consentiebam cadi illius.* Vide iterum quò sermo desinat, nempe in validum caput. Monstrat enim quod ipse fuerit persequutor, & non persequutor solùm, sed etiam multis manibus occidens Stephanum. Memoriæ illorum suggessit grave homicidium. Quod sanè minimè ferebant, sic de illo reprehendi. Et jam prophetia implebatur. Zelus igitur magnus, & accusatio vehemens, & testes veritatis Christi fidenter loquentes erant valde, sed Judæi non permittebant ultrà audire totam concionem, sed ultrà accensi furore clamabant. *Et dixit ad me: Vade, quia ego ad gentes procul mittam te. Audiverunt autem eum us\[que\] ad hunc sermonem, at\[que\] sublatis vocibus dicebant: Tolle de terra hominem istiusmodi, non enim fas est eum vivere. Clamantibus autem illis, & projicientibus vestimenta, & pulverem mittentibus in aërem, jussit tribunus ut induceretur in castra, dicens flagris eum examinandum, ut cognosceat propter quam causam contra illum clamat.* Oportebat hic tribunum etiam illos ipsos rogare, an ita res habeant. At ille nihil amplius faciens, flagris illum præcipit examinari. *Jussit enim illum,* inquit, *induci in castra:* & deinde, ut dixit, *flagris examinandum eum: ut sciat propter quam causam sic contra illum clamarent,* id quod ab inclamantibus discere oportebat & rogare, an aliquem ex dictis apprehenderint, sed simpliciter utebatur potestate, & faciebat in gratiam illorum. Non enim hoc quærebat quomodo justè aliquid faceret, sed quomodo illorum injustum furorem placaret. *Ut autem astrinxerunt ipsum loris, dixit astanti centurioni: Num hominem Romanum & indemnatum licet vobis flagellare?* Non est mentitus Paulus se dicens Romanum hominem. Absit. Romanus enim erat. Ideo & tribunus eo audito, territus est. Et cujus, inquit, gratia timuit? Si etiam nihil aliud timuit, ne capiatur, & majorem pœnam det. Et vide. Non simpliciter, inquit: *Nunquid licet vobis?* Duo crimina, & *absq\[ue\] judicio,* & *hominem Romanum.* Magnum habebant privilegium qui sic merebantur appellari, & non omnes hoc assequebantur. Ab Hadriano enim ajunt omnes Romanos esse dictos. Hoc autem vetus, non sic habebat. Vel etiam Romanum se vocabat, ut pœnam effugeret. Contemptior enim factus fuisset flagellatus, nunc autem hoc dicto majorem illis incutit metum. Si autem flagellassent, & aggravassent rem vel etiam occidissent illum, quod nunc effugit. Vide quomodo Deus concedit etiam humano more multa fieri, & in illis & in aliis. Tribunus autem respondens, quod multa summa civilitatem illam compararit, ostendit esse suspicionem prætextus; quòd Paulus diceret se esse Romanum, & forsan hoc suspicabatur ob vilitatem quæ in Paulo apparebat. *Quo audito, centurio accedens tribunum annunciavit, dicens: Vide quid facturus es. Homo hic Romanus est. Accedens autem tribunus dixit ei: Dic mihi, num Romanus es?*

ΟΜΙΛΙΑ μη΄.

Ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλὴμ, προσευχομένου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει καὶ ἰδεῖν λέγοντά μοι αὐτόν· σπεῦσον καὶ ἔξελθε ἐν τάχει ἐξ Ἱερουσαλὴμ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. κἀγὼ εἶπον· Κύριε, αὐτοὶ ἐπίστανται ὅτι ἐγὼ ἤμην φυλακίζων, καὶ δέρων κατὰ τὰς συναγωγὰς τοὺς πιστεύοντας ἐπὶ σέ. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς, καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ, φυλάσσων τὰ ἱμάτια τῶν ἀναιρούντων αὐτόν.

Ὅρα πῶς ἑαυτὸν εἰσωθεῖ εἰς τοὺς κινδύνους. ἐπάγει γάρ· ἐγένετο δέ μοι ὑποστρέψαντι εἰς Ἱερουσαλήμ. τουτέστιν, ἦλθον μετὰ τὴν ὄψιν ἐκείνην εἰς Ἱερουσαλὴμ πάλιν. καὶ προσευχομένου μου ἐν τῷ ἱερῷ, γενέσθαι με ἐν ἐκστάσει, καὶ ἰδεῖν λέγοντά μοι· σπεῦσον καὶ ἔξελθε ἐν τάχει, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν περὶ ἐμοῦ. ὅρα, οὐδὲ τοῦτο ἀμάρτυρον, ἀλλ' ἀπὸ τῆς ἐκβάσεως ἡ μαρτυρία. εἶπεν, ὅτι οὐ δέξονταί σου τὴν μαρτυρίαν καὶ οὐκ ἐδέξαντο. καὶ μὴν ἀπὸ λογισμῶν ἔδει ὑποπτεῦσαι ὅτι πάντως δέξονται· ἐγὼ γὰρ ἤμην ὁ φυλακίζων καὶ δέρων, φησίν· ὥστε διὰ τοῦτο ἔδει αὐτοὺς δέξασθαι· καὶ ὅμως οὐκ ἐδέξαντο. διὸ καὶ τοῦτο ἐν τῇ ἐκστάσει μανθάνει τὸ μὴ παραδεχθῆναι. ἐνταῦθα δύο κατασκευάζει, ὅτι τε ἀναπολόγητα αὐτοῖς ἐστιν· οὐ γὰρ κατὰ τὸ εἰκὸς αὐτὸν ἐδίωκον οὐδὲ κατὰ λόγον· καὶ ὅτι Θεὸς ἦν ὁ Χριστὸς τὰ παρὰ προσδοκίαν προφητεύων, καὶ οὐχ ὁρῶν εἰς τὰ γινόμενα, ἀλλὰ τὰ μέλλοντα προειδώς. πῶς οὖν λέγει, ἐνώπιον ἐθνῶν καὶ βασιλέων υἱῶν τε Ἰσραὴλ βαστάσει τὸ ὄνομά μου; βαστάσει εἶπεν, οὐ πάντως πείσει. ἄλλως δὲ Ἰουδαῖοι ἀλλαχοῦ μὲν ἐπείθοντο· ἐνταῦθα δὲ οὐχί. ὅπου μάλιστα ἔδει πεισθῆναι εἰδότας αὐτοῦ τὴν προτέραν προθυμίαν, ἐνταῦθα οὐκ ἐπείθοντο. καὶ ὅτε ἐξεχεῖτο τὸ αἷμα Στεφάνου τοῦ μάρτυρός σου, καὶ αὐτὸς ἤμην ἐφεστὼς, καὶ συνευδοκῶν τῇ ἀναιρέσει αὐτοῦ. ὅρα πῶς πάλιν ὁ λόγος τελευτᾷ εἰς τὸ ἰσχυρὸν κεφάλαιον. δείκνυσι γὰρ ὅτι αὐτὸς ἦν ὁ ἐλαύνων· καὶ οὐκ ἐλαύνων μόνον, ἀλλὰ καὶ μυρίαις χερσὶν ἀναιρῶν τὸν Στέφανον. ὑπέμνησεν αὐτοὺς μιαιφονίας χαλεπῆς. τότε δὴ μάλιστα οὐκ ἤνεγκον, ἐπειδὴ τοῦτο ἤλεγχεν αὐτούς. καὶ ἤδη ἡ προφητεία ἐπληροῦτο. ὁ ζῆλος τοίνυν πολὺς, καὶ ἡ κατηγορία σφοδρά· καὶ οἱ μάρτυρες τῆς ἀληθείας τοῦ Χριστοῦ παρρησίᾳ διαλεγόμενοι. ἀλλ' οἱ Ἰουδαῖοι οὐκ ἠνέχοντο λοιπὸν πάσης ἀκοῦσαι τῆς δημηγορίας, ἀλλ' ὑπὸ τοῦ θυμοῦ σφόδρα ἐμπρησθέντες ἐβόων. καὶ εἶπε πρός με, πορεύου, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἀποστελῶ σε. ἤκουον δὲ αὐτοῦ ἄχρι τοῦ λόγου τούτου, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν λέγοντες· αἶρε ἀπὸ τῆς γῆς τὸν τοιοῦτον· οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. κραζόντων δὲ αὐτῶν καὶ ῥιπτούντων τὰ ἱμάτια, καὶ κονιορτὸν βαλλόντων εἰς τὸν ἀέρα, ἐκέλευσεν ὁ χιλίαρχος εἰσάγεσθαι αὐτὸν εἰς τὴν παρεμβολὴν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτὸν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων αὐτοῦ. καὶ τὸν χιλίαρχον ἔδει ἐξετάσαι εἰ ταῦτα οὕτως ἔχοι, ἢ καὶ αὐτοὺς ἐκείνους· ὁ δὲ μηδὲν πλέον ποιήσας, μάστιξιν ἀνετάζειν αὐτὸν ἐπαγγέλλεται. ἐκέλευσε γὰρ αὐτὸν, φησὶν, εἰσάγεσθαι εἰς τὴν παρεμβολὴν, εἰπὼν μάστιξιν ἀνετάζεσθαι αὐτὸν, ἵνα γνῷ δι' ἣν αἰτίαν οὕτω κατεβόων, καὶ ἐρωτῆσαι εἴ τινος τῶν εἰρημένων ἐπιλαμβάνονται. ἀλλ' ἁπλῶς τῇ ἐξουσίᾳ χρῆται, καὶ ἐκείνοις πρὸς χάριν ποιεῖ. οὐ γὰρ τοῦτο ἐζήτει ὅπως δικαίως τι πράξειεν, ἀλλ' ὅπως παύσειε τὸν ἐκείνων θυμὸν ἄδικον ὄντα. ὡς δὲ προέτειναν αὐτὸν τοῖς ἱμᾶσιν, εἶπε πρὸς τὸν ἑστῶτα ἑκατόνταρχον· εἰ ἄνθρωπον Ῥωμαῖον καὶ ἀκατάκριτον ἔξεστιν ὑμῖν μαστίζειν; οὐκ ἐψεύσατο Παῦλος· μὴ γένοιτο· Ῥωμαῖον ἑαυτὸν εἰπών· Ῥωμαῖος γὰρ ἦν. διὸ καὶ ὁ χιλίαρχος ἀκούσας ἐφοβήθη. καὶ τίνος, φησὶν, ἕνεκεν ἐφοβήθη; εἰ καὶ μηδὲν ἕτερον, ἔδεισεν ἂν μὴ ἁλῷ καὶ μείζονα δίκην δῷ. καὶ ὅρα· οὐχ ἁπλῶς, φησὶν, ἀλλ' εἰ ἔξεστιν ὑμῖν. δύο τὰ ἐγκλήματα· καὶ τὸ ἄνευ λόγου, καὶ τὸ Ῥωμαῖον ὄντα. μεγάλην εἶχον ταύτην τότε προνομίαν οἱ ἀξιούμενοι οὕτω καλεῖσθαι, καὶ οὐ πάντες τούτου ἐτύγχανον. ἀπὸ γὰρ Ἀδριανοῦ φασὶ πάντας Ῥωμαίους ὀνομασθῆναι· τὸ δὲ παλαιὸν, οὐχ οὕτως ἦν. ἢ καὶ Ῥωμαῖον ἑαυτὸν εἶπεν, ἵνα διαφύγῃ τὴν τιμωρίαν. εὐκαταφρόνητος γὰρ ἂν ἐγένετο μαστιχθείς. νῦν δὲ τοῦτο εἰπὼν, εἰς πλείονα αὐτοῖς ἐνέβαλλε φόβον. εἰ δὲ ἐμάστιξαν, καὶ παρέτρεψαν ἂν τὸ πρᾶγμα, ἢ καὶ ἀπέκτειναν αὐτόν· νῦν δὲ οὐχ οὕτω γίνεται. ὅρα πῶς ὁ Θεὸς συγχωρεῖ καὶ ἀνθρωπίνως πολλὰ γίνεσθαι, καὶ ἐπ' αὐτοῦ καὶ τῶν λοιπῶν. ὁ δὲ χιλίαρχος ἀποκριθεὶς, ὅτι πολλοῦ κεφαλαίου τὴν πολιτείαν ταύτην ἐκτησάμην, δείκνυσιν ὑποπτεῦσαι πρόφασιν εἶναι τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον τὸν Παῦλον· καὶ ἴσως τοῦτο ὑπέλαβεν ἀπὸ τῆς λιτότητος Παύλου τῆς φαινομένης. ἀκούσας δὲ ὁ ἑκατόνταρχος, προσελθὼν τῷ χιλιάρχῳ ἀπήγγειλε λέγων· ὅρα τί μέλλεις ποιεῖν· ὁ γὰρ ἄνθρωπος οὗτος Ῥωμαῖός ἐστι. προσελθὼν δὲ ὁ χιλίαρχος εἶπεν αὐτῷ· λέγε μοι, εἰ σὺ Ῥωμαῖος εἶ;

» ὁ δὲ ἔφη· ναί. ἀπεκρίθη ὁ χιλίαρχος· ἐγὼ πολλοῦ κεφαλαίου τὴν
» πολιτείαν ταύτην ἐκτησάμην. ὁ δὲ Παῦλος φησὶν· ἐγὼ δὲ καὶ γε-
» γέννημαι. εὐθέως δὲ ἀπέστησαν ἀπ' αὐτοῦ οἱ μέλλοντες αὐτὸν ἀνετάζειν
» αὐτόν. καὶ ὁ χιλίαρχος δὲ ἐφοβήθη ἐπιγνοὺς ὅτι Ῥωμαῖός ἐστι, καὶ ὅτι
» ἦν αὐτὸν δεδεκώς. ἐγὼ δὲ, φησὶ, καὶ γεγέννημαι. ἄρα καὶ πατρὸς ἦν
Ῥωμαίου. τί οὖν ἀπὸ τούτου γίνεται; λύσας κατήγαγεν αὐτὸν πρὸς τοὺς
Ἰουδαίους. οὕτως οὐκ ἦν ψεῦδος τὸ εἰπεῖν ἑαυτὸν Ῥωμαῖον, ὅτι καὶ ἀπο-
νατο ἀπ' αὐτοῦ λυθεὶς τοῦ δεσμοῦ. καὶ πῶς, ἄκουε. τῇ δὲ ἐπαύριον βου-
» λόμενος γνῶναι τὸ ἀσφαλὲς, τὸ τί κατηγορεῖται ὑπὸ τῶν Ἰουδαίων,
» ἔλυσεν αὐτὸν, καὶ ἐκέλευσε συνελθεῖν τοὺς ἀρχιερεῖς, καὶ πᾶν τὸ συν-
» έδριον· καὶ καταγαγὼν τὸν Παῦλον, ἔστησεν εἰς αὐτούς.

» Ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ εἶπεν. οὐκέτι πρὸς τὸν χι-
» λίαρχον· ἀλλὰ πρὸς τὸ πλῆθος καὶ τὸν δῆμον πάντα διαλέγεται. καὶ
» τί, φησὶν. ἄνδρες ἀδελφοὶ, ἐγὼ πάσῃ συνειδήσει ἀγαθῇ πεπολι-
» τεύμαι τῷ Θεῷ ἄχρι ταύτης τῆς ἡμέρας. ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐ σύν-
οιδα ἐμαυτῷ ἠδικηκὼς ὑμᾶς, ὥστε ἄξιον τῶν δεσμῶν τούτων πρᾶξαι-
τι. τί οὖν ὁ ἀρχιερεύς; δέον κατανυγῆναι ἐφ' οἷς εἰς χάριν αὐτῶν
ἀδίκως ἐδέδετο· ὁ δὲ καὶ προσεπιτίθησι, καὶ κελεύει τύπτεσθαι αὐτόν. ὃ
» καὶ δῆλον ἐξ ὧν ἐπήγαγεν· ὁ δὲ ἀρχιερεὺς Ἀνανίας τοῖς παρεστῶσιν
» αὐτῷ ἐπέταξε τύπτειν αὐτοῦ τὸ στόμα. καλός γε καὶ ἐπιεικὴς ὁ ἀρ-
» χιερεύς. τότε ὁ Παῦλος πρὸς αὐτὸν εἶπε· τύπτειν σε μέλλει ὁ Θεὸς,
» τοῖχε κεκονιαμένε. καὶ σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, καὶ παρανο-
» μῶν κελεύεις με τύπτεσθαι; οἱ δὲ παρεστῶτες εἶπον· τὸν ἀρχιερέα
» τοῦ Θεοῦ λοιδορεῖς; ἔφη τε ὁ Παῦλος· οὐκ ᾔδειν ἀδελφοὶ, ὅτι ἐστὶν
» ἀρχιερεύς. γέγραπται γάρ· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς.
τινὲς μὲν οὖν φασιν, ὅτι εἰδὼς εἰρωνεύεται· ἐμοὶ δὲ δοκεῖ, ὅτι οὐδὲ ὅλως
ᾔδει ὅτι ἐστὶν ἀρχιερεύς. ἢ γὰρ ἂν, καὶ ἐτίμησε. διὸ καὶ ἀπολογεῖται ὡς
κατηγορίας οὔσης· καὶ ἐπάγει, ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κα-
κῶς. τί οὖν φησιν; εἰ γὰρ μὴ ἄρχων ἦν, ἄλλον ἁπλῶς ὑβρίζειν ἔδει;
οὐδαμῶς· ἀλλὰ καὶ ὑβριζόμενον μᾶλλον ἐνεγκεῖν. ἄξιον δὲ ζητῆσαι·
πῶς ἀλλαχοῦ ὁ αὐτὸς λέγων· λοιδορούμενοι εὐλογοῦμεν, διωκόμενοι
ἀνεχόμεθα, ἐν ταῦθα τοὐναντίον ποιεῖ; καὶ οὐ λοιδορεῖται μόνον, ἀλλὰ
καὶ ἐπαρᾶται. ἀπαγε, οὐδέτερον τούτων φαίνεται πεποιηκώς· ἀλλὰ τῷ
ἀκριβῶς ἐξετάζοντι, παῤῥησίας μᾶλλον ἐστι τὰ ῥήματα ἢ θυμοῦ. ἀλ-
λως δέ· οὐκ ἐβούλετο εὐκαταφρόνητος φανῆναι τῷ χιλιάρχῳ.
εἰ γὰρ αὐτὸς μὲν ἐφείσατο μαστίξαι ὡς δὴ τοῖς Ἰουδαίοις ἐκδίδοσθαι
μέλλοντα, τὸ ὑπὸ τῶν οἰκετῶν τύπτεσθαι, μᾶλλον ἂν ἐκεῖνον θρασύτερον
εἰργάσατο. διὰ τοῦτο οὐδὲ πρὸς τὸν παῖδα ἀποτείνεται. ἀλλὰ πρὸς
αὐτὸν τὸν ἐπιτάξαντα, τοῦτο κατασκευάζων. τὸ δὲ, τοῖχε κεκονιαμένε, καὶ
σὺ κάθῃ κρίνων με κατὰ τὸν νόμον, εἶπε, μονονουχὶ τοῦτο αὐτὸ λέγων,
ὑπεύθυνος ὢν, καὶ μυρίων πληγῶν ἄξιος. ὅρα γοῦν πῶς αὐτοῦ κατ-
επλάγησαν τὴν παῤῥησίαν ὁ δῆμος· δέον γὰρ ἀνατρέψαι τὸ πᾶν,
παροινοῦσι μᾶλλον. αὐτὸς δὲ καὶ τὸν νόμον ὑπαναγινώσκει, οὐ βούλεται
δεῖξαι ὅτι οὐ διὰ τὸ φοβηθῆναι, οὐδὲ διὰ τὸ μὴ ἄξιον εἶναι ἀκοῦσαι,
ταῦτα οὕτως εἶπεν, ἀλλὰ τῷ νόμῳ καὶ ἐνταῦθα πειθόμενος. καὶ σφόδρα
πείθομαι μὴ εἰδέναι αὐτὸν ὅτι ἀρχιερεύς ἐστι· διὰ μακροῦ μὲν ἐπαν-
ελθόντα χρόνου, μὴ συγγινόμενον δὲ συνεχῶς Ἰουδαίοις· ὁρῶντα δὲ καὶ
ἐκεῖνον ἐν τῷ μέσῳ μετὰ πολλῶν καὶ ἑτέρων. οὐκέτι γὰρ δῆλος ἦν ὁ ἀρ-
χιερεὺς πολλῶν ὄντων καὶ διαφόρων. ἐμοὶ μοὶ καὶ τοῦτο πρὸς αὐτοὺς ἀ-
ποτείνεσθαι δοκεῖ, δεικνὺς ὅτι νόμῳ πείθεται, καὶ διὰ τοῦτο ἀπολογεῖται.
ἴδωμεν δὲ ἄνωθεν τὰ εἰρημένα. προσευχομένου μου, φησὶν, ἐν τῷ
ἱερῷ, ἐγένετο γενέσθαι με ἐν ἐκστάσει. ἵνα δηλώσῃ ὅτι οὐχ ἁπλῶς
φαντασία ἦν, διὰ τοῦτο προσέθηκε τὸ, προσευχομένου μου. σπεῦσον
καὶ ἔξελθε ἐν τάχει, φησὶ, διότι οὐ παραδέξονταί σου τὴν μαρτυρίαν.
ἐνταῦθα δείκνυσιν ὅτι οὐχὶ φοβούμενος αὐτὸν τοὺς κινδύνους ἔφυγεν,
ἀλλ' ὅτι οὐκ ἐδέχοντο τὴν μαρτυρίαν αὐτοῦ. διατί δὲ εἶπεν, ὅτι αὐτοὶ
ἐπίστανται ὅτι ἐγὼ ἤμην δεσμεύων; οὐκ ἀντιλέγων τῷ Χριστῷ, μὴ
γένοιτο· ἀλλὰ βουλόμενος μαθεῖν τὸ οὕτω παράδοξον. πορεύου,
φησὶν, ὅτι ἐγὼ εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε. ὅρα· οὐκ ἐδίδα-
ξεν αὐτὸν ὁ Χριστὸς τί δεῖ ποιεῖν· ἀλλ' εἶπε μόνον ἀπελθεῖν, καὶ πεί-
θεται. τοσοῦτον ἦν καταπειθής. καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν, φησὶ
λέγοντες· αἶρε αὐτὸν, οὐ γὰρ καθῆκεν αὐτὸν ζῆν. αὐτὸν θρασύτατος!
καὶ μὲν ὑμᾶς οὐ καθήκει ζῆν, οὐχὶ τοῦτον τὸν πάντα πειθόμενον τῷ Θεῷ. ὦ
μιαροὶ καὶ ἀνδροφόνοι! καὶ τὰ ἱμάτια ἐκτινάσσοντες, φησὶ, κο-
νιορτὸν ἔβαλλον. ὥστε χαλεπωτέραν γενέσθαι τὴν στάσιν τοῦτο ποιοῦσιν,
ἢ καὶ φοβῆσαι βουλόμενοι τὸν ἄρχοντα. καὶ ὅρα· οὐ λέγουσι τὴν
αἰτίαν, ἐπειδὴ μηδὲν εἶχον εἰπεῖν, ἀλλὰ τῇ βοῇ κατα-
πλήξειν οἴονται· καὶ μὴν παρὰ τῶν κατηγόρων ἐχρῆν
μαθεῖν. καὶ ὁ χιλίαρχος ἐφοβήθη, φησὶν, ἐπιγνοὺς
ὅτι Ῥωμαῖός ἐστιν. οὐκ ἄρα ψευδόμενος ἦν τὸ Ῥωμαῖον ἑαυ-
τὸν εἶναι τὸν Παῦλον εἰπεῖν. καὶ ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, φησὶ, καὶ καταγαγὼν ἔστησεν εἰς τὸ συνέδριον.

A *Ille autem inquit: Etiam. Respondit tribunus: Ego multa summa civilitatem hanc emi. Paulus verò inquit: Ego autem & natus sum. Statim autem recesserunt ab eo qui examinaturi erant illum. Tribunus quoque timuit ut cognovit quòd Romanus esset, & quod ligasset illum. Ego autem*, inquit, *etiam natus sum.* Igitur & patre erat Romano. Quid igitur posteà? solutum deducit ad Judæos. Sic non erat mendacium dicere se esse Romanum, eo quod & à vinculis propterea solutus est. Et quomodo, audi:
B *Postero autem die volens scire certum, quam ob causam accusaretur à Judæis, solvit illum & jussit simul venire principes sacerdotum & totum concilium, ac deductum Paulum sistebat coram illis.*

Intentis autem oculis in concilium dixit: Non jam ad tribunum, sed ad omnem populum omnémque multitudinem loquitur. Et quid dicit? *Viri fratres, ego omni conscientia bona conversatus sum coram Deo usque in hunc diem.* Vult dicere: Non Cap. xxiii.
sum mihi ipsi conscius, quod vos læserim, nihil dignum hisce
C vinculis commisi. Quid igitur princeps sacerdotum? Oportebat compungi propterea, quæ in ipsorum gratiam injustè passus est. Ille autem & magis affligit, & jubet eum verberari, quod etiam manifestum ex his quæ addit. *Princeps autem sacerdotum Ananias, his qui astabant ei, præcepit, ut percuterent os ejus.* Bonus scilicet & mansuetus pontifex. *Tunc Paulus ad illum dixit: Percussurus est te Deus, paries dealbate: & tu sedens judicas me secundum legem, & contra legem jubes me percuti?*
D *Illi autem astantes dixerunt, Principi sacerdotum Dei maledicis? Et dixit Paulus: Nesciebam fratres quod esset summus sacerdos. Scriptum est enim, principi populi tui ne maledicas.* Itaque qui- Exo. 22, 28.
dam dicunt, quod sciens irriserit. Mihi autem videtur, quod neque omnino scierit quod esset princeps sacerdotum, alioquin & honorasset. Ideo & defendit quasi accusatio sit. Et addidit: *Principi populi tui non dices malè.* Quid igitur dicit? Nam si non princeps esset, alium ne simpliciter contumelia
E notare oportuerat? Minimè. Sed etiam is qui contumelia afficit, magis ferendus est. Magna autem quæstio est: Quomodo idem alibi dicens: *Quum maledicimur, benedicimus: dum persequutionem patimur, sustinemus*: Hic sanè contra- 1. Cor. 4.
rium facit, & non solum conviciis lacessit, sed etiam maledicit. Absit, neutrum horum fecisse apparet, sed rem exactius consideranti, magis verba sunt liberè loquentis, quàm iracundi. Et aliter: Non volebat contemptibilis videri tribuno. 12.
A Si enim ille quidem tribuno pepercisset flagellari Judæis expositum, quod à servis cæderetur, magis illum audacem fecisset. Propter hoc non ad ministrum sermonem vertit, sed ad eum qui jusserat adornans. Quod autem dicit, *Paries dealbate, & tu sedens judicas me secundum legem*, dixit, quasi hoc ei dicens: Reus existens, & multis plagis dignus. Vide saltem quomodo ad illius libertatem in dicendo populus territus fuerit, oportuerat totum converti. Debacchantur autem magis, sed ipse etiam legem legit. Quoniam vult ostendere, quod non ideo hæc
B dixerit, ut terreat, vel ut indignum qui audit, sed lege etiam hîc persuadens. Et valde credo, quod nesciret eum esse principem sacerdotum, eo quod post longum tempus redierit, neque continuo fuerit cum Judæis, sed viderit illum etiam cum multis. Non enim jam manifestus erat princeps sacerdotum. Quum igitur multi essent ac varii, ita mihi etiam hæc in alios torsisse videtur, ostendens quod legi credat, & per hoc rationem reddit.
C Videamus autem iterum quæ lecta sunt: *Quum orarem*, inquit, *in templo, factum est, ut fierem in ecstasi.* Ut manifestet non simpliciter visionem fuisse, propter hoc apposuit: *Quum orarem ego. Festina & egredere velociter*, inquit, *eo quod non suscipient tuum testimonium.* Hic ostendit, quod non timore periculorum ab illis fugerit, sed quod non erant suscepturi testimonium ejus. Quare autem dixit: *Ipsi sciunt quod ego eram alligans illos?* Non contradicens Christo dicit, sed volens discere tam mirabile opus. *Vade*,
D inquit: *quia ego ad gentes procul mittam te.* Vide, non docuit illum Christus quid oporteat facere, sed jussit solùm abire, & obtemperat, adeò erat sequax. *Et extulerunt vocem suam*, inquit, *dicentes: Tolle illum, non enim congruit ut vivat.* O audaciam! Imò vos non congruit ut vivatis: non hunc Deo per omnia obedientem. O scelesti & homicidæ! *Et excutientes vestes*, inquit, *pulverem mittebant*: quod faciebant ad majorem seditionem movendam, vel etiam terrere volentes principem. Et vide, non
E dicunt causam, quoniam nihil poterant dicere, sed clamoribus concussuros se putant. Attamen oportuerat ex accusatoribus causam cognoscere. *Et tribunus timuit*, inquit, *cognoscens quod Romanus esset.* Non erat mendacium Paulum esse Romanum. *Et solvit illum à vinculis*, inquit, *& deductum statuit in concilium.*

Hoc oportebat facere ab initio, & neque ligare, neque velle flagellare, sed dimittere eum, qui nihil tale fecerat vinculis dignum. Et solvit illum, inquit, & deductum illis sistit. Hæc res maxime anxios fecit Judæos. *Intentis autem oculis Paulus in concilium*, inquit: *Viri fratres*. Hic fiduciam suam in loquendo ostendit irreprehensibilem: sed vide etiam illorum impudentiam. Addidit enim: *Princeps autem sacerdotum Ananias, præcepit ut verberetur os ejus.* Quare percutis? quidnam dixit contumelia dignum? O impudentiam! ô audaciam! *Tunc*, inquit, *ad illum Paulus dixit: Percussurus est te Deus, paries dealbate.* Papæ, libertatem! Simulationis & prævaricationis illum suggillat. Unde ob hoc etiam humiliatur. Et ipse quidem anxius, nihil audet dicere: sed qui juxta illum, non ferebant illius libertatem. Ita videbant hominem moribundum, & non ferebant. *Nesciebam*, inquit, *quod summus sacerdos sit.* Nunquid ignorantiæ increpatio erat? Nam si hoc non fuisset, etiam accepto illo abiisset, & non siluisset, licet exposuisset eis illum tribunus. Hic ostendit quod voluntarius pariter quæ patitur: & sic rationem reddit cum illis, legi se obedire, non illis, demonstrare volens, alioquin & illos valde condemnabat. Propter legem igitur rationem reddit, sed non propter populum. Meritò: Eum enim qui nihil injuste fecerat occidere, præsertim innocentem, contra legem erat. Igitur contumelia non erat quod dictum est: nisi quis ea quoque
Matt.23,27 contumeliam esse dixerit, quando dicit: *Væ vobis scribæ ac Pharisæi, quia similes estis parietibus dealbatis.* Etiam, inquit. Sed si antequam verberatus esset, hoc jussisset, non fuisset iræ, sed magnæ libertatis. Dixit autem causam, quod noluit contemptibilis esse. Quoniam & Christus contumelia notavit Judæos, ipsi contumelia affectus: Sicut
Joh.5,45 quando dicit: *Ne putetis quod ego accusem vos.* At non est hoc afficere contumelia? Absit. Videte igitur, cum illis quanta mansuetudine loquitur. *Nesciebam*, inquit, *quod summus sacerdos sit Dei.* Hoc dixit, & nesciebat: sed ostendit quod non irrideat: ac subdit, *principi populi tui non maledices.* Vides quomodo etiam *principem* ipsum adhuc vocat. Discamus igitur & nos æquitatem, ut in utrisque simus perfecti. Multa enim diligentia opus est, ut discamus quid hoc scilicet sit, & quid illud. Sunt enim vitia cognata virtutibus illis: & juxta dicendi libertatem pullulat temeritas, & juxta æquitatem mollicies. Et probè considerandum, ne quis virtutem putet possidere, qui vitia apprehendit: quemadmodum si quis opinetur se jungi dominæ, & jungitur ancillæ. Quid igitur est æquitas, quam ἐπιείκειαν vocant? Et quid mollicies illa non virilis ἀνανδρία dicta? Quando alii quidem injustè læduntur, & non ulciscimur, sed silemus ipsi, molliciei est: quando autem nos malè affecti toleramus, æquitatis erit. Quid autem dicendi libertas est? Iterum illud ipsum dico: Quando pro aliis certamus? Quid verò temeritas? Quando nos ipsos ulcisci meditamur. Atque ita simul junguntur magnanimitas, & dicendi libertas: Etiam temeritas iterum, ac mollicies. Qui enim pro seipso non dolet, vix pro alio non dolebit. Qui autem seipsum non ulciscitur, difficile alios non juvabit. Quando puri nobis fuerint mores ab affectione, accipiunt & virtutem. Sicut purum corpus à febre accipit robur: ita certè & anima, si non ab affectionibus corrumpatur. Magnæ virtutis indicium est æquitas. Eget enim æquitas nobili præclaráque anima. An parum putas esse, affligi, & non graviter ferre? Et non quis peccarit, curam pro proximo, fortitudinem vocans. Qui enim tam potens fuerit, ut tantam possit vincere affectionem, valebit etiam aliam vincere: utputa. duæ affectiones sunt, timor, & ira. Si iram compescueris, manifestum quòd & timorem. Iram autem vinces si æquus fueris. Igitur & timorem si viceris, eris fortis. Iterum si non viceris iram, eris temerarius. Hanc autem si non viceris, neque timorem superabis, itaque & timidus eris. Et hoc fit. ut si corpus imbecillum, ita erit malè temperatum, ut nulli labori obluctari valeat: & statim vel à frigore, vel à calore consumitur. Ita enim habet corpus, qualitatibus ejus malè temperatis. Ubi autem bene temperatæ sunt, omnia subsistunt. Iterum est virtus magnanimitas, & juxta eam pullulat prodigalitas. Virtus dispensatio est, & omnia probè dispensare facit. Pullulat juxta ea sordicies, & parsimonia. Agè igitur, virtutes iterum congregemus. Igitur non magnanimus est intemperans. Quomodo? Qui ab innumeris capitur affectionibus, quomodo magnæ esset animæ? Non enim pecuniarum ille est contemptor: sed ab aliis affectionibus imperium accipere paratus: Quemadmodum si quis latronibus pareat, illorum mandatis pariturus, non esset liber.

A τοῦτο ἔδει ποιῆσαι, μήτε βουληθῆναι μαστίξαι, ἀλλὰ καταλιπεῖν μη-
δὲν τοιοῦτον ποιήσαντα, ὥστε καὶ δεσμεῦσαι, καὶ ἔλυσεν αὐτὸν, φησὶ,
καὶ καταγαγὼν εἰς αὐτοὺς ἔστησε. τοῦτο μάλιστα ἠπόρησαν οἱ Ἰουδαῖοι.
ἀτενίσας δὲ ὁ Παῦλος τῷ συνεδρίῳ, φησὶν, εἶπεν· ἄνδρες ἀδελ-
φοί. ἐνταῦθα τὴν παρρησίαν αὐτοῦ δείκνυσι τὸ ἀκατάπληκτον. ἀλλ᾽
ὅρα καὶ ἐκείνων τὸ ἰταμόν. ἐπήγαγε γάρ· ὁ δὲ ἀρχιερεὺς Ἀνανίας,
τύπτειν αὐτοῦ τὸ στόμα ἐπέταξε. διατί τύπτεις; τί γὰρ εἶπεν ὑβρισι-
κόν; ὢ τῆς ἀναισχυντίας! ὢ τῆς θρασύτητος! τότε ὁ Παῦλος πρὸς
B αὐτὸν, φησὶν, εἶπε· τύπτειν σε μέλλει ὁ Θεὸς, τοῖχε κεκονιαμένε. βα-
βαὶ τῆς παρρησίας! εἰς ὑπόκρισιν αὐτὸν, καὶ παρανομίαν διασύ-
ρει. διὰ τοῦτο γοῦν καὶ καταστέλλεται. καὶ αὐτὸς μὲν ἀπορῶν οὐδὲν τολ-
μᾷ εἰπεῖν, ἀλλ᾽ οἱ παρ᾽ αὐτὸν, οὐκ ἐνεγκόντες αὐτοῦ τὴν παρρησίαν.
οὕτως εἶδον ἄνθρωπον θανατῶντα, καὶ οὐχ ὑπέμειναν. οὐκ ᾔδειν, φη-
σὶν, ὅτι ἀρχιερεύς ἐστιν. ἆρα ἀγνοίας ἡ ἐπιτίμησις ἦν; εἰ γὰρ μὴ τοῦτο
C ἦν, κἂν λαβὼν αὐτὸν ἀπῆλθε, καὶ οὐκ ἐσίγησε, κἂν ἐξέδωκεν αὐτοῖς
αὐτὸν ὁ χιλίαρχος. ἐνταῦθα δείκνυσιν ὅτι ἑκὼν πάσχει ἃ πάσχει, καὶ
οὕτως ἀπολογεῖται πρὸς αὐτοὺς τῷ νόμῳ πειθόμενος, οὐχὶ αὐτοῖς ἐν-
δείξασθαι βουλόμενος· ἐπεὶ ἐκείνων καὶ κατεγίνωσκε σφόδρα. διὰ
τὸν νόμον τοίνυν ἀπολογεῖται, ἀλλ᾽ οὐ διὰ τὸν δῆμον. εἰκότως. τὸ γὰρ τὸν
οὐδὲν ἠδικηκότα ἀναιρεῖν, καὶ ταῦτα ἀθῷον ὄντα, παράνομον ἦν.
οὐκοῦν οὐδὲ ὕβρις τὸ παρ᾽ αὐτοῦ εἰρημένον, εἰ μὴ καὶ τὰ τοῦ Χριστοῦ ὕ-
D βριν εἴποι τις ἄν, ὅταν λέγῃ· οὐαὶ ὑμῖν γραμματεῖς καὶ Φαρισαῖοι, "
ὅτι παρομοιάζετε τοίχοις κεκονιαμένοις. ναὶ, φησίν. ἀλλ᾽ εἰ πρὸ τοῦ "
τυπτηθῆναι εἶπεν, οὐκ ἦν θυμοῦ, ἀλλὰ παρρησίας. ἀλλ᾽ εἶπεν τὴν
αἰτίαν, ὅτι οὐκ ἐβούλετο καταφρονηθῆναι. καὶ μὴν ὁ Χριστὸς πολλα-
χοῦ ὕβρισεν Ἰουδαίους αὐτὸς ὑβρισθεὶς, ὡς ὅταν λέγῃ· μὴ δοκεῖτε ὅτι
ἐγὼ κατηγορήσω ὑμῶν; ἀλλ᾽ οὐκ ἔστι τοῦτο ὕβρις, μὴ γένοιτο. ὅρα
γοῦν πρὸς ἐκείνους μεθ᾽ ὅσης ἐπιεικείας διαλέγεται. οὐκ ᾔδειν ὅτι ἀρ-
E χιερεύς ἐστι, φησὶ, τοῦ Θεοῦ· τοῦτο εἶπε, καὶ οὐκ ἔστη· ἀλλὰ δεικνὺς ὅτι
οὐκ εἰρωνεύεται, ἐπάγει· ἄρχοντα τοῦ λαοῦ σου οὐκ ἐρεῖς κακῶς. βλέ-
πεις πῶς καὶ ἄρχοντα αὐτὸν εἶναι ὁμολογεῖ; μάθωμεν τοίνυν καὶ
ἡμεῖς τὴν ἐπιείκειαν, ἵνα ἐν ἑκατέροις ὦμεν ἀπηρτισμένοι. πολλῆς
γὰρ ἀκριβείας δεῖ, ὥστε μαθεῖν τί μὲν τοῦτο, τί δὲ ἐκεῖνο. ἀκριβείας δὲ
δεῖ, ὅτι παρυφεστᾶσιν αὐταῖς αἱ κακίαι· τῇ μὲν παρρησίᾳ, θρα-
σύτης· τῇ δὲ ἐπιεικείᾳ, ἀνανδρία· καὶ δέον περισκοπεῖν, μὴ
A τὴν κακίαν τις κατέχων δόξῃ τὴν ἀρετὴν ἔχειν. ὥσπερ ἂν εἴ τις δο-
κῶν τῇ δεσποίνῃ συγγίνεσθαι, ἀγνοῇ τῇ θεραπαινίδι συνών. τί οὖν
ἐστιν ἐπιείκεια, καὶ τί ἀνανδρία; ὅταν ἑτέρους μὲν ἀδικουμένους μὴ ἀ-
μυνώμεθα, ἀλλὰ σιγῶμεν αὐτοί, τοῦτο ἀνανδρίας ἐστίν. ὅταν δὲ κακῶς
πάσχοντες φέρωμεν, τοῦτο ἐπιείκεια. τί παρρησία; πάλιν τὸ αὐτὸ, ὅ-
ταν ὑπὲρ ἑτέρων ἀγωνιζώμεθα. τί δαὶ θρασύτης; ὅταν ὑπὲρ ἡ-
μῶν αὐτῶν ἀμύνεσθαι βουλώμεθα. ὥστε μεγαλοψυχία ὁμοῦ καὶ παρ-
B ρησία, καὶ θρασύτης πάλιν καὶ ἀνανδρία. ὁ γὰρ ὑπὲρ ἑαυτοῦ μὴ
ἀλγῶν, δυσκόλως ὑπὲρ ἑτέρων ἀλγήσει. ὁ δὲ ἑαυτῷ μὴ ἀμυνόμενος,
δυσκόλως ἑτέροις οὐκ ἀμυνεῖται. ὅταν γὰρ καθαρὸν ᾖ τὸ ἦθος ἡμῶν
παθῶν, δέχεται καὶ ἀρετήν. καθάπερ καθαρὸν σῶμα πυρετοῦ
δέχεται ἰσχύν, οὕτω δὴ καὶ ἡ ψυχὴ, ἂν μή τις πάθεσι προσδια-
φθαρῇ, δέχεται ἰσχύν. μεγάλης ἰσχύος γνώρισμά ἐστιν ἐπιείκεια,
γενναίας καὶ νεανικῆς ψυχῆς, καὶ ὑψηλῆς σφόδρα ἡ ἐπιείκεια
C δεῖ. ἢ μικρὸν οἴει τὸ παθεῖν κακῶς, καὶ μὴ ἀγριαίνειν; καὶ οὐκ
ἂν τις ἁμάρτοι τὴν ἡγεμονίαν τὴν ὑπὲρ τοῦ πλησίον ἀνδρείαν εἰ-
πών. ὁ γὰρ τοσοῦτον ἰσχύσας, ὡς δυνηθῆναι τοσούτου περιγενέσθαι πά-
θους, ἰσχύσει καὶ ἑτέρου κατατολμῆσαι. ἔτι, δύο πάθη ἐστὶ ταῦτα, δει-
λία καὶ θυμός. ἂν τοῦ θυμοῦ κατάσχῃς, εὔδηλον ὅτι καὶ δειλίας· τοῦ
θυμοῦ δὲ κρατεῖς, ἐπιεικὴς ὤν. οὐκοῦν καὶ τῆς δειλίας ἂν κρα-
τήσῃς, ἔσῃ ἀνδρεῖος. πάλιν ἂν μὴ περιγένῃ τοῦ θυμοῦ, γέγο-
D νας θρασύς. τούτου δὲ μὴ περιγενόμενος, οὐδὲ φόβου περι-
γενέσθαι δύνασαι· οὐκοῦν καὶ δειλὸς ἔσῃ, καὶ ταυτὸν γίνεται
ὥσπερ ἂν εἰ σῶμα ἀσθενὲς οὕτως εἴη καὶ δύσκρατον, ὡς πρὸς
οὐδένα πόνον ἀντέχειν. τοῦτο ταχέως καὶ ὑπὸ ψύχους ἁλί-
σκεται, καὶ ὑπὸ θερμοῦ. τὸ γὰρ δύσκρατον τοιοῦτον· τὸ
δὲ εὔκρατον, πάντα ὑφίσταται· πάλιν, ἔστι μεγαλοψυ-
χία ἀρετή· καὶ παρυφέστηκεν αὐτῇ ἀσωτία. ἔστιν οἰκονο-
E μία ἀρετὴ, καὶ τὸ οἰκονομικὸν εἶναι, παρυφέστηκεν ἡ φει-
δωλία, καὶ ἡ μικρολογία. φέρε οὖν πάλιν τὰς ἀρετὰς
συναγάγωμεν. οὐκοῦν οὐ μεγαλόψυχος ὁ ἄσωτος. πῶς;
ὁ γὰρ ὑπὸ μυρίων ἁλισκόμενος παθῶν, πῶς ἂν εἴη μέγας
τὴν ψυχήν; οὐ γὰρ χρημάτων ἐστὶ τοῦτο καταφρονεῖν, ἀλλ᾽ ὑφ᾽
ἑτέρων ἐπιτάττεσθαι παθῶν. ὥσπερ ἂν εἴ τις ὑπὸ λῃστῶν ἐπι-
ταττόμενος ἐκείνοις ὑπακούειν, οὐκ ἂν εἴη ἐλεύθερος·

καὶ γὰρ οὐκ ἐκ τοῦ χρημάτων καταφρονεῖν, γίνεται τὸ ἀναλίσκειν· ἀλλ' ἐκ τοῦ μὴ δεόντως εἰδέναι διοικεῖν. ἐπεὶ εἴγε ἐνῆν καὶ ἔχειν, καὶ ἀπολαύειν ἐκείνων, οὕτως ἂν ἠθέλησεν· ὁ δὲ εἰς δέον ἀναλίσκων τὰ χρήματα, οὗτός ἐστι μεγαλόψυχος. μεγάλη γὰρ ὄντως ψυχὴ, ἡ μὴ πάθει δουλεύουσα, ἡ μηδὲν ἡγουμένη τὰ χρήματα εἶναι. πάλιν, ἡ οἰκονομία καλόν· οὕτω καὶ ὁ οἰκονομικὸς ἂν εἴη ἄριστος, ὁ εἰς δέον ἀναλίσκων, καὶ μὴ ἁπλῶς ἀνοικονομήτως. ἡ δὲ φειδωλία, οὐκ ἔστι ταῦτα. ἐκεῖνος μὲν γὰρ, πάντα εἰς τὸ δέον ἀναλίσκει· οὗτος δὲ, οὐδὲ ἀναγκαίας ἀπαιτούσης χρείας, τῶν τοιούτων ἅπτεται τῶν χρημάτων. ὁ οἰκονομικὸς τοίνυν τοῦ μεγαλοψύχου γένοιτ' ἂν ἀδελφός. οὐκοῦν ὁμοῦ τὸν μεγαλόψυχον θήσομεν καὶ τὸν οἰκονομικόν· καὶ τὸν ἄσωτον, καὶ τὸν μικρολόγον. ἀμφότεροι γὰρ ἀπὸ μικροψυχίας τοῦτο πάσχουσιν, ὥσπερ οὖν κἀκεῖνοι ἀπὸ μεγαλοψυχίας. μὴ δὴ μεγαλόψυχον καλῶμεν τὸν ἀναλίσκοντα ἁπλῶς, ἀλλὰ τὸν εἰς δέον ἀναλίσκοντα· μηδὲ τὸν οἰκονομικὸν μικρολόγον καὶ φειδωλὸν, ἀλλὰ τὸν ἀκαίρως φειδόμενον τῶν χρημάτων. πόσα ὁ πλούσιος ἐκεῖνος ἀνάλωσεν, ἐνδιδυσκόμενος πορφύραν καὶ βύσσον; ἀλλ' οὐκ ἦν μεγαλόψυχος. ὑπὸ γὰρ ὠμότητος κατείχετο ἡ ψυχὴ αὐτοῦ, καὶ ὑπὸ μυρίων ἡδονῶν. ἡ δὲ τοιαύτη πῶς ἂν εἴη μεγάλη; μεγαλόψυχος ἦν ὁ Ἀβραὰμ, εἰς ὑποδοχὴν ἀναλίσκων τῶν ξένων, τὸν μόσχον κατασφάττων, καὶ ἔνθα ἐχρῆν οὐ μόνον χρημάτων, ἀλλ' οὐδὲ τῆς ψυχῆς τῆς αὐτοῦ φειδόμενος. ἂν τοίνυν ἴδωμέν τινα τράπεζαν παρατιθέντα πολυτελῆ, πόρνας ἔχοντα καὶ παρασίτους, μὴ μεγαλόψυχον καλέσωμεν τοῦτον, ἀλλὰ σφόδρα μικρόψυχον. ὅρα γὰρ ὅσοις δουλεύει, καὶ ὑπόκειται πάθεσι· γαστριμαργίᾳ, ἡδονῇ ἀτόπῳ, κολακείᾳ· τὸν δὲ τοσούτοις κατεχόμενον, καὶ μηδὲ ἓν τούτων δυνάμενον διαφυγεῖν, πῶς ἄν τις μεγαλόψυχον καλέσειεν; ὥστε αὐτὸν τότε μάλιστα καλέσομεν μικρόψυχον, ὅταν μάλιστα ἀναλίσκῃ. ὅσῳ γὰρ ἂν μείζονας ἀναλίσκῃ, τοσούτῳ δηλοῖ τὴν τυραννίδα τῶν παθῶν ἐκείνων. εἰ γὰρ μὴ σφόδρα αὐτοῦ ἐκράτει, οὐκ ἂν σφόδρα ἀνάλωσε. πάλιν ἂν ἴδωμέν τινα τούτων μὲν μηδενὶ μηδὲν παρέχοντα· πένητας δὲ τρέφοντα καὶ τοῖς δεομένοις ἐπαρκοῦντα, αὐτὸν δὲ τράπεζαν ἔχοντα εὐτελῆ, τοῦτον σφόδρα καλῶμεν μεγαλόψυχον. μεγάλης γὰρ ὄντως ψυχῆς, τὸ μὲν οἰκείας καταφρονεῖν ἀναπαύσεως, τὸ δὲ ἑτέρων φροντίζειν. εἰπὲ γάρ μοι· εἴ τινα ἴδοις, τῶν μὲν τυράννων καταφρονοῦντα πάντων, καὶ οὐδὲν ἡγούμενον τὰ ἐκείνων ἐπιτάγματα· τοὺς δὲ ὑπ' ἐκείνων τυραννουμένους, ἐξέλκοντα καὶ τοὺς κακῶς πάσχοντας· ἆρα οὐκ ἂν μέγα ἡγήσαιο τοῦτο; οὕτω δὴ κἀνταῦθα λογιζώμεθα. τύραννός ἐστι τὰ πάθη. ἐὰν οὖν καταφρονήσωμεν αὐτῶν, μεγάλοι ἐσόμεθα· ἂν δὲ καὶ ἑτέρους ἐξελκύσωμεν, πολλῷ μείζους· εἰκότως. οἱ γὰρ οὐχ ἑαυτοῖς ἀρκοῦντες μόνον, ἀλλὰ καὶ ἑτέροις, μείζους τῶν μηδέτερον ποιούντων. ἂν δὲ ἐπιταττόμενός τις ὑπὸ τυράννου, τὸν μὲν τῶν ὑπηκόων τύπτῃ, τὸν δὲ ἕλκῃ, ἄλλον δὲ ὑβρίζῃ, ἆρα τοῦτον μεγαλοψυχίας ἐροῦμεν; οὐδαμῶς· καὶ τοσούτῳ πλέον, ὅσῳ ἂν μείζων ᾖ. οὕτω καὶ ἐφ' ἡμῶν. νῦν μὲν γὰρ πρόκειται ἡ ψυχὴ εὐγενής τις οὖσα καὶ ἐλευθέρα· ταύτην δὲ ὁ ἄσωτος τύπτεσθαι ἐκέλευσεν ὑπὸ τῶν παθῶν. τὸν οὖν ἑαυτὸν τύπτοντα, τοῦτον μεγαλόψυχον φήσομεν; οὐδαμῶς. οὐκοῦν μάθωμεν τίς μὲν ἡ μεγαλοψυχία, τίς δὲ ἡ ἀσωτία· τίς ἡ οἰκονομία, καὶ τίς ἡ μικρολογία· τίς ἡ ἐπιείκεια, καὶ ἡ ἀναιδεία· τίς παρρησία, καὶ τίς θρασύτης· ἵνα ταῦτα ἀπ' ἀλλήλων διελόντες, δυνηθῶμεν εὐαρεστήσαντες τῷ Κυρίῳ τὸν παρόντα βίον διαγαγεῖν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

A Non enim ex contemptu pecuniarum fit consomptio: sed ex eo quod malè, ubi non oportet, dispensatur, alioqui siquidem liceret & habere & frui illis, utique vellet. Qui autem insumit ubi opus est, pecuniam: hic magnanimus est. Magna enim revera est anima, si affectioni non servit quæ nihil putet esse pecunias. Iterum dispensatio bonum quiddam est: ita & dispensator esset optimus, si, ut oportet, eroget, & non simpliciter non dispenset. At de parsimonia non est idem dicendum. Nam B ille quidem omnia, ut oportet, dispensat: qui parcius autem, neque si necessarius postulet usus, pecunias attingit. Dispensans igitur, ut oportet, magnanimi frater est: igitur magnanimum aestimabimus etiam dispensatorem probum, & prodigum etiam sordidum: utrisque enim ex pusillanimitate accidit. Igitur sicut & illi à magnanimitate, ne obsecro magnanimum vocemus eum qui simpliciter erogat. sed erogantem ut oportet: neque dispensantem ut oportet, sordidum & C parcum, sed tempestivè parcentem pecuniis. Quanta dives ille insumpsit, qui indutus byssum & purpuram? sed non erat magnanimus. Anima enim ejus à crudelitate vexabatur, & à variis voluptatibus: quæ autem talis est, quomodo esset magna? Magnanimus erat Abraham, in pauperibus suscipiendis multa insumens & vitulum occidens, & ubi oportebat non solum non opibus, sed neque animæ suæ parcebat. Si igitur viderimus quendam qui preciosam apposuerit mensam, habeatque D scorta & parasitos: ne magnanimum vocemus hunc, sed valde sordidum. Vide quot affectionibus servit ac subjectus est, gulæ, voluptati absurdæ, adulationi. Eum autem qui tantis obnoxius est, & nec ab uno effugere potest, quomodo quis magnanimum vocarit? atque adeò tunc ipsum maximè vocamus sordidum, quando plurimum insumit. Quantò enim pluro insumit, tanto magis manifestat tyrannidem suarum affectionum, quæ si non valde imperassent ei, non tanta insompsisset. Iterum si viderimus aliquem horum nulli quicquam dare, sed pa- E scere pauperes, & suppeditare his qui indigent, ipsum autem habere mensam vilem, hunc valde magnanimum dicamus. Verè enim magnæ animæ est suam despicere quietem, & curare alienam. Dic oro mihi: Si quem videris contemnentem quidē omnes tyrannos, & nihili facientem illorum præcepta, eos autem qui ab illis vim patiuntur eripientem, ac eos qui malè habent: nonne putaveris hoc magnum? Hoc sanè & hic cogitemus. Affe- A ctiones, tyranni sunt: si igitur contempserimus illos, magni erimus: si autem & alios eripiemus, multò majores. Meritò: qui enim sibi ipsis non sufficiunt solis, sed etiam aliis, majores his sunt qui neutrum faciunt. Si autem imperium quis accipit à tyranno, ut subditos percutiat, & alios pertrahat, alios contumelia afficiat; nunquid hunc dicemus magnanimum? Minimè, & tantò magis quantò major fuerit. Ita in proposito est. Nunc enim proponitur anima quæ quum sit nobilis ac libera, B hanc autem prodigus jussit percuti ab affectionibus. Igitur eum qui seipsum percutit, húncne magnanimum dicemus? Itaque discamus, quænam sit magnanimitas, quæ prodigalitas. Quæ sit dispensandi justitia, & quæ parsimonia sordida: quæ sit æquitas, & quæ mollicies: & quæ in dicendo libertas, & quæ temeritas, ut hæc inter se discernentes, possimus placentes Domino præsentem vitam transigere, & futura bona assequi, gratia & misericordia unigeniti filii, cui cum Patre simul ac C Spiritu sancto, sit gloria, imperium, ac honor, nunc & semper, & in secula seculorum, Amen.

ΟΜΙΛΙΑ μθ'.

Γνοὺς δὲ ὁ Παῦλος ὅτι τὸ ἓν μέρος ἐστὶ Σαδδουκαίων, τὸ δὲ ἕτερον Φαρισαίων, ἔκραξεν ἐν τῷ συνεδρίῳ· ἄνδρες ἀδελφοὶ, ἐγὼ Φαρισαῖός εἰμι, υἱὸς Φαρισαίου, περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι. τοῦτο δὲ αὐτοῦ λαλήσαντος, ἐγένετο στάσις τῶν Σαδδουκαίων καὶ Φαρισαίων, καὶ ἐσχίσθη τὸ πλῆθος. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι, μὴ εἶναι ἀνάστασιν, μηδὲ ἄγγελον, μήτε πνεῦμα· Φαρισαῖοι δὲ ὁμολογοῦσι τὰ ἀμφότερα.

ΠΑΛΙΝ ἀνθρωπίνως διαλέγεται, καὶ οὐ πανταχοῦ τῆς χάριτος ἀπολαύει, ἀλλὰ καὶ παρ' ἑαυτοῦ τι συγχωρεῖται εἰσφέρειν. ὃ δὴ καὶ ποιεῖ, καὶ ἐν τούτῳ καὶ ἐν τοῖς μετὰ ταῦτα ἀπολογεῖται· βουλόμενος σχίσαι τὸ πλῆθος τὸ κακῶς ὁμονοοῦν κατ' αὐτοῦ. καὶ οὐ ψεύδεται, οὐδὲ ἐνταῦθα, Φαρισαῖον ἑαυτὸν λέγων· Φαρισαῖος γὰρ ἦν ἐκ προγόνων. διὸ
» τότε καὶ οὕτως ἀπολογεῖται· Φαρισαῖος ἐγώ εἰμι, υἱὸς Φαρι-
» σαίου, καὶ περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι.
τοῦτο γὰρ ἐκεῖνοι οὐκ ἤθελον εἰπεῖν· διατί κρίνουσιν αὐτὸν,

HOMILIA XLIX.

D *Sciens autem Paulus quòd una pars esset Sadducæorum, & altera Pharisæorum, exclamavit in concilio: Viri fratres: Ego Pharisæus sum: Pharisæi filius, de spe & resurrectione mortuorum ego judicor. Et quum hoc dixisset: facta est dissensio inter Pharisæos ac Sadducæos & dissecta est multitudo. Nam Sadducæi quidem dicunt non esse resurrectionem, neque Angelum, neque spiritum; Pharisæi autem utraque confitentur.*

E ITerum humano more disserit, & non semper gratia fruitur, sed etiam permittitur à seipso aliquid afferre, quod sanè & facit. Et in hoc & in sequenti sermone rationem reddit, volens scindere multitudinem in malum conspirantem. Et non mentitur etiam hic, Pharisæum se dicens. Pharisæus enim erat ex progenitoribus, propter hoc & sic rationem reddit. *Pharisæus ego sum, Pharisæi filius, & de spe ac resurrectione mortuorum ego judicor.* Quoniam enim illi nolebant dicere, quare judicant illum, cogi-

Luc. 16, 19.
Gen. 18, 1, 6.

cogitur jam ipse enunciare. *Pharisæi autem*, inquit, *confitentur utraque.* Sanè quum tria sint, quomodo dicit *utraque*? vel quod spiritus & angelus unum sit, vel quod non solùm dictio illa de duabus, sed etiam de tribus accipiatur. Itaque abusivè sic loquutus est, & non propriè. Et vide, quando pro illis stabat, tunc rationem reddunt pro eo. *Factus est enim*, inquit, *clamor magnus: & quum surrexissent scribæ partis Pharisæorum, depugnabant dicentes. Nihil mali invenimus in hoc homine. Quod si spiritus loquutus est ei vel angelus, ne repugnemus Deo.* Et quare non anteà rationem pro illo reddiderunt? quia illis nondum commixtus erat, neque manifestum erat priusquam rationem redderet, fuisse Pharisæum. Vides quando affectiones abscedunt, quomodo veritas invenitur? Quod autem dicunt, hoc est: quale crimen si Angelus ei loquutus est aut spiritus, & ab ipso edoctus sic de resurrectione docet? Igitur desistamus ab illo, ne si contra eum pugnaverimus, etiam inimici Dei inveniamur. Vide sapienter illos rationem dare, etiam Paulo nullam dante occasionem. *Magna autem facta seditione, veritus tribunus ne discerpatur Paulus ab eis, jussit exercitum descendere, & rapere eum de medio illorum, adducerèque in castra.* Timétque nunc tribunus ne discerpatur, quoniam dixerat quod Romanus sit. Unde & non carebat res periculo. Vide quod justè confessus est se esse Romanum. Nónne si etiam nunc non timuisset tribunus, & milites Paulum rapuissent? Judæi verò quicquid reliquum perpetrassent, quum voluissent quidem & anteà, licèt prohiberentur. Ita non subsistit malitia, tametsi antea remorarentur, quamvis etiam adeò multa dispensata sint, ut & furor demulceretur, & discerent per quæ resipiscant: nihilominus instant, unde magna est defensio illa quod discerpturi erant hominem, qui raptus est ut tanta pericula effugeret. *Sequenti autem nocte assistens ei Dominus ait: Bono animo esto Paule: Ut enim testificatus es de me Hierosolymis, sic te oportet & Romæ testificari. Facto autem die, Judæi facta collectione anathematizarunt se, neque esuros, neque bibituros, donec occiderent Paulum. Erant autem plures quam quadraginta, qui hanc conjurationem fecerant. Anathematizarunt seipsos*, inquit. Vide ut sunt vehementes, & ultionis cupidi in malitia. Quid *anathematizarunt*? hoc est, dixerunt se esse extra fidem in Deum, nisi quod decreverant contra Paulum, implerent. Igitur semper sunt anathematizati illi, non enim occiderunt Paulum. Et *quadraginta* simul conveniunt. Talis autem gens est, ut quando in bonum conveniendum, neque duo concurrunt: quando autem in malum, populus totus, & accipiant socios ac principes. Ideo & hoc manifestans addit: *Qui accesserunt ad principes sacerdotum ac seniores, & dixerunt: Devotione devovimus nos ipsos nihil degustaturos, donec occidamus Paulum. Nunc ergo vos significate tribuno & concilio, ut cras producat illum ad nos tanquam aliquid certius cognituros de eo. Nos verò priusquam appropinquet, parati sumus interficere illum. Quum autem audisset filius sororis Pauli insidias, venit & intravit in castra, nunciavítque Paulo. Accersito autem Paulus uno ex centurionibus dixit, Hunc adolescentem perduc ad tribunum. Habet enim quod renunciet illi. Et ille quidem assumens adduxit ad tribunum.* Iterum per humanam servatur providentiam. Et vide, Paolus nullum sinit discedere, neque centurionem, ne manifestum fiat negotium. *Et veniens centurio annunciavit tribuno dicens, Paulus vinctus accersito me rogavit ut hunc adolescentem ducerem ad te, habentem aliquid quod loquatur tibi. Apprehensa autem manu illius tribunus secessit cum eo seorsum & percontatus est illum: Quid est quod habes significandum mihi? Ille autem dixit, Judæi conspirarunt ut rogarent te, ut in crastino die educeres Paulum in concilium, quasi aliquid certius cognituri sint de illo, tu verò ne morem gesseris illis: insidiantur enim ex his viri plures quadraginta, qui seipsos devoverunt, ne vel edant vel bibant, donec interficiant eum, & nunc parati sunt expectantes ut permittas. Tribunus igitur dimisit adolescentem, præcipiens ne cui effutiat, quod hæc ad me retuleris.* Bene tribunus jubet occultare, ne fiat manifestum. Et tunc dicit centurionibus quando & fieri oportebat, & mittitur posteà in Cæsaream, ut & illic disserat in majore spectaculo, & clariore auditorio, ne possint dicere Judæi, si vidissemus Paulum, credidissemus, si audivissemus docentem. Hæc illis occasio sublata est posthac. *Et astans*, inquit, *Dominus & dixit ei: Bono animo esto, Paule. nam ut testificatus es de me in Hierusalem, ita oportet etiam Romæ testificari:*

ἀναγκάζεται λοιπὸν αὐτὸς ἐξειπεῖν. Φαρισαῖοι δέ, φησιν, ὁμολογοῦσι τὰ ἀμφότερα. καὶ μὴν τρία ἐστί· πῶς οὖν λέγει ἀμφότερα; ἢ ὅτι πνεῦμα καὶ ἄγγελος ἕν ἐστιν, ἢ ὅτι οὐ μόνον ἡ λέξις περὶ δύο, ἀλλὰ καὶ περὶ τριῶν λαμβάνεται. καταχρηστικῶς οὖν οὕτως εἶπε, καὶ οὐ κυριολογῶν. καὶ ὅρα ὅτε μετ' αὐτῶν ἔστη, τότε ἀπολογοῦνται ὑπὲρ αὐτοῦ. ἐγένετο γάρ, φησι, κραυγὴ μεγάλη. καὶ ἀναστάντες τῶν γραμματέων τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. εἰ δὲ πνεῦμα ἐλάλησεν αὐτῷ ἢ ἄγγελος, μὴ θεομαχῶμεν. καὶ διατί μὴ πρὸ τούτου ὑπὲρ αὐτοῦ ἀπελογήσαντο; ὅτι αὐτοῖς οὔπω συνεμέμικτο, οὐδὲ δῆλον ἦν πρὶν ἀπολογήσασθαι Φαρισαῖος ἄνωθεν ὤν. ὁρᾷς ὅταν τὰ πάθη ὑποχωρήσῃ, πῶς ἡ ἀλήθεια εὑρίσκεται; ὃ δὲ λέγουσι, τοῦτό ἐστι· ποῖον ἔγκλημα εἰ ἄγγελος αὐτῷ ἐλάλησεν ἢ πνεῦμα, καὶ ὑπ' αὐτοῦ κατηχηθεὶς οὕτω τὰ περὶ ἀναστάσεως ἐκδιδάσκει; οὐκοῦν αὐτοῦ ἀποστῶμεν, μὴ αὐτῷ πολεμοῦντες καὶ θεομάχοι εὑρεθῶμεν. ὅρα συνετῶς αὐτοὺς ὑπεραπολογουμένους, καὶ τὸν Παῦλον οὐδεμίαν αὐτοῖς διδόντα λαβήν. πολλῆς δὲ γενομένης στάσεως, φοβηθεὶς ὁ χιλίαρχος μὴ διασπασθῇ ὁ Παῦλος ὑπ' αὐτῶν, ἐκέλευσε τὸ στράτευμα καταβὰν ἁρπάσαι αὐτὸν ἐκ μέσου αὐτῶν, ἄγειν τε εἰς τὴν παρεμβολήν. φοβεῖται λοιπὸν ὁ χιλίαρχος μὴ διασπασθῇ, ἐπειδὴ εἶπεν ὅτι Ῥωμαῖός ἐστιν. ὅθεν καὶ οὐκ ἀκίνδυνον ἦν τὸ πρᾶγμα. ὁρᾷς ὅτι δικαίως ὡμολόγησεν ἑαυτὸν Ῥωμαῖον εἶναι; ἢ γὰρ ἄν, οὐδὲ νῦν ἐφοβήθη. καὶ τὸ μὲν στράτευμα λοιπὸν ἁρπάζει αὐτόν· ὡς δὲ εἶδον οἱ μιαροὶ πάντα αἰτίαν δι' ἑαυτῶν τὸ πᾶν ποιοῦσι· βουληθέντες μέν, καὶ πρὸ τούτου, κωλυθέντες δέ· οὕτως οὐδαμοῦ ἵσταται ἡ κακία τούτοις ἐγκοπτομένη. καίτοι πόσα ᾠκονομήθη, ὥστε καὶ τὸν θυμὸν καταψῆναι, καὶ μαθεῖν δι' ὧν ἐδύναντο ἀποστῆναι· ἀλλ' οὐδὲν πλέον ἐφίσταντο. ἱκανὴ γοῦν ἐκείνη ἡ ἀπολογία, τὸ μέλλοντα διασπᾶσθαι τὸν ἄνθρωπον ἁρπάζεσθαι, καὶ τοσούτους κινδύνους διαφυγεῖν. τῇ δὲ ἐπιούσῃ νυκτί, ἐπιστὰς αὐτῷ ὁ Κύριος, εἶπε· θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. γενομένης δὲ ἡμέρας, ποιήσαντες οἱ Ἰουδαῖοι συστροφήν, ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. ἦσαν δὲ πλείους τεσσαράκοντα οἱ ταύτην τὴν συνωμοσίαν πεποιηκότες. ἀνεθεμάτισαν ἑαυτούς, φησιν. ὁρᾷς πῶς εἰσι σφοδροί, καὶ ζηλωταὶ περὶ τὴν κακίαν; τί ἐστιν ἀνεθεμάτισαν; ἀντὶ τοῦ ἔξω εἶναι τῆς εἰς Θεὸν πίστεως εἶπον, εἰ μὴ τὰ δόξαντα κατὰ Παύλου ποιήσαιεν. ἄρα διαπαντός εἰσιν ἀναθεματισμένοι ἐκεῖνοι. οὐ γὰρ ἀπέκτειναν τὸν Παῦλον. καὶ τεσσαράκοντα ὁμοῦ συνέρχονται. τοιοῦτον γὰρ τὸ ἔθνος, ὅταν μὲν ἐπὶ ἀγαθῷ δέῃ συμφωνῆσαι, οὐδὲ δύο συντρέχουσιν· ὅταν δὲ ἐπὶ κακῷ, δῆμος ὁλόκληρος. καὶ λαμβάνουσι κοινωνοὺς καὶ τοὺς ἄρχοντας. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγεν· οἵτινες προσελθόντες τοῖς ἀρχιερεῦσι καὶ τοῖς πρεσβυτέροις εἶπον· ἀναθέματι ἀνεθεματίσαμεν ἑαυτοὺς μηδενὸς γεύσασθαι, ἕως οὗ ἀποκτείνωμεν τὸν Παῦλον. νῦν οὖν ὑμεῖς ἐμφανίσατε ἑαυτοὺς τῷ χιλιάρχῳ ἐν τῷ συνεδρίῳ ὅπως αὐτὸν καταγάγῃ πρὸς ὑμᾶς, ὡς μέλλοντας διαγινώσκειν ἀκριβέστερον τὰ περὶ αὐτοῦ. ἡμεῖς δὲ πρὸ τοῦ ἐγγίσαι αὐτόν, ἕτοιμοί ἐσμεν τοῦ ἀνελεῖν αὐτόν. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον, παραγενόμενος καὶ εἰσελθὼν εἰς τὴν παρεμβολήν, ἀπήγγειλε τῷ Παύλῳ. προσκαλεσάμενος δὲ ὁ Παῦλος ἕνα τῶν ἑκατοντάρχων, ἔφη, τὸν νεανίαν τοῦτον ἀπάγαγε πρὸς τὸν χιλίαρχον· ἔχει γάρ τι ἀπαγγεῖλαι αὐτῷ. ὁ μὲν οὖν παραλαβὼν αὐτόν, ἤγαγε πρὸς τὸν χιλίαρχον. πάλιν δι' ἀνθρωπίνης σώζεται προμηθείας. καὶ ὅρα ὁ Παῦλος οὐδένα ἀφίησι μαθεῖν, οὐδὲ τὸν ἑκατόνταρχον, ὥστε μὴ τὸ πρᾶγμα γενέσθαι διάδηλον. καὶ ἐλθὼν ὁ ἑκατόνταρχος, ἀπήγγειλε τῷ χιλιάρχῳ λέγων· ὁ δέσμιος Παῦλος προσκαλεσάμενός με, ἠρώτησε τοῦτον τὸν νεανίαν ἀγαγεῖν πρὸς σέ, ἔχοντά τι λαλῆσαί σοι. ἐπιλαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ὁ χιλίαρχος καὶ ἀναχωρήσας κατ' ἰδίαν, ἐπυνθάνετο· τί ἐστιν ὃ ἔχεις ἀπαγγεῖλαί μοι; εἶπε δὲ ὅτι οἱ Ἰουδαῖοι συνέθεντο τοῦ ἐρωτῆσαί σε ὅπως αὔριον τὸν Παῦλον καταγάγῃς εἰς τὸ συνέδριον ὡς μελλόντων τι ἀκριβέστερον πυνθάνεσθαι παρ' αὐτοῦ. σὺ οὖν μὴ πεισθῇς αὐτοῖς. ἐνεδρεύουσι γὰρ ἄνδρες ἐξ αὐτῶν πλείους τεσσαράκοντα· οἵτινες ἀνεθεμάτισαν ἑαυτοὺς μήτε φαγεῖν, μήτε πιεῖν, ἕως οὗ ἀνέλωσι τὸν Παῦλον. καὶ νῦν ἕτοιμοί εἰσι προσδεχόμενοι τὴν ἀπὸ σοῦ ἐπαγγελίαν. ὁ μὲν οὖν χιλίαρχος ἀπέλυσε τὸν νεανίαν, παραγγείλας μηδενὶ ἐκλαλῆσαι ὅτι ἐνεφάνισας ταῦτα πρός με. καλῶς ὁ χιλίαρχος κελεύει κρύψαι, ὥστε μὴ γενέσθαι δῆλον· καὶ τότε λέγει τοῖς ἑκατοντάρχαις, ὅτε καὶ γενέσθαι ἔχρην, καὶ πέμπεται λοιπὸν ἐν Καισαρείᾳ, ἵνα κἀκεῖ διαλεχθῇ ἐπὶ μείζονος θεάτρου καὶ λαμπροτέρου τοῦ ἀκροατηρίου· ἵνα μὴ ἔχωσι λέγειν οἱ Ἰουδαῖοι, ὅτι εἰ εἴδομεν Παῦλον, ἐπιστεύσαμεν· ἄν, εἰ ἠκούσαμεν αὐτοῦ διδάσκοντος. καὶ αὕτη οὖν αὐτοῖς ἐντεῦθεν ἡ ἀπολογία ἐκκόπτεται· καὶ ἐπιστάς, φησιν, ὁ Κύριος εἶπεν αὐτῷ· θάρσει, ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι.

ἔξα

ὅρα, καὶ μετὰ τὸ φανῆναι, πάλιν ἀφίησιν αὐτὸν ἀνθρωπίνως σωθῆναι, καὶ ἄξιον ἐκπλαγῆναι τὸν Παῦλον, πῶς οὐκ ἐθορυβήθη· οὐδὲ εἶπε· τί δή ποτε τοῦτό ἐστιν; ἆρα μὴ ἠπατήμεθα παρὰ τοῦ Χριστοῦ; ἀλλ' οὐδὲν τοιοῦτον ἐνενόησεν, οὐδὲ ἔπαθεν, ἀλλὰ μόνον ἐπίστευσεν. οὐ μὴν ἐπειδὴ ἐπίστευσεν, ὕπνωσεν· ἀλλὰ τὰ ἐκ τῆς ἀνθρωπίνης σοφίας συνιδεῖν οὐ παρῆκε. καὶ σκόπει πῶς ἀνάγκην τινὰ ἑαυτοῖς ἐκεῖνοι περιέθηκαν διὰ τοῦ ἀναθεματισμοῦ. ἰδοὺ νηστεία ἀνδροφονίας μήτηρ· καθάπερ ὁ Ἡρώδης ἀνάγκην τὴν ἀπὸ τοῦ ὅρκου ἑαυτῷ ἐπέθηκεν· οὕτω δὴ καὶ οὗτοι. τοιαῦτα γὰρ τὰ διαβολικὰ θηράματα, προσχήματι δῆθεν εὐλαβείας, τὰς παγίδας τίθησι. καὶ μὴν ἐχρῆν προσελθεῖν, ἐχρῆν αἰτιάσασθαι, δικαστήριον συγκροτῆσαι. ταῦτα γὰρ οὐχ ἱερέων, ἀλλὰ λῃστάρχων· ταῦτα οὐκ ἀρχόντων, ἀλλὰ λυμεώνων. καὶ ὅρα κακίας ὑπερβολήν. οὐ μόνον ἀλλήλους διαφθείραντες ἀρκοῦνται, ἀλλὰ καὶ τὸν ἄρχοντα συνδιαφθεῖραι ἐπιχειροῦσι. διὰ τοῦτο οἰκονομηθῇ ὥστε κἀκεῖνον μαθεῖν αὐτῶν τὴν ἐπιβουλήν· αὐτοὶ δὲ οὐ μόνον ἐκ τοῦ μηδὲν ἔχειν εἰπεῖν, ἀλλὰ καὶ ἐκ τοῦ λάθρα ἐπιχειρεῖν ἤλεγξαν ἑαυτοὺς οὐδὲν ὄντας. εἰκὸς δὲ καὶ μετὰ τὸ ἀποσταλῆναι αὐτὸν, προσελθεῖν τοὺς ἀρχιερεῖς αἰτοῦντας, καὶ καταισχυνθῆναι ἀπράκτους ἀπολυθέντας. εἰκότως δὲ τοῦτο ποιεῖ ὁ χιλίαρχος. οὐ γὰρ δὴ ἐβούλετο οὔτε χαρίσασθαι, οὔτε ἐπινεῦσαι. καὶ πῶς, φησὶν, ἐπίστευσεν ἀληθῆ εἶναι τὰ ἀπαγγελθέντα παρὰ τοῦ νεανίου; ἐκ τῶν ἤδη γινομένων ἐστοχάσατο, ὅτι καὶ τοῦτο εἰκὸς ἦν αὐτοὺς ποιῆσαι. καὶ ὅρα τὴν κακουργίαν ὥσπερ ἀνάγκην, καὶ τοῖς ἀρχιερεῦσιν ἐπέστησαν. καὶ μὴ θαυμάσῃς. εἰ γὰρ τοσοῦτον εἵλοντο αὐτοὶ, καὶ τὸν κίνδυνον ἀνεδέξαντο πάντα· πολλῷ μᾶλλον καὶ ἐκείνους τοῦτο ποιῆσαι εἰκὸς ἦν. ὁρᾷς πῶς διὰ τῆς ψήφου τῶν ἔξω ἀθῷος γίνεται ὁ Παῦλος, ὡς καὶ ὁ Χριστὸς παρὰ Πιλάτου; ἀλλ' ὅρα καὶ τὴν κακίαν ὑφ' ἑαυτῆς ἀναιρουμένην. παρέδωκαν μὲν γὰρ αὐτὸν, ὥστε καὶ ἀνελεῖν καὶ καταδικάσαι· γίνεται δὲ τοὐναντίον, καὶ σώζεται, καὶ ἀθῷος εὑρίσκεται. εἰ γὰρ μὴ οὕτω, κἂν διεσπάσθη· εἰ μὴ οὕτω, κἂν ἀπώλετο, κἂν κατεδικάσθη. οὐ μόνον δὲ ἐκείνης αὐτὸν τῆς ὁρμῆς ἐξαιρεῖται ὁ χιλίαρχος, ἀλλὰ καὶ ὑπηρέτης αὐτῷ γίνεται, ὥστε ἀκινδύνως διασωθῆναι μετὰ τοσαύτης παρασκευῆς. καὶ ὅπως, ἄκουε,

» ἐπάγει γάρ· καὶ προσκαλεσάμενος δύο τινὰς τῶν ἑκατοντάρχων εἶπεν· ἑτοιμάσατέ μοι στρατιώτας διακοσίους, ὅπως πορευθῶσιν εἰς Καισάρειαν, καὶ ἱππεῖς ἑβδομήκοντα, καὶ δεξιολάβους διακοσίους, ἀπὸ τρίτης ὥρας τῆς νυκτός, κτήνη τε παραστῆσαι, ἵνα ἐπιβιβάσαντες τὸν Παῦλον, ἀγάγωσι πρὸς Φήλικα τὸν ἡγεμόνα, γράψας ἐπιστολὴν, περιέχουσαν τὸν τύπον τοῦτον· Κλαύδιος Λυσίας τῷ κρατίστῳ ἡγεμόνι Φήλικι χαίρειν· τὸν ἄνδρα τοῦτον συλληφθέντα ὑπὸ τῶν Ἰουδαίων, καὶ μέλλοντα ἀναιρεῖσθαι ὑπ' αὐτῶν, ἐπιστὰς σὺν τῷ στρατεύματι ἐξειλόμην, μαθὼν ὅτι Ῥωμαῖός ἐστι. βουλόμενος δὲ γνῶναι τὴν αἰτίαν δι' ἣν ἐνεκάλουν αὐτῷ, κατήγαγον αὐτὸν εἰς τὸ συνέδριον αὐτῶν· ὃν εὗρον ἐγκαλούμενον περὶ ζητημάτων τοῦ νόμου αὐτῶν, μηδὲν ἄξιον θανάτου ἢ δεσμῶν ἔγκλημα ἔχοντα. μηνυθείσης δέ μοι ἐπιβουλῆς μέλλειν ἔσεσθαι εἰς τὸν ἄνδρα ὑπὸ τῶν Ἰουδαίων ἐξ αὐτῶν, ἔπεμψα πρὸς σὲ, παραγγείλας καὶ τοῖς κατηγόροις λέγειν τὰ πρὸς αὐτὸν ἐπὶ σοῦ. ἔρρωσο.

ὅρα καὶ τὴν ἐπιστολὴν ἀπολογίαν ἔχουσαν μὲν ὑπὲρ αὐτοῦ· οὐδὲν γὰρ, φησὶν, εὗρον ἄξιον θανάτου ἔγκλημα ἔχοντα· κατηγορίαν δὲ κατ' ἐκείνων ἢ κατὰ τούτου· οὕτως ἐθανάτων. καὶ πρῶτον μὲν, φησὶν, ὅτι μέλλοντα ἀναιρεῖσθαι ὑπὸ τῶν Ἰουδαίων ἐξειλόμην· εἶτα προστίθησιν ὅτι καὶ κατήγαγον αὐτὸν πρὸς αὐτοὺς, καὶ οὐδ' οὕτως εὗρόν τι ἐγκαλέσαι ἐκεῖνοι, καὶ δέον ὑπὲρ τῶν προτέρων καταπλαγῆναι καὶ καταισχυνθῆναι, πάλιν ἐπιχειροῦσιν ἀνελεῖν, ὥστε πάλιν λαμπρότερον γενέσθαι τὸν ὑπὲρ αὐτοῦ λόγον. καὶ τί δήποτε τοὺς κατηγόρους πέμπει; ἵνα ἐν τῷ δικαστηρίῳ ἐκεῖ ταῦτα ἀκριβέστερον γυμνάζηται, ἀθῷος γένηται. ἴδωμεν τοίνυν ἄνωθεν τὰ εἰρημένα. ἐγὼ, φησὶ, Φαρισαῖός εἰμι. τοῦτο εἶπεν, ὥστε αὐτοὺς ἐπισπάσασθαι, εἶτα ἵνα μὴ δόξῃ κολακεύειν, ἐπάγει· περὶ ἐλπίδος καὶ ἀναστάσεως νεκρῶν ἐγὼ κρίνομαι· ἀπὸ τῆς κατηγορίας αὐτῶν, καὶ τῆς διαβολῆς συνίστησιν ἑαυτόν. Σαδδουκαῖοι μὲν γὰρ λέγουσι μὴ εἶναι ἄγγελον, μήτε πνεῦμα. οὐδὲν ἀσώματον ἴσασι Σαδδουκαῖοι. τάχα οὐδὲ τὸν Θεὸν, παχεῖς τινες ὄντες. ὅθεν οὐδὲ ἀνάστασιν βούλονται εἶναι πιστεύειν. καὶ ἀναστάντες, φησὶ, γραμματεῖς τοῦ μέρους τῶν Φαρισαίων, διεμάχοντο λέγοντες· οὐδὲν κακὸν εὑρίσκομεν ἐν τῷ ἀνθρώπῳ τούτῳ. ὅρα, ἀκούει καὶ ὁ χιλίαρχος ὅτι αὐτὸν ἀπήλλαξαν ἐγκλημάτων οἱ Φαρισαῖοι, καὶ ἐψηφίσατο ὑπὲρ αὐτοῦ, καὶ μετὰ πλείονος παρρησίας ἁρπάζει αὐτόν. καὶ αὐτὰ δὲ τὰ εἰρημένα Παύλου φιλοσοφίας γέμει. τῇ δὲ ἐπιούσῃ νυκτὶ, ἐπιστὰς αὐτῷ ὁ Κύριος εἶπε· θάρσει Παῦλε· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἱερουσαλὴμ, οὕτω σε δεῖ καὶ εἰς Ῥώμην μαρτυρῆσαι. ὅρα πόση ἡ παράκλησις. πρῶτον αὐτὸν ἐπαινεῖ· εἶτα οὐκ ἀφίησιν οὐδὲ τὸ ἄδηλον τῆς ἀποδημίας φοβηθῆναι τῆς ἐπὶ Ῥώμην. ὡσεὶ ἔλεγεν· οὐκ ἀπελεύσῃ μόνον ἐκεῖ· ἀλλὰ καὶ τοσαύτῃ χρήσῃ παρρησίᾳ. ἐντεῦθεν οὐχ ὅτι σωθήσεται ἐδήλωσε.

A Vide etiam postquàm apparuit ei, iterum permittit ei humano more servari. Et dignum fuerit cum stupore admirari Paulum quomodo non turbatus fuit, neque dixit. Quid enim hoc est? nunquid deceptio est à Christo? Sed nihil tale cogitavit vel accidit ei, sed solum credidit. Certe non quoniam credidit somniculosus fuit, sed quæ per humanam sapientiam contueri poterant, protulit: Considera autem quomodo illi necessitatem quandam sibi ipsis injungunt per anathematismum. Ecce jeB junium homicidii mater, sicut & Herodes etiam juramento necessitatem sibi ipsi injunxerat, ita & illi. Tales sunt venandi artes diabolo, qui prætextu pietatis laqueos tendit. Hæc non sunt sacerdotum, sed latronum, hæc non principum, sed facinorosorum. Et vide malitiam excellentem, non sunt contenti, quod se mutuum corrumpant, etiam principem unà cum ipsis corrumpere attentant. Et idcirco hæc ita acciderunt, ut & ille disceret insidias illorum: isti autem non solum ex eo quod C nihil poterant dicere, sed etiam ex eo, quod clam moliebantur, arguerunt sese nihili esse. Verisimile autem est illos postquam Paulus amandatus est, summos sacerdotes accessisse, & sic confusos esse, & re infecta dimissos. Meritò autem hoc facit tribunus. Nolebat enim vel gratificari vel annuere: Et inquit, *credidit vera esse quæ nunciavit adolescens.* Ex his quæ jam evenerant conjectabat, quia & hoc facturos illos verisimile erat. Et vide malitiam, quemadmodum necessitatem etiam princiD pibus sacerdotum attulerunt, & ne mireris: nam si in tantum illi fervebant, & omne periculum sustinuissent, multò magis & istos hoc facturos verisimile erat. Vides quomodo exterorum sententia esse innocens Paulus perhibetur, sicut & Pilatus Christum excusat. Vide etiam ut malignitas seipsam perdit: nam tradiderunt quidem illum, ut occiderent, ac condemnarunt, fit autem contrarium, & servatur & innocens reperitur. Si enim non sic, etiam discerptus esset, si non sic, etiam E condemnatus esset. Non solum autem tribunus liberat illum ab hoc impetu, sed & juvat illum, ut in tanto discrimine etiam absque periculo servetur. Et quomodo nam? Audi, subdit enim: *Et accersitis duobus quibusdam centurionibus, Parate mihi ducentos milites, ut proficiscantur in Cæsaream, & equites septuaginta, & lancearios ducentos, à tertia hora noctis, & jumenta præbere, ut impositum Paulum salvum perducant ad Felicem præsidem, scriptis literis in hanc formam: Claudius Lysias potentissimo* A *præsidi Felici, salutem. Virum hunc comprehensum à Judæis, quum jam interficiendus esset ab eis, superveniens cum exercitu eripui, cognito quòd Romanus esset, volensque scire causam, ob quam accusarent illum, deduxi eum in concilium eorum, quem comperi accusari de quæstionibus legis eorum, nullum dignum morte aut vinculis habentem crimen. Et quum indicatum esset mihi de insidiis quas ponerent illi, misi eum ad te, præcepto dato etiam accusatoribus, ut quæ habent adversus eum, dicant apud te.* B *Vale.* Vide & epistolam habere excusationem pro illo. *Nullum enim*, inquit, *inveni habere crimen*, & accusationem contra illos & contra hunc, sic anxius erat. Et primum quidem, inquit, quod interficiendum à Judæis eripuerit: deinde addit, quod deduxi illum ad eos, & neque sic invenirent illi quod objicerent. Et oportebat ob priora territos fieri, & confundi, & iterum attentant occidere, ut iterum pro illo clarior sermo fiat. Et cur nam accusatores mittit: Ut pro tribunali ibi hæc diligenC tius exquirantur, & innocens fiat. Videamus iterum quæ suprà sunt dicta: *Ego*, inquit, *Pharisæus sum.* Hoc dixit, ut etiam illos conciliet, deinde ne videatur adulari, subdit: *De spe & resurrectione mortuorum ego judicor.* Ab accusatione & calumnia illorum se continet. Nam *Sadducæi quidem neque Angelum esse, neque spiritum dicunt.* Nihil incorporeum sciunt Sadducæi, fortassis neque Deum, quia tam crassi sunt, unde neque resurrectionem credendam esse putant. *Et seditione orta*, inquit, D *scribæ depugnabant dicentes: Neque malum invenimus in homine isto.* Vide, audit & tribunus quod istum à criminibus excusarent Pharisæi, & sententiam tulit pro illo, & majore cum fiducia eripit eum. Et hæc quæ dicta à Paulo, plena erant sapientiæ. Sequenti autem nocte astans illi Dominus dixit: *Bono animo esto Paule, sicut enim testificatus es de me in Hierusalem, ita oportet etiam in Roma testificari.* Vide quanta consolatio: Primò illum laudat: deinde non sinit incertam profectionem illius in Romam, quaE si diceret, non abibis solum illuc, sed etiam erit tibi libertas in loquendo. Hinc non manifestatur quod servetur,

sed quod in magna civitate cum magna corona testificaturus sit. Quare autem non priusquam incideret in periculum, apparuit illi? Quia semper in tribulationibus consolatur Deus. Tunc enim desiderabilior apparet, & in periculis exercet nos. & aliter: Tunc quidem in refocillatione erat liber à vinculis, nunc verò gravia suscipienda erant. Quia *anathematizavimus nosmetipsos*, inquit, *non esuri*, *neque bibituri*. Papæ quanta insania? seipsos anathemati sine ratione obnoxios faciunt. *Ut deducant illum*, inquit, *ad vos*, *quasi aliquid certius cognituri de illo*. Quid dicitis nónne secundò vobis concionatus est? nónne Pharisæum se esse dixit? Quid igitur reliquum? Ita nihil reverebantur, non tribunalia, non leges. Ita nihil ab illis intentatum remansit. Et sententiam intentant, & actionem denunciant. *Quum audisset autem filius sororis Pauli insidias.* Hoc jam divina fit dispensatione, illos non esse conscios quòd audiantur. Quid igitur Paulus? Non turbatus est, sed conscius sibi, quod opus Dei esset, & omnia in illum projiciens, salutem habuit ex ea re. Et observa quomodo Deus omnia in bonum ordinavit. Dixit adolescens insidias, creditum est ei, & ita posthac servatur Paulus. Et si liberatus est, inquit, à causa, quare accusatores misit? & ut exactior fiat inquisitio, & vir magis perfectus appareat. Tales sunt divinæ ordinationes, ut per quæ offendimur, per eadem utilitatem accipiamus. Ita Joseph insidiis petebatur à domina, & putabat quidem illa se insidiari, sed insidiando securum fecit illum à bestiola illa, domus educabatur, & illi carcer multò mitior erat, nam quum illic esset, quamvis famularetur, continuò tamen in timore erat, nequando insidiaretur ei domina, & urgebat illum timor carcere graviùs. Post accusationem autem in securitate erat ac quiete, liberatus ab illa bestiola, & turpitudine, & insidiis. Jucundius enim ei erat vivere cum ærumnosis hominibus quàm cum insaniente domina. Itaque ibi consolabatur seipsum quod propter continentiam injectus esset, illic autem timebat ne in anima plagam ferret: nihil enim molestius juveni muliere, cui non assentitur, nihil scelestius, nihil gravius, atque adeo non incidit in carcerem, sed carcerem effugit: inimicum illi fecit Dominum, sed conciliavit Deum. Familiariorem ipsum reddidit vero Domino, privavit præsidio domestico, sed addixit Domino. Iterum fratres vendiderunt, sed liberarunt à contubernalibus inimicis, invidia & odio magno ac quotidianis insidiis, longe fecerunt eum ab odio habentibus. Quid enim hoc deterius, quando quis cohabitare cogitur cum fratribus invidia laborantibus, quando suspectus est, quando insidiis expositus? Ita & alia faciebant, cùm hi tum ista, alia autem & magna à Deo pro justo ordinabantur: quando erat in honore, tunc erat in periculo: quando erat in ignominia, tunc erat in securitate: non memores erant illius Eunuchi, & bene, ut clarior fieret evadendi occasio, ne humanæ gratiæ, sed divinæ virtuti totum adscriberetur, ut tempestivè in usum constituendus educeretur, ne benefaciens, sed beneficium accipiens, è carcere Pharao illum educat: non oportebat servile fieri donum, sed necessitate regem premi, oportebat manifestam illius fieri sapientiam: propter hoc obliviscitur Eunuchus, ne in oblivionem veniat Ægyptus, ne ignoret illum rex. Si tunc eductus fuisset, forsan in terram suam redire desiderasset, propterea multis necessitatibus fit obnoxius, primùm Domino, deinde carceri, tertiò regno, ut hæc sic ordinentur. Quemadmodum enim generosum equum volentem ad suos exilire, retinuit Deus ibi, propter gloriosas causas, nam quòd desiderarit patrem videre, & à dolore liberare, manifestum est ex eo quod illuc vocarit. Vultis etiam alias videamus insidias, quod pro nobis fiant, non solùm quòd mercedem habent, sed etiam quòd in tempore isto pro nobis faciant? Insidiabatur illius patri patruus hujus, & patria ejicit. Quid igitur? etiam ipsum procul à periculis amovit. Factus est & ipse securus, fecit magis philosophum, fecit videre somnium. Sed servivit in aliena terra: & ad illos profectus accipit sponsam, & dignus videtur socero. Jam decipit autem & ille, sed etiam hoc in bonum tendit eventum, ut multorum puerorum fieret pater. At volebat insidiari, verùm etiam hoc in bonum cedit, ut in terram suam posteà redeat. Si enim fuisset in felicitate, non sic desiderasset patriam. Ultrà abstulit mercedem, at illa magis crevit. Sic semper quò magis insidiis erant obnoxii, hoc amplius res eorum florebant.

Gen. 39.

A ἀλλ' ὅτι καὶ ἐπὶ μεγάλοις μαρτυρήσει στεφάνοις ἐν τῇ μεγάλῃ πόλει. διατί δὲ οὐ πρὶν ἢ ἐμπεσεῖν εἰς τὸν κίνδυνον ἐφάνη αὐτῷ; ὅτι ἀεὶ ἐν ταῖς θλίψεσι παρακαλεῖ ὁ Θεός. τότε γὰρ ποθεινότερος φαίνεται, καὶ ἐν τοῖς κινδύνοις ἐγγυμνάζει ἡμᾶς. ἄλλως δέ· τότε μὲν ἐν ἀνέσει ἦν ἀφεθεὶς τῶν δεσμῶν· νῦν δὲ ἔμελλεν αὐτὸν διαδέχεσθαι δεινά. ὅτι ἀνεθεματίσαμεν ἑαυτούς, φησι, μὴ φαγεῖν, μηδὲ πιεῖν. βαβαὶ πόση μανία! ἑαυτοὺς τῷ ἀναθέματι ὑποβάλλουσιν ἀλογίστως. B ὅπως καταγάγῃ αὐτόν, φησι, πρὸς ὑμᾶς, ὡς μέλλοντας ἀκριβέστερον διαγινώσκειν τὰ περὶ αὐτοῦ. τί λέγεις; οὐχὶ δεύτερον πρὸς ὑμᾶς ἐδημηγόρησεν; οὐχὶ Φαρισαῖον ἑαυτὸν εἶπε; τί οὖν τὸ περιττόν; οὕτως οὐδὲν ἐφοβοῦντο, οὐ δικαστήρια, οὐ νόμους. οὕτως οὐδὲν αὐτοῖς ἀτόλμητον ἦν. καὶ τὴν γνώμην εἰσηγοῦνται, καὶ τὴν πρᾶξιν ἐπαγγέλλονται. ἀκούσας δὲ ὁ υἱὸς τῆς ἀδελφῆς Παύλου τὸ ἔνεδρον. τοῦτο τῆς τοῦ Θεοῦ οἰκονομίας ἦν λοιπόν, τὸ μὴ συνιδεῖν αὐτοὺς ὅτι ἀκούσεται. τί οὖν C ὁ Παῦλος; οὐκ ἐθορυβήθη· ἀλλὰ συνεῖδεν ὅτι Θεοῦ ἐστιν ἔργον τοῦτο· καὶ τὸ πᾶν ἐπ' αὐτὸν ῥίψας, εἶχεν ἐξ ἔργου τὴν σωτηρίαν. καὶ σκόπει πῶς εἰς ἀγαθὸν πάντα ὁ Θεὸς ᾠκονόμησεν. εἶπεν ὁ νεανίας τὴν ἐπιβουλήν· ἐπιστεύθη, καὶ οὕτω λοιπὸν διασώζεται Παῦλος. καὶ εἰ ἀφέθη, φησί, τῆς αἰτίας, διατί τοὺς κατηγόρους ἔπεμψεν; ὥστε ἀκριβεστέραν γενέσθαι τὴν ἐξέτασιν· ὥστε μᾶλλον καθαρθῆναι τὸν ἄνδρα. τοιαῦται αἱ τοῦ Θεοῦ οἰκονομίαι· δι' ὧν βλαπτόμεθα, διὰ τούτων ὠφε- D λούμεθα. οὕτω καὶ Ἰωσὴφ ἐπεβουλεύετο ὑπὸ τῆς δεσποίνης· καὶ ἐδόκει μὲν ἐπιβουλεύειν, ἐπιβουλεύουσα δὲ ἐν ἀσφαλείᾳ κατέστησεν αὐτόν. τῆς γὰρ οἰκίας ἔνθα τὸ θηρίον ἐκεῖνο ἔτρεφεν, πολλῷ τὸ δεσμωτήριον ἡμερώτερον ἦν. ἐκεῖ μὲν γὰρ ὤν, εἰ καὶ ἐν θεραπείᾳ ἦν, ἀλλ' ἐν φόβῳ διηνεκεῖ μήποτε ἐπιθῆται ἡ δέσποινα, καὶ δεσμωτηρίου χαλεπώτερον αὐτῷ ὁ φόβος ἐπέκειτο· μετὰ δὲ τὴν κατηγορίαν, ἐν ἀδείᾳ λοιπὸν καὶ ἡσυχίᾳ ἦν, ἀπαλλαγεὶς ἐκείνου τοῦ θηρίου καὶ τῆς ἀ- E σχημοσύνης καὶ τῆς ἐπιβουλῆς. βέλτιον γὰρ αὐτῷ ἦν τεταλαιπωρημένοις ἀνθρώποις συνεῖναι, ἢ μαινομένῃ δεσποίνῃ. ἐνταῦθα μὲν οὖν παρεμυθεῖτο ἑαυτόν, ὅτι διὰ σωφροσύνην ἐνέπεσεν· ἐκεῖ δὲ ἐδεδοίκει, μὴ περὶ τὴν ψυχὴν λάβῃ τὴν πληγήν. οὐδὲν γὰρ ἐπαχθέστερον ἐρωμένης νέῳ μὴ βουλομένῳ, οὐδὲν ἐναγέστερον, οὐδὲν βαρύτερον· πάντων δεσμῶν τοῦτο χαλεπώτερον. ὥστε οὐκ εἰς δεσμωτήριον ἐνέπεσεν, ἀλλὰ δεσμωτηρίου ἀπηλλάγη· ἐξεπολέμωσεν A αὐτῷ τὸν δεσπότην· ἀλλὰ κατήλλαξε τὸν Θεόν, οἰκειότερον αὐτὸν κατέστησε τῷ ὄντως δεσπότῃ, τῷ ἀληθινῷ. ἐξέβαλε τῆς ἐπιστασίας τῆς ἐν τῇ οἰκίᾳ· ἀλλ' ᾠκείωσε τῷ δεσπότῃ. πάλιν οἱ ἀδελφοὶ ἐπώλησαν, ἀλλ' ἀπήλλαξαν αὐτὸν συνοικούντων ἐχθρῶν, φθόνου καὶ βασκανίας πολλῆς, ἐπιβουλῆς καθημερινῆς, μακρὰν κατέστησαν αὐτὸν τῶν μισούντων. τί γὰρ τούτου χεῖρον, ὅταν τις ἀδελφοῖς φθονοῦσι συνοικεῖν ἀναγκάζηται· ὅταν δι' ὑποψίας ᾖ· ὅταν ἐπιβουλεύηται; ὥστε ἕ- B τερα μὲν ἐποίουν καὶ οὗτοι κἀκείνη, ἕτερα δὲ ᾠκονόμει ὑπὲρ τοῦ δικαίου μεγάλα. ὅτε ἦν ἐν τιμῇ, τότε ἦν ἐν κινδύνῳ· ὅτε ἦν ἐν ἀθυμίᾳ, τότε ἦν ἐν ἀσφαλείᾳ. οὐκ ἐμνημόνευον αὐτοῦ οἱ Εὐνοῦχοι· καὶ καλῶς, ἵνα λαμπροτέρα γένηται τῆς ἐξόδου ἡ ὑπόθεσις· ἵνα μὴ χάριτι ἀνθρωπίνῃ, ἀλλ' οἰκονομίᾳ θείᾳ τὸ πᾶν λογίζηται· ἵνα εὐκαίρως εἰς χρείαν καταστὰς ἐξαγάγῃ· ἵνα μὴ εὐεργετῶν, ἀλλ' εὐεργετούμενος αὐτὸν ἐκβάλῃ τοῦ δεσμωτηρίου ὁ Φαραώ. οὐκ ἔδει δοῦλον C γενέσθαι τὸ δῶρον. ἀλλ' εἰς ἀνάγκην καταστῆναι τὸν βασιλέα· ἔδει φανερὰν αὐτοῦ γενέσθαι τὴν σοφίαν. διὰ τοῦτο λανθάνει ὁ Εὐνοῦχος, ἵνα μὴ λάθῃ Αἰγύπτιος, ἵνα μὴ ἀγνοήσῃ αὐτὸν ὁ βασιλεύς. εἰ τότε ἐξηνέχθη, ἴσως ἂν καὶ ἐπεθύμησεν ἀπελθεῖν εἰς τὴν αὐτοῦ. διὰ τοῦτο μυρίαις ἀνάγκαις κατέχεται· πρῶτον τῇ δεσποτείᾳ· δεύτερον τῷ δεσμωτηρίῳ· τρίτον ἐν τῇ βασιλείᾳ. ἵνα ταῦτα οἰκονομηθῇ. καθάπερ οὖν ἵνα γενναῖον πῶλον ἐκπηδῆσαι βουλόμενον πρὸς τοὺς D αὐτοῦ, κατεῖχεν ὁ Θεὸς ἐκεῖ δι' αἰτιῶν ἐνδόξων. ὅτι γὰρ ἐπεθύμει τὸν πατέρα ἰδεῖν καὶ ἀπαλλάξαι τῆς ὀδύνης, δῆλον ἐκ τοῦ καλέσαι αὐτὸν ἐκεῖ. βούλεσθε καὶ ἑτέρας ἴδωμεν ἐπιβουλὰς ὅτι ὑπὲρ ἡμῶν γίνονται, οὐ μόνον τῷ μισθὸν ἔχειν, ἀλλὰ καὶ τῷ ἐν αὐτῷ τῷ καιρῷ τὰ ὑπὲρ ἡμῶν ποιεῖν; ἐπεβούλευσε τῷ τούτου πατρὶ ὁ θεῖος ὁ τούτου, καὶ τῆς πατρίδος ἐξήλασε. τί οὖν; καὶ αὐτὸς μακρὰν τοῦ κινδύνου αὐτὸν κατέστησεν; ἐν ἀσφαλείᾳ γὰρ καὶ αὐτὸς γέγονεν. ἐποίησε φιλοσοφώτερον· ἐποίησεν ἰδεῖν τὸ ὄναρ. ἀλλ' ἐδούλευσεν ἐν ἀλ- E λοτρίᾳ; ἀλλὰ παρά τις αὐτοῦ ἀπελθὼν λαμβάνει νύμφην, καὶ ἄξιος φαίνεται τῷ κηδεστῇ· ἀλλ' ἠπάτησε κἀκεῖνος; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθὸν γέγονεν, ἵνα πολλῶν παίδων γένηται πατήρ. ἀλλ' ἐβουλήθη ἐπιβουλεῦσαι; ἀλλὰ καὶ τοῦτο εἰς ἀγαθόν, ἵνα εἰς τὴν αὐτοῦ λοιπὸν ἐπανέλθῃ. εἰ γὰρ ἦν ἐν εὐπραγίᾳ, οὐκ ἂν οὕτως ἐπεθύμει τῆς ἑαυτοῦ· ἀλλ' ἀφεῖλε τὸν μισθόν; ἀλλὰ πλεῖον γέγονεν. οὕτω πανταχοῦ ὅσῳ ἐπιβουλεύονται, τοσούτῳ τὰ τούτων λάμπει·

εἰ μὴ

εἰ μὴ τὴν πρεσβυτέραν ἔλαβεν, οὐκ ἂν ταχέως ἐγένετο τοσούτων παίδων πατήρ, ἀλλ' ἐν ἀποδημίᾳ πολὺν ἂν εἵλκυσε χρόνον, καὶ ἐπένθησεν ἂν καθάπερ καὶ ἡ γυνή. ἐκείνη μὲν γὰρ εἰκότως ἐπένθει, ἅτε μὴ γινομένη μήτηρ· οὗτος δὲ εἶχε παραμυθίαν. ὅθεν αὐτὴν καὶ διακρούεται. πάλιν εἰ μὴ αὐτὸν ἀπεστέρησε τὸν μισθῶν, οὐκ ἂν ἐπεθύμησεν ἰδεῖν τὴν αὐτοῦ, οὐκ ἂν ἐφάνη ἡ φιλοσοφία τοῦ ἀνδρὸς, οὐκ ἂν μᾶλλον ᾠκειώθησαν αὐτῷ. ὅρα γὰρ τί φασι· καταβρώσει κατέφαγεν ἡμᾶς καὶ τὸ ἀργύριον ἡμῶν. ὥστε τοῦ φίλτρου τοῦτο γέγονεν αἴτιον. δούλας εἶχε λοιπὸν ἀντὶ γυναικῶν, καὶ ἐφιλεῖτο παρ' αὐτῶν, οὗ οὐδὲν ἴσον κτῆμα γένοιτ' ἄν. οὐδὲν γὰρ οὐδὲν τοῦ οὕτω φιλεῖσθαι παρὰ γυναικὸς, καὶ φιλεῖν τιμιώτερον. καὶ γυνὴ, φησὶν, ἀνδρὶ συμπεριφερομένη, ἐν τοῖς τῶν μακαριστῶν τίθησιν ὁ σοφός. τούτου γὰρ ὄντως πᾶς πλοῦτος· πᾶσα εὐπραγία περίεστιν. ὥσπερ οὖν μὴ ὄντος τῶν ἄλλων οὐδὲν ὄφελος, ἀλλὰ πάντα ἀνατέτραπται, καὶ ἀηδίας ἐστὶ μεστὰ καὶ συγχύσεως. οὐκοῦν καὶ ἡμεῖς τοῦτο πρὸ πάντων ζητῶμεν. ὁ χρήματα ζητῶν, οὐ ζητεῖ τοῦτο. ταῦτα ζητῶμεν, ἃ δύναται παγία εἶναι· μὴ γάμων ζητῶμεν ἀπὸ εὐπόρων, ἵνα μὴ τῆς οὐσίας ἡ ἀμετρία φρόνημα τέκῃ τῇ γυναικί· ἵνα μὴ τὸ φρόνημα διαφθορᾶς αἴτιον ᾖ. οὐχ ὁρᾷς τί ἐποίησεν ὁ Θεός· πῶς αὐτὴν ὑπέταξε; διατί ἀγνώμων εἶ; διατί ἀναίσθητος; ὅπερ ἐχαρίσατό σοι ἀπὸ τῆς φύσεως. τοῦτο σὺ μὴ διαφθείρῃς τὴν βοήθειαν. ὥστε οὐκ εὔπορον δεῖ ζητεῖν, ἀλλ' ὥστε κοινωνὸν βίου λαβεῖν εἰς κατάστασιν παιδοποιίας, οὐχ ἵνα χρήματα εἰσφέρῃ γυνὴ, διὰ τοῦτο αὐτὴν ἔδωκεν ὁ Θεὸς, ἀλλ' ἵνα ᾖ βοηθός. ἡ δὲ χρήματα εἰσφέρουσα, καὶ ἐπίβουλος, ἀξιοῦσα μεγάλα διὰ τὸν πλοῦτον φρονεῖν. οὐδὲν αἴσχροτερον ἀνδρὸς οὕτω βουλομένου πλουτεῖν. εἰ γὰρ αὐτὸ τὸ πλουτεῖν πειρασμῶν γέμει, τὸ οὕτω πλουτεῖν, τί οὐ θήσομεν; μὴ γὰρ εἴ τις σπανιάκις, καὶ παρὰ τὸ συμβαῖνον, καὶ παρὰ λόγον ἐπιτύχει, τοῦτο ἴδῃς· οὐδὲ γὰρ ἐν τοῖς ἄλλοις πράγμασιν οἷς ἀπολαύουσί τινες, καὶ ἐκ παραδόξου ἐπιτυγχάνουσι, προσέχειν δεῖ· ἀλλ' αὐτὸ τὸ κατὰ λόγον ἴδωμεν, εἰ μὴ μυρίας ἀηδίας γέμει τὸ πρᾶγμα, οὐκ αὐτὸς μετὰ ἐν ἀδοξίᾳ γίνῃ, ἀλλὰ καὶ παῖδας καταισχύνεις, πένητας ἀφεὶς εἰ συμβαίη προαπελθεῖν, καὶ αὐτῇ πολλὰς δίδως ἀφορμὰς τοῦ δευτέρῳ πάλιν προσομιλῆσαι νυμφίῳ· ἢ οὐχ ὁρᾷς ὅτι πολλαῖς αὕτη γέγονεν ἡ πρόφασις δευτέρου γάμου, τὸ μὴ καταφρονεῖσθαι, τὸ ζητεῖν τοὺς ἐφισταμένους τοῖς ὑπάρχουσι, μὴ δὴ τοσαῦτα ἐργαζώμεθα κακὰ διὰ χρήματα· ἀλλὰ πάντα ἀφῶμεν, καὶ ψυχὴν ζητῶμεν καλὴν, ἵνα καὶ ἀγάπης ἐπιτυχωμεν· οὗτος ὁ πλοῦτος ὁ πολύς· οὗτος ὁ μέγας θησαυρός· ταῦτα τὰ μυρία ἀγαθά. ὧν γένοιτο πάντας ἡμᾶς ἀπολαῦσαι δεόντως, καὶ κατὰ τοὺς νόμους τοῦ Θεοῦ ζῆσαι, ἵνα καὶ τῶν μελλόντων ἀγαθῶν δυνηθῶμεν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ ν'.

Οἱ μὲν οὖν στρατιῶται κατὰ τὸ διατεταγμένον αὐτοῖς ἀναλαβόντες τὸν Παῦλον, ἤγαγον διὰ νυκτὸς εἰς τὴν Ἀντιπατρίδα: τῇ τε ἐπαύριον ἐάσαντες τοὺς ἱππεῖς πορεύεσθαι σὺν αὐτῷ, ὑπέστρεψαν εἰς τὴν παρεμβολήν· οἵτινες ἐλθόντες εἰς τὴν Καισάρειαν, καὶ ἀναδόντες τὴν ἐπιστολὴν τῷ ἡγεμόνι, παρέστησαν καὶ τὸν Παῦλον.

Καθάπερ βασιλέα τινὰ δορυφόροι παρέπεμπον μετὰ τοσούτου πλήθους καὶ ἐν νυκτὶ, φοβούμενοι τοῦ δήμου τὴν ὀργὴν τὴν ὁρμῆς. ἐπεὶ οὖν τῆς πόλεως αὐτὸν ἐξέβαλον, τότε ἀφίσανται. οὐκ ἂν δὲ ὁ χιλίαρχος μετὰ τοσαύτης αὐτὸν ἀσφαλείας ἐξέπεμψεν, εἰ μὴ καὶ αὐτὸς οὐδὲν αὐτοῦ κατεγνωκὼς, καὶ ἐκείνων ᾔδει τὸ φονικόν. ἀνα„γνοὺς δὲ καὶ ἐπερωτήσας ἐκ ποίας ἐπαρχίας ἐστὶ, καὶ πυθόμενος „ὅτι ἀπὸ Κιλικίας, διακούσομαί σου, ἔφη, ὅταν καὶ οἱ κατήγοροί „σου παραγένωνται, ἐκέλευσέ τε αὐτὸν ἐν τῷ πραιτωρίῳ [Ἡρώδου] „φυλάσσεσθαι. ἤδη ἀπελογήσατο ὑπὲρ αὐτοῦ ὁ Λυσίας· ἀλλ' ὅμως καὶ ἔτι οἱ Ἰουδαῖοι ἐπιτίθενται, καὶ προκαταλαμβάνουσι τὴν ἀκροατὴν, καὶ πάλιν εἰς δεσμὰ βάλλεται, καὶ ἄκουε πῶς. ἐπάγει γάρ·

„Μετὰ δὲ πέντε ἡμέρας, κατέβη ὁ ἀρχιερεὺς Ἀνανίας μετὰ πρεσ„βυτέρων, καὶ ῥήτορος Τερτύλλου τινός. οἵτινες ἐνεφάνισαν τῷ ἡ„γεμόνι κατὰ τοῦ Παύλου. ὅρα πῶς οὐδ' οὕτως ἀπέστησαν, ἀλλ' ἔρχονται μυρίοις κωλύμασι καίτοι κωλυόμενοι, ὥστε κἀκεῖ καται„σχυνθῆναι. κληθέντος δὲ αὐτοῦ, ἤρξατο κατηγορεῖν ὁ Τέρτυλλος „λέγων· πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ, καὶ κατορθωμάτων „γινομένων τῷ ἔθνει τούτῳ διὰ τῆς σῆς προνοίας πάντη τε καὶ παν„ταχοῦ, ἀποδεχόμεθα, κράτιστε Φῆλιξ, μετὰ πάσης εὐχαριστίας. ἵνα δὲ μὴ ἐπὶ πλεῖόν σε ἐγκόπτω, παρακαλῶ ἀκοῦσαι „συντόμως ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. καὶ μὴν ὑμεῖς τοῦτο πεποιήκατε· ῥήτορος οὖν τί ἔδει; ὅρα πῶς καὶ οὗτος εὐθέως ἐκ προοιμίων ὡς νεωτεροποιὸν καὶ στασιαστὴν βούλεται παραδοῦναι. καὶ τοῖς ἐπαίνοις προκαταλαμβάνει τὸν δικαστήν. εἶτα ὡς πολλὰ ἔχων εἰπεῖν, παρατρέχει.

A Si non adultiorem duxisset forsan, haud fuisset factus tot puerorum pater, sed in peregrinatione multum temporis contrivisset, & mœstus fuisset quemadmodum & mulier. Illa enim meritò mœsta erat, eo quod non esset facta mater: Hic autem habet consolationem: unde illam & repulisset. Iterum si non fraudasset ipsum mercede, non desiderasset videre terram suam, non declarata fuisset virt⁹ viri, non magis familiares facti essent ei. Vide enim quod dicunt: *Devorando devoravit nos & argentum nostrum.* Gen.31.15.

B Et ita hinc prodiit amoris causa. Servas ferè habuit pro mulieribus, & diligebatur ab eis, cui possessioni haud poterit conferri aliquid. Nihil enim honestius quàm amari ab uxore & amare, & sapiens inter beatos ponit, *quibus amabilis quæ amat uxor obvenit*: ibi enim verè divitiæ, & multa abundat felicitas. Sir.25.2. Igitur si illud non sit, nulla aliorum erit utilitas, sed omnia turbantur, omnia in suavitate & confusione plena sunt. Igitur & nos hoc ante omnia quæramus. Pecunias quærens, non hoc

C quærit. Hæc quæramus, quæ firma esse possunt, ne nuptias ab opulentis, ne immodicæ divitiæ uxori superbum afferant sensum, & inde corruptionem. Non vides, quid fecit Deus, quomodo illam subjecit? Quare ingratus es, quare insensatus? id quod tibi natura concessum, hoc tu ne corruperis adjutorium, & ita non oportet te divitem quærere, sed ut habeamus communem sociam ad liberos procreandos: non ut pecunias afferat uxor, illam dedit Deus, sed ut sit adjutrix. Quæ autem

D pecunias affert, etiam insidiatur, & domina fit pro ministra, vel forsan bestia pro muliere, volens propter divitias sapere magna. Nihil turpius viro qui sic vult ditari. Si enim istuc ipsum ditari tentationibus plenum est, sic autem ditari quid non afferet? Ne enim hoc attendas, si id quibusdam accidat rarò: nam & in aliis negotiis, quibus præter expectationem fruuntur quidam, non spectatur quod plerique fortunatiores sint, sed id videamus quod ratio docet. Si multa insuavia tibi erunt, non

E solus in ignominia eris, sed etiam pueros confundes, pauperes relinquens, si prior moriare, & ei multas occasiones das ut mox secundum quærat maritum. Non vides multis hanc fuisse causam secundarum nuptiarum, ut non contemnantur, & ut quærant eos qui rebus suis præsint. Itaque ne hæc operemur mala propter opes, sed omnia relinquamus, & animam inquiramus bonam, ut & dilectionem assequamur. Hæ sunt magnæ divitiæ, hæc sunt magnus thesaurus, hæc sunt innumera bona. Quæ

A nos omnes assequi, ut oportet, & juxta leges Dei vivere, ut etiam futuris bonis frui possimus, concedatur gratia & misericordia Domini nostri Jesu Christi, cum quo Patri simul ac sancto Spiritui gloria, imperium, & honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA L.

B *Itaque milites ut præceptum erat eis assumpto Paulo duxerunt per noctem in Antipatridem & postero die relictis equitibus qui erant cum illo, reversi sunt in castra: At illi ut venerunt Cæsaream, & reddiderunt epistolam duci, statuerunt etiam Paulum.*

DEducunt quasi regem quendam lanceariis stipatum cum tanta multitudine & in nocte, timentes iram & impetum populi. Igitur postquam ejecerunt illum è civitate,

C tunc desistunt. Non autem tribunus cum tanta illum securitate emisisset, nisi & ipse in nullo eum condemnasset, & illorum sanguinariam scivisset mentem. *Ut autem legit & rogavit, ex qua provincia esset, & cognoscens quod ex Cilicia: Audiam te, inquit, quando & accusatores tui venerint: jussitque illum in prætorio Herodis custodiri.* Jam pro illo rationem dederat Lysias, attamen & sic Judæi insidiantur, & præoccupant auditorem: & iterum in vincula mittitur, & audi quomodo:

D *Post quinque autem dies descendit princeps sacerdotum Ananias cum senioribus & rhetore quodam Tertullo, qui & comparuerunt apud præsidem contra Paulum.* Cap. XXIV. Vide quomodo neque sic destiterunt, sed utuntur variis prohibitionibus, quamvis prohibeantur, atque adeo sicut illic confunduntur. *Vocato autem illo, cœpit Tertullus accusare dicens: Quum in multa pace agamus per te, & multa bona opera fiant huic populo per tuam providentiam semper & ubique, suscipimus, præstantissime Felix, cum omni*

E *gratiarum actione. Sed ne diutius te morer, oro ut paucis nos audias pro tua humanitate.* Profectò vos hoc fecistis, oratore quid opus erat? Vide quomodo hic statim ab initio, quasi rerum novatorem, & seditiosum calumniari vult, & judicem laudibus præoccupat. Deinde quasi multa possit dicere, prætercurrit, & unum

& unum hoc dicit, *Ut autem ne diutius te detineam.* Vide quomodo judici puniendi desiderium immittit, utpote comprehensuro orbis turbatorem, & quasi in magno bono opere gloriantur. *Inventum enim virum hunc pestilentem, & moventem seditionem omnibus Judæis in universo orbe, sectæ Nazaræorum præstitem, qui etiam templum attentavit prophanare, quem etiam apprehendimus & voluimus secundum legem nostram judicare, superveniens Lysias tribunus magna cum vi ex manibus nostris abduxit, jubens accusatores ejus ad te venire, ex quo potes ipse dijudicans de his omnibus cognoscere de quibus nos accusamus eum.* Ut pestilentem jam, & ut communem hostem gentis accusant, & *præstitem sectæ Nazaræorum*: videbatur hoc ignominiosum, quod *Nazaræorum*. Ideo & hoc allegarunt, & ab hoc iterum accusant eum. Nazareth enim contemptior erat, & *inventum* inquit. Vide malignè quomodo ut fugientem calumniantur, & vix se illum assequutos, quamvis septem diebus fuerit in templo. *Apprehendimus, & secundum legem nostram judicare voluimus.* Vide quomodo & legem contumelia afficiunt. Neque enim hoc legis erat, percutere, occidere, insidiari. Additur & Lysiæ accusatio: *Superveniens autem Lysias tribunus magna cum vi ex manibus nostris abduxit.* Non conveniebat illi rem hanc facere, quam tamen fecit. *Ex quo poteris dijudicans de his omnibus cognoscere, de quibus nos accusamus illum. Adjecerunt autem & Judæi dicentes hæc sic habere.* Quid igitur Paulus? nunquid ad hæc tacet? minimè, sed liberè loquitur iterum & respondet, idque volente præside. Addidit enim: *Respondit autem Paulus innuente ei præside ut dicat: Sciens multis annis te justum judicem huic genti esse, æquiore animo de rebus meis satisfacio. Quum possis tu cognoscere, non esse plures quam duodecim dies, ex quo ascendi Hierusalem adoraturus, & neque in templo invenerunt me cum aliquo loquentem, aut concursum facientem turbæ, vel in synagogis, vel in civitate, neque probare possunt ea de quibus me accusant.* Non sunt hæc adulationis verba, testificare justitiam judici, sed illa magis, quod multa pace potiantur per eum. Cur igitur injustè seditiosi estis? Observa autem: Ad injustitiam impellebant: hic quod justum, quærebat. Ideo & dicebat: *Æquiore animo de reb⁹ meis satisfacio.* Deinde & à tempore confirmat. *Sciens te multis annis justum judicem.* Et quid hoc ad demonstrationem conducebat? Ostendit sanè quod & ipse sciat, nihil se eorum fecisse quorum accusabatur. Si autem concursum turbæ unquam concitasset, utique judex ipse cognovisset, nec ei qui tantus erat occultum fuisset. Deinde quoniam accusator nihil potuit monstrare in Hierosolymis, vide quid dicit: *Omnibus Judæis in universo orbe*: mendacium confingens. Idcirco Paulus hinc illum abstrahens: *Adoraturus ascendi*, inquit: Quasi per hoc rationem reddens. Quia tantum abest, ne seditionem concitem: & in hoc justo, quod certe validum erat, immoratur: subdit enim. *Neque in templo, neque in civitate, neque in synagoga invenerunt me cum aliquo loquentem*, id quod & verum erat. Et ille quidem *præstitem*, inquit, quasi in bello aut tumultu: hic autem vide ut humaniter respondit: *Confiteor autem hoc tibi, quod juxta viam quam vocant Sectam, sic colo patrem Deum, credens omnibus quæ in lege ac prophetis sunt scripta, spem habens in Deum quam & ipsi amplexantur, futuram resurrectionem justorum & injustorum.* Vide, separabant hunc illi, hic verò se adjungit & legi, per ea quæ respondet, addictum declarat, confirmánsque iterum quod dixerat, addit: *In hoc autem & ipse studio sine offendiculo conscientiam habere erga Deum & erga omnes semper. Post annos autem plures accessi, eleemosynas exhibiturus in gentem meam & oblationes, in quibus compererunt quidam me purificatum in templo, haud cum turba, neque cum tumultu.* Cur igitur ascendisti? cur venisti? adoraturus, & eleemosynas daturus inquit, id quod non erat seditiosi. Deinde dejicit illorum quoque personam, dicens sine discrimine. *In quibus me compererunt quidam eorum qui ex Asia erant Judæi, quos oportebat tecum adesse & accusare si quid habeant contra me, vel hi ipsi dicant, qui invenerint in me injustum, quum in concilio vel de una hac voce qua clamavi inter eos stans: De resurrectione mortuorum ego hodie judicor à vobis.* Hæc erat abundans justificatio, non fugere ab accusatoribus, sed paratum esse ad reddendam rationem omnibus. *De resurrectione mortuorum ego hodie*, inquit, *judicor*. Et nihil dixit eorum, quæ meritò poterat dicere, quod insidiati sint, quod comprehenderint illum, quòd insidias struxerint: hæc enim ab illis dicuntur facta esse, ab hoc autem nihil periculi erat, sed tacet, & tantum rationem reddit, quamvis plurima dicere potuisset.

A καὶ μόνον τοῦτο λέγει· ἵνα δὲ μὴ ἐπιπλεῖόν σε ἐγκόπτω· ὅρα πῶς εἰς ἐπιθυμίαν ἐμβάλλει κολάσεως τὸν δικαστήν· εἴγε ἔμελλε τὸν τὴν οἰκουμένην ἀνατρέποντα καθέξειν, καὶ ὡς ἐπὶ κατορθώματι φρονοῦσι μεγάλῳ. εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμὸν, καὶ κινοῦντα στάσεις πᾶσι τοῖς Ἰουδαίοις τοῖς κατὰ τὴν οἰκουμένην, πρωτοστάτην τε τῆς τῶν Ναζωραίων αἱρέσεως, ὃς καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι· ὃν καὶ ἐκρατήσαμεν, καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίναι. παρελθὼν B δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγε, κελεύσας τοὺς κατηγόρους αὐτοῦ ἔρχεσθαι ἐπὶ σοῦ. παρ' οὗ δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. τοῖς κατὰ τὴν οἰκουμένην, φησὶν, Ἰουδαίοις στάσεις κινοῦντα. ὡς λυμεῶνα λοιπὸν καὶ κοινὸν ἐχθρὸν τοῦ ἔθνους διαβάλλουσι. πρωτοστάτην τε τῆς τῶν Ναζωραίων· διὸ καὶ τοῦτο παρῆγον. καὶ ἀπὸ τούτου πάλιν διέβαλλον αὐτόν· ἡ γὰρ Ναζαρὲθ εὐτελὴς ἦν. καὶ εὑ- C ρόντες, φησίν. ὅρα πῶς κακούργως ὡς διαφυγόντα συκοφαντοῦσι. καὶ μόλις ἐπιτυχόντες. καίτοι ἑπτὰ ἡμέρας εἶχεν ἐν τῷ ἱερῷ. ὃν καὶ ἐκρατήσαμεν. καὶ κατὰ τὸν ἡμέτερον νόμον ἠθελήσαμεν κρίναι. ὅρα πῶς καὶ τὸν νόμον ὑβρίζουσιν. εἴγε μὴ τοῦτο νόμου ἦν, τὸ τύπτειν, τὸ ἀναιρεῖν, τὸ ἔνεδρα ποιεῖν. εἶτα καὶ ἡ Λυσίου κατηγορία· παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. οὐ προσῆκον αὐτῷ, φησὶ, πρᾶγμα ποιῶν, ὅμως ἐποίησε· παρ' οὗ D δυνήσῃ αὐτὸς ἀνακρίνας περὶ τούτων πάντων, γνῶναι ὧν ἡμεῖς κατηγοροῦμεν αὐτοῦ. συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι, φάσκοντες ταῦτα οὕτως ἔχειν. τί οὖν ὁ Παῦλος; ἆρα ἐπὶ τούτοις σιγᾷ; οὐδαμῶς· ἀλλὰ παρρησιάζεται πάλιν καὶ ἀποκρίνεται, καὶ τοῦτο τοῦ ἡγεμόνος βουληθέντος. ἐπήγαγε γάρ· ἀπεκρίθη δὲ Παῦλος νεύσαντος αὐτῷ τοῦ ἡγεμόνος λέγειν· ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν δίκαιον [ἐν] τῷ ἔθνει τούτῳ ἐπιστάμενος, εὐθυμότερον τὰ περὶ ἐμαυ- E τοῦ ἀπολογοῦμαι, δυναμένου σου γνῶναι, ὅτι οὐ πλείους εἰσί μοι ἡμέραι δεκαδύο ἀφ' ἧς ἀνέβην προσκυνήσων ἐν Ἱερουσαλήμ. καὶ οὔτε ἐν τῷ ἱερῷ εὗρόν με πρός τινα διαλεγόμενον, ἢ ἐπισύστασιν ποιοῦντα ὄχλου, οὔτε ἐν ταῖς συναγωγαῖς, οὔτε κατὰ τὴν πόλιν, οὔτε παραστῆσαι νῦν δύνανται περὶ ὧν νῦν κατηγοροῦσί μου. οὐκ ἔστι ταῦτα κολακείας τὰ ῥήματα, τὸ μαρτυρῆσαι τῷ δικαστῇ δικαιοσύνην· ἀλλ' ἐκεῖνα μᾶλλον, τὸ εἰπεῖν πολλῆς εἰρήνης τυγχάνοντες διὰ σοῦ. A τί οὖν ἀδίκως στασιάζετε; σκόπει δέ· ἐκεῖνοι πρὸς ἀδικίαν παρώρμων· οὗτος τὸ δίκαιον ἐζήτει. διὸ καὶ ἔλεγεν· εὐθυμότερον τὰ περὶ ἐμαυτοῦ ἀπολογοῦμαι. εἶτα καὶ ἀπὸ τοῦ χρόνου ἰσχυρίζεται· ἐκ πολλῶν ἐτῶν γάρ, φησιν, ὄντα σε κριτὴν ἐπιστάμενος. καὶ τί τοῦτο πρὸς ἀπόδειξιν συντελεῖ; μέγα· δείκνυσι γὰρ ὅτι καὶ αὐτὸς οἶδε μηδὲν ὧν κατηγορεῖται πεποιηκότα. εἰ δὲ ἐπισύστασίν ποτε ἐκίνησεν, ἐγίνωσκεν ἂν κριτὴς ὤν, καὶ τὸ τοσοῦτον αὐτὸν οὐκ ἐλάνθανεν. εἶτα ἐπειδὴ B ὁ κατήγορος οὐδὲν εἶχε δεῖξαι ἐν Ἱεροσολύμοις, ὅρα τί φησι· τοῖς κατὰ τὴν οἰκουμένην πᾶσιν Ἰουδαίοις, ψεῦδος ἐπὶ ψεύδει συντιθείς. διὰ τοῦτο ὁ Παῦλος ἐντεῦθεν αὐτὸν ἀφέλκων, προσκυνήσων ἀνέβην λέγει· μονονουχὶ ἀπολογούμενος διὰ τοῦτο, ὅτι τοσοῦτον ἀπέχω τοῦ στάσεις κινεῖν, καὶ τούτῳ ἐνδιατρίβει τῷ δικαίῳ, ὅπερ ἦν ἰσχυρόν. ἐπάγει γάρ· καὶ οὔτε ἐν τῷ ἱερῷ, οὔτε ἐν τῇ πόλει, οὔτε ἐν τῇ συναγωγῇ εὗρόν με πρός τινα διαλεγόμενον. ὅπερ ἦν καὶ ἀληθές. κἀ- C κεῖνος μὲν πρωτοστάτην, φησὶ, καθάπερ ἐπὶ μάχης καὶ συστάσεως· οὗτος δὲ ὅρα πῶς ἐπιεικῶς ἀποκρίνεται. ὁμολογῶ δὲ τοῦτό σοι, ὅτι κατὰ τὴν ὁδὸν ἣν λέγουσιν αἵρεσιν, οὕτω λατρεύω τῷ πατρῴῳ Θεῷ, πιστεύων πᾶσι τοῖς κατὰ τὸν νόμον, καὶ ἐν τοῖς προφήταις γεγραμμένοις, ἐλπίδα ἔχων εἰς τὸν Θεὸν, ἣν καὶ αὐτοὶ προσδέχονται, ἀνάστασιν μέλλειν ἔσεσθαι. δικαίων τε καὶ ἀδίκων. ὅρα· ἐχώριζον αὐτὸν ἐκεῖνοι· οὗτος συνεισάγει, καὶ οἰκειοῖ ἑαυτὸν τῷ νόμῳ δι' ὧν ἀπολογεῖται. καὶ βεβαιῶν ὃ εἶπε, πάλιν ἐπάγει· ἐν τούτῳ D δὲ καὶ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρός τε τὸν Θεὸν, καὶ πρὸς τοὺς ἀνθρώπους διαπαντός. δι' ἐτῶν δὲ πλειόνων παρεγενόμην ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου καὶ προσφοράς, ἐν οἷς εὗρόν με ἡγνισμένον ἐν τῷ ἱερῷ οὐ μετὰ ὄχλου οὐδὲ μετὰ θορύβου τινές. τί οὖν ἀνέβης; τί ἦλθες; προσκυνῆσαι, ἐλεημοσύνας, φησὶ, ποιῆσαι· ὥστε τοῦτο οὐκ ἦν στασιῶδες. εἶτα καὶ ἐκβάλλει αὐτῶν τὸ πρόσωπον λέγων ἀδιορίστως· ἐν οἷς εὗρόν μέ τινες τῶν ἀπὸ τῆς Ἀσίας E Ἰουδαῖοι· οὓς ἔδει ἐπὶ σοῦ παρεῖναι καὶ κατηγορεῖν εἴ τι ἔχοιεν πρός με. ἢ αὐτοὶ οὗτοι εἰπάτωσαν· τί εὗρον ἐν ἐμοὶ ἀδίκημα στάντος μου ἐπὶ τοῦ συνεδρίου· ἢ περὶ μιᾶς ταύτης φωνῆς ἧς ἐκέκραξα ἑστὼς ἐν αὐτοῖς, ὅτι περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον κρίνομαι ὑφ' ὑμῶν. τοῦτο περιουσία δικαιωμάτων, μὴ φεύγειν τοὺς κατηγόρους, ἀλλ' ἕτοιμον εἶναι πᾶσι διδόναι λόγον. περὶ ἀναστάσεως νεκρῶν ἐγὼ σήμερον, φησι, κρίνομαι. καὶ οὐδὲν εἶπεν ὧν εἶχεν εἰκότως εἰπεῖν· ὅτι ἐπεβούλευσαν· ὅτι κατέσχον αὐτόν· ὅτι ἔνεδρον ἐποίησαν· ταῦτα γὰρ παρ' ἐκείνων λέγεται γενέσθαι· παρὰ δὲ τούτου, καὶ κίνδυνος οὐκ ἦν· ἀλλὰ σιγᾷ καὶ μόνον ἀπολογεῖται, καίτοι μυρία ἔχων εἰπεῖν.

οὗτ

τοῦτο αὐτὸν καὶ ἐν Καισαρείᾳ ἐποίει λαμπρὸν, τὸ μετὰ τοσαύτης ἐλθεῖν παρατάξεως. Ἐν οἷς εὗρόν με, φησὶν, ἡγνισμένον ἐν τῷ ἱερῷ. Πῶς οὖν ἐβεβήλωσεν; οὐ γάρ ἐστι τοῦ αὐτοῦ, καὶ ἁγνίζεσθαι καὶ προσκυνεῖν, καὶ διὰ τοῦτο ἔρχεσθαι, καὶ βεβηλοῦν. Τοῦτο καὶ ἀπολογίας ὑποψίαν ἔχει τὸ μὴ εἰς μακρὸν ἐμπίπτειν τὸν λόγον εἶναι, καὶ χαρίζεται τῷ δικαστῇ. Ἐμοὶ δὲ δοκεῖ κἀκείνῳ συστέλλειν τὴν ἀπολογίαν. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. Ἐπειδὴ περὶ τούτου μακρὰ ἐδημηγόρησεν ὁ Τέρτυλλος, δεικνὺς ὅτι συντέμνεται, οὐκ εἶπεν, ἄκουσον τοῦ πράγματος· ἀλλ' ἵνα σε μὴ ἐπὶ πλεῖον ἐγκόπτω, παρακαλῶ ἀκοῦσαί σε ἡμῶν τῇ σῇ ἐπιεικείᾳ. Τάχα θεραπεύων οὕτω τὸν λόγον κατασκευάζει· ἢ καὶ ἀληθῶς τοῦτο ἐπιεικείας τεκμήριον, εἰ παρὸν πολλὰ εἰπεῖν, ὑπὲρ τοῦ μὴ ἐνοχλεῖν ὀλίγα τις λέγοι. Εὑρόντες γὰρ τὸν ἄνδρα τοῦτον λοιμόν· ὅς φησι, καὶ τὸ ἱερὸν ἐπείρασε βεβηλῶσαι. Οὐκοῦν οὐκ ἐβεβήλωσε. Τί οὖν εἰ ἀλλαχοῦ τοῦτο ἐποίησεν; οὐδαμῶς, ἦ γὰρ ἂν εἶπε. Νῦν δὲ ἐπείρασε μόνον λέγει· τὸ δὲ πῶς οὐ προστίθησι, καὶ τὰ μὲν κατὰ Παύλου, οὕτως ἐπῆρεν· ὅρα δὲ αὐτῶν πῶς ἐλαττοῖ. Ὃν καὶ ἐκρατήσαμεν, φησὶ, καὶ ἠθελήσαμεν κρίνειν κατὰ τὸν ἡμέτερον νόμον· παρελθὼν δὲ Λυσίας ὁ χιλίαρχος, μετὰ πολλῆς βίας ἐκ τῶν χειρῶν ἡμῶν ἀπήγαγεν. Ἐνταῦθα δεικνύουσιν ὅτι καὶ ἐπηρεάζοντο εἰς δικαστήρια ἐρχόμενοι ξένα· καὶ ὅτι οὐκ ἂν ἐνώχλησαν αὐτὸν, εἰ μὴ ἐκεῖνος ἠνάγκασε, καὶ ὡς οὐ προσῆκον αὐτῷ ἥρπασε τὸν ἄνδρα. Καὶ γὰρ τὰ ἀδικήματα πρὸς ἡμᾶς ἦν, καὶ τὸ δικαστήριον παρ' ἡμῖν ἔδει γενέσθαι. Ὅτι δὲ οὕτως ἐστὶν, ὅρα τὸ ἑξῆς, μετὰ πολλῆς, φησὶ, βίας. Βία γὰρ τοῦτό ἐστι. Παρ' οὗ δυνήσῃ γνῶναι. Οὐδὲ κατηγορῆσαι τολμᾷ· συγγνωμονικὸς γὰρ ἀνὴρ ἦν· οὐδὲ ἁπλῶς παρέρχεται. Εἶτα πάλιν ἵνα μὴ δόξῃ ψεύδεσθαι, αὐτὸν ἐφίστησιν ἑαυτοῦ κατήγορον τὸν Παῦλον. Παρ' οὗ φησι, δυνήσῃ ἀνακρίνας περὶ πάντων τούτων ἐπιγνῶναι. Εἶτα καὶ μάρτυρες τῶν εἰρημένων· συνεπέθεντο δὲ καὶ οἱ Ἰουδαῖοι φάσκοντες ταῦτα οὕτως ἔχειν. Οἱ κατήγοροι αὐτοὶ καὶ μάρτυρες, καὶ κατήγοροι. Ἀλλ' ὁ Παῦλος· Ἐκ πολλῶν ἐτῶν ὄντα σε κριτὴν ἐπιστάμενος δίκαιον, ἀπολογοῦμαι. Οὐκ ἄρα ξένος τίς ἐστιν, οὐδὲ ἀλλότριος, οὐδὲ νεωτεροποιὸς, ὅς γε ἐκ πολλῶν ἐτῶν οἶδε τὸν δικαστήν. Καὶ καλῶς ἐπήγαγε τὸ, δίκαιον· ἵνα μὴ πρὸς τὸν ἀρχιερέα ἴδῃ, μηδὲ πρὸς τὸν δῆμον· μηδὲ πρὸς τὸν κατήγορον. Ὅρα πῶς οὐ προήχθη εἰς ὕβριν, καίτοιγε καὶ ἀνάγκης οὔσης. Πιστεύων, φησὶ, πᾶσι τοῖς κατὰ τὸν νόμον. Τοῦτο εἶπε, δεικνὺς ὅτι οὐκ ἂν ἄνθρωπος πιστεύων ἀνάστασιν ἔσεσθαι, τοιαῦτα πράξειέ ποτε, ἣν καὶ αὐτοὶ οὗτοι ἐκδέχονται. Οὐκ εἶπε περὶ τούτων, ὅτι πιστεύουσι τοῖς ἐν τοῖς προφήταις γεγραμμένοις· οὐδὲ γὰρ ἐπίστευον· ἀλλ' οὗτος πᾶσιν ἐπίστευεν, οὐκ ἐκεῖνοι. Πῶς δὲ, μακρὸν ἂν εἴη λέγειν τὰ νῦν λέγων. Τοσαῦτα εἶπε, καὶ οὐδαμοῦ τοῦ Χριστοῦ μέμνηται· ἐνταῦθα δὲ τὸ, πιστεύων, εἰπὼν, καὶ τὰ κατὰ τὸν Χριστὸν εἰσήγαγεν, ἀλλὰ τέως τῷ τῆς ἀναστάσεως ἐνδιατρίβει λόγῳ· ὃ κοινὸν ἦν αὐτοῖς δόγμα, καὶ πάσης στάσεως ὑποψίαν ἀνῄρει. Εἶτα καὶ ἡ αἰτία τῆς ἀνόδου. Ἐλεημοσύνας, φησὶ, καὶ προσφορὰς ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην, καὶ τοῦτο δι' ἐτῶν πλειόνων. Πῶς ἂν οὖν ἐτάραξεν, οἷς ὥστε ἐλεημοσύνην ποιῆσαι τοσαύτην ἦλθεν ὁδόν; οὐ μετὰ ὄχλου, φησὶν, οὐδὲ μετὰ θορύβου. Πανταχοῦ τὴν στάσιν ἀναιρεῖ. Καλῶς δὲ καὶ προσκαλεῖται τοὺς κατηγόρους τοὺς ἀπὸ τῆς Ἀσίας, λέγων· οὓς ἔδει ἐπὶ σοῦ κατηγορεῖν, εἴ τι ἔχοιεν πρὸς με. Οὕτως ἐθάρρει καθαρὸς εἶναι πρὸς ἃ κατηγορεῖτο, ὅτι καὶ προσκαλεῖται αὐτούς. Οὐ τοὺς ἀπὸ τῆς Ἀσίας δὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐξ Ἱερουσαλὴμ οὐκ ἐκβάλλει κατηγόρους. Ἀλλὰ καὶ τούτους προσκαλεῖται πάλιν ἐπάγων, ἢ αὐτοὶ εἰπάτωσαν. Καὶ γὰρ διὰ τοῦτο ἐξ ἀρχῆς διεπονοῦντο, ὅτι τὴν ἀνάστασιν ἐκήρυττε. Καὶ καλῶς οὕτως ἐποίει. Τούτου γὰρ δειχθέντος, εὐκόλως καὶ τὰ τοῦ Χριστοῦ ἐπεισήγετο, ὅτι ἀνέστη. Τί εὗρον, φησὶν, ἐν ἐμοὶ ἀδίκημα, στάντος μου ἐπὶ τοῦ συνεδρίου; ἐν τῷ συνεδρίῳ, εἶπε, δεικνὺς ὅτι οὐδὲν εὗρον, οὐχὶ κατ' ἰδίαν τῆς ἐξετάσεως γινομένης· ἀλλὰ παρόντος τοῦ πλήθους, καὶ ἀκριβῶς ἀνακρίνοντος. Ὅτι δὲ ταῦτα ἀληθῆ λέγω, μαρτυροῦσιν οἱ περὶ τούτου ἐγκαλοῦντες. Διὰ τοῦτο καὶ ἔλεγεν· Ἐν τούτῳ δὲ αὐτὸς ἀσκῶ, ἀπρόσκοπον συνείδησιν ἔχων πρός τε τὸν Θεὸν, καὶ τοὺς ἀνθρώπους. Ἡ τελεία γὰρ αὕτη ἀρετὴ, ὅτ' ἂν μηδὲ ἀνθρώποις διδῶμεν λαβάς, καὶ παρὰ Θεῷ σπουδάζωμεν εἶναι ἀπρόσκοποι. Ἧς ἐκέκραξα, φησὶν, ἐν τῷ συνεδρίῳ. Καὶ τὴν βίαν αὐτῶν δηλοῖ ἐκ τοῦ εἰπεῖν ἐκέκραξα, ὥσπερ ἔλεγεν· οὐκ ἔχουσιν εἰπεῖν, ὅτι προσχήματι ἐλεημοσύνης ταῦτα ἐποίεις. Οὐ γὰρ μετὰ ὄχλου, οὐδὲ μετὰ θορύβου τοῦτο ἐποίουν. Ἄλλως τε, καὶ ἐξετάσεως γινομένης περὶ τούτου οὐδὲν πλέον εὑρίσκετο. Εἶδες ἐπιείκειαν κινδύνων ὄντων; εἶδες εὔφημον γλῶτταν, καὶ πῶς ἓν ζητεῖ μόνον ἀπολύσασθαι τὰ ἑαυτοῦ, οὐχὶ κἀκείνους ἐγκλήμασι περιβαλεῖν; πλὴν εἴ που ἀναγκάζοιτο ἀπολογούμενος· ὥσπερ καὶ ὁ Χριστὸς ἔλεγεν· » Ἐγὼ δαιμόνιον οὐκ ἔχω, ἀλλὰ τιμῶ τὸν πατέρα μου· ὑμεῖς δὲ ἀτιμάζετέ με· τοῦτον μιμώμεθα καὶ ἡμεῖς.

A Hoc illum & in Cæsarea clarum reddebat, quod cum tanto venerat agmine. *In quibus invenerunt me purificatum in templo.* Quomodo igitur prophanavit? Non est hoc unius & ejusdem purificari & adorare, & propter hoc venire, & polluere. Hoc etiam pro firmanda causa aliquid faciebat, quod sermonem non finit esse prolixiorem, & gratificatur judici: mihi autem videtur & illic satisfactionem contrahere, sed videamus iterum dicta: Quoniam antea multum concionatus B erat Tertullus, ostendens quod brevitati studeat, non dicit, audi causam: sed *ne te diutius morer, oro ut audias pro tua humanitate.* Fortassis sermonem sic instituit per humilitatem, vel etiam verè hoc humanitatis indicium erat, si possint multa dici, non interturbare si pauca quis dicat. *Invenimus enim virum illum pestilentem: Qui*, inquit, *& templum tentavit polluere.* Igitur non polluit. Quid igitur si alias hoc fecit? minimè, alioqui etiam dixisset, nunc autem dicit, *attentavit* C *quidem.* Hoc autem quomodo, non apponit, & sic causam Pauli exaggeravit, suam vero minuit. *Quem & apprehendimus*, inquit, *& voluimus judicare juxta nostram legem. Superveniens autem Lysias tribunus cum multa vi a manibus nostris abduxit.* Hic ostendit quod coacti ad peregrina tribunalia veniunt, & quod obturbassent eum nisi coegisset ille, & quod non fuerit officii illius abducere virum: nam quum injustitiæ apud nos fuerint, & judicium apud nos fieri oporte- D bat. Et quod ita sit, vide quid deinceps dicat: *Cùm multa*, inquit, *vi.* Vis erat. *Ex quo potes cognoscere.* Neque accusare audet. Erat enim ad veniam dandam facilis vir, neque simpliciter aderat. Deinde iterum ne videatur mentiri, Paulum suspsius accusatorem adhibet. *Ex quo*, inquit, *potes dijudicans cognoscere.* Mox & testes dictorum adsunt. *Adjecerunt autem & Judæi dicentes, hæc sic habere.* En testes, qui & ipsi accusatores. At Paulus respondet: *Sciens te multis annis* E *esse justum judicem.* Non igitur peregrinus, neque extraneus, neque novator erat, quandoquidem à multis annis cognoscebat judicem. Et bene addit: *Justum*, ne ad Principem Sacerdotum respiciat, neque ad populum. Vide quomodo non provocatus est ad contumeliam, neque erga accusatorem, quamvis etiam necessitas sit. *Credens*, inquit, *omnibus quæ in lege:* hoc dixit, ostendens nullum hominem, qui resurrectionem futuram credit, tale quid unquam facturum, quam & A illi approbant. Non dixit de his quod non credunt his quæ in Prophetis sunt scripta, neque enim credebant: sed hic omnibus credebat, non illi: quomodo autem, longum esset nunc dicere. Tanta dixit, & ousquam Christi meminit. Ibi autem credens ut dixisset, etiam de Christo addidit: Sed nunc moratur in resurrectionis sermone, utpote in communi dogmate, quod omnem seditionis suspicionem tollebat. Subditur & causa ascensus. *Eleemosynas*, inquit, *& oblationes fa-* B *cturus in gentem meam veni, idq; per annos plures:* quomodo igitur obturbaret eos, quibus ut eleemosynam faceret, tanta venerat via? *Non cum turba*, inquit, *neq; cum tumultu.* Ubique seditionem inficiatur. Bene autem vocat etiam *accusatores eos qui ab Asia, quos oportebat*, inquit, *secum accusare, si quid in me habeant.* Ita confidit mundus esse ab his de quibus accusabatur, quod & illos advocat, & non solum eos qui ab Asia, sed etiam eos qui ex Hierusalem accusatores non C rejicit. Quin & hos advocat iterum adjiciens: *Vel hi ipsi dicant.* Etenim ob hoc ab initio defatigati sunt, quod resurrectionem prædicaret. Et bene sic faciebat. Hoc enim ostenso facilè etiam subjiciet, Christum resurrexisse. *Quid invenerunt*, inquit, *in me injustitiæ, quum starem in Concilio? In concilio* dixit, ostendens quod nihil invenerint, non privatim inquisitione facta, sed præsente multitudine & diligenter dijudicante. Quod autem hæc vera dico, testes sunt qui de hoc ac- D cusant. Idcirco etiam dicebat: *In hoc autem studeo, ut sine offendiculo conscientiam habeam erga Deum & erga homines.* Perfecta est enim hæc virtus, quando neque hominibus damus occasiones, & apud Deum curamus esse sine offendiculo. Qua voce *clamavi in Concilio.* Etiam vim illorum manifestat dum dicit, *clamavi.* Non possunt dicere quod prætextu eleemosynæ hæc fecerim, neque enim cum turba, neque cum tumultu hæc faciebam. Et aliter: Etiam inquisitione facta de hoc, nihil E amplius inventum est. Vidisti in periculis humanitatem? vidisti honestam linguam? & quomodo id unum quærit, ut sua excuset, neque illos criminibus implicet, nisi quando defensio cogit, quemadmodum & Christus dicebat: *Ego dæmonium non habeo sed honoro patrem meum, vos autem non honorastis me.* Hunc imitemur & nos, Joh. 8, 49

quoniam & ipse Christi imitator fuit. Si ille his qui usque ad A mortem ac cædem ceperant nihil loquutus est durum: nos qua venia digni erimus, qui ad convicium & contumeliæ verbum exasperamur, scelestos ac flagitiosissimos vocantes inimicos nostros? & quam excusationem habebimus dum nobis sunt inimici? Non audis: *Qui honorat, seipsum honorat*, nos autem nosipsos contumelia afficimus? Accusas quòd contumelia affectus es, quare igitur & ipse in hoc crimen incidis? Cur teipsum percutis? mane sine affectionibus, mane invulnerabilis: non B volens alium vulnerare, teipsum injicis in malum? Non sufficit nobis aliàs animæ tumultus, qui nullo concitante oritur, ut concupiscentiæ illicitæ, mœrores, tristitia, & quæcunque id genus, ut alios etiam super alios cumulemus? Et quomodo, inquit, possibile est, eum qui contumelia afficitur ferre? quomodo autem non possibile, dic oro. Vulnus nobis nascitur ex verbis? cicatrices in corporibus? quantum igitur nobis erit damnum? atque ita si voluerimus, possumus ferre. Ponamus C nobis legem, ne doleamus: dicamus nobisipsis, non est inimicitiæ, infirmitatis est, verè enim ex infirmitate est. Quoniam quod non sit inimicitiæ, neque malignitatis morum, volebat etiam ille continère, quamvis multis nominibus læsus sit. Si hoc consideravimus solùm, quod infirmitatis est, portabimus & veniam dabimus illi, conabimurque ne & ipsi cadamus. Cæterum rogo omnes qui præsentes estis, num sic philosophari poteritis? equidem opinor. Itaque invitus te D contumelia affecit, & non volens, sed ab affectione coactus. Contineas te, non vides dæmoniacos? quemadmodum ille non ab inimicitiis tantum, quantum ab infirmitate patitur, ita & nos non à natura contumeliarum movemur, quamvis à nobisipsis: alioqui quomodo feremus insanientes, similes contumelias inferentes? Item si amici essent qui conviciis nos impetunt, vel etiam majores, & sic ferremus. Quomodo igitur non absurdum, quum tres sunt, amici, insanientes & majores, E & ferre possumus: pares autem honore vel inferiores, & non toleramus? Sæpe dixerunt, momentanea res, &, ad ictum oculi durans. Parum fortes simus, & totum perfecimus: quantò majore contumelia afficitur, tantò infirmior est illa. Audisti quando oporteat dolere: quando nos contumelia afficimus, & ille silebit, tunc ipse quidem fortior est, nos autem infirmi. Si autem diversum fiat, etiam gaudere oportet, coronatus es, prædicatus es. & nec in palæstram deductus absque Sole & radio & A pulvere inimicitias ferens, neque complicitus illi, neque datis ansis. At si volueris solùm, sive sedens sive stans, accepisti magnam coronam, & non simpliciter magnam, sed multò majorem quam illi. Non est enim par & inimicum prosternere oppugnantem, & tela iræ vincere: vicisti neque data ansa, prostravisti affectionem quæ in te est, occidisti bestiam commotam, & rabidi furoris ora obturasti, quemadmodum pastor optimus. Domesticum bellum futurum erat & intestina pu- B gna: nam sicut qui mœnia proximi obsident foris, intestina curant oriri bella, & sic vincunt: Sic & qui contumelias jacit, si non excitarit affectiones nostras, non poterit vincere, si non ipsi nos incenderimus. Ille profectò nullum robur habet, apud nos autem est iræ scintilla, ut tempestivè accendatur, non contra nosipsos, neque ut multis malis immisceat. Non videtis in domibus ignem reconditum, & non passim sparsum, neque in fœno, neque in vestibus, etiam flante vento non accendi? sed C licèt ministra lucernam habeat, etiam si coquus accendat, denunciatur ne juxta ventum, neque juxta tabulam, neque in nocte hoc faciat: sed quando ingruit nox, sopimus illum, timentes ne fortè dormientibus nobis, quum nullus sit qui juvet accendatur, & omnes exurat. Hoc etiam in ira fiat. Ne omnino dispergantur nostræ rationes, sed in profundo mentis serventur, ut neque ventus à verbis adversarii facilè pertingat, sed à nobis suscipiatur ventus scientibus congruè illum tuto movere. D Si deforis ventum accipiat, nescit modum. Sæpe etiam dormientibus nobis ventus ille incidit, & omnia quiescere facit. Sit igitur sicut nobis solùm lucem accendat: accendit enim lucem ira, quando decenter fit. Et faces habeamus alias contra eos qui injustè lædunt, contráque diabolum, ne omnino jaceat, neque abjiciatur scintilla. In cogitationibus humilibus sopiamus illum, non semper illo opus habemus, sed quando operari quid oportet, & mollire, quando obstinationem domare opus fuerit, quando condemnanda est anima. Quanta mala fecerunt ira & furor? Et hoc grave, quando in diversa excitamus, non jam illius sumus Domini, sed alios expectamus. Unusquisque confunditur & erubescit ut veniat ad placandum alium.

A ἐπειδὴ καὶ αὐτὸς Χριστοῦ μιμητὴς ἦν. εἰ τοὺς μέχρι φόνου καὶ σφαγῆς χωρήσασιν οὐδὲν εἶπεν ἐκεῖνος ἐπαχθές, τίνος ἂν εἴημεν ἡμεῖς συγγνώμης ἄξιοι, ἐν λοιδορίᾳ καὶ ὕβρεσιν ἐκθηριούμενοι, μιαροὺς καὶ παμμιάρους ἀποκαλοῦντες τοὺς ἐχθροὺς τοὺς ἡμετέρους; τίνα δὲ ἀπολογίαν ἕξομεν, ἐχθροὺς ὅλως ἔχοντες; οὐκ ἀκούεις ὅτι ὁ τιμῶν ἑαυτὸν τιμᾷ; ἡμεῖς δὲ ἑαυτοὺς ὑβρίζομεν. ἐγκαλεῖς ὅτι ὑβρίσθης· τί οὖν περιπίπτεις τῷ ἐγκλήματι; τί σαυτὸν πληγῇ περιβάλλεις; B μεῖνον ἀπαθής· μεῖνον ἄτρωτος· μὴ βουλόμενος ἕτερον πλῆξαι, σαυτὸν περιβάλῃς τῷ κακῷ. οὐ γὰρ ἀρκεῖ ἡμῖν ὁ ἕτερος θόρυβος τῆς ψυχῆς, ὁ μηδενὸς κινοῦντος κινούμενος· οἷον, αἱ ἐπιθυμίαι αἱ ἄτοποι· αἱ λῦπαι, καὶ αἱ ἀθυμίαι, καὶ ὅσα τοιαῦτα· ἀλλὰ καὶ ἑτέρας ἐπισωρεύομεν; καὶ πῶς δυνατὸν ὑβριζόμενον φέρειν, φησί; πῶς δὲ οὐ δυνατὸν εἰπέ μοι; τραῦμα ἡμῖν τίκτεται ἀπὸ τῶν ῥημάτων; μώλωπες περὶ τὰ σώματα; ποία τίνων γίνεται ἡμῖν βλάβη; C ὥστε ἂν βουλώμεθα, δυνάμεθα ἐγκαλεῖν. θῶμεν ἑαυτοῖς νόμον μὴ ἀλγεῖν, καὶ οἴσομεν. εἴπωμεν πρὸς ἡμᾶς αὐτούς, οὐκ ἔστιν ἔχθρας, ἀσθενείας ἐστίν. ἐπεὶ ὅτι ἔχθρας οὐκ ἔστιν οὐδὲ κακοηθείας, ἐβούλετο κἀκεῖνος κατέχειν εἰ καὶ μυρία ἠδικημένος ἦν. ἂν τοῦτο ἐννοήσωμεν μόνον, ὅτι ἀσθενείας ἐστίν, οἴσομεν· καὶ συγγνωσόμεθα μὲν ἐκείνῳ, πειρασόμεθα δὲ μὴ περιπεσεῖν καὶ αὐτοί. ἐπεὶ ἐρωτῶ πάντας τοὺς παρόντας· ἆρα ἂν οὕτω φιλοσοφεῖν δύναισθε, ὥστε φέρειν τοὺς ὑβρίζοντας; ἔγωγε οἶμαι. οὐκοῦν D ἄκων σε ὕβρισε, καὶ οὐ βουλόμενος, ἀλλ' ἀναγκαζόμενος ὑπὸ τοῦ πάθους. ἐπίσχες. οὐχ ὁρᾷς τοὺς δαιμονῶντας; ὥσπερ ἐκεῖνος οὐκ ἀπὸ ἔχθρας τοσοῦτον ὅσον ἀπὸ ἀσθενείας τοῦτο πάσχει· οὕτω καὶ ἡμεῖς, οὐκ ἀπὸ τῆς φύσεως τῶν ὕβρεων κινούμεθα, ὅσον ἀφ' ἡμῶν αὐτῶν. ἐπεὶ πῶς τῶν μαινομένων τὰ αὐτὰ ὑβριζόντων φέρομεν; πάλιν εἰ φίλοι εἶεν οἱ ὑβρίζοντες ἢ καὶ μείζους, καὶ οὕτω φέρομεν· πῶς οὖν οὐκ E ἄτοπον, τριῶν μὲν τούτων ὄντων καὶ φίλων, καὶ μαινομένων, καὶ μειζόνων φέρειν· ὁμοτίμων δὲ ἢ καὶ ἡττόνων μὴ φέρειν; πολλάκις εἶπον, ῥοπή τίς ἐστι καὶ συναρπαγὴ τὸ πρᾶγμα· καρτερήσωμεν μικρόν, καὶ τὸ πᾶν ἐλύσαμεν. ὅσῳ ἂν ὑβρίζῃ μειζόνως, τοσούτῳ μᾶλλόν ἐστιν ἀσθενής. οἶδας πότε ἀλγεῖν χρή; ὅτ' ἂν ὑβρισάντων ἡμῶν ἐκεῖνος σιγήσῃ. τότε γὰρ αὐτὸς μὲν ἰσχυρός, ἡμεῖς δὲ ἀσθενεῖς· ἂν δὲ τοὐναντίον γίνηται, καὶ χαίρειν δεῖ· ἐστεφανώθης, ἀνεκηρύχθης· οὐκ εἰς ἀγῶνα A καταχθείς, οὐδὲ ἡλίου, καὶ ἀκτῖνος, καὶ κόνεως ἐπαχθείας ἐνεγκών· οὐδὲ συμπλακείς, καὶ λαβὰς δούς, ἀλλὰ θελήσας μόνον, καὶ καθήμενος ἢ ἑστώς, ἔλαβες μέγαν τὸν στέφανον· καὶ οὐχ ἁπλῶς μέγαν, ἀλλὰ πολλῷ μείζονα ἐκείνων. οὐ γάρ ἐστιν ἴσον ἐχθρὸν βαλεῖν ἀντίπαλον, καὶ τῶν τῆς ὀργῆς περιγενέσθαι βελῶν. ἐνίκησας οὐδὲ λαβὴν δούς· κατέβαλες τὸ πάθος τὸ ἐν σοί· ἀπέσφαξας τὸ θηρίον κεκινημένον, καὶ λυττῶντα τὸν θυμὸν ἐπεστόμισας, καθάπερ τις ἄριστος νομεύς. B ἐμφύλιος ἔμελλεν ἡ μάχη εἶναι· οἰκεῖος ὁ πόλεμος. καθάπερ γὰρ οἱ τείχει προσκαθήμενοι, καὶ πολιορκοῦντες ἔξωθεν, ἐμφυλίοις περιβάλλουσι πολέμοις, καὶ τότε περιγίνονται· οὕτω δὴ καὶ ὁ ὑβρίζων, ἂν μὴ τὸ ἐν ἡμῖν ἐγείρῃ πάθος, οὐ δυνήσεται περιγενέσθαι· ἐὰν μὴ ἡμεῖς ἑαυτοὺς ἐμπρήσωμεν, ἐκεῖνος οὐδεμίαν ἰσχὺν ἔχει. ἔστω παρ' ἡμῖν ὁ τῆς ὀργῆς σπινθήρ, ὥστε εὐκαίρως ἀνάπτεσθαι, μὴ καθ' ἡμῶν αὐτῶν, μηδὲ ἵν' ἡμᾶς μυρίοις περιβάλῃ κακοῖς. οὐχ ὁρᾶτε ἐν ταῖς οἰκίαις τὸ πῦρ ἀποτεταγμένον, καὶ οὐ πανταχοῦ ἐρριμμένον, οὔτε ἐν C χόρτῳ, οὔτε ἐν ἱματίοις, οὔτε ἁπλῶς, ὥστε μὴ ἀνέμου ἐμπνέοντος ἐξάπτεσθαι; ἀλλὰ κἂν θεράπαινα λύχνον ἔχῃ· κἂν ὁ μάγειρος ἀνακαίῃ, παραγγελία πολλή, μὴ παρ' ἄνεμον, μηδὲ σανίδος ἐγγύς, μηδὲ ἐν νυκτὶ τοῦτο ποιεῖν· ἀλλ' ὅτ' ἂν καταλάβῃ ἡ νύξ, ἐκοιμίσαμεν αὐτό; δεδιότες μή ποτε καθευδόντων ἡμῶν, καὶ οὐδενὸς ὄντος τοῦ ἐπικουροῦντος ἀναφθῇ, καὶ πάντας ἐμπρήσῃ. τοῦτο καὶ ἐπὶ τοῦ θυμοῦ γινέσθω. μὴ πανταχοῦ διασπειρέσθω τῶν ἡμετέρων λογισμῶν. ἀλλ' D ἐν τῷ βάθει τῆς διανοίας, ὥστε μὴ τὸν ἄνεμον τὸν ἀπὸ τῶν ῥημάτων τοῦ ἐναντίου εὐκόλως ἐφικνεῖσθαι· ἀλλὰ παρ' ἡμῶν δέχεσθαι τὸν ἄνεμον, τῶν εἰδότων συμμέτρως αὐτὸ κινεῖν, καὶ ἀσφαλῶς. ἂν ἔξωθεν ἄνεμον δέχηται, οὐκ οἶδε τὸ μέτρον, ἀλλὰ πάντα ἐμπρήσει. πολλάκις καὶ καθευδόντων ἡμῶν ὁ ἄνεμος οὗτος ἐμπίπτει, καὶ τὰ πάντα κατακαύσει. ἔστω οὖν ἡμῖν ὥστε φῶς ἀνάπτειν μόνον. ἀνάπτει γὰρ φῶς ὁ θυμός, ὅταν προσηκόντως γίνηται, καὶ λαμπάδας ἔχωμεν κατὰ τῶν E ἀδικούντων ἑτέρους, κατὰ τοῦ διαβόλου. μὴ πανταχοῦ κείσθω, μηδὲ ἐρρίφθω σπινθήρ· ἀλλ' ἐν τέφρᾳ φυλαττώμεθα· ἐν τοῖς λογισμοῖς τοῖς ταπεινοῖς κομίζωμεν αὐτόν, οὐ πάντοτε αὐτοῦ δεόμεθα· ἀλλ' ὅταν κατεργάσασθαί τι δέῃ, καὶ ποιῆσαι ἁπαλόν· ὅταν πώρωσιν μαλάξαι δέῃ· ὅταν τῆς ψυχῆς καταγνῶναι. πόσα θυμοὶ, καὶ ὀργαὶ δεινὰ κατειργάσαντο, καὶ τὸ δὴ χαλεπόν, ὅταν διαναστῶμεν. οὐκ ἔτι τοῦ συνελθεῖν ἐσμὲν κύριοι· ἀλλ' ἑτέρους ἀναμένομεν. ἕκαστος αἰσχύνεται, καὶ ἐρυθριᾷ ἐπανελθὼν καταλλάξαι τὸν ἕτερον.

ὅπερ

ὥστε διαστῆσαι μὲν καὶ διασχισθῆναι οὐκ αἰσχύνεται· ἀλλὰ τοῦ κακοῦ γίνεται ἀρχηγός· προσελθεῖν δὲ καὶ τὸ ἐσχισμένον ῥάψαι, αἰσχύνεται. καὶ ταὐτὸν συμβαίνει, οἷον ἂν εἴ τις ἀποκόψαι μὲν τὸ μέλος μὴ ὀκνοίη· συναγαγεῖν δὲ αἰσχύνοιτο. τί λέγεις ἄνθρωπε, ἠδίκησας μεγάλα, καὶ αὐτὸς αἴτιος ἐγένου τῆς μάχης; οὐκοῦν δίκαιος ἂν εἴης πρότερος ἀπελθεῖν, καὶ καταλλαγῆναι, ἅτε τὴν αἰτίαν αὐτὸς παρασχών· ἀλλ᾽ ἠδίκησαι, κἀκεῖνος αἴτιός ἐστιν; οὐκοῦν καὶ διὰ τοῦτο, ἵνα μᾶλλόν σε θαυμάσωσιν· ἵνα πρὸς τῷ προτέρῳ, καὶ ἐν τῷ δευτέρῳ τὰ πρωτεῖα ἔχῃς. ὥσπερ οὐ σὺ γέγονας τῆς ἔχθρας αἴτιος, οὕτως οὐδὲ σὺ ἐκταθῆναι ἐπὶ πλέον τὴν ἔχθραν, ἴσως καὶ ἐκεῖνος μυρία συνειδὼς ἑαυτῷ αἰσχύνεται, καὶ ἐρυθριᾷ· ἀλλ᾽ ἀπονενόηται; ταύτῃ μάλιστα μὴ ὀκνήσῃς προσδραμεῖν. καὶ γὰρ διπλοῦν παρ᾽ αὐτῷ τὸ πάθος, καὶ ἀπόνοια, καὶ ὀργή. σὺ τὴν αἰτίαν εἶπας, δι᾽ ἣν ὀφείλεις πρότερος ἀπελθεῖν· ὁ ὑγιαίνων, ὁ δυνάμενος βλέπειν· ἐκεῖνος γὰρ ἐν σκότῳ ἐστί· τοιοῦτον γὰρ ἡ ὀργὴ καὶ ἡ ἀλαζονεία. σὺ δὲ ὁ τούτων ἀπηλλαγμένος καὶ ὑγιαίνων πρόσελθε· πρὸς τὸν κάμνοντα ὁ ἰατρός. μή τις λεγέτω τῶν ἰατρῶν, ἐπειδὴ ἀσθενεῖ οὐκ ἀπέρχομαι, ἀλλὰ διὰ τοῦτο μάλιστα βαδίζουσιν, ὅταν ἴδωσι μὴ δυνηθέντα ἐλθεῖν. τῶν μὲν γὰρ δυναμένων, καὶ ἐλάττονα φροντίζουσιν, ὡς οὐ νοσούντων σφόδρα· τῶν δὲ κατακειμένων οὐκέτι. ἢ οὐ δοκεῖ σοι ἀρρωστίας εἶναι χαλεπώτερον ἀπόνοια καὶ θυμός; οὐχ ὁ μὲν πυρετῷ ἔοικε σφοδρῷ· ἡ δὲ φλεγμαίνοντι σώματι, καὶ οἰδαίνοντι; ἐννόησον ὅσον ἐστὶ πυρετὸν ἔχειν, καὶ οἴδημα· ἄπελθε, σβέσον τὸ πῦρ. δύνασαι γὰρ τῇ χάριτι τοῦ Θεοῦ. ὥσπερ ὕδατι κατάστειλον τὴν φλεγμονήν. τί οὖν ἂν αὐτοῦ τούτῳ πλέον ἐπαίρηται, φησίν; οὐδὲν πρὸς σέ· σὺ μὲν γὰρ τὸ σαυτοῦ ἐποίησας, ἐκεῖνος δὲ ἑαυτῷ λογιζέσθω· μὴ καταγινωσκέτω ἡμῶν τὸ συνειδός, ὡς ἡμῶν ἐλλειπόντων τι τῶν δεόντων τοῦτο γίνεται. ψώμιζε, φησί, τὸν ἐχθρόν σου· τοῦτο γὰρ ποιῶν ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. καὶ ὅμως, καὶ τούτου ὄντος, κελεύει ἀπελθεῖν, καὶ καταλλαγῆναι, καὶ εὐεργετεῖν· οὐχ ἵνα ἄνθρακας πυρὸς σωρεύσωμεν, ἀλλ᾽ ἵνα εἰδὼς ἐκεῖνος τοῦτο καταστέλληται· ἵνα τρέμῃ· ἵνα φοβῆται τὰς εὐεργεσίας μᾶλλον τῶν ἐχθρῶν καὶ τὰς φιλίας, ἢ τὰς ἐπιβουλάς. οὐ γὰρ οὕτως ἐχθρὸς μνησικακῶν βλάπτει τὸν μισοῦντα, ὡς ὁ ὠφελῶν, καὶ εὐεργετῶν. μνησικακῶν γὰρ καὶ ἑαυτὸν κἀκεῖνον ἔβλαψεν ἴσως μικρόν τι· εὐεργετῶν δέ, ἄνθρακας πυρὸς ἐσώρευσεν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. οὐκοῦν οὐ δεῖ ποιεῖν, φησίν, ἵνα μὴ σωρεύσωμεν ἄνθρακας; ἀλλ᾽ ἑτέρως ἐπὶ τὴν κεφαλὴν τὴν σὴν ἄνθρακας σωρεῦσαι θέλεις; καὶ γὰρ τοῦτο ποιεῖ μνησικακία. ἀλλ᾽ ἐπὶ πλεῖον ἐκτείνειν; οὐδαμῶς. οὐ γὰρ σὺ τοῦτο ποιεῖς, ἀλλ᾽ ἐκεῖνος ὁ θηριώδης. εἰ γὰρ εὐεργετοῦντός σου, καὶ τιμῶντος, καὶ καταλλάττοντος, μένει φυλάττων ἐκεῖνος τὴν ἀπέχθειαν, ἑαυτῷ τὸ πῦρ ἀνῆψεν· αὐτὸς ἔφλεξεν αὐτοῦ τὴν κεφαλήν, σὺ δὲ ἀναίτιος εἶ. μὴ γίνου τοῦ Θεοῦ φιλανθρωπότερος, ἐπεὶ μυρία πείσῃ δεινά· μᾶλλον δέ, οὐδ᾽ ἂν θέλῃς δυνήσῃ, οὐδὲ κατὰ μικρόν. πῶς γάρ; ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς, φησί, τοσοῦτον ἀπέχουσιν αἱ βουλαί μου ἀπὸ τῶν βουλῶν ὑμῶν. καὶ πάλιν, εἰ ὑμεῖς, φησί, πονηροὶ ὄντες οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ὑμῖν. ἀλλὰ σκῆψις ταῦτα καὶ πρόφασις. μὴ δὴ σοφιζώμεθα τὰ προστάγματα τοῦ Θεοῦ. καὶ πῶς σοφιζόμεθα, φησίν; εἰπὼν· τοῦτο ποιῶν, ἄνθρακας πυρὸς σωρεύσεις ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, σὺ δὲ λέγεις· φοβοῦμαι τὸν ἐχθρόν, ὅτι μεγάλα με ἠδίκησεν. οὐ ταῦτα λέγεις; πῶς δὲ ὅλως ἔχεις ἐχθρόν; ἀδικήσαντα φοβῇ· σεαυτὸν δὲ οὐ φοβῇ; εἴθε σεαυτοῦ ἐφρόντιζες, μὴ πρὸς σκοπῷ τούτῳ μᾶλλον ἢ καὶ τούτῳ ποίησον σκοπῷ. ἀλλ᾽ οὐ παύεις· οὐ λέγω σοι ὅτι ἄνθρακας πυρὸς σωρεύσεις, ἀλλὰ καὶ ἕτερόν τι πλέον, λέγω· μόνον ποίησον. ταῦτα γὰρ πάντα ἵνα σε ἐκκαλέσηται, φησίν, ὁ Παῦλος, ἐλπίδι τῆς τιμωρίας λῦσαι τὴν ἔχθραν. ἐπειδὴ θηριώδεις ἐσμέν, καὶ οὐκ ἂν ἄλλως ἀνασχοίμεθα τὸν ἐχθρὸν φιλῆσαι, εἰ μή τινα προσδοκῶν τιμωρίαν, καθάπερ τινὶ θηρίῳ δίδωσι ταύτην τὴν μᾶζαν· ἐπεὶ τοῖς Ἀποστόλοις οὐ τοῦτό φησιν, ἀλλὰ τί; ὅπως ἔσησθε ὅμοιοι τοῦ πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. ἄλλως δέ, οὐκ ἔστιν εὐεργετοῦντα, καὶ εὐεργετούμενον μένειν ἐχθρόν. διὰ τοῦτο ταῦτα εἴρηκε. τί ἐν τοῖς λόγοις φιλοσοφῶν, ἐν τοῖς ἔργοις οὐδὲ τὸ μέτρον φυλάττεις; καλῶς οὐ ψωμίζεις αὐτόν, ἵνα μὴ ἄνθρακας πυρὸς σωρεύσῃς. οὐκοῦν φείδῃ; οὐκοῦν φιλεῖς, καὶ σκοπῷ τούτῳ ποιεῖς; οἶδεν ὁ Θεός, εἰ σκοπῷ τούτῳ λέγεις, καὶ μένεις πρὸς ἡμᾶς σοφίζῃ καὶ σκήπτῃ τὸν λόγον. προνοεῖς τοῦ ἐχθροῦ, καὶ φοβῇ μὴ κολασθῇ; οὐκοῦν ἔσβεσας τὴν ὀργήν. ὁ γὰρ οὕτω φιλῶν, ὡς τὴν οἰκείαν ὠφέλειαν παριδεῖν ὑπὲρ τῶν ἐκείνῳ συμφερόντων, οὐκ ἔχει ἐχθρόν. ἔχοις ἂν τοῦτο εἰπεῖν, μέχρι τινὸς παίζομεν ἐν οὐ παικτοῖς, οὐδὲ ἔχουσι συγγνώμην. διὸ παρακαλῶ τῇ ἡμετέρᾳ ἀδελφότητι, ἠγαπημένοι ὑπὸ τοῦ Κυρίου, καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ δέομαι ὑμῶν, καὶ ἀντιβολῶ, τὰς προφάσεις ταύτας περικόψαντες, μὴ καταφρονῶμεν τοῦ τοῦ Θεοῦ νόμου, μηδὲ τῶν αὐτοῦ ἐντολῶν παρεξιώμεθα· ἵνα δυνηθῶμεν εὐαρέστως τῷ Κυρίῳ τὴν παροῦσαν ζωὴν διαγαγεῖν,

A Vide, dividere quidem & discindere non erubescit, sed fit mali dux, accedere autem & divisum conjungere confunditur. Et idem accidit, ut si quis abscindere quidem membrum non gravetur, congregare autem erubescat. Quid dicis homo, multum læsisti, & ipse author fuisti pugnæ? Itaque justus eris si prior abeas & concilies, utpote qui causam ipse præbueris. At læsus es & ille author est? Igitur etiam propter hoc, ut magis te admirentur, ut quum primò & se- B cundò primatum habeas, ut qui non fueris inimicitiarum author: ita neque tu extendas ultrà inimicitias, forsan ille multorum conscius secum confundetur ac erubescet. Sed superbus est? verum hanc ob rem ne sis tardus ad accedendum. Etenim duplex illius affectio est, nempe ira & superbia. Tu causam dixisti, propter quam prior accedere illum debet, quia sanus es, & videre potes. Ille in tenebris est. Ita enim se habent ira ac superbia. Tu autem qui ab his liber & sa- C nus accede, ad infirmum medicus. Ne quis dicat medicorum, quoniam infirmus est non vado, sed propter hoc maximè vadat: quum viderit eum qui non potuit venire. Eos enim qui venire possunt, minus curant, eo quod minus infirmi sunt, non sic agunt cum decumbentibus. An non videtur tibi infirmitate difficilior esse superbia & ira? Nonne hæc quidem valido igni comparatur, illa autem inflato & languido corpori? Cogita quantum sit ferre febrem & inflationem. D Vade, extingue ignem, potes enim per gratiam Dei quemadmodum aqua compescere incendium. Quid igitur si hoc ipso magis extollatur, inquit? Nihil ad te; nam tu quidem quod tuum est fecisti, ille autem sibipsi imputet, ne condemnetur nostra conscientia, quasi propter nos aliquid omissum sit. *Pasce inimicum tuum, hoc enim faciens accumulabis carbones* Rom. 12, 20
ignis super caput ejus. Attamen quum hoc sit, jubet abire & conciliare & benefacere, non ut carbones ignis accumulemus, E sed ut ille hoc sciens compescatur, ut tremat, ut terreatur beneficiis magis quàm inimicorum amicitiis vel insidiis. Non enim inimicus ultionis avidus ita incommodat odio habentem, sicut qui prodest ac benefacit. Etenim qui ultionis est avidus, vel parum vel nihil incommodat. Qui autem bene facit, congerit carbones ignis super caput ejus. Igitur non est faciendum, ne accumulentur carbones? Sed alioqui in caput tuum vis carbones cumulari. Etenim hoc facit ultionis avi- A ditas. Sed jubes amplius extendam? Minimè: tu enim hoc non facis, sed ille bestia asperior, nam si tu benefeceris, & honoraris, & concilies, servat ille inimicitias, sibipsi ignem accendit, ipse suum exussit caput. Tu autem nihil senties, ne sis Deo magis misericors, innumera alioqui feres mala. Imò neque si volueris poteris, neque in parvo: nam *quantum distat cœlum à terra, tantum hominum consilia a consiliis* Esa. 55, 9.
nostris. Et iterum: *Si vos*, inquit, *quum sitis mali, scitis do-* Matth. 7, 11.
B *na bona dare filiis vestris, quanto magis pater vester?* Sed excusatio est ac cavillum. Ne cavillemur præcepta Dei. Et quomodo cavillamur, inquit? Dixit: *hoc faciens, carbones ignis cumulabis super caput ejus*: tu autem dicis: Timeo inimicum, quia valde me læsit. Non hæc dicis? Quomodo autem omnino habebas inimicum? times eum qui injustè læsit, teipsum autem non times. Utinam tuipsius curam gereres, ne fac hoc animo, sed magis alio. Sed non facis, non dico C quod carbones ignis cumulabis tibi, sed etiam aliud amplius quiddam tibi dico, tantum fac. Hæc enim omnia ut te provocet Paulus dicit: *Spe pœnæ solvite inimicitias.* Quoniam ita bestialibus moribus præditi sumus, ut non feramus diligere inimicos, nisi ut aliquid patiantur expectemus, sicut belluæ porrigit hunc panem: certè Apostolis non hoc dixit Christus. Sed quid? *Ut sitis similes Patri vestro cœlesti.* Et Matt. 5, 45.
aliter: Fieri non potest ut benefaciens & beneficia accipiens, D maneant inimici. Idcirco hæc posuit: Cur tu in verbis philosopharis, in operibus autem modum non servas? Bene, non pascis illum, ne carbones ignis coacerves ei. Igitúrne pascis, igitur amas & mente hoc facis? Scit Deus an mente hoc dicas. Certè sermonibus agis nobiscum Sophistam. Curam geris inimici, & times ne puniatur? Igitur extinxisti iram. Qui enim sic diligit, ut suam utilitatem contemnat propter ea quæ illi conducunt, non habet inimicum. Po- E teris hoc dicere, quamdiu ludimus in rebus non ludicris, & veniam non habentibus. Ideò depositis illis prætextibus, ne contemnamus leges divinas, ut possimus beneplacentes Domino, vitam præsentem deducere, & promissa

bona assequi, gratia & misericordia Domini nostri Jesu Christi. cui cum Patre & sancto Spiritu sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

HOMILIA LI.

Distulit autem Felix illos, probè tenens quæ de via illa, dicens: Quando Lysias tribunus descenderit, pernoscam vestram causam: jussitq; Centurionem ut custodiret Paulum, sineretq; eum relaxari, & nullum familiarium prohiberet ministrare vel accedere illum.

VIde quanta probatio, primùm quidem à multis, deinde multo tempore probatur, ne dicere possint sublata judicia: nam quoniam orator meminerat Lysiæ, dicens quòd vi abduxerit illum, subdit tempestivè Felicis verba, & inquit: *Distulit autem Felix illos probè tenens quæ de via illa*; hoc est, dedita opera distulit, non opus habens ut discat, sed volens repellere Judæos, noluit dimittere propter illos. Punire iterum non poterat, impudens enim fuisset. Ideò & distulit, dicens: *Quando Lysias tribunus descenderit pernoscam vestram causam: jussitq; Centurionem ut custodiret Paulum, sineretq; eum relaxari, & nullum familiarium prohiberet ministrare, vel accedere illum. Sineretq; illum*, inquit, *relaxari.* Ita ipsum & ille à criminibus liberavit. Cur igitur si reliquit, detinet? illis gratificans, vel etiam expectans pecuniam se accepturum. Idcirco & revocat Paulum. Et quod ob hoc revocarit, manifestum nobis facit scriptor addens, ac dicens: *Post aliquot autem dies, quum advenisset Felix cum Drusilla uxore sua, quæ erat Judæa, accersivit Paulum & audivit ab eo fidem quæ est in Christum. Disputante autem illo de justitia & temperantia, & de judicio futuro, tremefactus Felix respondit: In præsentia abi, cæterum opportunitatem nactus accersam te, simul & aliud sperans fore ut pecunia daretur à Paulo ut solveret ipsum. Propter quod & frequenter accersens ipsum, loquebatur cum eo.* Vide quomodo veritatem habent quæ dicta: accersit autem illum subinde, non admirans illum neque laudans quæ dicebantur, neque credere volens. Sed quid? *Expectans dandas sibi pecunias.* Vide quomodo non occultat hic judicis mentem, quamvis si condemnasset, non hoc fecisset, neque si voluisset audire accusatorem & malevolum. Et vide Paulum, quamvis cum principe loqueretur, nihil dicere eorum, per quæ verisimile erat resocillari animam illius, sed alia, è quibus etiam terretur, & mente concutitur. *Disputans enim,* inquit, *de justitia, & temperantia & futuro judicio, tremefactus est Felix.* Tanta erat verborum Pauli vis, ut & principem terreant. Et hic quidem accipit successorem, & reliquit hunc ligatum, quamvis certè non oportebat, sed finis erat imponendus: gratificans autem Judæis reliquit illum, qui sic urgebant, ut iterum assequantur, tametsi nullum Apostolorum sic persequebantur, urgentes tamen iterum abscedunt. Singulari dispensatione recedit è Hierusalem, sic se erga bestias illas habens, attamen volunt illum iterum duci illuc judicandum. Verùm & hoc loco statim dispensavit Deus, non permittens principi. Verisimile enim illum nuper ad principatum evectum voluisse gratificari, sed non permittit Deus. Postquam autem descenderunt, tum impudenter & graviores fecerunt accusationes. Et quum non possent propter legem illum occidere, iterum ad solitam consuetudinem suam confugiunt, sicut & Christum accusabant reum Cæsareæ majestatis læsæ dicentes. Paulum enim rationem reddere de peccatis in Cæsarem manifestum hoc erat, unde & ipse interpretans, subdit: *Impletis autem annis duobus, accepit successorem Felix Porcium Festum. Volens autem gratiam præstare Judæis, reliquit Paulum vinctum.*

Cap. XXV. *Festus ergo suscepta provincia post triduum ascendit Hierusalem, ab urbe Cæsarea. Significaveruntq; illi principes Sacerdotum, ac primores Judæorum de Paulo, & rogabant eum postulantes favorem adversus eum, ut accerseret eum Hierusalem, insidias intendentes, ut interficerent eum in via. Festus autem respondit, ut servaretur quidem Paulus Cæsareæ, se verò brevi illo profecturum. Qui ergo inter vos, inquit, potentes sunt, una nobiscum descendant, & si quod est in hoc viro crimen, accusent eum. Demoratus autem inter eos diebus plus quam octo, descendit Cæsaream, & postero die sedit pro tribunali, jussitq; Paulum adduci. Qui quum perductus esset, circumsteterunt eum qui à Jerusalem descenderant Judæi, multa & gravia crimina intendentes in Paulum, quæ non poterant probari, Paulo pro se rationem reddente, quòd neq; in legem Judæorum, neq; in templum, neq; in Cæsarem peccasset. Porrò Festus Judæis volens gratificari, respondens*

Ἀξιῶ τῶν ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ δόξα, κράτος, τιμὴ σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ. να'.

Ἀνεβάλετο δὲ ὁ Φῆλιξ αὐτοὺς, ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ, εἰπών· ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. Διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ.

ΟΡΑ πόση γίνεται βάσανος, πρῶτον μὲν ἀπὸ πολλῶν, εἶτα καὶ ἐν χρόνῳ μακρῷ, ὥστε μὴ εἰπεῖν ὅτι συνηρπάγη τὸ δικαστήριον. ἐπειδὴ γὰρ ἐμνημόνευσε Λυσίου ὁ ῥήτωρ, εἰπὼν ὅτι μετὰ βίας ἀφείλετο αὐτὸν, ἐπήγαγεν εὐκαίρως τὰ περὶ Φήλικος, καί φησιν· ἀνεβάλετο δὲ ὁ Φῆλιξ αὐτοὺς ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ· τουτέστιν, ἐπίτηδες ὑπερέθετο, οὐ δεόμενος μαθεῖν, ἀλλὰ διακρούσασθαι βουλόμενος τοὺς Ἰουδαίους, ἀφεῖναι οὐκ ἤθελε δι' ἐκείνους· κολάσαι πάλιν, οὐκ ἦν δυνατόν· ἀναίσχυντον γὰρ ἦν. διὸ καὶ ὑπερτίθεται εἰπών, ὅταν Λυσίας ὁ χιλίαρχος καταβῇ, διαγνώσομαι τὰ καθ' ὑμᾶς. διαταξάμενός τε τῷ ἑκατοντάρχῃ τηρεῖσθαι τὸν Παῦλον, ἔχειν τε ἄνεσιν, καὶ μηδένα κωλύειν τῶν ἰδίων ὑπηρετεῖν ἢ προσέρχεσθαι αὐτῷ. ἔχειν τε φησὶν, ἄνεσιν. οὕτως αὐτὸν καὶ αὐτὸς ἀφῆκεν ἐγκλημάτων. τί οὖν κατέχει ἀφείς; ἐκείνοις χαριζόμενος, ἢ καὶ οὖν προσδοκῶν χρήματα λήψεσθαι. διὸ καὶ μετακαλεῖται τὸν Παῦλον. καὶ ὅτι ἐπὶ τούτῳ μετεκαλέσατο, δηλοῖ ἡμῖν τοῦτο ποιεῖ ὁ συγγραφεὺς ἐπάγων, καὶ λέγων· μετὰ δὲ ἡμέρας τινὰς παραγενόμενος ὁ Φῆλιξ σὺν Δρουσίλλῃ τῇ γυναικὶ οὔσῃ Ἰουδαίᾳ, μετεπέμψατο τὸν Παῦλον, καὶ ἤκουσεν αὐτοῦ περὶ τῆς εἰς Χριστὸν Ἰησοῦν πίστεως. διαλεγομένου δὲ αὐτοῦ περὶ δικαιοσύνης, καὶ ἐγκρατείας, καὶ τοῦ κρίματος τοῦ μέλλοντος ἔσεσθαι, ἔμφοβος γενόμενος ὁ Φῆλιξ ἀπεκρίθη· τὸ νῦν ἔχον πορεύου· καιρὸν δὲ μεταλαβὼν μετακαλέσομαί σε, ἅμα καὶ ἐλπίζων ὅτι χρήματα δοθήσεται αὐτῷ ὑπὸ τοῦ Παύλου, ὅπως λύσῃ αὐτόν. διὸ καὶ πυκνότερον αὐτὸν μεταπεμπόμενος ὡμίλει αὐτῷ. ὅρα πῶς τῆς ἀληθείας ἔχεται τὰ γραφόμενα. μετεπέμπετο δὲ αὐτὸν συνεχῶς οὐχὶ θαυμάζων αὐτὸν, οὐδὲ ἐπαινῶν τὰ λεγόμενα, οὐδὲ πιστεῦσαι βουλόμενος· ἀλλὰ τί; προσδοκῶν, φησὶ, χρήματα δοθήσεσθαι αὐτῷ. σκόπει πῶς οὐ κρύπτει ἐνταῦθα τοῦ δικαστοῦ τὴν γνώμην, καίτοι εἰ κατέγνω, οὐκ ἂν τοῦτο ἐποίησεν· οὐδ' ἂν ἠθέλησεν ἀκοῦσαι τοῦ καταδίκου καὶ πονηροῦ. καὶ ὅρα τὸν Παῦλον, καίτοι πρὸς ἄρχοντα διαλεγόμενον, μηδὲν τούτων λέγοντα, ὧν εἰκὸς ἀνεῖναι αὐτοῦ τὴν ψυχὴν, ἀλλὰ τοιαῦτα, ἐξ ὧν καὶ φοβεῖται, καὶ κατασείεται τὴν διάνοιαν. διαλεγομένου γάρ, φησι, περὶ δικαιοσύνης, καὶ ἐγκρατείας, καὶ τοῦ μέλλοντος κρίματος ἔσεσθαι, ἔμφοβος ὁ Φῆλιξ γέγονε. τοσαύτη ἦν ἡ ἰσχὺς τῶν Παύλου ῥημάτων, ὅτι καὶ φοβεῖ τὸν ἄρχοντα. καὶ οὗτος μὲν λαμβάνει διάδοχον, καὶ ἀφίησι τοῦτον δέσμιον, καίτοι γε οὐκ ἔδει, ἀλλὰ τέλος ἐπιθεῖναι· ἀλλὰ χαριζόμενος ἐκείνοις κατέλιπεν αὐτόν. οὗτοι δὲ οὕτως ἐνέκειντο, ὡς πάλιν ἐντυχεῖν, καίτοι οὐδενὶ τῶν Ἀποστόλων οὕτως ἐπετέθησαν, ἀλλ' ἐπιτιθέμενοι, πάλιν ἀφίσταντο· οὕτως οἰκονομικῶς ἀφίσταται τῶν Ἱεροσολύμων πρὸς τοιαῦτα θηρία ἔχων, καὶ ὅμως ἀξιοῦσιν αὐτὸν πάλιν ἀχθῆναι ἐκεῖ δικασόμενον. ἀλλὰ καὶ ἐνταῦθα λοιπὸν ᾠκονόμησεν ὁ Θεὸς, οὐκ ἐπιτρέπων τῷ ἄρχοντι. εἰκὸς γὰρ αὐτὸν νῦν τῆς ἀρχῆς ἐπιβάντα, καὶ θελῆσαι χαρίσασθαι· ἀλλ' οὐκ ἀφίησιν ὁ Θεός. ἐπειδὴ δὲ κατῆλθον, λοιπὸν ἀναισχυντότερον, καὶ μειζόνως ἐποιοῦντο τὰς κατηγορίας. καὶ οὐκ ἰσχύσαντες ἀπὸ τῶν νομικῶν ἑλεῖν, πάλιν ἐπὶ τὸ ἔθος αὐτοῖς εἰσίασι, τὰ κατὰ Καίσαρα ἐνείκουσιν, ὅπερ καὶ ἐπὶ τοῦ Χριστοῦ ἐποίησαν. τὸ γὰρ τὸν Παῦλον ἀπολογεῖσθαι περὶ τῶν εἰς Καίσαρα ἁμαρτημάτων, δῆλον τοῦτο ἦν, ὅθεν καὶ αὐτὸ ἑρμηνεύων ἐπάγει· διετίας δὲ πληρωθείσης, ἔλαβε διάδοχον ὁ Φῆλιξ Πόρκιον Φῆστον. θέλων δὲ χάριν καταθέσθαι τοῖς Ἰουδαίοις ὁ Φῆλιξ, κατέλιπε τὸν Παῦλον δεδεμένον.

Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, μετὰ τρεῖς ἡμέρας ἀνέβη εἰς Ἱεροσόλυμα ἀπὸ Καισαρείας. ἐνεφάνισάν τε αὐτῷ οἱ ἀρχιερεῖς καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ τοῦ Παύλου, καὶ παρεκάλουν αὐτὸν αἰτούμενοι χάριν παρ' αὐτοῦ, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλὴμ, ἐνέδραν ποιοῦντες ἀνελεῖν αὐτὸν κατὰ τὴν ὁδόν. ὁ μὲν οὖν Φῆστος ἀπεκρίθη τηρεῖσθαι τὸν Παῦλον ἐν Καισαρείᾳ, ἑαυτὸν δὲ μέλλειν ἐν τάχει ἐκπορεύεσθαι. οἱ οὖν δυνατοὶ ἐν ὑμῖν, φησὶν, συγκαταβάντες, εἴ τί ἐστιν ἐν τῷ ἀνδρὶ τούτῳ, κατηγορείτωσαν αὐτοῦ. διατρίψας δὲ ἐν αὐτοῖς ἡμέρας πλείους ἢ δέκα, καταβὰς εἰς Καισάρειαν, τῇ ἐπαύριον καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσε τὸν Παῦλον ἀχθῆναι. παραγενομένου δὲ αὐτοῦ, περιέστησαν οἱ ἀπὸ Ἱεροσολύμων καταβεβηκότες Ἰουδαῖοι, πολλὰ καὶ βαρέα αἰτιώματα φέροντες κατὰ τοῦ Παύλου, ἃ οὐκ ἴσχυον ἀποδεῖξαι, ἀπολογουμένου αὐτοῦ, ὅτι οὔτε εἰς τὸν νόμον τῶν Ἰουδαίων, οὔτε εἰς τὸ ἱερὸν, οὔτε εἰς Καίσαρά τι ἥμαρτον. ὁ Φῆστος δὲ τοῖς Ἰουδαίοις θέλων χάριν καταθέσθαι, ἀποκριθεὶς τῷ Παύλῳ, εἶπε·

Θέλεις

θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς ἐκεῖ περὶ τούτων κρίνεσθαι ἐπ' ἐμοῦ; ὅρα πῶς καὶ αὐτὸς τοῖς Ἰουδαίοις χαρίζεται, δήμῳ ὁλοκλήρῳ, καὶ πόλει· διὰ τοῦτο πάλιν καὶ αὐτὸν ἐκφοβεῖ, ἀνθρωπίνῳ χρησάμενος ὅπλῳ. καὶ ἄκουε πῶς. εἶπε δὲ ὁ Παῦλος· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. εἰ μὲν γὰρ ἀδικῶ, καὶ ἄξιον θανάτου πέπραχά τι, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. εἰ δὲ οὐδέν ἐστιν ὧν οὗτοι κατηγοροῦσί μου, οὐδείς με δύναται αὐτοῖς χαρίσασθαι. Καίσαρα ἐπικαλοῦμαι. ἀλλ' εἴποι ἄν τις ἐνταῦθα· καὶ τίνος ἕνεκεν ἀκούσας ὅτι καὶ ἐν Ῥώμῃ σε δεῖ μαρτυρῆσαι τὰ περὶ ἐμοῦ, ὡς ἀπιστῶν ταῦτα ἐποίει; μὴ γένοιτο, ἀλλὰ καὶ σφόδρα πιστεύων. μᾶλλον οὖν πειράζοντος ἦν τὸ θαρρεῖν ἐκείνῃ τῇ ἀποφάσει, καὶ εἰς μυρίους ἑαυτὸν ἐμβάλλειν κινδύνους, καὶ λέγειν, ἴδωμεν εἰ δύναται ὁ Θεὸς καὶ οὕτως ἐξελέσθαι με. ἀλλ' οὐ ποιεῖ τοῦτο Παῦλος, ἀλλὰ τὰ καθ' ἑαυτὸν πάντα εἰσφέρει, τὸ πᾶν ἐπιτρέπων τῷ Θεῷ. ἠρέμα δὲ καὶ καθάπτεται τοῦ ἄρχοντος οὕτως ἀπολογούμενος. μονονουχὶ γὰρ τοῦτο λέγει· εἰ μὲν ἀδικῶ, καλῶς· εἰ δὲ οὐκ ἀδικῶ, τί με ἐκδίδως; οὐδεὶς δύναται, μέ, φησι, χαρίσασθαι. εἰς φόβον αὐτὸν ἐνέβαλεν ὥστε μηδὲ ἑκόντα χαρίσασθαι, ἀλλὰ καὶ πρὸς ἐκείνους ἔχειν ἀπολογίαν τὴν ἔφεσιν. τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. ὅρα· ἀνακοινοῦται τῷ Ἀγρίππᾳ, ὥστε καὶ ἑτέρους γενέσθαι πάλιν ἀκροατάς· καὶ τὸν βασιλέα, καὶ τὸν στρατόν, καὶ τὴν Βερνίκην. εἶτα δὲ πάλιν ἀπολογία· ἡμερῶν δὲ διαγενομένων, Ἀγρίππας ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν ἀσπασόμενοι τὸν Φῆστον. ὡς δὲ πλείους ἡμέρας διέτριβον ἐκεῖ, ὁ Φῆστος τῷ βασιλεῖ ἀνέθετο τὰ κατὰ τὸν Παῦλον, λέγων· ἀνήρ τίς ἐστι καταλελειμμένος ὑπὸ Φήλικος δέσμιος, περὶ οὗ γενομένου μου εἰς Ἱεροσόλυμα, ἐνεφάνισαν οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην. πρὸς οὓς ἀπεκρίθην· ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν, πρὶν ἢ ὁ κατηγορούμενος κατὰ πρόσωπον ἔχοι τοὺς κατηγόρους, τόπον τε ἀπολογίας λάβοι περὶ τοῦ ἐγκλήματος. συνελθόντων οὖν αὐτῶν ἐνθάδε, ἀναβολὴν μηδεμίαν ποιησάμενος, τῇ ἑξῆς καθίσας ἐπὶ τοῦ βήματος, ἐκέλευσα ἀχθῆναι τὸν ἄνδρα. περὶ οὗ σταθέντες οἱ κατήγοροι, οὐδεμίαν αἰτίαν ἐπέφερον, ὧν ὑπενόουν ἐγώ· ζητήματα δέ τινα περὶ τῆς ἰδίας δεισιδαιμονίας εἶχον πρὸς αὐτόν, καὶ περί τινος Ἰησοῦ τεθνηκότος, ὃν ἔφασκεν ὁ Παῦλος ζῆν. ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτου ζήτησιν, ἔλεγον εἰ βούλοιτο πορεύεσθαι εἰς Ἱερουσαλήμ, κἀκεῖ κρίνεσθαι περὶ τούτων. τοῦ δὲ Παύλου ἐπικαλεσαμένου τηρηθῆναι αὐτὸν εἰς τὴν τοῦ Σεβαστοῦ διάγνωσιν, ἐκέλευσα τηρεῖσθαι αὐτὸν ἕως ἂν πέμψω αὐτὸν πρὸς Καίσαρα. Ἀγρίππας δὲ πρὸς τὸν Φῆστον ἔφη· ἐβουλόμην καὶ αὐτὸς τοῦ ἀνθρώπου ἀκοῦσαι. ὁ δέ, αὔριον, φησίν, ἀκούσῃ αὐτοῦ. ὅρα κατηγορίαν Ἰουδαίων πάλιν. οὐ παρὰ τοῦ Παύλου, ἀλλὰ παρὰ τοῦ ἄρχοντος. ἐνεφάνισάν, φησιν, οἱ ἀρχιερεῖς, καὶ οἱ πρεσβύτεροι τῶν Ἰουδαίων, αἰτούμενοι κατ' αὐτοῦ δίκην. πρὸς οὓς ἐγὼ ἀπεκρίθην. ὅρα καὶ τί ἀποκρίνεται εἰς αἰσχύνην αὐτῶν, ὅτι οὐκ ἔστιν ἔθος Ῥωμαίοις χαρίζεσθαί τινα ἄνθρωπον εἰς ἀπώλειαν· τουτέστι πρὶν ἢ λόγου αὐτῷ μεταδοῦναι, ἀδύνατον τὸ χαρίζεσθαι ἁπλῶς. κατὰ τὸ εἰωθὸς δὲ ποιήσας, οὐχ εὗρεν αἰτίαν· ὅθεν καὶ ἀπορεῖται ἐπὶ τούτῳ. καὶ δῆλον τοῦτο δι' ὧν ἐπήγαγε, λέγων· ἀπορούμενος δὲ ἐγὼ περὶ τὴν τούτων ζήτησιν. οὕτως εἶπε, συσκιάζων τὸ οἰκεῖον ἁμάρτημα· καὶ ἐκεῖνος μὲν συσκιάζει, Ἀγρίππας δὲ ἐπιθυμεῖ ἰδεῖν αὐτόν. ὅρα ἀεὶ τοὺς ἄρχοντας διακρουομένους τὴν ἀπέχθειαν τῶν Ἰουδαίων, καὶ παρὰ τὸ δίκαιον ἀναγκαζομένους πολλάκις ποιεῖν, καὶ προφάσεις ἐπιζητοῦντας τῆς ἀναβολῆς. οὐ γὰρ δὴ ἀγνοῶν ἀνεβάλετο, ἀλλ' εἰδώς. ὁ δὲ Ἀγρίππας, οὐ μόνον οὐ διακρούεται, ἀλλὰ καὶ ἀκοῦσαι βούλεται· ὃ καὶ θαυμάσαι ἄξιον. πόθεν εἰς ἐπιθυμίαν κατέστη τοῦ βουλέσθαι ἰδεῖν ἄνθρωπον, εἰ καὶ ἀδίκως, ὅμως κατηγορούμενον. οὕτως ἦν καὶ τοῦτο οἰκονομίας. διὸ καὶ ἡ γυνὴ αὐτοῦ συνακούει, καὶ τῆς ἀκροάσεως οὐκ ἀπολιμπάνεται. καὶ οὐδὲ ἁπλῶς ἀκροᾶται, ἀλλὰ μετὰ πολλῆς τῆς τιμῆς. τοσαύτην εἶχε τὴν ἐπιθυμίαν. οὐ γὰρ ἂν εἰ μὴ ἐπεθύμησεν, ἐζήτησεν ἂν ἀκοῦσαι, οὐδ' ἂν καὶ τὴν γυναῖκα κοινωνὸν ἐποιήσατο τῆς ἀκροάσεως, εἰ μὴ μεγάλα περὶ αὐτοῦ ἐφαντάζετο· ἐμοὶ δὲ δοκεῖ κἀκείνην τοῦτο ποθῆσαι. καὶ ὅρα τὸν Παῦλον εὐθέως οὐ περὶ πίστεως μόνον οὐδὲ περὶ ἀφέσεως ἁμαρτημάτων, ἀλλὰ καὶ περὶ τῶν πρακτέων διαλεγόμενον. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. τὸ νῦν ἔχον, φησί, πορεύου, καιρὸν δὲ λαβὼν μετακαλέσομαί σε· ὅρα τὴν πώρωσιν. τοιαῦτα ἀκούων, χρήματα προσεδόκα λήψεσθαι παρ' αὐτοῦ. καὶ οὐ τοῦτο μόνον δεινόν. ἀλλὰ καὶ διαλεχθείς, οὐκ ἀφῆκεν αὐτόν. ἀλλ' ἐπειδὴ πρὸς τῷ τέλει τῆς ἀρχῆς ἦν, κατέλιπεν αὐτὸν δέσμιον, ἵνα χαρίσηται τοῖς Ἰουδαίοις. ὥστε οὐ χρημάτων ἤρα μόνον, ἀλλὰ καὶ δόξης. πῶς χρήματα μιαρὲ παρὰ ἀνθρώπου τὸ ἐναντίον κηρύττοντος ἐπιζητεῖς; ὅτι δὲ οὐκ ἔλαβε, δῆλον ἐξ ὧν εἴασε δεδεμένον, λύσας ἄν, εἴπερ ἔλαβε. περὶ ἐγκρατείας οὗτος διελέγετο, ἐκεῖνος δὲ χρήματα προσεδόκα λαβεῖν παρ' αὐτοῦ ταῦτα διαλεγομένου.

A Paulo dixit: *Vis Hierusalem ascendere, & illic judicari apud me?* Vide quomodo & ille Judæis gratificatur. Propter hoc iterum etiam illum perterret, humanis utens armis, & audi quomodo: Dixit Paulus: *Ad tribunal Cæsaris sto, ubi me oportet judicari: Judæos nihil læsi, sicut & tu melius nosti. Si enim nocui, & dignum morte feci aliquid, non detrecto mori. Si verò nihil est eorum de quibus hi me accusant, nullus me potest illis donare: Cæsarem appello.* At hîc dixerit quis: & quare quum B audierit *quod etiam Romæ debebat testificari de me*, quasi non credens hæc faciebat? Absit, sed ut valde credens. Imò magis tentantis fuisset fidere illa sententia, & innumeris seipsum immittere periculis, & dicere: Videamus num possit Deus etiam sic eripere me: non facit autem hoc Paulus, sed affert quicquid ipse poterat, ac totum permittit Deo. Leviter autem & sensim principem interim perstringit sic se defendens: quasi hoc dicat: Si quidem injustè ago, bene: si autem non C injustè ago, quid me exponis? Nullus me, inquit, potest donare. Metum ei incutit, ut non possit etiam si vellet donare. Quin etiam contra illos valuit defensio ob appellationem. *Tunc Festus loquutus cum Concilio, respondit, Cæsarem appellasti, ad Cæsarem ibis.* Vide, rem hanc communicat Agrippæ, ut iterum alii fiant auditores, & Rex, & exercitus, & Bernice. Deinde iterum subditur defensio: *Et quum dies aliquot transacti essent, Festus Regi retulit causam Pauli dicens:* D *Vir quidam relictus est à Felice vinctus, de quo quum venissem Hierusalem, significarunt mihi Principes Sacerdotum & Seniores Judæorum, postulantes adversus illum sententiam: quibus respondi: Non est Romanis mos ob gratiam donare aliquem hominem, ut pereat, priusquam is qui accusatur præsentes habeat accusatores, locumq; defendendi de crimine habeat. Quum ergo huc convenissent sine ulla dilatione, sequenti die sedens pro tribunali jussi adduci virum. De quo quum stetissent accusa-* E *tores, nullum crimen intendebant super hisce rebus, de quibus ego suspicabar: sed quæstiones quasdam de sua superstitione habebant adversus eum, & de quodam Jesu defuncto, quem affirmabat Paulus vivere. Hæsitans autem ego de hujusmodi quæstione, dicebam, num vellet ire Hierusalem, & ibi judicari super istis. Paulus autem quum appellasset ut servaretur Augusti cognitioni, jussi servari eum, donec mitterem eum ad Cæsarem. Agrippa autem dixit ad eum: Volebam & ipse hominem* A *audire. At ille, inquit, cras audies illum.* Vide iterum accusari, non à Paulo, sed à Principe. *Significarunt*, inquit, *principes Sacerdotum, & seniores Judæorum, petentes contra illum sententiam, quibus ego respondi.* Vide & quid respondet ad illorum confusionem: *Non est mos Romanis donare aliquem hominem ob gratiam, ut pereat, priusquam ille rationem det.* Impossibile est ita simpliciter donare. Ut autem juxta consuetudinem egit, non invenit causam, unde de hac re anxius fit, B & manifestum hoc per ea quæ subdidit, dicens: *Hæsitans autem ego de hujusmodi quæstione.* Sic dixit adumbrans suum peccatum. Et ille quidem adumbrat. Agrippa autem concupiscit videre illum. Vide quod semper repellunt principes inimicitias Judaicas, & præter id quod justum erat coguntur facere, & dilationis quærunt prætextus. Non enim ignorans differebat, sed sciens. Agrippa autem non solùm non repellebat, sed etiam audire vult, quod & admiratione dignum est. Unde au- C tem in desiderium venit, ut hominem videre vellet, qui licèt injustè accusatus esset. Ita & hoc singulari dispensatione accidit. Idcirco & mulier ejus simul audit, & auditu non privatur: Et non simpliciter audit, sed cum magno honore. Tanto ferebatur desiderio: non enim nisi concupivisset, quæsivisset audire, neque uxorem sociam fecisset auditionis, nisi magna de illo sensisset. Mihi autem videtur etiam illam magno desiderio petivisse. Et vide Paulum non de fide solum & remissione peccatorum, sed D etiam de operandis disserere. Sed videamus iterum quæ dicta sunt: *In præsentia abi, cæterum opportunitatem nactus accersam te.* Vide cæcitatem. Talia audiens, pecunias expectabat se sumpturum ab eo. Et non hoc solum grave, sed etiam quum colloquutus esset, non reliquit illum: sed ubi ad finem principatus venit, *reliquit illum vinctum, ut gratificetur Judæis*, & ita non divitias solum, sed etiam gloriam diligebat. Quomodo pecunias scelestè ab homine contrarium prædicante inquiris? Quòd E autem non accepit, manifestum ex eo quod non solvit eum à vinculis: etenim si accepisset, solvisset eum. De temperantia hic disputabat, & ille sperabat se à tali pecunias accepturum;

& petere quidem non audebat. Tale enim peccatum, meticulosos facit & omnia suspicantes. *Sperabat autem:* atque ita merito illis gratificabatur, utpote qui tanto ibi tempore principatum gesserat. Itaque ubi provinciam suscepit Festus, significarant illi & Principes Sacerdotum & primi Judæorum contra Paulum, inquit: statim etiam in principio accesserunt Sacerdotes, non gravati etiam in Cæsaream venire, nisi prævenisset veniens, ubi scilicet statim ut accepit principatum, accedunt. Et quum descendisset in Cæsaream, morabatur inter eos decem dies, dabaturque opera ut corrumperetur. Paulus autem erat in carcere. *Et obsecrabant illum*, inquit, *ut accerseret eum in Hierusalem.* Et quare favorem petiverunt si justus est ut moriatur? sed sic & illi manifestæ factæ sunt insidiæ, quasi disserens dicat: Viri qui statis præsentes, videte hunc propter quem Judæorum multitudo me rogavit. Nam dum dicit quod petiverint gratiam contra illum, indicat rogasse, & ita jam volebant illum ad dicendam sententiam cogere, timentes Pauli linguam. Quid timetis? quid urgetis? Hoc enim insinuat quod ille custoditur, nunquid fugit? Igitur qui in vobis, inquit, potentes accusent illum. Iterum accusatores in Cæsarea. Et iterum educitur Paulus. *Sequenti autem die, sedens pro tribunali* ait. Vide, statim ut venit, sedit pro tribunali, sic illum impellebant magno studio, sic urgebant. Itaque quamdiu nondum honore tanto à Judæis habitus, rectè respondit: postquam autem venit Hierusalem, & ipse gratificatur eis, non simpliciter autem gratificatur, sed cum dolo hoc facit. Et quomodo, audi: subdit enim: *Vis-ne Hierosolyma ascendens judicari de his à me?* Quasi diceret, non illis do te, sed ipse judex ero. Hoc autem dicens illius arbitrio permittit, ut honore ipsum attrahat: nam si hoc imperasset, valde impudens visum fuisset, si abduceret illuc eum, qui ibi non fuisset redargutus. Paulus autem non dixit, Non volo, ne fortè & asperiorem redderet judicem, sed iterum liberè loquitur ac inquit: *Ad tribunal Cæsaris sto, ubi me oportet judicari.* Magna est libertas sermonis. Et vide ut ratiocinatur, quasi enim hoc dicat se excusans. Ejecerunt me illi semel, & hoc putant accusare quod ostendunt me peccasse in Cæsaream, apud illum quem læsi volo judicari. Ut enim hoc dixit, subdit: *Judæis nihil nocui, quod etiam tu melius nosti.* Perstringit illum jam quasi gratificantem Judæis. Posteà quia perstrinxerat, iterum diluit sermonem, addens: Itaque *siquidem injustè egi, vel dignum aliquid morte feci, non recuso mori.* Contrà meipsum fero sententiam, inquit. Hoc non est se perdentis, sed multum de innocentia sua bene conscii. Nam cum libertate etiam firmari causam oportebat, ita ut aliis metus incutiatur. *Si autem nihil est eorum de quibus me accusant, nullus me potest donare:* etiamsi velit, inquit, non poterit. Non dixit non dignus sum mori, neque absolvi, sed paratus sum judicari apud Cæsarem. Interim & *somnii* memor, fidentius provocat. [Supr. 23, 11.] Et non dixit, tu, sed *nullus*. Et apposuit: *Cæsarem appello:* ne in illum contumeliam jactet. Tunc Festus collocutus cum Concilio, respondit: *Cæsarem appellasti, ad Cæsarem ibis.* Vidisti quomodo gratificetur? Gratia enim erat colloqui cum accusatoribus: Quod corruptæ sententiæ est & ordinis judiciarii confusi. Vide iterum illius prorogari judicium, & insidias fieri occasionem prædicationis. Hæc enim dispensantur, ut ita cum facultate & custodia abducatur in Hierusalem, quasi nullus insidietur: non enim idem fuerit, simpliciter venire, & in tali lite venire. Hoc etiam convenire fecit Judæos illic. Deinde iterum mora fit, dum ille versatur Hierosolymis, ut discas quòd licèt tempus sit, nihil insidiæ illi prævalent, Deo non concedente. *Agrippas autem Rex & Bernice descenderant in Cæsaream.* Hic Agrippa qui & Herodes, alius mihi esse videtur, ut sit quartus ille post eum qui Jacobum occidit. Vide inimicos involuntarios simul operari, ut ita magnum fiat auditorium. Desiderio audiendi laborat Agrippa, & non simpliciter audit, sed cum apparatu. Et vide defensionem quam princeps dicit. Cùm autem ille provocasset ad Augustum: *Judicavi mittere illum, de quo certum quid Domino scribere non possum.* Sic scribit Festus, & invulgatur crudelitas Judaica. Quum enim hæc Princeps diceret, suspectus non erat. Idcirco autem dicit. Et ita etiam ab illo condemnantur Judæi. Postquàm a. omnes contra illos sententiam dederunt, tunc adjicit pœnam Deus. Observa autem. Condemnabat Lysias, condemnabat Felix. condemnabat Festus, & hi gratificabantur eis. condemnabat Agrippa. Quid ultrà? condemnabant illos & Pharisæi: & quod condemnabat, audi illum dicentem, *nullam causam attulerunt, quam ego suspicabar.* Etiam attulerunt, sed non convicerunt. Nam insidiæ quidem & flagitium hanc suspicionem pariebant.

καὶ αἰτῆσαι μὲν οὐκ ἐτόλμα. τοιοῦτον γὰρ ἡ κακία, δειλὸν καὶ πάντα ὑποπτεύον. ἤλπιζε δέ· ὥστε εἰκότως αὐτοῖς ἐχαρίζετο, ἅτε τοσοῦτον ἄρξας ἐκεῖ. Φῆστος οὖν ἐπιβὰς τῇ ἐπαρχίᾳ, ἐνεφάνισαν αὐτῷ ὅτε ἀρχιερεῖς. καὶ οἱ πρῶτοι τῶν Ἰουδαίων κατὰ Παύλου, φησίν. εὐθέως καὶ ἐν ἀρχῇ προσῆλθον οἱ ἱερεῖς, οὐκ ἂν ὀκνήσαντες, καὶ εἰς Καισάρειαν ἐλθεῖν, εἰ μὴ ἔφθη ἀνελθών· ὅπου γε εὐθέως ἐπιβάντι προσέρχονται. καὶ καταβὰς ἐν Καισαρείᾳ, διατρίβει δέκα ἡμέρας. τάχα δοκῶ ὥστε ἐγγενέσθαι τοῖς βουλομένοις αὐτὸν διαφθεῖραι. Παῦλος δὲ ἦν ἐν τῷ δεσμωτηρίῳ. καὶ παρεκάλουν αὐτόν φησιν, ὅπως μεταπέμψηται αὐτὸν εἰς Ἱερουσαλήμ. καὶ διατί χάριν ᾔτησαν εἰ δίκαιός ἐστιν ἀποθανεῖν; ἀλλ' οὕτω κἀκείνῳ δήλη ἐγένετο ἡ ἐπιβουλὴ, ὡς διαλεγόμενον εἰπεῖν· ἄνδρες οἱ συμπαρόντες, θεωρεῖτε τοῦτον, περὶ οὗ τὸ πλῆθος ἐνέτυχόν μοι τῶν Ἰουδαίων. διὰ γὰρ τοῦ ἐνέτυχον, τὸ αἰτούμενοι κατ' αὐτοῦ χάριν δηλοῖ. ὥστε ἤδη ἐβούλοντο αὐτὸν εἰς ἀπόφασιν ἐξωθεῖν, φοβούμενοι τὴν Παύλου γλῶτταν. τί φοβεῖσθε; τί ἐπείγετε; τοῦτο γὰρ ἐμφαίνει τὸ φυλάττεσθαι αὐτόν. μὴ γὰρ φεύγει; οἱ οὖν ἐν ὑμῖν, φησὶ, δυνατοὶ κατηγορείτωσαν αὐτοῦ. πάλιν κατήγοροι ἐν Καισαρείᾳ, καὶ πάλιν ἐξάγεται Παῦλος. τῇ δὲ ἐπαύριον καθίσας, φησὶν, ἐπὶ τοῦ βήματος. ὅρα· εὐθέως ἐλθὼν ἐκάθισεν ἐπὶ τοῦ βήματος, οὕτως αὐτὸν ὤθουν μετὰ τοσαύτης σπουδῆς· οὕτως ἐπείγουσιν. ἕως μὲν οὖν οὐδέπω πεῖραν λαβὼν τῶν Ἰουδαίων, καὶ τῆς τιμῆς τῆς παρ' αὐτῶν, ὀρθῶς ἀπεκρίνατο. ἐπειδὴ δὲ ἐγένετο ἐν τοῖς Ἱεροσολύμοις, καὶ οὗτος χαρίζεται αὐτοῖς, ἀλλὰ μετὰ ἀπάτης τοῦτο ποιεῖ. καὶ ὅπως, ἄκουε· ἐπάγει γάρ· θέλεις εἰς Ἱεροσόλυμα ἀναβὰς, ἐκεῖ περὶ τούτων κρίνεσθαι ὑπ' ἐμοῦ; ὡσεὶ ἔλεγεν· οὐχὶ αὐτοῖς δίδωμί σε· ἀλλ' αὐτὸς κριτὴς ἔσομαι. τοῦτο δὲ λέγει, καὶ αὐτὸν ποιεῖ κύριον, ἵνα τῇ τιμῇ αὐτὸν χαλάσῃ· ἐπειδὴ ἦν ἡ ἀπόφασις. καὶ πάνυ ἀναίσχυντον ἐδόκει, μηδὲν ἐνταῦθα ἐλεγχθέντα ἐκεῖ θέλειν ἀπάγειν. ὁ δὲ Παῦλος οὐκ εἶπεν, οὐ βούλομαι, μή ποτε καὶ σφοδρότερον ποιήσῃ τὸν δικαστήν· ἀλλὰ πάλιν παῤῥησιάζεται, καί φησιν· ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. μεγάλη ἡ παῤῥησία. καὶ ὅρα πῶς αὐτὸς συλλογίζεται. μονονουχὶ γὰρ τοῦτο λέγει δι' ὧν ἀπολογεῖται· ἐξέβαλόν με ἅπαξ οὗτοι· καὶ τοῦτο νομίζουσι καταχρίνειν, τῷ δεικνύειν ὅτι εἰς Καίσαρα ἡμάρτον, ἐπ' αὐτοῦ βούλομαι κριθῆναι τοῦ ἠδικημένου. οὕτω εἰπὼν, ἐπάγει· Ἰουδαίους οὐδὲν ἠδίκησα, ὡς καὶ σὺ κάλλιον ἐπιγινώσκεις. καθήψατο αὐτοῦ λοιπὸν ὡς καὶ χαριζομένου. εἶτα ἐπεὶ καθήψατο, πάλιν ἐκλύει τὸν λόγον, ἐπάγων· εἰ μὲν οὖν ἀδικῶ, ἢ ἄξιόν τι θανάτου πέπραχα, οὐ παραιτοῦμαι τὸ ἀποθανεῖν. κατ' ἐμαυτοῦ τὴν ψῆφον ἐκφέρω, φησίν. τοῦτο οὐ θανατῶντος, ἀλλὰ σφόδρα θαῤῥοῦντός ἐστιν, οἷς ἐλάλει. μετὰ γὰρ τῆς παῤῥησίας καὶ τὴν δικαιολογίαν εἶναι δεῖ, ὥστε ἐντρέψαι· εἰ δὲ οὐδέν ἐστιν ὧν κατηγοροῦσί μου, οὐδείς με δύναται χαρίσασθαι. κἂν θέλῃ, φησὶν, οὐ δυνήσεται. οὐκ εἶπεν, οὐκ ἄξιός εἰμι ἀποθανεῖν, οὐδὲ ἀπολυθῆναι, ἀλλ' ἕτοιμος κρίνεσθαι ἐπὶ Καίσαρος· ἅμα τοῦ ὀνείρατος μνησθεὶς, μᾶλλον ἐθάῤῥησεν ἐπικαλέσασθαι. καὶ οὐκ εἶπε, σύ, ἀλλ' οὐδείς· καὶ προσέθηκε, Καίσαρα ἐπικαλοῦμαι, ὥστε μὴ εἶναι εἰς ἐκεῖνον τὴν ὕβριν. τότε ὁ Φῆστος συλλαλήσας μετὰ τοῦ συμβουλίου, ἀπεκρίθη· Καίσαρα ἐπικέκλησαι, ἐπὶ Καίσαρα πορεύσῃ. εἶδες πῶς χαρίζεται; τοῦτο γὰρ χάρις ἐστὶ, τὸ συλλαλεῖν μετὰ τῶν κατηγόρων, ὃ διεφθαρμένης γνώμης ἐστὶ, καὶ συγχεούσης τὴν τάξιν· ὅρα πάλιν ἐκτεινομένην αὐτοῦ τὴν δίκην, καὶ τὴν ἐπιβουλὴν ἀφορμὴν τοῦ κηρύγματος γινομένην. ταῦτα γὰρ οἰκονομεῖται ὥστε μετὰ εὐκολίας καὶ φυλακῆς ἀπενεχθῆναι [αὐτὸν] εἰς τὰ Ἱεροσόλυμα ὑπὸ μηδενὸς ἐπιβουλευόμενον. οὐ γὰρ ἦν ἴσον ἁπλῶς παραγενέσθαι, καὶ ἐπὶ αἰτίᾳ τοιαύτῃ. τοῦτο καὶ συνελθεῖν ἐποίησεν Ἰουδαίους ἐκεῖ. εἶτα πάλιν χρόνος γίνεται ἐνδιατρίβοντος αὐτοῦ τοῖς Ἱεροσολύμοις. ἵνα μάθῃς ὅτι καὶ χρόνου γινομένου, οὐδὲν τὰ τῆς ἐπιβουλῆς αὐτῷ ἰσχύει, τοῦ Θεοῦ μὴ συγχωροῦντος. Ἀγρίππας δὲ οὗτος ὁ βασιλεὺς καὶ Βερνίκη κατήντησαν εἰς Καισάρειαν. οὗτος ὁ Ἀγρίππας ὁ καὶ Ἡρώδης, ἕτερός μοι δοκεῖ ὡς εἶναι τέταρτον τοῦτον ἐπὶ Ἰακώβου. ὅρα τοὺς ἐχθροὺς συμπράττοντας ἄκοντας, ὥστε δὲ μέγα γενέσθαι τὸ ἀκροατήριον. εἰς ἐπιθυμίαν ἐνέπεσεν ὁ Ἀγρίππας τῆς ἀκροάσεως· καὶ οὐχ ἁπλῶς ἀκούει. ἀλλὰ μετὰ παρασκευῆς. καὶ ἴδε τὴν ἀπολογίαν, ἣν ὁ ἄρχων φησί. καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν σεβαστὸν, ἔκρινα πέμπειν αὐτὸν, περὶ οὗ ἀσφαλές τι τῷ κυρίῳ γράψαι οὐκ ἔχω. οὕτω γράφει ὁ Φῆστος· καὶ ἐκπομπεύεται ἡ ὠμότης ἡ Ἰουδαϊκή· ὅτ' ἂν γὰρ ταῦτα ὁ ἄρχων λέγῃ, ἀνύποπτός ἐστι. διατοῦτο δὲ λέγει, ὥστε καὶ παρ' αὐτοῦ καταγνωσθῆναι τοὺς Ἰουδαίους· μετὰ δὲ τὸ πάντας αὐτῶν καταψηφίσασθαι, τότε ἐπάγει τὴν κόλασιν ὁ Θεός· σκόπει δέ· κατέγνω Λυσίας, κατέγνω Φῆλιξ, κατέγνω Φῆστος, καὶ οἱ χαριζόμενοι αὐτοῖς, κατέγνω Ἀγρίππας, τί λοιπόν; κατέγνωσαν αὐτῶν καὶ οἱ Φαρισαῖοι. καὶ ἔτι κατέγνω, ἄκουε αὐτοῦ λέγοντος· οὐδεμίαν αἰτίαν ἐπέφερον ὧν ὑπενόουν ἐγώ. καὶ μὴν ἤνεγκαν, ἀλλ' οὐκ ἤλεγξαν. ἡ μὲν γὰρ ἐπιβουλὴ καὶ τὸ τόλμημα, τοῦτο ὑποπτεύειν ἐδίδου.

Ἡ δὲ ἐξέτασις οὐδὲν τοιοῦτον. Καὶ περί τινος, φησὶν, Ἰησοῦ τεθνηκότος. Εἰκότως περί τινος λέγει, ἅτε ἄνθρωπος ἐν ἀρχῇ ὢν καὶ τούτων οὐ φροντίζων. Ἀπὸ ταύτης τῆς αἰτίας καὶ τὸ, ἀπορούμενος ἐγὼ, εἶπεν εἰς τὴν περὶ τούτων ἐξέτασιν. Καὶ γὰρ ὄντως τοιούτου δικαστοῦ ὑπερέβαινεν ἀκοὰς ἡ τῶν τοιούτων ζήτησις. Καὶ εἰ ἐν ἀπορίᾳ εἶ, τί εἰς Ἱεροσόλυμα ἕλκεις; Διὰ τοῦτο καὶ Παῦλος οὐκ ἀξιῶν ὑπ' αὐτοῦ κρίνεσθαι, Καίσαρα ἐπικαλεῖται, λέγων· Ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι, οὗ με δεῖ κρίνεσθαι. Καὶ γὰρ περὶ τούτου ἐνεκάλουν. Ἀκούεις ἔφεσιν; ἀκούεις ἐπιβουλὴν Ἰουδαίων; ἀκούεις στάσιν; Ταῦτα πάντα τὸν Ἀγρίππαν εἰς ἐπιθυμίαν ἐξήγειρεν ἀκοῦσαι. Καὶ δίδωσιν ὁ Φῆστος τὴν χάριν, καὶ γίνεται λοιπὸν λαμπρότερος ὁ Παῦλος. Τοιαῦτα ὑπὲρ [illegible] αἱ ἐπιβουλαὶ προεξένησαν. Εἰ μὴ ταῦτα ἦν, οὐδεὶς ἂν τούτων κατηξίωσεν ἀκοῦσαι αὐτοῦ τῶν ἀρχόντων· οὐδεὶς ἂν μετὰ τοσαύτης ἡσυχίας καὶ σιγῆς. Καὶ δοκεῖ μὲν διδάσκειν καὶ ἀπολογεῖσθαι, δημηγορεῖ δὲ μᾶλλον μετὰ πολλῆς τῆς ἀξίας. Μὴ δὴ χαλεπόν τι πρᾶγμα νομίζωμεν τὰς ἐπιβουλάς. Ἕως ἂν ἑαυτοῖς μὴ ἐπιβουλεύωμεν, οὐδεὶς ἡμῖν ἐπιβουλεῦσαι δυνήσεται· μᾶλλον δὲ ἐπιβουλεύουσι μὲν, οὐδὲν δὲ βλάπτουσιν· ἀλλὰ καὶ ὠφελοῦσιν ἡμᾶς τὰ μέγιστα. Ὥστε ἡμεῖς ἑαυτῶν κύριοι, καὶ τοῦ παθεῖν κακῶς καὶ τοῦ μὴ παθεῖν. Ἰδοὺ διαμαρτύρομαι, καὶ μεγάλῃ λέγω τῇ φωνῇ, καὶ σάλπιγγος τρανότερον κἂν ἐφ' ὑψηλοῦ ἀναβὰς τοῦτο ποιῆσαι οὐκ ἂν παρῃτησάμην· ὅτι τὸν Χριστιανὸν οὐδεὶς ἀνθρώπων τῶν οἰκούντων τὴν γῆν βλάψαι δυνήσεται. Καὶ τί λέγω ἀνθρώπων; οὐδὲ αὐτὸς ὁ δαιμονοτύραννος ὁ διάβολος, ἂν μὴ αὐτὸς ἑαυτὸν ἀδικήσῃ, κἂν ὁτιοῦν εἰς ἡμᾶς κακὸν ἐργάσασθαι βουληθῇ, μάτην πειράσεται. Ὥσπερ γὰρ ἄγγελον οὐδεὶς ἂν βλάψειεν ἐπὶ γῆς ὢν ἄνθρωπος· οὕτως οὐδὲ ἄνθρωπος ἄνθρωπον, ἀλλ' οὐδὲ αὐτὸς ἕτερον βλάψαι δυνήσεται, ἕως ἂν ᾖ ἀγαθός. Τί οὖν ἂν τούτου γένοιτο ἴσον, ὅτ' ἂν μήτε βλαβῆναι δύνηται, μήτε βλάψαι ἕτερον; οὐ τοῦ γὰρ ἐκείνου ἔλαττον, τὸ μὴ βούλεσθαι βλάπτειν ἕτερον. Ἄρα ἄγγελός τίς ἐστι καὶ Θεῷ ὅμοιος. Τοιοῦτος γὰρ καὶ ὁ Θεός· ἀλλ' ἐκεῖνος μὲν φύσει, οὗτος δὲ προαιρέσει. Οὔτε οὖν βλαβῆναι δύναται, οὔτε βλάψαι ἕτερον. Τὸ δὲ, οὐ δύναται, μὴ ἀδυναμίας νομίσῃς· τοὐναντίον γὰρ ἀδυναμία· ἀλλὰ τὸ ἀνένδεκτον λέγω. Ἡ γὰρ φύσις ἐκείνη, οὔτε βλάβης ἐστὶ δεκτικὴ, οὔτε τοῦ ἀδικεῖν ἕτερον· ἐπεὶ καὶ τοῦτο ἑτέρα βλάβη. Ἄλλως γὰρ ἑαυτοὺς οὐ βλάπτομεν, ἢ τῷ βλάπτειν ἕτερον, καὶ τὰ μείζονα τῶν ἁμαρτημάτων ἡμῶν, ἐκ τῆς εἰς ἡμᾶς ἀδικίας τούτου γίνεται. Ὥστε καὶ διὰ τοῦτο ὁ Χριστιανὸς οὐ δύναται βλαβῆναι, ὅτι οὐδὲ βλάπτειν δύναται. Πῶς δὲ ἑτέρους βλάπτοντες ἑαυτοὺς οὐ βλάπτομεν. Φέρε καθ' ἕκαστον τῶν πραγμάτων προχειρισάμενοι τὸν λόγον γυμνάσωμεν τὸν λεγόμενον. Ἀδικείτω τις, ὑβριζέτω, πλεονεκτείτω, τίνα ἄρα ἔβλαψεν οὗτος; οὐχ ἑαυτὸν πρότερον; παντί που δῆλον. Τῷ μὲν γὰρ εἰς χρήματα ἡ ζημία· αὐτῷ δὲ εἰς ψυχήν. Καὶ γὰρ εἰς ἀπώλειαν καὶ εἰς κόλασιν παραδίδοται τοῦ τοιούτου ἡ ψυχή. Πάλιν φθονείτω ἕτερος· τίνα οὖν ὁ τοιοῦτος ἠδίκησεν; οὐχ ἑαυτὸν εἰπέ μοι; τοιαύτη γὰρ ἡ τῆς ἀδικίας φύσις, τὸν τίκτοντα πρῶτον βλάπτει μυρία, μικρὰ δὲ ἕτερον· μᾶλλον δὲ οὐδὲ μικρὸν βλάπτει, ἀλλὰ καὶ ὠφελεῖ. Ἀλλ' οὐδὲν ἀξιόπιστον εἴρηκα. Ἔστω τοίνυν (μάλιστα γὰρ ἐν τούτοις ἐστὶ τὸ πᾶν) πένης χρήματα ἔχων ὀλίγα καὶ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς· ἕτερος δὲ πλούσιος, καὶ εὔπορος, καὶ πολλὴν ἔχων δύναμιν, καὶ λαμβανέτω τὰ τοῦ πένητος λοιπὸν, καὶ γυμνὸν ποιείτω, καὶ παραδιδότω λιμῷ· αὐτὸς δὲ ἐντρυφάτω τοῖς ἐξ ἐκείνου ληφθεῖσιν ἀδίκως. Ὁ τοιοῦτος οὐ μόνον οὐδὲν αὐτὸν ἔβλαψεν, ἀλλὰ καὶ ὠφέλησεν· ἑαυτὸν δὲ οὐ μόνον οὐκ ὠφέλησεν, ἀλλὰ καὶ ἔβλαψε. Πῶς; πρῶτον μὲν ὑπὸ τοῦ συνειδότος μαστιζόμενος τοῦ πονηροῦ, καὶ καθ' ἑκάστην ἡμέραν κεντούμενος, καὶ παρὰ πάντων καταγινωσκόμενος, ἔπειτα ἐν τῷ μέλλοντι κρίματι. Ἀλλ' ὅτι μὲν οὗτος βλάπτεται, δῆλον ἐντεῦθεν κατέστη. Πῶς δὲ ὠφελεῖται ἐκεῖνος εἰπέ· ὅτι τὸ κακῶς παθεῖν καὶ φέρειν γενναίως, μέγα κέρδος ἔχει. Ἔστι γὰρ ἁμαρτημάτων λύσις, τὸ παθεῖν κακῶς· ἔστι φιλοσοφίας γυμνάσιον· ἔστιν ἀρετῆς διδασκαλία. Ἴδωμεν οὖν τίς ἐν κακοῖς οὗτος, ἢ ἐκεῖνος. Ἐκεῖνος μὲν γὰρ ἂν φιλόσοφος, γενναίως οἴσει· οὗτος δὲ, καθ' ἑκάστην ἡμέραν ἐν τρόμῳ ἔσται καὶ ὑποψίᾳ. Τίς οὖν ἀδικεῖται, οὗτος, ἢ ἐκεῖνος; μύθους λέγεις, φησίν· ὅτ' ἂν γάρ τις μὴ ἔχῃ φαγεῖν, καὶ ἀναγκάζηται ἀποδύρεσθαι καὶ ἀποδυσπετεῖν, ἢ προσελθὼν ἐπαιτεῖν, καὶ μὴ λάβῃ, οὐχὶ καὶ τὴν ψυχὴν, καὶ τὸ σῶμα προσαπόλλυσι; μύθους σὺ λέγεις· ἐγὼ γὰρ ἐπιδεικνύω πράγματα. Εἰπὲ γάρ μοι, οὐδεὶς τῶν πλουτούντων ἀποδυσπετεῖ; τί οὖν; μὴ ἡ πενία αἰτία αὐτῷ; ἀλλ' οὐ λιμώττει; καὶ τί τοῦτο; μείζων ἡ δίκη, ὅτ' ἂν μετὰ πλούτου τοῦτο ποιῇ. Οὔτε γὰρ πλοῦτος γενναῖον ποιεῖ, οὔτε ἀσθενῆ πενία· ἐπεὶ οὐδεὶς ἂν τῶν ἐν πλούτῳ ζώντων μοχθηρὸν ἔζη βίον, οὐδ' ἂν ἑαυτοῦ κατηράσατο οὐδεὶς τῶν ἐν πενίᾳ. Ὅτι δὲ οὕτως μῦθοι τὰ παρ' ἡμῶν, ἐκεῖθεν ὑμῖν ποιήσω φανερόν.

A Inquisitio autem tollebat prorsus; *Et de quodam Jesu mortuo*, inquit. Meritò de quodam dicit, utpote principatum gerens, taliáque non curans. Ob hanc causam, etiam *ego hæsitans*, dixit de inquisitione horum. Certè harum rerum inquisitio severa talis judicis aures transcendit. Et si hæsitas & anxius es, cur in Hierusalem trahis? Propterea & Paulus non volens ab ipso judicari, Cæsarem appellat dicens: *Ego ad tribunal Cæsaris sto, ubi me oporteret judicari.* Etenim
B de hoc accusarant. Audis appellationem? audis insidias Judæorum? audis seditionem? Hæc omnia Agrippam in desiderium audiendi excitarunt. Et dat Festus gratiam, & fit posteà Paulus clarior. Talia insidiæ conciliarunt. Si hæc non fuissent, nullus horum principum dignatus esset eum audire cum tanto silentio, tantâque patientia. Et videtur quidem docere & rationem reddere, sed magis magna cum dignitate concionatur. Itaque ne putemus rem gravem esse insidias, modò
C nobisipsis non insidiemur, nullus nobis insidiari poterit, imò insidiantur quidem, nihil autem nocent, sed etiam prosunt nobis plurimum. Et ita in nostra potestate situm est, & quod malè habemus, & non malè habemus: Ecce testificor & magna voce dico, tubâque clamare non detrectarem, quòd Christiano nullus homo super terram habitans nocere potest. Et quid dico, nullus homo? neque ipse dæmon, tyrannus, diabolus, si non ipse seipsum lædat, tametsi quodvis malum nobis
D quis intentare voluerit, frustra tentabit. Quemadmodum enim nullus homo Angelum super terram nocet, ita neque homo hominem, sed neque ipse alium nocere poterit, quamdiu bonus fuerit. Quid igitur illi conferendum, quando neque noceri neque nocere potest? hoc enim illo non minus est, non velle nocere alium. Igitur Angelus quis est, etiam Deo similis. Talis enim & Deus est, sed ille quidem natura, hic autem proposito, neque igitur incommodari poterit, neque in-
E commodare alium? Quod autem non potest, ne putes impotentiam: contrarium enim impotentia est, sed quòd non capax est dico: natura enim illa, neque damni capax est, neque incommodare alium potest, quoniam & hoc alterum damnum. Aliter nobisipsis non nocemus quam nocendo alium, & gravissima peccata nostra ex injustitia erga nos fiunt: & ita etiam propter hoc Christianus non potest noceri, quia neque nocere potest. Quomodo autem nocendo alios nosipsos non nocemus? Agè
A sigillatim res persequamur, & sermonem detegamus. Exempli gratia: Lædat quis injustè, contumelia afficiat, fraude decipiat, quem nocuit ille? nónne seipsum prius? Hoc certe cunctis manifestum. Alii enim damnum est in pecunia, ipsi verò in anima. Iterum invideat alius, quemnam nocuit & talis? nónne seipsum? Talis est enim injustitiæ natura, ut primùm noceat eum qui parit plurimum, alium autem perquam parum, imò nihil nocet: sed etiam
B prodest. At nihil fide dignum dixi. Sit igitur (maximè enim in his & totum consistit) pauper pecunias habens paucas, & necessario cibo abundans: alius autem dives & abundans, & multam habens facultatem, accipiat ea quæ sunt pauperis, nudumque illum reddat, ac tradat fami, ipse autem delicatè versetur in his quæ injustè ei abstulit. Talis non solùm nihil illum nocuit, sed etiam ei profuit: sibi autem ipsi non solum non profuit, sed etiam damnosus fuit.
C Quomodo? primum quidem à sua mala conscientia flagellatur & quotidie extimulatur, & ab omnibus condemnatur. Deinde in futuro judicio. Sed quòd ille quidem damnum accipit, ex his satis manifestum. Quomodo autem utilitatem capiet ille, dic? Quia magnum lucrum est generosè ferre afflictiones. Est enim solutio peccatorum graviter affligi, est Philosophiæ schola, est virtutis doctrina. Videamus igitur uter est in malis, hic, an ille? Ille quidem si fuerit virtute præditus fortiter
D tolerabit, hic autem quotidie in tremore erit ac suspicione. Uter igitur læsus est, hic an ille? Fabulas dicis, inquit, quando enim quis non habet quod edat & cogitur plorare, & omnibus destitui, vel ire mendicatum, & non accipere: Nónne animam & corpus simul perdit? Merces tu dicis, ego rem ipsam commonstro. Dic enim oro, nullúsne divitum destituitur notis? Quid igitur? numquid hujus rei causa est paupertas? Sed fame non premitur. Et
E quid hoc? majus erit judicium, quando cum divitiis hoc fecerit: neque divitiæ fortem reddunt, neque infirmum inopia. alioqui nullus opulentorum miseram ageret vitam, nullúsque pauperum sibiipsi subcharus fuisset. Quòd autem sermones vestri fabula sint, hinc faciam manifestum. Dic

Digitized by Google

Dic igitur, Paulus ne in divitiis vel in paupertate fuit? fame laboravit vel non? Possumus illum audire dicentem: *In fame & afflictione.* Prophetæ fame premebantur vel non? etiam illi non recipiebant quod opus eis. Iterum Paulum mihi profers, iterum Prophetas, decem ac viginti homines. Sed unde vis? Multos quosdam, inquit, ostende mihi ferre paupertatem fortiter. Sed rarum semper quod tale, & pauci boni. Si vis autem rem per seipsam exquiramus. Videamus cujus cura major vel molestior, & cujus tolerabilior; Nónne hic pro necessario alimento solicitus est, ille autem pro innumeris rebus, de necessario non anxius? Famem non timet dives, sed alia timet, sæpe de salute sua. Non est sine solicitudine cibi quem edat inops, sed caret alia solicitudine, & habet securitatem, quietem & tranquillitatem. Et aliter: Si non est malum, sed bonum injustè agere, quare confundimur, quare dum probris afficimur indignamur, & molestè ferimus? Si non est bonum, injustè affligi, quare super ea re gloriamur & litigamus? Vis discere quomodo hoc sit illo melius? vide ut in utrisque utrique se habeant. Quare leges, quare judicia, quare supplicia? Nónne propter illos quasi ægrotantes? Sed magna interim est voluptas, inquit. Futura nunc prætereamus, & præsentia exquiramus. Quid miserius viro talem habente suspicionem? quid ad ruendum proclivius? quid putidius? Nónne in naufragio semper est? licèt justum quiddam faciat, non creditur ob facultates ejus, ab omnibus condemnatur: omnes enim qui juxta se habitant, accusatores habet: non potest uti amicitia. Nullus enim statim vellet amicus fieri hominis qui in tali existimatione est, ne particeps fiat suspicionis, & gravetur etiam ipse invidia: ut bestiam aversantur omnes, ut pestiferum & naturæ hostem & homicidam, & improbum hominem. Si ad tribunal venerit is qui injuria affecit, accusatore non habet opus, opinione quæ de illo habetur, quovis accusatore magis crimen intendente. At non ita agit qui injustè affligitur, sed omnes habet defensores, condolentes, manum porrigentes, in securitate stat. Si bonum est injustè agere, fateatur quis se esse injustum: si autem hoc non audet, quidnam ut bonum aggreditur? Videamus autem quomodo etiam in nobisipsis, quanta fiunt mala. Dic enim oro, si aliquid quod in nobis relicta mensura sua, aliam cupiat, & vellet splen relicto suo loco, alienum cum suo arripere: nónne morbus esset? si humidum quod in nobis, impleret omnia, nónne fieret corpus fluxum? & iterum si cholera cum illo latitudinem quærat, & ubique diffundatur sanguis. Quid autem in anima ira, concupiscentia, & alia omnia? si transgrediantur mensuram, nónne se simul disperdunt? Ita & cibus, si plus quam concoqui potest sumatur, morbis corpus infestat. Unde enim podagræ? unde pendula rigidáque corpora, nónne ab immodicis cibis? Iterum in corpore si plus vellet accipere oculus, vel plus videre quam ei præfinitum, vel majus lumen accipiat: hoc quod super mensuram est, nocebit magis, quàm proderit. Cogita autem, quoniam si quum bonum quoddam lux sit, & perit oculus: si plus viderit quando fulgidiora aspicit, quàm mensura sua postulat: quid faceret lux si mala esset? Et auris si majorem sonum accipiat mentem facit attonitam. Mens quando cogitat quæ supra se sunt, obstupescit: Etiam quod plus est quam opus nobis, perdit. Hoc est enim avaritia quam πλεονεξίαν vocant, plus habere, quam constitutum est. Sic certè & in pecuniis, quando voluerimus plura onera imponere, licèt non sentiamus, molestam in nobis educamus bestiam: multa habentes, multis egentes, innumeris curis nos immittimus, multas diabolo præbentes occasiones: propterea diabolus apud divites non habet opus ullo labore: Parati enim sunt ob divitiarum sarcinam proclives, ut illi serviant. At non ita habent pauperes, sed planè diverso modo. Ita res illæ per seipsas perdunt. Unde oro ut abstineatis ab harum concupiscentia, ut possimus evadere diaboli laqueos, & apprehensa virtute, bona æterna assequi, gratia & misericordia Domini nostri Jesu Christi, cui cum Patre & sancto Spiritu sit gloria, nunc & semper, & in secula seculorum, Amen.

2 Cor. 11, 27.

A εἰπέ μοι· ὁ Παῦλος ἐν πενίᾳ ἦν, ἢ ἐν πλούτῳ; ἐλίμωττεν, ἢ οὐχί; αὐτοῦ ἐστιν ἀκοῦσαι λέγοντος· ἐν λιμῷ καὶ δίψῃ. οἱ προφῆται ἐλίμωττον, ἢ οὐχί; κἀκεῖνοι ἐπεδύοντο. πάλιν Παῦλόν μοι φέρεις· πάλιν τοὺς προφήτας· δέκα καὶ εἴκοσιν ἀνθρώπους. ἀλλὰ πόθεν βούλει; ἀπὸ τῶν πολλῶν, φησί, δεῖξόν μοι τινὰς φέροντας γενναίως· ἀλλὰ τὸ σπάνιον ἀεὶ τοιοῦτον, καὶ ὀλίγοι οἱ καλοί. εἰ βούλει δὲ καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάσωμεν. ἴδωμεν τίνος ἡ φροντὶς μείζων B καὶ δριμυτέρα, καὶ τίνος εὐφορωτέρα. οὐχ ὁ μὲν ὑπὲρ τῆς ἀναγκαίας μεμέριμνα τροφῆς· ὁ δὲ ὑπὲρ μυρίων πραγμάτων ταύτης ἀφέμενος; οὐ δέδοικεν ὑπὲρ λιμοῦ ὁ πλούσιος, ἀλλ' ὑπὲρ ἑτέρων δέδοικε· πολλάκις ὑπὲρ σωτηρίας αὐτῆς. οὐκ ἔχει τὴν ἀμεριμνίαν τῆς τροφῆς ὁ πένης, ἀλλ' ἔχει τὴν ἑτέραν ἀμεριμνίαν, τὴν ἀσφάλειαν, τὴν ἡσυχίαν, τὴν ἄδειαν. ἄλλως δέ· εἰ μὴ κακὸν τὸ ἀδικεῖν, ἀλλὰ καλόν. διατί αἰσχυνόμεθα; διατί ἐγκαλυπτόμεθα; C διατί ὀνειδιζόμενοι ἀγανακτοῦμεν καὶ δυσχεραίνομεν; εἰ μὴ καλὸν τὸ ἀδικεῖσθαι, διατί ἐναβρυνόμεθα, καὶ ἐγκαλλωπιζόμεθα τῷ πράγματι, καὶ δικαιολογούμεθα ἐν τούτῳ; θέλεις μαθεῖν πῶς τοῦτο ἐκείνου βέλτιον; ὅρα τοὺς ἐν τούτῳ· ὅρα τοὺς ἐν ἐκείνῳ. διατί νόμοι; διατί δικαστήρια; διατί τιμωρίαι; οὐχὶ δι' ἐκείνους ὡς νοσοῦντας καὶ κάμνοντας; ἀλλ' ἡ ἡδονὴ πολλή, φησί. μὴ εἴπωμεν τὰ μέλλοντα, τὰ παρόντα ἐξετάσωμεν. τί χεῖρον ἀνδρὸς τοιαύτην D ἔχοντος ὑπόληψιν; τί σφαλερώτερον; τί σαθρότερον; οὐκ ἐν ναυαγίῳ διαπαντός ἐστι; κἂν δίκαιόν τι πράττῃ, οὐ πιστεύεται, ἀπὸ τῆς δυνάμεως, καταδικαζόμενος παρὰ πάντων. πάντας γὰρ τοὺς συνοικοῦντας κατηγόρους ἔχει. οὐ φιλίᾳ χρήσασθαι δύναται. οὐδεὶς γὰρ ἂν ἕλοιτο τοῦ τοιαύτην δόξαν ἔχοντος ἀνθρώπου γενέσθαι φίλος, ὥστε μὴ κοινωνῆσαι αὐτῷ τῆς ὑπολήψεως· καθάπερ θηρίον οὕτω πάντες ἀποστρέφονται· καθάπερ λυμεῶνα καὶ ἐχθρὸν, καὶ E ἀνδροφόνον, καὶ τῆς φύσεως πολέμιον, τὸν ἄτοπον ἄνθρωπον. ἂν εἰς δικαστήριον ἐμπέσῃ, οὐδὲ κατηγόρου δεῖται ὁ ἠδικηκώς, τῆς δόξης αὐτοῦ παντὸς κατηγόρου καταδικαζούσης αὐτόν. ἀλλ' οὐχ ὁ ἀδικούμενος οὕτως· ἀλλὰ πάντας ἔχει προστάτας, συναλγοῦντας, χεῖρα ὀρέγοντας. ἐπ' ἀσφαλείας ἕστηκεν. εἰ καλὸν τὸ ἀδικεῖν, καὶ ἀσφαλές, ὁμολογείτω τις εἶναι ἄδικος· εἰ δὲ οὐ τολμᾷ, τί δήποτε ὡς ἀγαθὸν μετέρχεται; ἴδωμεν δὲ πῶς καὶ ἐν ἡμῖν αὐτοῖς ἂν γένοιτο τοῦτο, A πόσα γίνεται κακά. εἰπὲ γάρ μοι· ἄν τι τῶν ἐν ἡμῖν τὸ οἰκεῖον ὑπερβὰν μέτρον τοῦ ἑτέρου ἐφίηται, καὶ βουληθῇ ἀφεὶς ὁ σπλὴν τὸν οἰκεῖον τόπον λαβεῖν τὸ ἀλλότριον μετὰ τοῦ οἰκείου, οὐχὶ νόσος τοῦτό ἐστι; τὸ ὑγρὸν πάλιν τὸ ἐν ἡμῖν, ὁ χυμός, εἰ πάντα πληρώσῃ, οὐχὶ ὕδερος τοῦτό ἐστι; μετ' ἐκεῖνον ἡ χολὴ πάλιν εὐρυχωρίαν ζητείτω, καὶ πανταχοῦ διαχείσθω τὸ αἷμα. τί δὲ ἐν τῇ ψυχῇ ὁ θυμός, ἡ ἐπιθυμία, καὶ τὰ ἄλλα πάντα· ἐὰν ὑπερβῇ τὸ μέτρον, οὐχὶ ἑαυτὸν συνδιέφθειρεν; B οὕτω καὶ ἡ τροφή· ἐὰν ὑπὲρ ὃ δύναται πέψαι προσληφθῇ, νόσοις τὸ σῶμα περιέβαλε. πόθεν γὰρ αἱ ποδαλγίαι; πόθεν αἱ παρέσεις καὶ ὁ κλόνος τοῦ σώματος; ἆρα οὐκ ἀπὸ τῆς τῶν τροφῶν ἀμετρίας; πάλιν ἐν τῷ σώματι ἐὰν πλεῖον βουληθῇ λαβεῖν ὁ ὀφθαλμός, ἢ πλέον ἰδεῖν τοῦ ὡρισμένου θελήσῃ, ἢ μεῖζον ἀναλάβῃ φῶς, ἔβλαψε μᾶλλον ἢ ὠφέλησε τὸ ὑπὲρ μέτρον. εἰ δὲ ἔνθα ἀγαθόν τι τὸ φῶς ἐστιν, ὁ ὀφθαλμὸς εἰ πλέον ἰδεῖν θελήσειεν ἀπόλλυται, ὅταν C λαμπρότερον ἴδῃ, ἐννόησον ἐπὶ τοῦ κακοῦ. ἡ ἀκοὴ ἐὰν μεγάλην δέξηται φωνήν, ἀπόπληκτος ἡ διάνοια γίνεται. ὁ νοῦς ἐπειδὰν τὰ ὑπὲρ ἑαυτὸν λογίσηται, ἐκπλήττεται, καὶ ὅπερ ἂν πλέον τοῦ δέοντος γένηται, παραπόλλυσι. τοῦτο γὰρ πλεονεξία, πλέον ἔχειν τοῦ ὡρισμένου. οὕτω δὴ καὶ ἐπὶ χρημάτων· ὅταν βουλώμεθα ἐπιθεῖναι φορτία πλείονα, εἰ καὶ μὴ αἰσθανόμεθα, χαλεπὸν ἐν ἑαυτοῖς τρέφομεν τὸ θηρίον, πολλὰ ἔχοντες, πολλῶν δεόμενοι, φροντίσι μυρίαις περιβάλλοντες ἑαυτούς, πολλὰς τῷ διαβόλῳ παρέχοντες λαβάς. διὰ D τοῦτο οὐδὲ χρεία καμάτου ἐπὶ τῶν πλουτούντων τῷ διαβόλῳ· ἕτοιμοι γὰρ αὐτοὶ πρὸς καταφορὰν ἀπὸ τοῦ πλούτου μάλιστα γίνονται. ἀλλ' οὐκ ἐπὶ τῶν πενίᾳ συζώντων, ἀλλὰ πᾶν τὸ ἐναντίον. οὕτως αὐτὰ καθ' ἑαυτὰ ἀπόλλυσι τὰ πράγματα. διὸ παρακαλῶ ἀπέχεσθαι τῆς τούτων ἐπιθυμίας· ἵνα δυνηθῶμεν διαφυγεῖν τὰς τοῦ πονηροῦ παγίδας, καὶ ἀρετῆς ἐπιλαβόμενοι τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα E τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ νβ'.

Τῇ οὖν ἐπαύριον ἐλθόντος τοῦ Ἀγρίππα, καὶ τῆς Βερνίκης μετὰ πολλῆς φαντασίας, καὶ εἰσελθόντων εἰς τὸ ἀκροατήριον σύν τε τοῖς χιλιάρχοις, καὶ ἀνδράσι τοῖς κατ' ἐξοχὴν οὖσι τῆς πόλεως, καὶ κελεύσαντος τοῦ Φήστου, ἤχθη ὁ Παῦλος.

Ὅρα πῶς συλλέγεται ἀκροατήριον τῷ Παύλῳ, τοῖς κατ' ἐξοχήν, φησι, τῆς πόλεως. τοὺς δορυφόρους γὰρ πάντας συναγαγὼν ὁ ἄρχων, καὶ ὁ βασιλεὺς οὕτως ἀπαντῶσι. σὺν αὐτοῖς δὲ καὶ ὁ χιλίαρχος, καὶ οἱ πρῶτοι τῆς πόλεως παραγεγόνασι. τούτους γὰρ κατ' ἐξοχὴν καλεῖ. καὶ ὅρα πῶς αὐτοῦ ἀχθέντος ἀνακηρύττεται ὑπὸ τοῦ Φήστου· οὐ μόνον γὰρ αὐτὸν ἀφίησι τῶν ἐγκλημάτων, ἀλλὰ καὶ ὑπεραπολογεῖται·

„Καὶ λέγων; Ἀγρίππα βασιλεῦ, καὶ πάντες οἱ συμπαρόντες ἡμῖν ἄν„δρες· θεωρεῖτε τοῦτον περὶ οὗ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων ἐνέτυχόν „μοι ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν ζῆν αὐτὸν μη„κέτι. ἐγὼ δὲ καταλαβόμενος μηδὲν ἄξιον θανάτου αὐτὸν πεπραχέναι, „καὶ αὐτοῦ δὲ τούτου ἐπικαλεσαμένου τὸν Σεβαστόν, ἔκρινα πέμπειν αὐ„τόν. περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. διὸ προήγα„γον αὐτὸν ἐφ' ὑμῶν, καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ Ἀγρίππα· „ὅπως τῆς ἀνακρίσεως γενομένης, σχῶ τι γράψαι. ἄλογον γάρ μοι „δοκεῖ πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι. σκόπει πῶς ἐκεῖνοι μὲν κατηγοροῦσιν, οὗτος δὲ ἀφίησιν. ὢ τῆς τῶν δικαιωμάτων περιουσίας· ὅπως καταδικάσῃ οὐχ εὑρίσκει ὁ ἄρχων, μυρίας γενομένης ἐξετάσεως· ἐκεῖνοι δὲ τοῦτον ἄξιον θανάτου ἔφασκον εἶναι. διὰ τοῦτο καὶ ἔλεγεν· ἐγὼ δὲ καταλαβόμενος, φησι, μηδὲν ἄξιον θανάτου πεπραχέναι αὐτόν· εἶτα ἐπήγαγε, λέγων, περὶ οὗ ἀσφαλές τι γράψαι τῷ κυρίῳ οὐκ ἔχω. καὶ τοῦτο τῆς τοῦ Παύλου καθαρότητος τὸ μηδὲν ἔχειν τὸν δικαστὴν ὅ,τι εἴπῃ περὶ αὐτοῦ. διὸ προήγαγον αὐτόν, φησιν, ἐφ' ὑμῶν. ἄλογον γάρ μοι δοκεῖ εἶναι, πέμποντα δέσμιον, μὴ καὶ τὰς κατ' αὐτοῦ αἰτίας σημᾶναι. ὅρα εἰς οἵας ἐνέβαλον οἱ Ἰουδαῖοι τοὺς ἄρχοντας αὐτῶν ἀπορίας μεγάλας. τί οὖν ὁ Ἀγρίππας; ἐπεὶ τούτοις βουλόμενός τι μαθεῖν πρὸς τὸν Παῦλον ἔφη·

„Ἐπιτέτραπταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. τῇ πολλῇ περὶ τοῦ ἀκοῦσαι ἐπιθυμίᾳ ἐπιτρέπει αὐτῷ λέγειν ὁ βασιλεύς. ὁ δὲ Παῦλος μετὰ παρρησίας φθέγγεται λοιπόν, οὐ κολακεύων, ἀλλὰ διὰ τοῦτο μακάριον ἑαυτὸν φάσκων εἶναι, ἐπειδὴ πρὸς πάντα εἰδότα τὸν λόγον ποιεῖται. καὶ ὅτι „διὰ τοῦτο, ἄκουε. ἃ δὴ καὶ προτείνεται, λέγων· τότε ὁ Παῦλος ἀπελογεῖτο „ἐκτείνας τὴν χεῖρα, περὶ πάντων ὧν ἐγκαλοῦμαι ὑπὸ Ἰουδαίων, βασι„λεῦ Ἀγρίππα, ἥγημαι ἐμαυτὸν μακάριον, ἐπὶ σοῦ μέλλων ἀπολο„γεῖσθαι σήμερον, μάλιστα γνώστην ὄντα σε πάντων τῶν κατὰ Ἰουδαίους „ἐθῶν, καὶ ζητημάτων. διὸ δέομαί σου μακροθύμως ἀκοῦσαί μου. καίτοι γε εἰ συνῄδει ἑαυτῷ, φοβηθῆναι ἐχρῆν. παρὰ τῷ πάντα εἰδότι δικαζόμενον· ἀλλὰ καθαροῦ συνειδότος τοῦτό ἐστι, τὸ μὴ παραιτεῖσθαι δικαστὴν τὸν ἀκριβῶς εἰδότα τὰ γεγενημένα, ἀλλὰ καὶ χαίρειν. ὅθεν καὶ μακάριον ἑαυτὸν ἡγεῖται καὶ λέγει· δέομαί σου μακροθύμως ἀκοῦσαί μου. ἐπειδὴ μέλλει λόγον ἐκτείνειν καὶ λέγειν τι περὶ ἑαυτοῦ, διὰ τοῦτο προλαβὼν „παρεκάλεσε, καί φησι· τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, τὴν ἀπ' ἀρ„χῆς γενομένην ἐν τῷ ἔθνει μου ἐν Ἱεροσολύμοις, ἴσασι πάντες οἱ Ἰου„δαῖοι, προγινώσκοντές με ἄνωθεν ἐὰν θέλωσι μαρτυρεῖν, ὅτι κατὰ „τὴν ἀκριβεστάτην αἵρεσιν τῆς ἡμετέρας θρησκείας ἔζησα φαρισαῖος. ὃ λέγει τοῦτό ἐστι· πῶς ἂν στασιαστὴς ἐγενόμην, νέος τοιοῦτος ὢν καὶ μαρτυρούμενος ὑπὸ πάντων; εἶτα καὶ ἀπὸ τῆς αἱρέσεως ἡ πίστις οὗ εἶπεν. ἐπάγει γάρ· κατὰ τὴν ἀκριβεστάτην αἵρεσιν τῆς θρησκείας ἔζησα. καὶ ἐπεὶ πάλιν εἰκὸς ἦν τινας εἰπεῖν· τί οὖν εἰ ἡ μὲν αἵρεσις θαυμαστή, σὺ δὲ πονηρός; ὅρα πῶς τὸ ὁρμῶν θεραπεύει· μάρτυρας γὰρ καλεῖ πάντας τοὺς Ἰουδαίους τοὺς γινώσκοντας τὸν αὐτοῦ βίον καὶ τὴν ἀναστροφήν. ἴσασι γάρ, φησι, πάντες Ἰουδαῖοι, προγινώσκοντές με ἄνωθεν, ἐὰν θέλωσι „μαρτυρεῖν. καὶ νῦν ἐπ' ἐλπίδι τῆς πρὸς τοὺς πατέρας ἡμῶν γενομέ„νης ἐπαγγελίας ὑπὸ τοῦ Θεοῦ, ἕστηκα κρινόμενος, εἰς ἣν τὸ δωδεκάφυ„λον ἡμῶν ἐν ἐκτενείᾳ νύκτα καὶ ἡμέραν λατρεῦον, ἐλπίζει καταντῆ„σαι, περὶ ἧς ἐλπίδος ἐγκαλοῦμαι, βασιλεῦ Ἀγρίππα ὑπὸ Ἰουδαί„ων. τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; δύο τίθησι περὶ ἀναστάσεως λογισμούς· ἕνα μὲν τὸν ἀπὸ προφητῶν, καὶ οὐ παράγει προφήτην, ἀλλ' αὐτὴν τῶν Ἰουδαίων τὴν δόξαν. ἄλλον δὲ τὸν καὶ ἰσχυρότερον τὸν ἀπὸ πραγμάτων. ποῖον δὴ τοῦτον, ὅτι διελέχθη αὐτῷ ὁ Χριστὸς ἀναστὰς ἐκ νεκρῶν. καὶ κατασκευάζει καὶ τοῦτον ἀπὸ λογισμῶν, τὴν προτέραν αὐτοῦ μανίαν διηγούμενος ἀκριβῶς. εἶτα καὶ μετ' ἐγκωμίου τῶν Ἰουδαίων· νύκτα καὶ ἡμέραν λατρεῦον ἐλπίζει, φησι, καταντῆσαι. ὥστε εἰ μὴ ἀλήπτου βίου ἤμην, ὑπὲρ τούτων οὐκ ἔδει κρίνεσθαι, βασιλεῦ Ἀγρίππα. εἶτα καὶ ἄλλος λογισμός· τί ἄπιστον κρίνεται παρ' ὑμῖν, εἰ ὁ Θεὸς νεκροὺς ἐγείρει; εἰ γὰρ μὴ τοιαύτη δόξα ἦν, εἰ γὰρ μὴ ἀνατεθραμμένοι ἦσαν ἐν τούτοις τοῖς δόγμασι, νῦν δὲ εἰσεφέρετο, ἴσως οὐκ ἂν ἐδέξατό τις τὸν λόγον. εἶτα λέγει πῶς ἐδίωκε. καὶ τοῦτο κατασκευαστικόν· καὶ τοὺς ἀρχιερεῖς παράγει μάρτυρας, καὶ τὰς ἔξω πόλεις, καὶ ὅτι ἤκουσε λέγοντος αὐτῷ, σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἔπειτα δείκνυσι καὶ τοῦ Θεοῦ φιλανθρωπίαν,

HOMILIA LII.

A *Postero autem die quum venisset Agrippa & Bernice, cum multo apparatu, & ingressi essent in auditorium cum tribunis & viris principalibus civitatis, jubente Festo adductus est Paulus.*

Vide quale auditorium congregatur Paulo, cum viris principalibus civitatis. Princeps enim & Rex stipatoribus suis omnibus congregatis occurrunt, & cum ipsis tribuni & primi civitatis affuerunt. Hoc enim vocat principales & τοὺς κατ'
B ἐξοχὴν, id est eos qui in excellentia. Deinde & Paulus adducitur, & vide quomodo ipse ductus prædicatur à Festo: non solum non accusat criminum, sed etiam pro eo rationem reddit, & quid dicit? *Agrippa Rex, & omnes qui simul adestis nobiscum viri. Videtis hunc hominem, de quo omnis multitudo Judæorum interpellavit me & in Hierusalem, & hic, acclamantes non oportere eum amplius vivere. Ego verò comperi eum nihil morte dignum admisisse. Cæterum quum ille appellarit Augustum, statui mittere*
C *eum, de quo quid certum scribam Domino, non habeo. Quapropter produxi eum ad vos, & maximè ad te, Rex Agrippa. Iniquum enim mihi videtur mittere vinctum, & crimina de quibus accusatur, non significare.* Vide quomodo illos quidem accusat, hunc autem absolvit. O justitiæ abundantia testimonia, ut condemnet non invenit Princeps, etiam plurima inquisitione facta. Illi autem hunc morte dignum esse dicebant: *Ego verò comperi*, inquit, *nihil dignum morte fecisse illum. De quo quid certum scribam*
D *Domino, non habeo.* Et hoc ad candorem Pauli pertinet, quod judex non habeat aliquid de illo scribendum. *Quapropter produxi illum ad vos. Iniquum enim mihi videtur esse mittere vinctum, & crimina de quibus accusatur non significare.* Vide in quam magnas angustias Judæi principes immiscuerint. Quid igitur Agrippas? de his volens aliquid discere, dicebat.

Permittitur tibi pro te loqui. Magno audiendi desiderio, ut dicat adhortatur Rex. Paulus autem nunc magna libertate loqui- Cap. XXVI.
E tur, non assentans, sed propter hoc beatum se esse dicens quod loquatur ei qui omnia sciat, & quod propter hoc, nam & hoc prætendit, dicens: *Tunc Paulus extenta manu, rationem reddebat: Super omnibus de quibus accusor à Judæis, Rex Agrippa, existimo me beatum, qui coram te rationem redditurus sum hodie, quum tu maximè sis gnarus Judaicarum & consuetudinum, & quæstionum. Quapropter, obsecro, ut me longanimiter audias.* Profectò si malè sibi conscius fuisset, turbari oportebat quod loqueretur apud
A eum qui omnia sciat: sed hoc à pura conscientia proficiscitur, non declinare judicem probè omnia scientem quæ facta sunt, & gaudere. *Quapropter obsecro, ut me longanimiter audias.* Quoniam sermonem erat producturus & aliquid de seipso dicturus, propter hoc præoccupans obsecrabat, ac dicit: *Itaq; vitam quidem meam, quam egi ab adolescentia, quæ ab initio fuit in gente mea in Hierusalem, noverunt omnes Judæi, qui prius noverant me ab initio, si velint testimonium ferre quod secundùm exquisitissimã sectam*
B *nostra religionis vixerim Pharisæus.* Vult dicere: Quomodo seditiosus fuissem, qui talis fui adolescens, taleq; habeo testimonium ab omnibus? Deinde & à secta probationem addit: *Secundum exactissimam, inquit sectam religionis vixi.* Et quoniam iterum verisimile quosdam dicere: Quid si secta quidem admirabilis, tu autem malus? vide quomodo objectionem castigat, testes dicens omnes Judæos, qui ipsius vel vitam vel conversationem norunt. *Sciunt enim omnes Judæi: qui prius noverunt me ab initio, si velint*
C *testimonium ferre. Et nunc spe repromissionis fretus, quæ ad patres nostros facta est à Deo, sto judicio subjectus, ad quam duodecim tribus nostra instanter nocte ac die colentes Deum sperant se perventuras, de qua spe accusor, ô Rex, à Judæis. Cur incredibile judicatur apud vos si Deus mortuos suscitat:* Duas rationes de resurrectione ponit, unam quidem à Prophetis, & non adducit Prophetam, sed illam Judæorum esse opinionem dicit: alteram autem & fortiorem quæ à rebus ipsis. Qualis igitur hæc? quia dicebat Christum
D à mortuis resurrexisse, & instruit etiam illam rationibus, enarrans primùm suam insaniam diligenter, deinde etiam cum laude Judæorum. *Nocte & die serviendo sperant*, inquit, *se perventuras.* Et ita licet non essem vitæ irreprehensibilis, propter hæc non oportebat judicari, ô Rex Agrippa. Subditur & alia ratio: *Cur incredibile judicatur apud vos, si Deus excitet mortuos?* An non hæc opinio viget? Si enim in hoc dogmate non educati fuissent, nunc autẽ intentaretur ut crimẽ, forsan quis jure sermonẽ non recepisset.
E Mox dicit, quomodo persequebatur, habet etiam hoc artificium. Et Sacerdotum Principes adducit testes, & externas civitates, & quod audierit dicentem sibi: *Durum est tibi contra stimulum calcitrare.* Deinde ostendit etiam misericordiam Dei,

etiam quum persequeretur ipsum Saulus, ei apparuit, & non mihi soli benefecit, sed etiam aliis misit doctorem. Ostendit autem & Prophetiam quam audivit: In hoc apparui tibi, eripiens te ex populo & Gentibus, ad quas te mitto. Hæc omnia ostendens dicebat: *Et ego quidem existimabam me adversus nomen Jesu Nazareni multa repugnando facturum, quod & feci Hierusalem, & multos Sanctorum ego carceribus inclusi potestate accepta, & quum occiderentur, detuli sententiam. Et per omnes Synagogas frequenter puniens eos compellebam blasphemare: & amplius insaniens in eos, persequebar etiam usque in exteras civitates. Quarum rerum studio quum irem Damascum, authoritate & permissu Principum Sacerdotum, die medio, Rex, in via vidi è cælo supra splendorem Solis, circumfulsisse me lumen, & eos qui mecum faciebant iter. Quum autem omnes nos decidissemus in terram, audivi vocem loquentem ad me, ac dicentem Hebraica lingua: Saule, Saule, quid me persequeris? Durum est tibi contra stimulos calcitrare. Ego autem dixi: Quis es Domine? At ille dixit: Ego sum Jesus quem tu persequeris. Sed exurge, & sta super pedes tuos. Ad hoc enim apparui tibi, ut constituam te ministrum ac testem & eorũ quæ vidisti, & eorum in quibus apparebo tibi, eripiens te à populo & Gentibus ad quas te mitto, ut aperias oculos eorum, ut convertantur à tenebris ad lucem, & à potestate Satanæ ad Deum ut accipiant remissionem peccatorum, & sortem inter eos qui sanctificati sunt per fidem quæ est erga me.* Considera quam mansuetè loquitur. Deus, inquit, *dixit ad me, quia apparui tibi ut constituam te ministrum ac testem & eorum quæ vidisti, & eorum in quibus apparebo tibi, eripiens te à populo ac Gentibus ad quas te mitto, ut aperias oculos eorum, ut convertantur à tenebris ad lucem, & à potestate Satanæ ad Deum, ut accipiant remissionem peccatorum.* Quasi diceret, his credidi, hac visione me adduxit, & sic persuasit ut nihil differrem. *Unde Rex Agrippa, non fui inobediens cælesti visioni, sed his qui sunt Damasci & Hierusalem, & per omnem regionem Judææ, deinde & Gentibus annunciabam ut pœnitentiam agerent, & converterentur ad Deum, opera facientes digna his qui pœnitentiam egissent.* Igitur ipse etiam alios erudiens vitam optimam, quomodo seditionis & contentionis, inquit, fuissem author? *Hac ex causa Judæi comprehensum me in templo tentaverunt interficere. Auxilium igitur nactus Dei usque in hodiernum diem, sto testificans tum parvo, tum magno, nihil aliud dicens, quàm ea quæ Prophetæ prædixerant futura esse, & Moses, an passurus fuerit Christus, an primus ex resurrectione mortuorum lumen annunciaturus sit populo & gentibus.* Vide ut sermo ejus adulatione careat, & totum adscribat Deo. Vide & libertatem sermonis. Sed neque nunc desisto. Vide certitudinem, à Prophetis enim confirmor, an passurus fuerit Christus, an primus ex resurrectione lumen annunciaturus. Quia *primus Christus surgens, jam non moritur*: manifestum ex hoc quod omnibus denunciat, & de se ipsis hoc expectant. Deinde Festus ut vidit libertatem, quoniam ad Regem loquebatur, non avertens se aspectu ejus, quasi passus esset quippiam, dicit: *Insanis Paule.* Quòd autem hoc passus sit, audi cætera: *Hæc autem illo disserente, Festus magna voce dicebat: Insanis Paule; multæ te literæ ad insaniam converterunt.* Quid igitur Paulus? cum mansuetudine respondens, inquit, *Non insanio, potentissime Feste, sed veritatis ac sobrietatis verba loquor.* Postea etiam causam docet, propter quam ad Regem sermonem convertit. *Scit enim de his Rex apud quem & liberè loquor, latere enim eum nihil horum arbitror. Non est enim in angulo hoc gestum. Credis Rex Agrippa Prophetis? Scio quòd credis.* Hoc sic dixit, quasi detrahens & dicens ad illos: Scio quod omnia scit exactè, & oportebat quidem primos vos hæc scire. Id enim sequentia declarant. Non est in angulo actum hoc, sed non voluistis. *Credis Rex Agrippa Prophetis? Scio quod credis. Agrippa autem ad Paulum dicebat: In parvo persuades me fieri Christianum. Paulus vero dixit: Optarim à Deo non solum in parvo verum etiam in magno, non te modo sed omnes etiam qui me audiunt hodie fieri tales qualis ego sum, exceptis hisce vinculis.* Vide quomodo precatur, dicens: *Optarim ego à Deo in parvo*, hoc est, propter exiguum. Et non simpliciter orat sed extendit orationem. *Tales*, inquit, *opto fieri omnes, non solum te, qualis & ego sum.* Deinde apponit: *Exceptis vinculis istis*; Non moleste ferens propter vincula, neque erubescens propter quod ligatus erat. Hoc enim erat ei quasi aliud quiddam gloria dignum, sed ad illorum suspicionem respiciens hoc dixit, propterea addidit:

Supt. 8, 1.

Rom. 6, 9.

A ὅτι καὶ διωκόμενος ὤφθη, καὶ ὅτι οὐκ ἐμὲ μόνον εὐηργέτησεν, ἀλλὰ καὶ ἑτέροις ἔπεμψε διδάσκαλον. δείκνυσι δὲ καὶ τὴν προφητείαν ἣν ἤκουσεν. εἰς τοῦτο ὤφθην σοι ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν εἰς οὓς ἐγώ σε ἀποστέλλω. ταῦτα πάντα δεικνὺς ἔλεγεν· ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα τοῦ Ναζωραίου δεῖν πολλὰ ἐναντία πρᾶξαι, ὃ καὶ ἐποίησα ἐν Ἱεροσολύμοις, καὶ πολλοὺς τῶν ἁγίων ἐγὼ φυλακαῖς κατέκλεισα, τὴν παρὰ τῶν ἀρχιερέων ἐξουσίαν λαβών. ἀναιρουμένων B τε αὐτῶν κατήνεγκα ψῆφον, καὶ κατὰ πάσας τὰς συναγωγὰς πολλάκις τιμωρῶν αὐτοὺς ἠνάγκαζον βλασφημεῖν, περισσῶς τε ἐμμαινόμενος αὐτοῖς, ἐδίωκον ἕως καὶ εἰς τὰς ἔξω πόλεις. ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ᾽ ἐξουσίας καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν ἀρχιερέων, ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον, βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ ἡλίου περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα C φωνὴν λαλοῦσαν πρός με καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ, Σαοὺλ, Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. ἐγὼ δὲ εἶπον· τίς εἶ Κύριε; ὁ δὲ εἶπεν· ἐγώ εἰμι Ἰησοῦς ὃν σὺ διώκεις. ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου. εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ καὶ τῶν ἐθνῶν εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξου- D σίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. σκόπει πῶς ἡμέρως διαλέγεται. ὁ Θεός, φησιν, εἶπε πρός με ὅτι ὤφθην σοι προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες ὧν τε ὀφθήσομαί σοι, ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ, καὶ τῶν ἐθνῶν εἰς οὓς ἐγώ σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ τὸν Θεόν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν. ὡσεὶ ἔλε- E γε· τούτοις ἐπείσθην, ταύτῃ τῇ ὀπτασίᾳ με ἐπηγάγετο, καὶ οὕτως ἔπεισεν, ὥστε μὴ ἀναβάλλεσθαι. ὅθεν βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον καὶ Ἱεροσολύμοις εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν ἀπαγγέλλων μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεόν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας. ὁ τοίνυν καὶ τοὺς ἄλλους παιδεύων περὶ βίου ἀρίστου, πῶς ἂν αὐτὸς στάσεως, καὶ φιλονεικίας, φησὶν, ἀρχηγὸς γέ- A γονα; ἕνεκα τούτων οἱ Ἰουδαῖοί με συλλαβόμενοι ἐν τῷ ἱερῷ, ἐπειρῶντο διαχειρίσασθαι. ἐπικουρίας οὖν τυχὼν τῆς παρὰ τοῦ Θεοῦ ἄχρι τῆς ἡμέρας ταύτης, ἕστηκα μαρτυρόμενος μικρῷ τε καὶ μεγάλῳ, οὐδὲν ἐκτὸς λέγων, ὧν τε οἱ προφῆται ἐλάλησαν μελλόντων γίνεσθαι καὶ Μωσῆς· εἰ παθητὸς ὁ Χριστός· εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν τῷ τε λαῷ καὶ τοῖς ἔθνεσι. ὅρα πῶς ἐκτὸς κολακείας ἐστὶν ὁ λόγος αὐτοῦ, καὶ τὸ πᾶν ἐπιγράφει τῷ B Θεῷ. εἶτα ἡ παρρησία, ἀλλ᾽ οὐδὲν ἀφίσταμαι, καὶ τὸ ἀσφαλές· ἀπὸ γὰρ προφητῶν ἰσχυρίζομαι· εἰ παθητὸς ὁ Χριστός· εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν. αὐτοὶ ἔλεγον· ὅτι πρῶτος ὁ Χριστὸς ἀναστὰς οὐκέτι ἀποθνήσκει, δῆλον ἐκ τοῦ πᾶσι καταγγέλλειν τοῦτο καὶ εἰς ἑαυτοὺς προσδοκᾶν. εἶτα τὴν παρρησίαν ὁ Φῆστος ἰδών, ἐπειδὴ πρὸς τὸν βασιλέα διελέγετο, μὴ μεθιστάμενος τοῦ πρὸς αὐτὸν ἀποβλέπειν, ὥσπερ ἔπαθέ τι, καί φησι· μαίνῃ Παῦλε. ὅτι δὲ παθὼν C τοῦτο λέγει, ἄκουε τῶν ἑξῆς. ταῦτα δὲ αὐτοῦ διαλεγομένου, ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη· μαίνῃ Παῦλε· τὰ πολλά σε γράμματα εἰς μανίαν περιτρέπει. τί οὖν ὁ Παῦλος; μετὰ ἐπιεικείας ἀποκρινόμενος· οὐ μαίνομαι, φησι, κράτιστε Φῆστε, ἀλλὰ ἀληθείας, καὶ σωφροσύνης ῥήματα ἀποφθέγγομαι. εἶτα καὶ τὴν αἰτίαν διδάσκει, δι᾽ ἣν πρὸς τὸν βασιλέα τὸν λόγον ἀπέστρεψεν. ἐπίσταται γὰρ περὶ τούτων ὁ βασιλεύς, πρὸς ὃν καὶ παρρησιαζόμενος λαλῶ· λανθάνειν γὰρ τοῦτον αὐτόν τι οὐ D πείθομαι οὐδέν· οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο. πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. τοῦτο οὕτως εἶπε μονονουχὶ διασύρων, καὶ λέγων πρὸς αὐτούς· οἶδα ὅτι πάντα οἶδεν ἀκριβῶς. καὶ ἔδει μὲν πρώτους ἡμᾶς ταῦτα εἰδέναι. τὸ γὰρ ἐπαγόμενον τοῦτο δηλοῖ. τὸ, οὐ γάρ ἐστιν ἐν γωνίᾳ πεπραγμένον τοῦτο· ἀλλ᾽ οὐκ ἠθελήσατε. πιστεύεις βασιλεῦ Ἀγρίππα τοῖς προφήταις; οἶδα ὅτι πιστεύεις. ὁ δὲ Ἀγρίππας πρὸς τὸν Παῦλον ἔφη· ἐν ὀλίγῳ με πεί- E θεις Χριστιανὸν γενέσθαι. ὁ δὲ Παῦλος εἶπεν· εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν πολλῷ, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους ὁποῖος κἀγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων. ὅρα πῶς εὔχεται λέγων· εὐξαίμην ἂν ἔγωγε τῷ Θεῷ οὐκ ἐν ὀλίγῳ· τουτέστι παρὰ μικρόν. καὶ οὐχ ἁπλῶς εὔχεται, ἀλλὰ καὶ ἐπιτεταμένως. τοιούτους, φησι, γενέσθαι πάντας, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας, ὁποῖος κἀγώ εἰμι. εἶτα καὶ προστίθησι παρεκτὸς τῶν δεσμῶν τούτων· οὐκ ἀποδυσπετῶν διὰ τὰ δεσμά· οὐδὲ αἰσχυνόμενος διότι ἐδέδετο. τοῦτο γὰρ ἦν αὐτῷ εἴπερ τι ἄλλο, ἄξιον δόξης· ἀλλὰ πρὸς τὴν ἐκείνων ὑπόληψιν ἀφορῶν, οὕτως εἶπε· διὰ τοῦτο προσέθηκε τό,

παρεκτὸς

παρεκτὸς τῶν δεσμῶν τούτων. Ἀλλ' ἴδωμεν ἄνωθεν τὰ ἀνεγνωσμένα. Τῇ οὖν ἐπαύριον εἰσελθόντων εἰς τὸ ἀκροατήριον, κελεύσαντος τοῦ Φήστου, φησὶν, ἤχθη ὁ Παῦλος. Ἀπέστησαν λοιπὸν οἱ Ἰουδαῖοι τῇ ἐφέσει χρησαμένου ἐκείνου, καὶ τότε αὐτοῦ τὸ λαμπρὸν τὸ θέατρον γίνεται. Μετὰ πολλῆς γὰρ τῆς φαντασίας ὁ βασιλεὺς, καὶ πᾶν τὸ πλῆθος τῶν Ἰουδαίων παρῆσαν· οὐχ οἱ μὲν, οἱ δὲ οὔ. Τὸ πλῆθος τῶν Ἰουδαίων, φησὶ, συνέτυχόν μοι, ἔν τε Ἱεροσολύμοις καὶ ἐνθάδε, ἐπιβοῶντες μὴ δεῖν αὐτὸν ζῆν μηκέτι. Ὅρα τὴν μανίαν· ἐβόων δεῖν αὐτὸν ἀποθανεῖν λέγοντες. Ἐντεῦθεν δείκνυσιν ὅτι δικαίως ἐπεκαλέσατο Καίσαρα. Οἱ γὰρ οὐδὲν μὲν εἶχον δίκαιον εἰπεῖν, ἐκεῖνοι δὲ ἐμεμήνεισαν, εἰκότως ἐπ' ἐκεῖνον ἔρχεται. Ὅπως τῆς ἀνακρίσεως ὑφ' ὑμῶν γινομένης, σχῶ τί γράψαι, φησίν. Ὁρᾷς πῶς βασανίζεται πολλάκις τὸ πρᾶγμα, καὶ τῆς ἀπολογίας τοίνυν ταύτης Ἰουδαῖοι αἴτιοι, ἣν ἔμελλον μανθάνειν καὶ οἱ ἐν τῇ Ῥώμῃ. Περὶ πάντων ὧν ἐγκαλοῦμαι βασιλεῦ Ἀγρίππα, ἥγημαι, φησὶν, ἐμαυτὸν μακάριον, μέλλων ἐπὶ σοῦ ἀπολογεῖσθαι. Ὅρα πῶς κήρυκες ἄκοντες καὶ τῆς οἰκείας γίνονται κακίας καὶ τῆς Παύλου ἀρετῆς, καὶ αὐτοῦ τοῦ βασιλέως· ὥστε λαμπρότερον ἀπήγετο Παῦλος, ἢ εἰ χωρὶς δεσμῶν ἀπῆλθεν. Οὐκέτι γὰρ ὡς πλάνος καὶ γόης, τοσούτων αὐτὸν ἀφέντων δικαστῶν ἀπήγετο. Πάντα τοίνυν ἀποδυσάμενος παρ' οἷς ἐτέχθη καὶ ἐτράφη, οὐχ ἁπλῶς, ἀλλ' οὕτω καθαρὸς ὑποψίας ἐπιβαίνει τῆς Ῥώμης. Καὶ οὐκ εἶπε, τί δή ποτε ἅπαξ ἐπικαλεσάμενος Καίσαρα μυριάκις ἐκρίθην· μέχρι πότε; ἀλλὰ τί; πάλιν ἕτοιμος ἦν ὑπέχειν εὐθύνας, καὶ ἐπὶ τοῦ μάλιστα εἰδότος τὰ κατὰ Ἰουδαίους. Διὸ καὶ μετὰ πολλῆς τῆς παρρησίας ἀπολογεῖται, ἅτε οὐκ ὄντων κυρίων τῶν καταδικαζόντων αὐτόν· ὃς, καίπερ οὐκ ὄντων κυρίων, ἀλλὰ τῆς ἀποφάσεως ἐκείνης κρατούσης ὅτι πρὸς Καίσαρα πορεύεται, δίδωσι λόγον ὅμως, καὶ πολλὰς τὰς εὐθύνας περὶ πάντων· οὐ περὶ τῶν μὲν, περὶ τῶν δὲ οὔ. Μονονουχὶ δὲ τοῦτο λέγει δι' ὧν ἀποκρίνεται· ἐγκαλοῦσιν ὑπὲρ στάσεως, καὶ ὅτι τὸν ναὸν ἐβεβήλωσα, περὶ πάντων ἀπολογοῦμαι. Τὴν μὲν οὖν βίωσίν μου τὴν ἐκ νεότητος, ἴσασι πάντες οἱ Ἰουδαῖοι. Ὅτι μὲν οὖν οὐκ ἐμοῦ τρόπου τὸ στάσεις ποιεῖν, αὐτοὶ μάρτυρες οἱ κατήγοροι. Ὃ καὶ πρὸ τούτου λέγει· ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. Τοῦτο καὶ ἐνταῦθα αἰνίττεται, διὰ τοῦ εἰπεῖν τὴν ἐκ νεότητός μου βίωσιν. Καὶ ὅτε ὅλος ὁ δῆμος παρῆν, τότε καλεῖ αὐτοὺς τοὺς μάρτυρας· οὐκ ἐπὶ τοῦ δικαστηρίου δὲ τοῦ Λυσίου τοῦτο ποιεῖ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Φήστου. Καὶ πάλιν ἐνταῦθα ὅτε πλείους παρῆσαν. Ἐκεῖ δὲ οὐ πολλῆς ἀπολογίας ἔδει, τῶν γραμμάτων τοῦ Λυσίου ἀφιέντων αὐτόν. Ἴσασι, φησὶ, πάντες Ἰουδαῖοι προγινώσκοντές με ἄνωθεν. Καὶ οὐ λέγει ποταπὸς αὐτοῦ ὁ βίος· ἀλλ' ἀφίησιν αὐτῶν τῷ συνειδότι, καὶ τὸ πᾶν ἐν τῇ αἱρέσει τίθησι, δεικνὺς ἐντεῦθεν οὐκ ἂν ἑλόμενος αὐτὴν, εἰ πονηρὸς ἦν καὶ μοχθηρός. Ὑπὲρ τῆς αἱρέσεως τοίνυν ταύτης, φησὶν, ἕστηκα κρινόμενος. Αὕτη καὶ παρ' αὐτοῖς πρεσβεύεται, διὰ ταύτην προσεύχονται, διὰ ταύτην λατρεύουσιν, ἵνα ταύτης τύχωσι, ταύτην ἐγὼ καταγγέλλω· καὶ περὶ τῆς ἐλπίδος ταύτης ἐγκαλοῦμαι. Ἆρα μαινομένων ἐστὶ πάντα μὲν ὑπὲρ τοῦ τυχεῖν ταύτης ποιεῖν· τὸν δὲ εἰς ταύτην πιστεύοντα ἐλαύνειν; Ἐγὼ μὲν οὖν ἔδοξα ἐμαυτῷ πρὸς τὸ ὄνομα Ἰησοῦ Χριστοῦ Ναζωραίου, φησὶ, δεῖν πολλὰ ἐναντία πρᾶξαι· τουτέστιν, ὅτε μὲν ταῦτα ἐποίουν, οὐκ ἤμην τῶν μαθητῶν τοῦ Χριστοῦ, ἀλλὰ τῶν πολεμούντων αὐτῷ ὑπῆρχον. Ὅθεν καὶ ἀξιόπιστος γίνεται μάρτυς, ὅτι ὁ μυρία ποιῶν, καὶ πολεμῶν τοὺς πιστεύοντας, καὶ πείθων βλασφημεῖν, καὶ πάντα κινῶν, πόλεις, ἄρχοντας, καὶ δι' ἑαυτοῦ ταῦτα πράττων, οὕτως ἐξαίφνης μεταβέβληται. Εἶτα πάλιν μάρτυρες οἱ συνόντες· εἶτα δείκνυσιν ἑαυτὸν δικαίως πεισθέντα· ἀπό τε τοῦ φωτὸς, ἀπό τε τῶν προφητῶν, ἀπό τε τῆς ἐκβάσεως, ἀπό τε τῶν νῦν γεγενημένων. Ἐπήγαγε γάρ· ἡμέρας μέσης κατὰ τὴν ὁδὸν εἶδον περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Ὅρα γοῦν πῶς καὶ ἀπὸ τῶν προφητῶν, καὶ ἀπὸ τούτων αὐτοὺς πιστοῦται. Ἵνα γὰρ μὴ δόξῃ καινοτομεῖν, καίτοι ἔχων μεγάλα εἰπεῖν, πάλιν ἐπὶ τοὺς προφήτας καταφεύγει, καὶ τὰ αὐτῶν μέσον τίθησι. Τοῦτο μὲν οὖν ἀξιοπιστότερον ἅτε νεωστὶ γινόμενον· ἀλλ' ἐπειδὴ μόνος εἶδε, πάλιν αὐτὸ ἀπὸ τῶν προφητῶν πιστοῦται. Καὶ ὅρα αὐτὸν οὐχ ὁμοίως διαλεγόμενον ἐν δικαστηρίῳ, καὶ ἐν ἐκκλησίᾳ· ἐκεῖ μὲν οὖν λέγει ὅτι καὶ ἀνείλετε· ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ὥστε μὴ πλέον ἐκκαῦσαι τὸν θυμόν· ἀλλὰ τὸ αὐτὸ δείκνυσιν εἰπὼν, εἰ παθητὸς ὁ Χριστός. Οὕτως ἀφίησιν αὐτοὺς ἐγκλημάτων. Ὅπερ οὖν ἐγὼ καταγγέλλω, εἰ ἀνέστη πρῶτος ἐκ τῶν νεκρῶν, ἐκ τῶν προφητῶν δείκνυμι· καὶ γὰρ καὶ οἱ προφῆται τοῦτο καταγγέλλουσιν. Οὐκοῦν δέξασθε τὸν λόγον ὡς τὸν αὐτὸν ὄντα τῶν προφητῶν. Ἐπειδὴ δὲ εἶπε τὴν ὄψιν, λοιπὸν καὶ μετὰ ἀδείας καὶ τὰ κατορθώματα λέγει. Ποῖα ταῦτα; Τοῦ ἀνοῖξαι αὐτῶν, φησὶν, ὀφθαλμοὺς, καὶ ἀποστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ τὸν Θεόν. Εἰς τοῦτο γὰρ ὤφθην σοι· τουτέστιν, οὐχ ὥστε κολάσαι, ἀλλ' ὥστε Ἀπόστολον ποιῆσαι. Ὅρα· τὰ συνέχοντα κακὰ τοὺς ἀπίστους δείκνυσι, τὸν Σατανᾶν, τὸ σκότος· ὥσπερ καὶ τὰ ἀγαθὰ τῶν πιστῶν τὸ φῶς, τὸν Θεὸν, τὸν κλῆρον τῶν ἁγίων. Καὶ οὐχ ἁπλῶς μετανοεῖν προτρέπει· ἀλλὰ καὶ βίον ἐπιδείκνυσθαι θαυμαστόν.

Exceptis vinculis his. Sed videamus iterum quæ dicta sunt: *Postero igitur die, ut in auditorium ingressi sunt, jubente Festo adductus est Paulus.* Destiterant jam Judæi ob illius appellationem, & tunc clarum fit spectaculum. Cum multo enim apparatu Rex & omnis multitudo Judæorum affuerunt, non illi quidem, & alii non, sed omnes. *Multitudo Judæorum*, inquit, *omnis interpellavit me Hierosolymis & hic, acclamantium non decere hunc ultra vivere.* O insaniam! clamabant, oportere illum mori dicentes. Hinc ostendit, quod justè appellarit Cæsarem. Quandoquidem nihil poterant illi dicere, sed insaniebant, merito ad illum vadit. *Ut examinatione à vobis facta habeam quod scribam*, inquit. Vides quod sæpe causa examinatur, & defensionis hujus authores sunt Judæi, quam cognituri erant etiam Romæ. *Super omnibus de quibus accusor Rex Agrippa*, inquit, *censeo me beatum, qui coram te rationem redditurus sum.* Vide quomodo involuntarii & suæ malitiæ, & virtutum præcones fiunt etiam apud Regem, ita ut magnificentius adducatur Paulus, quam si absque vinculis venisset. Non ultra enim ut seductor ac præstigiator, postquam à tantis judicibus dimissus fuit, adducebatur. Igitur omnibus relictis apud quos educatus & natus fuit, non simpliciter, sed ab omni suspicione purus Romam vadit. Et non dixit: Quidnam, semel appellavi Cæsarem, sæpissime examinatus sum, quamdiu examinabor? Sed quid? Iterum paratus est reddere rationem, etiam apud eum cui res Judaicæ maximè notæ erant. Proinde & cum magna libertate loquitur, utpote jam in ipsum nullum habentibus dominium, qui in judicium traxerant: & quamvis non essent ultra Domini, sed prævalebat appellationis vis, de omnibus tamen copiosè rationem reddit, & non de illis dicit, & alia omittit. Et ferè hæc in responsione sua dicit. Accusant ut seditiosum, accusant ut hæreticum, & quod templum profanavi, & de omnibus rationem reddo. Itaque vitam quidem meam ab adolescentia, sciunt omnes quidem Judæi. Unde ipsi accusatores testes sunt, abhorrere mores meos à seditionibus. Quod etiam ante hoc dicit: *Sectator existens paternarum traditionum*, id & hic insinuat, dicens: *Vitam meam ab adolescentia.* Gal. 1, 14. Et quando omnis populus aderat, invocabat illorum testimonium: non autem facit hoc solum apud Lysiam, sed etiam apud Festum. Et iterum hoc loco quando plurimi aderant. Illuc autem non multa defensione opus erat defendentibus ipsum Lysiæ literis. *Sciunt omnes Judæi, qui antea me cognoverunt.* Et non dicit qualis sua vita, sed relinquit illorum conscientiæ & arbitrio. Rem autem totam in sectam rejicit, ostendens hinc, quod eam non delegisset, si malus esset ac improbus. *Propter resurrectionem igitur istam sto judicio subjectus.* Ista & apud illos in precibus petitur, propter hanc orant, propter hanc Deum colunt, ut hanc assequantur, hanc ego annuncio, & de spe hac accusor. Nonne insanientium est, omnia quidem facere, ut hanc assequaris, eum autem qui in illam credit fugare? *Itaque ego censebam contra nomen Domini Jesu Nazareni oportere multa facere*, hoc est, censeo quod cum hæc facerem, non eram discipulus Christi, sed hostis potius. Unde & fide dignus fit testis, quod plurima faciens & expugnans credentes, & suadens blasphemias, & omnia movens, civitates & Principes, & per seipsum hæc faciens, repentè mutatus est. Deinde iterum testes qui simul aderant ponit. Mox ostendit se justè ac meritò credidisse, & à luce & à Prophetis, & ab eventu, & ab his quæ nunc facta. Subdidit enim: *In meridie vidi circumfulgentem me, & eos qui mecum erant, lucem.* Vide saltem quomodo, & à Prophetis, & ab his fidem illis facit, ne videatur nova afferre, quamvis magna posset dicere, iterum ad Prophetas confugit, & ea in medio ponit. Igitur hoc quidem credibilius, utpote nuper factum: sed quoniam solus vidit, denuò Prophetarum authoritate confirmat. Et vide quod ipse non similiter in judicio & Ecclesia agit, nam illic quidem dicit, *quod occidistis*: hic autem nihil tale, ne scilicet magis furorem illorum succendat: at istuc ipsum ostendens ut dixit, an passurus Christus, à crimine illos liberat. Igitur id quod ego annuncio, num resurrexerit à mortuis, à Prophetis ostendo. Etenim & Prophetæ hoc annunciant. Igitur sermonem qui idem est cum Prophetarum dictis suscipite. Quoniam autem visionem dixerat, nunc etiam audacius opera dicit. Et qualia hæc? *ut aperias*, inquit, *oculos, & convertaris à tenebris ad lucem, & à potestate Satanæ ad Deum. Ad hoc enim apparui tibi*, inquit, *non ut puniam, sed ut Apostolum te faciam.* Vide, ostendit mala quibus increduli constringuntur, Satanam & tenebras? sicut & bona credentium, lucem, Deum, ac sortem sanctorum. Et non simpliciter hortatur ad pœnitentiam, sed vult ut etiam admirabilis vita agatur. Vide

Vide etiam ubique Gentes commemoratas in sermone, nam qui aderant, ex Gentibus erant. *Testificans*, inquit, *tum parvo, tum magno*: hoc est, nobili ac ignobili. Hoc etiam propter milites dixit. Postea relicto defensionis negotio ad docendum ingreditur. Unde etiam Festus illi dicit: *Insanis*. Mox ne videatur ipse doctor esse, adducit Prophetas ac Mosem. *An passurus*, inquit, *Christus, an primus ex resurrectione mortuorum lucem annunciaturus sit populo ac Gentibus. Festus magna voce inquit.* Adeò furore & ira vox illa erat plena. Quid igitur Paulus? *Non est*, inquit, *in angulo hoc gestum*. Hic dicit de cruce & resurrectione, & quod dogma hoc in totum orbem emanarit. *Credis*, inquit, *Rex Agrippa?* Non dixit resurrectioni: sed, *Prophetis*. Deinde præoccupat illum, ac dicit: *Scio quod credis*. Ad quem etiam Agrippa: *In parvo me persuades fieri Christianum*. Non intellexit Paulus quid sit, *in parvo*: putavit quod ex parvo: unde & ad hoc respondet, tam idiota erat. Et non dixit, vellem: sed *optarim*: & precor non solum *te*, sed etiam *omnes audientes*. Vide sermonẽ ab adulatione liberum. *Precor*, inquit, *hodie omnes fieri tales, qualis ego sum exceptis vinculis istis*. Vide qui gloriatur vinculis, qui profert illa sicut catenam auream, is canunc deprecatur. Et ne miteris: infirmiores adhuc erant, & attemperabat illis sermonem: alioqui quod vincula magnifacit, audi quoniam semper in epistolis omnibus præponit aliis, dicens:

Eph. 3. 1. 2. Tim 1,8. Ib. 2, 9

Paulus vinctus Jesu Christi. Et iterum: *Hujus gratia circumposita est catena, sed sermo Domini alligatus non est*. Et, *usque ad vincula quasi malefactor*. Vide non solum vincula, sed etiam quod ut malefactor habitus proposuit amplificans vinculorum gloriam. Duplex autem pœna, & quod ligatus erat & quod ut impostor. Nam si quidem vinctus esset, utpote bene agens, consolationem quandam habuisset: nunc autem ut malefactor, & in malis deprehensus. attamen nihil hæc curabat. Talis est anima, cœlesti amore sublimis: nam cùm ii qui fœdis amoribus capiuntur, nihil putant vel gloriosum, vel preciosum, quam quod ipsorum concupiscentiis servit: id enim solum gloriosum ac honestum putant, amasia fit eis omnia: multo magis qui tali amore flagrant nihili faciunt preciosa. Si autem non consideramus quæ dicuntur, haud mirum est. Imperiti enim sumus hujus Philosophiæ. Qui enim igne Christi captus fuerit, talis fit, qualis esset homo solus super terram habitans, adeò nihil eutæ ei est gloria & ignominia? sed quemadmodum si solus habitaret, nihil curaret, ita & talis quoque non curaret. Tentationes autem sic contemnit ac flagella & carceres, quasi in alieno corpore pateretur, vel quemadmodum si adamantinum possideret corpus. Ea autem quæ suavia sunt in hac vita, ita ridet & non sentit, sicut nos vel ipsi mortui corpora mortua. Tantum autem abest ne ab affectione quadam capiantur: quantum aurum, quod igne probatur à macula abscedit. Et sicut muscæ non in medium flammæ incidunt, sed fugiunt; ita & affectiones illis accedere non audent. Et vellem horum exempla vobis proponere possem, quoniam autem inopes sumus, necesse est ad illum ipsum confugiamus. Vide igitur ut ille erga totum mundum affectus fuerit:

Gal. 6 14.

Mihi mundus, inquit, *crucifixus est, & ego mundo*: hoc est mortuus. Et iterum:

Ib. 2, 20.

Vivo autem non jam ego, vivit autem in me Christus. Hoc solius Pauli fuerit dicere, nos autem in tantum absumus, quantum cœlum à terra. Unde nostrum erat, ut præ verecundia nos abscondamus, & neque os aperire audeamus. Quod autem præsentia quasi in solitudine esset, spectabat, audi illum dicentem:

2. Cor. 4, 18

Non considerantibus nobis quæ videntur, sed quæ non videntur. Quid dicis? Nónne pugnant verba ista? Invisibilia enim non videmus, visibilia autem videmus. Quales habebas oculos, tales sunt qui à Christo dati. Sicut enim hi visibilia quidem vident, invisibilia autem non vident, ita illi contra; nullus invisibilia videns, visibilia videt: nullus visibilia videns, invisibilia. Nónne etiam nobiscum hoc fit? Quando enim collecta mente cogitamus aliquid invisibile, sublimes nobis fiunt efficaces illi oculi. Contemnamus gloriam, rideri velimus magis quàm laudari: nam qui ridetur quidem, nihil incommodatur; qui autem laudatur, multum. Ne magnifaciamus ea quæ homines terrent, sed quemadmodum de his qui pueros terrent, sentimus, eos enim non admiramur: nam quisquis terret, pueros terret. Virum enim terrere nullus potest. Et quemadmodum terrentes supercilia surrigunt, vel aliter vultum distorquent, ut torvè videant; at sanum & mansuetum oculum habentes facere hoc non possent:

καὶ ὅρα πανταχοῦ τὰ ἔθνη συμπεπλεγμένα τῷ λόγῳ· οἱ γὰρ παρόντες, ἐξ ἐθνῶν ἦσαν. μαρτυρούμενος, φησὶ, μικρῷ τε καὶ μεγάλῳ. καὶ διὰ τοὺς στρατιώτας οὕτως εἶπεν. εἶτα ἀφεὶς τὴν τάξιν τοῦ ἀπολογουμένου, τὴν τοῦ διδασκάλου ἔλαβε. διὸ καὶ ὁ Φῆστός φησι πρὸς αὐτόν· μαίνῃ. εἶτα ἵνα μὴ δόξῃ αὐτὸς διδάσκαλος εἶναι, ἐπάγει τοὺς προφήτας, τὸν Μωσέα· εἰ παθητὸς, φησὶν, ὁ Χριστὸς, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν, φῶς μέλλει καταγγέλλειν ἐν τῷ τε λαῷ, καὶ τοῖς ἔθνεσιν. ὁ Φῆστος μεγάλῃ τῇ φωνῇ ἔφη. οὕτω θυμοῦ ἦν καὶ ὀργῆς ἡ φωνή. τί οὖν ὁ Παῦλος; οὐ γάρ ἐστι, φησὶν, ἐν γωνίᾳ πεπραγμένον τοῦτο. ἐνταῦθα περὶ τοῦ σταυροῦ λέγει τοῦτο, περὶ τῆς ἀναστάσεως, καὶ ὅτι πανταχοῦ τῆς οἰκουμένης γέγονε τὸ δόγμα. πιστεύεις βασιλεῦ, φησὶν, Ἀγρίππα; οὐκ εἶπε τῇ ἀναστάσει, ἀλλὰ τοῖς προφήταις. εἶτα προκαταλαμβάνει αὐτὸν, καί φησιν· οἶδα ὅτι πιστεύεις. πρὸς ὃν καὶ ὁ Ἀγρίππας, ἐν ὀλίγῳ με πείθεις Χριστιανὸν γενέσθαι. οὐκ ἐνόησεν ὁ Παῦλος τί ἐστιν ἐν ὀλίγῳ, ἀλλ' ἐνόμισεν ὅτι ἐξ ὀλίγου. διὸ καὶ πρὸς τοῦτο ἀποκρίνεται. οὕτως ἰδιώτης ἦν. καὶ οὐκ εἶπεν οὐ βούλομαι, ἀλλ' εὐχόμην, οὐ μόνον σε, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντας. ὅρα κολακείας ἀπηλλαγμένον τὸν λόγον. εὐχόμαι, φησὶ, σήμερον γενέσθαι πάντας τοιούτους ὁποῖος, καὶ ἐγώ εἰμι παρεκτὸς τῶν δεσμῶν τούτων. ὅρα· ὁ καυχώμενος ἐπὶ τοῖς δεσμοῖς, ὁ περιφέρων αὐτοὺς καθάπερ ἅλυσιν χρυσῆν, τούτοις ἀπεύχεται νῦν. καὶ μὴ θαυμάσῃς. ὅτι γὰρ ἀσθενέστερον διέκειντο, καὶ συγκαταβατικώτερος ἦν ὁ λόγος αὐτοῦ. ἐπεὶ ὅτι τὰ δεσμὰ βέλτιον ἡγεῖτο, ἄκουε πῶς ἀεὶ ἐν ταῖς ἐπιστολαῖς πάντων προτίθησι τῶν ἄλλων, λέγων· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ· καὶ πάλιν, τούτου χάριν τὴν ἅλυσιν περίκειμαι· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. καὶ μέχρι δεσμῶν ὡς κακοῦργος. ὅρα οὐχὶ δεσμῶν μόνον, ἀλλὰ καὶ ὡς κακοῦργος προσέθηκεν, αὔξων τὴν ἀπὸ τῶν δεσμῶν δόξαν. διπλῆ δὲ ἡ τιμωρία, καὶ ὅτι ἐδέδετο, καὶ ὅτι ὡς κακοῦργος. εἰ μὲν γὰρ οὕτως ἐδέδετο ὡς ἐπ' ἀγαθῷ, ἔφερέ τινα ἂν παραμυθίαν τὸ πρᾶγμα· νῦν δὲ καὶ ὡς κακοῦργος, καὶ ὡς ἐπὶ τοῖς δεινοῖς ἁλούς· καὶ ὅμως οὐδενὸς τούτων ἐφρόντιζε. τοιαύτη ψυχὴ πτερωθεῖσα τῷ οὐρανίῳ ἔρωτι. εἰ γὰρ οἱ τὸν αἰσχρὸν τοῦτον ἐρῶντες ἔρωτα, οὐδὲν ἡγοῦνται, οὔτε ἔνδοξον, οὔτε τίμιον, ἀλλ' ἐκεῖνα ἅ αὐτοῖς πρὸς τὴν ἐπιθυμίαν συντείνῃ, ταῦτα κρίνεται καὶ ἔνδοξα καὶ ἔντιμα, καὶ οὕτω πάντα αὐτοῖς ἐστιν ἡ ἐρωμένη· πολλῷ μᾶλλον οἱ τούτῳ ἁλόντες τῷ ἔρωτι, οὐδὲν ἡγοῦνται τὰ ἐπίτιμα. εἰ δὲ οὐ νοοῦμεν τὰ λεγόμενα, οὐ θαυμαστόν· ἄπειροι γάρ ἐσμεν τῆς φιλοσοφίας ταύτης. εἰ γάρ τις ἁλῷ τῷ πυρὶ τοῦ Χριστοῦ, τοιοῦτος γίνεται, ὡς ἂν γένηται ἄνθρωπος μόνος ἐπὶ τῆς γῆς οἰκῶν· οὕτως οὐδενὸς αὐτῷ μέλει δόξης καὶ ἀτιμίας· ἀλλ' ὥσπερ ἂν εἰ μόνος οἰκῶν οὐδενὸς ἂν ἐφρόντισεν, οὕτως οὐδὲ τότε ὁ τοιοῦτος φροντίζει. πειρασμῶν δὲ οὕτω καταφρονεῖ, καὶ μαστίγων, καὶ δεσμωτηρίων, ὥσπερ ἂν εἰ ἐν ἀλλοτρίῳ σώματι ταῦτα ἔπασχεν· ἢ ὥσπερ ἂν εἰ ἀδαμάντινον ἐκέκτητο σῶμα. τῶν δὲ ἡδέων τῶν ἐν τῷ βίῳ οὕτω καταγελᾷ, καὶ ἀνεπαίσθητός ἐστιν, ὥσπερ τῶν νεκρῶν σωμάτων ἡμεῖς, ἢ αὐτοὶ ὄντες νεκροί. τοσοῦτον δὲ ἀπέχει ἁλῶναι πάθει τινὶ, ὅσον χρυσὸς πυρούμενος ὁ καθαρὸς ἂν ἀπόσχοιτο κηλῖδος. ὥσπερ γὰρ μυῖαι εἰς μέσην φλόγα οὐκ ἂν ἐμπέσοιεν, ἀλλὰ φεύγουσιν, οὕτω τὰ πάθη οὐδὲ ἐγγὺς γενέσθαι τούτου τολμᾷ. καὶ τούτων ἐβουλόμην μὲν ἀφ' ἡμῶν τὰ παραδείγματα παραγαγεῖν δύνασθαι· ἐπεὶ δὲ ἀποροῦμεν, ἀνάγκη πρὸς αὐτὸν τοῦτον καταφυγεῖν. ὅρα γοῦν αὐτὸν πρὸς πάντα τὸν κόσμον πῶς διέκειτο. ἐμοὶ κόσμος ἐσταύρωται, φησὶ, κἀγὼ τῷ κόσμῳ· τουτέστι, νεκρός εἰμι τῷ κόσμῳ, κἀκεῖνος ἐμοὶ νεκρός. καὶ πάλιν· ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. τοῦτο μόνου Παύλου λέγειν ἐστίν· ἡμᾶς δὲ τῆς ἐκείνου τοσοῦτον ἀπολειπομένους ὅσον τῆς γῆς ὁ οὐρανὸς, ἐγκαλυφθῆναι ὡς μηδὲ τὸ στόμα διᾶραι τολμᾶν. ὅτι δὲ ὡς ἐν ἐρημίᾳ ἦν, καὶ οὕτως ἑώρα τὰ παρόντα, ἄκουε αὐτοῦ λέγοντος· μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα. τί λέγεις; καὶ μὴν τὸ ἐναντίον οὗ λέγεις ἐστί. τὰ μὲν γὰρ ἀόρατα οὐ βλέπομεν· τὰ δὲ ὁρατὰ βλέπομεν. ποίους ἔχεις ὀφθαλμοὺς, τοιοῦτοί εἰσιν οἱ παρὰ τοῦ Χριστοῦ δεδομένοι. καθάπερ γὰρ οὗτοι, τὰ μὲν ὁρώμενα ὁρῶσι, τὰ δὲ οὐχ ὁρώμενα οὐχ ὁρῶσιν· οὕτως ἐκεῖνοι τοὐναντίον. οὐδεὶς τὰ ἀόρατα βλέπων, τὰ ὁρατὰ βλέπει· οὐδεὶς τὰ ὁρώμενα βλέπων, τὰ ἀόρατα βλέπει. ἢ οὐχὶ καὶ παρ' ἡμῖν τοῦτο γίνεται; ὅταν γὰρ τὸν νοῦν συστρέψαντες λογιζώμεθά τι τῶν ἀοράτων, μετέωροι τῶν ἐνεργειῶν ἡμῶν γίνονται αἱ ὄψεις. καταφρονήσωμεν δόξης, γελᾶσθαι βουλώμεθα μᾶλλον, ἢ ἐπαινεῖσθαι. ὁ μὲν γὰρ γελώμενος, οὐδὲν βλάπτεται· ὁ δὲ ἐπαινούμενος, μεγάλα. μὴ μέγα φρονῶμεν ἐπὶ τοῖς ἐκφοβοῦσι τοὺς ἀνθρώπους, ἀλλ' ὡς ἐπὶ τῶν παίδων τοῦτο πράττωμεν. οὐδὲ γὰρ ἄλλα ἴδωμεν ἐκφοβοῦντα παιδία, θαυμάζομεν αὐτά. εἰ γάρ τις φοβεῖ, παιδία φοβεῖ. ἄνδρα γὰρ οὐκ ἂν δύναιτο φοβεῖν. καὶ καθάπερ οἱ ἐκφοβοῦντες, ἢ τὰς βλεφαρίδας ἕλκοντες ἄνω, ἢ ἄλλως τὸ πρόσωπον διαστρέφοντες τοῦτο ποιοῦσιν· ὑγιεινὸν δὲ ἔχοντες καὶ ἥμερον τὸ ὄμμα οὐκ ἂν δύναιντο τοῦτο ποιῆσαι.

οὕτω

οὕτω δὴ καὶ οὗτοι, τὸ διορατικὸν τῆς διανοίας διαστρέφοντες τοῦ προσώπου, ὥστε ἥμερόν γε ἄνθρωπον καὶ καλὸν τῇ ψυχῇ, οὐδεὶς ἂν φοβηθείη, ἀλλ' αἰδούμεθα πάντες, τιμῶμεν, ἐντρεπόμεθα. οὐχ ὁρᾶτε πῶς ὁ φοβερὸς, καὶ μισητός ἐστι καὶ πᾶσιν ἡμῖν ἀπευκτός; τί γὰρ τῶν δυναμένων φοβεῖν μόνον οὐκ ἀποστρεφόμεθα; οὐχὶ θηρία; οὐχὶ φωνάς; οὐχὶ ὄψεις; οὐχὶ τόπους; οὐχὶ ἀέρα· οἷον τὸ σκότος; μὴ δὴ μέγα νομίζωμεν εἰ ἄνθρωποι φοβοῦνται ἡμᾶς. πρῶτον μὲν γὰρ οὐδεὶς ἄνθρωπος ποιεῖται· δεύτερον, τὸ καὶ πτυομένους ἡμᾶς μὴ μέγα οὐδὲν εἶναι. μέγα ἀγαθὸν ἡ ἀρετή. καὶ ὅρα πῶς μέγα. ἄθλια τὰ πράγματα νομίζοντες, δι' ὧν συνέστηκεν, αὐτὴν θαυμάζομεν καὶ μακαρίζομεν. τίς γὰρ οὐκ ἂν μακαρίσειε τὸν φιλόσοφον, καίτοι πενία καὶ τὰ τοιαῦτα ἄθλια εἶναι δοκεῖ; ὅτ' ἂν οὖν διὰ τῶν ἀθλίων εἶναι δοκούντων λάμπῃ, ὅρα τὴν ὑπερβολήν. μέγα φρονεῖς ἐπὶ δυναστείᾳ ἄνθρωπε; καὶ ποία δυναστεία εἰπέ μοι ἐχειροτονήθη; ὑπὸ ἀνθρώπων ἐγένου δυνατὸς, ἔνδοθεν χειροτόνησον σεαυτόν. ἄρχων γὰρ οὐχ ὁ καλούμενός ἐστιν, ἀλλ' ὁ ὤν. ὥσπερ γὰρ ἰατρὸν οὐκ ἂν ποιήσειε βασιλεὺς οὐδὲ ῥήτορα· οὕτως οὐδὲ ἄρχοντα. οὐ γὰρ τὰ γράμματα ποιεῖ ἄρχοντα, οὐδὲ τὸ ὄνομα. εἰπέ, εἰ βούλει οἰκοδομείτω τις ἰατρεῖον, ἐχέτω καὶ μαθητὰς, ἐχέτω καὶ ὄργανα, καὶ φάρμακα, καὶ εἰσίτω πρὸς τοὺς κάμνοντας, ἆρα ἀρκεῖ ταῦτα ποιῆσαι ἰατρόν; οὐδαμῶς· ἀλλὰ δεῖ τῆς τέχνης, καὶ ταύτης ἄνευ, οὐ μόνον ταῦτα οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ βλάπτει. τὸν γὰρ οὐκ ἰατρὸν, βέλτιον μηδὲ ἔχειν φάρμακα. ὁ μὲν γὰρ μὴ ἔχων, οὔτε σώζει οὔτε ἀπόλλυσιν· ὁ δὲ ἔχων, ἀπόλλυσιν, οὐκ εἰδὼς, ὅπως χρήσηται. ἐπειδὴ οὐκ ἐν τῇ φύσει τῶν φαρμάκων ἐστὶν ἡ σωτηρία μόνον, ἀλλὰ καὶ ἐν τῇ τέχνῃ τοῦ προσάγοντος. τούτου γὰρ μὴ ὄντος, πάντα διέφθαρται. τοιοῦτος καὶ ὁ ἄρχων ἐστίν· ἔχει ὄργανα, τὴν φωνὴν, τὸν θυμὸν, τοὺς δημίους, τὰς ὑπερορίας, τὰς τιμὰς, τὰς δωρεὰς, τοὺς ἐπαίνους· ἔχει καὶ φάρμακα, τοὺς νόμους· ἔχει καὶ κάμνοντας, τοὺς ἀνθρώπους· ἔχει ἐργαστήριον, τὸ δικαστήριον· ἔχει μαθητὰς, τοὺς στρατιώτας. ἂν οὖν μὴ εἰδῇ τὴν ἐπιστήμην τὴν ἰατρικὴν, οὐδὲν τούτων ὄφελος, ὁ δικαστὴς ἰατρὸς ψυχῶν ἐστιν οὐχὶ σωμάτων. εἰ δὲ αὐτὴ ἡ σωμάτων τοσαύτης δεῖται ἐπιμελείας, πολλῷ μᾶλλον ἡ τῆς ψυχῆς, ἐπειδὴ καὶ μείζων ψυχὴ σωμάτων. οὐκ ἄρα τὸ ὄνομα ἔχειν ἄρχοντος ἄρχοντά ἐστιν εἶναι. ἐπεὶ καὶ ἄλλοι καλοῦνται μεγάλα ὀνόματα· οἷον Παῦλος, Πέτρος, Ἰάκωβος, Ἰωάννης· ἀλλ' οὐκ ἀπὸ τῶν ὀνομάτων εἰσὶν ἅπερ καλοῦνται, καθάπερ οὐδὲ ἐγώ· ἀλλ' εἰμὶ τῷ μακαρίῳ μὲν ἐκείνῳ ὁμώνυμος, οὐ μὴν συνώνυμος· οὐκ εἰμὶ Ἰωάννης, ἀλλὰ καλοῦμαι. οὕτω κἀκεῖνοι, οὐκ εἰσὶν ἄρχοντες, ἀλλὰ καλοῦνται· εἰσὶ δὲ ἐκεῖνοι ἄρχοντες καὶ χωρὶς τούτων. ὥσπερ καὶ ἰατρός. κἂν μὴ χρῆται τῇ ἐπιστήμῃ, ἔχῃ δὲ αὐτὴν ἐν τῇ ψυχῇ, ἰατρός ἐστιν. εἰσὶν ἄρχοντες, ἑαυτῶν ἄρχοντες. τρία γὰρ ταῦτά ἐστι ψυχή, οἰκία, πόλις, οἰκουμένη· καὶ ὁδῷ τὰ πράγματα προβαίνει. δεῖ τοίνυν τὸν μέλλοντα ἐπιστήσεσθαι οἰκίας, καὶ καλῶς αὐτὴν οἰκοδομήσειν, πρότερον τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίζειν. οἰκία γὰρ αὐτοῦ ἐστιν. εἰ δὲ τὴν ἑαυτοῦ μὴ δυνήσεται, ἔνθα μία ψυχὴ, ἔνθα κύριος αὐτὸς, ἔνθα ἀεὶ σύνεστιν ἑαυτῷ, πῶς τοὺς ἄλλους οἰκοδομήσει; ὁ τὴν ψυχὴν τὴν ἑαυτοῦ ῥυθμίσαι δυνάμενος, καὶ τὸ μὲν ποιῶν ἄρχειν· τὸ δὲ ἄρχεσθαι, οὗτος καὶ οἰκίας δυνήσεται. ὁ δὲ οἰκίας, καὶ πόλιν· ὁ δὲ πόλιν, καὶ οἰκουμένην. εἰ δὲ ψυχὴν οὐκ ἂν δυνηθῇ, πῶς οἰκουμένην δυνήσεται; ταῦτά μοι εἴρηται, ἵνα μὴ ὦμεν ἐπτοημένοι πρὸς ἀρχάς· ἵνα εἰδῶμεν τί ποτέ ἐστιν ἀρχή. τοῦτο γὰρ οὐκ ἀρχὴ, ἀλλὰ καταγέλως, καὶ δουλεία, καὶ μυρία ἕτερα ἄν τις καλέσειεν. εἰπέ μοι· τί ἐστιν ἄρχοντος ἴδιον; ἆρα οὐχὶ τὸ ὠφελεῖν τοὺς ἀρχομένους καὶ εὐεργετεῖν; τί οὖν ἂν τοῦτο μὴ γένηται; πῶς ἑτέρους ὠφελήσει, ὁ ἑαυτὸν μὴ ὠφελήσας; ὁ μυρίους ἔχων τυράννους ἐν τῇ ψυχῇ τῶν παθῶν, πῶς τὰς ἑτέρων ἐκκόψει; οὕτω καὶ τρυφή· οὐκ αὐτή ἐστι τρυφή, ἀλλ' ἑτέρα. ὥσπερ γὰρ ἄρχων ἐδείχθη, οὐχ οὗτος, ἀλλ' ἕτερος· οὕτω καὶ ὁ τρυφῶν ἕτερός ἐστι. δοκεῖ μὲν γὰρ εἶναι τρυφὴ, τὸ τῆς ἡδονῆς ἀπολαύειν καὶ γαστρίζεσθαι· οὐκ ἔστι δὲ τοῦτο, ἀλλὰ τοὐναντίον, τὸ ψυχὴν ἔχειν θαυμαστὴν, καὶ ἐν ἡδονῇ εἶναι. ἔστω γάρ τις ἐσθίων, πίνων, σπαταλῶν· εἶτα φροντιζέτω καὶ ἀθυμείτω· μὴ δύναιτ' ἂν οὗτος εἶναι ἐν τρυφῇ; οὐκ ἄρα τὸ ἐσθίειν καὶ πίνειν τρυφή, ἀλλὰ τὸ ἐν ἡδονῇ εἶναι. ἔστω τις ξηρὸν λαμβάνων τὸν ἄρτον, καὶ ἐμπιπλάσθω μετ' εὐφροσύνης· ἆρα οὐ τοῦτο ἡδονή; οὐκοῦν καὶ τρυφή. ἴδωμεν οὖν τίνι παραγίνεται αὕτη· τοῖς πλουτοῦσιν, ἢ τοῖς μὴ πλουτοῦσιν; οὔτε τούτοις ἁπλῶς, οὔτε ἐκείνοις· ἀλλὰ τοῖς οὕτω κατασκευάζουσι τὴν ψυχὴν τὴν ἑαυτῶν, ὥστε μὴ πολλὰς ἔχειν ἀθυμιῶν ὑποθέσεις. καὶ ποῖός ἐστιν οὗτος ὁ βίος, ἴσως ἐρεῖ τις; ὁρῶ γὰρ κεχηνότας ἅπαντας καὶ βουλομένους ἀκοῦσαι, τίς ἐστιν ὁ βίος οὗτος, ὁ μὴ ἔχων ἀθυμίας. οὐκοῦν ὁμολογείσθω παρ' ὑμῶν πρῶτον, ὅτι τοῦτο ἡδονή· τοῦτο τρυφὴ, ὅταν ἀθυμία μὴ ἐνοχλῇ, καὶ μὴ ἀπαιτῇ παρ' ἐμοῦ κρέα καὶ οἶνον καὶ καρυκεύματα, καὶ ἱμάτια σηρικὰ, καὶ πλῆθος τραπέζης· ἀλλ' ἂν δείξω τοῦτον χωρὶς παρόντα τὸν βίον. τὸν τοιοῦτον, ταύτην τὴν ἡδονὴν ἀγάπησον, τοῦτον τὸν βίον. τὰ γὰρ πολλὰ, ἐπεὶ οὐ μὴ λογίζωνται δέοντα

A ita & hi perspicacem mentis vultum torquent. Atque ita mansuetum & bonæ animæ hominem nullus terruerit, sed revereamur omnes, veneremur. Nonne videtis quomodo terribilis etiam omnibus nobis invisus est, & abominabilis? Quid enim est quod solum terret, & ipsum non horremus? nonne bestias? nonne voces? nonne aspectus? nonne loca? nonne aëra? utpote tenebras? Ne igitur magnum putemus, si homines terreant vos: nam primum quidem nullus homo facit. Secundum non magnum est, si B nos respuant. Sed magnum est bonum, & magna est virtus. Et vide quomodo magna. Ipsam admiramur & magnifacimus, tametsi res quibus constat ut miseras habemus. Quis enim non beatum dicit philosophum, tametsi paupertas & id genus misera esse videntur? Quando igitur claret per ea quæ esse videntur misera, vide quam excellens est ipsa. Magnifacis homo potentiam? Et qualis potentia dic oro ordinata est? Ab hominibus factus es potens, intus ordina teipsum. Princeps est, non qui vocatus est, C sed qui vere est. Sicut enim Rex neque medicum, neque rhetorem faciet: ita neq; principem, non enim literæ vel nomen principem faciunt. Insuper si vis, extruat quis officinam medicorum, habeat etiam discipulos, habeat & instrumenta & pharmaca, & ingrediatur ad ægrotos: nunquid sufficient hæc, ut præstent nobis medicum? Minime, sed opus est arte, & sine illa non solum hæc nihil prosunt, sed etiam damnosa. Etenim qui non est medicus, melius fuerit neque pharmaca habere: nam qui non ha- D bet, neque servat, neque perdit: qui autem habet, pessundat, nesciens illis uti. Quoniam non in natura pharmacorum est salus solum, sed etiam in arte adhibentis. Hoc enim nisi sit, omnia corrumpuntur. Talis etiam princeps est: habet instrumenta, vocem, iram, lictores, proscriptiones, mulctas, dona, laudes: habet & pharmaca, leges: habet & laborantes, homines, habet officinam, tribunal: habet discipulos, milites: At sine medica arte illa ei non proderunt. Judex medicus est animarum, non corpo- E rum. Si autem ille tantam habet corporum curam, multo magis cura habenda animæ, quoniam & anima major est corpore. Igitur nomen habere principis, non est esse principem. Vocantur & alii magnis nominibus, ut Paulus, Petrus, Jacobus, Joannes, sed non propter nomina sunt id quod vocantur; quemadmodum & ego licet eodem quo ille vocer nomine, non tamen una & eadem cum illo res vocabulo vocor, non sum Joannes: & ita & illi non sunt principes, sed vocantur. Sunt illi principes etiam sine A his, sicut & medicus licet arte non utatur, habeat autem illam in anima, & medicus est. Sunt principes, sui ipsorum principes. Tria enim hæc sunt animæ, domus, civitas, orbis: & via quadam res procedunt. Oportet igitur præficiendum domui, & ædificaturum illam, prius animam suam componere, domus enim ipsius est. Si autem suam non poterit, ubi una anima, ubi unus Dominus, ubi semper secum habitat, quomodo alios ædificabit? Qui animam suam componere potest, partim faciendo ut regat, partim B ut regatur, hic etiam domum poterit. Qui autem domum, idem & civitatem. Et qui civitatem, etiam orbem. Si autem animam non poterit, quomodo orbem poterit? Hæc à me dicta sunt, ne sic stupescat principatus, ut videamus, quidnam sit principatus. Ferè enim non est principatus, sed derisio, & servitus, & multa alia quis dixerit. Dic oro: Quid est proprium principis? Nonne prodesse & bene facere subditis? Quid igitur si hoc non fuerit? Quomodo aliis proderit, qui sibiipsi non prodest? Qui multos C perturbationum impetus in anima habet, quomodo aliorum affectiones curabit? Ita & voluptas, non est ipsa voluptas, sed alia. Quemadmodum princeps demonstratus est, non hic, sed alius: ita & qui in deliciis, non hic, sed alius. Nam videtur mihi quidem esse voluptas, voluptate frui, & gulæ ac ventri indulgere. Esto enim comedat, bibat, lasciviat, deinde curam habeat, ac mœreat: num poterit hic esse in deliciis? Non igitur edere ac bibere voluptas est, sed in voluptate esse. Esto quis aridum mandu- D cet panem, & impleatur cum lætitia: Igitur hoc fuerit voluptas? Videamus igitur ad quem illa veniat. Ad divites, vel non divites? Neque ad hos simpliciter, neque ad illos, sed ad eos qui ita suam præparant animam, ne multos habeant tristitiarum fomites. Et qualis est hæc vita? forsan dicet quis: Video enim vos omnes audiendi avidos, quæ sit vita hæc, quæ nullum mœrorem habet. Igitur confessum sit à vobis primum, quod hæc voluptas sit: hæ deliciæ sint, quando mœror non interturbat, & non pe- E tat à me carnem ac sanguinem, & condimenta, & vestes sericas, & mensæ abundantiam. At si ostendero absque his præsentem vitam illam, hanc voluptatem dilige, hanc vitam. Multa enim quia non reputantur necessaria,

afferunt nobis tristitiam. Uter igitur magis contristabitur, qui nihil horum curat, vel qui curat? Et qui metuit vicissitudines ac mutationes, vel qui non metuit? qui invidiam, qui odium, qui calumnias, qui insidias, qui jacturam timet, vel qui illorum expers est? qui pluribus indiget, vel nullo? qui innumeris opus habet, vel qui nullis? qui unum Dominum timet, vel qui plurimos? Igitur major hic voluptas est. Itaque hanc sectemur, & ne simus erga terrena ita affecti: sed rideamus omnem hujus vitæ apparatum, & frugaliter vivamus, ut possimus jucundam vitam hanc transigere, & promissa bona assequi, gratia & misericordia Domini nostri Jesu Christi, cui cum Patre simul ac sancto Spiritu sit gloria, imperium, honor, nunc & semper, & in secula seculorum. Amen.

HOMILIA LIII.

Surrexit autem & præses ac Bernice, & qui assidebant eis: Et cum secessissent, loquebantur inter sese, dicentes: Nihil morte aut vinculis dignum fecit homo iste. Aggrippa autem dixit: Dimitti poterat homo ille, si non appellasset Cæsarem.

Vide quomodo iterum pro illo suffragia ferunt. Etiam postquam dixit: *Insanis*; absolvunt illum, dicentes, *nec morte, nec vinculis dignum*: & omnino dimisissent, *nisi Cæsarem appellasset*: sed hoc singulari dispensatione contigit, non hoc autem solum, sed etiam quod cum vinculis vadit. Propter hoc dicebat, *usque ad vincula quasi malefactor*. Nam si Christus cum impiis reputatus est, multo magis ille: sed quemadmodum ille gloriam non curavit, ita nec hic. Admirabile enim est, quod mixtus inter illos, nihil damni ab eis accipit.

Cap. XXVII. *Postquam autem decretum est, ut nos navigaremus in Italiam, tradiderunt & Paulum & quosdam alios Centurioni, Julio, cohortis Augustæ. Conscensa autem nave Adramytina navigaturi juxta loca Asiæ solvimus, perseverante nobiscum Aristarcho Macedone Thessalonicensi. Sequenti autem die appulimus Sidonem.* Vide quousque comitatur & Aristarchus. Bene etiam utiliter adest ille, qui in Macedonia omnia quæ acta erant annunciaturus. *Humaniterque Julius Paulo tractato, permisit ut profectus ad amicos ab illis curaretur. Et inde cum solvissemus subnavigavimus juxta Cyprum, eo quod venti essent contrarii. Permisit*, inquit, *Julius Paulo humaniter tractato.* Bene faciebat hoc permittendo, *ut profectus ad notos, curaretur.* Verisimile enim erat, illum valde afflictum à vinculis, à metu, & circumductione. Vide quomodo neque hoc occultat, quod voluit curam habere. Iterum tentationes, iterum venti contrarii: vide per omnia vitam sanctorum sic contexi. Effugerant tribunal, & faciunt naufragium, ac ferunt tempestatem: quod & manifestat subdens: *Tunc pelagus quod est inter Ciliciam & Pamphyliam emensi pervenimus Myram, quæ est Lyciæ. Et ibi Centurio nactus navem Alexandrinam navigantem in Italiam, transtulit nos in illam. Nactus*, inquit, *navem Alexandrinam.* Merito invenitur, ita ut & illi annuncient in Asia quid Paulo acciderit, & hi in Lycia. Vide Deum nihil innovare, neque mutare, sed permittere illum navigare ventis importunis. Sed etiam sic miraculum operatur: nam ut secure navigent, non permisit illis in mari, sed semper juxta terram navigabant. *Et cum multis diebus tarde navigaremus: & vix devenissemus contra Gnidum, prohibente nos vento, adnavigavimus Cretæ juxta Salmonen. Et vix prætergentes illam, pervenimus in locum quendam, qui vocatur Calilimenes, juxta quem propè civitas Lasæa. Multo autem tempore peracto, & cum esset jam navigatio periculosa, eo quod jejunio jam defectis erant viribus, admonebat eos Paulus, dicens eis: Viri, video quod cum injuria multoque damno, non solum oneris & navis, sed etiam animarum periculosa futura sit navigatio. Centurio autem gubernatori & nauclero magis credebat, quam his quæ dicebantur a Paulo. Jejunium* hic opinor dici, quod Judæi servant. Nam post Pentecosten, exierant illinc post multum tempus, ita ut in ipsa ferè hyeme venerint in partes Cretæ. Et hoc quoque non parvum miraculum, quod illi propter hunc servati fuerunt. *Viri, video quod cum injuria multoque damno non solum oneris & navis, sed etiam animarum nostrarum, periculosa futura sit navigatio.* Itaque Paulus jubebat manere, & futura prædicebat. Illi autem cùm festinarent, & ob locum quoque prohiberentur, volebant in Phœnice hybernare. Vide obsecro dispensationem singularem: primùm quidem cùm solvissent navim, abierunt. Deinde ut incidit ventus dederunt, ferenti, quo factum est ut vix saluti consuluerint.

περιγίνεται ἡμῖν τῶν λυπηρῶν. τίς οὖν πλέον λυπήσεται; ὁ μηδενὸς αὐτῶν φροντίζων, ἢ ὁ φροντίζων; ὁ φοβούμενος τὰς μεταβολὰς, ἢ ὁ μὴ φοβούμενος; ὁ βασκανίαν, ὁ φθόνον, ὁ συκοφαντίας, ὁ ἐπιβουλὰς, ὁ ἀπώλειαν δεδοικὼς; ἢ ὁ τούτων ἐκτός; ὁ πλειόνων δεόμενος, ἢ ὁ μηδενός; ὁ μυρίοις δουλεύων, ἢ ὁ μηδενί; ὁ μυρίων χρείαν ἔχων; ἢ ὁ ἐλεύθερος; ὁ ἕνα δεσπότην δεδοικὼς, ἢ ὁ μυρίους; οὐκοῦν μείζων ἡ ἡδονὴ ἐνταῦθα. ταύτην τοίνυν διώκωμεν, καὶ μὴ περὶ τὰ παρόντα ὦμεν ἐπτοημένοι· ἀλλὰ καταγελῶμεν πάσης τῆς τοῦ βίου φαντασίας, καὶ πανταχοῦ τῆς συμμετρίας ὦμεν, ἵνα δυνηθῶμεν ἄλυπον τὸν βίον τοῦτον διαγαγεῖν, καὶ ἐπηγγελμένων ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμὴ, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ νγ'.

Ἀνέστη δὲ ὁ βασιλεὺς καὶ ὁ ἡγεμὼν, ἥ τε Βερνίκη, καὶ οἱ συγκαθήμενοι αὐτοῖς, καὶ ἀναχωρήσαντες ἐλάλουν πρὸς ἀλλήλους λέγοντες· ὅτι οὐδὲν θανάτου ἄξιον ἢ δεσμῶν πράσσει ὁ ἄνθρωπος οὗτος. Ἀγρίππας δὲ τῷ Φήστῳ ἔφη· ἀπολελύσθαι ἐδύνατο ὁ ἄνθρωπος οὗτος, εἰ μὴ ἐπεκέκλητο Καίσαρα.

Ὅρα πῶς καὶ πάλιν ὑπὲρ αὐτοῦ ψηφίζονται, καὶ μετὰ τὸ εἰπεῖν μαίνῃ, ἀφιᾶσιν αὐτόν· οὐ τοῦ θανάτου, ἀλλὰ καὶ τῶν δεσμῶν· καὶ τέλεον ἂν ἀφῆκαν, εἰ μὴ Καίσαρα ἐπεκέκλητο. ἀλλὰ τοῦτο οἰκονομικῶς γέγονεν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὸ μετὰ δεσμῶν ἀπελθεῖν. διὰ τοῦτο ἔλεγε, μέχρι δεσμῶν ὡς κακοῦργος. εἰ γὰρ ὁ κύριος αὐτοῦ μετὰ ἀνόμων ἐλογίσθη, πολλῷ μᾶλλον οὗτος· ἀλλ' ὥσπερ ἐκεῖνος οὐκ ἐκοινώνησε τῆς δόξης, οὕτως οὐδὲ οὗτος. τὸ γὰρ θαυμαστὸν τότε φαίνεται, τὸ ἀναμεμιγμένον τούτοις μηδὲν παρ' αὐτῶν βλαβῆναι.

Ὡς δὲ ἐκρίθη τοῦ ἀποπλεῖν ἡμᾶς εἰς τὴν Ἰταλίαν, παρεδίδουν τόν τε Παῦλον καί τινας ἑτέρους δεσμώτας ἑκατοντάρχῃ ὀνόματι Ἰουλίῳ σπείρης Σεβαστῆς. ἐπιβάντες δὲ πλοίῳ Ἀδραμυττηνῷ, μέλλοντες πλεῖν τοὺς κατὰ τὴν Ἀσίαν τόπους, ἀνήχθημεν, ὄντος σὺν ἡμῖν Ἀριστάρχου Μακεδόνος Θεσσαλονικέως. τῇ δὲ ἑτέρᾳ κατήχθημεν εἰς Σιδῶνα. ὅρα μέχρι ποῦ συνέρχεται τῷ Παύλῳ καὶ Ἀρίσταρχος. καλῶς καὶ χρησίμως πάρεστιν ὁ Ἀρίσταρχος, μέλλων ἅπαντα ἀπαγγέλλειν εἰς Μακεδονίαν. φιλανθρώπως τε ὁ Ἰούλιος τῷ Παύλῳ χρησάμενος, ἐπέτρεψε πρὸς τοὺς φίλους πορευθέντα ἐπιμελείας τυχεῖν. κἀκεῖθεν ἀναχθέντες ὑπεπλεύσαμεν τὴν Κύπρον διὰ τὸ τοὺς ἀνέμους εἶναι ἐναντίους. ἐπέτρεψε, φησιν, Ἰούλιος φιλανθρώπως τῷ Παύλῳ χρησάμενος. καλῶς ποιῶν τοῦτο ἐπιτρέπει, ὥστε ἐπιμελείας τυχεῖν ἀπελθόντα παρὰ τοὺς γνωρίμους. εἰκὸς γὰρ ἦν αὐτὸν ἀπὸ πολλῆς κακώσεως εἶναι τῶν δεσμῶν, τοῦ φόβου, τοῦ ἀγειόδους καὶ φέρεσθαι. ὅρα πῶς οὐδὲ τοῦτο κρύπτει, ὅτι ἐβούλετο ἐπιμελείας τυχεῖν. πάλιν πειρασμοί· πάλιν ἄνεμοι ἐναντίοι. ὅρα διὰ πάντων οὕτω τὸν βίον τῶν ἁγίων ὑφασμένον. ἐξέφυγον τὸ δικαστήριον, καὶ περιπίπτουσι ναυαγίῳ καὶ χειμῶνι. ὃ καὶ δηλῶν ἐπάγει· τότε πέλαγος τὸ κατὰ τὴν Κιλικίαν, καὶ Παμφυλίαν, διαπλεύσαντες, κατήλθομεν εἰς Μύρα τῆς Λυκίας. κἀκεῖ εὑρὼν ὁ ἑκατόνταρχος πλοῖον Ἀλεξανδρῖνον πλέον εἰς τὴν Ἰταλίαν, ἐνεβίβασεν ἡμᾶς εἰς αὐτό. εὑρὼν πλοῖον, φησιν, Ἀλεξανδρῖνον. εἰκότως εὑρίσκεται, ὥστε κἀκείνους ἀπαγγεῖλαι εἰς τὴν Ἀσίαν τὰ κατὰ τὸν Παῦλον καὶ τούτους εἰς τὴν Λυκίαν. ὅρα τὸν Θεὸν οὐδὲν καινίζοντα, οὐδὲ μεταβάλλοντα, ἀφιέντα αὐτὸν εἰς τοὺς ἀνέμους τοὺς ἀνεπιτηδείους πλεῖν. ἀλλὰ καὶ οὕτω θαῦμα ἐργάζεται. ὥστε γὰρ ἀσφαλῶς πλεῖν, οὐκ ἀφῆκαν αὐτοὺς εἰς πέλαγος, ἀλλ' ἀεὶ παρὰ γῆν ἔπλεον. ἐν ἱκαναῖς δὲ ἡμέραις βραδυπλοοῦντες, καὶ μόλις γενόμενοι κατὰ τὴν Κνίδον, μὴ προσεῶντος ἡμᾶς τοῦ ἀνέμου, ὑπεπλεύσαμεν τὴν Κρήτην κατὰ Σαλμώνην, μόλις τε παραλεγόμενοι αὐτὴν, ἤλθομεν εἰς τόπον τινὰ καλούμενον καλοὺς λιμένας, ᾧ ἐγγὺς ἦν πόλις Λασαία. ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη τοῦ πλοὸς ἐπισφαλοῦς διὰ τὸ καὶ τὴν νηστείαν ἤδη παρεληλυθέναι, παρῄνει ὁ Παῦλος αὐτοῖς λέγων· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, οὐ μόνον, τοῦ φορτίου, καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ δὲ ἑκατόνταρχος τῷ κυβερνήτῃ καὶ τῷ ναυκλήρῳ ἐπείθετο μᾶλλον, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις. τὴν νηστείαν ἐνταῦθα, τὴν τῶν Ἰουδαίων λέγειν ἡγοῦμαι. μετὰ γὰρ τὴν Πεντηκοστὴν, ἐξῆλθον ἐκεῖθεν μετὰ πολὺν χρόνον, ὡς ἐν αὐτῷ σχεδὸν τῷ χειμῶνι παραγενέσθαι εἰς τὰ μέρη τῆς Κρήτης. καὶ τοῦτο δὲ οὐ μικρὸν θαῦμα, τὸ διασωθῆναι δι' αὐτὸν καὶ ἐκείνους. ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ πολλῆς ζημίας, φησὶν, οὐ μόνον τοῦ φορτίου, καὶ τοῦ πλοίου, ἀλλὰ καὶ τῶν ψυχῶν ἡμῶν μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὁ μὲν οὖν Παῦλος ἐκέλευσε μένειν, καὶ τὰ μέλλοντα προλέγει. ἐκεῖνοι δὲ ἐπειγόμενοι, καὶ ὑπὸ τοῦ τόπου κωλυόμενοι, ἤθελον εἰς Φοίνικα παραχειμάσαι. καὶ σκόπει τὴν οἰκονομίαν. πρῶτον μὲν ἦραν τὸ σκάφος καὶ ἐξήρχοντο· ἔπειτα ὡς ἐνέπεσεν ἄνεμος, ἐδίδουν τῷ φέροντι, καὶ μόλις ἐσώζοντο.

ἀντιθέτου

Ἀνευθέτου δὲ τοῦ λιμένος ὑπάρχοντος πρὸς παραχειμασίαν, οἱ πλείους ἔθεντο βουλὴν ἀναχθῆναι ἐκεῖθεν, εἴ πως δύναιντο καταντήσαντες εἰς Φοίνικα παραχειμάσαι, λιμένα τῆς Κρήτης, βλέποντα κατὰ λίβα καὶ κατὰ χῶρον. Ὑποπνεύσαντος δὲ νότου, δόξαντες τῆς προθέσεως κεκρατηκέναι, ἄραντες ἆσσον, παρελέγοντο τὴν Κρήτην. Μετ' οὐ πολὺ δὲ ἔβαλε κατ' αὐτῆς ἄνεμος τυφωνικὸς, ὁ καλούμενος Εὐροκλύδων. Συναρπασθέντος δὲ τοῦ πλοίου, καὶ μὴ δυναμένου ἀντοφθαλμεῖν τῷ ἀνέμῳ, ἐπιδόντες ἐφερόμεθα. Νησίον δέ τι ὑποδραμόντες καλούμενον Κλαύδην, μόλις ἰσχύσαμεν περικρατεῖς γενέσθαι τῆς σκάφης. Ἣν ἄραντες, βοηθείαις ἐχρῶντο, ὑποζωννύντες τὸ πλοῖον· φοβούμενοί τε μὴ εἰς τὴν Σύρτιν ἐκπέσωσι, χαλάσαντες τὰ ἱστία, οὕτως ἐφέροντο. Σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, τῇ ἑξῆς ἐκβολὴν ἐποιοῦντο, καὶ τῇ τρίτῃ αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. Μήτε δὲ ἡλίου, μήτε ἄστρων ἐπιφαινομένων ἐπὶ πλείονας ἡμέρας, χειμῶνός τε οὐκ ὀλίγου ἐπικειμένου, λοιπὸν περιῃρεῖτο πᾶσα ἐλπὶς τοῦ σώζεσθαι ἡμᾶς. Πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· Ὅρα μετὰ τὸν τοσοῦτον χειμῶνα, οὐκ ἐπεμβαίνων αὐτοῖς διαλέγεται, ἀλλὰ βουλόμενος κἂν εἰς τὸ μέλλον πιστευθῆναι. Ὅθεν καὶ τὰ γεγενημένα παραλαμβάνει εἰς μαρτυρίαν τῆς τῶν ῥηθησομένων ἀληθείας. Καὶ δύο προλέγει, ὅτι τε εἰς νῆσον ἐκπεσεῖν δεῖ, καὶ ὅτι τὸ μὲν πλοῖον ἀπολεῖται, οἱ δὲ ἐνόντες σωθήσονται. Ὅπερ οὐκ ἦν στοχασμοῦ, ἀλλὰ προφητείας, καὶ ὅτι αὐτὸν Καίσαρι δεῖ παραστῆναι. Τὸ δὲ, Κεχάρισταί σοι ὁ Θεὸς ἅπαντας, ὅπερ εἶπεν, οὐκ ἀλαζονείας ἐστὶν, ἀλλὰ βουλομένου προσαγαγέσθαι τοὺς ἐμπλέοντας· οὐχ ἵνα γὰρ αὐτῷ χάριν ἔχωσιν, ἀλλ' ἵνα πεισθῶσι τοῖς ὑπ' αὐτοῦ λεγομένοις, οὕτως εἶπε. Τὸ δὲ, Κεχάρισταί σοι ὁ Θεὸς, τῷ Παύλῳ εἴρηται. Τοῦτο μονονουχὶ λέγων αὐτῷ· ἄξιοι μὲν εἰσιν ἀποθανεῖν, ἐπειδὴ παρήκουσαν· πλὴν εἰς τὴν χάριν τὴν σὴν τοῦτο γίνεται. Πολλῆς δὲ, φησὶν, ἀσιτίας ὑπαρχούσης, τότε σταθεὶς ὁ Παῦλος ἐν μέσῳ αὐτῶν εἶπεν· Ἔδει μὲν, ὦ ἄνδρες, πειθαρχήσαντάς μοι, μὴ ἀνάγεσθαι ἀπὸ τῆς Κρήτης, κερδῆσαί τε τὴν ὕβριν ταύτην καὶ τὴν ζημίαν. Καὶ τὰ νῦν παραινῶ ὑμᾶς εὐθυμεῖν· ἀποβολὴ γὰρ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν, πλὴν τοῦ πλοίου. Παρέστη γάρ μοι ταύτῃ τῇ νυκτὶ Ἄγγελος τοῦ Θεοῦ, οὗ εἰμι, ᾧ καὶ λατρεύω, λέγων· Μὴ φοβοῦ Παῦλε· Καίσαρί σε δεῖ παραστῆναι, καὶ ἰδοὺ κεχάρισταί σοι ὁ Θεὸς πάντας τοὺς πλέοντας μετὰ σοῦ. Διὸ εὐθυμεῖτε ἄνδρες. Πιστεύω γὰρ τῷ Θεῷ ὅτι οὕτως ἔσται καθ' ὃν τρόπον λελάληταί μοι. Εἰς νῆσον δέ τινα δεῖ ἡμᾶς ἐκπεσεῖν. Ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, διαφερομένων ἡμῶν ἐν τῷ Ἀδρίᾳ, κατὰ μέσον τῆς νυκτὸς ὑπενόουν οἱ ναῦται προσάγειν τινὰ αὐτοῖς χώραν, καὶ βολίσαντες εὗρον ὀργυιὰς κʹ. Βραχὺ δὲ διαστήσαντες καὶ πάλιν βολίσαντες, εὗρον ὀργυιὰς ιεʹ. Φοβούμενοί τε μήπως εἰς τραχεῖς τόπους ἐκπέσωμεν, ἐκ πρύμνης ῥίψαντες ἀγκύρας τέσσαρας, ηὔχοντο ἡμέραν γενέσθαι. Τῶν δὲ ναυτῶν ζητούντων φυγεῖν ἐκ τοῦ πλοίου, καὶ χαλασάντων τὴν σκάφην εἰς τὴν θάλασσαν, προφάσει ὡς ἐκ πρώρας μελλόντων ἀγκύρας ἐκτείνειν, εἶπεν ὁ Παῦλος τῷ ἑκατοντάρχῃ καὶ τοῖς στρατιώταις· Ἐὰν μὴ οὗτοι μείνωσιν ἐν τῷ πλοίῳ, ὑμεῖς σωθῆναι οὐ δύνασθε. Τότε οἱ στρατιῶται ἀπέκοψαν τὰ σχοινία τῆς σκάφης, καὶ εἴασαν αὐτὴν ἐκπεσεῖν. Ἐνταῦθα δείκνυσιν ὅτι ἔμελλον οἱ ναῦται φεύγειν ἀπιστοῦντες τοῖς λεγομένοις. Ὁ δὲ ἑκατόνταρχος πιστεύει σὺν τοῖς στρατιώταις. Διὸ καί φησιν· Ἐὰν οὗτοι φύγωσιν, ὑμεῖς σωθῆναι οὐ δύνασθε. Οὐ διὰ τοῦτο εἶπεν, ἀλλ' ἵνα κατέχῃ αὐτοὺς, καὶ ἡ προφητεία μὴ διαπέσῃ. Ὅρα καθάπερ ἐν ἐκκλησίᾳ παιδευομένους αὐτοὺς τοῦ Παύλου τὴν φιλοσοφίαν, οὓς καὶ ἐκ μέσων αὐτῶν σώζει τῶν κινδύνων. Καὶ οἰκονομικῶς ἀπιστεῖται ὁ Παῦλος, ἵνα μετὰ τὴν πεῖραν τῶν πραγμάτων πιστευθῇ· ὅπερ οὖν καὶ γέγονε. Καὶ παραινεῖ πάλιν μεταλαβεῖν τροφῆς, καὶ πείθονται· καὶ αὐτὸς πρῶτος μεταλαμβάνει, οὐ λόγῳ, ἀλλὰ καὶ ἔργῳ, πείθων ὡς οὐδὲν ἔβλαψεν ὁ χειμὼν, ἀλλὰ μᾶλλον αὐτῶν τὰς ψυχὰς καὶ ὠφέλησεν. Ἄχρι δὲ οὗ ἔμελλεν ἡμέρα γίνεσθαι, παρεκάλει ὁ Παῦλος ἅπαντας μεταλαβεῖν τροφῆς, λέγων· Τεσσαρεσκαιδεκάτην σήμερον ἡμέραν προσδοκῶντες, ἄσιτοι διατελεῖτε μηδὲν προσλαβόμενοι. Διὸ παρακαλῶ ὑμᾶς μεταλαβεῖν τροφῆς· τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· οὐδενὸς γὰρ ὑμῶν θρὶξ ἐκ τῆς κεφαλῆς πεσεῖται. Εἰπὼν δὲ ταῦτα καὶ λαβὼν ἄρτον, εὐχαρίστησε τῷ Θεῷ ἐνώπιον πάντων καὶ κλάσας ἤρξατο ἐσθίειν. Εὔθυμοι δὲ γενόμενοι πάντες, καὶ αὐτοὶ προσελάβοντο τροφῆς. Ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ, διακόσιαι ἑβδομηκονταέξ. Κορεσθέντες δὲ τῆς τροφῆς, ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον εἰς τὴν θάλασσαν. Ὅτε δὲ ἡμέρα ἐγένετο, τὴν γῆν οὐκ ἐπεγίνωσκον. Κόλπον δέ τινα κατενόουν ἔχοντα αἰγιαλὸν, εἰς ὃν ἐβουλεύσαντο, εἰ δυνατὸν, ἐξῶσαι τὸ πλοῖον. Καὶ τὰς ἀγκύρας περιελόντες εἴων εἰς τὴν θάλασσαν, ἅμα ἀνέντες τὰς ζευκτηρίας τῶν πηδαλίων, καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. Περιπεσόντες δὲ εἰς τόπον διθάλασσον, ἐπώκειλαν τὴν ναῦν, καὶ ἡ μὲν πρώρα ἐρείσασα, ἔμεινεν ἀσάλευτος· ἡ δὲ πρύμνα

Et cum aptus portus non esset ad hybernandum, complures ceperunt consilium solvendi illinc, siquomodo possent pervecti Phœnicem illic hybernare. Is est portus Cretæ, spectans ad Africum & ad Chorum. Aspirante autem Austro, rati se propositi compotes, quum solvissent Asson, prætērlegebant Cretam. Verum haud multo post coortus est contra ipsam ventus Typhonicus, qui vocatur Euroaquilo: quumque correpta esset navis, nec posset obniti vento, data navi flatibus, ferebamur: in insulam autem quandam devecti, quæ vocatur Clauda, vix potuimus obtinere scapham. Qua sublata adjutoriis utebantur, subcingentes navim, timentes ne in Syrtim inciderent, demisso velo sic ferebantur. Cum autem vehementi tempestate jactaremur, sequente die jactum fecerunt, ac tertio die nostris manibus armamenta navis projecimus: porrò neque Sole, neque syderibus apparentibus ad complures dies & tempestate non exigua imminente, jam ablata erat omnis spes salutis nostræ. Tunc stans Paulus in medio illorum dixit. Vide post tantam tempestatem nec importunus, nec insolens illis loquitur: sed volens, ut vel in posterum credant: unde & quæ facta erant, in testimonium assumit veritatis dicendorum. Et duo prædicit. Et quod in insulam excundum illis, & quod navis peritura: qui autem in illa salvandi sint, idquod non erat conjecturæ, sed Prophetiæ. & quod Cæsari assistendus esset. Quod autem dixit: Donavit tibi Deus omnes: non erat arrogantiæ, sed volentis adduci ad fidem navigationis socios non ut ipsi gratiam habeant, sed ut credant his quæ ab ipso dicebantur, sic dixit: Quod autem dictum Paulo, donavit tibi eos, tantundem est, digni quidem erant qui perirent, quoniam inobedientes fuerunt, veruntamen in tui gratiam hoc fit. *Cum autem esset multa inedia, Paulus stans in medio eorum, dixit: Oportebat quidem, ô viri, audito me, non solvere a Creta, nec accersere nobis injuriam hanc & jacturam. Et nunc hortor, ut bono animo sitis. Jactura enim animæ nulla erit ex nobis, sed tantum navis. Astitit enim mihi hac nocte Angelus Dei, cujus sum ego, quem & colo, dicens: Ne timeas Paule, Cæsari te oportet sisti. Et ecce donavit tibi Deus omnes qui navigant tecum. Propter quod bono animo estote viri. Credo enim Deo, quod sic erit quemadmodum dictum est mihi. In insulam autem quandam oportet nos ejici. Sed postquam quartadecima nox supervenit, navigantibus nobis in Adria circa medium noctis, suspicabantur nautæ apparere sibi aliquam regionem, qui & demissa bolide repererant passus viginti, ac pusillum inde digressi, rursumque demissa bolide repererunt passus quindecim, timentesque ne in aspera loca inciderent, de puppi jactis anchoris quatuor optabant diem oriri. Nautis vero quærentibus fugere è navi, cum demisissent scapham in mare, sub prætextu velut e prora anchoras extensuri: dixit Paulus Centurioni, ac militibus: Nisi hi in navi manserint, vos salvi fieri non potestis. Tunc absciderunt milites funes scaphæ, & passi sunt eam excidere.* Hic ostendit quod nautæ fugam inituri erant non credentes dicto. At verò Centurio cum aliis militibus credidit. Ideò & dixit: *Si hi fugerint, vos servari non potestis.* Non propter hoc dixit sed ut detineat illos & Prophetia non excidat. Vide quasi in Ecclesia erudiri illos philosophiam Pauli. quos & è mediis servat periculis: & mira dispensatione non creditur Paulo, ut postquam rem experiantur, credant. quod & factum est. Et iterum hortatur ut sumant cibum, & obtemperant; & ipse primus accipit, non sermone solum, sed etiam opere, suadens quod nihil nocitura sit tempestas, sed magis etiam illorum animas lucrifactura sit. *Et quum dies inciperet oriri, hortabatur Paulus omnes sumere cibum, dicens: Dies hic decimus quartus est quod expectantes jejuni permanetis nihil accipientes, propter quod hortor vos ut sumatis cibum: hoc enim ad salutem vestram pertinet, quia nullius vestrum capillus de capite cadet. Et cum hæc dixisset, sumpto pane gratias egit Deo in conspectu omnium, & cum fregisset cœpit edere. Porro animis jam recreatis omnium, sumpserunt & ipsi cibum. Eramus vero universæ animæ in navi ducentæ septuaginta sex, & satiati cibo alleviabant navem ejicientes triticum in mare. Dum autem dies esset, terram non agnoscebant: sinum verò quendam animadverterunt habentem littus, in quod cogitabant si possent impingere navem. Et cum anchoras sustulissent, committebant se mari simul laxatis juncturis gubernaculorum, & sublato artemone ad auræ flatum tendebant ad littus. Et cum incidissent in locum bimarem, impegerunt navem: ac prora quidem infixa manebat immobilis, puppis vero solve-*

solvebatur à vi undarum. Iterũ tentat diabolus obsistere Prophetiæ. & volebant quosdam interficere, sed non permisit Centurio, ut Paulum servet, adeò illum jam familiariter diligebat. *Militum autem consilium erat, ut vinctos occiderent, ne quis cum enatasset, effugeret. At Centurio volens servare Paulum, compescuit eos à consilio, jussitq́, ut qui possent natare abjicerent se primos, & in terram evaderent, cæterique partim in tabulis, partim in quibusdã navis fragmentis. Et sic factũ est ut omnes incolumes evaderẽt in terrã.*

Cap. XXVIII.

Et cum evasissent, tunc cognoverunt quòd Melite insula vocetur. Vides quantum bonum factum est ex tempestate? Non igitur erat ex derelictione. Et quomodo, inquit, ferebant cum nihil ederent, nullúmque cibum sumerent? Timor tenebat illos, & appetitum cibi negabat extremè periclitaturis. Igitur quod factum est, à tempore erat: maximum autem miraculum, quod in tali tempore à periculis mediis servati sunt, & ipse & propter ipsum cæteri. *Et sublato artemone ad venti flatum contendebant ad littus.* Hoc dixit ostendere volens violentiam quam sustinebant in tempestate. Sæpe enim non sic faciunt. Ideò & deduxerunt carbasa, hoc est, velum, id quod fit ubi vehementer flat ventus, ut impediatur venti violentia. Hæc autem patiebantur in Adria, ubi servari difficile. *Eramus autem in navi animæ omnes ducentæ septuaginta sex.* Et unde manifestum quod tot erant qui simul navigabant? Verisimile erat illos rogasse causam propterquam navigant, & didicisse omnia: qui & nihil edebant, quia nulla erat eis cura cibi, eo quod non erat vulgare periculum. Et vide quomodo Paulo non simpliciter accidit dilatio navigationis, & intempestiva navigatio, sed facit illud doctrinæ tempus. Non parum autem fuerit, siquidem hi omnes crediderunt. Sed videamus iterum quæ dicta sunt: *Multo jam tempore transacto cum esset jam periculosa navigatio, admonebat Paulus, dicens illis: Viri, video quod cum injuria & damno futura est navigatio.* Vide quàm alienus est à fastu. Ne videatur prophetizare, sed quasi à conjectura dicere: *Video* inquit. Non enim suscepissent statim, si hoc dixisset; Prius igitur prophetizat, & dicit, *Deus cui servio*, inducens illos: quomodo igitur non fuisset cum jactura animarum? Fuisset utique nisi Deus servasset: certè quantum ad rei naturam pertinet, periissent, sed Deus prohibuit. *Centurio autem*, inquit, *gubernatori magis credebat, quàm his quæ dicebantur à Paulo*: ut ostendatur, quod non à conjectura hæc dicebat, gubernator contraria dicit, idque experientia clarus. Ita non erant è conjectura quæ dicebantur. *Cum autem portus*, inquit, *non esset idoneus ad hybernandum.* Vides & locus docet non esse à conjectura. Imo multi illi à conjectura loquebantur qui & inde suadebant solvendum. Sed nulla illis inde utilitas: inciderunt enim in tempestatem, & jacturam eorum quæ vehebant, faciunt. Ideò & hoc manifestans subdidit. Cum autem vehementi tempestate jactaremur, nostris manibus armamenta navis projecimus. Ne posthac possint esse increduli, hæc fieri permittuntur. Et oritur magna tempestas, & ingentes tenebræ fiunt: postea ne pereant, etiam triticum ejicitur, & omnia. Hoc enim est, *armamenta navis projecimus. Cum autem esset multa inedia, dixit Paulus: Oportebat morem gerentes mihi, lucrifecisse id jactura.* Vide quomodo non parva ad audiendum conferebant, tempestas, inquit, & tenebræ. Et vide quomodo credit Centurio, ut & scapham relinquat & perdat. Quod autem nautæ nondum crediderunt, & postea credunt, ne mireris. Etenim genus illorum impudens quodammodo est, & ad credendum durius. Tu autem etiam sapientiam Pauli hinc considera. Non enim increpat & exasperatur, sed mansuete sic: *Oportebat*, inquit. Sciebat enim quod calamitosis non est acceptus objurgator, sed ubi etiam plures calamitates præterierint, fit acceptior. Igitur tunc aggreditur quando omnis spes salutis sublata, tunc & utilia prædicit. Ut autem decima quarta nox facta est, inquit, *timentes optabant diem fieri.* Ne quis dicat quod nihil fuerit, hoc addidit, ostendens omnia facta: quod autem facta sint, timor testabatur, *Optabant*, inquit, *diem fieri timentes.* Et locus difficilis erat. Etenim per Adriam hæc contingunt & erat magna inedia. *Hic decimusquartus dies est, quod expectantes jejuni permanetis.* Ita omnia docent eos in medio fuisse mortis. Ideò subdit: *Obsecro vos ut sumatis cibum*, hoc enim ad salutem vestram fuerit. Hoc est, ne forsan fame pereatis, cibum sumite. Ut autem *panem accepit, gratias egit Deo.* Vide quod ille gratias agit, propter ea quæ facta sunt, non solum illos confirmavit, sed etiam alacres facit. *Eramus* autem, inquit, *omnes animæ in navi ducentæ septuaginta sex.* De his dicebat, jactura animæ ne unius quidem erit ex nobis. Hoc ex satis persuasa anima proficiscebatur, dicere quod ne una quidem anima peritura esset. *Satiati autem cibo, alleviabant navim ejicien-*

ἐλύετο ὑπὸ τῆς βίας τῶν κυμάτων. πάλιν πειρᾶται ὁ διάβολος ἐμποδίσαι τῇ προφητείᾳ, καὶ ἐβουλεύοντό τινας ἀνελεῖν, ἀλλ᾽ οὐκ εἴασεν ὁ ἑκατόνταρχος, ἵνα τὸν Παῦλον σώσῃ. οὕτως ἤδη ᾠκειωμένος ἦν αὐτῷ. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσι, μή τις ἐκκολυμβήσας διαφύγῃ. ὁ δὲ ἑκατόνταρχος βουλόμενος διασῶσαι τὸν Παῦλον, ἐκώλυσεν αὐτοὺς τοῦ βουλήματος, ἐκέλευσέ τε τοὺς δυναμένους κολυμβᾷν ἀπορρίψαντας πρώτους ἐπὶ τὴν γῆν ἐξιέναι, καὶ τοὺς λοιποὺς οὓς μὲν ἐπὶ σανίσιν, οὓς δὲ ἐπί τινων τῶν ἀπὸ τοῦ πλοίου. καὶ οὕτως ἐγένετο πάντας διασωθῆναι ἐπὶ τὴν γῆν.

Καὶ διασωθέντες, τότε ἐπέγνωσαν ὅτι Μελίτη ἡ νῆσος καλεῖται. ὁρᾷς ὅσον γέγονεν ἀγαθὸν ἀπὸ τοῦ χειμῶνος; οὐκ ἄρα ἐγκαταλείψεως ἦν ὁ χειμών. καὶ πῶς, φησίν, ἔφερον ἄσιτοι ὄντες καὶ μηδενὸς μεταλαμβανόμενοι; ὁ φόβος κατεῖχεν αὐτούς, καὶ οὐκ εἴα εἰς ἐπιθυμίαν τροφῆς ἐμπεσεῖν, μέλλοντας ὑπὲρ τῶν ἐσχάτων κινδυνεύειν. τὸ μὲν οὖν γινόμενον, ἀπὸ τοῦ καιροῦ ἐγένετο· τὸ δὲ θαῦμα μεῖζον, ὅτι ἐν καιρῷ τοιούτῳ ἐκ μέσων ἐσώθησαν τῶν κινδύνων, αὐτός τε καὶ δι᾽ αὐτὸν οἱ λοιποί. καὶ ἐπάραντες τὸν ἀρτέμονα τῇ πνεούσῃ, κατεῖχον εἰς τὸν αἰγιαλόν. τοῦτο εἶπε, τὴν βίαν δεῖξαι βουλόμενος ἣν ὑπέμενον χειμαζόμενοι. πολλάκις γὰρ οὐχ οὕτω ποιοῦσι. διὸ καὶ κατήγαγον τὴν ὀθόνην· τουτέστι, τὰ ἱστία. ὅταν γὰρ σφοδρὸς ἄνεμος ᾖ, τοῦτο γίνεται, ἐγκόπτοντες τοῦ πνεύματος τὴν ῥύμην. ταῦτα δὲ πάσχουσιν ἐν τῷ Ἀδρίᾳ, ἔνθα τὸ σώζεσθαι χαλεπόν. ἦμεν δὲ ἐν τῷ πλοίῳ αἱ πᾶσαι ψυχαὶ διακόσιαι ἑβδομηκονταέξ. καὶ πόθεν δῆλον ὅτι τοσοῦτοι ἦσαν οἱ συμπλέοντες; εἰκὸς ἦν αὐτοὺς ἐρωτᾷν τὴν αἰτίαν δι᾽ ἣν πλέουσι καὶ μαθεῖν πάντα. οἳ καὶ οὐδενὸς μετελάμβανον, ὅτι οὐκ ἦν αὐτοῖς φροντὶς τροφῆς, ἅτε οὐ περὶ τοῦ τυχόντος ὄντος τοῦ κινδύνου. καὶ ὅρα πῶς οὐχ ἁπλῶς οὐδὲ ἡ παρολκὴ τοῦ πλέους γέγονε τῷ Παύλῳ, οὐδὲ ἄκαιρος ὁ πλοῦς, ἀλλὰ ποιεῖται αὐτὸ διδασκαλίας καιρόν. οὐ μικρὸν δὲ τοῦτο, εἴγε πάντες τοῦτο ἐπίστευσαν. ἀλλ᾽ ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. ἱκανοῦ δὲ χρόνου διαγενομένου, καὶ ὄντος ἤδη ἐπισφαλοῦς τοῦ πλοός, παρῄνει ὁ Παῦλος λέγων αὐτοῖς· ἄνδρες, θεωρῶ ὅτι μετὰ ὕβρεως καὶ ζημίας μέλλειν ἔσεσθαι τὸν πλοῦν. ὅρα τὸ ἄτυφον. ἵνα μὴ δόξῃ προφητεύειν, ἀλλ᾽ ὡς ἀπὸ τοῦ στοχασμοῦ λέγειν, θεωρῶ, φησίν. οὐ γὰρ ἂν ἐδέξαντο εὐθέως, εἰ τοῦτο εἶπε· πρότερον γοῦν προφητεύει, καὶ λέγει, ὁ Θεὸς διέσωσεν. ὅσον γὰρ κατὰ τὴν φύσιν τοῦ πράγματος, ἀπώλοντο ἄν· ἀλλ᾽ ὁ Θεὸς ἐκώλυσεν. ὁ δὲ ἑκατόνταρχος, φησί, τῷ κυβερνήτῃ μᾶλλον ἐπείθετο, ἢ τοῖς ὑπὸ τοῦ Παύλου λεγομένοις, ἵνα δειχθῇ ὅτι οὐκ ἀπὸ στοχασμοῦ ταῦτα ἔλεγεν, ὁ κυβερνήτης τὰ ἐναντία λέγει, καὶ ταῦτα ἔμπειρος ὤν. οὕτως οὐκ ἀπὸ στοχασμοῦ ἦν τὰ λεγόμενα. ἀνευθέτου δὲ τοῦ λιμένος, φησίν, ὑπάρχοντος. ὅρα καὶ ὁ τόπος διδάσκει μὴ ἀπὸ στοχασμοῦ εἶναι. ἀνεύθετος ἦν· μᾶλλον δὲ ἀπὸ στοχασμοῦ φαίνονται λέγοντες ἐκεῖνοι οἱ πλείους, οἳ καὶ βουλεύονται ἀναχθῆναι ἐκεῖθεν· ἀλλ᾽ οὐδὲν αὐτοῖς πλέον ἐκ τούτου γίνεται. περιπίπτουσι γὰρ κλύδωνι, καὶ ἐκβολὴν ὧν ἐπεφέροντο ποιοῦνται. διὸ καὶ τοῦτο δηλῶν ἐπήγαγε· σφοδρῶς δὲ χειμαζομένων ἡμῶν, αὐτόχειρες τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. ἵνα μὴ ἔχωσι μετὰ ταῦτα ἀπειθεῖν, ταῦτα συγχωρεῖται, καὶ χαλεπὸς χειμὼν ἐγείρεται, καὶ πολὺ τὸ σκότος γίνεται. εἶτα ἵνα μὴ ἀπόλωνται, καὶ ὁ σῖτος ῥίπτεται, καὶ πάντα. τοῦτο γάρ ἐστι, τὴν σκευὴν τοῦ πλοίου ἐρρίψαμεν. πολλῆς δὲ ἀσιτίας ὑπαρχούσης, εἶπεν ὁ Παῦλος· ἔδει πειθαρχήσαντάς μοι κερδῆσαι τὴν ζημίαν. εἶδες πῶς οὐ μικρὰ πρὸς τὴν ἀκρόασιν συνέβαλετο καὶ ὁ χειμὼν καὶ τὸ σκότος; καὶ ὅρα πῶς πείθεται ὁ ἑκατόνταρχος, ὥστε καὶ τὴν σκάφην ἀφεῖναι καὶ ἀπολέσαι. εἰ δὲ οἱ ναῦται οὐδέπω ἐπείσθησαν, ἀλλ᾽ ὕστερον πείθονται, μὴ θαυμάσῃς. καὶ γὰρ τὸ γένος τὸ τούτων, ἴσαμεν πως ἐστὶ καὶ σκληρὸν πρὸς τὸ πεισθῆναι. σὺ δέ μοι σκόπει τὴν σύνεσιν καὶ ἐντεῦθεν τοῦ Παύλου. οὐ γὰρ ἐπιτιμᾷ καὶ τραχύνεται· ἀλλ᾽ ἡμέρως, οὕτως ἔδει φησίν. ᾔδει γὰρ ὅτι οὐκ ἔστιν εὐπαράδεκτος ἐγκαλῶν τις ἐν συμφορᾷ· ἀλλ᾽ ὅταν καὶ τὰ πλείονα παρατρέχῃ τῆς συμφορᾶς, τότε εὐπαράδεκτος γίνεται. τότε τοίνυν ἐπιτίθεται, ὅτε πᾶσα ἡ ἐλπὶς τοῦ σωθῆναι περιῃρέθη· τότε καὶ τὰ χρηστὰ προλέγει. ὡς δὲ τεσσαρεσκαιδεκάτη νὺξ ἐγένετο, φησί, φοβούμενοι ηὔχοντο ἡμέραν γενέσθαι. ἵνα μή τις εἴπῃ, ὅτι οὐδὲν γέγονε, τοῦτο ἐπήγαγε, δεικνὺς πάντα γεγενημένα. ὅτι δὲ γέγονε, καὶ ὁ φόβος μαρτυρεῖ. ηὔχοντο γάρ, φησιν, ἡμέραν γενέσθαι φοβούμενοι. καὶ ὁ τόπος χαλεπός· κατὰ γὰρ τὸν Ἀδρίαν ταῦτα συμβαίνει· καὶ ἡ ἀσιτία ἡ πολλή. τεσσαρεσκαιδεκάτην γὰρ σήμερον ἡμέραν προσδοκῶντες ἄσιτοι διατελεῖτε. ὥστε ἐξ ἁπάντων ἐν μέσῳ ἦσαν θανάτου. διὸ καὶ ἐπάγει· παρακαλῶ ὑμᾶς προσλαβεῖν τροφῆς. τοῦτο γὰρ πρὸς τῆς ὑμετέρας σωτηρίας ὑπάρχει· τουτέστι, μή ποτε λιμῷ διαφθαρῆτε, τροφῆς μεταλάβετε. λαβὼν δὲ ἄρτον, φησίν, εὐχαρίστησε τῷ Θεῷ. ὅρα. τὸ εὐχαριστῆσαι αὐτὸν ἐπὶ τοῖς γεγενημένοις, οὐ μόνον αὐτοὺς ἐπέρρωσεν, ἀλλὰ καὶ εὐθύμους ποιεῖ. ἦμεν δέ φησι, πᾶσαι αἱ ψυχαὶ ἐν τῷ πλοίῳ διακόσιαι ἑβδομηκονταέξ. περὶ τούτων ἔλεγεν· ἀποβολὴ ψυχῆς οὐδεμία ἔσται ἐξ ὑμῶν. τοῦτο πεπληροφορημένης ψυχῆς, τὸ εἰπεῖν ὅτι σωθήσονται. κορεσθέντες δὲ τῆς τροφῆς ἐκούφιζον τὸ πλοῖον ἐκβαλλόμενοι τὸν σῖτον. ὁρᾷς; πῶς τὸ λαβεῖν

τροφῆς

τροφὴν πείθονται μόνον· ἀλλ' οὕτω λοιπὸν τὸ πᾶν ἔρριψαν ἐπὶ τὸν Παῦλον, ὡς καὶ τὸν σῖτον ἐκβαλεῖν. ὅρα αὐτοὺς καὶ τὰ ἀνθρώπινα ποιοῦντας, καὶ οὐ κωλύοντα τὸν Παῦλον. ὅτε δέ φησιν, ἡμέρα ἐγένετο, ἀνῆκαν τὰς ζευκτηρίας. διαλύεται τὸ πλοῖον ἐν ἡμέρᾳ, ἵνα μὴ τῷ φόβῳ διαλυθῶσιν, ἵνα ἴδῃς ἔργῳ τὴν προφητείαν. τῶν δὲ στρατιωτῶν βουλὴ ἐγένετο, ἵνα τοὺς δεσμώτας ἀποκτείνωσιν. ὁρᾷς ὅτι καὶ κατὰ τοῦτο τῷ Παύλῳ ἐχαρίσθησαν; διὰ γὰρ αὐτὸν οὐκ εἴασεν αὐτοὺς ἀναιρεθῆναι ὁ ἑκατόνταρχος. οὕτω μοι δοκοῦσιν ὡμολογημένοι εἶναι κακοὶ ἐκεῖνοι, ὥστε ἐλέσθαι αὐτοὺς καὶ ἀνελεῖν, ἀλλ' οὐδὲν πλέον γέγονε τοῦ βουλήματος κωλυθέντος· ἀλλ' οἱ μὲν ἐξεκολύμβησαν, οἱ δὲ ἐπὶ σανίδων ἐφέροντο, καὶ πάντες οὕτως ἐσώθησαν, καὶ ἡ προφητεία τέλος ἐλάμβανεν, εἰ καὶ μὴ τῷ χρόνῳ σεμνὴ ἦν οὖσα. οὐ γὰρ πρὸ πολλῶν ἐτῶν αὐτὴν προεῖπεν, ἀλλὰ τῇ φύσει τῶν πραγμάτων ἑπόμενος. ἀνέλπιστα γὰρ ἦν πάντα, καὶ διὰ τῆς οἰκείας σωτηρίας ἐμάνθανον τίς ὁ Παῦλος ἦν. ἀλλ' εἴποι ἄν τις· διατί μὴ τὸ πλοῖον διέσωσεν; ἵνα μάθωσιν ἐξ οἵου κίνδυνον διέφυγον· ὅτι οὐκ ἀνθρωπίνης βοηθείας ἦν τὸ πᾶν, ἀλλὰ τῆς τοῦ Θεοῦ χειρὸς χωρὶς πλοίου σωζούσης. ὥστε οἱ δίκαιοι, κἂν ἐν χειμῶνι ὦσι, κἂν ἐν θαλάσσῃ, κἂν ἐν πελάγει, οὐδὲν πάσχουσι δεινόν· ἀλλὰ καὶ ἑτέρους συνδιασώζουσιν. εἰ πλοῖον κινδυνεῦον, καὶ ναυάγιον ὑπομένον, καὶ δεσμῶται διὰ Παῦλον ἐσώθησαν, ἐννόησον τί ἐστιν ἅγιον ἄνδρα εἶναι ἐν οἰκίᾳ· πολλοὶ γὰρ οἱ χειμῶνες καὶ ἡμῖν ἐφίστανται, καὶ πολλῷ τούτων χαλεπώτεροι· ἀλλὰ δύναται καὶ ἡμᾶς ὁ Θεὸς χαρίσασθαι, μόνον ἐὰν πειθώμεθα τοῖς ἁγίοις καθάπερ ἐκεῖνοι, ἂν ποιῶμεν ἃ προστάττουσιν. οὐ γὰρ ἁπλῶς σώζονται, ἀλλὰ καὶ αὐτοὶ πίστιν εἰσενηνόχασι· κἂν δέσμιος ᾖ ὁ ἅγιος, τῶν λελυμένων μεῖζον ἐργάζεται. καὶ σκόπει τοῦτο ἐνταῦθα γεγενημένον. ὁ λελυμένος ἑκατόνταρχος αὐτοῦ ἐδεῖτο τοῦ δεδεμένου· ὁ ἐπιστήμων κυβερνήτης τοῦ μὴ κυβερνήτου ἐχρῄζε, μᾶλλον δὲ τοῦ ὄντος κυβερνήτου. οὐ γὰρ τοιοῦτον ἐκυβέρνα σκάφος, ἀλλὰ τὸ τῆς οἰκουμένης τῆς ἐκκλησίας, παρ' ἐκείνου μαθὼν τοῦ καὶ θαλάσσης δεσπότου, οὐκ ἀνθρωπίνῃ τέχνῃ, ἀλλὰ πνευματικῇ σοφίᾳ· ἐν τῷ σκάφει τούτῳ, πολλὰ ναυάγια, πολλὰ κύματα, πνεύματα πονηρίας, ἔσωθεν μάχαι, ἔξωθεν φόβοι· ὥστε ὁ ὄντως κυβερνήτης, ἐκεῖνος ἦν. ὅρα δὴ τὸν βίον ἡμῶν ἅπαντα πῶς τοιοῦτός ἐστι. ποτὲ μὲν γὰρ φιλανθρωπίας ἀπολαύομεν, ποτὲ δὲ χειμῶνες, ποτὲ καὶ παρ' οἰκείαν ἀβουλίαν, καὶ παρὰ τὸ ῥᾳθυμεῖν δὲ μυρίοις ἐμπίπτομεν κακοῖς· μᾶλλον δὲ τοῦτο γίνεται, παρὰ τὸ μὴ ἀκούειν Παύλου, ὅταν ἐπειγώμεθα που ἀπελθεῖν, ἔνθα μὴ κελεύει. συμπλεῖ γὰρ καὶ νῦν ἡμῖν ἀλλ' οὐ δεδεμένος, καθάπερ τότε. παραινεῖ καὶ νῦν, καὶ λέγει τοῖς ἐν τῇ θαλάττῃ ταύτῃ, Προσέχετε ἑαυτοῖς· εἰσελεύσονται γὰρ μετὰ τὴν ἄφιξίν μου λύκοι βαρεῖς εἰς ὑμᾶς· καὶ πάλιν, Ἐν ὑστέροις καιροῖς ἐνστήσονται καιροὶ χαλεποί· καὶ ἔσονται οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες. τοῦτο πάντων χαλεπώτερον τῶν πνευμάτων. μένωμεν οὖν ἔνθα κελεύει ἐπὶ τῆς πίστεως, ἐπὶ τοῦ λιμένος τοῦ ἀσφαλοῦς· αὐτοῦ μᾶλλον ἀκούωμεν, ἢ τοῦ κυβερνήτου τοῦ ἐν ἡμῖν· τουτέστι τοῦ λογισμοῦ. μὴ ἅπερ ἂν ὑποβάλλῃ οὗτος, ποιῶμεν· μὴ ἅπερ ὁ ναύκληρος· ἀλλ' ἅπερ ἂν ὁ Παῦλος· μυρίους τοιούτους διῆλθε χειμῶνας, μὴ τῇ πείρᾳ μανθάνωμεν, ἀλλὰ πρὸ τῆς πείρας κερδάνωμεν καὶ ὕβριν καὶ ζημίαν. ἄκουσον τί φησιν· Οἱ βουλόμενοι πλουτεῖν, ἐμπίπτουσιν εἰς πειρασμόν. πειθώμεθα τοίνυν αὐτῷ, ἐπεὶ καὶ ἐκεῖνοι μὴ πεισθέντες, ὁρᾶτε τί ἔπαθον. καὶ πάλιν ἑτέρωθι λέγει, τί ποιεῖ ναυάγια· Οἵ τινες, φησίν, ἐναυάγησαν περὶ τὴν πίστιν. σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης. πειθώμεθα Παύλῳ, κἂν ἐν μέσῳ ὦμεν χειμῶνι, πάντως ἀπαλλαγησόμεθα τῶν κινδύνων, κἂν τεσσαρεσκαίδεκα ἡμέρας ἄσιτοι διαμένωμεν· κἂν ἡ ἐλπὶς τῆς σωτηρίας ἐκπέσῃ· κἂν ἐν σκότῳ ὦμεν καὶ γνόφῳ, πεισθέντες αὐτῷ, ἀπαλλαγησόμεθα τῶν κινδύνων. πλοῖον εἶναι νομίζομεν τὴν οἰκουμένην πᾶσαν, κἂν τούτῳ τοὺς κακούργους καὶ μυρία ἔχοντας δεινά· τοὺς μὲν, ἄρχοντας· τοὺς δὲ, φύλακας· τοὺς δὲ, δικαίους, οἷος Παῦλος· τοὺς δὲ, δεσμίους, τοὺς ἁμαρτίαις δεδεμένους. ἂν μὲν οὖν Παύλῳ πειθώμεθα, οὐ δεδεμένοι ἀπολλύμεθα, ἀλλὰ καὶ λυόμεθα. χαρίζεται καὶ ἡμᾶς αὐτῷ ὁ Θεός· ἢ οὐκ οἶδ' δεσμὸν εἶναι χαλεπὸν τὰ ἁμαρτήματα καὶ τὰ πάθη; οὐ γὰρ δὴ χεῖρες μόνον εἰσὶ δεδεμέναι, ἀλλ' ὁ πᾶς ἄνθρωπος. εἰπὲ γάρ μοι, ὅταν τις χρήματα πολλὰ κεκτημένος μὴ ἀναλίσκῃ, μηδὲ δαπανᾷ, ἀλλὰ κατέχῃ, οὐχὶ παντὸς δεσμίου χαλεπώτερον τῇ φειδωλίᾳ δεσμεῖται δεσμῷ ἀρραγεῖ; τί δαί, ὅταν τις εἱμαρμένῃ ἑαυτὸν ὑποβάλλῃ, οὐχὶ πάλιν ἄλλοις οὗτος δεσμοῖς δέδεται; τί δαί ὅταν παρατηρήσεσι; τί δαί ὅταν συμβόλοις, οὐχὶ παντὸς δεσμοῦ ταῦτα χαλεπώτερα; τί δαί ὅταν ἐπιθυμίᾳ ἀλόγῳ καὶ ἔρωτι; τίς διαρρήξει τούτους ὑμῖν τοὺς δεσμούς; τοῦ Θεοῦ χρεία ὥστε λυθῆναι· καὶ ἓν μὲν τούτων ἀρκεῖ κίνδυνον ποιῆσαι. ὅταν δὲ καὶ δεσμὰ καὶ χειμὼν, ἐννόησον ὅσον τὸ τῶν κινδύνων. τί γὰρ οὐχ ἱκανὸν διαφθεῖραι; οὐχ ὁ λιμός; ὁ χειμών; ἡ κακία τῶν ἐμπλεόντων; τὸ τοῦ καιροῦ ἀνεπιτήδειον; ἀλλὰ πρὸς ταῦτα πάντα, ἔστη ἡ λαμπρότης Παύλου. οὕτω δὴ καὶ νῦν. κατέχωμεν παρ' ἑαυτοῖς τοὺς ἁγίους, καὶ οὐκ ἔσται χειμὼν μᾶλλον δὲ κἂν ᾖ χειμὼν, ἔσται εὐδία καὶ γαλήνη πολλὴ καὶ ἀπαλλαγὴ τῶν κινδύνων. ἐπειδὴ τὸν ἅγιον εἶχε φίλον ἡ χήρα ἐκείνη, καὶ ὁ θάνατος ἐλύθη τοῦ παιδίου, καὶ τὸν παῖδα πάλιν ζῶντα ἀπελάμβανεν. ἔνθα πόδες ἁγίων ἐπιβαίνουσιν, οὐδὲν

es triticum. Vides, cum hoc quod accipiunt cibum, credunt solum, & sic jam totum in Paulum rejiciebant. Vide illos & humana facere, & non prohibere Paulum. *Quando autem*, inquit, *dies factus est, laxaverunt juncturas*: destruitur navis in die, ne metu pereant, ut videas re ipsa Prophetiam. *Militum autem consilium erat, ut occiderent vinctos.* Vides quod etiam per hoc Paulo grati facti sunt. Nam propter illum non permisit eos occidi Centurio, ita mihi videntur ex confesso mali fuisse, ita ut occidere illos vellent: sed non est factum, consilio impedito. *Et alii quidem natando evaserunt, alii autem in tabulis efferebantur*, & omnes ita servati sunt, & Prophetia sic impleta est. Non enim ante multos annos prædixerat, sed naturam eventuum sequens: omnia enim erant supra spem, & per suam salutem didicerunt quis esset Paulus. Si autem diceret quis, quare non & navim servavit? ut discant quale periculum evaserint, quia non totum fiebat humano adjutorio sed manu Dei, quæ absque nave servavit. Atque ita justi licet in tempestate sint, licet in mari, licet in pelago, nihil grave patiuntur, quin & alios secum servant. Si navigantes, periclitantes, & naufragium sustinentes, si & vincti per Paulum servati sint, cogita quid est esse virum sanctum in domo: multæ enim tempestates etiam nobis incumbunt his multo graviores, sed potest Deus etiam nos donare, modo credamus sanctis sicut illi, si fecerimus quæ præcipiunt. Non enim simpliciter servantur, sed etiam ipsi fidem attulerunt: licet vinctus esset sanctus, majora solutis operatur: Et considera hoc hic factum. Solutus Centurio vincto illo habebat opus. Gubernator peritus, non gubernante egebat. Non enim talem gubernabat scapham, sed orbis Ecclesiam, qui didicerat ab illo maris Domino non humana arte, sed spirituali scientia in navi illa multa naufragia, multas procellas, spiritus malitiæ, *intus pugnas, foris timores*: atque ita hic revera [2.Cor. 7,5.] gubernator erat. Vide oro omnem vitam nostram sic constitutam, nunc enim misericordia fruimur, nunc autem tempestas incidit, nunc ob propriam stultitiam & ignaviam in multa incidimus gravia, imo hoc fit, quod non audimus Paulum festinantes aliquo ire, quo ille non jubet. Quippe etiamnum navigationis nostræ socius est, licet non ligatus ut tunc. Adhortatur etiamnum & dicit his qui in mari hoc, *Attendite vobis ipsis, ingredien-* [Act.20,29.] *tur post meam abitionem lupi graves ad vos.* Et iterum: *In novissi-* [2.Tim.3,2.] *mis temporibus instabunt tempora periculosa, & erunt homines seipsos amantes, avari, arrogantes.* Hic enim omnium importunissimus spiritus est. Maneamus igitur ubi jubet, in fide scilicet, in securo portu. Ipsum magis audiamus, quam gubernatorem qui est in nobis, rationem inquam. Ne ea quæ suggerit, faciamus: ne ea quæ nauclerus, sed quæ Paulus jubet, qui plurimas tutus transiit tempestates: ne experientia discamus, sed ante experientiam discamus vitare contumeliam & damnum. Audi quid dicat: *Qui* [1.Tim 6,9.] *volunt ditari, incidunt in tentationem.* Credamus ei. Vide enim quid his qui non crediderunt, acciderit. Et iterum alia ex causa, unde sint naufragia dicit: *Qui sane*, inquit, *naufragium fecerunt* [Ibid.1,19.] *circa fidem, tu autem mane in his quæ didicisti.* Credamus Paulo etiam si in media tempestate simus, omnino à periculis liberabimur, etiam si quatuordecim noctium inedia vexati simus, etiamsi spes salutis exciderit, etiamsi in tenebris simus ac caligine, credentes ei à periculo liberabimur. Navim esse putemus universum orbem, & in hoc malefactores & multis flagitiis turpes, & alios quidem principes, alios vero vinctos, alios autem justos qualis Paulus, alios demum vinctos & peccatis astrictos. Itaque si quidem Paulo crediderimus, non vincti peribimus, sed etiam solvemur. Donat etiam nos illi Deus. An negas peccata & affectiones gravia esse vincula? non solæ manus vinctæ sunt, sed totus homo. Dic oro: Nonne si quis multas possidens pecunias, eas non erogat, neque insumit, sed retinet, parsimonia gravius quam indisruptis vinculis ligatur? Item quando quis fato se subjicit, nonne hic iterum aliis ligatus est vinculis? Item si superstitiosis traditionibus & symbolis, nonne quovis vinculo illa molestiora? Adde si concupiscentiæ irrationabili & fœdo amori, quis nobis hæc vincula rumpet? Profecto Deo opus est ut solvantur: & sufficit quidem uno periclitari malo: quando autem vincula & tempestas junguntur, cogita quantum erit tunc periculum? Quid enim non sufficit ad perdendum, nonne fames? nonne tempestas? malitia simul navigantium? temporis importunitas? at contra hæc omnia stat Pauli claritas. Sic sanè etiam nunc. Retineamus apud nos sanctos, nec erit tempestas, imo etiam si fuerit tempestas, erit serenitas ac tranquillitas, & à periculis liberatio. Quoniam vidua illa sanctum [2.Reg 4.] hospitio habebat, etiam filii ejus mors soluta est, & redivivum accepit puerum. Ubi pedes sanctorum ingrediuntur, nihil

erit quod contristat, etiam si quid fiat, id ad probationem majorémque Dei gloriam pertinet. Assuesce, ut pavimenta domus à talibus calcentur pedibus & non calcabit dæmon illic, & valde merito: nam sicut ubi fragrantia est, ibi non habet locum graveolentia: ita ubi sanctum est unguentum, ibi suffocatur dæmon, lætificat simul agentes, animam recreat, odorem diffundit. Ubi spinæ, ibi bestiæ: ubi hospitalitas, ibi non sunt spinæ. Misericordia ingrediens, quavis falce melius sentes exsecat, quovis igne violentius exurit. *Ne timeas.* Reverentur sanctorum vestigia, sicut leonem vulpes. *Justus enim*, inquit, *ut leo confidit.* Introducamus hos leones in domum, & omnes exigentur bestiæ, non clamantibus, sed simpliciter loquentibus illis. Non enim leonis rugitus bestias sic fugat, ut justi oratio dæmones: si loquetur solum, devolant. Et ubi nunc sunt, inquis, tales? ubique si crediderimus nos, si quæsiverimus, si solicitè indagaverimus. Ubi quæsivisti, dic oro, quando hoc tibi fuit curæ? Si autem non quæris, ne mireris si non inveneris. *Qui enim quærit, invenit*, non qui non quærit. Audi eos qui in solitudinibus sunt, abjice aurum & argentum, ubiq; terrarum sunt: etiamsi in domo non recipias, accede tu ad illum, fias cum viro, ad domicilium illius vade, ut possis etiam benedictione frui: magna enim ab illis est benedictio, quam assequi studeamus, ut illorum precibus adjuti, misericordia Dei fruamur, gratia unigeniti illius, cui cum Patre, simul ac sancto Spiritu gloria, imperium, honor, nunc & semper, & in secula seculorum. Amen.

Prov 28, 1. — Matt. 7.

HOMILIA LIV.

Cap. XXVIII. *Barbari verò præstabant non vulgarem humanitatem nobis. Accensa enim pyra recipiebant nos omnes propter imbrem qui imminebat & propter frigus. Quum congregasset autem Paulus sarmentorum multitudinem, & imposuisset in ignem, vipera a calore prorepens, invasit manum ejus.*

PRÆSTABANT, inquit, *non vulgarem humanitatem nobis Barbari*, interpretatur, *accensa pyra:* recipiebant nos omnes: alioqui nulla salutis utilitas fuisset perditura illos tempestate. Quod subjungit dicens, convolvente vero Paulo sarmentorum copiam: Deinde *Paulus sumpta sarmenta posuit in ignem.* Vide illum operantem, vide illum nusquam temere miracula facientem, sed ob necessitatem. Et cum tempestas oriretur, non sine causa prophetizabat: & hic *sarmenta imposuit*, ignarus omnis fastus, ut ita servet illos, fruanturque calore. Postea *vipera præ nimio calore erumpens*, apprehendit manum illius, & quod tetigerit, manifestū facit ex iis quæ præterea refert: *Ut autem viderunt Barbari pendentem bestiam a manu ejus, dicebant inter se: Omnino homicida est homo iste, quem servatum in mari, ultio nullo modo sinit vivere.* Bene etiam hoc permissum est, ut & illi viderent, ac loquerentur talia, ut futuro miraculo non discredant. Et vide illos honestè inter se loquentes. Vide naturæ judicium etiam apud Barbaros incorruptum, neque simpliciter condemnantes. Et hi prius vident, ut magis admirentur. *At ille quidem excussa vipera in ignem, nihil mali passus est. Illi autem expectabant, ut incenderetur, & cum diu expectarent, & viderent nihil mali ei accidere, mutata mente, dicebant eum esse Deum. Expectabant*, inquit, *ut ille cadat mortuus:* & iterum videntes quod nihil tale contingeret, dicebant: *Deus est:* Iterum supra modum loquuntur. Posteà: *In locis autem illis erant prædia primatis insulæ, cui nomen Publio qui nos exceptos triduo benigne tractavit hospitio.* Ecce iterum alius hospitalis Publius & dives & abundantissimus, nihil de religione Christi sciens, sed ob solam calamitatem misertus illorum est, hospitióque benigne tractavit. *Contigit autem patrem Publii febribus ac dysenteria vexatum decumbere. Ad quem Paulus ut ingressus est, oravit, imposuit illi manus & curavit eum.* Et ita dignus erat, cui bene fieret, ideò & pro susceptione Paulus curationem illam retribuit. *Hoc autem facto, cæteri quoque qui habebant infirmitates in insula, accedebant & curabantur: qui & multis honoribus honoraverunt nos, & solventibus imposuerunt quæ necessaria.* Et dederunt, inquit, nobis solventibus ea quæ necessaria cum nobis tum aliis. Vide & à tempestate liberatos non fuisse neglectos, sed etiam propter illum liberali hospitio susceptos & alitos ad menses tres. *Post menses autem tres navigavimus in navi Alexandrina, quæ in insula hyemaverat, cui erat insigne Castor & Pollux.*

A ἔσαι λυπηρόν· κἂν γένηται, πρὸς δοκιμὴν, καὶ πρὸς μείζονα δόξαν τοῦ Θεοῦ. ἔθισον τὸ ἔδαφος τῆς οἰκίας ὑπὸ τούτων πατεῖσθαι ποδῶν· καὶ οὐ πατήσει δαίμων ἐκεῖ· καὶ μάλα εἰκότως. ὥσπερ γὰρ ἔνθα ἂν εὐωδία ᾖ, οὐκ ἔστι χώραν δυσωδίᾳ· οὕτω καὶ ἔνθα μύρον ἐστὶ τὸ ἅγιον, ἀποπνίγεται δαίμων, εὐφραίνει τοὺς συνόντας, διαχεῖ ψυχὴν, ἀνίησιν. ἔνθα ἄκανθαι, ἐκεῖ θηρία· ἔνθα φιλοξενία, οὐκ εἰσὶν ἄκανθαι. ἡ γὰρ ἐλεημοσύνη εἰσελθοῦσα παντὸς δρεπάνου τομώτερον [illegible] τὰς ἀκάνθας· παντὸς πυρὸς σφοδρότερον. μὴ φοβηθῇς. αἰδεῖται τὰ ἴχνη τῶν B ἁγίων, καθάπερ λέοντας ἀλώπεκες. δίκαιος γάρ, φησιν, ὡς λέων πέποιθεν. εἰσαγάγωμεν τούτους τοὺς λέοντας εἰς τὴν οἰκίαν, καὶ πάντα φυγαδεύεται τὰ θηρία, οὐ βοώντων αὐτῶν μεγάλα, ἀλλ' ἁπλῶς φθεγγομένων. οὐ γὰρ βρυχηθμὸς λέοντος οὕτω φυγαδεύει τὰ θηρία, ὡς εὐχὴ δικαίου φυγαδεύει δαίμονας· ἂν φθέγξηται μόνον, κατεπτήχασι. καὶ ποῦ τοιοῦτοι, φησίν, εἰσί; πανταχοῦ, ἂν πιστεύωμεν ἡμεῖς, ἂν C ζητῶμεν, ἂν περιεργαζώμεθα. ποῦ ἐζήτησας εἰπέ μοι; πότε τοῦτο ἔργον ἔσχες; πότε πρᾶγμα τοῦτο ἔθου; εἰ δὲ οὐ ζητεῖς, μὴ θαυμάσῃς ὅτι οὐχ εὑρίσκεις. ὁ γὰρ ζητῶν εὑρίσκει, οὐχ ὁ μὴ ζητῶν. ἄκουσον τοὺς ἐν ταῖς ἐρημίαις ὄντας· ἀπάγαγε χρυσίον καὶ ἀργύριον. πανταχοῦ τῆς οἰκουμένης εἰσί. κἂν μὴ ἐν τῇ οἰκίᾳ δέξῃ, ἄπελθε σὺ πρὸς αὐτόν· συγγενοῦ τῷ ἀνδρί· πρὸς τὸ οἴκημα γενοῦ τὸ ἐκείνου, ἵνα δυνηθῇς ἐπιτυχεῖν καὶ τῆς παρ' αὐτοῦ εὐλογίας ἀπολαῦσαι. μεγάλη γὰρ ἡ παρὰ τῶν ἁγίων εὐλογία, ἧς ἐπιτυγχάνειν σπουδάζωμεν, ἵνα διὰ τῶν εὐχῶν τούτων D βοηθούμενοι τῆς παρὰ τοῦ αὐτοὺς ἐνδυναμοῦντος Θεοῦ φιλανθρωπίας ἀπολαύσωμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς αὐτοῦ υἱοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ πνεύματι δόξα, κράτος, τιμὴ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ νδ'.

Οἱ δὲ βάρβαροι παρεῖχον οὐ τὴν τυχοῦσαν φιλανθρωπίαν ἡμῖν. ἀνάψαντες γὰρ πυρὰν, προσελάβοντο πάντας ἡμᾶς, διὰ τὸν ὑετὸν τὸν ἐφεστῶτα, καὶ διὰ τὸ ψῦχος. συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος, καὶ ἐπιθέντος ἐπὶ τὴν πυρὰν, ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα, καθῆψε τῆς χειρὸς αὐτοῦ. E

ΠΩΣ παρεῖχον τὴν φιλανθρωπίαν οἱ βάρβαροι, ἑρμηνεύει. ἀνάψαντες γάρ, φησι, πυρὰν, προσελάβοντο πάντας ἡμᾶς· ἐπεὶ οὐδὲν ὄφελος ἀλλαχόθεν τῆς σωτηρίας ἦν, τοῦ χειμῶνος μέλλοντος αὐτοὺς διαφθείρειν. ἀνάπτουσι τὴν πυράν. εἶτα ὁ Παῦλος A λαβὼν φρύγανα ἐπέθηκεν ἐπὶ τὴν πυράν· ὃ καὶ ἐπάγει λέγων· συστρέψαντος δὲ τοῦ Παύλου φρυγάνων πλῆθος. ὅρα αὐτὸν ἐνεργοῦντα. καὶ οὐδαμοῦ θαυματουργοῦντα ἁπλῶς, ἀλλ' ἀπὸ χρείας, καὶ ἐν τῷ χειμῶνι γὰρ οὐκ αἰτίας ἄνευ προεφήτευσεν, ἀλλ' οὐχ ἁπλῶς; καὶ ἐνταῦθα πάλιν φρύγανα συλλέγει καὶ ἐπιτίθησιν. ὅρα οὐδὲν τετυφωμένον ποιοῦντα οὐδὲ [illegible]· ἀλλ' ὥστε διασωθῆναι αὐτοὺς, καὶ θέρμης τινὸς ἀπολαῦσαι. εἶτα ἔχιδνα ἐκ τῆς θέρμης ἐξελθοῦσα τῆς χειρὸς αὐτοῦ ἀνθῆπται B καὶ εἰ ἥψατο, δῆλον ποιεῖ τοῦτο ἐκ τῆς ἐπαγωγῆς λέγων· ὡς δὲ εἶδον οἱ βάρβαροι τὸ θηρίον κρεμάμενον ἐκ τῆς χειρὸς αὐτοῦ, ἔλεγον πρὸς ἀλλήλους· πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάσσης, ἡ δίκη ζῆν οὐκ εἴασε. καλῶς καὶ τοῦτο συνεχωρήθη, ὥστε καὶ ἰδεῖν αὐτοὺς καὶ φθέγξασθαι ταῦτα, ἵνα ὅταν γένηται, μὴ ἀπιστῆτε τῷ θαύματι. ὅρα τὸ φυσικὸν κριτήριον ἀδιάφθορον μένον καὶ παρὰ βαρβάροις, καὶ αἰδεσίμως αὐτοὺς πρὸς ἀλλήλους λαλοῦντας, καὶ μηδὲ C καταγινώσκοντας ἁπλῶς· οὕτω καὶ οὗτοι πρότερον βλέπουσιν, ἵνα μᾶλλον θαυμάσωσιν. ὁ μὲν οὖν ἀποτιναξάμενος τὸ θηρίον εἰς τὸ πῦρ, ἔπαθεν οὐδὲν κακόν. οἱ δὲ προσεδόκων αὐτὸν μέλλειν πίμπρασθαι, ἢ καταπίπτειν ἄφνω νεκρόν. ἐπὶ πολὺ δὲ αὐτῶν προσδοκώντων καὶ θεωρούντων μηδὲν ἄτοπον εἰς αὐτὸν γινόμενον, μεταβαλλόμενοι ἔλεγον Θεὸν αὐτὸν εἶναι. οἱ ἐνόμιζον αὐτὸν πίμπρασθαι· τουτέστι διαρρήγνυσθαι· οὕτω θεασάμενοι ὅτι οὐδὲν κακὸν ἔπαθε, λέγουσιν ὅτι D Θεός ἐστι. πάλιν ἄλλη τούτων ὑπερβολὴ τιμῆς, ὥσπερ καὶ τῶν ὄχλων τῶν ἐν Λυκαονίᾳ. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον, χωρία ὑπῆρχε τῷ πρώτῳ τῆς νήσου ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς ἡμέρας τρεῖς, φιλοφρόνως ἐξένισεν. ἰδοὺ πάλιν ἄλλος φιλόξενος ὁ Πόπλιος, καὶ πλούσιος καὶ εὐπορώτατος· οὗτος οὐδὲν ἰδὼν, ἀλλ' ἀπὸ τῆς συμφορᾶς μόνης ἐλεήσας αὐτοὺς, ὑπεδέξατο καὶ ἐθεράπευσεν. ἐγένετο δὲ τὸν πατέρα τοῦ Ποπλίου, πυρετοῖς καὶ δυσεντερίᾳ συνεχόμενον E κατακεῖσθαι· πρὸς ὃν ὁ Παῦλος εἰσελθὼν καὶ προσευξάμενος, ἐπιθεὶς τὰς χεῖρας αὐτῷ, ἰάσατο αὐτόν. ὥστε ἄξιος ἦν τοῦ παθεῖν καλῶς, διὸ καὶ ἀμοιβὴν αὐτῷ ἀποδίδωσι τῆς ἀποδοχῆς, ἰάσατο αὐτὸν. τούτου δὲ γενομένου, καὶ οἱ λοιποὶ οἱ ἔχοντες ἀσθενείας ἐν τῇ νήσῳ, προσήρχοντο καὶ ἐθεραπεύοντο· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν· τουτέστι, καὶ ἡμῖν ἔδωκαν ἀναγομένοις τὰ πρὸς τὴν χρείαν καὶ τοῖς ἄλλοις. ὅρα αὐτοὺς οὐδὲ τοῦ χειμῶνος ἀπαλλαγέντας, μένοντας ἀτημελήτους, ἀλλὰ καὶ τὴν ὑποδοχὴν φιλότιμον γενομένην δι' αὐτόν. τρεῖς γὰρ μῆνας ἦσαν ἐκεῖ τρεφόμενοι πάντες. καὶ ἔτι τοσοῦτον χρόνον ἐποίησαν, ἄκουε πῶς τοῦτο ἑρμηνεύων ἐπάγει. μετὰ δὲ τρεῖς μῆνας ἀνήχθημεν ἐν πλοίῳ παρακεχειμακότι ἐν τῇ νήσῳ Ἀλεξανδρίνῳ παρασήμῳ Διοσκούροις.

καὶ

„Καὶ καταχθέντες εἰς Συρακούσας, ἐπεμείναμεν ἡμέρας τρεῖς. ὅθεν περιελθόντες κατηντήσαμεν εἰς Ῥήγιον, καὶ μετὰ μίαν ἡμέραν ἐπιγενομένου νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά· καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις Ἀππίου φόρου, καὶ τριῶν Ταβερνῶν. οὓς ἰδὼν ὁ Παῦλος εὐχαριστήσας τῷ Θεῷ ἔλαβε θάρσος. Ὅρα διὰ Παῦλον πάντα γινόμενα ταῦτα, ὥστε πιστεῦσαι τοὺς δεσμώτας, τοὺς στρατιώτας, τὸν ἑκατόνταρχον. εἰ γὰρ αὐτοὶ λίθινοι ἦσαν, καὶ δι' ὧν συμβουλεύσαντος ἤκουσαν, καὶ δι' ὧν προειπόντος, καὶ δι' ὧν θαυματουργήσαντος, καὶ δι' ὧν θρέψαντος ἀπέλαυσαν, μεγάλα ἂν ἐφαντάσθησαν περὶ αὐτοῦ. ὅρα ὅταν ὀρθὴ κρίσις ᾖ, καὶ μὴ προκατειλημμένη πάθει τινὶ, πῶς εὐθέως λαμβάνει τὰς κρίσεις τὰς ὀρθὰς, καὶ τὰς ψήφους διεγνωσμένας. ἤδη καὶ τῆς Σικελίας τὸ κήρυγμα ἥψατο. οὕτω ἐνδέδραμε καὶ ἐν Ποτιόλοις, ἔνθα καὶ ἀδελφούς τινας εὑρόντες ἐπιμένουσι παρ' αὐτοῖς. εἶτα καὶ ἄλλοι κατὰ φήμην αὐτοῖς ἀπαντῶσι· τοσαύτη ἦν ἡ προθυμία τῶν ἀδελφῶν, οὐκ ἐθορυβήθησαν, ἀλλ' ἐξῆλθον εἰς ἀπάντησιν. ὅρα δέ μοι αὐτὸν καὶ ἀνθρώπινόν τι παθόντα. θάρσος γάρ, φησιν, ἔλαβεν ἰδὼν τοὺς ἀδελφούς. καίτοι τοσαῦτα σημεῖα ἐργασάμενος, ἀλλ' ὅμως ἔλαβε καὶ ἀπὸ τῆς ὄψεως προσθήκην. ἀπὸ τούτου μανθάνομεν ὅτι καὶ ἀνθρωπίνως παρακαλεῖται, καὶ τοὐναντίον.

„Ὅτε δὲ ἤλθομεν εἰς Ῥώμην, ἐπετράπη τῷ Παύλῳ μένειν καθ' ἑαυτὸν, „σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. ὁρᾷς; συνεχωρήθη αὐτῷ καθ' ἑαυτὸν μένειν. οὐ μικρὸν καὶ τοῦτο τεκμήριον τοῦ πάνυ θαυμασθῆναι αὐτόν· οὐ γὰρ δὴ μετὰ τῶν ἄλλων ἠρίθμουν αὐτόν. „Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας „συγκαλέσασθαι αὐτὸν τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. Μετὰ τρεῖς ἡμέρας ἐκάλεσε τοὺς πρώτους τῶν Ἰουδαίων, ὥστε μὴ προληφθῆναι αὐτῶν τὰς ἀκοάς. καὶ τί κοινὸν πρὸς ἐκείνους εἶχεν; οὐ γὰρ ἂν αὐτοὶ ἔμελλον κατηγορήσειν αὐτοῦ· ἀλλ' ὅμως οὐ τούτου ἐφρόντιζεν· ἀλλὰ τοῦ διδάξαι καὶ μὴ περιστῆσαι αὐτοῖς τὰ λεγόμενα. οἱ μὲν οὖν Ἰουδαῖοι τοσαῦτα ὁρῶντες θαύματα, ἐδίωκον, ἤλαυνον. οἱ δὲ βάρβαροι οὐδὲν θεασάμενοι, ἀπὸ μόνης τῆς συμφορᾶς φιλάνθρωποι ἦσαν. πάντως, φησὶ, φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος. οὐχ ἁπλῶς ἀποφαίνονται, ἀλλὰ πάντως φασί· τουτέστιν ὡς ἔνεστιν ἰδεῖν. καὶ ἡ δίκη, φησὶ, ζῆν οὐκ εἴασεν αὐτόν. ἄρα καὶ τὸν περὶ προνοίας λόγον εἶχον, καὶ πολλῶν τῶν φιλοσόφων οὗτοι οἱ βάρβαροι φιλοσοφώτεροι ἐτύγχανον. αὐτοὶ μὲν γὰρ οὐκ ἀφιᾶσι προνοίας ἀπολαύειν τὰ ὑπὸ σελήνην· οἱ δὲ, πανταχοῦ νομίζουσι παρεῖναι τὸν Θεόν· καὶ ὅτι κἂν πολλά τις διαφύγῃ, οὐ διαφεύξεται εἰς τέλος. καὶ ὅρα πῶς οὐκ ἐπιτίθενται διελεῖν, ἀλλ' αἰδοῦνται τέως διὰ τὴν συμφοράν· οὐδὲ ἐκπομπεύουσιν, ἀλλὰ πρὸς ἀλλήλους λέγουσι. τὰ γὰρ δεσμὰ τοῦτο ἐδίδασκεν ὑποπτεύειν· καί τοι δεσμῶται ἦσαν. αἰσχυνέσθωσαν οἱ λέγοντες, μὴ εὖ ποιεῖν τοὺς ἐν ταῖς φυλακαῖς. αἰσχυνθῶμεν τοὺς βαρβάρους· οὐ γὰρ ᾔδεισαν τίνες ἦσαν ἐκεῖνοι, ἀλλ' ἀπὸ τῆς συμφορᾶς τέως ὅτι ἄνθρωποι ἦσαν ἐμάνθανον. διὸ καὶ φιλανθρωπίας ἠξίωσαν αὐτούς. ἐπὶ πολὺ δὲ, φησί, προσδοκώντων αὐτῶν, τουτέστιν ὡς πολὺν χρόνον ἀνέμενον ἀποθανεῖν αὐτόν. ὁ δὲ τό τε θηρίον ἐξετίναξεν εἰς τὸ πῦρ, καὶ τὴν χεῖρα ἔδειξε παθοῦσαν μηδέν. τοῦτο ἰδόντες καὶ ἐξεπλάγησαν καὶ ἐθαύμασαν. οὐκ ἐγένετο δὲ τὸ σημεῖον εὐθὺς, ἀλλὰ τῷ χρόνῳ ἐνδιέτριψαν οἱ ἄνθρωποι, ὥστε μὴ δόξαι φαντασίας εἶναι. οὕτως οὐκ ἦν ἀπάτη· οὐκ ἦν συναρπαγή. ἐν δὲ τοῖς περὶ τὸν τόπον ἐκεῖνον ὑπῆρχε χωρία τῷ πρώτῳ τῆς νήσου, ὀνόματι Ποπλίῳ· ὃς ἀναδεξάμενος ἡμᾶς φιλοφρόνως ἐξένισε. καλῶς οὕτως εἶπε· φιλοφροσύνης γὰρ μεγάλης, διακοσίας ἑβδομήκοντα τὸ ξενίσαι ψυχάς. ἐννόησον τῆς φιλοξενίας ὅσον τὸ κέρδος· οὐχ ὡς ἀνάγκης οὔσης, οὐδὲ ὡς ἄκων, ἀλλ' ὡς κέρδος τιθέμενος, τρεῖς ἡμέρας ἐξένισεν αὐτούς. διὸ καὶ ἀμοιβὴν τῆς τοιαύτης φιλοξενίας ἐνοῦτως λαμβάνει, καὶ πολλῷ μείζονα ἢ ἔδωκε. τὸν γὰρ πατέρα αὐτοῦ θεραπεύει ὑπὸ δυσεντερίας κακῶς πάσχοντα· οὐ μόνον δὲ αὐτὸν, ἀλλὰ καὶ πολλοὺς ἔχοντας ἀσθενείας τῆς αὐτοῦ ἀξιοῖ. οἳ καὶ ἀμειβόμενοι, τιμαῖς αὐτὸν καὶ χορηγίαις δωροῦνται. τοῦτο δὲ δῆλον ποιῶν ἐπάγει· οἳ καὶ πολλαῖς τιμαῖς ἐτίμησαν ἡμᾶς, καὶ ἀναγομένοις ἐπέθεντο τὰ πρὸς τὴν χρείαν. οὐχὶ μισθὸν ἔλαβε; μὴ γένοιτο· ἀλλὰ τὸ γεγραμμένον πληροῦται. ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστιν. εἰ δὲ οὕτως αὐτοὺς ὑπεδέξαντο, εὔδηλον ὅτι καὶ τὸν λόγον ἐδέξαντο τοῦ κηρύγματος. οὐ γὰρ ἂν ἐν τριμήνῳ τοσαῦτα διελέχθη, μὴ σφόδρα αὐτῶν πιστευσάντων, καὶ καρποὺς ἐπιδειξαμένων· ὥστε ἀπὸ τούτου τεκμήριον μέγα τὸ πλῆθος τῶν πιστευσάντων ἐστὶν ἰδεῖν. καὶ ἀνήχθημεν, φησιν, ἐν πλοίῳ Ἀλεξανδρινῷ παρακεχειμακότι ἐν τῇ νήσῳ παρασήμῳ Διοσκούροις. ἴσως τοῦτο ἦν γεγραμμένον ἐν αὐτῷ· οὕτως ἦσαν κατείδωλοι. ὅρα ἐνδιατρίβοντας. τῷ δὲ Παύλῳ ἐπετράπη μένειν καθ' ἑαυτόν. λοιπὸν αἰδέσιμος οὕτως ἦν ὁ Παῦλος, ὡς καὶ συγχωρεῖσθαι καθ' ἑαυτὸν εἶναι, καὶ ξένον μένειν. εἰ γὰρ καὶ πρὸ τούτου φιλανθρώπως ἐχρήσαντο αὐτῷ, πολλῷ μᾶλλον νῦν. καὶ ἐπιγενομένου φησὶ, νότου, δευτεραῖοι ἤλθομεν εἰς Ποτιόλους, οὗ εὑρόντες ἀδελφοὺς, παρεκλήθημεν ἐπ' αὐτοῖς ἐπιμεῖναι ἡμέρας ἑπτά. καὶ οὕτως εἰς τὴν Ῥώμην ἤλθομεν. κἀκεῖθεν οἱ ἀδελφοὶ ἀκούσαντες τὰ περὶ ἡμῶν, ἐξῆλθον εἰς ἀπάντησιν ἡμῖν, ἄχρις Ἀππίου φόρου, καὶ

A *Et cum venissemus Syracusas, mansimus triduo. Inde circumlegentes venimus Rhegium, & post unum diem afflante Austro postridie venimus Puteolos. ubi repertis fratribus rogati sumus ut maneremus apud eos dies septem, & sic venimus Romam. Et inde cum audissent fratres de nobis, prodierunt in occursum nobis usque ad Appii forum, & tres tabernas. Quos quum vidisset Paulus, ut egit gratias Deo, sumpsit fiduciam.* Propter Paulum vide omnia hæc fieri, ut credant vincti, milites, ac Centurio: nam etiamsi lapides B fuissent, & propter ea quæ consuluerat, & ipsi audierant, & quæ prædixerat, & propter miracula quæ fecerat, & propter beneficia quibus educati erant, de illo magna utique cogitassent. Vide quando rectum judicium fuerit & à nulla affectione præoccupatum, quomodo statim recta judicia accipit & probatas sententias. Porrò prædicatio etiam usque in Siciliam pervenit. Vide quomodo & Puteolos inventis quibusdam transit, mox occurrerunt & alii, tanta fratrum erat alacritas: non turbavit quod C Paulus erat in vinculis. Vide etiam illum iterum humana quadam affectione teneri. *Visis enim fratribus*, inquit, *fiduciam sumpsit.* Quamvis tanta miracula fecissent, attamen ab aspectu augmentum sumpsit. Et ex hoc discimus quod humano more etiam consolationem accepit, & contra. *Quando autem venimus Romam*, inquit, *permissum est Paulo ut maneat solus cum milite custodiente illum.* Vides ut concessum est illi solitariè & per se manere. Non parvum etiam hoc argumentum est illum fuisse per omnia admirabilem, non enim jam cum aliis numerabatur. D *Post tres autem dies convocavit Paulus Judæorum primores. Post tres*, inquit, *dies*, accersitis Judæorum primoribus, ne præoccuparentur illorum aures, etiam familiaritatem cum illis habuit. Non enim ipsi accusaturi illum erant, attamen non hoc curabat, sed dicendi gratia aderat, & non prostituendi ea quæ dicebantur. Igitur Judæi quidem videntes hæc miracula persequebantur, ac fugabant. Barbari verò nullo conspecto, ob solam calamitate E tem misericordes fuerunt. *Omnino*, inquit, *homicida est homo iste.* Et non simpliciter pronunciant, sed *omnino*, inquit, sicut videre licet. *Et ultio*, inquit, *vivere illum non sinit.* Igitur & de providentia sermonem habuerunt. Multis philosophis sapientiores fuerunt Barbari illi, qui ea quæ sub luna sunt, extra providentiam ponunt. Illi autem ubique putant adesse Deum: & licet quis sæpe effugiat, non tamen effugere omnino potest. Et reverentur jam propter calamitatem, & non evulgant, sed A inter se dicunt. Vincula enim hoc docebant suspicari. Et licet vinctus esset, reverentur, dicentes, num benefacit is qui in vinculis. Ruborem nobis afferant Barbari: nesciebant enim quinam essent illi, sed ob calamitatem jam miserabantur, quod homines essent. *Et cum diu expectassent*, inquit, *quando esset moriturus*, &, *quando excussit manu etiam bestiam abjecit*, tunc viderunt, & expavefacti sunt. Et non repentè factum est signum, sed hominibus aliquandiu expectantibus: ne putetur fallacia B esse, non erat igitur præstigium. *Humaniter*, inquit, *illos hospitio tractavit Publius*, ducenta septuaginta sex erant nomina. Cogita magnum hospitalitatis lucrum, non quod necessitas esset, non quod invitus agat, sed quod lucrum putat, tres dies hospites illos habuit. Postea compensationem accipit multo ampliorem, quam quæ merebatur, *patrem* enim ejus *sanat male dysenteria vexatum*, neque illum modo, sed *& alios infirmos.* C *Qui etiam multis honoribus prosecuti sunt nos*, num mercedem accipiebant? Absit. Sed ut scriptum est: *Dignus est operarius cibo suo. Et solventibus imposuerunt necessaria.* Manifestum quod & verbum prædicationis susceperunt, qui illos sic tractarunt. Non enim distulissent trimestri illo tempore, nisi etiam credidissent, & fructus declarassent: & inde magna conjectura est, multitudinem credentium illic visam. *Et solvimus*, inquit, *in navi Alexandrina quæ hyemarat in insula, cui insigne Castor* D *& Pollux.* Fortassis erant picti in illa: adeo erant idolis obnoxii. Vide diu moram trahentes, & iterum festinantes. Ultra venerabilis erat Paulus, ita ut permissum ei sit solum esse. Nam cum etiam anteà humaniter illo usi fuerunt, multo magis nunc. *Et afflante*, inquit, *Austro, postridie venimus Puteolos, ubi inventis fratribus, rogati sumus ut maneremus apud eos dies septem. Et sic Romam venimus. Et illinc fratres ut audierunt de no-* E *bis, exierunt in occursum nobis usque ad forum Appii, &*

Matt. 10, 10

tres Tabernas. Non metuentes periculum, tametsi sat multa illis futura certo videbantur. Vide quomodo in tanta navigatione nusquam appellunt ad civitatem, sed in insulam. & tota hyeme versantur ibi, ut illi qui simul navigarant, ad fidem componerentur. *Et permissum est ei*, inquit, *ut permaneret solus cum milite qui ipsum custodiebat*, atque ibi non licebat ei exire; neque illic insidias timebat. Non enim licebat ultrà tumultuari, atque ita illum non custodiebant, sed & ita nihil grave ei accidebat. Etenim non permittebatur in tanta civitate; & cùm Rex esset ac libertas, fieri aliquid indignum: Unde semper quæ videntur esse contra nos, ea pro nobis fiunt. Custos enim erat Pauli. *Et convocatis primatibus Judæorum, loquebatur eis*, & contradicentes recesserunt, increpantur ab illo, & nihil audent dicere. Non enim dabatur eis contra illum potestas. Hoc enim mirabile est; quod non per ea quæ videtur securitatis esse, sed planè per contraria, omnia pro nobis fiunt. Et ut discas, jussit Pharao in flumen projici pueros: nisi projecti fuissent pueri, non fuisset servatus Moses, non in aula educatus fuisset. Quando servabatur, non erat in honore: quando expositus est, tunc factus est in honore: Hoc faciebat Deus declarans suam omnipotentiam ac sapientiam, quam facile ei sit servare. Minatus est illi Judæus dicens: *Nunquid me occidere tu vis?* & hoc illi profuit, singularique dispensatione factum, ita ut ipse videret visionem illam, quæ est in solitudine, & ut convenienti tempore impleatur, utque philosopharetur in solitudine, ac securè viveret. Et in omnibus Judæorum contra illum insidiis idem fit. Tunc clarior prodit. & cum insurgerent contra eum & Aaronem; clariorem eum fecerunt; ut indubitata fieret ejus ordinatio, & ita etiam in posterum laminæ æreæ admirationi factæ sunt. Scitis enim opinor historiam, & ideò narrationem prætercurro. Et ideò si volueritis iterum eadem quæ superius acta, id genus pertractemus: *Cain fratrem occidit*, sed hac ratione plurimum profuit. Audi enim quid dicit: *Vox sanguinis fratris tui clamat ad me.* Et iterum alibi inquit: *Sanguine magis loquente quam Abel.* Liberavit illum ab incertitudine futura, mercedem auxit. Charitatem didicimus omnes, quam erga illum habuit Deus. Quid enim offensus fuit, qui nihil citius, quam mortem accepit? Quid enim lucri habent, tardius morientes, dic oro? Nihil. Neque enim ab eo quod multos annos vel paucos vivitur, felicitas: sed ab eo quod vita ut oportet utimur. Tres pueri injecti fuerunt in caminum, & per hoc facti sunt clariores. Daniel missus est in lacum, & inde prodiit illustrior: Vides ubique tentationes magna parere bona & hic, & quomodo non & alibi? In malitia idem evenit, ut si quis calamum habens, præliatur contra ignem; & videtur quidem verberare ignem, ignis autem clarior fit, & calamus consumitur. Alimentum enim & fomes claritudinis, est malitia virtuti. Injustitia, quando ut opus fuerit utitur Deus, res nostras clariores reddit: Iterum quando diabolus operatur tale quiddam, clariores facit sustinentes. Cur igitur, inquit, in Adam hoc non est factum, sed ignominiosior redditus est? Etiam illo aptè usus est Deus. Si autem aliquid passus est ipse seipsum damno affecit. Nam quæ ab aliis nobis fiunt, magnorum nobis bonorum causa sunt: quæ autem à nobis, non item. Quoniam enim dolemus ab aliis læsi, à nobis ipsis autem non item: qui ab alio patitur injustè, clarus fit: qui autem seipsum lædit, damnum fert: ut illud quidem fortiter feramus, at non hoc faciamus. Et iterum: Totum Adæ accidit. Quare enim credebas mulieri? Quare adversa consulentem non repulisti? Tu omnium factus es author: alioqui si diabolus fuisset, oportuisset eos quos similiter tentat omnes periisse: quod si non perierunt, in nobis causa est. Sed oportebat, inquit, omnes qui tentantur, rectè agere? Non enim præter nos causa est. Oportebat, inquit, etiam, absque diabolo perire? Et multi etiam absque diabolo pereunt. Profectò non omnia ipse efficit, sed multa etiam fiunt à sola nostra ignavia. Si autem alicubi ipse author, nos initium adhibemus. Dic enim oro, cur diabolus tantum valuit in Juda? *Quia ingressus est*, inquit, *in illum Satanas.* Sed audi causam: *Quia fur erat & quæ mittebantur portabat*, ipse dedit, inquit, latum ingrediendi spatium. Et ita non diabolus initium imponit. At nos illum suscipimus, & vocamus. Ultrà, inquit, si ille non esset, non tam magna fierent mala, sed inevitabilis pœna nobis futura est. Nam nunc quidem dilecte, pœna nostra mitior est: si autem fecerimus nobis ipsis gravia: intolerabilior pœna erit. Dic enim mihi: Si hæc quæ peccavit Adam absque consiliis peccasset, quis

Exo. 2, 14.
Gen. 4, 10.
Heb. 12, 24.
Joh. 12, 6.

A τριῶν Ταβερνῶν. ὅτι φοβηθέντες τὸν κίνδυνον ἐξῆλθον, καὶ ταῦτα ἱκανὰ ἐκείνους πιστώσασθαι. ὅρα πῶς οὐδαμοῦ πόλει παρέβαλεν ἐν τοσούτῳ πλῷ· ἀλλὰ νήσῳ, καὶ χειμῶνα ὁλόκληρον διήγαγον πλέοντες, ἐκείνων ῥυθμιζομένων εἰς τὴν πίστιν· τῶν συμπλευσάντων, λέγω. ἐπετράπη, φησὶ, μένειν καθ' ἑαυτὸν, σὺν τῷ φυλάσσοντι αὐτὸν στρατιώτῃ. καὶ μάλα εἰκότως, ὥστε μὴ ἐξεῖναι μηδὲ ἐκεῖ ἐπιβουλὴν τινὰ αὐτὸν ὑποστῆναι. οὐ γὰρ ἐνῆν στασιάσαι λοιπὸν, ὥστε οὐκ ἐκεῖνον ἐφύλασσον,

B ἀλλ' ὥστε μὴ γενέσθαι τι τῶν ἀηδῶν· οὐ γὰρ ἐξῆν λοιπὸν καὶ πόλεως οὔσης τοσαύτης, καὶ βασιλέως ὄντος καὶ ἀφέσεως οὔσης, γενέσθαι τι παρὰ τὴν ἀκολουθίαν. οὕτως ἀεὶ διὰ τῶν δοκούντων εἶναι καθ' ἡμῶν, ὑπὲρ ἡμῶν πάντα γίνεται. φύλαξ γὰρ ἦν τοῦ Παύλου. καὶ συγκαλέσας τοὺς πρώτους τῶν Ἰουδαίων, διαλέγεται αὐτοῖς· οἱ καὶ λέγοντες ἀναχωροῦσι, καὶ ὑβρίζονται παρ' αὐτοῦ, καὶ οὐδὲν τολμῶσιν εἰπεῖν· οὐ γὰρ τῇ ἐξουσίᾳ αὐτῶν ἐπετρέπετο λοιπὸν εἰπεῖν τι κατ' αὐτόν. τὸ γὰρ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι

C οὐ διὰ τῶν δοκούντων εἶναι πρὸς ἀσφάλειαν, ἀλλὰ καὶ διὰ τῶν ἐναντίων πάντα ὑπὲρ ἡμῶν γίνεται. καὶ ἵνα μάθῃς, σκόπει ἐντεῦθεν· ἐκέλευσεν ὁ Φαραὼ ῥιπτεῖσθαι εἰς τὸν ποταμὸν τὰ βρέφη· εἰ μὴ ἐρρίφη τὰ βρέφη, εἰ μὴ ἡ πρόσταξις τοῦ Φαραὼ ἐγένετο, οὐκ ἂν ἐσώθη Μωϋσῆς· οὐκ ἂν ἐν βασιλείοις ἐτράφη. ὅτε ἐσώζετο, οὐκ ἦν ἐν τιμῇ· ὅτε ἐξετέθη, τότε ἐγένετο ἐν τιμῇ. τοῦτο δὲ ἐποίει ὁ Θεὸς, τὸ εὔπορον αὐτοῦ δεικνὺς καὶ εὐμήχανον. ἠπείλησεν ὁ Ἰουδαῖος αὐτῷ λέγων. μὴ ἀνελεῖν με σὺ

D θέλεις; καὶ τοῦτο αὐτὸν ὤνησεν. ἄρα οἰκονομικῶς γέγονεν, ὥστε τὴν ὄψιν αὐτὸν ἐκείνην ἰδεῖν τὴν ἐν τῇ ἐρήμῳ· ὥστε τὸν τεσσαράκοντα χρόνον πληρωθῆναι· ὥστε αὐτὸν ἐμφιλοσοφῆσαι τῇ ἐρήμῳ, καὶ ἐν ἀσφαλείᾳ ζῆν. καὶ ἐν πάσαις ταῖς κατ' αὐτοῦ τῶν Ἰουδαίων ἐπιβουλαῖς ταυτὸ γίνεται. τότε λαμπρότερος καθίσταται, ὅτε καὶ ἐπὶ τοῦ Ἀαρὼν· ἐπανέστησαν αὐτῷ καὶ λαμπρότερον αὐτὸν ἐποίησαν. ἐντεῦθεν γὰρ αὐτῷ καὶ τὸ ἱερατικὸν ποικίλλεται ἔνδυμα, καὶ ἡ κίδαρις πλέκεται, καὶ ὁ λοιπὸς τῆς

E στολῆς κόσμος, ὥστε ἀναμφισβήτητον εἶναι τὴν χειροτονίαν· ὥστε καὶ εἰς τὸ ἑξῆς θαυμάζεσθαι ἀπὸ τῶν πετάλων τοῦ χαλκοῦ. ἴστε πάντως τὴν ἱστορίαν· διὸ καὶ παρατρέχω τὸ διήγημα. καὶ εἰ βούλεσθε, πάλιν ἄνωθεν τὰ αὐτὰ ἐπελθωμεν. ὁ Κάϊν τὸν ἀδελφὸν ἀνεῖλεν, ἀλλὰ ταύτῃ μᾶλλον ὠφέλησεν. ἄκουσον γὰρ τί φησι· Φωνὴ αἵματος τοῦ ἀδελ-"
φοῦ σου βοᾷ πρός με. καὶ πάλιν ἀλλαχοῦ αἵματι φησι, κρεῖττον λα-"
λοῦντι παρὰ τὸν Ἄβελ. ἀπήλλαξεν αὐτὸν τῆς ἀδηλίας τοῦ μέλλοντος, τὸν μι-

A σθὸν ηὔξησε. τὴν ἀγάπην ἐμάθομεν πάντες, ἣν ὁ Θεὸς εἶχε πρὸς αὐτόν. τί γὰρ ἠδικήθη, δεξάμενος τάχιον τὴν τελευτήν; οὐδέν. τί γὰρ εἰπέ μοι οἱ βράδιον τελευτῶντες κερδαίνουσιν; οὐδέν. οὐ γὰρ παρὰ τὸ πολλὰ ζῆν ἔτη ἢ ὀλίγα, ἡ εὐημερία· ἀλλὰ παρὰ τὸ εἰς δέον κεχρῆσθαι τῇ ζωῇ. οἱ τρεῖς παῖδες ἐνεβλήθησαν εἰς κάμινον, καὶ διὰ τούτου γεγόνασι λαμπρότεροι. ὁ Δανιὴλ εἰς λάκκον, καὶ ἐντεῦθεν περιφανέστερος κατέστη. ὁρᾷς πανταχοῦ τοὺς πειρασμοὺς μεγάλα

B τίκτοντας ἀγαθὰ καὶ ἐνταῦθα, μήτοιγε ἐκεῖ; ἐπὶ δὲ τῆς κακίας ταυτὸ γίνεται, ὥσπερ ἂν εἴ τις κάλαμον ἔχων παρατάττοιτο πρὸς πῦρ· ὁ γὰρ τοιοῦτος, δοκεῖ μὲν πλήττειν τὸ πῦρ, αὐτὸ δὲ λαμπρότερον ποιεῖ, καὶ ἑαυτὸν ἀναλίσκει. τροφὴ γὰρ γίνεται ἡ κακία, καὶ ὑπόθεσις λαμπρότητος τῇ ἀρετῇ. τῇ γὰρ ἀδικίᾳ εἰς δέον τοῦ Θεοῦ χρωμένου, τὰ ἡμέτερα λάμπει μᾶλλον. πάλιν ὁ διάβολος ὅταν ἐργάζηταί τι τοιοῦτον, λαμπροτέρους ποιεῖ τοὺς ὑπομένοντας. τί οὖν, φησιν, ἐπὶ τοῦ Ἀδὰμ οὐ

C γέγονέ τι τοιοῦτον, ἀλλ' ἀτιμότερος γέγονε; μάλιστα μὲν κἀκείνῳ ὁ Θεὸς εἰς δέον ἐχρήσατο. εἰ δέ πού τι ἔπαθεν, αὐτὸς ἑαυτὸν ἠδίκησε. τὰ μὲν γὰρ παρ' ἑτέρων εἰς ἡμᾶς γινόμενα, μεγάλων ἡμῖν ἀγαθῶν αἴτια γίνεται· τὰ δὲ παρ' ἡμῶν αὐτῶν οὐκέτι. ἐπεὶ γὰρ ἀδικούμενοι μὲν ὑφ' ἑτέρων ἀλγοῦμεν, ὑπὸ δὲ ἡμῶν αὐτῶν οὐκέτι, δείκνυσιν ὁ Θεὸς, ὅτι ὁ μὲν παρ' ἑτέρου ἀδίκως πάσχων, εὐδοκιμεῖ· ὁ δὲ ἑαυτὸν ἀδικῶν, βλάπτεται· καὶ μάλα εἰκότως, ἵνα ἐκεῖνο μὲν γενναίως φέρωμεν, τοῦτο δὲ

D μηκέτι. ἄλλως τε τὸ πᾶν ἐκεῖ τοῦ Ἀδὰμ γέγονε. διατί γὰρ ἐπείθου τῇ γυναικί; διατί γὰρ ἐναντία συμβουλεύουσαν, οὐκ ἀπεκρούσω; σὺ πάντως αἴτιος γέγονας· ἐπεὶ εἰ ὁ διάβολος ἦν, ἔδει καὶ τοῦτο τοὺς πειραζομένους πάντας ἀπόλλυσθαι· εἰ δὲ μὴ ἀπόλλυνται, παρ' ἡμᾶς ἡ αἰτία. ἀλλ' ἔδει, φησὶ, πάντας τοὺς πειραζομένους κατορθοῦν, ἢ εἰ παρ' ἡμᾶς ἡ αἰτία, ἔδει καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυσθαι; τοῦτο καὶ γίνεται· καὶ γὰρ πολλοὶ καὶ χωρὶς τοῦ διαβόλου ἀπόλλυνται. οὐ γὰρ δὴ πάντα αὐτὸς κατα-

E σκευάζει· ἀλλὰ πολλὰ καὶ ἀπὸ μόνης γίνεται τῆς ῥᾳθυμίας τῆς ἡμετέρας. εἰ δέ που κἀκεῖνος αἴτιος, ἡμῶν τὴν ἀρχὴν παρεχόντων. εἰπὲ γάρ μοι πότε ὁ διάβολος ἴσχυσεν ἐπὶ τοῦ Ἰούδα; ὅτε εἰσῆλθε, φησιν, εἰς αὐτὸν ὁ Σατανᾶς. ἀλλ' ἄκουσον τὴν αἰτίαν· ὅτι κλέπτης ἦν καὶ

βαλλόμενα ἐβάσταζεν. αὐτὸς ἔδωκεν αὐτῷ εὐρυχωρίαν τῆς εἰσόδου; ὥστε οὐχ ὁ διάβολος τὴν ἀρχὴν ἐντίθησιν; ἀλλ' ἡμεῖς αὐτὸν δεχόμεθα καὶ καλοῦμεν. ἀλλ' εἰ μὴ ἐκεῖνος, φησιν, ἦν, οὐκ ἂν μεγάλα ἐγένετο τὰ δεινά· ἀλλ' ἀπαραίτητος ἡμῖν ἔμελλεν εἶναι ἡ κόλασις. νῦν μὲν γὰρ, ἀγαπητὲ, τὰ τῆς κολάσεως ἡμῖν ἡμερώτερα· εἰ δὲ δι' ἑαυτὸν ἐργαζόμεθα τὰ δεινά, ἀφόρητος ἦν ἡ τιμωρία. εἰπὲ γάρ μοι· εἰ ταῦτα ἃ ἥμαρτεν ὁ Ἀδὰμ, χωρὶς συμβουλῆς ἥμαρτε, τίς

αὐτὸν

αὐτὸν ἂν ἐξήρπασε τῶν κινδύνων. ἀλλ' οὐκ ἂν ἥμαρτε, φησί. πόθεν μοι τοῦτο λέγεις; ὁ γὰρ οὕτω χαῦνος, καὶ ῥάθυμος, καὶ πρὸς ἄνοιαν ἕτοιμος, ὥστε δέξασθαι τοιαύτην συμβουλὴν, πολλῷ μᾶλλον καὶ χωρὶς τούτου τοῦτο γέγονεν ἄν. ποῖος διάβολος τοὺς τοῦ Ἰωσὴφ ἀδελφοὺς εἰς φθόνον ἐνέβαλεν; ἂν νήφωμεν τοίνυν ἀγαπητοὶ, καὶ εὐδοκιμήσεως ἡμῖν αἴτιος ὁ διάβολος γίνεται. τί γὰρ ἔβλαψε τὸν Ἰὼβ ἡ τοσαύτη αὐτοῦ μηχανή; μὴ εἴπῃς, φησὶ, τοῦτο, ἀλλ' ὁ ἀσθενὴς βλάπτεται. ἀλλ' ὁ ἀσθενὴς κἂν μὴ διάβολος ᾖ, βλάπτεται; ἀλλὰ μειζόνως, φησὶ, μετὰ τῆς ἐκείνου ἐνεργείας; ἀλλ' ἔλαττον, ὅταν μετὰ τῆς ἐκείνου ἐνεργείας ἁμάρτῃ, κολάζεται· οὐ γὰρ πάντων τῶν ἁμαρτημάτων αἱ αὐταὶ τιμωρίαι. μὴ ἀπατῶμεν ἑαυτούς· οὐκ ἔστιν ἡμῖν ὁ διάβολος αἴτιος ἐὰν νήφωμεν. ἐκεῖνος ἡμᾶς μᾶλλον ἀφυπνίζει, ἐκεῖνος ἡμᾶς διεγείρει. εἰπὲ γάρ μοι· τέως ταῦτα ἐξετάσωμεν· μὴ ἔστω θηρία, μὴ ἔστω ἀνωμαλία ἀέρων, μὴ νόσος, μὴ λῦπαι, μὴ ἀθυμίαι, μὴ ἕτερόν τι τούτων· τί οὐκ ἂν ἐγένετο ὁ ἄνθρωπος; χοῖρος μᾶλλον ἢ ἄνθρωπος, δοκεῖ μοι, γέγονεν ἄν· γαστριζόμενος καὶ μεθύων, καὶ ὑπὸ μηδενὸς τούτων ἐνοχλούμενος. νῦν δὲ αἱ φροντίδες καὶ αἱ μέριμναι γυμνάσιόν εἰσι φιλοσοφίας καὶ διδασκαλεῖον, καὶ ἀγωγὴ παιδείας ἀρίστης. ἐπεὶ δὲ ἄλλως· τρεφέσθω τις ἐν βασιλείοις, μήτε λυπούμενος, μήτε φροντίζων, μήτε μεριμνῶν, καὶ μήτε ὀργῆς ἔχων πρόφασιν, μήτε ἀποτυχίας· ἀλλὰ πάντα ἅπερ ἂν ἐπιθυμήσῃ ποιείτω, καὶ ἐπιτυγχανέτω, καὶ πάντας ἐχέτω ὑπακούοντας· ἆρ' οὐ παντὸς θηρίου ἀλογώτερος γίνεται ὁ τοιοῦτος; νῦν δὲ ὥσπερ ἀκόνη ἐστὶν ἐκτρίβουσα ἡμᾶς τὰ τῶν περιστάσεων, τὰ τῶν θλίψεων. διὰ τοῦτο τῶν πλουτούντων οἱ πένητες ὡς ἐπὶ τὸ πλεῖστον εἰσὶ συνετώτεροι, καθάπερ πολλοῖς προσκρουόμενοι καὶ προσαντλούμενοι κύμασι. καὶ γὰρ σῶμα, τὸ μὲν ἀργὸν καὶ ἀκίνητον, νοσῶδες καὶ ἀηδές· τὸ δὲ κινούμενον καὶ κάμνον, καὶ ταλαιπωρούμενον, ὡραιότερον καὶ ὑγιεινότερον. τοῦτο δὲ ἐπὶ ψυχῆς εὕροι τις ἄν. καὶ σίδηρος κείμενος μὲν διαφθείρεται· ἐργαζόμενος δὲ λάμπει. καὶ ψυχὴ ὡσαύτως κινουμένη. κίνησις δὲ ψυχῆς, αἱ περιστάσεις αὗται. καὶ τέχναι ἀπόλλυνται, μὴ κινουμένης ψυχῆς. κινεῖται δὲ ὅταν μὴ πάντα εὐθέα ᾖ· κινεῖται γὰρ ὑπὸ τῆς ἀνωμαλίας. εἰ μὴ εἴη ἐναντία, οὐδὲν ἂν εἴη τὸ κινοῦν· ἐὰν οἱ πάντα ἦν εἰργασμένα καλῶς, οὐκ ἂν εὗρεν ἡ τέχνη κινηθῆναι· οὕτως καὶ εἰ πανταχοῦ διαβαστάζοιτο, ἀηδὴς ἦν. οὐχ ὁρᾷς ὅτι καὶ τροφοῖς παρακελευόμεθα, μὴ διαπαντὸς βαστάζειν τὰ παιδία, ὥστε μὴ εἰς ἔθος αὐτὰ καθιστᾶν, μήτε ἐξίτηλα αὐτὰ ποιεῖν; διὰ τοῦτο τὰ ὑπ' ὄψιν ἀνατρεφόμενα τῶν γονέων, ἀσθενέστερα γίνεται, τῆς φειδοῦς τῆς ἀκαίρου τε καὶ ἀμέτρου λυμαινομένης αὐτῶν τὴν ὑγείαν. καλὸν καὶ λύπη σύμμετρος, καλὸν καὶ φροντίς· καλὸν καὶ ἔνδεια. ἰσχυροὺς γὰρ ἡμᾶς ποιεῖ καλὰ καὶ ἐναντία. ἕκαστον γὰρ αὐτῶν ἄμετρον γινόμενον ἀπόλλυσι· καὶ τὸ μὲν, χαυνοῖ· τὸ δὲ, διαρρήγνυσιν. οὐχ ὁρᾷς ὅτι καὶ τοὺς αὐτοῦ μαθητὰς ὁ Χριστὸς οὕτως ἐνῆγε; ἐκεῖνοι δὲ τούτων ἐδέοντο, πολλῷ μᾶλλον ἡμεῖς. εἰ δὲ δεόμεθα, μὴ ἀγανακτῶμεν, ἀλλὰ καὶ χαίρωμεν ἐπὶ ταῖς θλίψεσι. φάρμακα γὰρ ταῦτά ἐστι κατάλληλα τοῖς ἡμετέροις τραύμασι· τὰ μὲν πικρὰ, τὰ δὲ ἡδέα. ἑκάτερον δὲ αὐτῶν, καθ' ἑαυτὸ ἂν εἴη, ἄχρηστον. χάριν τοίνυν ἔχωμεν τῷ Θεῷ ὑπὲρ τούτων ἁπάντων· οὐ γὰρ ἁπλῶς ταῦτα συγχωρεῖ γίνεσθαι, ἀλλ' ὑπὲρ τοῦ συμφέροντος τῶν ἡμετέρων ψυχῶν. τὴν ἡμετέραν τοίνυν εὐγνωμοσύνην ἐπιδεικνύμενοι, εὐχαριστῶμεν, δοξάζωμεν, γενναίως ἀντέχωμεν, τὰ πρόσκαιρα αὐτὰ λογιζόμενοι, καὶ πρὸς τὰ μέλλοντα τείνοντες ἑαυτῶν τὴν διάνοιαν, ἵνα καὶ τὰ παρόντα γενναίως ἐνέγκωμεν, καὶ τῶν μελλόντων ἐπιτυχεῖν ἀγαθῶν καταξιωθῶμεν· χάριτι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

ΟΜΙΛΙΑ νε.

Ἐγένετο δὲ μετὰ τρεῖς ἡμέρας, συγκαλέσασθαι τὸν Παῦλον τοὺς ὄντας τῶν Ἰουδαίων πρώτους. Συνελθόντων δὲ αὐτῶν, ἔλεγε πρὸς αὐτούς· ἄνδρες ἀδελφοὶ, ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων· οἵτινες ἀνακρίναντές με, ἐβούλοντο ἀπολῦσαι διὰ τὸ μηδεμίαν αἰτίαν θανάτου ὑπάρχειν ἐν ἐμοί. ἀντιλεγόντων δὲ τῶν Ἰουδαίων, ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι· διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν καὶ προσλαλῆσαι· ἕνεκεν γὰρ τῆς ἐλπίδος τοῦ Ἰσραὴλ, τὴν ἅλυσιν ταύτην περίκειμαι.

ΚΑΛΩΣ τοῦτο καὶ συμφερόντως ποιεῖ· τοὺς πρώτους τῶν Ἰουδαίων εἰς διάλεξιν συγκαλῶν. ἐβούλετο γὰρ καὶ ἑαυτὸν ἀπαλλάξαι αἰτίας καὶ ἑτέρους· ἑαυτὸν μὲν, ἵνα μὴ κατηγορῶσιν αὐτοῦ, καὶ τοῦτο αὐτοὺς βλάψῃ· ἐκείνους δὲ, ἵνα μὴ δόξῃ αὐτῶν εἶναι τὸ πᾶν. εἰκὸς γὰρ κρατῆσαι φήμην, ὅτι ὑπὸ Ἰουδαίων παρεδόθη· τοῦτο δὲ ἱκανὸν ἦν αὐτοὺς πλῆξαι. εὐθέως οὖν πρὸς τοῦτο ἵσταται, καὶ τὰ καθ' ἑαυτὸν οὕτω πως πρᾴως ἀπολογεῖται. ὅρα δὲ πῶς καὶ τὴν ἀπολογίαν ὑφαίνει λέγων· ἄνδρες ἀδελφοί·

A illum à periculis liberasset? Sed non peccasset, inquit. Unde mihi hoc dicis? Qui enim dissolutus & ignavus & ad insipientiam promptus ita ut accipiat tale consilium, multo magis etiam absque hoc fecisset. Qualis diabolus fratres Joseph misit in odium? Resipiscamus igitur, dilecti, & claritudinis nobis author erit diabolus. Quid enim nocuit Jobo tanta illius improbitas? Ne dixeris, inquit, hoc. Sed infirmus, etiam si non sit diabolus, damnum accipit? Verum, inquit, gravius illo co- B operante? Imò minus, qui cum illius operatione peccat, punitur. Non enim omnium peccatorum pares sunt pœnæ. Ne decipiamus nos ipsos, non est nobis diabolus author, si sobrii fuerimus. Ille nostrum magis somnum excutit & nos excitat. Dic enim oro. Non sint bestiæ, non sit aëris intemperies, non morbi, non tristitiæ, non mœrores non aliud quid tale, quid non factus esset homo? Porcus magis quàm homo videtur, ventri indulgens & ebrietati, & à nullo horum interturbaretur. Nunc autem curæ C ac solicitudines, gymnasium & schola sunt Philosophiæ. Educetur quis in aulis & non contristetur, neque curas habeat, neque solicitus sit, neque iræ occasionem habeat, neque infortunium: sed faciat quæque concupiscit, ea & assequatur, & omnes habeat obtemperantes: an non qualibet bestia efficitur brutior, & minus rationalis? Nunc autem sicut cos sunt afflictiones & curæ. Eapropter pauperes divitibus sunt sapientiores, utpote multis fluctibus vexati & exerciti. Nam corpus quod otiosum D quidem & immobile, morbis magis obnoxium & fœdum: quod autem movetur & laborat, & ærumnis exercetur, formosius est ac sanius. Hoc etiam in anima reperire licet. Et ferrum quidem si jaceat, corrumpitur: si exerceatur autem, splendet. Et similiter anima quæ movetur. Motio autem animæ, curæ ipsæ: & artes pereunt, si non moveatur anima. Movetur autē quando non omnia prompte assunt: movetur à contrariis. Si non essent contraria, nihil esset quod moveret, utpote si omnia essent bene facta, non E inveniret ars ut moveatur: Ita etiam si omnia essent juxta mentem nostram, non inveniret mens ut moveatur. Si ubique portaretur, fœda esset. Non vides quod etiam præcipimus ne semper pueros portent nutrices, ne sic in consuetudinem veniant, & ne infirmi fiant? Et propterea infirmiores fiunt qui cum parentibus enutriuntur, parsimonia intempestiva & immodica illorum valetudinem lædente. Bona res est congrua tristitia, bona res egestas, bona res & cura: fortes enim nos faciunt bona & A contraria. Unumquodque illorum si modo caruerit, perdit. Et hoc quidem laxat, hoc autem disrumpit. Non vides etiam Christum Discipulos suos sic instituere? Si illi autem his egebant, multo magis nos: si autem egemus ne indignemur, sed etiam gaudeamus in tribulationibus. Sunt enim nostris vulneribus congrua pharmaca, & alia quidem amara, alia vero blanda: Utrumqoe autem illorum si solum fuerit, inutile: gratiam igitur habeamus Deo pro his omni- B bus, non enim simpliciter hæc permittit fieri, sed pro utilitate nostrarum animarum. Nostram igitur gratitudinem declarantes, gratias agamus, glorificemus, fortiter obluctemur, temporalia esse cogitantes, & ad futura mentem nostram extendentes, ut & præsentia leviter feramus, & futura assequi bona mereamur, gratia & misericordia unigeniti filii Dei, cui cum Patre ac sancto Spiritu gloria, imperium, & honor, nunc C & semper, & in secula seculorum. Amen.

HOMILIA LV.

Post tertium autem diem convocavit Paulus Judæorum Principes. Cumque venissent, dicebat eis: Ego, viri fratres, cum nihil fecerim adversus plebem aut instituta majorum, vinctus à Hierusalem traditus sum in manus Romanorum: qui cum examinassent, volebant me dimittere, eo quod nulla esset causa mortis in D *me. Sed contradicentibus Judæis, coactus sum appellare Cæsarem: non quasi habeam de quo gentem meam accusem. Propter hanc igitur causam advocavi vos, ut viderem ac alloquerer, propter spem enim Israelis catena hac circumdatus sum.*

BENE quidem illud & convenienter agit, dum primores Judæorum in dissertationem provocat. Volebat enim seipsum & alios à crimine liberare. se quidem ne accusarent ipsum, & hoc illos noceret: illos autem, ne videatur totum esse illorum. Verisimile enim erat percrebuisse famam, E quod à Judæis traditus esset, idq; sufficiebat ad terrendum illos. Statim igitur hoc urget, & pro seipso eationem mansuetè reddit. Vides is autē quomodo defensionem subtexit, dicens: *Viri fratres,*

Cum ego *nihil contrarium fecerim populo aut majorum institutis*, A *vinctus à Hierosolymis traditus sum in manus Romanorum.* Deinde cùm hæc dixisset, quoniam conveniebat aliquos qui audierant dicere: Quomodo potes rationem reddere quod te tradiderint? subjecit: *Quidam cùm strictius examinassent, voluerunt me dimittere.* Quasi diceret: Testantur Romanorum Principes, qui & ipsi examinarunt, & voluerunt dimittere: Quare igitur non dimiserunt? *contradicentibus*, inquit, *Judæis.* Vide quomodo minuit illorum crimina. Si enim voluisset exaggerare, B potuisset majore impetu uti. Ideò inquit, *Coactus sum appellare Cæsarem.* Et ita veniam meretur. Quid igitur? ut illos accuses fecisti? *Non*, inquit, *non quasi habeam aliquid quo gentem meam accusem*, sed ut effugiam periculum. Propter vos enim hac catena circumdatus sum, tantum abest ut hostili animo in vos sim affectus. Deinde & illi sic sermonem ingressi, quasi & ipsi pro cognatis rationem sint redditur. *Illi autem*, inquit, *dixerunt ei: Nos neque literas accepimus a te de Judæa, neque adveniens aliquis* C *fratrum nunciavit, aut locutus est aliquid de te mali. Volumus autem audire de te quæ sentis. Nam de secta ista notum est nobis, quod ubique ei contradicitur.* Neque, inquit, per literas, neque per homines significarunt aliquid mali de te, veruntamen audire volumus de te. Jam præoccupabant sententiam propriam demonstrantes, & dicunt: *De secta hac notum est nobis, quod ubique ei contradicitur*, & non dicunt contradicimus. *Constituto autem ei*, inquit, *die, venerunt ad illum in hospitium complures, qui-* D *bus exposuit testificans regnum Dei, suadensque eis de Jesu ex Mose & Prophetis, à mane usque ad vesperam. Et alii quidem credebant his quæ dicebantur, alii verò non credebant.* Non statim respondit, sed diem constituit, & venerunt ad ipsum, & loquebantur à lege Mosi & Prophetis. Et alii quidem credebant his quæ dicebantur, alii verò non credebant. *Cùm autem non essent concordes inter se, discedebant ubi dixisset Paulus unum verbum: Bene Spiritus sanctus locutus est per Esaiam Prophetam, ad patres nostros,* E *dicens: Vade ad populum hunc, & dic: Aure audietis, & non intelligetis: & videntes videbitis, & non perspicietis. Ingravatum est enim cor populi hujus, & auribus graviter audierunt, & oculos suos compresserunt, ne quando videant oculis, & auribus audiant: & corde intelligant, & convertantur, & sanem eos.* Quando autem discedebant disceptantes inter se, tunc Isaiam objicit, nolens illos quidem convicio impetere, sed hos confirmare. *Bene dixit*, inquit, *Esaias: Audientes audietis, & non intelligetis.* Vi- A des quomodo eos ab omni cognitatione rejicit? quamvis etiam Prophetam habentes longè antè hæc prædicentem minimè conversi sint. Quibus verbis insinuat eos justa de causa repulsos. Atque ita gentibus datum est arcanum hoc. Non igitur mirum, si contradicebantur. Olim hoc prædicebatur. Iterum zelum eorum provocat ex Gentibus. *Notum igitur sit vobis*, inquit, *quod Gentibus missum est hoc salutare Dei, ipsi etiam audient. Et hac illo loquente, abierunt Judæi habentes inter seipsos disceptationem.* B *Mansit autem Paulus toto biennio in conducto, & suscipiebat omnes qui ingrediebantur ad ipsum, prædicans regnum Dei, & dicens de Jesu Christo cum fiducia, nemine prohibente, Amen.* Ostendit hunc libertatem, *prædicans*, inquit, *nemine prohibente*, in Roma, qui in Judæa prohibitus erat, quoniam biennio illic mansit. *Propter hanc*, inquit, *causam volui vos videre, ne liceat cuipiam accusare, & quæcumque in mentem venerint dicere. Quia certè manus illorum effugi, & ad hoc veni, non ut cuipiam malum* C *inferam, sed ut ipse fugiam.* Vide etiam illos mansuetos loqui ad Ieum. *Volumus*, inquit, *audire à te quæ sentis.* Etiam vult pro illis rationem reddere. Nam hoc quidem quod ille dicebat, argumentum erat, quod valdè condemnent seipsos: nam si fiduciam habuissent, licet hoc fecissent, ita ne possent me simul rapere. Et aliter, Etiam venire negligebant, & hoc sæpius ostendit attentasse. Alii autem non credentes recesserunt. Sed vide quomodo non struunt insidias nunc contra illum. Judæa enim D quasi in tyrannide erant. Quare igitur Deus ordinavit, ut illuc migraret, dicens Feina, egredere è Hierusalem? ut ostendatur illorum malitia, & prophetia Christi vera, quod non sustinent: & ita ut discant omnes, quod omnia paratus sit pati, atque ita in consolationem eorum qui in Judæa, hoc factum est. Etenim & illic multa patiebantur gravia. Si autem prædicans Judaica hæc passus est, quod si prædicasset ea quæ sunt gloriæ Christi, E

ἐγὼ οὐδὲν ἐναντίον ποιήσας τῷ λαῷ ἢ τοῖς ἔθεσι τοῖς πατρῴοις, δέσμιος ἐξ Ἱεροσολύμων παρεδόθην εἰς τὰς χεῖρας τῶν Ῥωμαίων. εἶτα οὕτως εἰπών, ἐπειδὴ εἰκὸς ἦν, τινὰς ἀκούοντας εἰπεῖν, πῶς ἔχεις λόγον ἁπλῶς σε παραδοῦναι, ἐπήγαγεν· οἵτινες ἀνακρίναντές με ἐβούλοντο ἀπολῦσαι· ὡσεὶ ἔλεγε, μαρτυροῦσιν οἱ Ῥωμαίων ἄρχοντες, οἳ καὶ ἀνέκριναν, καὶ ἤθελον ἀπολύειν. πῶς οὖν οὐκ ἀπέλυσαν; ἀντιλεγόντων Ἰουδαίων, φησίν. ὁρᾷς πῶς καθαιρεῖ αὐτῶν τὰ ἐγκλήματα; εἰ γὰρ ἐβούλετο αὐξῆσαι, ἐνῆν καὶ καταφορικώτερον χρήσασθαι. διὸ καὶ οὕτως εἰπὼν ἐπήγαγεν· ἠναγκάσθην ἐπικαλέσασθαι Καίσαρα· ὥστε συγγνώμης τὸ πᾶν ἐστιν. εἶτα ἵνα μηδεὶς εἴπῃ· τί οὖν; καὶ ἵνα αὐτῶν κατηγορήσῃς τοῦτο πεποίηκας, διὰ τῆς ἐπαγωγῆς διορθοῦται τὴν ὑποψίαν, καὶ λέγει· οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι, ἀλλ' ὥστε διαφυγεῖν τὸν κίνδυνον. ἕνεκεν γὰρ ὑμῶν τὴν ἅλυσιν ταύτην περίκειμαι. τοσοῦτον ἀπέχω, φησίν, ἐχθρωδῶς πρὸς ὑμᾶς διακεῖσθαι, ὅτι καὶ τὴν ἅλυσιν περίκειμαι. τί οὖν ἐκεῖνοι; οὕτως ἐχειρώθησαν τῷ λόγῳ, ὡς μὴ μόνον ὑπὲρ ἑαυτῶν, ἀλλὰ καὶ ὑπὲρ τῶν συγγενῶν ἀπολογήσασθαι. ὅθεν τοῦτο δηλῶν ἐπάγει· οἱ δὲ εἶπον πρὸς αὐτόν· ἡμεῖς οὔτε γράμματα περὶ σοῦ ἐδεξάμεθα ἀπὸ τῆς Ἰουδαίας, οὔτε παραγενόμενός τις τῶν ἀδελφῶν ἀπήγγειλεν, ἢ ἐλάλησέ τι περὶ σοῦ πονηρόν. ἀξιοῦμεν δὲ παρὰ σοῦ ἀκοῦσαι ἃ φρονεῖς. περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης γνωστόν ἐστιν ἡμῖν, ὅτι πανταχοῦ ἀντιλέγεται. ὡσεὶ ἔλεγον· οὔτε διὰ γραμμάτων, οὔτε δι' ἀνθρώπων ἐγνωρίσατέ τι πονηρὸν περὶ σοῦ· πλὴν ἀλλ' ἀκοῦσαι βουλόμεθα περὶ σοῦ. οὕτω προκατέβαλον τὴν οἰκείαν γνώμην δεικνῦντες, καί φασι· περὶ μὲν γὰρ τῆς αἱρέσεως ταύτης, γνωστόν ἐστιν ἡμῖν, ὅτι ἀντιλέγεται πανταχοῦ. οὐκ εἶπον ὅτι ἀντιλέγομεν, ἀλλ' ἀντιλέγεται· κατηγορίας ἑαυτοὺς ἀπολύοντες. ταξάμενοι δὲ αὐτῷ ἡμέραν, ἧκον πρὸς αὐτὸν εἰς τὴν ξενίαν πλείονες, οἷς ἐξετίθετο διαμαρτυρόμενος τὴν βασιλείαν τοῦ Θεοῦ, πείθων τε αὐτοὺς τὰ περὶ τοῦ Ἰησοῦ, ἀπό τε τοῦ νόμου Μωϋσέως, καὶ τῶν προφητῶν, ἀπὸ πρωῒ ἕως ἑσπέρας, καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, οἱ δὲ ἠπίστουν. εἶδες πῶς οὐκ εὐθέως ἀποκρίνεται, ἀλλὰ δίδωσιν αὐτοῖς ἡμέραν τοῦ ἐλθεῖν καὶ ἀκοῦσαι; καὶ παραγενομένοις διαλέγεται ἀπό τε τοῦ νόμου Μωϋσέως καὶ τῶν προφητῶν. καὶ οἱ μὲν ἐπείθοντο· οἱ δὲ ἠπίστουν. ἀσύμφωνοι δὲ ὄντες πρὸς ἀλλήλους ἀπελύοντο, εἰπόντος τοῦ Παύλου ῥῆμα ἕν· καλῶς τὸ πνεῦμα τὸ ἅγιον ἐλάλησε διὰ Ἡσαΐου τοῦ προφήτου πρὸς τοὺς πατέρας ἡμῶν, λέγον· πορεύθητι πρὸς τὸν λαὸν τοῦτον, καὶ εἰπόν· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψατε καὶ οὐ μὴ ἴδητε. ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς. ὅτε ἀνεχώρουν ἀντιταττόμενοι αὐτῷ, τότε τὸν Ἡσαΐαν ἐφίστησιν, οὐκ ἐκείνους ὑβρίσαι βουλόμενος, ἀλλὰ τούτους στηρίξαι. τί λέγοντα; ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε. ὁρᾷς πῶς αὐτοὺς ἐξέβαλε πάσης συγγνώμης; εἰ γὰρ καὶ τὸν προφήτην ἔχοντες προαναφωνήσαντα πόρρωθεν ταῦτα οὐκ ἀπεστράφησαν; τῷ δὲ εἰπεῖν, καλῶς, δείκνυσι καὶ δικαίως ἐκβεβλημένους, ὥστε τοῖς ἔθνεσι δέδοται γνῶναι τὸ μυστήριον τοῦτο. οὐδὲν οὖν θαυμαστὸν εἰ ἀντέλεγον. ἄνωθεν τοῦτο προελέγετο. εἶτα πάλιν τὸν ζῆλον κατ' αὐτῶν κινεῖ τὸν ἐξ ἐθνῶν, ἐπάγων καὶ λέγων· γνωστὸν οὖν ἔστω ὑμῖν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τοῦτο τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. καὶ ταῦτα αὐτοῦ εἰπόντος, ἀπῆλθον οἱ Ἰουδαῖοι, πολλὴν ἔχοντες ἐν ἑαυτοῖς συζήτησιν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην ἐν ἰδίῳ μισθώματι, καὶ ἀπεδέχετο πάντας τοὺς εἰσπορευομένους πρὸς αὐτόν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ διδάσκων τὰ περὶ τοῦ Χριστοῦ Ἰησοῦ, μετὰ πάσης παρρησίας ἀκωλύτως, Ἀμήν. ἐνταῦθα δείκνυσι τὴν αὐτοῦ ἐλευθερίαν λοιπόν, κηρύττει γὰρ ἀκωλύτως ἐν Ῥώμῃ, ὁ ἐν Ἰουδαίᾳ κωλυθείς, καὶ ἔμεινεν ἐπὶ δύο ἔτη διδάσκων ἐκεῖ. ἀλλ' ἴδωμεν ἄνωθεν τὰ εἰρημένα. διὰ ταύτην οὖν τὴν αἰτίαν παρεκάλεσα ὑμᾶς ἰδεῖν· τουτέστι διὰ τοῦτο ἠθέλησα, ὥστε μὴ ἐξεῖναί τινι κατηγορεῖν, καὶ τὰ παριστάμενα λέγειν, ὅτι δὴ τὰς χεῖρας αὐτῶν διαφυγὼν ἐπὶ τοῦτο ἦλθον. οὐ γὰρ ἑτέροις δώσων κακά, ἀλλ' αὐτὸς φεύγων κακά, ἦλθον. οἱ δὲ πρὸς αὐτόν· ἀξιοῦμεν ἀκοῦσαι παρὰ σοῦ ἃ φρονεῖς. ὅρα καὶ αὐτοὺς ἡμερωτέρως διαλεγομένους· ἀξιοῦμεν, φησί, καὶ βούλονται ἀπολογήσασθαι καὶ ὑπὲρ ἐκείνων· διὸ καὶ ἧκον ταξάμενοι αὐτῷ ἡμέραν. τοῦτο δὲ τοῦ σφόδρα ἑαυτῶν καταγνῶναι τεκμήριον, καὶ τοῦ μὴ θαρρεῖν. εἰ γὰρ ἐθάρρουν, κἂν τοῦτο ἐποίησαν καὶ συνῆλθον, ὥστε αὐτὸν συναρπάσαι· νῦν δὲ μὴ θαρροῦντες, καὶ ἐλθεῖν ὤκνησαν. ἄλλως τε καὶ τῷ πολλάκις ἐπιχειρῆσαι, ἔδειξαν ὅτι οὐκ ἐθάρρουν. καὶ οἱ μὲν ἐπείθοντο τοῖς λεγομένοις, φησίν· οἱ δὲ, ἠπίστουν, καὶ ἀσύμφωνοι ὄντες ἀπελύοντο· τουτέστι, μὴ πιστεύοντες ἀνεχώρουν. ὅρα πῶς οὐ ῥάπτουσιν ἐπιβουλὰς νῦν κατ' αὐτοῦ, ἀλλ' ἐν τῇ Ἰουδαίᾳ, ὥσπερ ἐν τυραννίδι ἦσαν. τίνος οὖν ἕνεκεν ᾠκονόμησεν ἐκεῖ αὐτὸν ἀπελθεῖν, καί τοι εἰπών, σπεῦσον ἔξελθε ἐξ Ἱερουσαλήμ; ἵνα δειχθῇ καὶ αὐτῶν ἡ κακία, καὶ ἡ προφητεία τοῦ Χριστοῦ ἀληθής, ὅτι οὐκ ἀνέχονται· καὶ ὥστε μαθεῖν πάντας.

πάντας, διὰ τοῦτο μέσος ἐστὶ παθεῖν, καὶ εἰς τὰ εἰς ἀπόκλησιν τὴν ἐν Ἰουδαίᾳ ὑπὲρ δείξῃ τὸ οἰκονομούμενον. καὶ γὰρ ἐκεῖ πολλὰ ἔπαθε δεινά. εἰ δὲ κηρύττων τὰ Ἰουδαϊκὰ ταῦτα ἔπασχεν, εἰ ἐκήρυττε τὰ τῆς δόξης τοῦ Χριστοῦ, πῶς ἂν ἴσχυσε; ἀγνιζόμενος, οὐκ ἦν φορητός· καὶ πῶς κηρύσσων φορητὸς ἦν; τί ἐγκαλεῖτε ὑμεῖς; τί ἠκούσατε; οὐδὲν τοιοῦτον ἁπλῶς. ὤφθη καὶ πάντας παρώξυνεν. εἰκότως ἄρα τοῖς ἔθνεσιν ἀπενεμήθη ἡ σωτηρία. εἰκότως μακρὰν ἐξεπέμφθη· κἀκεῖ μέλλων τοῖς ἔθνεσι διαλέγεσθαι, καλεῖ δὲ πρώτους Ἰουδαίους καλεῖ, ἐπειδὴ δείξας αὐτοῖς τὰ πράγματα, τότε ἐπὶ τὰ ἔθνη ἔρχεται. τὸ δὲ οὕτως εἰπεῖν διὰ εἶπε τὸ πνεῦμα, οὐδὲν θαυμαστόν. καὶ γὰρ Ἀγγέλους λέγεται λέγειν ἅπερ ἂν ὁ Κύριος εἴπῃ. καλῶς εἶπε, φησὶ, τὸ πνεῦμα τὸ ἅγιον· ἀλλ' ἐνταῦθα μὲν οὕτως, ἐκεῖ δὲ οὐκέτι. ἄλλως δὲ καὶ ὅταν διηγῆταί τις περὶ τῶν ὑπὸ τοῦ Ἀγγέλου λεχθέντων, οὐ λέγει, καλῶς εἶπεν ὁ Ἄγγελος, ἀλλὰ καλῶς εἶπεν ὁ Κύριος, καλῶς εἶπε τὸ πνεῦμα· ὥστε ἔλεγχον· οὐκ ἐμοὶ ἀπιστεῖτε, ἀλλὰ τῷ πνεύματι, ὥστε ἄνωθεν τοῦτο προεῖδεν ὁ Θεός. οἵτινες ἀνακρίναντές με, φησὶν, ἐβούλοντο ἀπολῦσαι. τουτέστιν, οὐδὲν εὑρόντες ἄξιον καταδίκης ἐν ἐμοὶ, ἀπολύειν ἤθελον. καὶ δέον ἐκείνους ἐξελέσθαι, παρέδωκαν εἰς χεῖρας Ῥωμαίων, καὶ τοσαύτη ἡ περιουσία τῆς ἀληθείας, ὡς μηδὲ ἐκεῖνοι ἴσχυσαν καταχρῖναι. ἀλλὰ δέσμιον παρέδωκαν. ἠναγκάσθην, φησὶν, ἐπικαλέσασθαι Καίσαρα, οὐχ ὡς τοῦ ἔθνους μου ἔχων τι κατηγορῆσαι· τουτέστιν, οὐχ ἵνα κακοῖς ἑτέρους περιβάλω, ἀλλ' ἵνα κακῶν ἐμαυτὸν ἀπαλλάξω, τοῦτο ἐποίησα, καὶ οὐχ ἑκών, ἀλλ' ἀναγκασθείς. ὅρα οἰκειότητα ῥημάτων· οὐκ ἀλλοτριοῦται αὐτούς· ἀλλ' οἰκειοῦται, τὸ εἰπεῖν τοῦ ἔθνους μου. πάλιν δὲ καταστέλλει τὸ δόγμα. καὶ οὐκ εἶπεν, οὐ κατηγορῶ· ἀλλ' οὐκ ἔχω τι κατηγορῆσαι, καίτοι τοιαῦτα παθὼν τὰ δεινά. οὐδὲν ἐν τούτοις, φησὶν, ἵνα μὴ φορτικὸν ποιήσῃ τὸν λόγον, ὥστε χαρίζεσθαι αὐτοῖς δοκεῖ. καὶ διατί τοῦτο λέγει; ἀλλ' αἰνίττεται μόνον καὶ παρατρέχει. τοῦτο γὰρ ἦν τέως τὸ σπουδαζόμενον, τὸ δεῖξαι ὅτι Ῥωμαίοις παρέδωκαν δέσμιον, τοὺς δέον, καταδικάσαι δέον ἐκείνους, δέον κατηγορῆσαι, μᾶλλον ἀπολογοῦνται. δι' ὧν δὲ συνυφαίνουσι τὴν ἀπολογίαν, κατηγοροῦσιν αὐτῶν. γνωστόν ἐστιν ἡμῖν ὅτι πανταχοῦ, φησὶν, ἀντιλέγεται. ἀλλ' εἰ καὶ τοῦτο συμβαίνει, ὅμως καὶ πιστεύεται πανταχοῦ. οἷς ἐξετίθετο, φησὶν, ἀπό τε νόμου καὶ προφητῶν. ὅρα πάλιν οὐκ ἀπὸ σημείων, ἀλλ' ἀπὸ νόμου καὶ προφητῶν ἐπιστομίζοντα αὐτούς, καὶ πανταχοῦ τοῦτο ποιοῦντα, καίτοιγε ἐνὸν καὶ σημεῖα ποιῆσαι, ἀλλὰ λοιπὸν οὐκ ἔτι πίστεως τὸ πρᾶγμα ἦν. μέγα γὰρ τοῦτο σημεῖον, τὸ ἀπὸ νόμου καὶ τῶν προφητῶν διαλέγεσθαι. εἶτα ἵνα μὴ νομίσῃς παράδοξον εἶναι, τὸ μεῖναι αὐτοὺς ἀπειθοῦντας, ἐπάγει καὶ προφητείαν τὴν λέγουσαν· ἀκοῇ ἀκούσεσθε καὶ οὐ μὴ συνῆτε· μᾶλλον, φησὶ, νῦν, ἢ τότε. καὶ ὄψεσθε, καὶ οὐ μὴ ἴδητε· μᾶλλον νῦν ἢ τότε. πρὸς ἐκείνους εἴρηται ταῦτα τοὺς ἀπιστήσαντας. ἃ καὶ οὐχ ὑβρίζοντος ἦν, ἀλλὰ τὸ σκάνδαλον ἀναιροῦντος. γνωστὸν οὖν ἔστω ὑμῖν, φησὶν, ὅτι τοῖς ἔθνεσιν ἀπεστάλη τὸ σωτήριον τοῦ Θεοῦ, αὐτοὶ καὶ ἀκούσονται. τί οὖν ἡμῖν διαλέγῃ; ταῦτα οὐκ ᾔδεις; ναί· ἀλλ' ὥστε πεισθῆναι ἀπολογοῦμαι, καὶ μηδενὶ δίδωμι λαβεῖν. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησὶ, διδάσκων μετὰ πάσης παρρησίας ἀκωλύτως. καλῶς τοῦτο προσέθηκεν. ἦν γὰρ μετὰ παρρησίας λέγειν, ἀλλὰ κεκωλυμένως. τὴν ἐν παρρησίᾳ Παύλου οὐδὲν ἐνέκοψεν· ἀλλὰ καὶ ἀκωλύτως ἐλέγετο. ἔμεινε δὲ ὁ Παῦλος διετίαν ὅλην, φησὶν, ἐν ἰδίῳ μισθώματι. οὕτως ἦν ἀπέριττος· μᾶλλον δὲ οὕτω τὸν διδάσκαλον αὐτοῦ ἐμιμεῖτο ἐν πᾶσιν, ὅτι καὶ τὴν οἴκησιν εἶχεν, οὐκ ἐξ ἀλλοτρίων πόνων, ἀλλ' ἀφ' ὧν αὐτὸς εἰργάζετο. τοῦτο γὰρ σημαίνει τὸ, ἐν ἰδίῳ μισθώματι. ὅτι δὲ καὶ ὁ δεσπότης οἰκίαν οὐκ ἐκέκτητο, ἄκουε αὐτοῦ λέγοντος πρὸς τὸν οὐκ ὀρθῶς εἰπόντα, ἀκολουθήσω σοι ὅπου ἂν ἀπέρχῃ·
„αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατα-
„σκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ.
οὕτως ἐξ ἑαυτοῦ τὸ μηδὲν κεκτῆσθαι ἐπαίδευσε, μηδὲ σφόδρα τοῖς βιωτικοῖς προσηλῶσθαι. καὶ ἀπεδέχετο τοὺς εἰσπορευομένους, φησὶ, πρὸς αὐτὸν, κηρύσσων τὴν βασιλείαν τοῦ Θεοῦ. ὅρα· οὐδὲν περὶ τῶν παρόντων, ἀλλὰ περὶ τῆς τοῦ Θεοῦ βασιλείας πάντα φθεγγόμενον. ὁρᾷς οἰκονομίαν Θεοῦ; μέχρι τούτων τὸν λόγον ἵστησιν ὁ συγγραφεὺς, καὶ ἀφίησι διψῶντα τὸν ἀκροατὴν, ὥστε λοιπὸν ἀφ' ἑαυτοῦ

A quomodo sustinuissent? Qui purificabatur, non erat tolerabilis: & quomodo prædicans tolerabilis fuisset? Cur accusatis nos? quid audivistis? Nihil tale dixit simpliciter. Apparuit, & omnes exasperavit. Merito igitur Gentibus sorte obvenit. Merito longè missus est: etiam illic docturus Gentes, principio Judæos vocat. Postea ut rem illis monstravit, ad Gentes abiit. Dicendo autem, *dixit spiritus*, non est mirum: nam & Angelus dicitur loqui ea quæ Dominus ipse locutus est. *Bene* B *dixit*, inquit, *Spiritus sanctus*: sed ille non item, quando narrat quis de his quæ ab Angelo dicta sunt, non dicit: Bene dixit Angelus: sed, bene dixit Dominus, bene dixit spiritus: hoc est, non mihi fides negetur: sed olim hoc præsciebat Deus. Qui cum examinassent, inquit, nihil invenerunt in me. Hoc est, nihil condemnatione dignum invenientes in me, dimittere volebant, & ubi oportebat illos eripere, tradiderunt in manus Romanorum, & tanta erat libertatis abundantia, quoniam C neque illi valebant condemnare, sed vinctum tradiderunt. *Coactus sum*, inquit, *appellare Cæsarem, non quasi habens aliquid quo gentem meam accusarem*, id est. non ut alios me malis involverem, sed ut meipsum à malis liberarem, hoc feci, & neutiquam libenti animo, sed coactus. Videsis familiaritatem verborum, nusquam alienum se ab illis facit, sed indigenam, per id quod dicit, gentem meam. Non dixit, non accuso, sed *non habeo quod accusem*, quamvis tot & tam gravia passus esset. D Sed neque hoc dicit, neque facit onerosiorem sermonem, neque donare illis videtur. Quapropter non dicit hoc, sed figuratè annuit, prætercurrit. Id enim præcipuè intendebat, nimirum ostendere quod Romanis vinctum se tradiderant: & ubi crimen intendere debebant, illi etiam condemnare, potius defenderent. Per quæ accusabant, per eadem apologiam contexunt. *Ubique*, inquit, *contradicitur*, sed etiam ubique credunt: nam alii quidem credunt, alii verò discredunt. Vide iterum, E quod non à signis, sed à lege & Prophetis illorum obstruit ora, & ubique hoc facit, quamvis potuisset signa facere. Porrò non jam fidei res fuisset, magnum enim hoc signum erat à lege & Prophetis disserere. Deinde ne putes novum esse, subdit Prophetiam quæ dicit: *Auditu audietis* magis nunc quam tunc, *& videbitis*: & non perspicuè magis nunc quàm tunc, contra illos qui non crediderunt dicta sunt. Quid igitur? illud præter Prophetiam crediderunt, populo huic incredulo inquit. Non con-A vicia sunt hæc, sed offendiculum tollunt: Ipsi, inquit, & audient. Quid igitur nobis loqueris, hæc nesciebas? Etiam, sed ut persuadeam, & rationem reddam, nullique dem occasionem. *Loquebatur*, inquit, *cum fiducia nullo prohibente*. Prædicatur aliquando libere, sed cum prohibitione. Libertatem illius in loquendo nihil prohibebat vel morabatur. Vides dispensationem Dei. Dimittit sitibundum auditorem: Hoc & exteri faciunt. Hoc enim significat, *propria mercede*. Quod autem Domi-B nus nullam possideret domum, audi loquentem ad eum qui minus rectè dicebat; *Sequar quocunque ieris*: *Vulpes foveas habent, & volatilia cœli tentoria, filius autem hominis non habet, ubi caput reclinet*. Matt.8,20. Sic docuit per seipsum nihil possidere nos debere, neque rebus terrenis adhærere: *Et excipiebat*, inquit, *venientes ad se, prædicans regnum Dei*. Vide nihil sensibile, nihil de præsentibus loquitur, omnia de regno Dei loquebatur. Vides divinam rerum dispensationem? Hactenus sermonem sistit author, & auditorem C sitibundũ dimittit, adeò per seipsum ratiocinetur: hoc & exteri faciunt: omnia enim scire, ignavum ac negligentem reddit. Illud autem facit, qualia etiam postea non recenset, superfluum ratus iis qui legerint quæ possent exscribi, quique discere exinde cupierint, tale quid addidisse textui. Quæ enim prius scripta sunt iis prorsus similia quæ sequuntur. Audi verò etiam qualia sint quæ postea recenset, & scribit ad Romanos: *Cum proficiscar in Hispaniam, veniam ad vos*. Rom.15,24 Vides quomodo omnia prævidebat san-D ctum & divinum caput illud Paulus, qui omnibus cœlis sublimior, qui animam habebat omnia simul comprehendere valentem, qui primas partes tenet, cujus vel solum nomen novisse, ad excitandas animas, ad sobrietatem servandam, adque excutiendum somnum sufficit. Suscepit illum Roma vinctum, à mari venientem, ex naufragio, quemadmodum Rex quidam, post nava-E lem pugnam & victoriam in regalissimam aulam istam ascendit.

συλλογίζεσθαι· τοῦτο καὶ οἱ ἔξω ποιοῦσι· τὸ γὰρ πάντα εἰδέναι, νωθῆ ποιεῖ καὶ ἐκλελυμένον· τοῦτο δὲ ποιεῖ, καὶ ἵνα τὰ μετὰ ταῦτα οὐ λέγει, περιττὸν ἔσεσθαι πρὸς τοὺς ἐντυγχάνοντας τοῖς συγγράμμασιν ἡγούμενος καὶ ἀπὸ τούτων μανθάνοντας, τὸ προσθεῖναι τῷ λόγῳ. πάντως γὰρ οἷα τὰ πρότερα, τοιαῦτα εἶχε καὶ τὰ μετὰ τοῦτο. ἄκουε δὲ καὶ οἷα μετὰ ταῦτα γράφων πρὸς Ῥωμαίους, φησὶν, ὡς ἂν πορεύωμαι εἰς τὴν Σπανίαν, ἐλεύσομαι πρὸς ὑμᾶς. ὁρᾷς πῶς πάντα προεώρα ἡ ἁγία καὶ θεία κεφαλή; ὁ τῶν οὐρανῶν ὑψηλότερος; ὁ ψυχὴν ἔχων πάντα ὁμοῦ περιλαβεῖν δυναμένην; ὁ τὰ πρῶτα κατέχων Παῦλος; οὗ τὸ εἰδέναι καὶ τὸ ὄνομα μόνον ἀρκεῖ πρὸς διέγερσιν ψυχῆς, πρὸς νῆψιν, πρὸς τὸ πάντα ὕπνον ἀποτινάξασθαι; ὑπεδέξατο αὐτὸν Ῥώμη δεδεμένον, ἀπὸ θαλάσσης ἀναβάντα, ἐκ ναυαγίου διασωθέντα, καὶ ἀπήλλαξε τοῦ ναυαγίου τῆς πλάνης. καθάπερ γάρ τις βασιλεὺς ναυμαχήσας καὶ νικήσας, ἐπέβαινε τῆς βασιλικωτάτης ἐκείνης πόλεως.

De

Ib. v. 29. De hoc inquit: *Veniam, & refocillabor vobiscum in plenitudine*
Ib. v. 25. *benedictionis Evangelii.* Et iterum: *Eo ministraturus in Hierusa-*
Supr. 24, 17 *lem.* Hoc est quod dicit: *Eleemosynas facturus genti meæ, & oblationes, adveni.* Jam fere cœlo propior erat. Suscepit illum Roma vinctum, & vidit coronatum ac celebratum. Illic refocillabor unà vobiscum. Hoc autem initium cursus iterum erat, & triumphos triumphis inexpugnabilis conjunxit. Corinthus illum biennio detinebat, Asia triennio, Roma quoque biennio. Posteà iterum ascendit, quando etiam consummatus est.
2. Tim. 4, 16. *In prima mea defensione*, inquit, *nullus mecum aderat.* Ita tunc transfugit, & quum omnem implesset orbem, vitam sic finivit. Quid vis discere, quæ post hæc? Et illa talia sunt, vincula, tormenta, pugnæ, carceres, insidiæ, calumniæ, ac mortes quotidianæ. Vidisti illius parvam partem? ita se habent & reliqua. Unam cœli partem si videris, quocumque ieris, videris talem: Ita se habent & Pauli acta. Vidisti ex parte, omnia talia sunt, periculis plena. Cœlum erat ille, Solem habens justitiæ non talem qualis ille est, atque adeo vir ille cœlo melior est. Parumne hoc esse putas? Quando Apostolum dixeris, statim omnes illum cogitant, sicut appellato Baptista, Joannem. Cui comparaverit quis illius verba? mari vel Oceano? sed nihil par est: illo sunt verba ejus copiosiora, & profundiora. Et sic non peccarit quis, si cor Pauli mare etiam ac cœlum dixerit, cum ob puritatem, tum ob profunditatem. Mare est, navigantes non à civitate in civitatem, sed à terra in cœlum vehens. Si quis in hoc mari navigaverit, secunda aura navigat. Non est in hoc mari ventus, sed pro vento Spiritus Sanctus divinus, qui in illo navigantes animas vehit: non est scopulus, non est belua, sed omnia tranquilla sunt. Mare est portu tranquillius & securius, nihil habens salsum, sed purum ac dulcem laticem, Sole limpidiorem, & magis perspicuum. Mare est non gemmas habens, vel purpuras id genus, sed his multò meliora. Qui vult in hoc pelagus descendere? non opus habet natatione vel remo, sed magna gratia: inveniet autem in eo omnia bona quæ sunt in regno cœlorum, & poterit fieri Rex, & totum mundum accipere, inque summo honore esse: qui in hoc mari navigat, nunquam naufragium faciet, sed omnia bene sciet. Et quemadmodum ii qui imperiti sunt maris suffocantur, ita & hic fit: id quod & hæreticis evenit, qui plus quàm vires ipsorum permittunt, attentant: oportet sanè profunditatem nosse, vel non attentare.
1. Cor. 3, 1. Navigaturi hoc pelagus, pauperes simul ac humiles. *Non possum*, inquit, *vobis loqui tanquam spiritualibus, sed tanquam carnalibus*, nullus sine patientia ingrediatur hoc pelagus, paremus nobis naves, studium, alacritatem, preces, ut in silentio hoc pelagus transeamus. Etenim aqua hæc vivens est, sicut si quis os igneum capiat, talem Pauli os speciem habet: & quemadmodum si quis gladium acutum capiat, sic talis incomprehensibilis erit. Ut autem Paulina intelligantur, vita pura opus est. Propter hoc enim dicit, quoniam segnibus auribus facti estis. Est enim & aurium infirmitas, nam sicut infirmus stomachus sanos & difficilis concoctionis cibos non suscipit: ita etiam anima torpida, inflata, æstuans, sterilisque ac enervis spiritualem sermonem accipere non poterit. Audi dicentes di-
Joh. 6, 60. scipulos: *Durus est sermo hic, quis poterit audire illum?* Si autem fortis esset ac sana, omnia facilia, omnia integra, leviora ac sublimiora fierent, imò summa peterent, & in excelsum tollerentur. Hæc igitur scientes, parantes animam, etiam æmulemur Paulum, & imitemur fortem illam ac adamantinam animam, ut per vestigia eorum qui sic vixerunt euntes, possimus vitæ istius pelagus pernavigare, & in portum sine fluctibus pervenire, bonáque diligentibus Deum promissa assequi, gratia & humanitate Domini nostri Jesu Christi, cum quo Patri simul ac sancto Spiritui gloria, imperium, honor, nunc & semper, & in secula seculorum, Amen.

περὶ τούτων ἔγραφεν, ἐλεύσομαι, καὶ συναναπαύσομαι ὑμῖν, ἐν πληρώματι εὐλογίας τοῦ Εὐαγγελίου. καὶ πάλιν, πορεύομαι διακονήσων εἰς Ἱερουσαλήμ. τοῦτό ἐστιν ὅπερ ἔλεγεν, ἐλεημοσύνας ποιήσων εἰς τὸ ἔθνος μου παρεγενόμην. ἐγγύτερος ἦν λοιπὸν τοῦ στεφάνου· ἐδέξατο αὐτὸν ἡ Ῥώμη δεδεμένον, καὶ εἶδε στεφανωθέντα καὶ ἀνακηρυχθέντα. ἐκεῖ συναναπαύσομαι ὑμῖν ἔφη. ἐντεῦθεν πορεύομαι διακονήσων εἰς Ἱερουσαλήμ. τὸ δὲ, ἀρχὴ τοῦ δρόμου πάλιν ἦν, καὶ τρόπαια τροπαίοις συνῆπτεν, ἀκαταγώνιστος ὤν. Κόρινθος αὐτὸν κατέσχε δύο ἔτη, καὶ Ἀσία τρία, καὶ αὕτη δύο τέως, ὥστε δεύτερον ἐπέβη ὅτε καὶ ἐτελειώθη. ἐν τῇ πρώτῃ μου ἀπολογίᾳ, φησίν, οὐδείς μοι συμπαρεγένετο· οὕτω διέφυγε τότε, καὶ πᾶσαν ἐμπλήσας τὴν οἰκουμένην τοῦ κηρύγματος, κατέλυσεν οὕτω τὸν βίον. τί βούλει μαθεῖν τὰ μετὰ ταῦτα; τοιαῦτά ἐστι κἀκεῖνα· δεσμά, βάσανοι, μάχαι, φυλακαί, ἐπιβουλαί, συκοφαντίαι, θάνατοι καθημερινοί. εἶδες αὐτοῦ μικρὸν μέρος; τοιοῦτον οὖν καὶ τὸ λοιπόν. ὥσπερ ἐπὶ τοῦ οὐρανοῦ ὅσον ἂν ἴδῃς αὐτοῦ, τοσοῦτόν ἐστι καὶ τὸ ἄλλο. οὐρανοῦ γὰρ ἂν μέρος θεάσῃ ἕν, ὅπου ἂν ἀπέλθῃς, τοιοῦτον εὑρήσεις καὶ τὸ λοιπόν. ἢ καθάπερ ἡλίου τὰς ἀκτῖνας, κἂν ἐκ μέρους ἴδῃς, στοχάζῃ ἐκ τούτων οἷος ὁ ἥλιος, οὕτω καὶ ἐπὶ Παύλου. τὰς πράξεις εἶδες ἐκ μέρους αὐτοῦ, πᾶσαι τοιαῦται τυγχάνουσι, κινδύνων γέμουσαι. οὐρανὸς ἦν ἐκεῖνος ἥλιον δικαιοσύνης ἔχων, οὐ τοιοῦτον, ὥστε καὶ οὐρανοῦ βελτίων ὁ ἀνήρ. μικρὸν οἴει τοῦτο εἶναι; οὐκ ἔγωγε οἶμαι. ὅταν Ἀπόστολον εἴπῃς, εὐθέως πάντες αὐτὸν ἐννοοῦσιν, ὥσπερ ὅταν Βαπτιστήν, εὐθέως τὸν Ἰωάννην. τίνι ἄν τις παραβάλῃ τὰ ἐκείνου ῥήματα; θαλάσσῃ, ἢ καὶ ὠκεανῷ· ἀλλ' οὐδὲν ἴσον. πολλῷ ταύτης δαψιλέστερα τὰ ῥήματα τὰ τούτου καὶ καθαρώτερα καὶ βαθύτερα, ὥστε καὶ θάλασσαν καὶ οὐρανὸν οὐκ ἂν τις ἁμάρτοι τὴν Παύλου καρδίαν εἰπών· τὸ μὲν, διὰ τὸ καθαρόν· τὸ δὲ, διὰ τὸ βαθύ. θάλασσά ἐστιν, οὐκ ἀπὸ πόλεως εἰς πόλιν ἄγουσα τοὺς ἐμπλέοντας, ἀλλ' ἀπὸ γῆς εἰς οὐρανόν. εἴ τις ταύτην πλέοι τὴν θάλασσαν, ἐξ οὐρίας πλεύσεται. ἐν ταύτῃ τῇ θαλάσσῃ, οὐκ ἄνεμοι, ἀλλ' ἀντὶ ἀνέμων, πνεῦμα θεῖον ἅγιον τὰς ἐμπλεούσας παραπέμπει ψυχάς. οὐκ ἔστιν ἐνταῦθα κύματα· οὐκ ἔστι σκόπελος, οὐκ ἔστι θηρία· πάντα γαληνά. θάλασσά ἐστι, λιμένος γαληνοτέρα καὶ ἀσφαλεστέρα, οὐδὲν ἁλμυρὸν ἔχουσα, ἀλλὰ πηγὴν ἥδιστα ῥέουσαν νάματα, ἡλίου λαμπροτέραν καὶ διαυγεστέραν. θάλασσά ἐστιν, οὐ λίθους ἔχουσα τιμίους, οὐδὲ ἁλουργίδα τοιαύτην, ἀλλὰ ῥήματα πολλῷ τούτων βελτίω. ὁ βουλόμενος εἰς τοῦτο καθεῖναι τὸ πέλαγος ἑαυτὸν, οὐ κολυμβητῶν δεῖται, οὐκ ἐλαίου· ἀλλὰ φιλοσοφίας πολλῆς. εὑρήσει ἐν αὐτῷ πάντα τὰ ἀγαθὰ τὰ ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. ὁ τοιοῦτος καὶ δυνήσεται γενέσθαι βασιλεὺς, καὶ πάντα τὸν κόσμον λαβεῖν, καὶ ἐν τιμῇ εἶναι μεγίστῃ. ὁ ταύτην πλέων τὴν θάλασσαν, οὐδέποτε ναυάγιον ὑποστήσεται, ἀλλὰ πάντα εἴσεται καλῶς. ἀλλ' ὥσπερ οἱ ταύτης ἄπειροι τῆς θαλάσσης ἀποπνίγονται, οὕτω δὴ καὶ ἐνταῦθα, ὅπερ δὴ πάσχουσι καὶ οἱ αἱρετικοὶ τοῖς ὑπὲρ δύναμιν ἐγχειροῦντες· δεῖ δὴ τὸ βάθος τούτου εἰδέναι, ἢ μὴ κατατολμᾶν. ἂν μέλλωμεν πλεῖν τὸ πέλαγος τοῦτο, εὔζωνοι γενώμεθα. οὐκ ἠδυνήθην ὑμῖν, φησὶ, λαλῆσαι ὡς πνευματικοῖς. ἀλλ' ὡς σαρκικοῖς. μηδεὶς ἀκαρτέρητος τοῦτο πλεέτω τὸ πέλαγος. κατασκευασώμεθα ἑαυτοῖς πλοῖα, τουτέστιν σπουδὴν, προθυμίαν, εὐχὰς, ὥστε διανύσαι τὸ πέλαγος ἐν ἡσυχίᾳ. καὶ γὰρ τὸ ὕδωρ τοῦτο ζῶν ἐστι· καθάπερ εἴ τις πυρὸς λάβοι στόμα, οὕτως ὁ Παύλου εἶδος στομοῦται. καθάπερ εἴ τις μάχαιραν ὀξεῖαν ἀνέχοι, οὕτως ὁ τοιοῦτος πάλιν ἀκάθεκτος γίνεται. καὶ πρὸς τὸ νοῆσαι δὲ τὰ Παύλου, βίου καθαροῦ δεῖται. διὰ τοῦτο καὶ ἔλεγε· γάλακτος ἐν χρείᾳ κατέστητε, ἐπεὶ νωθροὶ γεγόνατε ταῖς ἀκοαῖς. ἔστι γὰρ, ἔστιν ἀσθένεια καὶ ἀκοῆς. καθάπερ γὰρ στόμαχος οὐκ ἂν δέξαιτο ὑγιεινὰ σιτία καὶ δυσκατέργαστα ἀσθενὴς ὤν, οὕτω καὶ ψυχὴ ὀγκωθεῖσα, φλεγμαίνουσα, ἄτονος γινομένη καὶ ἔκλυτος, οὐκ ἂν δυνηθείη δέξασθαι τὸν πνευματικὸν λόγον. ἄκουε τῶν μαθητῶν λεγόντων· σκληρός ἐστιν ὁ λόγος οὗτος· τίς δύναται αὐτοῦ ἀκούειν; ἂν δὲ ἰσχυρὰ ᾖ καὶ ὑγιεινὴ, πάντα ῥᾷστα, πάντα εὔκολα, ὑψηλότερα γίνεται καὶ κουφότερα, μᾶλλον μετεωρίζεται καὶ εἰς ὕψος αἴρεται. ταῦτα οὖν εἰδότες ὑγιεινὴν ἡμῶν κατασκευάσωμεν τὴν ψυχὴν, καὶ ζηλώσωμεν τὸν Παῦλον, καὶ μιμησώμεθα τὴν γενναίαν ἐκείνην καὶ ἀδαμαντίνην ψυχήν· ἵνα κατ' ἴχνος τῶν ἐκείνως βεβιωμένων πορευόμενοι, δυνηθῶμεν τὸ πέλαγος τοῦ παρόντος βίου διαπλεῦσαι, καὶ εἰς τὸν ἀκύμαντον λιμένα καταντῆσαι, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, καὶ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΜΗΝ.

Divi Joannis Chrysostomi in Acta Apostol. Comment. finis.